4. Ita Autariatæ suis rebus occupabantur; Langarus vero amplissimis honoribus ab Alexandro affectus, munera etiam accepit quæ apud Macedonum reges habentur summa. Sororem etiam suam, Cynam nomine, Alexander, ubi Pellam reversus esset, uxorem se illi daturum spondet.

5. Langarus autem domum reversus morbo obiit. Alexander igitur secus Erigonem fluvium iter faciens, Pelium venit: quam urbem Clitus occuparat, ut totius regionis munitissimam. Quo simulac venit Alexander, castris ad Eordaicum flumen positis postridie muros adoriri statuit. (6) Clitus cum suis copiis montes urbi circumjectos, qui alti et silvis densi erant, insederat, ut si Macedones urbem adorirentur, omni ex parte irruere in eos possent. Glaucias vero Taulantiorum rex necdum ad ipsum venerat. (7) Quum itaque jam Alexander urbi immineret, hostes, mactatis tribus pueris et totidem puellis tribusque nigris arietibus, erumpunt tanquam cum Macedonibus manus conserturi. Quumque jam propius convenissent, loca illa quæ occuparant, quantumvis aspera munitaque essent, deserunt, adeo ut etiam hostiæ ibidem relictæ sint repertæ.

8. Eo ipso die hostibus intra mœnia conclusis castrisque ad muros positis, statuerat Alexander alio in orbem muro ducto ipsos intercludere. Postridie vero quum Glaucias Taulantiorum rex cum ingenti exercitu eo pervenisset, nec speraret Alexander se iis quas adduxerat copiis urbem capere posse, quum et multi bellatores in urbem confugissent multique cum Glaucia irruituri essent, si ipse murum oppugnaret: (9) Philotam, sumpto equitatu qui præsidio sufficeret et jumentis castrensibus, frumentatum mittit. Glaucias, cognito motu Philotæ, in eum movit, et montes campo, in quem Philotas frumentatum iturus erat, circumjectos occupat. (10) Alexander, simulac ei renuntiatum est, equitatum et impedimenta in magno discrimine versari, si nox eos occupet, ipse confestim scutatis et sagittariis atque Agrianis equitibusque quadringentis secum sumptis, auxilio advolat, reliquo exercitu ad urbem relicto: ne, universo exercitu discedente, oppidani excurrentes cum Glaucia conjungerentur. (11) Glaucias, ut sensit Alexandrum adventare, montes deserit, atque ita Philotas tuto se in castra recepit. Existimabant adhæc Clitus et

θησαν. Ἐδόκουν δ' ἔτι τὸν Ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπειληφέναι οἱ ἀμφὶ τὸν Κλεῖτον καὶ Γλαυκίαν· τά τε γὰρ ὄρη τὰ ὑπερδέξια κατεῖχον πολλοῖς μὲν ἱππεῦσι, πολλοῖς δὲ ἀκοντισταῖς καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις, καὶ οἱ ἐν τῇ πόλει κατειλημμένοι προσκείσεσθαι ἀπαλλαττομένοις ἔμελλον· (12) τά τε χωρία δι' ὧν ἡ πάροδος ἦν τῷ Ἀλεξάνδρῳ στενὰ καὶ ὑλώδη ἐφαίνετο, τῇ μὲν πρὸς τοῦ ποταμοῦ ἀπειργόμενα, τῇ δὲ ὄρος ὑπερύψηλον ἦν καὶ χρημνοὶ πρὸς τοῦ ὄρους, ὥστε οὐδὲ ἐπὶ τεσσάρων ἀσπίδων ἂν τῷ στρατεύματι ἡ πάροδος ἐγένετο.

ΚΕΦ. Ϛ'.

Ἔνθα δὴ ἐκτάσσει τὸν στρατὸν Ἀλέξανδρος ἐς ἑκατὸν καὶ εἴκοσι τὸ βάθος τῆς φάλαγγος. Ἐπὶ τὸ κέρας δὲ ἑκατέρωθεν διακοσίους ἱππέας ἐπιτάξας παρήγγελλε σιγῇ ἔχειν, τὸ παραγγελλόμενον ὀξέως δεχομένους. (2) Καὶ τὰ μὲν πρῶτα ἐσήμηνεν ὀρθὰ ἀνατεῖναι τὰ δόρατα τοὺς ὁπλίτας, ἔπειτα ἀπὸ ξυνθήματος ἀποτεῖναι ἐς προβολήν, καὶ νῦν μὲν ἐς τὸ δεξιὸν ἐγκλῖναι τῶν δοράτων τὴν σύγκλεισιν, αὖθις δὲ ἐπὶ τὰ ἀριστερά. Καὶ αὐτὴν δὲ τὴν φάλαγγα ἐς τε τὸ πρόσω ὀξέως ἐκίνησε καὶ ἐπὶ τὰ κέρατα ἄλλοτε ἄλλῃ παρήγαγε. (3) Καὶ οὕτω πολλὰς τάξεις τάξας τε καὶ μεταχοσμήσας ἐν ὀλίγῳ χρόνῳ, κατὰ τὸ εὐώνυμον οἷον ἔμβολον ποιήσας τῆς φάλαγγος ἐπῆγεν ἐπὶ τοὺς πολεμίους. Οἱ δὲ πάλαι μὲν ἐθαύμαζον τήν τε ὀξύτητα ὁρῶντες καὶ τὸν κόσμον τῶν ὁρωμένων· τότε δὲ προσάγοντας ἤδη τοὺς ἀμφὶ Ἀλέξανδρον οὐκ ἐδέξαντο, ἀλλὰ λείπουσι τοὺς πρώτους λόφους. (4) Ὁ δὲ καὶ ἐπαλαλάξαι ἐκέλευσε τοὺς Μακεδόνας καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας· οἱ δὲ Ταυλάντιοι ἔτι μᾶλλον ἐκπλαγέντες πρὸς τῆς βοῆς ὡς πρὸς τὴν πόλιν ἐπανήγαγον σπουδῇ τὸν στρατόν.

5. Ἀλέξανδρος δὲ λόφον τινὰς κατέχοντας ἰδὼν οὐ πολλοὺς τῶν πολεμίων, παρ' ὃν αὐτῷ ἡ πάροδος ἐγίγνετο, παρήγγειλε τοῖς σωματοφύλαξι καὶ τοῖς ἀμφ' αὐτὸν ἑταίροις, ἀναλαβόντας τὰς ἀσπίδας ἀναβαίνειν ἐπὶ τοὺς ἵππους καὶ ἐλαύνειν ἐπὶ τὸν γήλοφον· ἐκεῖσε δὲ ἐλθόντας, εἰ ὑπομένοιεν οἱ κατειληφότες τὸ χωρίον, τοὺς ἡμίσεας καταπηδῆσαι ἀπὸ τῶν ἵππων καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μάχεσθαι. (6) Οἱ δὲ πολέμιοι τὴν ὁρμὴν τοῦ Ἀλεξάνδρου ἰδόντες λείπουσι τὸν γήλοφον καὶ παρεκκλίνουσιν ἐφ' ἑκάτερα τῶν ὀρῶν. Ἔνθα δὴ καταλαβὼν Ἀλέξανδρος τὸν γήλοφον σὺν τοῖς ἑταίροις τούς τε Ἀγριᾶνας μεταπέμπεται καὶ τοὺς τοξότας, ὄντας ἐς δισχιλίους· τοὺς δὲ ὑπασπιστὰς διαβαίνειν τὸν ποταμὸν ἐκέλευσε καὶ ἐπὶ τούτοις τὰς τάξεις τῶν Μακεδόνων· ὁπότε δὲ διαβάντες τύχοιεν, ἐπ' ἀσπίδα ἐκτάσσεσθαι, ὡς πυκνὴν εὐθὺς διαβάντων φαίνεσθαι τὴν φάλαγγα· αὐτὸς δὲ ἐν προφυλακῇ ὢν ἀπὸ τοῦ λόφου ἀφεώρα τῶν πολεμίων τὴν ὁρμήν. (7) Οἱ δέ, ὁρῶντες διαβαίνουσαν τὴν δύναμιν, κατὰ τὰ ὄρη ἀντεπήεσαν, ὡς τοῖς μετὰ Ἀλεξάνδρου ἐπιθησόμενοι τελευ-

Glaucias difficultate locorum interceptum esse Alexandrum. Nam et montes opportunos magno equitum, jaculatorum et funditorum numero occuparant, et armatis militibus non paucis, et oppidani in urbe conclusi in abeuntes irrupturi erant. (12) Præterea loca per quæ Alexandro eundum erat, angusta et silvosa erant: hinc flumine, illinc monte excelso atque prærupto viam adeo coarctantibus, ut ne quatuor quidem scutatis militibus conjunctim iter esset.

CAP. VI.

Alexander aciem ita instruit, ut centum viginti in spissitudine phalanx habeat: equitesque in utroque cornu ducentos locans, mandat, ut silentio habito mandata celeriter excipiant. (2) Ac primo imperat ut erigerent hastas; mox signo dato versus hostes tanquam impetum facturi, infestas protenderent, modo in dextrum, modo in sinistrum latus flexis hastarum cuspidibus. Ipsam interea phalangem celeriter promovit, et in cornua aliter atque aliter duxit: (3) atque ita immutata in varias formas brevi tempore aciei structura, a læva, tanquam in cuneum redacta phalange, hostes invadit. Hi vero quum jam mirati essent quanta celeritate quoque ordine res gererentur, ubi demum accedunt Macedones, impetum eorum haud sustinentes, primos colles deserunt. (4) Tum Alexander clamores edi hastisque scuta quati jubet. Quo clamore vehementius adhuc perculsi Taulantii exercitum celeriter urbem versus movere.

5. Alexander, animadvertens exiguam quandam hostium manum collem tenere, per quem ipsi transeundum erat, corporis custodibus et amicis, qui circa eum erant, imperat uti assumptis scutis equos conscendant et collem petant. Quo ubi ventum esset, si hostes qui locum illum occupabant eos opperirentur, dimidia pars illorum ex equis desiliat, et equitibus mista pedites confligant. (6) Hostes, adventantem Alexandrum conspicati, collem deserunt, et utrinque per montes diffugiunt. Occupato itaque colle, Alexander cum amicis Agrianos atque sagittarios, duo circiter millia, ad se arcessit; scutatos vero flumen trajicere jubet: postque hos, Macedonum cohortes. Ubi vero trajecerint, ad sinistram explicent aciem ut densa statim eorum qui transissent phalanx esse videretur. Ipse in procubiis quum esset, ex colle hostium motus spectabat. (7) Hostes, quum exercitum flumen transeuntem cernerent, montes versus sese contulere, veluti in eos qui postremi cum Alexandro dis-

ταίοις ἀποχωροῦσιν. Ὁ δὲ πελαζόντων ἤδη αὐτὸς ἐκθεῖ σὺν τοῖς ἀμφ' αὐτόν, καὶ ἡ φάλαγξ, ὡς διὰ τοῦ ποταμοῦ ἐπιοῦσα, ἐπηλάλαξεν· οἱ δὲ πολέμιοι πάντων ἐπὶ σφᾶς ἐλαυνόντων ἐγκλίναντες ἔφευγον· καὶ ἐν τούτῳ ἐπῆγεν Ἀλέξανδρος τούς τε Ἀγριᾶνας καὶ τοὺς τοξότας ὁρόμῳ ὡς ἐπὶ τὸν ποταμόν. (8) Καὶ πρῶτος μὲν αὐτὸς φθάσας διαβαίνει· τοῖς τελευταίοις δὲ ὡς εἶδεν ἐπικειμένους τοὺς πολεμίους, ἐπιστήσας ἐπὶ τῇ ὄχθῃ τὰς μηχανὰς ἐξακοντίζειν ὡς πορρωτάτω ἀπ' αὐτῶν ἐκέλευσεν ὅσα ἀπὸ μηχανῶν βέλη ἐξακοντίζεται· καὶ τοὺς τοξότας δὲ ἐκ μέσου τοῦ ποταμοῦ ἐκτοξεύειν ἐπιστάντας καὶ τούτους. Καὶ οἱ μὲν ἀμφὶ τὸν Γλαυκίαν εἴσω βέλους παρελθεῖν οὐκ ἐτόλμων· οἱ Μακεδόνες δὲ ἐν τούτῳ ἀσφαλῶς ἐπέρασαν τὸν ποταμόν, ὥστε οὐδεὶς ἀπέθανεν ἐν τῇ ἀποχωρήσει αὐτῶν.

9. Τρίτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ καταμαθὼν Ἀλέξανδρος κακῶς αὐλιζομένους τοὺς ἀμφὶ Κλεῖτον καὶ Γλαυκίαν, καὶ οὔτε φυλακὰς ἐν τῇ τάξει αὐτοῖς φυλαττομένας οὔτε χάρακα ἢ τάφρον προβεβλημένους, οἷα δὴ ξὺν φόβῳ ἀπηλλάχθαι οἰομένων Ἀλέξανδρον, ἐς μῆκος δὲ οὐκ ὠφέλιμον ἀποτεταγμένην αὐτοῖς τὴν τάξιν, ὑπὸ νύκτα ἔτι λαθὼν διαβαίνει τὸν ποταμόν, τούς τε ὑπασπιστὰς ἅμα οἵ ἄγων καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς τοξότας καὶ τὴν Περδίκκου καὶ Κοίνου τάξιν. (10) Καὶ προστέτακτο μὲν ἀκολουθεῖν τὴν ἄλλην στρατιάν· ὡς δὲ καιρὸν εἶδεν εἰς ἐπίθεσιν, οὐ προσμείνας ὁμοῦ γενέσθαι πάντας, ἐφῆκε τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας· οἱ δὲ ἀπροσδόκητοί τε ἐπιπεσόντες καὶ φάλαγγι κατὰ κέρας, ἧπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτῃ τῇ ἐμβολῇ προσμίξειν ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες, ὥστε πολλοὶ μὲν αὐτοῦ ἐγκατελήφθησαν καὶ ἀπέθανον, πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ· οὐκ ὀλίγοι δὲ καὶ ζῶντες ἑλήφθησαν. (11) Ἐγένετο δὲ ἡ δίωξις τοῖς ἀμφὶ Ἀλέξανδρον μέχρι πρὸς τὰ ὄρη τῶν Ταυλαντίων· ὅσοι δὲ καὶ ἀπέφυγον αὐτῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν. Κλεῖτος δὲ ἐς τὴν πόλιν τὸ πρῶτον καταφυγών, ἐμπρήσας τὴν πόλιν ἀπηλλάγη παρὰ Γλαυκίαν ἐς Ταυλαντίους.

cessuri erant impetum facturi. In quos jam appropinquantes ipse rex cum suis excurrit, phalanx vero quasi transmisso (iterum) flumine subsidio ventura clamores edit. Tum hostes, tota Macedonum vi in eos irruente, in fugam vertuntur : interea Alexander Agrianos et sagittarios raptim ad flumen mittit : (8) atque ipse quidem primus transit, extremos vero quum ab hoste premi cerneret, machinis in ripa collocatis, quam longissime in eos tela, quæcunque machinis torqueri possunt, emitti jubet. Sagittariis etiam, ut in medio flumine consistentes hostem sagittis petant imperat. Glaucias intra teli jactum progredi non audebat. Interea Macedones incolumes trajiciunt, ita ut nemo eorum in discessu desideratus fuerit.

9. Triduo post Alexander, quum audisset Clitum et Glauciam negligenter in castris degere, et neque excubias agere neque vallo aut fossa sese cinxisse (quippe qui Alexandrum metu impulsum discessisse crederent) aciemque ipsorum in longum, parum ex eorum commodo, porrectam : luce nondum orta clam flumen transit, sumptis secum scutatis atque Agrianis sagittariisque et Perdiccæ ac Cœni copiis. (10) Jusseratque ut reliquus exercitus subsequeretur. Ut vero tempus illi commodum irruptioni faciendæ visum est, non exspectato reliquorum adventu, sagittarios et Agrianos immittit. Qui quum præter omnem exspectationem in illos irruerent, et phalanx ad cornu qua debiliores erant validiorem acrioremque impetum faceret, alios in lectis adhuc decumbentes interficiunt, alios fugientes facile capiunt, adeo ut multi in ipso illo loco oppressi, multi in inordinata trepidaque fuga cæsi sint, nec pauci etiam vivi in potestatem venerint. (11) Alexander fugientes ad Taulantiorum montes usque persequutus est. Quotquot vero tandem effugerunt, abjectis armis evaserunt. Clitus, qui in urbem primo confugerat, ea incensa, ad Glauciam in Taulantios abiit.

ΚΕΦ. Ζ'.

Ἐν τούτῳ δὲ τῶν φυγάδων τινὲς τῶν ἐκ Θηβῶν φευγόντων νύκτωρ ἐς τὰς Θήβας, ἐπαγομένων τινῶν αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως, Ἀμύνταν μὲν καὶ Τιμόλαον τῶν τὴν Καδμείαν ἐχόντων οὐδὲν ὑποτοπήσαντας πολέμιον ἔξω τῆς Καδμείας ἀπέκτειναν ξυλλαβόντες· (2) ἐς δὲ τὴν ἐκκλησίαν παρελθόντες ἐπῆραν τοὺς Θηβαίους ἀποστῆναι ἀπὸ Ἀλεξάνδρου, ἐλευθερίαν τε προϊσχόμενοι, παλαιὰ καὶ καλὰ ὀνόματα, καὶ τῆς βαρύτητος τῶν Μακεδόνων ἤδη ποτὲ ἀπαλλαγῆναι. Πιθανώτεροι δὲ ἐς τὸ πλῆθος ἐφαίνοντο, πεθνηκέναι Ἀλέξανδρον ἰσχυριζόμενοι ἐν Ἰλλυριοῖς· (3)

CAP. VII.

Dum hæc geruntur, profugorum qui ex Thebis fugerant nonnulli noctu urbem ingressi ac per cives aliquot ad novandas res sollicitati Amyntam et Timolaum, qui erant ex illis qui Cadmeam obtinebant, nihil hostile suspicantes, extra arcem comprehensos trucidant. (2) Deinde in concionem prodeuntes, Thebanos ad defectionem ab Alexandro moliendam concitarunt, libertatis vetustum speciosumque nomen allegantes : utque sese a gravi Macedonum imperio tandem aliquando assererent. Quod quidem eo facilius multitudini persuaserunt, quum Alexandrum apud Illyrios vita functum constanter affirmarent. (3) Nam et frequens

καὶ γὰρ καὶ πολὺς ὁ λόγος οὗτος καὶ παρὰ πολλῶν ἐφοίτα, ὅτι τε χρόνον ἀπῆν οὐκ ὀλίγον καὶ ὅτι οὐδεμία ἀγγελία παρ' αὐτοῦ ἀφῖκτο, ὥστε, ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε, οὐ γινώσκοντες τὰ ὄντα τὰ μάλιστα καθ' ἡδονήν σφισιν εἶκαζον.

4. Πυθομένῳ δὲ Ἀλεξάνδρῳ τὰ τῶν Θηβαίων οὐδαμῶς ἐδόκει ἀμελητέα εἶναι, τήν τε τῶν Ἀθηναίων πόλιν δι' ὑποψίας ἐκ πολλοῦ ἔχοντι καὶ τῶν Θηβαίων τὸ τόλμημα οὐ φαῦλον ποιουμένῳ, εἰ Λακεδαιμόνιοί τε πάλαι ἤδη ταῖς γνώμαις ἀφεστηκότες καί τινες καὶ ἄλλοι τῶν ἐν Πελοποννήσῳ καὶ Αἰτωλοὶ οὐ βέβαιοι ὄντες συνεπιλήψονται τοῦ νεωτερισμοῦ τοῖς Θηβαίοις. (5) Ἄγων δὴ παρὰ τὴν Ἐορδαίαν τε καὶ τὴν Ἐλιμιῶτιν καὶ παρὰ τὰ τῆς Στυμφαίας καὶ Παραυαίας ἄκρα, ἑβδόμαιος ἀφικνεῖται ἐς Πελλίναν τῆς Θετταλίας. Ἔνθεν δὲ ὁρμηθεὶς ἕκτῃ ἡμέρᾳ ἐσβάλλει ἐς τὴν Βοιωτίαν, ὥστε οὐ πρόσθεν οἱ Θηβαῖοι ἔμαθον εἴσω Πυλῶν παρεληλυθότα αὐτόν, πρὶν ἐν Ὀγχηστῷ γενέσθαι ξὺν τῇ στρατιᾷ πάσῃ. (6) Καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀπόστασιν στράτευμα ἐκ Μακεδονίας Ἀντιπάτρου ἀφῖχθαι ἔφασκον, αὐτὸν δὲ Ἀλέξανδρον τεθνάναι διισχυρίζοντο, καὶ τοῖς ἀπαγγέλλουσιν ὅτι οὗτος αὐτὸς προσάγει Ἀλέξανδρος χαλεπῶς εἶχον· ἄλλον γάρ τινα ἥκειν Ἀλέξανδρον τὸν Ἀερόπου.

7. Ὁ δὲ Ἀλέξανδρος ἐξ Ὀγχηστοῦ ἅρας τῇ ὑστεραίᾳ προσῆγε πρὸς τὴν πόλιν τῶν Θηβαίων κατὰ τὸ τοῦ Ἰολάου τέμενος· οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐνδιδοὺς ἔτι τοῖς Θηβαίοις τριβήν, εἴ μεταγνόντες ἐπὶ τοῖς κακῶς ἐγνωσμένοις πρεσβεύσαιντο παρ' αὐτόν. (8) Οἱ δὲ τοσούτου ἐδέησαν ἐνδόσιμόν τι παρασχεῖν ἐς ξύμβασιν, ὥστ' ἐκθέοντες ἐκ τῆς πόλεως οἵ τε ἱππεῖς καὶ τῶν ψιλῶν οὐκ ὀλίγοι ἔστε ἐπὶ τὸ στρατόπεδον ἠκροβολίζοντο ἐς τὰς προφυλακάς, καί τινας καὶ ἀπέκτειναν οὐ πολλοὺς τῶν Μακεδόνων. (9) Καὶ Ἀλέξανδρος ἐκπέμπει τῶν ψιλῶν καὶ τοξοτῶν, ὥστ' αὐτῶν ἀναστεῖλαι τὴν ἐκδρομήν· καὶ οὗτοι οὐ χαλεπῶς ἀνέστειλαν, ἤδη τῷ στρατοπέδῳ αὐτῷ προσφερομένους. Τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν καὶ περιελθὼν κατὰ τὰς πύλας τὰς φερούσας ἐπ' Ἐλευθεράς τε καὶ τὴν Ἀττικήν, οὐδὲ τότε προσέμιξε τοῖς τείχεσιν αὐτοῖς, ἀλλ' ἐστρατοπέδευσεν οὐ πολὺ ἀπέχων τῆς Καδμείας, ὥστ' ἐγγὺς εἶναι ὠφέλειαν τῶν Μακεδόνων τοῖς τὴν Καδμείαν ἔχουσιν. (10) Οἱ γὰρ Θηβαῖοι τὴν Καδμείαν διπλῷ χάρακι ἐρρούρουν ἀποτειχίσαντες, ὡς μήτε ἔξωθέν τινα τοῖς ἐγκατειλημμένοις δύνασθαι ἐπωφελεῖν, μήτε αὐτοὺς ἐκθέοντας βλάπτειν τι σφᾶς, ὁπότε τοῖς ἔξω πολεμίοις προσφέροιντο. Ἀλέξανδρος δέ (ἔτι γὰρ τοῖς Θηβαίοις διὰ φιλίας ἐλθεῖν μᾶλλόν τι ἢ διὰ κινδύνου ἤθελε) διέτριβε πρὸς τῇ Καδμείᾳ κατεστρατοπεδευκώς. (11) Ἔνθα δὴ τῶν Θηβαίων οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γιγνώσκοντες ἐξελθεῖν ὥρμηντο παρ' Ἀλέξανδρον καὶ εὑρέσθαι συγγνώμην τῷ πλήθει τῶν Θηβαίων τῆς ἀποστάσεως· οἱ φυγάδες δὲ καὶ ὅσοι τοὺς φυγάδας ἐπικεκλημένοι ἦσαν, οὐδενὸς φιλανθρώπου τυ-

erat ea de re sermo et late spargebatur, si quidem et multo jam tempore abfuerat et nullus nuntius ab eo venerat. Quapropter, (ut in ejusmodi rebus fere fit) quum nihil certi haberent, id quod gratius ipsis esset, fingebant.

4. Alexander de Thebanorum rebus certior factus, nulla ratione negligendas eas putavit: tum quod Atheniensium urbem a multo tempore suspectam habebat, tum quod Thebanorum audaciam non levis momenti esse judicabat, si Lacedæmonii, quorum animi jampridem erant alienati, aliique nonnulli ex Peloponnesiis atque Ætoli, utpote parum constantes, Thebanorum seditioni sese conjungerent. (5) Eordæam itaque et Elimiotin rupesque Stymphææas et Parauæas cum exercitu prætergressus, septimo die Pellinam Thessaliæ urbem pervenit. Inde profectus, sexto post die Bœotiam ingressus est. Neque prius Thebani cognovere Alexandrum Pylas transiisse, quam Onchestum cum universo exercitu pervenit. (6) Ac tunc quoque, qui defectionis auctores fuerant, venisse ex Macedonia Antipatri exercitum fingebant: ipsum vero Alexandrum obiisse contendebant. Quumque nonnulli referrent quod idem ipse Alexander adventaret, indigne ferebant, alium quempiam Alexandrum Aeropi filium venire dicentes.

7. Alexander motis ab Onchesto castris, postero die propius ad Thebanam urbem juxta Iolai lucum venit. Eo loci castra fixit, Thebanis mora concessa, si forte facinoris sui pœnitentia ducti legatos ad eum mitterent. (8) Illi vero tantum abfuit ut aliquod compositionis invitamentum præberent, ut ex urbe proruentes equites et velites non pauci in ipsas usque exercitus procubias tela mitterent ac nonnullos Macedonum interficerent. (9) Alexander vicissim sagittarios levisque armaturæ milites emittit, qui illorum excursionem reprimant: parvoque negotio eos jam exercitum ipsum lacessentes represserunt. Postero die universum exercitum ad portas, quæ Eleutheras atque Atticam petunt, ducens, ne tum quidem ad muros promovit, sed haud procul a Cadmea arce locat, ut illis Macedonibus, qui Cadmeam tenebant, præsto esset. (10) Thebani enim arcem illam duplici vallo in orbem jacto sepserant ita ut neque extrinsecus quisquam subsidio venire obsessis posset, neque ipsi excurrentes, suos lædere, quando cum hostibus qui foris erant congrederentur. Alexander, qui adhuc amice rem componi, quam in discrimen adduci Thebanos malebat, in castris ad Cadmeam arcem moram trahebat. (11) Tum Thebanorum nonnulli, qui quid maxime e re publica esset norant, ad Alexandrum eundum esse censebant, et veniam defectionis multitudini implorandam. Exules vero quique illos advocarant, Alexandri benignitatem experturos se non putantes, et præ ceteris

χειν ἂν παρ' Ἀλεξάνδρου ἀξιοῦντες, ἄλλως τε καὶ βοιωταρχοῦντες ἔστιν οἳ αὐτῶν, παντάπασιν ἐνῆγον τὸ πλῆθος ἐς τὸν πόλεμον. Ἀλέξανδρος δὲ οὐδ' ὡς τῇ πόλει προσέβαλεν.

ΚΕΦ. Η'.

Ἀλλὰ λέγει Πτολεμαῖος ὁ Λάγου ὅτι Περδίκκας, προτεταγμένος τῆς φυλακῆς τοῦ στρατοπέδου σὺν τῇ αὐτοῦ τάξει καὶ τοῦ χάρακος τῶν πολεμίων οὐ πολὺ ἀφεστηκώς, οὐ προσμείνας παρ' Ἀλεξάνδρου τὸ ἐς τὴν μάχην ξύνθημα, αὐτὸς πρῶτος προσέμιξε τῷ χάρακι καὶ διασπάσας αὐτὸν ἐνέβαλεν ἐς τῶν Θηβαίων τὴν προφυλακήν. (2) Τούτῳ δὲ ἑπόμενος Ἀμύντας ὁ Ἀνδρομένους, ὅτι καὶ ξυντεταγμένος τῷ Περδίκκᾳ ἦν, ἐπήγαγε καὶ αὐτὸς τὴν αὑτοῦ τάξιν, ὡς εἶδε τὸν Περδίκκαν προεληλυθότα εἴσω τοῦ χάρακος. Ταῦτα δὲ ἰδὼν Ἀλέξανδρος, ὡς μὴ μόνοι ἀπολῃφθέντες πρὸς τῶν Θηβαίων κινδυνεύσειαν, ἐπῆγε τὴν ἄλλην στρατιάν, (3) καὶ τοὺς μὲν τοξότας καὶ τοὺς Ἀγριᾶνας ἐκθραμεῖν ἐσήμηνεν εἴσω τοῦ χάρακος, τὰ δὲ ἀγήματα καὶ τοὺς ὑπασπιστὰς ἔτι ἔξω κατεῖχεν. Ἔνθα δὴ Περδίκκας μὲν τοῦ δευτέρου χάρακος εἴσω παρελθεῖν βιαζόμενος αὐτὸς μὲν βληθεὶς πίπτει αὐτοῦ, καὶ ἀποκομίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον, καὶ χαλεπῶς διεσώθη ἀπὸ τοῦ τραύματος· τοὺς μέντοι Θηβαίους ἐς τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ Ἡράκλειον φέρουσαν οἱ ἅμα αὐτῷ εἰσπεσόντες ὁμοῦ τοῖς παρ' Ἀλεξάνδρῳ τοξόταις συνέκλεισαν. (4) Καὶ ἕστε μὲν ἐπὶ τὸ Ἡράκλειον ἀναχωροῦσιν, εἵποντο τοῖς Θηβαίοις· ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις σὺν βοῇ τῶν Θηβαίων, φυγὴ τῶν Μακεδόνων γίγνεται· καὶ Εὐρυβώτας τε ὁ Κρὴς πίπτει ὁ τοξάρχης καὶ αὐτῶν τῶν τοξοτῶν ἐς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ ἄγημα τὸ τῶν Μακεδόνων καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς. (5) Κὰν τούτῳ Ἀλέξανδρος τοὺς μὲν αὐτοῦ φεύγοντας κατιδών, τοὺς Θηβαίους δὲ λελυκότας ἐν τῇ διώξει τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένῃ τῇ φαλαγγι· οἱ δὲ ὠθοῦσι τοὺς Θηβαίους εἴσω τῶν πυλῶν· καὶ τοῖς Θηβαίοις ἐς τοσόνδε φοβερὰ ἡ φυγὴ ἐγίγνετο, ὥστε διὰ τῶν πυλῶν ὠθουμένοι ἐς τὴν πόλιν οὐκ ἔφθησαν συγκλεῖσαι τὰς πύλας· ἀλλὰ συνεισπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους ὅσοι τῶν Μακεδόνων ἐγγὺς φευγόντων εἶχοντο, ἅτε καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρήμων ὄντων. (6) Καὶ παρελθόντες εἰς τὴν Καδμείαν οἱ μὲν ἐκεῖθεν κατὰ τὸ Ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν Καδμείαν ἐξέβαινον ἐς τὴν ἄλλην πόλιν, οἱ δὲ κατὰ τὰ τείχη, ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν, ὑπερβάντες ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. (7) Καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν Θηβαίων κατὰ τὸ Ἀμφεῖον· ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ Μακεδόνες καὶ Ἀλέξανδρος ἄλλοτε ἄλλῃ ἐπιφαινόμενος προσέκειντο, οἱ μὲν ἱππεῖς τῶν Θηβαίων διεκπε-

ii, qui prætores Bœotorum erant, plebem omnibus rationibus ad bellum incitabant. Sed ne sic quidem Alexander urbem oppugnare cœpit.

CAP. VIII.

At Ptolemæus Lagi filius scribit, Perdiccam præsidii castrensis præfectum, quum ab hostium vallo non multum cum suis copiis abesset, non exspectato signo conflictus, primum in vallum impetum fecisse, eoque subverso in Thebanorum præsidium irruisse. (2) Hunc sequutum Amyntam Andromenis filium, qui conjunctas cum Perdicca copias suas habebat, simulac Perdiccam intra vallum progressum videret, suam etiam cohortem immisisse. Alexander id conspicatus, ne sui soli relicti a Thebanis circumvenirentur, reliquum exercitum invexit: (3) et sagittariis quidem atque Agrianis intra vallum ire jussis, agema etiamnum et scutatos extra vallum continet. Ibi Perdiccas, dum interius alterum vallum penetrare conatur, telo ictus procidit, et graviter saucius in castra defertur: atque ægre ex eo vulnere curatus est. Ac Thebanos quidem ii qui cum Perdicca vallum perruperant, una cum Alexandri sagittariis, in cavam viam, quæ ad Herculis templum fert, concludunt: (4) et quamdiu templum versus se recipiunt, persequuntur: sed inde conversis rursum cum clamore Thebanis, Macedones se in fugam conjiciunt; atque Eurybotas Cretensis sagittariorum præfectus cadit, et ipsorum sagittariorum circiter septuaginta; reliqui ad agema Macedonum et scutatos regios confugerunt. (5) Alexander suos fugientes, Thebanos vero solutis ordinibus persequentes videns, instructa phalange in eos fertur, eosque intra portas præcipites agit. Tantus autem fugientium metus ac perturbatio erat, ut quum per portas in urbem repellerentur, ne de claudendis quidem portis cogitarent: sed quotquot Macedones fugientibus imminebant, una cum ipsis intra muros sese conjicerent: quippe quod muri, ob frequentia præsidia, propugnatoribus vacui erant. (6) Quumque ad Cadmeam arcem progrederentur, alii quidem inde, secus Amphionis templum, una cum iis qui Cadmeam arcem occupabant, in aliam urbis partem exierunt; alii secus mœnia quæ jam ab iis qui una cum fugientibus illapsi in urbem erant, tenebantur, transcendentes cursim ad forum ferebantur. (7) Ac Thebani quidem qui ad Amphionis templum in statione erant, aliquamdiu substitere: postremo quum ex omni parte Alexander cum Macedonibus superveniens premeret, equi-

σόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον ἐξέπιπτον, οἱ δὲ πεζοὶ ὡς ἑκάστοις προὐχώρει ἐσώζοντο. (8) Ἔνθα δὴ ὀργῇ οὐχ οὕτως τι οἱ Μακεδόνες, ἀλλὰ Φωκεῖς τε καὶ Πλαταιεῖς καὶ οἱ ἄλλοι δὲ Βοιωτοὶ οὐδὲ ἀμυνομένους ἔτι τοὺς Θηβαίους οὐδενὶ κόσμῳ ἔκτεινον, τοὺς μὲν ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, οὓς δὲ καὶ ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ καὶ πρὸς ἱεροῖς ἱκετεύοντας, οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι.

ΚΕΦ. Θ'.

Καὶ πάθος τοῦτο Ἑλληνικὸν μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ καὶ τῷ παραλόγῳ ἔς τε τοὺς παθόντας καὶ τοὺς δράσαντας, οὐ μεῖόν τι τοὺς ἄλλους Ἕλληνας ἢ καὶ αὐτοὺς τοὺς μετασχόντας τοῦ ἔργου ἐξέπληξε. (2) Τὰ μὲν γὰρ περὶ Σικελίαν Ἀθηναίοις ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομένων οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἤνεγκεν, ἀλλὰ τῷ τε πόρρω ἀπὸ τῆς οἰκείας διαφθαρῆναι αὐτοῖς τὸν στρατόν, καὶ τὸν πολὺν ξυμμαχικὸν μᾶλλον ἢ οἰκεῖον ὄντα, καὶ τῷ τὴν πόλιν αὐτοῖς περιλειφθῆναι, ὡς καὶ ἐς ὕστερον ἐπὶ πολὺ τῷ πολέμῳ ἀντισχεῖν Λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ μεγάλῳ βασιλεῖ πολεμοῦντας, οὔτε αὐτοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς ξυμφορᾶς προσέθηκεν, οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε. (3) Καὶ τὸ ἐν Αἰγὸς ποταμοῖς αὖθις Ἀθηναίων πταῖσμα ναυτικόν τε ἦν καὶ ἡ πόλις οὐδὲν ἄλλο ὅτι μὴ τῶν μακρῶν τειχῶν καθαιρέσει καὶ νεῶν τῶν πολλῶν παραδόσει καὶ στερήσει τῆς ἀρχῆς ἐς ταπεινότητα ἀφικομένη, τό τε σχῆμα τὸ πάτριον ὅμως ἐφύλαξε καὶ τὴν δύναμιν οὐ διὰ μακροῦ τὴν πάλαι ἀνέλαβεν, ὡς τά τε μακρὰ τείχη ἐκτειχίσαι καὶ τῆς θαλάσσης αὖθις ἐπικρατῆσαι καὶ τοὺς τότε φοβερούς σφισι Λακεδαιμονίους καὶ παρ' ὀλίγον ἐλθόντας ἀφανίσαι τὴν πόλιν αὐτοὺς ἐν τῷ μέρει ἐκ τῶν ἐσχάτων κινδύνων διασώσασθαι. (4) Λακεδαιμονίων τε αὖ τὸ κατὰ Λεῦκτρα καὶ Μαντίνειαν πταῖσμα τῷ παραλόγῳ μᾶλλόν τι τῆς ξυμφορᾶς ἢ τῷ πλήθει τῶν γε ἀπολομένων τοὺς Λακεδαιμονίους ἐξέπληξεν· ἥ τε ξὺν Ἐπαμεινώνδᾳ Βοιωτῶν καὶ Ἀρκάδων γενομένη προσβολὴ πρὸς τὴν Σπάρτην καὶ αὐτὴ τῷ ἀήθει τῆς ὄψεως μᾶλλον ἢ τῇ ἀκριβείᾳ τῶν κινδύνων αὐτούς τε τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε πραγμάτων ἐφόβησεν. (5) Ἡ δὲ δὴ Πλαταιέων ἅλωσις τῆς πόλεως τῇ σμικρότητι τῶν ἐγκαταληφθέντων, ὅτι οἱ πολλοὶ αὐτῶν διαπεφεύγεσαν πάλαι ἐς τὰς Ἀθήνας, οὐ μέγα πάθημα ἐγένετο, καὶ ἡ Μήλου καὶ Σκιώνης ἅλωσις, νησιωτικά τε πολίσματα ἦν καὶ τοῖς δράσασιν αἰσχύνην μᾶλλόν τι προσέβαλεν ἢ ἐς τὸ ξύμπαν Ἑλληνικὸν μέγαν τὸν παράλογον παρέσχε.

6. Θηβαίοις δὲ τὰ τῆς ἀποστάσεως ὀξέα καὶ ξὺν οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι' ὀλίγου τε

tes Thebani evadentes per urbem in campos procurrerunt : peditum, ut quisque potuit, salutem sibi quaesivit. (8) At vero ira perciti non tam Macedones, quam Phocenses et Platæenses et reliqui Bœoti Thebanos non jam resistentes, nullo modo adhibito, trucidant : alios, irruptione in eorum ædes facta : alios ad vim conversos, alios in locis sacris supplices : neque mulieribus neque pueris parcentes.

CAP. IX.

Clades ista Græcanica, cum magnitudine urbis captæ, tum celeritate rei, quodque adeo præter opinionem tam eorum qui passi eam erant quam qui intulerant, accidisset, non minus alios Græcos, quam eos qui rei gestæ interfuerant, perculsos tenuit. (2) Namque Atheniensium clades apud Siciliam accepta, tametsi interfectorum numero non minorem calamitatem urbi attulit : tamen quoniam procul a domo exercitus perierat; isque potius ex auxiliaribus quam domesticis copiis conscriptus fuerat; quodque urbs illis salva relicta erat, qua in posterum cum Lacedæmoniis eorumque sociis et magno rege bellum gerentes diu resistere poterant : neque ipsis tantum calamitatis sensum inflixit, neque reliquis Græcis parem cladis admirationem consternationemque incussit. (3) Rursus alia Atheniensium ad Ægos potamos clades navalis fuit : at urbs nulla alia calamitate accepta, præterquam quod longi muri diruti pleræque naves traditæ et adempto imperio civitas in humilem statum redacta est, formam tamen reipublicæ patriam retinuit, pristinamque potestatem exiguo tempore post recepit, ita ut et longos muros instaurarit, et maris imperium recuperarit, utque Lacedæmonios, qui tum temporis maxime formidabiles ipsis erant et parum aberat quin urbem everterent, ipsi vicissim e summis periculis conservarint. (4) At Lacedæmoniorum ad Leuctra ac Mantineam clades inopinato potius calamitatis eventu, quam cæsorum multitudine Lacedæmonios perterruit. Sed et Bœotorum et Arcadum sub Epaminonda duce in Spartam urbem impetus insolentia spectaculi potius, quam magnitudine periculi et Lacedæmonios et alios, ad quos infortunium illud communiter pertinebat, perculit. (5) Platæensium denique urbis expugnatio ob paucitatem captorum (pleriquo enim multo ante Athenas profugerant) minus calamitosa fuit. Porro Melus et Scione insularia oppidula capta dedecus potius victoribus quam Græcis universis magnam admirationem attulere

6. At Thebanorum repentina atque inconsiderata defectio ejusque adeo brevis ac facilis expugnatio, strages etiam

καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ φόνος πολύς, οἷα δὴ ἐξ ὁμοφύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμός, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια τῶν τότε προεχούσης ἐν τοῖς Ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος ἐς μῆνιν τὴν ἀπὸ τοῦ θείου ἀνηνέχθη, (7) ὡς τῆς τε ἐν τῷ Μηδικῷ πολέμῳ προδοσίας τῶν Ἑλλήνων διὰ μακροῦ ταύτην δίκην ἐκτίσαντας Θηβαίους, καὶ τῆς Πλαταιέων ἔν τε ταῖς σπονδαῖς καταλήψεως καὶ τοῦ παντελοῦς ἀνδραποδισμοῦ τῆς πόλεως, καὶ τῆς τῶν παραδόντων σφᾶς αὐτοὺς Λακεδαιμονίοις οὐχ Ἑλληνικῆς γενομένης διὰ Θηβαίους σφαγῆς, καὶ τοῦ χωρίου τῆς ἐρημώσεως ἐν ὅτῳ οἱ Ἕλληνες παραταξάμενοι Μήδοις ἀπώσαντο τῆς Ἑλλάδος τὸν κίνδυνον, καὶ ὅτι Ἀθηναίους αὐτοὶ τῇ ψήφῳ ἀπώλλυον, ὅτε ὑπὲρ ἀνδραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς Λακεδαιμονίων ξυμμάχοις· (8) ἐπεὶ καὶ πρὸ τῆς ξυμφορᾶς πολλὰ ἀπὸ τοῦ θείου ἐπισημῆναι ἐλέγετο, ἃ δὴ ἐν μὲν τῷ παραυτίκα ἠμελήθη, ὕστερον δὲ ἡ μνήμη αὐτὰ ἐς λογισμὸν τοῦ ἐκπάλαι ἐπὶ τοῖς ξυνενεχθεῖσι προσημανθῆναι ἀνήνεγκε.

9. Τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, οἷς δὴ καὶ ἐπέτρεψεν Ἀλέξανδρος τὰ κατὰ τὰς Θήβας διαθεῖναι, τὴν μὲν Καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πόλιν δὲ κατασκάψαι εἰς ἔδαφος, καὶ τὴν χώραν κατανεῖμαι τοῖς ξυμμάχοις ὅση μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖκας καὶ ὅσοι ὑπελείποντο Θηβαίων, πλὴν τῶν ἱερέων τε καὶ ἱερειῶν καὶ ὅσοι ξένοι Φιλίππου ἢ Ἀλεξάνδρου ἢ ὅσοι πρόξενοι Μακεδόνων ἐγένοντο, ἀνδραποδίσαι. (10) Καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι διεφύλαξεν Ἀλέξανδρος αἰδοῖ τῇ Πινδάρου. Ἐπὶ τούτοις Ὀρχομενόν τε καὶ Πλαταιὰς ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξύμμαχοι ἔγνωσαν.

multa, utpote a tribulibus, et quidem iis veteres inimicitias persequentibus, edita, totius denique urbis direptio, quæ potentia bellicaque gloria inter Græciæ civitates eminebat, haud immerito ad divini numinis iram referebatur : (7) nimirum, sero ta dem pœnas exigentis de Thebanis, quod Medico bello Græcos prodidissent : quod Platæenses violatis induciis oppressissent urbemque eorum penitus diripuissent : quod eos qui se Lacedæmoniis dedissent, præter Græcorum morem trucidassent : quodque eam civitatem vastassent, ad quam Græci in Medos aciem instruentes, periculum a Græcia avertissent : quodque Athenienses suo suffragio perdidissent, quum inter Lacedæmoniorum confœderatos de diripienda urbe consultaretur. (8) Ac sane etiam ante illam urbis calamitatem multis prodigiis divinitus editis monitos eos fuisse ferunt, quæ quidem tum temporis negligebantur : postea vero recordatio ea retulit ad opinionem, illa quæ tunc evenissent, iis prodigiis olim significata fuisse.

9. Auxiliaribus copiis, quibus Alexander ob præstitam in ea expugnatione operam, de rebus urbis pro suo arbitratu statuere permiserat, Cadmeam arcem præsidio firmandam et urbem solo æquandam esse visum est; ad hæc agros, nisi qui sacri essent, inter socios distribuendos; pueros et fœminas, ac quotquot Thebanorum superstites essent, exceptis sacerdotibus utriusque sexus, atque privatis Philippi aut Alexandri et publicis Macedonum hospitibus, in servitutem redigendos. (10) Pindari vero poetæ domum ejusque stirpem ab Alexandro, Pindari reverentia ducto, conservatam ferunt. Orchomenum et Platæas socii Alexandri instaurandas et muro cingendas decreverunt.

ΚΕΦ. Ι'.

Ἐς δὲ τοὺς ἄλλους Ἕλληνας ὡς ἐξηγγέλθη τῶν Θηβαίων τὸ πάθος, Ἀρκάδες μέν, ὅσοι βοηθήσοντες Θηβαίοις ἀπὸ τῆς οἰκείας ὡρμήθησαν, θάνατον κατεψηφίσαντο τῶν ἐπαράντων σφᾶς ἐς τὴν βοήθειαν· Ἠλεῖοι δὲ τοὺς φυγάδας σφῶν κατεδέξαντο, ὅτι ἐπιτήδειοι Ἀλεξάνδρῳ ἦσαν· (2) Αἰτωλοὶ δὲ πρεσβείας σφῶν κατὰ ἔθνη πέμψαντες ξυγγνώμης τυχεῖν ἐδέοντο, ὅτι καὶ αὐτοί τι πρὸς τὰ παρὰ τῶν Θηβαίων ἀπαγγελθέντα ἐνεωτέρισαν. Ἀθηναῖοι δέ, μυστηρίων τῶν μεγάλων ἀγομένων ὡς ἦκόν τινες τῶν Θηβαίων ἐξ αὐτοῦ τοῦ ἔργου, τὰ μὲν μυστήρια ἐκπλαγέντες ἐξέλιπον, ἐκ δὲ τῶν ἀγρῶν ἐσκευαγώγουν ἐς τὴν πόλιν. (3) Ὁ δῆμος δὲ ἐς ἐκκλησίαν συνελθὼν Δημάδου γράψαντος δέκα πρέσβεις ἐκ πάντων τῶν Ἀθηναίων ἐπιλεξάμενος πέμπει παρὰ Ἀλέξανδρον οὕστινας ἐπιτηδειοτάτους Ἀλεξάνδρῳ ἐγίγνωσκον, ὅτι τε σῶος ἐξ Ἰλλυριῶν καὶ Τριβαλλῶν ἐπανῆλθε χαίρειν τὸν δῆμον τῶν Ἀθηναίων οὐκ ἐν καιρῷ ἀπαγ-

CAP. X.

Postquam ad reliquos Græcos Thebanorum clades perlata est, Arcades, quotquot Thebanis suppetias laturi domo profecti erant, in eos qui subsidii mittendi auctores ipsis fuerant, mortis sententiam ferunt. Elei exules suos, quod Alexandro cari essent, recipiunt. (2) Ætolorum urbes sigillatim legatos ad Alexandrum mittunt, veniam deprecantes, quod et ipsi nuntiata Thebanorum defectione novis rebus studuissent. Athenienses vero quum per id tempus magna mysteria celebrarent et Thebanorum nonnulli ex recenti clade eo venissent, attoniti mysteria intermittunt et sarcinas ex agris in urbem convehunt. (3) Deinde populo in concionem vocato, Demadis rogatu decem legatos ex omnibus Atheniensibus selectos, quoscunque maxime gratos ei fore putabant, ad Alexandrum mittunt : qui quod ab Illyriis et Triballis incolumis redliisset, publicam ei Atheniensium lætitiam quamvis non tem-

γελοῦντας, καὶ ὅτι Θηβαίους τοῦ νεωτερισμοῦ ἐτιμωρήσατο. (4) Ὁ δὲ τὰ μὲν ἄλλα φιλανθρώπως πρὸς τὴν πρεσβείαν ἀπεκρίνατο, ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον ἐξήτει τοὺς ἀμφὶ Δημοσθένην καὶ Λυκοῦργον καὶ Ὑπερείδην δὲ ἐξήτει καὶ Πολύευκτον καὶ Χάρητα καὶ Χαρίδημον καὶ Ἐριάλτην καὶ Διότιμον καὶ Μοιροκλέα· (5) τούτους γὰρ αἰτίους εἶναι τῆς τε ἐν Χαιρωνείᾳ ξυμφορᾶς τῇ πόλει γενομένης καὶ τῶν ὕστερον ἐπὶ τῇ Φιλίππου τελευτῇ πλημμεληθέντων ἐς τε αὐτὸν καὶ ἐς Φίλιππον· καὶ Θηβαίοις δὲ τῆς ἀποστάσεως ἀπέφαινεν αἰτίους οὐ μεῖον ἢ τοὺς αὐτῶν Θηβαίων νεωτερίσαντας. (6) Ἀθηναῖοι δὲ τοὺς μὲν ἄνδρας οὐκ ἐξέδοσαν, πρεσβεύονται δὲ αὖθις παρὰ Ἀλέξανδρον, ἀφεῖναι δεόμενοι τὴν ὀργὴν τοῖς ἐξαιτηθεῖσι· καὶ Ἀλέξανδρος ἀφῆκε, τυχὸν μὲν αἰδοῖ τῆς πόλεως, τυχὸν δὲ σπουδῇ τοῦ ἐς τὴν Ἀσίαν στόλου, οὐκ ἐθέλων οὐδὲν ὕποπτον ἐν τοῖς Ἕλλησιν ὑπολείπεσθαι. Χαρίδημον μέντοι, μόνον τῶν ἐξαιτηθέντων τε καὶ οὐ δοθέντων, φεύγειν ἐκέλευσε· καὶ φεύγει Χαρίδημος ἐς τὴν Ἀσίαν παρὰ βασιλέα Δαρεῖον.

ΚΕΦ. ΙΑ'.

Ταῦτα δὲ διαπραξάμενος ἐπανῆλθεν εἰς Μακεδονίαν· καὶ τῷ τε Διὶ τῷ Ὀλυμπίῳ τὴν θυσίαν τὴν ἀπ' Ἀρχελάου ἔτι καθεστῶσαν ἔθυσε καὶ τὸν ἀγῶνα ἐν Αἰγαῖς διέθηκε τὰ Ὀλύμπια· οἱ δὲ καὶ ταῖς Μούσαις λέγουσιν ὅτι ἀγῶνα ἐποίησε. (2) Καὶ ἐν τούτῳ ἀγγέλλεται τὸ Ὀρφέως τοῦ Οἰάγρου τοῦ Θρᾳκὸς ἄγαλμα τὸ ἐν Πιερίδι ἱδρῶσαι ξυνεχῶς· καὶ ἄλλοι ἄλλα ἐπεθείαζον τῶν μάντεων. Ἀρίστανδρος δὲ, ἀνὴρ Τελμισσεύς, μάντις, θαρρεῖν ἐκέλευσεν Ἀλέξανδρον· δηλοῦσθαι γὰρ ὅτι ποιηταῖς ἐπῶν τε καὶ μελῶν καὶ ὅσοι ἀμφὶ ᾠδὴν ἔχουσι πολὺς πόνος ἔσται ποιεῖν τε καὶ ᾄδειν Ἀλέξανδρον καὶ τὰ Ἀλεξάνδρου ἔργα.

3. Ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ Μακεδονίαν τε καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας, αὐτὸς δὲ ἄγων πεζοὺς μὲν σὺν ψιλοῖς τε καὶ τοξόταις οὐ πολλῷ πλείους τῶν τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. Ἦν δὲ αὐτῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν Κερκινῖτιν ὡς ἐπ' Ἀμφίπολιν καὶ τοῦ Στρυμόνος ποταμοῦ τὰς ἐκβολάς. (4) Διαβὰς δὲ τὸν Στρυμόνα παρήμειβε τὸ Πάγγαιον ὄρος τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν, πόλεις Ἑλληνίδας ἐπὶ θαλάσσῃ ᾠκισμένας. Ἔνθεν δὲ ἐπὶ τὸν Ἕβρον ποταμὸν ἀφικόμενος, διαβαίνει καὶ τὸν Ἕβρον εὐπετῶς. Ἐκεῖθεν δὲ διὰ τῆς Παιτικῆς ἐπὶ τὸν Μέλανα ποταμὸν ἔρχεται. (5) Διαβὰς δὲ καὶ τὸν Μέλανα ἐς Σηστὸν ἀφικνεῖται ἐν εἴκοσι ταῖς πάσαις ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως. Ἐλθὼν δὲ ἐς Ἐλαιοῦντα θύει Πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ τοῦ Πρωτεσιλάου, ὅτι καὶ Πρωτεσίλαος πρῶτος ἐδόκει ἐκβῆναι ἐς τὴν Ἀσίαν τῶν Ἑλλήνων τῶν ἅμα Ἀγαμέμνονι ἐς Ἴλιον στρατευσάν-

pestive significarent : quodque Thebanorum seditionem ultus esset. (4) Alexander, quoad cetera humaniter ad eorum legationem respondens, epistolam ad populum Atheniensem scripsit, qua Demosthenem, Lycurgum, Hyperidem, Polyeuctum, Charetem, Charidemum, Ephialtem, Diotimum et Mœroclem sibi tradi postulabat. (5) Hos enim auctores cladis Chæronensis esse statuebat, omniumque facinorum quæ deinceps sub Philippi obitum adversus se pariter et illum tentata fuissent : Thebanos denique non minus ab hisce, quam ab iis qui in urbe res novas moliti essent, ad defectionem sollicitatos esse. (6) Athenienses eos quos poscebat non dederunt, sed alios rursum legatos ad eum mittunt, iram adversus eos quos ad supplicium deposcebat ut remittat orantes. Quod quidem fecit, sive reverentia urbis, sive studio trajiciendi in Asiam, nihil suspectum in Græcia relinquere volens. Unum Charidemum ex omnibus quos poposcerat et qui dediti non erant exulare jussit. Charidemus in Asiam ad Darium regem profugit.

CAP. XI.

His rebus gestis in Macedoniam reversus, Jovi Olympico sacrum fecit jam antea ab Archelao institutum, et certamen Olympicum apud Ægas fieri curavit. Sunt qui et Musis ludos fecisse dicant. (2) Per id tempus nuntiatum est Orphei, Œagri filii, Thracis, statuam in Pieria continue sudasse. Varia fuit vatum de hoc prodigio sententia : Aristander vero Telmisseus, vates, Alexandrum bono animo esse jubet ; significari enim, poetas epicos et lyricos et quotquot carmina tractent magnopere laboraturos in Alexandro ejusque rebus gestis describendis atque decantandis.

3. Dehinc ineunte vere ad Hellespontum movit, Macedoniæ et Græciæ administratione Antipatro commissa. Ipse peditum, una cum militibus levis armaturæ et sagittariis non multo plures quam triginta millia, equitum ultra quinque millia secum ducit. Iter ei fuit juxta lacum Cercinitem Amphipolin versus, deinde ad Strymonis fluvii ostia. (4) Trajecto Strymone, Pangæum montem præteriit via, quæ Abderam et Maroneam, Græcas urbes ad mare sitas, ducit. Inde ad Hebrum flumen profectus : quo haud difficulter transmisso, per Pæticam regionem ad Melana fluvium venit : (5) eoque etiam trajecto, vigesimo postquam domo discesserat die Sestum attigit. Inde Elæunta profectus, Protesilao super ipsius tumulum sacrificat : quod Protesilaus creditur Græcorum, qui cum Agamemnone adversus Ilium militarunt, primus

των· καὶ ὁ νοῦς τῆς θυσίας ἦν ἐπιτυχεστέραν οἱ γενέσθαι ἢ Πρωτεσιλάῳ τὴν ἀπόβασιν.

6. Παρμενίωνα μὲν δὴ τῶν πεζῶν τοὺς πολλοὺς καὶ τὴν ἵππον διαβιβάσαι ἐτάχθη ἐκ Σηστοῦ ἐς Ἄβυδον· καὶ διέβησαν ἐν τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολλοῖς στρογγύλοις. Ἀλέξανδρον δὲ ἐξ Ἐλαιοῦντος ἐς τὸν Ἀχαιῶν λιμένα κατᾶραι ὁ πλείων λόγος κατέχει, καὶ αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν, καὶ ἐπειδὴ κατὰ μέσον τὸν πόρον τοῦ Ἑλλησπόντου ἐγένετο, σφάξαντα ταῦρον τῷ Ποσειδῶνι καὶ Νηρηΐσι σπένδειν ἐκ χρυσῆς φιάλης ἐς τὸν πόντον. (7) Λέγουσι δὲ καὶ πρῶτον ἐκ τῆς νεὼς σὺν τοῖς ὅπλοις ἐκβῆναι αὐτὸν ἐς τὴν γῆν τὴν Ἀσίαν, καὶ βωμοὺς ἱδρύσασθαι, ὅθεν τε ἐστάλη ἐκ τῆς Εὐρώπης καὶ ὅπου ἐξέβη τῆς Ἀσίας, Διὸς ἀποβατηρίου καὶ Ἀθηνᾶς καὶ Ἡρακλέους· ἀνελθόντα δὲ ἐς Ἴλιον τῇ τε Ἀθηνᾷ θῦσαι τῇ Ἰλιάδι, καὶ τὴν πανοπλίαν τὴν αὐτοῦ ἀναθεῖναι ἐς τὸν νεών, καὶ καθελεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ Τρωϊκοῦ ἔργου σωζόμενα. (8) Καὶ ταῦτα λέγουσιν ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ αὐτοῦ ἐς τὰς μάχας. Θῦσαι δὲ αὐτὸν καὶ Πριάμῳ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ Ἑρκείου λόγος κατέχει, μῆνιν Πριάμου παραιτούμενον τῷ Νεοπτολέμου γένει, ὃ δὴ ἐς αὐτὸν καθῆκεν.

ΚΕΦ. ΙΒ'.

Ἀνιόντα δ' αὐτὸν ἐς Ἴλιον Μενοίτιός τε ὁ κυβερνήτης χρυσῷ στεφάνῳ ἐστεφάνωσε καὶ ἐπὶ τούτῳ Χάρης ὁ Ἀθηναῖος ἐκ Σιγείου ἐλθὼν καί τινες καὶ ἄλλοι, οἱ μὲν Ἕλληνες, οἱ δὲ ἐπιχώριοι. Ἡφαιστίωνα δὲ λέγουσιν ὅτι τοῦ Πατρόκλου τὸν τάφον ἐστεφάνωσεν· οἱ δέ, ὅτι καὶ τὸν Ἀχιλλέως [ἄρα] τάφον ἐστεφάνωσε· καὶ εὐδαιμόνισεν ἄρα, ὡς ὁ λόγος, Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχε. (2) Καὶ μέντοι καὶ ἦν Ἀλεξάνδρῳ οὐχ ἥκιστα τούτου ἕνεκα εὐδαιμονιστέος Ἀχιλλεύς, ὅτι αὐτῷ γε Ἀλεξάνδρῳ, οὐ κατὰ τὴν ἄλλην ἐπιτυχίαν, τὸ χωρίον τοῦτο ἐκλιπὲς ξυνέβη οὐδὲ ἐξηνέχθη ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα ἐπαξίως· οὔτ' οὖν καταλογάδην οὔτε τις ἐν μέτρῳ ἐποίησεν, ἀλλ' οὐδὲ ἐν μέλει ἤσθη Ἀλέξανδρος, ἐν ὅτῳ Ἱέρων τε καὶ Γέλων καὶ Θήρων καὶ πολλοὶ ἄλλοι οὐδέν τι Ἀλεξάνδρῳ ἐπεοικότες, ὥστε πολὺ μεῖον γιγνώσκεται τὰ Ἀλεξάνδρου ἢ τὰ φαυλότατα τῶν πάλαι ἔργων· (3) ὁπότε καὶ ἡ τῶν μυρίων σὺν Κύρῳ ἄνοδος ἐπὶ βασιλέα Ἀρταξέρξην καὶ τὰ Κλεάρχου τε καὶ τῶν ἅμα αὐτῷ ἁλόντων παθήματα καὶ ἡ κατάβασις αὐτῶν ἐκείνων, ἣν Ξενοφῶν αὐτοὺς κατήγαγε, πολύ τι ἐπιφανέστερα ἐς ἀνθρώπους Ξενοφῶντος ἕνεκά ἐστιν ἢ Ἀλέξανδρός τε καὶ τὰ Ἀλεξάνδρου ἔργα. (4) Καίτοι Ἀλέξανδρος οὔτε ξὺν ἄλλῳ ἐστράτευσεν, οὔτε φεύγων μέγαν βασιλέα τοὺς τῇ καθόδῳ τῇ ἐπὶ θάλατταν ἐμποδὼν γιγνομένους ἐκράτησεν· ἀλλ' οὐκ ἔστιν ὅστις ἄλλος εἷς ἀνὴρ

in Asiam pedem intulisse. Sacrificii vero sensus hic erat, ut felicior ipsi quam Protesilao descensus in Asiam esset.

6. Parmenioni Alexander peditatus magnam partem et equitatum ex Sesto in Abydum trajiciendi negotium dat: qui quidem triremibus centum et sexaginta, aliisque navibus onerariis quamplurimis transvecti sunt. Alexandrum ex Elæunte in Achæorum portum navigasse plurimi scribunt, et ipsummet navis prætoriæ gubernatorem fuisse: quumque in medio Hellesponto versaretur, taurum Neptuno ac Nereidibus mactasse, et ex aurea phiala in mare libasse. (7) Ferunt etiam, primum ex nave cum armis in Asiæ terram descendisse, altariaque struxisse ibi unde ex Europa solvit, et in eo Asiæ loco in quem descendit Jovi descensori, Minervæ et Herculi. Quumque in Ilium venisset, Palladi Iliacæ sacrificasse: universisque armis, quibus uti soleret, in ejus templo fixis, sumpsisse eorum loco sacra quædam arma, quæ ex Trojano bello adhuc salva erant: (8) quæ quidem arma scutatos ante ipsum in prælium gestare solitos narrant. Sacrificasse etiam cum Priamo ad Jovis Hercii aram fama est, ut Priami iram adversus Neoptolemi progeniem, quæ ad ipsum pertinebat, deprecaretur.

CAP. XII.

Porro Alexandro Ilium versus adscendenti Menœtius gubernator auream coronam imposuit: post hunc Chares Atheniensis, qui ex Sigeo venerat, atque alii nonnulli, partim Græci, partim indigenæ. Ab Hephæstione vero Patrocli tumulum coronatum esse narrant. Sunt qui Alexandrum etiam Achillis tumulum coronasse dicant: et felicem quidem, ut fama est, nominavit Achillem quod Homerum præconem ad perpetuandam suam memoriam nactus esset. (2) Neque vero immerito hac de causa Alexandro felix censendus Achilles visus est: quum hoc unum ad reliquam Alexandri felicitatem deesse contigerit. Neque enim ejus gesta pro dignitate memoriæ prodita sunt, neque quisquam ea aut soluta oratione aut versu conscripsit, aut lyrico carmine cecinit, quemadmodum Hieronis, Gelonis, Theronis aliorumque multorum qui Alexandro comparandi non sunt. Quo factum est ut minus notæ sint Alexandri res præclare gestæ, quam aliorum veterum vulgaria facta. (3) Siquidem illa decem millium cum Cyro adversus Artaxerxem expeditio, et Clearchi atque eorum qui cum eo capti fuerunt clades, et eorundem Xenophonte duce reditus, illustriora apud homines Xenophontis opera sunt effecta, quam Alexander ejusque res gestæ. (4) Attamen Alexander neque cum altero expeditionem fecit, neque magnum regem fugiens, eos qui descensui ad mare impedimento erant vicit: neque quisquam est mortalium qui solus tam præ-

τοσαῦτα ἢ τηλικαῦτα ἔργα κατὰ πλῆθος ἢ μέγεθος ἐν Ἕλλησιν ἢ βαρβάροις ἀπεδείξατο. Ἔνθεν καὶ αὐτὸς ὁρμηθῆναί φημι ἐς τήνδε τὴν ξυγγραφήν, οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστήσειν ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα. (5) Ὅστις δὲ ὢν ταῦτα ὑπὲρ ἐμαυτοῦ γιγνώσκω, τὸ μὲν ὄνομα οὐδὲν δέομαι ἀναγράψαι, οὐδὲ γὰρ οὐδὲ ἄγνωστον ἐς ἀνθρώπους ἐστίν, οὐδὲ πατρίδα ἤτις μοί ἐστιν οὐδὲ γένος τὸ ἐμόν, οὐδὲ εἰ δή τινα ἀρχὴν ἐν τῇ ἐμαυτοῦ ἦρξα· ἀλλ' ἐκεῖνο ἀναγράφω, ὅτι ἐμοὶ πατρίς τε καὶ γένος καὶ ἀρχαὶ οἵδε οἱ λόγοι εἰσί τε καὶ ἀπὸ νέου ἔτι ἐγένοντο. Καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ ἐμαυτὸν τῶν πρώτων ἐν τῇ φωνῇ τῇ Ἑλλάδι, εἴπερ οὖν καὶ Ἀλέξανδρος τῶν ἐν τοῖς ὅπλοις.

6. Ἐξ Ἰλίου δὲ ἐς Ἀρίσβην ἦκεν, οὗ πᾶσα ἡ δύναμις αὐτῷ διαβεβηκυῖα τὸν Ἑλλήσποντον ἐστρατοπεδεύκει, καὶ τῇ ὑστεραίᾳ ἐς Περκώτην· τῇ δὲ ἄλλῃ Λάμψακον παραμείψας πρὸς τῷ Πρακτίῳ ποταμῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν ὀρῶν Ἰδαίων ἐκδιδοῖ ἐς θάλασσαν τὴν μεταξὺ τοῦ Ἑλλησπόντου τε καὶ τοῦ Εὐξείνου πόντου. Ἔνθεν δὲ ἐς Ἕρμωτον ἀφίκετο, Κολωνὰς πόλιν παραμείψας. (7) Σκοποὶ δὲ αὐτῷ ἐπέμποντο πρὸ τοῦ στρατεύματος· καὶ τούτων ἡγεμὼν ἦν Ἀμύντας ὁ Ἀρράβαίου, ἔχων τῶν τε ἑταίρων τὴν Ἴλην τὴν ἐξ Ἀπολλωνίας, ἧς ἴλαρχης ἦν Σωκράτης ὁ Σάθωνος, καὶ τῶν προδρόμων καλουμένων ἴλας τέσσαρας· κατὰ δὲ τὴν πάροδον Πρίαπον πόλιν ἐνοθείσαν πρὸς τῶν ἐνοικούντων τοὺς παραληψομένους ἀπέστειλε σὺν Πανηγόρῳ τῷ Λυκαγόρου, ἑνὶ τῶν ἑταίρων.

8. Περσῶν δὲ στρατηγοὶ ἦσαν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Πετίνης καὶ Νιφάτης καὶ ξὺν τούτοις Σπιθριδάτης ὁ Λυδίας καὶ Ἰωνίας σατράπης καὶ Ἀρσίτης ὁ τῆς πρὸς Ἑλλησπόντῳ Φρυγίας ὕπαρχος. Οὗτοι δὲ πρὸς Ζελείᾳ τῇ πόλει κατεστρατοπεδευκότες ἦσαν ξὺν τῇ ἵππῳ τε τῇ βαρβαρικῇ καὶ τοῖς Ἕλλησι τοῖς μισθοφόροις. (9) Βουλευομένοις δὲ αὐτοῖς ὑπὲρ τῶν παρόντων, ἐπειδὴ Ἀλέξανδρος διαβεβηκὼς ἠγγέλλετο, Μέμνων ὁ Ῥόδιος παρῄνει μὴ διὰ κινδύνου ἰέναι πρὸς τοὺς Μακεδόνας, τῷ τε πεζῷ πολὺ περιόντας σφῶν καὶ αὐτοῦ Ἀλεξάνδρου παρόντος, αὐτοῖς δὲ ἀπόντος Δαρείου· προϊόντας δὲ τόν τε χιλὸν ἀφανίζειν καταπατοῦντας τῇ ἵππῳ καὶ τὸν ἐν τῇ γῇ καρπὸν ἐμπιπράναι, μηδὲ τῶν πόλεων αὐτῶν φειδομένους· οὐ γὰρ μενεῖν ἐν τῇ χώρᾳ Ἀλέξανδρον ἀπορίᾳ τῶν ἐπιτηδείων. (10) Ἀρσίτην δὲ λέγεται εἰπεῖν ἐν τῷ συλλόγῳ τῶν Περσῶν ὅτι οὐκ ἂν περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν τῶν ὑπὸ οἳ τεταγμένων ἀνθρώπων· καὶ τοὺς Πέρσας Ἀρσίτῃ προσθέσθαι, ὅτι καὶ ὕποπτόν τι αὐτοῖς ἦν ἐς τὸν Μέμνονα, τριβὰς ἐμποιεῖν ἑκόντα τῷ πολέμῳ τῆς ἐκ βασιλέως τιμῆς ἕνεκα.

clara et numero et magnitudine aut inter Græcos aut inter barbaros facinora ediderit. Atque hac quidem de causa me ad hanc historiam conscribendam impulsum fuisse profiteor, non indignum me censens per quem Alexandri res gestæ apud homines notæ celebresque efficerentur. (5) Quisquis vero sim qui ita de me sentiam, nomen quidem adscribere nihil attinet, neque enim obscurum inter mortales est, nec patriam, nec genus meum, neque an aliquem in civitate mea magistratum gesserim. Illud dixisse satis fuerit, mihi et patriam et genus et honores esse has literas atque a pueris jam fuisse. Propterea non indignum me judicaverim, qui inter primos Græcæ linguæ scriptores, ut Alexander inter eos qui in re militari præstiterunt, collocer.

6. Ex Ilio Alexander ad Arisben movit, quo in loco universus exercitus trajecto Hellesponto castra fixerat. Postridie Percoten; deinde Lampsacum prætergressus ad Practium flumen consedit, qui ex Idæis montibus fluens, inter Hellespontum et Euxinum pontum in mare fertur. Inde Hermotum venit, Colonas urbem prætergressus. (7) Speculatores porro ante exercitum miserat, quorum dux erat Amyntas Arrhabæi filius, cum turma amicorum ex Apolloniatis conscripta, cui præfectus erat Socrates Sathonis filius, et cum quatuor turmis præcursorum, quos vocant. In transitu Panegorum Lycagoræ filium, unum ex amicis, cum aliquo comitatu mittit, qui Priapum oppidum, quod incolæ deliderant, recipiat.

8. Persarum autem duces erant Arsames, Rheomithres, Petines, Niphates, et cum his Spithridates Lydiæ et Ioniæ satrapa, et Arsites, Phrygiæ quæ ad Hellespontum vergit præses. Hi omnes ad Zeliam urbem cum equitatu barbarico et Græcis mercenariis constiterant. (9) Consultantibus porro iis de re præsenti, quum Alexander transisse nuntiaretur, Memnon Rhodius monuit non esse prœlio cum Macedonibus contendendum, qui et peditatu superiores essent, et præsentem haberent Alexandrum, ipsi vero Darium absentem. Omne autem frumentum herbidum equitatu proculcandum destruendumque esse, omnemque terræ fructum exurendum, ac ne ipsis quidem oppidis parcendum : ita enim Alexandrum commeatu destitutum moram in ea regione non facturum. (10) Ad ea Arsiten in conventu Persarum dixisse ferunt, se ne unam quidem eorum qui ipsi subditi essent domum incendi passurum : atque in ejus sententiam a Persis itum esse, suspicantibus Memnonem, honoris a rege tributi causa, belli moram protractionemque quærere.

ΚΕΦ. ΙΓ'.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν ξυντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας, τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι· τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. (2) Καὶ Ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχεν ἀπὸ τοῦ ποταμοῦ τοῦ Γρανικοῦ καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες ἀπήγγελλον ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Πέρσας ἐφεστάναι τεταγμένους ὡς ἐς μάχην. Ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους. Παρμενίων δὲ προσελθὼν λέγει Ἀλεξάνδρῳ τάδε·

3. « Ἐμοὶ δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ ὡς ἔχομεν. Τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῶν πεζῶν λειπομένους πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἔωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον· ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. (4) Νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. Πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα, αἱ δὲ ὄχθαι αὗται ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ χρημνώδεις εἰσὶν αἱ αὐτῶν· (5) ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ἥπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπιχείσονται ἐς φάλαγγα ξυντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς· καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. »

6. Ἀλέξανδρος δέ, « Ταῦτα μέν, ἔφη, ὦ Παρμενίων, γιγνώσκω· αἰσχύνομαι δέ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δέ, σμικρὸν ῥεῦμα (οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας), εἴρξει ἡμᾶς τοῦ μὴ οὐ διαβῆναι ὡς ἔχομεν. (7) Καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι· ἀναθαρρήσειν δὲ δοκῶ τοὺς Πέρσας ὡς ἀξιομάχους Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον. »

ΚΕΦ. ΙΔ'.

Ταῦτα εἰπὼν Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγεν. Προετάχθησαν δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας τοὺς ἀκοντιστάς· Ἀμύντας δὲ ὁ Ἀρραβαίου τούς τε σαρισσοφόρους ἱππέας ἔχων Φιλώτᾳ ἐπετάχθη καὶ τοὺς Παίονας καὶ τὴν ἴλην τὴν Σωκράτους. (2) Ἐχόμενοι δὲ τούτων ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις ἡ Περδίκκου τοῦ Ὀρόντου φάλαγξ· ἐπὶ δὲ ἡ

CAP. XIII.

Interea Alexander ad Granicum flumen instructo exercitu processit, duplicem armatorum phalangem ducens. Equites ad cornua collocat, impedimenta extrema subsequi jubet. Speculatoribus qui hostes observent Hegelochum præficit, sarissatos equites illi adjungens, velitesque circiter quingentos. (2) Jam non procul a Granico aberat Alexander, quum statim nonnulli ex speculatoribus incitatis equis advolantes nuntiant, Persas trans Granicum instructa ad prælium acie consistere. Alexander omnem exercitum ad committendum prælium instruit. Tum accedens Parmenio, his verbis Alexandrum compellat :

3. « Consultum mihi videtur, rex, in præsentia ad fluminis ripam, ut sumus, castra locare. Neque enim judicarim tantum animi hostibus fore, ut, quum peditatu longe inferiores sint, prope nos pernoctent, eamque ob causam facilem exercitui nostro cras sub primam lucem fluminis transitum fore. Citius enim transierimus, quam ab illis acies instrui possit. (4) Nunc vero non absque periculo rem hanc aggressuri videmur, fieri siquidem non potest ut exercitum recta fronte per flumen ducamus : quod et profundum vorticosumque est et contraria ripa alta, ut vides, ac nonnullis locis etiam prærupta. (5) Nam inordinate angustaque acie, quod genus infirmissimum est, exeuntibus nobis, equitatus hostium bene instructus phalangi nostræ incumbet. Fuerit porro primum hoc infortunium, quoad præsentem rerum statum, grave, quoad de toto bello judicium periculosum ».

6. Ad hæc Alexander, « Intelligo quidem, o Parmenio, sed dedecori mihi fuerit, si quum ita parvo negotio Hellespontum trajecerim, rivus hic (Granicum eo nomine extenuans) nobis obstiterit, quo minus, ut sumus, transeamus. (7) Id ego neque pro Macedonum gloria neque pro mea in adeundis periculis alacritate facturus sum : animumque sumturos arbitror Persas, quasi Macedonibus pares sint, nisi statim initio aliquid dignum suo ipsorum metu passi fuerint. »

CAP. XIV.

His dictis, Parmenionem, ut sinistro cornu præsit mittit, ipse ad dextrum suas copias ducit. Philotam Parmenionis filium cum equitatu amicorum, cumque sagittariis et Agrianis jaculatoribus, priore loco dextrorsum constituit : cui Amyntam Arrhabæi filium cum sarissatis equitibus et Pæonibus et Socratis turma adjunxit. (2) Proximos his collocat scutatos amicorum, quibus præerat Nicanor, Parmenionis filius, tum Perdiccæ Orontis filii

Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ ἡ Κρατέρου τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ἐπὶ δὲ ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. (3) Τοῦ δὲ εὐωνύμου πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου· ἐπὶ δὲ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου· ἐπὶ δὲ τούτοις οἱ Θρᾷκες, ὧν ἦρχεν Ἀγάθων· ἐχόμενοι δὲ τούτων πεζοὶ ἥ τε Κρατέρου φάλαγξ καὶ ἡ Μελεάγρου καὶ ἡ Φιλίππου ἔστε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως.

4. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. Ἧι δὲ Ἀλέξανδρον αὐτὸν καθεώρων (ὄῆλος γὰρ ἦν τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῶν ἀμφ' αὐτὸν τῇ σὺν ἐκπλήξει θεραπείᾳ) κατὰ τὸ εὐώνυμον σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἵππων.

5. Χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτες ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν ἡσυχίαν ἦγον καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. Οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν· (6) Ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας καὶ μὴν καὶ τοὺς Παίονας προεμβαλεῖν ἐς τὸν ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀρραβαίου καὶ τῶν πεζῶν μίαν ταξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους Ἴλην Πτολεμαῖον τὸν Φιλίππου ἄγοντα, ἣ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· (7) αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγγι προσμίξῃ αὐτοῖς.

ΚΕΦ. ΙΕ'.

Οἱ δὲ Πέρσαι, ἧ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον, οἱ μὲν αὐτῶν ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες, οἱ δὲ κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔστε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. (2) Καὶ ἦν τῶν τε ἱππέων ὠθισμός, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν, καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. Ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι οἱ Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ, καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι, οἱ δὲ Πέρσαι ἐξ

phalangem, post hunc Cœni Polemocratis filii : inde Crateri, Alexandri filii : inde Amyntæ, Andromenis filii : inde copias, quibus Philippus Amyntæ filius præfectus erat. (3) In sinistro cornu primi erant Thessali equites, quorum dux erat Calas Harpali filius. Post hos auxiliariorum equitatus, cui præerat Philippus Menelai filius. Deinde Thraces duce Agathone. Proximi his pedites, Crateri phalanx et Meleagri et Philippi, usque ad medium totius aciei.

4 Persarum equitatus erat viginti fere millium : externorum vero, qui mercede conducti erant, peditatus totidem circiter millium. Equitatum in ripa fluminis in longam phalangem exporrexerant, peditatu pone collocato; erant enim loca supra ripam editiora. At qua parte Alexandrum ipsum sunt conspicati (facile enim dignoscebatur cum ex armorum splendore, tum ex eorum quibus stipatus erat reverentia et cultu) ad sinistrum ipsorum cornu sese conferentem, ex ea densiores equitum turmas ad ripam statuunt.

5. Uterque porro exercitus ad oram fluminis aliquandiu substitit, et eventum reformidans quiete sese summoque silentio tenuit. Persæ enim exspectabant dum Macedones flumen ingrederentur, ut in egredientes impetum facerent. (6) Alexander vero insiliens in equum, iis qui circa erant sequi virosque sese præbere jussis, ante cursores equos in amnem præmittit, cum Pæonibus, et una peditum cohorte, quibus Amyntas Arrhabæi filius præerat, atque ante hos Socratis turmam, et Ptolemæum Philippi filium, cui quidem totius equitatus præfectura eo die contigerat. (7) Ipse dextrum cornu agens, signis canere jussis et faustis clamoribus Marti a milite editis, flumen ingreditur, obliquam semper aciem extendens, qua amnis ferebat, ne videlicet ipsi exeunti hostes in cornu impetum facerent, sed ipse quoque, quoad ejus fieri posset, phalange in hostem inveheretur.

CAP. XV.

Persæ, qua Amyntas et Socrates primi ripæ appropinquabant, ex alto tela mittere : alii ex editiore ripa in flumen jaculantes, alii per decliviora planioraque loca usque ad amnem descendentes. (2) Ibi turbulentus equitum conflictus fuit, his flumen exire, illis exitum prohibere nitentibus. Ac Persæ quidem tragulas confertim mittebant, Macedones hastis confligebant. Sed Macedones, numero longe inferiores, primo statim congressu non parum damni acceperunt : quod ipsi ex lubrico pariter atque humili loco e flumine pugnabant, Persæ vero ex eminentiore ripa di-

ὑπερδεξίου τῆς ὄχθης, ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπετέτακτο, οἵ τε Μέμνονος παῖδες καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευε. (3) Καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμίξαντες τοῖς Πέρσαις κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἵ ἄγων τὸ κέρας τὸ δεξιόν, καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν· καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερά· (4) καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. Καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. Ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις καὶ ἄνδρες ἀνδράσιν ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰς ἅπαν ἀπὸ τῆς ὄχθης καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακεδόνες, (5) οἱ δὲ εἴρξαί τε αὐτῶν τὴν ἔκβασιν, οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. Καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ τῇ τε ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ καὶ ὅτι ξυστοῖς χρανείνοις πρὸς παλτὰ ἐμάχοντο.

6. Ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ· ὁ δὲ Ἄρετιν ἠτεῖ δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντετριμμένον τὸ δόρυ ἦν, ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο, καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ ἄλλον αἰτεῖν ἐκέλευε· Δημάρατος δέ, ἀνὴρ Κορίνθιος, τῶν ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ. (7) Καὶ ὃς ἀναλαβὼν καὶ ἰδὼν Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα καὶ ἐπάγοντα ἅμα οἷ ὥσπερ ἔμβολον τῶν ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων· καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν Μιθριδάτην. Ἐν δὲ τούτῳ Ῥοισάκης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι· καὶ τοῦ μὲν κράνους τι ἀπέθρausε, τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος. (8) Καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξανδρος παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον. Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν προσεγίγνοντο τοῖς ἀμφ' Ἀλέξανδρον.

micabant, quam præterea lectissimo equitatu cinxerant. Ibi Memnonis filii cumque iis Memnon ipse dimicabant. (3) Et primi quique Macedonum cum Persis confligentes strenueque officium suum facientes cæsi sunt, præter eos qui se ad Alexandrum appropinquantem receperunt. Jam enim appropinquabat dextrum cornu ducens, qui quidem ubi maxime confertos equites Persarumque duces videt, primus impetum facit. Acerrimum ibi circa regem prælium excitatur. (4) Interim alii post alios Macedonum ordines facile jam flumen transeunt. Ac tametsi ex equis pugnaretur, pedestre potius prælium videbatur. Ita equi equis, viri viris conserti confligebant, illi quidem penitus a ripa detrudere nitentes Persas et in campum repellere Macedones, Persæ contra Macedonas exitu prohibere, rursumque ad flumen protrudere. (5) Ceterum superiores jam erant qui Alexandrum stipabant. Non solum robore et usu ac peritia rei bellicæ, sed eo etiam quod jaculis corneis adversus tragulas pugnabant.

6. Hic Alexandro hasta conflictu rumpitur, qui ab Arete regiorum equorum stratore aliam petit; cui etiam ipsi strenue rem gerenti sua rupta erat, et reliquo hastæ fragmento non male pugnabat : idque Alexandro ostendens, ab alio hastam petere jubet. Tum Demaratus Corinthius, unus amicorum qui circa eum erant, suam Alexandro hastam porrigit. (7) Qua arrepta, Mithridatem, Darii generum, longe ante alios equo provectum et secum equitum quasi cuneum adducentem conspicatus, ipse etiam alios antevertens equo in eum fertur, atque ora trajectum prosternit. Ibi Rœsaces in Alexandrum invectus, gladio caput ejus ferit, a galea aliquid abrupit, plagamque galea excepit. (8) Hunc etiam Alexander sternit, hasta per thoracem in pectus icta. Jamque Spithridates in Alexandrum alte a tergo gladium sustulerat, quum prior Clitus Dropidis filius gladio ejus in humerum adacto, brachium Spithridatis cum ipso gladio dejecit. Interea dum hæc geruntur, equites, quotquot potuere, flumen transeuntes exercitui sese conjunxerant.

ΚΕΦ. ΙΣ'.

Καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ οἱ ἵπποι τοῖς ξυστοῖς καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον ᾗ Ἀλέξανδρος προεκινδύνευεν. (2) Ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυτο δὴ

CAP. XVI.

At Persæ, quum et ipsi et equi undequaque hastis peterentur et ab equitatu premerentur, multum etiam ab expeditis, qui equitibus intermisti erant, damni acciperent, primum ea parte in fugam vertuntur qua Alexander inter primos dimicabat. Simul ac vero medium agmen cedere cœpit, equitatu in utroque cornu dissipato, ingens fuga

καὶ τὰ ἐφ' ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. (2) Τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον ἐς χιλίους. Οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος ἢ τὸ πρῶτον ἐτάχθη ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου ἢ λογισμῷ βεβαίῳ ἔμενε. Καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν καὶ τοὺς ἱππέας πάντη προσπεσεῖν κελεύσας, ἐν μέσῳ δι' ὀλίγου κατακόπτει αὐτούς, ὥστε διέφυγε μὲν οὐδείς, ὅτι μὴ διέλαθέ τις ἐν τοῖς νεκροῖς, ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. (3) Ἔπεσον δὲ καὶ οἱ ἡγεμόνες τῶν Περσῶν Νιφάτης τε καὶ Πετίνης καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης, καὶ ὁ τῶν Καππαδόκων ὕπαρχος Μιθροβουζάνης καὶ Μιθριδάτης ὁ τοῦ Δαρείου γαμβρὸς καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς καὶ Φαρνάκης (ἀδελφὸς οὗτος τῆς Δαρείου γυναικός), καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὦμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύγει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς ὁ λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος.

4. Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ ἀπέθανον· καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει· τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. (5) Καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δὲ αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραί. Καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν καὶ ὅπως τις ἐτρώθη ἐρόμενος καὶ ὅ τι πράττων εἰπεῖν τε καὶ ἀλαζονεύσασθαι οἱ παρασχών. (6) Ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν· ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας, οἳ ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δήσας ἐν πέδαις ἐς Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα τοῖς Ἕλλησιν Ἕλληνες ὄντες ἐναντία τῇ Ἑλλάδι ὑπὲρ τῶν βαρβάρων ἐμάχοντο. (7) Ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν πόλει· καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευσε τόδε· Ἀλέξανδρος Φιλίππου καὶ οἱ Ἕλληνες πλὴν Λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοικούντων.

ΚΕΦ. ΙΖ'.

Καταστήσας δὲ Κάλαν σατραπεύειν ἧς Ἀρσίτης ἦρχε καὶ τοὺς φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας οὕσπερ Δαρείῳ ἔφερον, ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ τῶν ὀρῶν ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλ-

fuit. (2) Equitum Persarum mille circiter in ea fuga cæsi. Neque enim Alexander acriter illos insequutus est: nam ad exteros mercede conductos se convertit; quorum agmen eodem loci ubi consistere jussum erat, stupore potius inopinati eventus, quam certa aliqua ratione se continebat: immissaque in eos phalange, atque equitatu omni ex parte impetum facere jusso, parvo temporis spatio omnes trucidat: adeo ut nemo evaserit, nisi inter cadavera delitescens. Vivi circiter bis mille in potestatem venerunt. (3) Ex ducibus Persarum cæsi sunt Niphates, Petines, Spithridates Lydiæ satrapa, Mithrobuzanes Cappadocum præses, Mithridates Darii gener, Arbupales Artaxerxis ex Dario nepos, Pharnaces uxoris Darii frater, Omares mercenarii militis dux. Arsites ex ipsa pugna in Phrygiam se recepit, ibique sibi ipse mortem conscisse fertur, quod illius cladis auctor Persis fuisse videretur.

4. Ex Macedonibus vero amicis circiter viginti quinque in primo conflictu ceciderunt: eorum æneæ statuæ in Dio oppido erectæ, quas Lysippus Alexandri jussu finxit, ut et Alexandrum ipsum, qui Lysippum præ reliquis statuariis a quo fingeretur dignum judicavit. Ex reliquo equitatu supra sexaginta desiderati sunt, pedites circiter triginta. (5) Hos Alexander postridie cum armis et reliquo cultu sepeliri jussit: parentibus eorum ac liberis, in sua cuique regione, vectigalium immunitatem concessit, omniaque quæ aut corpore præstantur servitia, aut ex opibus penduntur tributa, remisit. Sauciorum etiam magnam curam habuit obeundo singulos vulneraque inspiciendo et quomodo quisque ea accepisset interrogando, libera cuique gestorum suorum narratione prædicationeque permissa. (6) Persarum etiam duces sepeliit: ad hæc mercenarios Græcos, qui hostibus merentes cæsi fuerant. Quotquot vero mercenariorum vivi in potestatem venerunt, vinctos in Macedoniam ad ergastula misit, quod contra commune Græcorum decretum, Græci quum essent, in Græcos pro barbaris arma gessissent. (7) Athenas porro trecentas armaturas Persicas misit, quæ Minervæ in ea urbe donarii loco suspenderentur: hancque iis inscriptionem addi jussit, ALEXANDER PHILIPPI FILIUS ET GRÆCI, LACEDÆMONIIS EXCEPTIS, HÆC DE BARBARIS ASIAM INCOLENTIBUS SPOLIA.

CAP. XVII.

Posthæc Cala ejus provinciæ cui Arsites præfuerat satrapa constituto, iisdemque tributis quæ Dario pendere soliti erant imperatis, barbaros quotquot e montibus descendentes sese dediderunt, ad domos suas reverti jubet. (2)

λάττεσθαι ἐπὶ τὰ αὐτῶν ἑκάστους ἐκέλευε· (2) Ζελείτας δὲ ἀφῆκε τῆς αἰτίας, ὅτι πρὸς βίαν ἔγνω συστρατεῦσαι τοῖς βαρβάροις· Δασκύλιον δὲ παραληψόμενον Παρμενίωνα ἐκπέμπει· καὶ παραλαμβάνει Δασκύλιον Παρμενίων ἐκλιπόντων τῶν φρουρῶν.

3. Αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώρει· καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβδομήκοντα σταδίους Σάρδεων, ἦκον παρ' αὐτὸν Μιθρίνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν Σάρδεσι καὶ Σαρδιανῶν οἱ δυνατώτατοι, ἐνδιδόντες οἱ μὲν τὴν πόλιν, ὁ δὲ Μιθρίνης τὴν ἄκραν καὶ τὰ χρήματα. (4) Ἀλέξανδρος δὲ αὐτὸς μὲν κατεστρατοπέδευσεν ἐπὶ τῷ Ἕρμῳ ποταμῷ· ἀπέχει δὲ ὁ Ἕρμος ἀπὸ Σάρδεων σταδίους ὅσον εἴκοσιν· Ἀμύνταν δὲ τὸν Ἀνδρομένους τὴν ἄκραν παραληψόμενον ἐκπέμπει ἐς Σάρδεις· καὶ Μιθρίνην μὲν ἐν τιμῇ ἅμα οἱ ἦγε, Σαρδιανοὺς δὲ καὶ τοὺς ἄλλους Λυδοὺς τοῖς νόμοις τε τοῖς πάλαι Λυδῶν χρῆσθαι ἔδωκε καὶ ἐλευθέρους εἶναι ἀφῆκεν. (5) Ἀνῆλθε δὲ καὶ αὐτὸς εἰς τὴν ἄκραν, ἵνα τὸ φρούριον ἦν τῶν Περσῶν· καὶ ἔδοξεν αὐτῷ ὀχυρὸν τὸ χωρίον· ὑπερύψηλόν τε γὰρ ἦν καὶ ἀπότομον πάντη καὶ τριπλῷ τείχει πεφραγμένον· αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι Διὸς Ὀλυμπίου ἐπενόει καὶ βωμὸν ἱδρύσασθαι. (6) Σκοποῦντι δὲ αὐτῷ τῆς ἄκρας ὅπερ ἐπιτηδειότατον χωρίον, ὥρᾳ ἔτους ἐξαίφνης χειμὼν ἐπιγίγνεται καὶ βρονταὶ σκληραί, καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει οὗ τὰ τῶν Λυδῶν βασίλεια· Ἀλεξάνδρῳ δὲ ἔδοξεν ἐκ θεοῦ σημανθῆναι ἵνα χρὴ οἰκοδομεῖσθαι τῷ Διὶ τὸν νεών, καὶ οὕτως ἐκέλευσε. (7) Κατέλιπε δὲ τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπιμελητὴν Παυσανίαν τῶν ἑταίρων· τῶν δὲ φόρων τῆς συντάξεώς τε καὶ ἀποφορᾶς Νικίαν· Ἀσανδρον δὲ τὸν Φιλώτα Λυδίας καὶ τῆς ἄλλης τῆς Σπιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ ἱππέας τε καὶ ψιλοὺς ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκουν. (8) Κάλαν δὲ καὶ Ἀλέξανδρον τὸν Ἀερόπου ἐπὶ τὴν χώραν τὴν Μέμνονος ἐκπέμπει, ἄγοντας τούς τε Πελοποννησίους καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς πλὴν Ἀργείων· οὗτοι δὲ ἐν Σάρδεσι κατελείφθησαν τὴν ἄκραν φυλάττειν.

9. Ἐν τούτῳ δὲ ὡς τὰ ὑπὲρ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν Ἔφεσον φρουροῦντες μισθοφόροι ὤχοντο φεύγοντες, δύο τριήρεις τῶν Ἐφεσίων λαβόντες, καὶ ξὺν αὐτοῖς Ἀμύνταςὁ Ἀντιόχου, ὃς ἔφυγεν ἐκ Μακεδονίας Ἀλέξανδρον, παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν παρ' αὐτοῦ ἄχαρι. (10) Τετάρτῃ δὲ ἡμέρᾳ ἐς Ἔφεσον ἀφικόμενος τούς τε φυγάδας ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως κατήγαγε, καὶ τὴν ὀλιγαρχίαν καταλύσας δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους ὅσους τοῖς βαρβάροις ἀπέφερον τῇ Ἀρτέμιδι ξυντελεῖν ἐκέλευσεν. (11) Ὁ δὲ δῆμος ὁ τῶν Ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε Μέμνονα ἐπαγαγομένους καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς Ἀρτέμιδος καὶ τοὺς τὴν εἰκόνα τοῦ Φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς

Zelitis quoque culpam remisit, quod coactos illos cum barbaris militasse sciebat. Parmenionem ad recipiendum Dascylium mittit: idque recepit præsidio destitutum.

3. Ipse Sardes versus movit: quumque ab oppido septuaginta ferme stadiis abesset, obvium habuit Mithrinen, præsidii quod in arce erat præfectum, primoribus Sardianorum comitatum: atque hi quidem oppidum, Mithrines arcem et pecuniam dedunt. (4) Alexander ad Hermum flumen castra locat. Distat id a Sardibus stadiis viginti. Amyntam Andromenis filium Sardes mittit, qui arcem recipiat: ac Mithrinem honorifice secum ducit. Sardianis autem reliquisque Lydis ut antiquis Lydorum legibus utantur permittit, liberosque esse sivit. (5) Ipse in arcem conscendit, ubi Persarum præsidium erat. Visusque ipsi est locus bene munitus. Erat enim arx excelso admodum loco sita omnique ex parte prærupta et triplici muro cincta. Ipse in arce templum Jovi Olympio exstruere aramque ponere in animo habebat. (6) Consideranti vero illi quisnam arcis locus maxime eam ad rem commodus esset, æstivo anni tempore confestim tempestas ingentiaque tonitrua excitantur, et vehemens imber e cælo ruit in eam partem ubi Lydorum regia fuerat. Alexandro itaque visum est a deo significari, quo loco templum Jovi exstruendum esset: atque ita fieri imperat. (7) Arcis curam Pausaniæ uni ex amicis committit, tributorum descriptionem et collationem Niciæ. Asandrum autem Philotæ filium Lydiæ ac reliquæ Spithridatis provinciæ præficit: equitesque et expeditos, qui ad præsentem rerum statum sufficere videbantur, ei adjungit. (8) Calan autem et Alexandrum Aeropi filium in Memnonis provinciam mittit, qui Peloponnesios ac reliquorum sociorum plerosque ducebant, exceptis Argivis. Hi enim Sardibus præsidio arcis relicti erant.

9. Interea, dispersa passim equestris illius prælii fama, mercenarii, qui apud Ephesum in præsidio erant, duabus Ephesiorum triremibus captis, profugerunt: unaque cum iis Amyntas Antiochi filius, qui ex Macedonia ab Alexandro se subduxerat, non quod ullam injuriam ab Alexandro accepisset, sed odio quodam illius concepto, veritus ne quo ab Alexandro incommodo afficeretur. (10) Rex quum quarto die Ephesum pervenisset, exules quotquot propter ipsum civitate ejecti fuerant reducit, et abolito paucorum dominatu, popularem statum constituit. Tributa quæ barbaris detulerant, Dianæ pendi jussit. (11) Ephesiorum populus, sublato metu ex paucorum dominatione, eos qui Memnonem in urbem advocarant, quique templum Dianæ spoliaverant et Philippi statuam in eadem æde subverte-

ἀνορύξαντας τὸν Ἡροπύθου τοῦ ἐλευθερώσαντος τὴν πόλιν, ὥρμησαν ἀποκτεῖναι. (12) Καὶ Σύρφακα μὲν καὶ τὸν παῖδα αὐτοῦ Πελάγοντα καὶ τοὺς τῶν ἀδελφῶν τοῦ Σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν Ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι, γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις καὶ οὐ ξὺν δίκῃ τινάς, τοὺς μὲν κατ' ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ, ξυγχωρηθὲν αὐτῷ, ὁ δῆμος. (13) Καὶ εἰ δή τῳ ἄλλῳ, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν Ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει.

rant, quique Heropythi sepulcrum, a quo civitas in libertatem reducta fuerat, in foro eruerant, ad necem poscunt. (12) Syrphacem ejusque filium Pelagontem et fratrum Syrphacis liberos e templo protractos lapidibus obruunt. In alios Alexander ulterius inquiri aut de iis supplicium sumi vetuit: intelligens nimirum, populum potestate sibi facta non tantum in sontes, sed in nonnullos etiam eorum qui extra culpam essent, partim odio partim spe prædæ sæviturum. (13) Et certe, si quibus unquam, his etiam rebus in Epheso tunc gestis Alexander sibi laudem comparavit.

ΚΕΦ. ΙΗ'.

Ἐν τούτῳ δὲ ἐκ Μαγνησίας τε καὶ Τραλλέων παρ' αὐτὸν ἦκον ἐνδιδόντες τὰς πόλεις· καὶ ὃς πέμπει Παρμενίωνα, δοὺς αὐτῷ δισχιλίους καὶ πεντακοσίους πεζοὺς τῶν ξένων καὶ Μακεδόνας παραπλησίους, ἱππέας δὲ τῶν ἑταίρων ἐς διακοσίους. Ἀλκίμαχον δὲ τὸν Ἀγαθοκλέους ἐπὶ τὰς Αἰολίδας τε πόλεις ξὺν δυνάμει οὐκ ἐλάττονι ἐξέπεμψε καὶ ὅσαι Ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν. (2) Καὶ τὰς μὲν ὀλιγαρχίας παντᾳοῦ καταλύειν ἐκέλευσε, δημοκρατίας δέ τε ἐγκαθιστάναι καὶ τοὺς νόμους τοὺς σφῶν ἑκάστοις ἀποδοῦναι, καὶ τοὺς φόρους ἀνεῖναι ὅσους τοῖς βαρβάροις ἀπέφερον. Αὐτὸς δὲ ὑπομείνας ἐν Ἐφέσῳ θυσίαν τε ἔθυσε τῇ Ἀρτέμιδι καὶ πομπὴν ἔπεμψε ξὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε καὶ ὡς ἐς μάχην ξυντεταγμένῃ.

3. Τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τῶν τε πεζῶν τοὺς λοιποὺς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς Θρᾷκας ἱππέας καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας ἐπὶ Μιλήτου ἐστέλλετο· καὶ τὴν μὲν ἔξω καλουμένην πόλιν ἐξ ἐφόδου ἔλαβεν ἐκλιπούσης τῆς φυλακῆς· ἐνταῦθα δὲ καταστρατοπεδεύσας ἔγνω ἀποτειχίζειν τὴν εἴσω πόλιν. (4) Ἡγησίστρατος γάρ, ὅτῳ ἡ φρουρὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπετέτραπτο, πρόσθεν γράμματα παρ' Ἀλέξανδρον ἔπεμπεν ἐνδιδοὺς τὴν Μίλητον· τότε δὲ ἀναθαρρήσας ἐπὶ τῷ Περσῶν στρατῷ οὐ μακρὰν ὄντι, διασώζειν τοῖς Πέρσαις ἐπενόει τὴν πόλιν. Νικάνωρ δὲ τὸ Ἑλληνικὸν ναυτικὸν ἄγων ὑποφθάνει τοὺς Πέρσας τρισὶν ἡμέραις πρότερος καταπλεύσας ἢ τοὺς Πέρσας Μιλήτῳ προσσχεῖν, καὶ ὁρμίζεται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ Λάδῃ· κεῖται δὲ αὕτη ἐπὶ τῇ Μιλήτῳ. (5) Αἱ δὲ τῶν Περσῶν νῆες ὑστερήσασαι, ἐπειδὴ ἔμαθον οἱ ναύαρχοι τῶν ἀμφὶ Νικάνορα τὴν ἐν τῇ Λάδῃ προκαταγωγήν, πρὸς τῇ Μυκάλῃ τῷ ὄρει ὡρμίσθησαν. Τὴν γὰρ Λάδην τὴν νῆσον προκατειλήφει Ἀλέξανδρος, οὐ τῶν νεῶν μόνον τῇ ἐγκαθορμίσει, ἀλλὰ καὶ τοὺς Θρᾷκας καὶ τῶν ἄλλων ξένων ἐς τετρακισχιλίους διαβιβάσας ἐς αὐτήν. Ἦσαν δὲ τῶν βαρβάρων αἱ νῆες ἀμφὶ τὰς τετρακοσίας.

6. Παρμενίων μὲν δὴ καὶ ὡς παρήνει Ἀλεξάνδρῳ ναυμαχεῖν, τά τε ἄλλα κρατήσειν τῷ ναυτικῷ τοὺς Ἕλ-

CAP. XVIII.

Dum hæc geruntur, legati ex Magnesia et Trallibus veniunt, qui urbes Alexandro dedant. Ipse Parmenionem mittit cum duobus millibus quingentis peditibus exteris et Macedonibus totidem: equitibus ex amicis ducentis. Alcimachum autem Agathoclis filium ad Æolicas urbes et Ionicas, quæ adhuc in barbarorum potestate erant, cum paribus fere copiis emittit. (2) Paucorum dominatum ubique aboleri et popularem statum introduci patriasque leges cunctis restitui jubet, tributa etiam, quæ barbaris detulerant, rescindi. Ipse Ephesi commoratus Dianæ sacrificavit, eique cum universo exercitu armato ac veluti ad pugnam instructo pompam duxit.

3. Postridie vero cum reliquo peditatu, sagittariis et Agrianis Thracum equitatu et amicorum turma regia aliisque insuper tribus, Miletum profectus est, et exteriorem quidem, quam dicunt, urbem primo adventu, quod præsidio vacua erat, cepit: ibique castra metatus, interiorem urbem muro intercludere statuit. (4) Hegesistratus enim, cui Milesiorum præsidium a rege commissum erat, antea literas ad Alexandrum de Mileti deditione miserat: sed tum, quod Persarum exercitum non procul abesse sciebat, recepto animo, urbem Persis conservare statuerat. Cæterum Nicanor navales Græcorum copias ducens, Persas antevertens, triduo ante appulerat quam illi Miletum venirent, et centum sexaginta navibus ad Laden insulam, quæ Mileto proxima est, stationem ceperat. (5) Persarum vero naves quum serius appulissent, et earum ductores Laden a Nicanore præoccupatam esse cognoscerent, sub Mycalem montem se cum classe receperunt. Neque enim solum insulam illam navibus in portum ductis Alexander occuparat; verum etiam Thraces aliorumque militum peregrinorum quatuor millia in ipsam transmiserat. Barbarorum classis erat navium circiter quadringentarum.

6. Parmenio nihilo minus ad navale prælium Alexandrum instigat; cum aliis de causis superiores navali pugna Græcos

λήνας ἐλπίζων καί τι καὶ θεῖον ἀνέπειθεν αὐτόν, ὅτι ἀετὸς ὤρθη καθήμενος ἐπὶ τοῦ αἰγιαλοῦ κατὰ πρύμναν τῶν Ἀλεξάνδρου νεῶν. Καὶ γὰρ δὴ νικήσαντας μὲν μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ὅλα, νικηθεῖσι δὲ οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὡς γὰρ θαλαττοκρατεῖν τοὺς Πέρσας. Καὶ αὐτὸς δὲ ἔφη ἐπιβῆναι ἐθέλειν τῶν νεῶν καὶ τοῦ κινδύνου μετέχειν. (7) Ἀλέξανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη Παρμενίωνα καὶ τοῦ σημείου τῇ οὐ κατὰ τὸ εἰκὸς ξυμβλήσει· ὀλίγαις τε γὰρ ναυσὶ πρὸς πολλῷ πλείους ξὺν οὐδενὶ λογισμῷ ναυμαχήσειν καὶ οὐ μεμελετηκότι τῷ σφῶν ναυτικῷ πρὸς ἡσκημένον τὸ τῶν Κυπρίων τε καὶ Φοινίκων· (8) τήν τε ἐμπειρίαν τῶν Μακεδόνων καὶ τὴν τόλμαν ἐν ἀβεβαίῳ χωρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις· καὶ ἡττηθεῖσι τῇ ναυμαχίᾳ οὐ μικρὰν τὴν βλάβην ἔσεσθαι ἐς τοῦ πολέμου τὴν πρώτην δόξαν, τά τε ἄλλα καὶ τοὺς Ἕλληνας νεωτεριεῖν πρὸς τοῦ ναυτικοῦ πταίσματος τὴν ἐξαγγελίαν ἐπαρθέντας. (9) Ταῦτα μὲν τῷ λογισμῷ ξυντιθεὶς οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν· τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ ἐξηγεῖσθαι· εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀετόν, ἀλλ' ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι σημαίνειν ὅτι ἐκ γῆς κρατήσει τοῦ Περσῶν ναυτικοῦ.

fore spem faciens, tum augurio etiam persuasus, quod aquila a puppi classis Alexandri in littore subsistens visa esset : quodque, si vincerent, magnum inde ad summam belli adjumentum, si vincerentur, non magnum detrimentum percepturus videretur. Namque, ut maxime a prælio abstineretur, maris imperium penes Persas esse : se libenter naves conscensurum, et periculi partem subiturum. (7) Alexander vero Parmenionem opinione sua falli respondit, neque recte augurium interpretari; parum enim prudenter facturum se, si cum tam paucis navibus adversus multo plures pugnet : cumque parum exercitato in re navali milite adversus exercitatissimos Cyprios ac Phœnices eat. (8) Neque velle se ut barbari Macedonum peritiam atque virtutem loco instabili experiantur : et, si navali prælio succumbant, non exiguum damnum inde secuturum ad primam de bello opinionem. Præterea Græcos navalis cladis nuntio excitatos novas res molituros. (9) Quibus rebus cum animo suo perpensis, navalem pugnam parum eo tempore consultam fore judicavit. Augurium vero se aliter exponere : atque aquilam quidem ad se pertinere, at quod humi subsidisset, id potius sibi portendi videri, se ex terra Persarum classem victurum.

ΚΕΦ. ΙΘ'.

Καὶ ἐν τούτῳ Γλαύκιππος, ἀνὴρ τῶν δοκίμων ἐν Μιλήτῳ, ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου τε καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπετέτραπτο ἡ πόλις, τά τε τείχη ἔφη ἐθέλειν τοὺς Μιλησίους καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρσαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου. (2) Ἀλέξανδρος δὲ Γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κατὰ τάχος ἐς τὴν πόλιν καὶ Μιλησίοις ἐπαγγέλλειν παρασκευάζεσθαι ὡς μαχουμένους ἕωθεν. Αὐτὸς δ' ἐπιστήσας τῷ τείχει μηχανάς, καὶ τὰ μὲν καταβαλὼν δι' ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολὺ προσῆγε τὴν στρατιὰν ὡς ἐπιθησομένους ᾗ κατερήριπτο ἢ ἐσεσάλευτο τὸ τεῖχος, ἐρομαρτούντων καὶ μόνον οὐ θεωμένων τῶν Περσῶν ἀπὸ τῆς Μυκάλης πολιορκουμένους τοὺς φίλους σφῶν καὶ ξυμμάχους.

3. Ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ Νικάνορα ἀπὸ τῆς Λάδης τὴν ὁρμὴν τῶν ξὺν Ἀλεξάνδρῳ κατιδόντες ἐς τὸν λιμένα ἐπέπλεον τῶν Μιλησίων, παρὰ γῆν τὴν εἰρεσίαν ποιούμενοι, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος ἧπερ τὸ στενώτατον ἦν ἀντιπρῴρους βύζην τὰς τριήρεις ὁρμίσαντες ἀποκεκλείκεσαν τῷ μὲν Περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς Μιλησίοις δὲ τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν. (4) Ἔνθα οἱ Μιλήσιοί τε καὶ οἱ μισθοφόροι, πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων, οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάσσῃ ἐπὶ τῶν ἀσπίδων ὑπτίων ἐς νησίδά τινα ἀνώνυμον, τῇ πόλει ἐπικειμένην, διενήχοντο, οἱ δὲ ἐς κελήτια ἐμβαίνοντες καὶ ἐπειγόμενοι

CAP. XIX.

Inter hæc Glaucippus, unus ex Milesiorum primoribus, ad Alexandrum a populo et mercenariis, quibus potissimum urbs commissa erat, missus, exponit velle Milesios muros ac portus Alexandro et Persis communes præbere, utque obsidio ea conditione solvatur petit. (2) Alexander Glaucippo, ut confestim se in urbem recipiat, jubet, Milesiisque renuntiet uti se in proximam lucem ad pugnam parent. Ipse, machinis ad mœnia admotis, et muro brevi tempore partim dejecto, partim multum labefactato, exercitum propius adduxit, ut qua aut demolitus aut labefactatus murus erat, irrumperet, Persis præsentibus ac tantum non ex Mycale amicos suos ac socios obsessos spectantibus.

3. Interea Nicanor ex Lade insula Alexandri motum prospiciens, juxta littus remigans in Milesiorum portum navigat, atque in ipsis portus faucibus, ubi quam minimum spatii erat, confertos triremium ordines proris (Persarum classi sunt obversis collocans, Persicæ classi portus aditum Milesiis Persarum subsidium præcludit. (4) Tum Milesii et mercenarii, irruentibus jam in eos undequaque Macedonibus, alii sese in mare projicientes, scutis supinis incumbentes in parvam quandam insulam urbi proximam (nomen insulæ obscurum est) trajecerunt : alii inscensis lembis

ὑποφθάσαι τὰς τριήρεις τῶν Μακεδόνων ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριηρῶν· οἱ δὲ πολλοὶ ἐν αὐτῇ τῇ πόλει ἀπώλλυντο.

6. Ἀλέξανδρος δέ, ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τοὺς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτός, κλίμακας φέρειν ἐπὶ τὰς πρῴρας τῶν τριηρῶν κελεύσας, ὡς κατὰ τὰ ἀπότομα τῆς νήσου, καθάπερ πρὸς τεῖχος, ἐκ τῶν νεῶν τὴν ἀπόβασιν ποιησόμενος. (6) Ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν ἀνδρῶν, ὅτι γενναῖοί τε καὶ πιστοὶ αὐτῷ ἐφαίνοντο, καὶ σπένδεται πρὸς αὐτοὺς ἐπὶ τῷδε ὡς αὐτῷ ξυστρατεύειν· ἦσαν δὲ οὗτοι μισθοφόροι Ἕλληνες ἐς τριακοσίους· αὐτοὺς δὲ Μιλησίους, ὅσοι μὴ ἐν τῇ καταλήψει τῆς πόλεως ἔπεσον, ἀφῆκε καὶ ἐλευθέρους εἶναι ἔδωκεν.

7. Οἱ δὲ βάρβαροι ἀπὸ τῆς Μυκάλης ὁρμώμενοι ταῖς μὲν ἡμέραις ἐπέπλεον τῷ Ἑλληνικῷ ναυτικῷ, προκαλέσασθαι ἐς ναυμαχίαν ἐλπίζοντες, τὰς δὲ νύκτας πρὸς τῇ Μυκάλῃ οὐκ ἐν καλῷ ὡρμίζοντο, ὅτι ὑδρεύεσθαι ἀπὸ τοῦ Μαιάνδρου ποταμοῦ τῶν ἐκβολῶν διὰ μακροῦ ἠναγκάζοντο. (8) Ἀλέξανδρος δὲ ταῖς μὲν ναυσὶ τὸν λιμένα ἐφύλαττε τῶν Μιλησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν. Ἐκπέμπει δ' ἐς τὴν Μυκάλην Φιλώταν, ἄγοντα τούς τε ἱππέας καὶ τῶν πεζῶν τάξεις τρεῖς, παραγγείλας εἴργειν τῆς ἀποβάσεως τοὺς ἀπὸ τῶν νεῶν. Οἱ δέ, ὕδατός τε σπάνει καὶ τῶν ἄλλων ἐπιτηδείων οὐδὲν ἄλλο ὅτι μὴ πολιορκούμενοι ἐν ταῖς ναυσίν, ἐς Σάμον ἀπέπλευσαν· ἐκεῖθεν δὲ ἐπισιτισάμενοι αὖθις ἐπέπλεον τῇ Μιλήτῳ. (9) Καὶ τὰς μὲν πολλὰς τῶν νεῶν πρὸ τοῦ λιμένος ἐν μετεώρῳ παρέταξαν, εἴ πῃ ἐκκαλέσαιντο ἐς τὸ πέλαγος τοὺς Μακεδόνας· πέντε δὲ αὐτῶν εἰσέπλευσαν εἰς τὸν μεταξὺ τῆς τε Λάδης νήσου καὶ τοῦ στρατοπέδου λιμένα, ἐλπίσαντες κενὰς καταλήψεσθαι τὰς Ἀλεξάνδρου ναῦς, ὅτι τοὺς ναύτας ἀποσκεδάννυσθαι τὸ πολὺ ἀπὸ τῶν νεῶν τοὺς μὲν ἐπὶ ὀρυγανισμῷ, τοὺς δὲ ἐπὶ ξυγκομιδῇ τῶν ἐπιτηδείων, τοὺς δὲ καὶ ἐς προνομὰς τεταγμένους, πεπυσμένοι ἦσαν. (10) Ἀλλὰ μέρος μέν τι ἀπῆν τῶν ναυτῶν, ἐκ δὲ τῶν παρόντων ξυμπληρώσας Ἀλέξανδρος δέκα ναῦς, ὡς προσπλεούσας τὰς πέντε τῶν Περσῶν κατεῖδε, πέμπει ἐπ' αὐτὰς κατὰ σπουδήν, ἐμβάλλειν ἀντιπρῴρους κελεύσας. Οἱ δὲ ἐν ταῖς πέντε ναυσὶ τῶν Περσῶν, ὡς παρ' ἐλπίδα ἀναγομένους τοὺς Μακεδόνας ἐπὶ σφᾶς εἶδον, ὑποστρέψαντες ἐκ πολλοῦ ἔφευγον πρὸς τὸ ἄλλο ναυτικόν. (11) Καὶ ἡ μὲν Ἰασσέων ναῦς ἁλίσκεται αὐτοῖς ἀνδράσιν ἐν τῇ φυγῇ, οὐ ταχυναυτοῦσα, αἱ δὲ τέσσαρες ἔφθασαν καταφυγεῖν εἰς τὰς οἰκείας τριήρεις. Οὕτω μὲν δὴ ἀπέπλευσαν ἄπρακτοι ἐκ Μιλήτου οἱ Πέρσαι.

quum Macedonum triremes effugere conarentur, ad fauces portus capti fuerunt : plerique autem in ipsa urbe interfecti.

5. Alexander, urbe jam potitus, eos qui in insulam profugerant classe petit, scalis in proras triremium portari jussis, utpote in abrupta insulæ veluti in murum ex navibus conscensurus. (6) Ut vero eos qui in insula erant extrema tentare velle vidit, commiseratione illorum hominum captus est, quod et generosi et fidi esse videbantur. Ea itaque conditione cum iis pactus est, ut secum militarent. Erant autem ii mercenarii Græci circa trecentos. Milesiis, quotquot in expugnatione urbis cæsi non fuerant, vitam et libertatem dedit.

7. At barbari a Mycale moventes interdiu quidem in Græcanicæ classis conspectum adnavigabant, sperantes illos ad navalem pugnam provocari posse : noctu ad stationem suam, parum commodam, sese recipiebant, quum a Mæandri fluminis ostiis, procul inde, aquari eos oporteret. (8) Alexander, Mileti portu navibus insesso, ne barbari vi facta in eum irrumpere possent, Philotam ad Mycalem mittit cum equitatu et peditum tribus agminibus, ut barbaros descensione in terram prohibeat jubens. Barbari, aquæ ceterarumque rerum necessariarum inopia, tantum non in navibus obsessi, in Samum navigarunt : sumptoque inde commeatu, Miletum redeunt, (9) plurimasque naves ante portum in alto constituunt, ut Macedonas in æquor provocent : quinque autem earum in portum quendam qui inter Laden insulam et exercitum medius erat, sese injecerunt, ea spe ut vacuas Alexandri naves caperent : quum nautas procul a navibus dispersos esse scirent, alios lignatum, alios ad importanda necessaria, alios prædatum egressos. (10) Et pars quidem navalium sociorum aberat : Alexander, ex iis qui præsto erant, decem naves instruens, ut quinque Persarum naves adnavigantes vidit, confestim obviam iis mittit, utque adversis proris in eas ferantur jubet. Persæ Macedones præter omnem exspectationem in se ferri conspicati, e longinquo conversi ad reliquam classem confugiunt. (11) Ac Iassensium quidem navis remigio tardior in fuga capta est : reliquæ quatuor fuga elapsæ ad suas triremes pervenerunt. Atque ita quidem Persæ re infecta Mileto cum classe discesserunt.

ΚΕΦ. Κ'.

Ἀλέξανδρος δὲ καταλῦσαι ἔγνω τὸ ναυτικὸν χρημάτων τε ἐν τῷ τότε ἀπορίᾳ καὶ ἅμα οὐκ ἀξιόμαχον ὁρῶν τὸ αὑτοῦ ναυτικὸν τῷ Περσικῷ, οὔκουν οὐδ' ἐθέλων μέρει τινὶ τῆς στρατιᾶς κινδυνεύειν. Ἄλλως τε ἐπενόει, κατέχων ἤδη τῷ πεζῷ τὴν Ἀσίαν, ὅτι οὔτε ναυτικοῦ ἔτι δέοιτο, τάς τε παραλίους πόλεις λαβὼν καταλύσει τὸ Περσῶν ναυτικόν, οὔτε ὁπόθεν τὰς ὑπηρεσίας συμπληρώσουσιν οὔτε ὅπη τῆς Ἀσίας προσέξουσιν ἔχοντας. Καὶ τὸν ἀετὸν ταύτῃ συνέβαλλεν ὅτι ἐσήμηνεν αὐτῷ ἐκ τῆς γῆς κρατήσειν τῶν νεῶν.

2. Ταῦτα δὲ διαπραξάμενος ἐπὶ Καρίας ἐστέλλετο, ὅτι ἐν Ἁλικαρνασσῷ συνεστηκέναι οὐ φαύλην δύναμιν τῶν τε βαρβάρων καὶ ξένων ἐξηγγέλλετο. Ὅσαι δὲ ἐν μέσῳ πόλεις Μιλήτου τε καὶ Ἁλικαρνασσοῦ, ταύτας ἐξ ἐφόδου λαβὼν καταστρατοπεδεύει πρὸς Ἁλικαρνασσῷ, ἀπέχων τῆς πόλεως ἐς πέντε μάλιστα σταδίους, ὡς ἐπὶ χρονίῳ πολιορκίᾳ. (3) Ἥ τε γὰρ φύσις τοῦ χωρίου ὀχυρὸν ἐποίει αὐτὸ καὶ ὅπη τι ἐνδεὲς ὡς πρὸς ἀσφάλειαν ἐφαίνετο, ξύμπαντα ταῦτα Μέμνων τε αὐτὸς παρών, ἤδη ἀποδεδειγμένος πρὸς Δαρείου τῆς τε κάτω Ἀσίας καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμών, ἐκ πολλοῦ παρεσκευάκει, καὶ στρατιῶται πολλοὶ μὲν ξένοι μισθοφόροι ἐν τῇ πόλει ἐγκατελείφθησαν, πολλοὶ δὲ καὶ Περσῶν αὐτῶν· αἵ τε τριήρεις ἐφώρμουν τῷ λιμένι, ὡς καὶ ἀπὸ τῶν ναυτῶν πολλὴν ὠφέλειαν γίγνεσθαι ἐς τὰ ἔργα.

4. Τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ προσάγοντος Ἀλεξάνδρου τῷ τείχει κατὰ τὰς ἐπὶ Μύλασα φερούσας πύλας, ἐκδρομή τε γίγνεται τῶν ἐκ τῆς πόλεως καὶ ἀκροβολισμός· καὶ τούτους οὐ χαλεπῶς ἀνέστειλάν τε οἱ παρ' Ἀλεξάνδρου ἀντεκδραμόντες καὶ ἐς τὴν πόλιν κατέκλεισαν.

5. Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις Ἀλέξανδρος ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τὴν τῶν ἑταίρων ἵππον καὶ τὴν Ἀμύντου τε καὶ Περδίκκου καὶ Μελεάγρου τάξιν τὴν πεζικήν, καὶ πρὸς τούτοις τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, περιῆλθε τῆς πόλεως τὸ πρὸς Μύνδον μέρος, τό τε τεῖχος κατοψόμενος, εἰ ταύτῃ ἐπιμαχώτερον τυγχάνει ὂν ἐς τὴν προσβολὴν καὶ ἅμα εἰ τὴν Μύνδον ἐξ ἐπιδρομῆς δύναιτο λαθὼν κατασχεῖν· ἔσεσθαι γὰρ οὐ σμικρὰν τὴν ὠφέλειαν ἐς τὴν τῆς Ἁλικαρνασσοῦ πολιορκίαν τὴν Μύνδον οἰκείαν γενομένην· καί τι καὶ ἐνεδίδοτο αὐτῷ ἐκ τῶν Μυνδίων, εἰ λάθοι νυκτὸς προσελθών. (6) Αὐτὸς μὲν δὴ κατὰ τὰ ξυγκείμενα ἀμφὶ μέσας νύκτας προσῆλθε τῷ τείχει· ὡς δὲ οὐδὲν ἐνεδίδοτο ἀπὸ τῶν ἔνδον, αἵ τε μηχαναὶ καὶ αἱ κλίμακες αὐτῷ οὐ παρῆσαν, οἷα δὴ οὐκ ἐπὶ πολιορκίαν σταλέντι, ἀλλ' ὡς ἐπὶ προδοσίᾳ ἐνδιδομένης τῆς πόλεως, πρυσήγαγε καὶ ὡς τῶν Μακεδόνων τὴν φάλαγγα, ὑπορύττειν κελεύσας τὸ τεῖχος. (7) Καὶ ἕνα γε πύργον κατέβαλον οἱ Μακεδόνες· οὐ μέντοι ἐγύμνωσέ γε τὸ τεῖχος πεσών· καὶ οἱ ἐκ τῆς πόλεως ἅμα εὐρώστως ἀμυνόμενοι καὶ ἐκ τῆς Ἁλικαρνασσοῦ κατὰ θάλασσαν πολλοὶ ἤδη παρα-

CAP. XX.

Alexander classem dissolvere statuit, partim quod pecuniæ inopia tum temporis premebatur, partim quod Persicæ classi impar erat : neque cum exercitus sui parte aliqua periclitari volebat. Animadvertebat præterea, quum jam Asiam terrestribus copiis teneret, se classe non egere, maritimisque oppidis captis, facile ut Persæ classem dimitterent esse effecturum. Neque enim unde remiges in supplementum acciperent, neque quo se in Asia reciperent, habere. Aquilam etiam ita interpretatus est, quod significaret ipsum e continente naves victurum.

2. His rebus ita peractis, in Cariam movit, quod apud Halicarnassum non exiguæ tum barbarorum tum exterorum copiæ esse nuntiabantur. Omnibus porro quæ inter Miletum et Halicarnassum sita sunt oppidis primo adventu captis, quinque fere ab urbe stadiis castra locat : quod diuturna obsidio futura videbatur. (3) Nam urbs et natura loci munita erat, et ubi aliquid ad munitionem deesse visum fuerat, hoc omne Memnon, præsens, jam inferioris Asiæ totiusque classis præfectus a Dario declaratus, multo antea procurarat. Et quidem milites mercenarii non pauci urbis præsidio impositi erant, multi etiam Persæ. Triremes etiam in portum duxerat, quum et nautarum opera magno usui esse posset.

4. Igitur primo statim die Alexandro exercitum ad muros adducente, ad portas quæ Mylasa ferunt, magna continuo ex urbe excursio fit, et velitaris pugna excitatur. At Macedones contra in eos excurrentes, parvo negotio represserunt atque in urbem repulerunt.

5. Paucis post diebus Alexander, sumptis scutatis et amicorum equitatu et Amyntæ Perdiccæque et Meleagri pedestribus copiis, ac præter hos sagittariis et Agrianis, transit ad eam urbis partem qua Myndum spectat, murum exploraturus an ea parte commodius oppugnari, et an Myndo pariter subita atque improvisa excursione potiri posset. Myndi enim accessionem magno sibi adjumento ad Halicarnassi obsidionem fore censebat. Et quidem nonnulli Myndenses deditionem Alexandro polliciti erant, si clam per noctem accessisset. (6) Nocte igitur intempesta, uti convenerat, ad muros venit : quumque oppidanos nihil de deditione agitare videret, neque machinæ ac scalæ ad manum essent, quod non oppugnaturus, sed proditione urbem recepturus venerat, nihilominus tamen Macedonum phalange propius admota murum suffodi jubet : (7) qui statim unam turrim subvertunt : cujus tamen ruina murum non nudavit. Oppidani summa vi resistentes et multi Halicarnassenses jam mari suppetias ferentes, Alexandri de capienda

δεδοηθηκότες ἄπορον ἐποίησαν τῷ Ἀλεξάνδρῳ τὴν αὐτοσχέδιόν τε καὶ ἐξ ἐπιδρομῆς κατάληψιν τῆς Μύνδου. Οὕτω μὲν δὴ ἐπανέρχεται Ἀλέξανδρος οὐδὲν πράξας ὧν ἕνεκα ὡρμήθη, καὶ τῇ πολιορκίᾳ τῆς Ἁλικαρνασσοῦ αὖθις προσεῖχε.

8. Καὶ τὰ πρῶτα μὲν τὴν τάφρον, ἣ πρὸ τῆς πόλεως ὀρώρυκτο αὐτοῖς, πλάτος μὲν τριάκοντα μάλιστα πήχεων, βάθος δὲ ἐς πεντεκαίδεκα, ἐχώννυε, τοῦ ῥᾳδίαν εἶναι τὴν προσαγωγὴν τῶν τε πύργων, ἀφ' ὧν ἔμελλε τοὺς ἀκροβολισμοὺς ἐς τοὺς προμαχομένους τοῦ τείχους ποιεῖσθαι, καὶ τῶν ἄλλων μηχανῶν, αἷς κατασείειν ἐπενόει τὸ τεῖχος. Καὶ ἥ τε τάφρος αὐτῷ ἐχώσθη οὐ χαλεπῶς καὶ οἱ πύργοι προσήγοντο ἤδη. (9) Οἱ δὲ ἐκ τῆς Ἁλικαρνασσοῦ νυκτὸς ἐκδραμόντες, ὡς ἐμπρήσαι τούς τε πύργους καὶ ὅσαι ἄλλαι μηχαναὶ προσηγμέναι ἢ οὐ πόρρω τοῦ προσάγεσθαι ἦσαν, ὑπὸ τῶν φυλακῶν τε τῶν Μακεδόνων καὶ ὅσοι ἐν αὐτῷ τῷ ἔργῳ ἐξεγερθέντες παρεβοήθησαν οὐ χαλεπῶς κατεκλείσθησαν ἐς τὰ τείχη αὖθις. (10) Καὶ ἀπέθανον αὐτῶν ἄλλοι τε ἐς ἑβδομήκοντα καὶ ἑκατὸν καὶ Νεοπτόλεμος ὁ Ἀρραβαίου, τοῦ Ἀμύντου ἀδελφός, τῶν παρὰ Δαρεῖον αὐτομολησάντων. Τῶν δ' Ἀλεξάνδρου στρατιωτῶν ἀπέθανον μὲν ἐς ἑκκαίδεκα, τραυματίαι δὲ ἐγένοντο ἐς τριακοσίους, ὅτι ἐν νυκτὶ γενομένης τῆς ἐκδρομῆς ἀφυλακτότεροι ἐς τὸ τιτρώσκεσθαι ἦσαν.

facile primo impetu Myndo spem irritam fecerunt. Ita Alexander rebus, quarum causa venerat, infectis revertitur, et ad Halicarnassi obsidionem rursus se confert.

8. Primum omnium fossam quam oppidani ante urbem duxerant, triginta summum cubitorum latitudine, altitudine quindecim, repleri jubet, quo facilius turres e quibus in propugnatores jacularentur adduci, aliæque machinæ, quibus murum quatere statuerat, admoveri possent. Fossa haud difficulter repleta, turres jam adduci cœperant, (9) quum Halicarnassii noctu excurrentes, animo incendendi et turres et reliquas machinas quæ jam admotæ erant aut parum aberat quin admoverentur, a Macedonibus, quibus custodia machinarum erat commissa, aliisque qui tumultu excitati accurrerunt, parvo negotio intra mœnia repulsi sunt. (10) Cæsi sunt in hoc conflictu ex Halicarnassiis CLXX, in quibus Neoptolemus Arrhabæi filius, Amyntæ frater, unus eorum qui ad Darium transfugerant. Ex Alexandri autem militibus XVI desiderati : vulnerati circiter CCC, quod, quum noctu excursio illa facta esset, minus caveri et evitari telorum jactus poterant.

ΚΕΦ. ΚΑ'.

Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον δύο τῶν Μακεδόνων ὁπλῖται ἐκ τῆς Περδίκκου τάξεως, ξυσκηνοῦντές τε καὶ ἅμα ξυμπίνοντες, αὐτόν τε καὶ τὰ αὐτοῦ ἑκάτερος ἐπὶ μέγα τῷ λόγῳ ἦγεν. Ἔνθα δὴ φιλοτιμία τε ἐσπίπτει αὐτοῖς, καί τι καὶ ὁ οἶνος ὑπεθέρμαινεν, ὥστε ὁπλισάμενοι αὐτοὶ ἐπὶ σφῶν προσβάλλουσι τῷ τείχει κατὰ τὴν ἄκραν τὴν πρὸς Μύλασα μάλιστα τετραμμένην, ὡς ἐπίδειξιν τῆς σφῶν ῥώμης μᾶλλόν τι ἢ πρὸς πολεμίους μετὰ κινδύνου τὸν ἀγῶνα ποιησόμενοι. (2) Καὶ τούτους κατιδόντες τινὲς τῶν ἐκ τῆς πόλεως δύο τε ὄντας καὶ οὐ ξὺν λογισμῷ προσφερομένους τῷ τείχει ἐπεκθέουσιν. Οἱ δὲ τοὺς μὲν ἐγγὺς πελάσαντας ἀπέκτειναν, πρὸς δὲ τοὺς ἀφεστηκότας ἠκροβολίζοντο, πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι, ὅτι ἐξ ὑπερδεξίου τοῖς πολεμίοις ἡ ἐπιδρομή τε καὶ ὁ ἀκροβολισμὸς ἐγίνετο. (3) Καὶ ἐν τούτῳ ἀντεκθέουσί τινες καὶ ἄλλοι τῶν τοῦ Περδίκκου στρατιωτῶν, καὶ ἀπὸ τῆς Ἁλικαρνασσοῦ ἄλλοι· καὶ ξυμπίπτει μάχη καρτερὰ πρὸς τῷ τείχει. Καὶ κατακλείονται αὖθις πρὸς τῶν Μακεδόνων εἴσω τῶν πυλῶν οἱ ἐπεκδραμόντες. Παρ' ὀλίγον δὲ ἦλθε καὶ ἁλῶναι ἡ πολις. (4) Τά τε γὰρ τείχη ἐν τῷ τότε οὐκ ἐν ἀκριβεῖ φυλακῇ ἦν καὶ δύο πύργοι καὶ μεσοπύργιον ἐς ἔδαφος καταπεπτωκότα οὐ χαλεπὴν ἂν τῷ στρατεύματι, εἰ ἅπαντες προσήψαντο τοῦ ἔργου, τὴν ἐς τὸ τεῖχος πάροδον παρέσχε. Καὶ ὁ τρίτος πύργος κατασεσεισμένος οὐδὲ

CAP. XXI.

Paucis post diebus duo armigeri conturbernales ex Perdiccæ agmine, quum inter pocula suas quisque virtutes et facta magnificis verbis extolleret, contentione de honore inter sese orta animisque vino excandescentibus, privato consilio arma capientes, ad muros juxta arcem quæ potissimum Mylasa versus spectat se conferunt, ostentatione potius roboris, quam animo periculosi cum hostibus conflictus adeundi. (2) Hos oppidani quidam conspicati duos modo esse et temere murum petere, excurrunt. Illi incurrentes propius interficiunt, remotiores telis petunt, superati et multitudine et loci difficultate, quum ex editiore loco hostes et impetum facerent et tela mitterent. (3) Multi interea ex Perdiccæ militibus, multi ex Halicarnasso occurrebant. Acris inde pugna ad muros fit, et oppidani qui excurrerant, denuo a Macedonibus in urbem aguntur, parumque abfuit quin urbs caperetur. (4) Nam et in muris parum diligens tum temporis custodia habebatur, et duæ turres una cum muro inter illas medio in solum prostratæ facilem in murum ingressum exercitui, si universus cum adortus fuisset, præbebant. Tertia quoque turris quum quassata esset, ne ipsa quidem difficulter suffossa everti potuisset. At oppidani pro muro

οὗτος χαλεπῶς ἂν ἠρείφθη ὑπορυσσόμενος· ἀλλὰ ἔρθησαν γὰρ ἀντὶ τοῦ πεπτωκότος τείχους ἔσωθεν πλίνθινον μηνοειδὲς ἀντοικοδομησάμενοι οὐ χαλεπῶς, ὑπὸ πολυχειρίας.

6. Καὶ τούτῳ ἐπῆγε τῇ ὑστεραίᾳ τὰς μηχανὰς Ἀλέξανδρος· καὶ ἐκδρομὴ αὖθις γίνεται τῶν ἐκ τῆς πόλεως ἐπὶ τῷ ἐμπρῆσαι τὰς μηχανάς. Καὶ μέρος μέν τι τῶν πλησίον τοῦ τείχους γέρρων καὶ ἑνὸς τῶν πύργων τῶν ξυλίνων κατεκαύθη, τὰ δὲ ἄλλα διεφύλαξαν οἱ περὶ Φιλώταν τε καὶ Ἑλλάνικον, οἷς ἡ φυλακὴ αὐτῶν ἐπετέτραπτο· ὡς δὲ καὶ Ἀλέξανδρος ἐπεφάνη ἐν τῇ ἐκδρομῇ, τάς τε ὀᾴδας ὅσας ἔχοντες ἐκβεβοηθήκεσαν ἀφέντες καὶ τὰ ὅπλα οἱ πολλοὶ αὐτῶν ῥίψαντες εἴσω τοῦ τείχους ἔφευγον. (5) Καίτοι τά γε πρῶτα τῇ φύσει τε τοῦ χωρίου, ὑπερδεξίου ὄντος, ἐπεκράτουν καὶ οὐ κατὰ μέτωπον μόνον ἠκροβολίζοντο ἐς τοὺς προμαχομένους τῶν μηχανῶν, ἀλλὰ καὶ ἐκ τῶν πύργων, οἱ δὴ ἑκατέρωθεν τοῦ ἐρηριμμένου τείχους αὐτοὶ ὑπολελειμμένοι ἐκ πλαγίου τε καὶ μόνον οὐ κατὰ νώτου παρεῖχον ἀκροβολίζεσθαι ἐς τοὺς τῷ ἀντῳκοδομημένῳ τείχει προσάγοντας.

qui corruerat alium lateritium instar nascentis lunæ sinuatum intrinsecus construxerant, neque id difficulter, ob eorum qui operam suam conferebant multitudinem.

5. Huic muro quum postridie Alexander machinas admovisset, oppidani rursus excurrunt, machinis ignem immissuri, ac nonnulla quidem tabernacula muro proxima et pars unius turris ligneæ exusta sunt : cætera a Philota et Hellanico, quibus machinarum custodia commissa erat, defensa sunt. Simulac vero Alexandrum ipsum in excursione illa conspexere, facibus quibus ad vim arcendam excurrerant omissis, multi etiam armis abjectis, intra muros confugerunt. (6) Ac primo quidem, quod locus sua natura commodus atque eminens erat, superiores erant, neque solum ex adverso in machinarum propugnatores tela jaciebant, verum etiam ex turribus, quæ ex utraque muri diruti parte reliquæ erant, eos qui in murum recens exstructum impetum faciebant, ex obliquo et tantum non a tergo feriebant.

ΚΕΦ. ΚΒ'.

Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐπάγοντος αὖθις Ἀλεξάνδρου τὰς μηχανὰς τῷ πλινθίνῳ τῷ ἐντὸς τείχει καὶ αὐτῷ ἐφηστηκότων τῷ ἔργῳ, ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως τῶν μὲν κατὰ τὸ ἐρηριμμένον τείχος, ᾗ αὐτὸς Ἀλέξανδρος ἐπετέταχτο, τῶν δὲ κατὰ τὸ Τρίπυλον, ᾗ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς Μακεδόσιν ἦν. (2) Καὶ οἱ μὲν ὀᾴδας τε ταῖς μηχαναῖς ἐνέβαλλον καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ἐπὶ μέγα προκαλέσασθαι· τῶν δὲ ἀμῳ' Ἀλέξανδρον αὐτῶν τε ἐμβαλλόντων ἐς αὐτοὺς ἐῤῥωμένως καὶ ταῖς μηχαναῖς ἀπὸ τῶν πύργων λίθων τε μεγάλων ἀφιεμένων καὶ βελῶν ἐξακοντιζομένων, οὐ χαλεπῶς ἀπεστράφησάν τε καὶ ἔφυγον ἐς τὴν πόλιν. (3) Καὶ φόνος ταύτῃ οὐκ ὀλίγος ἐγένετο, ὅσῳ πλείονές τε καὶ ξὺν μείζονι τῇ τόλμῃ ἐξέδραμον. Οἱ μὲν γὰρ εἰς χεῖρας ἐλθόντες τοῖς Μακεδόσιν ἀπέθανον, οἱ δὲ ἀμφὶ τῷ τείχει τῷ καταπεπτωκότι, στενωτέρας τε ἢ κατὰ τὸ πλῆθος αὐτῶν τῆς παρόδου οὔσης καὶ τῶν κατερηριμμένων τοῦ τείχους χαλεπὴν τὴν ὑπέρβασιν αὐτοῖς παρεχόντων.

4. Τοῖς δὲ κατὰ τὸ Τρίπυλον ἐκδραμοῦσιν ἀπήντα Πτολεμαῖος ὁ σωματοφύλαξ ὁ βασιλικός, τήν τε Ἀδδαίου καὶ Τιμάνδρου ἅμα οἳ τάξιν ἄγων καὶ ἕστιν οὓς τῶν ψιλῶν· καὶ οὗτοι οὐδὲ αὐτοὶ χαλεπῶς ἐτρέψαντο τοὺς ἐκ τῆς πόλεως. (5) Ξυνέβη δὲ καὶ τούτοις ἐν τῇ ἀποχωρήσει κατὰ στενὴν γέφυραν τὴν ἐπὶ τῆς τάφρου πεποιημένην φεύγουσι τήν τε γέφυραν αὐτὴν ὑπὸ πλήθους ξυντρῖψαι καὶ πολλοὺς αὐτῶν ἐς τὴν τάφρον ἐμπεσόντας τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας διαφθαρῆναι, τοὺς δὲ καὶ ἄνωθεν ὑπὸ τῶν Μακεδόνων βαλλομένους. (6) Ὁ πλεῖστος δὲ φόνος περὶ ταῖς πύλαις αὐταῖς ξυνέβη, ὅτι

CAP. XXII.

Ceterum non multis postea diebus quum Alexander iterum interiori muro lateritio machinas admoveret atque ipsimet operi instaret, universa civitas portis erumpit, alii qua parte murus demolitus erat et Alexander ipse premebat : alii Tripylum versus, qua Macedones eruptionem minime exspectabant. (2) Nonnulli faces machinis immittunt aliaque fomenta quæ incendium augere atque amplificare possint : Macedonibus contra acriter proruentibus atque ex turribus ingentia saxa et tela in eos torquentibus, facile in fugam acti et in urbem repulsi sunt : (3) tantoque major ibi strages edita est, quanto plures majoreque audacia excurrerant. Nam qui manus cum Macedonibus conseruerant, cæsi sunt : alii juxta muri ruinam, quum et transitus angustior esset quam ut tantæ multitudini sufficeret, et strages ipsius muri difficilem ascensum faceret.

4. Iis vero qui Tripylum versus excurrerant obviam ivit Ptolemæus regius corporis custos, Addæi et Timandri simul agnen secum ducens et nonnullos expeditos, qui etiam ipsi facile oppidanos repressserunt. (5) Quibus hoc præterea in recessu infortunii accidit, ut iis per angustum pontem, quem supra fossam duxerant, fugientibus, ponte præ multitudine incumbentium rupto, alii in fossam prolapsi, alii a suis proculcati, alii a Macedonibus ex alto telis icti perierint. (6) Plurima autem cædes ad portas ipsas edita est, quum præ nimio metu præpropere ac parum tempestive claude-

ἡ ξύγκλεισις τῶν πυλῶν φοβερά τε καὶ πρὸ τοῦ καιροῦ γενομένη, δεισάντων μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν ἐχόμενοι αὐτῶν οἱ Μακεδόνες, πολλοὺς καὶ τῶν φιλίων τῆς εἰσόδου ἀπέκλεισεν, οὓς πρὸς αὐτοῖς τοῖς τείχεσιν οἱ Μακεδόνες διέφθειραν. (7) Καὶ παρ' ὀλίγον ἦκεν ἁλῶναι ἡ πόλις, εἰ μὴ Ἀλέξανδρος ἀνεκαλέσατο τὸ στράτευμα, ἔτι διασῶσαι ἐθέλων τὴν Ἁλικαρνασσόν, εἴ τι φίλιον ἐνδοθείη ἐκ τῶν Ἁλικαρνασσέων. Ἀπέθανον δὲ τῶν μὲν ἐκ τῆς πόλεως ἐς χιλίους, τῶν δὲ ξὺν Ἀλεξάνδρῳ ἀμφὶ τοὺς τεσσαράκοντα, καὶ ἐν τούτοις Πτολεμαῖός τε ὁ σωματοφύλαξ καὶ Κλέαρχος ὁ τοξάρχης καὶ Ἀδδαῖος χιλιάρχης, οὗτοι καὶ ἄλλοι τῶν οὐκ ἠμελημένων Μακεδόνων.

ΚΕΦ. ΚΓ'.

Ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν Περσῶν, Ὀροντοβάτης τε καὶ Μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες σφᾶς τε οὐ δυναμένους ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορκίᾳ καὶ τοῦ τείχους τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶντες, τὸ δὲ κατασεσεισμένον, πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν ταῖς ἐκδρομαῖς τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ καὶ ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας, (2) ταῦτα ἐν νῷ λαβόντες ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς τόν τε ξύλινον πύργον ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχαναῖς τῶν πολεμίων ἐμπιπρᾶσι καὶ τὰς στοὰς ἐν αἷς τὰ βέλη αὐτοῖς ἀπέκειτο. (3) Ἐνέβαλον δὲ καὶ ταῖς οἰκίαις πῦρ ταῖς πλησίον τοῦ τείχους· τῶν δὲ καὶ προσήψατο ἡ φλὸξ ἀπό τε τῶν στοῶν καὶ τοῦ πύργου πολλὴ ἐπενεχθεῖσα καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος· αὐτῶν δὲ οἱ μὲν ἐς τὴν Ἀρκόννησον ἀπεχώρησαν, οἱ δὲ ἐς τὴν Σαλμακίδα ἄκραν οὕτω καλουμένην. (4) Ἀλεξάνδρῳ δὲ ὡς ἀπηγγέλθη ταῦτα ἐκ τινῶν αὐτομολησάντων ἐκ τοῦ ἔργου, καὶ τὸ πῦρ πολὺ καθεώρα αὐτός, κείτοι ἀμφὶ μέσας που νύκτας ἦν τὸ γιγνόμενον, ὁ δὲ καὶ ὡς ἐξαγαγὼν τοὺς Μακεδόνας τοὺς μὲν ἔτι ἐμπιπράντας τὴν πόλιν ἐκτεῖνεν, ὅσοι δὲ ἐν ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν Ἁλικαρνασσέων, τούτους δὲ σώζειν παρήγγειλεν.

5. Ἤδη τε ἕως ὑπέφαινε καὶ κατιδὼν τὰς ἄκρας ἃς οἵ τε Πέρσαι καὶ οἱ μισθοφόροι κατειλήφεσαν, ταύτας μὲν ἀπέγνω πολιορκεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαί οἱ ἀμφ' αὐτὰς τῇ φύσει τῶν χωρίων καὶ οὐ παρὰ μέγα εἶναι ἐξελόντι οἱ τὴν πόλιν ἤδη πᾶσαν. (6) Θάψας δὲ τοὺς ἀποθανόντας ἐν τῇ νυκτί, τὰς μὲν μηχανὰς ἐς Τράλλεις ἀπαγαγεῖν ἐκέλευσε τοὺς ἐπ' αὐταῖς τεταγμένους· αὐτὸς δὲ τὴν πόλιν εἰς ἔδαφος κατασκάψας, αὐτῆς τε ταύτης καὶ τῆς ἄλλης Καρίας φυλακὴν ἐγκαταλιπὼν ξένους μὲν πεζοὺς τρισχιλίους, ἱππέας δὲ ἐς διακοσίους καὶ Πτολεμαῖον ἡγεμόνα αὐτῶν, ἐπὶ Φρυγίας ἐστέλλετο. (7) Τῆς δὲ Καρίας ξυμπάσης σατραπεύειν ἔταξεν Ἄδαν, θυγατέρα μὲν Ἑκατόμνω, γυναῖκα δὲ Ἱδριέως, ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν κατὰ νόμον τῶν Καρῶν ξυνῴκει. Καὶ ὁ μὲν Ἱδριεὺς τελευτῶν ταύτῃ ἐπέτρεψε τὰ πράγματα,

rentur. Veriti enim ne fugientibus impliciti Macedones una in urbem irruerent, multos ex suis excluserunt, qui a Macedonibus ad ipsa mœnia cæsi sunt. (7) Parumque aberat quin urbs ipsa caperetur, nisi Alexander exercitum revocasset, conservandæ adhuc urbis cupidus, si quam Halicarnassii compositionis ansam præbuissent. Ex oppidanis circiter mille cæsi : ex Macedonibus fere quadraginta : atque in his Ptolemæus, corporis custos, et Clearchus, sagittariorum dux, et Addæus chiliarcha, aliique non obscuri nominis Macedones.

CAP. XXIII.

Posthæc congressi Orontobates et Memnon Persarum duces, e re præsenti satis intelligentes se non posse multo tempore obsidionem sustinere, et muros partim jam dirutos partim labefactatos cernentes, plerosque etiam militum in excursionibus aut cæsos aut vulneribus inutiles ad pugnam factos : (2) re accuratius perpensa, sub secundam noctis vigiliam turrim ligneam, quam adversus hostium machinas construxerant, et porticus, in quibus tela eorum reposita erant, incendunt : (3) ædibus etiam muro proximis ignem injiciunt. Quasdam vero etiam comprehendit flamma et ex turri plurima illata, vento etiam nonnihil huc ferente. Oppidanorum vero alii in Arconnesum, alii in Salmacidem arcem quæ vocatur sese receperunt. (4) Quæ quum Alexander ex transfugis qui ex ea clade venerant cognovisset, ipseque magnos ignes cerneret, tametsi jam intempesta nox esset quum id fieret, nihilominus tamen immissis Macedonibus, eos qui urbem etiamnum incenderent trucidari jubet : iis vero Halicarnassensium qui intra domesticos parietes inventi essent parci.

5. Illucescente demum aurora, contemplatus arces, quas Persæ pariter et mercenarii occuparant, eas nequaquam obsidendas esse statuit : tum quod multum temporis ob locorum naturam sibi periturum esset, quodque non magni momenti essent, postquam ipse totam urbem evertisset. (6) Mortuis itaque noctu sepultis, machinarum præfectis ut eas in Tralles avehant jubet. Ipse urbem solo adæquavit : eique et reliquæ Cariæ præsidio imposito, exterorum peditum trium millium, equitum ducentorum, ac Ptolemæo iis præfecto, in Phrygiam movit. (7) Satrapatum totius Cariæ Adæ tribuit. Hecatomni filia hæc erat, Hidriei uxor : qui quum frater ejus esset, Carum tamen lege can-

νενομισμένον ἐν τῇ Ἀσίᾳ ἔτι ἀπὸ Σεμιράμεως καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. Πιξώδαρος δὲ τὴν μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγματα. (8) Τελευτήσαντος δὲ Πιξωδάρου, Ὀροντοβάτης τὴν Καρῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε, γαμβρὸς ὢν Πιξωδάρου. Ἄδα δὲ Ἀλινδα μόνον κατεῖχε, χωρίον τῆς Καρίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐσβαλόντι Ἀλεξάνδρῳ ἐς Καρίαν ἀπήντα, τά τε Ἀλινδα ἐνδιδοῦσα καὶ παῖδα οἱ τιθεμένη Ἀλέξανδρον. Καὶ Ἀλέξανδρος τά τε Ἀλινδα αὐτῇ ἐπέτρεψε καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσε, καὶ ἐπειδὴ Ἁλικαρνασσόν τε ἐξεῖλε καὶ τῆς ἄλλης Καρίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε.

ΚΕΦ. ΚΔ'.

Τῶν Μακεδόνων δὲ ἔστιν οἳ συνεστρατευμένοι Ἀλεξάνδρῳ ἦσαν νεωστὶ πρὸ τῆς στρατείας γεγαμηκότες· καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναι οἱ Ἀλέξανδρος, ἀλλ' ἐκπέμπει γὰρ αὐτοὺς ἐκ Καρίας διαχειμάσοντας ἐν Μακεδονίᾳ ἅμα ταῖς γυναιξίν, ἐπιτάξας αὐτοῖς Πτολεμαῖόν τε τὸν Σελεύκου, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν, καὶ τῶν στρατηγῶν Κοῖνόν τε τὸν Πολεμοκράτους καὶ Μελέαγρον τὸν Νεοπτολέμου, ὅτι καὶ αὐτοὶ τῶν νεογάμων ἦσαν, (2) προστάξας, ἐπειδὰν αὐτοί τε ἐπανίωσι καὶ τοὺς μετὰ σφῶν ἐκπεμφθέντας ἐπανάγωσι, καταλέξαι ἱππέας τε καὶ πεζοὺς ἐκ τῆς χώρας ὅσους πλείστους. Καὶ τῷ ἔργῳ τῷδε, εἴπερ τινὶ ἄλλῳ, εὐδοκίμησε παρὰ Μακεδόσιν Ἀλέξανδρος. Ἔπεμψε δὲ καὶ Κλέανδρον τὸν Πολεμοκράτους ἐπὶ ξυλλογῇ στρατιωτῶν εἰς Πελοπόννησον.

3. Παρμενίωνα δὲ πέμπει ἐπὶ Σάρδεων, δοὺς αὐτῷ τῶν τε ἑταίρων ἱππαρχίαν καὶ τοὺς Θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους ξυμμάχους καὶ τὰς ἁμάξας ἄγειν· καὶ κελεύει προϊέναι ἀπὸ Σάρδεων ἐπὶ Φρυγίαν. Αὐτὸς δὲ ἐπὶ Λυκίας τε καὶ Παμφυλίας ἦει, ὡς τῆς παραλίου κρατήσας ἀχρεῖον καταστῆσαι τοῖς πολεμίοις τὸ ναυτικόν. (4) Καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρνα, χωρίον ὀχυρόν, φυλακὴν ἔχον ξένους μισθοφόρους, ἐξ ἐφόδου ἑλαβεν· οἱ δ' ἐκ τῆς ἄκρας ξένοι ὑπόσπονδοι ἐξῆλθον. Ἔπειτα εἰσβαλὼν ἐς Λυκίαν Τελμισσέας μὲν ὁμολογίᾳ προσηγάγετο· περάσας δὲ τὸν Ξάνθον ποταμὸν Πίναρα καὶ Ξάνθον τὴν πόλιν καὶ Πάταρα ἐνδοθέντα ἕλαβε καὶ ἄλλα ἐλάττω πολίσματα ἐς τριάκοντα.

5. Ταῦτα καταπράξας ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος ἐς τὴν Μιλυάδα καλουμένην χώραν εἰσβάλλει, ἣ ἔστι μὲν τῆς μεγάλης Φρυγίας, ξυνετέλει δὲ ἐς τὴν Λυκίαν τότε, οὕτως ἐκ βασιλέως μεγάλου τεταγμένον. Καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἦκον περὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ στεφανῶσαι Ἀλέξανδρον· καὶ ὑπὲρ τῶν αὐτῶν ἐπιχηρυκευόμενοι ἐπρέσβευον Λυκίων τῶν κάτω οἱ πολλοί. (6) Ἀλέξανδρος δὲ Φασηλίτας τε καὶ Λυκίους παραδοῦναι τὰς πόλεις τοῖς ἐπὶ τούτῳ στελλομένοις ἐκέλευσε· καὶ παρεδόθησαν ξύμπασαι. Αὐτὸς δὲ ὀλίγον

dem et uxorem habuerat. Moriens vero Hidrieus regni administrationem ei reliquerat. Usitatum enim est in Asia jam inde a Semiramide, ut etiam feminæ imperent viris. Adan vero Pixodarus regno ejecerat, summam rerum potestatem usurpans. (8) Defuncto Pixodaro Orontobates Carum regnum a rege missus tenebat, utpote Pixodari gener. Ada vero unicam in Caria eamque munitissimam urbem, Alinda nomine, tenebat. Hæc Alexandro Cariam cum exercitu ingresso obviam profecta, Alinda ei tradit eumque sibi filium adoptat. Alexander Alinda ei custodienda relinquit et filii nomen non aspernatur. Porro deleta Halicarnasso, quum tota Caria potitus esset, totius provinciæ imperium illi detulit.

CAP. XXIV.

Posthæc quum ex Macedonibus qui secum militabant nonnulli paulo ante expeditionem uxores duxissent, etiam horum res Alexander minime negligendas existimavit. Itaque iis ex Caria dimissis, hibernandi in Macedonia cum uxoribus potestatem facit, Ptolemæo Seleuci filio uno ex regiis corporis custodibus, iis præfecto, ex ducibus vero copiarum, Cœno, Polemocratis filio, et Meleagro, Neoptolemi filio, (quod etiam hi recens uxores duxerant) adjunctis. (2) Imperatque ut, quum ipsi reverterentur et eos qui una dimissi erant reducerent, equitatum ac peditatum, quam maximum possent, ex ea regione conscriberent. Quo quidem facto, si quo unquam, magnam sibi Alexander apud Macedones laudem comparavit. Cleandrum autem Polemocratis filium ad militem conscribendum in Peloponnesum misit.

3. Parmenionem vero Sardes mittit, data huic amicorum equitum præfectura: utque Thessalos equites aliosque auxiliarios, et plaustra ducat atque Sardibus in Phrygiam proceedat, jubet. Ipse in Lyciam et Pamphyliam tendit, ut oris maritimis in potestatem redactis, classem hostium inutilem ipsis efficiat. (4) Ac primo quidem ex itinere Hyparna, oppidum munitum quodque exterum militem mercenarium præsidio habebat, primo accessu cepit. Mercenarii qui arcem tenebant fide data exiere. Deinde Lyciam cum exercitu ingressus Telmissenses pactis sibi conciliavit. Transmisso inde Xantho flumine Pinara et Xanthum urbem et Patara deditione accepit; aliaque minora oppida circiter triginta.

5. His rebus gestis media hieme in Milyada regionem ita vocatam movet, quæ quidem majoris Phrygiæ pars, sed magno rege ita jubente, tunc Lyciæ contributaria erat. Eo loci Phaselitarum legati venerunt, amicitiam petentes, aureaque corona Alexandrum coronaturi: et plerique ex inferiori Lycia legatos, qui de iisdem rebus tractarent, miserunt. (6) Alexander Phaselitis et Lyciis, ut urbes iis qui ad hoc missi essent tradant, imperat; quæ quidem omnes traditæ sunt. Ipse paulo post in Phaselitas profectus,

ὕστερον ἐς τὴν Φασηλίδα παραγενόμενος συνεξαιρεῖ αὐτοῖς φρούριον ὀχυρόν, ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Πισιδῶν, ὅθεν ὁρμώμενοι οἱ βάρβαροι πολλὰ ἔβλαπτον τῶν Φασηλιτῶν τοὺς τὴν γῆν ἐργαζομένους.

ΚΕΦ. ΚΕ'.

Ἔτι δὲ αὐτῷ περὶ τὴν Φασηλίδα ὄντι ἐξαγγέλλεται Ἀλέξανδρον τὸν Ἀερόπου ἐπιβουλεύειν, τά τε ἄλλα τῶν ἑταίρων ὄντα καὶ ἐν τῷ τότε Θεσσαλῶν τῆς ἵππου ἄρχοντα. Ἦν μὲν δὴ ὁ Ἀλέξανδρος οὗτος ἀδελφὸς Ἡρομένους τε καὶ Ἀρραβαίου τῶν ξυνεπιλαβόντων τῆς σφαγῆς τῆς Φιλίππου· (2) καὶ τότε αἰτίαν σχόντα αὐτὸν Ἀλέξανδρος ἀφῆκεν, ὅτι ἐν πρώτοις τε ἀφίκετο τῶν φίλων παρ' αὐτόν, ἐπειδὴ Φίλιππος ἐτελεύτησε, καὶ τὸν θώρακα συνενδὺς συνηκολούθησεν αὐτῷ εἰς τὰ βασίλεια· ὕστερον δὲ καὶ ἐν τιμῇ ἀμφ' αὐτὸν εἶχε, στρατηγόν τε ἐπὶ Θρᾴκης στείλας, καὶ ἐπειδὴ Κάλας ὁ τῶν Θετταλῶν ἵππαρχος ἐπὶ σατραπείᾳ ἐξεπέμφθη, αὐτὸν ἀπέδειξεν ἄρχειν τῆς Θεσσαλικῆς ἵππου. Τὰ δὲ τῆς ἐπιβουλῆς ἐξηγγέλθη ὧδε.

3. Δαρεῖος, ἐπειδὴ Ἀμύντας αὐτομολήσας παρ' αὐτὸν λόγους τέ τινας καὶ γράμματα παρὰ τοῦ Ἀλεξάνδρου τούτου ἐκόμισε, καταπέμπει ἐπὶ θάλασσαν Σισίνην, ἄνδρα Πέρσην τῶν ἀμφ' αὐτὸν πιστόν, πρόφασιν μὲν παρὰ Ἀτιζύην, τὸν Φρυγίας σατράπην, τῇ δὲ ἀληθείᾳ τῷ Ἀλεξάνδρῳ τούτῳ συνεσόμενον καὶ πίστεις δώσοντα, εἰ ἀποκτείνει βασιλέα Ἀλέξανδρον, αὐτὸν βασιλέα καταστήσειν τῆς Μακεδονίας καὶ χρυσίου τάλαντα πρὸς τῇ βασιλείᾳ ἐπιδώσειν χίλια. (4) Ὁ δὲ Σισίνης ἁλοὺς πρὸς Παρμενίωνος λέγει πρὸς Παρμενίωνα ὧν ἕνεκα ἀπεσταλη· καὶ τοῦτον [αὐτίκα] ἐν φυλακῇ πέμπει Παρμενίων παρ' Ἀλέξανδρον, καὶ πυνθάνεται ταὐτὰ παρ' αὐτοῦ Ἀλέξανδρος. Συναγαγὼν δὲ τοὺς φίλους βουλὴν προὐτίθη ὅ τι χρὴ ὑπὲρ Ἀλεξάνδρου γνῶναι. (5) Καὶ ἐδόκει τοῖς ἑταίροις μήτε πάλαι εὖ βεβουλεῦσθαι τὸ κράτιστον τοῦ ἱππικοῦ ἀνδρὶ οὐ πιστῷ ἐπιτρέψας, νῦν τε χρῆναι αὐτὸν κατὰ τάχος ἐκποδὼν ποιεῖσθαι, πρὶν καὶ ἐπιτηδειότερον γενόμενον τοῖς Θετταλοῖς ξὺν αὐτοῖς τι νεωτερίσαι. (6) Καί τι καὶ θεῖον ἐφόβει αὐτούς. Ἔτι γὰρ πολιορκοῦντος αὐτοῦ (Ἀλεξάνδρου) Ἁλικαρνασσὸν ἀναπαύεσθαι μὲν ἐν μεσημβρίᾳ, χελιδόνα δὲ περιπέτεσθαι ὑπὲρ τῆς κεφαλῆς τρύζουσαν μεγάλα καὶ τῆς εὐνῆς ἄλλῃ καὶ ἄλλῃ καθίζειν, θορυβωδέστερον ἢ κατὰ τὸ εἰωθὸς ᾄδουσαν. (7) Τὸν δὲ ὑπὸ καμάτου ἐγερθῆναι μὲν ἀδυνάτως ἔχειν ἐκ τοῦ ὕπνου, ἐνοχλούμενον δὲ πρὸς τῆς φωνῆς τῇ χειρὶ οὐ βαρέως ἀποσοβῆσαι τὴν χελιδόνα· τὴν δὲ τοσούτου ἄρα δεῆσαι ἀποφυγεῖν πλῆξαι, ὥστε ἐπὶ τῆς κεφαλῆς αὐτῆς τοῦ Ἀλεξάνδρου καθημένην μὴ πρόσθεν ἀνεῖναι, πρὶν παντελῶς ἐξεγερθῆναι Ἀλέξανδρον. (8) Καὶ Ἀλέξανδρος οὐ φαῦλον ποιησάμενος τὸ τῆς χελιδόνος ἀνεκοίνωσεν Ἀριστάνδρῳ τῷ Τελμισσεῖ, μάντει· Ἀρίστανδρον δὲ ἐπιβουλὴν μὲν

una cum ipsis castellum quoddam munitum, quod Pisidæ in eorum regione exstruxerant, expugnat, unde barbari excurrentes Phaselitas agrum colentes multis damnis afficiebant.

CAP. XXV.

Interea dum apud Phaselitas est Alexander certior fit, Alexandrum Aeropi filium ejus vitæ insidiari, quum aliquot ex amicis esset, et tum temporis Thessalico equitatui præesset. Erat hic Alexander Heromenis et Arrhabæi frater, qui necis Philippi adjutores fuerant. (2) Et tum quidem in culpa quum esset, Alexander eum dimiserat, quod inter primos amicorum post Philippi obitum ad se venisset et thorace indutus cum in regiam comitatus esset. Postea vero multis honoribus affectum sibi adjunxerat, ducemque copiarum in Thraciam miserat, et Cala Thessalici equitatus præfecto ad satrapatum misso, hunc Thessalis ducem dederat. Insidiarum vero ratio ita denuntiata est.

3. Darius, acceptis per Amyntam transfugam ab hoc Alexandro mandatis et literis, Sisinem hominem Persam, cui plurimum fidebat, ad maritimam oram mittit, prætextu quidem legationis ad Atizyem, Phrygiæ satrapam: re vera autem, ut Alexandrum hunc adiret fidemque faceret, si regem Alexandrum interficeret, Macedoniæ regnum et mille insuper auri talenta se illi daturum. (4) Sed Sisines a Parmenione comprehensus, causam suæ legationis ei explicavit. Parmenio statim illum cum custodia ad Alexandrum mittit, qui eadem ex illo cognoscit. Convocatis autem amicis, quid de Alexandro statuendum sit, consultat. (5) Amicis visum est, parum consulte initio factum fuisse, quod præstantissimum equitatum homini non fido commisisset: nunc vero celeriter illum de medio tollendum, priusquam conciliatis Thessalorum animis res novas una cum iis moliretur. (6) Prodigium etiam quoddam timorem ipsis adjecit. Alexandro enim adhuc Halicarnassum obsidente et sub meridiem quiescente, ferunt hirundinem dormientis caput circumvolitasse, magnos garritus edentem, et modo in hoc modo in illud lecti latus insedisse, turbulentius quam illius avis consuetudo fert canentem. (7) Ipsum præ defatigatione e sommo excitari non potuisse: sed quum strepitu suo molesta esset, leviter manu hirundinem repulisse: illam tantum abfuisse ut repulsa avolarit, ut ipsius capiti insidens non prius cantare desiterit, quam Alexander penitus expergefactus fuerit. (8) Is prodigium illud non levis momenti esse ratus, Aristandrum Telmissensem vatem consulit: qui insidias Alexandro

ἔκ του τῶν φίλων σημαίνεσθαι αὐτῷ εἰπεῖν, σημαίνεσθαι δὲ καὶ ὅτι καταφανὴς ἔσται· τὴν γὰρ χελιδόνα σύντροφόν τε εἶναι ὄρνιθα καὶ εὔνουν ἀνθρώποις καὶ λάλον μᾶλλον ἢ ἄλλην ὄρνιθα.

9. Ταῦτά τε οὖν καὶ τὰ ἀπὸ τοῦ Πέρσου ξυνθεὶς πέμπει ὡς Παρμενίωνα Ἀμφοτερὸν τὸν Ἀλεξάνδρου μὲν παῖδα, ἀδελφὸν δὲ Κρατέρου· καὶ ξυμπέμπει αὐτῷ τῶν Περγαίων τινὰς τὴν ὁδὸν ἡγησομένους. Καὶ ὁ Ἀμφοτερὸς στολὴν ἐνδὺς ἐπιχώριον, ὡς μὴ γνώριμος εἶναι κατὰ τὴν ὁδὸν, λανθάνει ἀφικόμενος παρὰ Παρμενίωνα· (10) καὶ γράμματα μὲν οὐ κομίζει παρ' Ἀλεξάνδρου· οὐ γὰρ ἔδοξε γράφειν ὑπὲρ οὐδενὸς τοιούτου ἐς τὸ ἐμφανές· τὰ δὲ ἀπὸ γλώσσης οἱ ἐντεταλμένα ἐξήγγειλε. Καὶ οὕτω ξυλλαμβάνεται ὁ Ἀλέξανδρος οὗτος καὶ ἐν φυλακῇ ἦν.

ΚΕΦ. ΚΣ'.

Ἀλέξανδρος δὲ ἄρας ἐκ Φασηλίδος, μέρος μέν τι τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέργης, ἣ ὡδοποιήκεσαν αὐτῷ οἱ Θρᾷκες χαλεπὴν ἄλλως καὶ μακρὰν οὖσαν τὴν πάροδον· αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τοῦ αἰγιαλοῦ ἦγε τοὺς ἀμφ' αὐτόν. Ἔστι δὲ ταύτῃ ἡ ὁδὸς οὐκ ἄλλως ὅτι μὴ τῶν ἀπ' ἄρκτου ἀνέμων πνεόντων· εἰ δὲ νότοι κατέχοιεν, ἀπόρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδοιπορεῖν. (2) Τότε δ' ἐκ νότων σκληρῶν βορέαι ἐπιπνεύσαντες, οὐκ ἄνευ τοῦ θείου, ὡς αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἐξηγοῦντο, εὐμαρῆ καὶ ταχεῖαν τὴν πάροδον παρέσχον. Ἐκ Πέργης δὲ ὡς προῆει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Ἀσπενδίων αὐτοκράτορες, τὴν μὲν πόλιν ἐνδιδόντες, φρουρὰν δὲ μὴ εἰσάγειν δεόμενοι. (3) Καὶ περὶ μὲν τῆς φρουρᾶς πράξαντες ἀπῆλθον ὅσα ἠξίουν, πεντήκοντα δὲ τάλαντα κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοῖς ἐς μισθὸν καὶ τοὺς ἵππους οὓς δασμὸν βασιλεῖ ἔτρεφον. Οἱ δὲ ὑπέρ τε τοῦ ἀργυρίου καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι ἀπῆλθον.

4. Ἀλέξανδρος δὲ ἐπὶ Σίδης ἦει. Εἰσὶ δὲ οἱ Σιδῆται Κυμαῖοι ἐκ Κύμης τῆς Αἰολίδος· καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τόνδε τὸν λόγον, ὅτι ὡς κατῆράν τε ἐς τὴν γῆν ἐκείνην οἱ πρῶτοι ἐκ Κύμης σταλέντες καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν, αὐτίκα τὴν μὲν Ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς δὲ βάρβαρον φωνὴν ἔσαν, οὐδὲ τῶν προσχώρων βαρβάρων, ἀλλὰ ἰδίαν σφῶν οὔπω πρόσθεν οὖσαν τὴν φωνήν· καὶ ἐκτότε οὐ κατὰ τοὺς ἄλλους προσχώρους Σιδῆται ἐβαρβάριζον. (5) Καταλιπὼν δὲ φρουρὰν ἐν [τῇ] Σίδῃ, προῆει ἐπὶ Σύλλιον, χωρίον ὀχυρὸν καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων. Ἀλλ' οὔτε τὸ Σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν, ἐπεί τε ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδὸν τοὺς Ἀσπενδίους ὅτι οὐδὲν τῶν ξυγκειμένων πρᾶξαι ἐθέλοιεν, οὔτε τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν οὔτε ἀπαριθμῆσαι τὰ χρήματα, καὶ

ab amico quodam strui, portendi respondit, fore tamen ut insidiæ proderentur. Hirundinem enim coalumnam atque amicam hominibus esse ac præ cæteris avibus garrulam.

9. Vatis itaque responsum cum Persæ dictis conferens, Amphoterum Alexandri quidem filium, Crateri autem fratrem, ad Parmenionem mittit, Pergensibus aliquot, qui itineris duces essent, adjunctis. Amphoterus, habitu illius regionis assumpto, ne in itinere agnosceretur, clam ad Parmenionem pervenit: (10) ac nihil quidem ab Alexandro literarum adfert, (nihil enim hac de re aperte literis committendum judicarat) sed verbis mandata exponit. Atque ita Alexander hic capitur, et custodiæ traditur.

CAP. XXVI.

Alexander ex Phaselide movens, aliquam exercitus partem per montana Pergas mittit, qua Thraces viam patefecerant, arduam alias et longam; ipse secus mare per littus suos ducit. Via autem haec aliter confici non potest, nisi ventis a septentrione flantibus: austro autem invalescente, ægre per littus iter fit. (2) Tum vero pro vehementibus austris boreales venti exorti, non absque divino quodam numine (ut ipse Alexander, et qui cum eo erant, interpretabantur) facilem ac celerem transitum præbuerunt. Ex Pergis progressus, obvios habuit legatos Aspendiorum liberis mandatis instructos, oppidum dedentes quidem illi, at ne præsidia imponeret deprecantes. (3) Ac de præsidio quidem postulata impetrarunt: quinquaginta vero talenta in exercitus stipendia iis imperat et equos, quos tributi nomine Dario nutriebant. Equos itaque et argenti summam daturos se polliciti, discedunt.

4. Alexander inde in Siden movit: sunt autem Sidetæ Cumæi, ex Cumis Æoliis oriundi; qui quidem de hujusmodi quippiam narrant. Nimirum majores qui e Cumis profecti eo appulerunt atque in eam regionem habitandam descenderunt, repente Græcanicæ linguæ oblitos fuisse, statimque barbaros sonos emisisse: nec tamen illos cum barbaris vicinis communes, sed ipsis proprios ac peculiares, quique antea in usu non fuissent: atque ex eo tempore Sidetes a vicinis barbaris lingua distinctos esse. (5) Alexander, relicto apud Sidem præsidio, Syllium profectus est, oppidum munitum, atque tam externi mercenariique militis quam incolentium barbarorum præsidio firmatum. Neque vero Syllium repentino impetu capi poterat, quod in itinere nunciatum est, Aspendios nihil eorum quæ pacta essent præstare, neque equos tradere iis qui ad eos recipiendos missi erant, neque pecuniam numerare

τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' Ἀλεξάνδρου, καὶ τὰ τείχη ὅπη πεπονηκότα ἦν ἐπισκευάζουσι, ταῦτα πυθόμενος ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν.

ΚΕΦ. ΚΖ'.

Ὥκισται δὲ τῆς Ἀσπένδου τὰ μὲν πολλὰ ἐπὶ ἄκρᾳ ὀχυρᾷ καὶ ἀποτόμῳ, καὶ παρ' αὐτὴν τὴν ἄκραν ὁ Εὐρυμέδων ποταμὸς ῥεῖ· ἦσαν δὲ αὐτοῖς καὶ περὶ τῇ ἄκρᾳ ἐν τῷ χθαμαλῷ οὐκ ὀλίγαι οἰκήσεις καὶ τεῖχος περιεβέβλητο αὐταῖς οὐ μέγα. (2) Τὸ μὲν δὴ τεῖχος εὐθύς, ὡς προσάγοντα Ἀλέξανδρον ἔγνωσαν, ἐκλείπουσιν ὅσοι ἐπώκουν καὶ τὰς οἰκίας ὅσας ἐν τῷ χθαμαλῷ ὠκισμένας οὐκ ἐδόκουν διαφυλάξαι ἂν δύνασθαι· αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυμφεύγουσιν. Ἀλέξανδρος δὲ ὡς ἀφίκετο ξὺν τῇ δυνάμει, εἴσω τοῦ ἐρήμου τείχους παρελθὼν κατεστρατοπέδευσεν ἐν ταῖς οἰκίαις ταῖς καταλελειμμέναις πρὸς τῶν Ἀσπενδίων. (3) Οἱ δὲ Ἀσπένδιοι ὡς εἶδον αὐτόν τε Ἀλέξανδρον παρ' ἐλπίδα ἥκοντα καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντη, πέμψαντες πρέσβεις ἐδέοντο ἐφ' οἷσπερ τὸ πρότερον ξυμβῆναι. Καὶ Ἀλέξανδρος τό τε χωρίον ὀχυρὸν ἰδὼν καὶ αὐτὸς[ὡς] οὐκ ἐπὶ χρόνιον πολιορκίαν παρεσκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν οὐδὲ ὧς ξυνέβη πρὸς αὐτούς· (4) ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους οὓς πρόσθεν ὡμολόγησαν καὶ ἑκατὸν τάλαντα ἀντὶ τῶν πεντήκοντα, καὶ πείθεσθαι τῷ σατράπῃ τῷ ὑπ' Ἀλεξάνδρου ταχθέντι καὶ φόρους ἀποφέρειν ὅσα ἔτη Μακεδόσι, καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι, ἣν τῶν προσχώρων οὖσαν βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν.

5. Ὡς δὲ πάντα οἱ ἐπεχώρησαν, ἀνέζευξεν ἐς Πέργην, κἀκεῖθεν ἐς Φρυγίαν ὥρμητο· ἦν δὲ αὐτῷ ἡ πορεία παρὰ Τελμισσὸν πόλιν. Οἱ δὲ ἄνθρωποι οὗτοι τὸ μὲν γένος Πισίδαι εἰσὶ βάρβαροι, χωρίον δὲ οἰκοῦσιν ὑπερύψηλον καὶ πάντη ἀπότομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν χαλεπή. (6) Καθήκει γὰρ ἐκ τῆς πόλεως ὄρος ἔστε ἐπὶ τὴν ὁδόν, καὶ τοῦτο μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύεται· ἀντίπορον δὲ αὐτῷ ὄρος ἄλλο ἐστὶν οὐ μεῖον ἀπότομον. Καὶ ταῦτα τὰ ὄρη ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καὶ ἔστιν ὀλίγῃ φυλακῇ κατέχοντας τὰ ὄρη ταῦτα ἄπορον ποιεῖν τὴν πάροδον. Καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες ἀμφότερα τὰ ὄρη κατεῖχον. (7) Ταῦτα δὴ ἰδὼν Ἀλέξανδρος στρατοπεδεύεσθαι αὐτοῦ ὅπως εἶχον ἐκέλευε τοὺς Μακεδόνας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ Τελμισσεῖς αὐλιζομένους σφᾶς ἰδόντες, ἀλλ' ἀποχωρήσουσιν ἐς τὴν πόλιν, πλησίον οὖσαν, οἱ πολλοὶ αὐτῶν, ὅσον φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσι. Καὶ ξυνέβη ὅπως εἶχαζεν· οἱ μὲν γὰρ πολλοὶ αὐτῶν ἀπῆλθον, αἱ φυλακαὶ δὲ ἐγκατέμειναν. (8) Καὶ ἐπὶ τούτους εὐθὺς ἀναλαβὼν τούς τε τοξότας καὶ τὰς τῶν ἀκοντιστῶν τάξεις καὶ τῶν ὁπλιτῶν τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' Ἀλεξάνδρου, καὶ τὰ τείχη ὅπη πεπονηκότα ἦν ἐπισκευάζουσι, ταῦτα πυθόμενος ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν.

velle, sed rebus suis ex agro in urbem vectis, portas iis qui ab Alexandro venerant præclusisse, et muros sicubi affecti videbantur, instaurasse. Quibus rebus cognitis, Aspendum versus castra movit.

CAP. XXVII.

Sita est ea urbs magna ex parte in aspera præruptaque rupe, quam Eurymedon fluvius alluit. Erant autem iis circum rupem declivioribus ac planioribus in locis ædificia non pauca, modico muro circumjecto. (2) Simulac vero Alexandrum mœnibus appropinquantem viderunt, muro ædificiisque, quæ humilioribus in locis inhabitabant, desertis, quod ea tueri se posse diffidebant, in arcem confugiunt. Alexander, ut primum eo cum exercitu pervenit, vacuum murum transgressus, in ædificiis quæ Aspendii deseruerant, castra locat. (3) Qui quum ipsum Alexandrum præter exspectationem advenientem ac sese undique ab exercitu circumsessos viderunt, missis legatis orarunt ut prioribus conditionibus pactio fieret. Alexander, quum loci munitionem animadverteret, quumque ipse ad longam obsidionem imparatus esset, nihilominus tamen non iisdem conditionibus cum eis convenit: (4) sed ut principes urbis obsides dent, et equos quos antea promiserant tradant, et talentorum summam duplicent, imperat: utque satrapæ, quem Alexander statuisset, pareant, et tributa annua Macedonibus pendant: ac de agro, cujus possessionem finitimis vi eripuisse accusabantur, judicio contendant.

5. Omnibus iis conditionibus acceptis Pergen profectus, inde in Phrygiam castra movit. Erat autem illi iter faciendum juxta Telmissum urbem. Homines hi sunt barbari, a Pisidis oriundi: locum autem inhabitant vehementer excelsum omnique ex parte præruptum: viaque ipsa quæ juxta urbem ducit, ardua est ac difficilis. (6) Siquidem mons ab urbe in viam protenditur, cujus radices in ipsam viam desinunt. Huic alter ex adverso mons objectus est, æque abruptus: ita ut portas in via facere videantur, facileque aditus omnis exiguo præsidio montibus illis imposito impediri possit. Utrumque montem Telmissenses omni manu accurrentes insederant. (7) Id conspicatus Alexander, Macedones ibi, ut possent, locare castra jubet: ita secum reputans, Telmissenses non ita cum omni manu eo loci moram facturos, quum Macedonas castra fixisse cernerent, sed maximam eorum partem in urbem, quæ proxima erat, sese recepturam, præsidio aliquo in montibus relicto. Et quidem perinde ac cogitarat evenit; plerique enim eorum recesserunt, præsidium solum remansit. (8) Alexander, protinus sumptis sagittariis et jaculatorum ordinibus, et ex armigeris qui expeditiores erant, præsidium invadit.

τῶν ὅσοι κουφότεροι, ἐπήγαγεν. Οἱ δὲ οὐκ ἔμειναν βαλλόμενοι, ἀλλὰ ἔλιπον τὸ χωρίον· καὶ Ἀλέξανδρος ὑπερβαλὼν τὰ στενὰ πρὸς τῇ πόλει κατεστρατοπέδευσε.

ΚΕΦ. ΚΗ'.

Καὶ ἐνταῦθα ἀφικνοῦνται παρ' αὐτὸν Σελγέων πρέσβεις. Οἱ δέ εἰσι καὶ αὐτοὶ Πισίδαι βάρβαροι καὶ πόλιν μεγάλην οἰκοῦσι καὶ μάχιμοί εἰσιν· ὅτι δὲ πολέμιοι τοῖς Τελμισσεῦσιν ἐκ παλαιοῦ ἐτύγχανον, ὑπὲρ φιλίας πρὸς Ἀλέξανδρον πεπρεσβευμένοι ἦσαν. Καὶ πρὸς τούτους σπένδεται Ἀλέξανδρος, καὶ ἐκ τούτου πιστοῖς ἐς ἅπαντα ἐχρήσατο. (2) Τὴν Τελμισσὸν δὲ ἀπέγνω ἑλεῖν ἂν ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' ἐπὶ Σαγαλασσοῦ ἐστέλλετο. Ἦν δὲ καὶ αὕτη οὐ μικρὰ πόλις· Πισίδαι καὶ ταύτην ᾤκουν, καὶ ἐδόκουν πάντων Πισιδῶν μαχίμων ὄντων αὐτοὶ εἶναι οἱ μαχιμώτατοι· καὶ τότε τὸν λόφον τὸν πρὸ τῆς πόλεως, ὅτι καὶ οὗτος οὐ μεῖον τοῦ τείχους ὀχυρὸς ἐς τὸ ἀπομάχεσθαι ἦν, κατειληφότες προσέμενον. (3) Ἀλέξανδρος δὲ τὴν μὲν φάλαγγα τῶν Μακεδόνων τάττει ὧδε. Ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως, ἵνα καὶ αὐτὸς ἐπετέταχτο, τοὺς ὑπασπιστὰς εἶχεν, ἐχομένους δὲ τούτων τοὺς πεζεταίρους ἕστε ἐπὶ τὸ εὐώνυμον παρατείνας, ὡς ἑκάστοις τῶν στρατηγῶν ἡ ἡγεμονία τῆς τάξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν. (4) Ἐπὶ δὲ τῷ εὐωνύμῳ ἐπέταξεν ἡγεμόνα Ἀμύνταν τὸν Ἀρραβαίου. Προετάχθησαν δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ κέρως οἵ τε τοξόται καὶ οἱ Ἀγριᾶνες, τοῦ δὲ εὐωνύμου οἱ ἀκοντισταὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης· οἱ γὰρ ἱππεῖς αὐτῷ οὐκ ὠφέλιμοι ἐν τῇ δυσχωρίᾳ ἦσαν. Τοῖς Πισίδαις δὲ καὶ Τελμισσεῖς προσβεβοηθηκότες συνετάξαντο.

5. Ἤδη δὲ οἱ ἀμφ' Ἀλέξανδρον προσβεβληκότες τῷ ὄρει ὅπερ κατεῖχον οἱ Πισίδαι κατ' αὐτὸ τὸ ἀποτομώτατον τῆς ἀνόδου ἦσαν, καὶ ἐν τούτῳ ἐπιτίθενται αὐτοῖς οἱ βάρβαροι λόχοις κατὰ κέρας ἑκάτερον, ᾗ σφίσι μὲν εὐπροσοδώτατον ἦν, τοῖς πολεμίοις δὲ χαλεπωτάτη ἡ πρόσβασις. Καὶ τοὺς μὲν τοξότας, οἷα δὴ οὔτε ἀκριβῶς ὡπλισμένους καὶ πρώτους πελάσαντας, ἐτρέψαντο, οἱ δὲ Ἀγριᾶνες ἔμειναν. (6) Ἐγγὺς γὰρ ἤδη καὶ ἡ φάλαγξ τῶν Μακεδόνων προσῆγε καὶ πρὸ αὐτῆς Ἀλέξανδρος ἐφαίνετο. Ὡς δὲ ἐν χερσὶν ἡ μάχη ἐγένετο, γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο καὶ πάντη κατατιτρωσκόμενοι ἔπιπτον, ἐνταῦθα δὴ ἐγκλίνουσι. (7) Καὶ ἀπέθανον μὲν αὐτῶν ἐς πεντακοσίους· κοῦφοι γὰρ ὄντες καὶ ἔμπειροι τῶν χωρίων οὐ χαλεπῶς ἀπεχώρουν· καὶ οἱ Μακεδόνες διὰ βαρύτητα τῶν ὅπλων καὶ ἀπειρίαν τῶν ὁδῶν οὐ θαρραλέοι ἐς τὸ διώκειν ἦσαν. (8) Ἀλέξανδρος δὲ ἐχόμενος τῶν φευγόντων τὴν πόλιν αὐτῶν αἱρεῖ κατὰ κράτος. Τῶν δὲ ξὺν αὐτῷ Κλέανδρός τε ὁ στρατηγὸς τῶν τοξοτῶν ἀποθνήσκει καὶ τῶν ἄλλων ἀμφὶ τοὺς εἴκοσι. Ἀλέξανδρος δὲ ἐπὶ τοὺς ἄλλους

Telmissenses, quum telorum jactus sustinere non possent, locum deserunt. Alexander, superatis angustiis, ad urbem castra locat.

CAP. XXVIII.

Eo loci legati a Selgensibus ad eum veniunt. Sunt autem et hi Pisidæ barbari, magnamque urbem incolunt, bellicosi etiam ipsi. Hi quod veteres Telmissensium hostes erant, legatos ad Alexandrum amicitiam petentes miserant. Fœdere itaque cum iis pacto, deinceps illis ad omnia fidis Alexander est usus. (2) Dehinc, quum Telmissi expugnatio non exiguum tempus requirere videretur, Sagalassum petit. Erat porro etiam hæc non parva urbs, a Pisidis habitata: quumque omnes Pisidæ bellicosi existimarentur, hi tamen ceteris bellica laude superiores habiti sunt: ac tum temporis collem, qui urbi imminebat, quum non minus quam muros urbis munitum illum ad propulsandum judicarent, occupantes hostem opperiebantur. (3) Alexander Macedonum phalangem ita instruit. A dextro cornu, cui ipse præerat, scutatos locat: proximos his pedites amicos usque ad sinistrum cornu explicat, prout singulis ducibus eo die ordines ducendi contigerant. (4) A sinistro quidem cornu ducem statuit Amyntam Arrhabæi filium. A dextro quidem latere sagittarios et Agrianos prætendit, a sinistro jaculatores Thraces, quos ducebat Sitalces; equites enim in illa locorum difficultate nulli usui esse poterant. Porro Pisidis Telmissenses etiam auxilio venerant unaque in acie stabant.

5. Jamque Alexandri acies montem subiens quem Pisidæ tenebant, ad maxime prærupta ascensus loca pervenerat, quum barbari in utrumque cornu ex insidiis proruunt, qua parte ipsis expeditior via, hostibus vero difficillimus accessus esset: et sagittarios quidem, utpote leviter armatos, quique primi pedem contulerant, in fugam vertunt: Agriani vero subsistunt. (6) Nam et propinqua jam erat Macedonum phalanx, et Alexander ipsam ducens conspiciebatur. Postquam autem cominus manu res geri cœpit, barbari nudi cum armatis confligentes omnique ex parte vulnerati cadunt ac terga vertunt. (7) Cæsi sunt ex iis circiter quingenti. Multi enim, quod leves expeditique erant et locorum gnari, facile evaserunt: Macedones ob gravitatem armorum imperitiamque viarum minus audacter fugientes insequuti sunt. (8) Alexander vero fugientium tergis acriter instans, urbem illorum vi capit, Cleandro, uno ex copiarum ducibus, desiderato, aliisque militibus circiter viginti. Inde in alios Pisidas movit, et nonnulla

Πισίδας ἦγε· καὶ τὰ μέν τινα τῶν φρουρίων βίᾳ ἑξεῖλε, τὰ δὲ ὁμολογίᾳ προσηγάγετο.

ΚΕΦ. ΚΘ'.

Ἐντεῦθεν δὲ ἦει ἐπὶ Φρυγίας παρὰ τὴν λίμνην ἥ ὄνομα Ἀσκανία, ἐν ᾗ ἅλες πήγνυνται αὐτόματοι, καὶ τούτοις χρῶνται οἱ ἐπιχώριοι, οὐδὲ θαλάσσης τι ἐπὶ τούτῳ δέονται· καὶ ἀφικνεῖται ἐς Κελαινὰς πεμπταῖος. Ἐν δὲ ταῖς Κελαιναῖς ἄκρα ἦν πάντη ἀπότομος, καὶ ταύτην φυλακὴ κατεῖχεν ἐκ τοῦ σατράπου τῆς Φρυγίας, Κᾶρες μὲν χίλιοι, Ἕλληνες δὲ μισθοφόροι ἑκατόν. (2) Καὶ οὗτοι πρεσβεύονται παρ' Ἀλέξανδρον, ἐπαγγελλόμενοι, εἰ μὴ ἀφίκοιτό σφισι βοήθεια ἐν ἡμέρᾳ ᾗ ξυνέκειτο, φράσαντες τὴν ἡμέραν, ὅτι παραδώσουσι τὸ χωρίον. Καὶ ἔδοξε ταῦτα Ἀλεξάνδρῳ ὠφελιμώτερα ἢ πολιορκεῖν ἄπορον πάντη προσφέρεσθαι τὴν ἄκραν. (3) Πρὸς μὲν δὴ ταῖς Κελαιναῖς φυλακὴν καταλείπει στρατιώτας ἐς χιλίους καὶ πεντακοσίους. Μείνας δὲ αὐτοῦ ἡμέρας δέκα καὶ σατράπην ἀποδείξας Φρυγίας Ἀντίγονον τὸν Φιλίππου, ἐπὶ δὲ τοὺς ξυμμάχους ἀντ' ἐκείνου στρατηγὸν Βάλακρον τὸν Ἀμύντου ἐπιτάξας, αὐτὸς ἐπὶ Γορδίου ἐστέλλετο. Καὶ Παρμενίωνι ἐπέστειλεν, ἄγοντα ἅμα οἱ τὴν δύναμιν ἐκεῖσε ἀπαντᾶν· καὶ ἀπήντα ξὺν τῇ δυνάμει Παρμενίων. (4) Καὶ οἱ νεόγαμοι δὲ οἱ ἐπὶ Μακεδονίας σταλέντες εἰς Γόρδιον ἦκον καὶ ξὺν αὐτοῖς ἄλλη στρατιὰ καταλεχθεῖσα, ἣν ἦγε Πτολεμαῖός τε ὁ Σελεύκου καὶ Κοῖνος ὁ Πολεμοκράτους καὶ Μελέαγρος ὁ Νεοπτολέμου, πεζοὶ μὲν Μακεδόνες τρισχίλιοι, ἱππεῖς δὲ ἐς τριακοσίους καὶ Θεσσαλῶν ἱππεῖς διακόσιοι, Ἠλείων δὲ ἑκατὸν καὶ πεντήκοντα, ὧν ἦγεῖτο Ἀλκίας ὁ Ἠλεῖος.

5. Τὸ δὲ Γόρδιον ἔστι μὲν τῆς Φρυγίας τῆς ἐφ' Ἑλλησπόντου, κεῖται δὲ ἐπὶ τῷ Σαγγαρίῳ ποταμῷ· τοῦ δὲ Σαγγαρίου αἱ μὲν πηγαὶ ἐκ Φρυγίας εἰσίν· αὐτὸς δὲ διὰ τῆς Θρᾳκῶν τῶν Βιθυνῶν χώρας ἐξίησιν εἰς τὸν Εὔξεινον πόντον. Ἐνταῦθα καὶ Ἀθηναίων πρεσβεία παρ' Ἀλέξανδρον ἀφίκετο, δεόμενοι Ἀλεξάνδρου ἀφεῖναί σφισι τοὺς αἰχμαλώτους, οἱ ἐπὶ Γρανικῷ ποταμῷ ἑλήφθησαν Ἀθηναίων ξυστρατευόμενοι τοῖς Πέρσαις καὶ τότε ἐν Μακεδονίᾳ ξὺν τοῖς δισχιλίοις δεδεμένοι ἦσαν· καὶ ὑπὲρ αὐτῶν ἄπρακτοι ἐν τῷ τότε ἀπῆλθον. (6) Οὐ γὰρ ἐδόκει ἀσφαλὲς εἶναι Ἀλεξάνδρῳ, ἔτι συνεστῶτος τοῦ πρὸς τὸν Πέρσην πολέμου, ἀνεῖναί τι τοῦ φόβου τοῖς Ἕλλησιν ὅσοι ἐναντία τῇ Ἑλλάδι στρατεύεσθαι ὑπὲρ τῶν βαρβάρων οὐκ ἀπηξίωσαν· ἀλλ' ἀποκρίνεται, ἐπειδὰν τὰ παρόντα καλῶς γένηται, τότε ἥξειν ὑπὲρ τῶν αὐτῶν πρεσβευομένους.

corum castella vi cepit, nonnulla pactionibus ad deditionem adduxit.

CAP. XXIX.

Posthæc Phrygiam versus proficiscebatur juxta paludem cui Ascania nomen est: in qua sal suapte sponte concrescit, quo incolæ utuntur, neque mari eam ad rem indigent. Quintis castris Celænas pervenit. Erat in ea urbe arx omni ex parte prærupta ac præceps, in qua Phrygiæ satrapa collocarat præsidio Carum mille, Græcorum mercenariorum centum. (2) Hi legatos ad Alexandrum mittunt, nisi subsidium ipsis intra statum diem, quem nominabant, adferretur, deditionem pollicentes. Quam quidem conditionem Alexander rebus suis convenientiorem quam obsidionem esse statuit, quum difficillima omni ex parte arcis oppugnatio videretur. (3) In ea urbe mille fere et quingentos milites præsidio relinquit, et dies decem ibi commoratus, Antigonum Philippi filium Phrygiæ satrapam declarat, et Balacrum Amyntæ filium ejus loco auxiliaribus copiis præficit. Ipse Gordium profectus est, literis ad Parmenionem missis, uti illuc sibi cum exercitu obviam veniat. Parmenio imperata facit. (4) Porro Macedones qui uxores recens nuptas visum ierant, Gordium veniunt; et cum iis exercitus recens conscriptus; quem Ptolemæus Seleuci et Cœnus Polemocratis atque Meleager Neoptolemi filius ducebant. Erat is exercitus peditum Macedonum mille, equitum trecentorum, Thessalorum equitum ducentorum, Eleorum centum quinquaginta quibus præerat Alcias Eleus.

5. Est vero Gordium in Phrygia Hellesponto proxima, ad Sangarium amnem sita, cujus fluminis fontes in Phrygia oriuntur. Ipse per Thracas Bithynos fluens in Euxinum pontum fertur. Eo loci Atheniensium etiam legati ad Alexandrum veniunt, oratum uti cives suos, qui una cum Persis militantes, ad Granicum amnem capti fuerant, ac tum in Macedonia cum aliis bis mille vincti tenebantur, dimittat. Hi re infecta tum domum redeunt. (6) Neque enim consultum Alexandro videbatur, vigente adhuc Persico bello, Græcorum metum imminuere, qui adversus Græciam pro barbaris militare veriti non fuissent. Hoc tantum responsi dedit, ut bello Persico ex animi sui sententia confecto, legatos de iisdem rebus mittant.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. Α'.

Ἐκ δὲ τούτου Μέμνων τοῦ τε ναυτικοῦ παντὸς ἡγεμὼν ἐκ βασιλέως Δαρείου καθεστηκὼς καὶ τῆς παραλίου ξυμπάσης, ὡς ἐς Μακεδονίαν τε καὶ τὴν Ἑλλάδα ἀποστρέψων τὸν πόλεμον, Χίον μὲν λαμβάνει προδοσίᾳ ἐνδοθεῖσαν· ἔνθεν δὲ ἐπὶ Λέσβου πλεύσας, ὡς οὐ προσεῖχον αὐτῷ οἱ Μιτυληναῖοι, τὰς ἄλλας πόλεις τῆς Λέσβου προσηγάγετο. (2) Ταύτας δὲ παραστησάμενος καὶ προσσχὼν τῇ Μιτυλήνῃ, τὴν μὲν πόλιν χάρακι διπλῷ ἐκ θαλάσσης εἰς θάλασσαν ἀπετείχισε, στρατόπεδα δὲ πέντε ἐποικοδομησάμενος τῆς γῆς ἐκράτει οὐ χαλεπῶς. Καὶ μέρος μέν τι τῶν νεῶν τὸν λιμένα αὐτῶν ἐφύλασσε, τὰς δὲ ἐπὶ τὴν ἄκραν τῆς Λέσβου τὸ Σίγριον, ἵνα ἡ προσβολὴ μάλιστά ἐστι ταῖς ἀπό τε Χίου καὶ Γεραιστοῦ καὶ Μαλέας ὁλκάσιν, ἀποστείλας τὸν παράπλουν ἐν φυλακῇ εἶχεν, ὡς μή τινα ὠφέλειαν κατὰ θάλασσαν γίγνεσθαι τοῖς Μιτυληναίοις. (3) Καὶ ἐν τούτῳ αὐτὸς μὲν νόσῳ τελευτᾷ, καὶ εἴπερ τι ἄλλο, καὶ τοῦτο ἐν τῷ τότε ἔβλαψε τὰ βασιλέως πράγματα. Αὐτοφραδάτης δὲ καὶ Φαρνάβαζος ὁ Ἀρταβάζου, ὅτῳ καὶ ἐπέτρεψε τελευτῶν ὁ Μέμνων τὴν αὑτοῦ ἀρχὴν ἔστε Δαρεῖόν τι ὑπὲρ αὐτῆς γνῶναι, ἀδελφιδῷ αὐτοῦ ὄντι, οὗτοι τῇ πολιορκίᾳ οὐκ ἀῤῥώστως προσέκειντο. (4) Καὶ οἱ Μιτυληναῖοι τῆς τε γῆς εἰργόμενοι καὶ ἀπὸ θαλάσσης πολλαῖς ναυσὶν ἐφορμούσαις φρουρούμενοι, πέμψαντες παρὰ τὸν Φαρνάβαζον ὁμολογίας ἐποιήσαντο, τοὺς μὲν ξένους τοὺς παρ' Ἀλεξάνδρου σφίσι κατὰ συμμαχίαν ἥκοντας ἀπελθεῖν, Μιτυληναίους δὲ καθελεῖν μὲν τὰς πρὸς Ἀλέξανδρόν σφισι γενομένας στήλας, ξυμμάχους δὲ εἶναι Δαρείου κατὰ τὴν εἰρήνην τὴν ἐπ' Ἀνταλκίδου γενομένην πρὸς βασιλέα Δαρεῖον, τοὺς φυγάδας δὲ αὐτῶν κατιέναι ἐπὶ τοῖς ἡμίσεσι τῶν τότε ὄντων ὅτε ἔφυγον. (5) Ἐπὶ τούτοις μὲν δὴ ἡ ξύμβασις τοῖς Μιτυληναίοις πρὸς τοὺς Πέρσας ξυνέβη. Φαρνάβαζος δὲ καὶ Αὐτοφραδάτης, ὡς παρῆλθον ἅπαξ εἴσω τῆς πόλεως, φρουράν τε ἐς αὐτὴν εἰσήγαγον καὶ φρούραρχον ἐπ' αὐτῇ Λυκομήδην Ῥόδιον, καὶ τύραννον ἐγκατέστησαν τῇ πόλει Διογένην, ἕνα τῶν φυγάδων· χρήματά τε εἰσέπραξαν τοὺς Μιτυληναίους τὰ μὲν βίᾳ ἀφελόμενοι τοὺς ἔχοντας, τὰ δὲ ἐς τὸ κοινὸν ἐπιβαλόντες.

ΚΕΦ. Β'.

Ταῦτα δὲ διαπραξάμενοι Φαρνάβαζος μὲν ἔπλει ἐπὶ Λυκίας ἄγων τοὺς ξένους τοὺς μισθοφόρους, Αὐτοφραδάτης δὲ ἐπὶ τὰς ἄλλας νήσους. Καὶ ἐν τούτῳ καταπέμπει Δαρεῖος Θυμώνδαν τὸν Μέντορος, αὐτὸν μὲν τοὺς ξένους παρὰ Φαρναβάζου παραληψόμενον καὶ ἀνά-

LIBER SECUNDUS.

CAP. I.

Hæc dum geruntur, Memnon, quem Darius rex universæ classi oraque maritimæ præfecerat, de bello in Macedoniam Græciamque transferendo cogitans, proditione Chium insulam capit. Inde ad Lesbum navigans, Mitylenæis, qui ejus partes sequuti non sunt, exceptis, reliquas Lesbi urbes in suam potestatem redegit. (2) His itaque deditione acceptis, Mitylenen conversus, urbem ipsam a mari ad mare duplici vallo interclusit, et quinque castellis exstructis, a terra facile superior erat. Præterea parte navium portum ipsorum tenebat, partem ad Sigrium, Lesbi promontorium, ubi appellere solent naves onerariæ ex Chio, Geræsto et Malea venientes, misit, ibique ut adnavigantes arcerent in custodiis habuit, nequid nimirum subsidii Mitylenæis mari advenire posset. (3) Interea ipse morbo obiit: quod quidem, si quid aliud, Darii rebus obfuit. Autophradates autem et Pharnabazus Artabazi filius, cui Memnon moriens præfecturam suam commendarat, tantisper dum Darius aliquid de ea statuisset (erat enim sororis suæ filius) obsidionem acriter urgebant. (4) Mitylenæi et terra interclusi et mari ingenti classe obsessi, legatis ad Pharnabazum missis, pactiones ineunt: ut exteri milites qui ab Alexandro auxilio missi erant discedant; ut Mitylenæi columnas, quas Alexandro cum fœderis inscriptione erexerant, subvertant; ut ex præscripto pacis per Antalcidam factæ Dario confœderati sint: ut exules ipsorum redirent iisque restitueretur dimidia pars bonorum quæ tunc erant, quum fugerent. (5) Hisce conditionibus Mitylenæi cum Persis pacti sunt. Pharnabazus et Autophradates quum semel urbem ingressi essent, præsidium introducunt, eique Lycomeden Rhodium præficiunt, ac Diogenem, unum de numero exulum, tyrannum urbi imponunt: Mitylenæis pecuniam imperant, eamque partim ditioribus eripiunt, partim multitudini injungunt.

CAP. II.

His peractis, Pharnabazus in Lyciam navigat, exteros mercenarios ducens: Autophradates reliquas insulas petit. Inter hæc Darius Thymondam Mentoris filium mittit, qui ipse quidem mercenarios a Pharnabazo accipiat et adducat ad regem Pharnabazum autem præesse jubeat quibus

ξοντα παρὰ βασιλέα, Φαρναβάζῳ δὲ ἐροῦντα ἄρχειν ὅσων Μέμνων ἦρχε. (2) Καὶ παραδοὺς τούτῳ τοὺς ξένους Φαρνάβαζος ἔπλει παρ' Αὐτοφραδάτην ἐπὶ τὰς ναῦς. Ὡς δὲ ὁμοῦ ἐγένοντο, δέκα μὲν ναῦς στέλλουσιν ἐπὶ τὰς Κυκλάδας νήσους Δατάμην ἄνδρα Πέρσην ἄγοντα, αὐτοὶ δὲ ναυσὶν ἑκατὸν ἐπὶ Τενέδου ἔπλευσαν· κατακομισθέντες δὲ τῆς Τενέδου ἐς τὸν Βόρειον καλούμενον λιμένα πέμπουσι παρὰ τοὺς Τενεδίους καὶ κελεύουσι τὰς στήλας τὰς πρὸς Ἀλέξανδρον καὶ τοὺς Ἕλληνας γενομένας σφίσι, ταύτας μὲν καθελεῖν, πρὸς Δαρεῖον δὲ ἄγειν τὴν εἰρήνην ἣν ἐπὶ Ἀνταλκίδου Δαρείῳ συνέθεντο. (3) Τενεδίοις δὲ τὰ μὲν τῆς εὐνοίας ἐς Ἀλέξανδρόν τε καὶ τοὺς Ἕλληνας ἐποίει μᾶλλον· ἐν δὲ τῷ παρόντι ἄπορον ἄλλως ἐδόκει ὅτι μὴ προσχωρήσαντας τοῖς Πέρσαις σώζεσθαι· ἐπεὶ οὐδὲ Ἡγελόχῳ, ὅτῳ προσετέταχτο ὑπ' Ἀλεξάνδρου αὖθις ξυναγαγεῖν δύναμιν ναυτικήν, τοσαύτη ξυνηγμένη ἦν ὡς δι' ὀλίγου προσδοκᾶν ἔσεσθαι ἂν σφίσι παρ' αὐτοῦ τινὰ ὠφέλειαν. Οὕτω μὲν δὴ οἱ ἀμφὶ Φαρνάβαζον τοὺς Τενεδίους φόβῳ μᾶλλον ἢ ἐθέλοντας παρεστήσαντο.

4. Ἐν δὲ τούτῳ Πρωτέας ὁ Ἀνδρονίκου ἐτύγχανε μὲν ξυναγαγὼν ἐξ Εὐβοίας τε καὶ Πελοποννήσου ναῦς μακράς, ὑπὸ Ἀντιπάτρου τεταγμένος, ὡς εἶναί τινα ταῖς τε νήσοις φυλακὴν καὶ αὐτῇ τῇ Ἑλλάδι, εἰ, καθάπερ ἐξηγγέλλετο, ἐπιπλέοιεν οἱ βάρβαροι· πυθόμενος δὲ Δατάμην περὶ Σίφνον ὁρμεῖν δέκα ναυσίν, αὐτὸς ἔχων πεντεκαίδεκα νυκτὸς ἀνάγεται ἐπὶ Χαλκίδος τῆς ἐπὶ τῷ Εὐρίπῳ· (5) καὶ προσσχὼν ἕωθεν Κύθνῳ τῇ νήσῳ τὴν μὲν ἡμέραν αὐτοῦ αὐλίζεται, ὡς σαφέστερόν τε διαπυθέσθαι τὰ περὶ τῶν δέκα νεῶν καὶ ἅμα ἐν νυκτὶ φοβερώτερον προσπεσεῖν τοῖς Φοίνιξιν· ὡς δὲ ἔμαθε σαφῶς τὸν Δατάμην ξὺν ταῖς ναυσὶν ἐν Σίφνῳ ὁρμοῦντα, ἐπιπλεύσας ἔτι νυκτὸς ὑπ' αὐτὴν τὴν ἕω καὶ ἀπροσδοκήτοις ἐπιπεσὼν ὀκτὼ μὲν ναῦς αὐτοῖς ἀνδράσιν ἑλαβε· Δατάμης δὲ μετὰ δυοῖν τριηροῖν ἐν τῇ πρώτῃ προσμίξει τῶν ἅμα Πρωτέᾳ νεῶν ὑπεκφυγὼν ἀπεσώθη πρὸς τὸ ἄλλο ναυτικόν.

Memnon præfuerit. (2) Pharnabazus igitur externo milite Thymondæ tradito, ad Autophradaten, qui apud classem erat, navigat. Hi, quum una essent, Datamen Persam in Cycladas cum navibus decem mittunt. Ipsi centum navium classe Tenedum petunt: ad quam insulam delati, quum in portum qui Borealis dicitur, sese recepissent, ad Tenedios mittunt, imperantes ut columnas quas Alexandro et Græcis posuerant, tollant, et pacem quam cum Dario per Antalcidam inierant, colant. (3) Tenediorum animi magis quidem erga Alexandrum et Græcos erant propensi; sed quo tum in statu res ipsorum erant, de salute sua, nisi se ad Persarum voluntatem aggregarent, desperabant; siquidem Hegelochus, cui Alexander ut navales copias denuo compararet imperarat, nondum tantas coegerat, ut sperarent illas brevi tempore adjumento ipsis esse posse. Ita Pharnabazus Tenedios metu potius quam voluntate ad se pertraxit.

4. Dum hæc aguntur, Proteas Andronici filius naves longas ex Eubœa et Peloponneso Antipatri jussu collegerat, quæ et insulis ipsique adeo Græciæ præsidio alicui essent, si, uti nuntiabatur, barbari classe infestarent. Is quum audisset Datamen cum decem navibus ad Siphnum in statione agere, ipse cum quindecim navibus Chalcidem, ad Euripum sitam, defertur: (5) quumque prima luce ad Cythnum insulam appulisset, totum ibi diem substitit, ut certius exploratiusque aliquid de decem illarum navium statu cognosceret: simul ut impetus per noctem factus plus horroris Phœnicibus inculeret. Postquam vero certior factus est, Datamen cum navibus ad Siphnum in statione esse, luce nondum orta inde movens, et sub ipsam auroram hostes nihil tale exspectantes adortus, octo ex eis naves milite instructas capit. Datames cum duabus triremibus in primo cum Proteæ navibus conflictu clam effugiens, ad reliquam classem se recepit.

ΚΕΦ. Γ'.

Ἀλέξανδρος δὲ ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, ἵνα καὶ τὰ βασίλεια ἦν τὰ Γορδίου καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου, τὴν ἅμαξαν ἰδεῖν τοῦ Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. (2) Λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης παρὰ τοῖς προσχώροις πολὺς κατεῖχε, Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα καὶ ὀλίγην εἶναι αὐτῷ γῆν ἐργάζεσθαι καὶ ζεύγη βοῶν δύο· καὶ τῷ μὲν ἀροτριᾶν, τῷ δὲ ἁμαξεύειν τὸν Γόρδιον. (3) Καί ποτε ἀροῦντος αὐτοῦ ἐπιπτῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν καὶ ἐπιμεῖναι ἔστε ἐπὶ βουλυτὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει ἰέναι κοινώσοντα ὑπὲρ τοῦ θείου παρὰ τοὺς Τελμισσέας τοὺς μάντεις· εἶναι γὰρ τοὺς Τελμισσέας σοφοὺς τὰ θεῖα

CAP. III.

Alexander vero, ut Gordium pervenit, conscensa arce, ubi et Gordii et filii ejus Midæ regia erat, cepit illum cupiditas videndi currum Gordii, et nodum qui in illius currus jugo esse ferebatur. (2) Multus enim erat apud finitimos eo de curru sermo. Gordium fuisse quendam ex veteribus Phrygibus, hominem tenuis fortunæ, exiguum agrum possidentem et juga boum duo, quorum altero ad arationem, altero ad vecturam uteretur. (3) Eo aliquando arante, aquilam in jugo consedisse, ibique in id tempus usque quo bobus juga demuntur constitisse. Gordium spectaculo attonitum, Telmissenses vates communicandæ rei causa adiisse: esse enim Telmissenses peritissimos prodigiorum interpretes, et vaticinandi scientiam ipsis pariter atque uxoribus et li-

ἐξηγεῖσθαι, καί σφισιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ γυναιξὶ καὶ παισὶ τὴν μαντείαν. (4) Προσάγοντα δὲ κώμῃ τινὶ τῶν Τελμισσέων ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ, καὶ πρὸς ταύτην εἰπεῖν ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε· τὴν δέ (εἶναι γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ γένους) θύειν κελεῦσαι τῷ Διὶ τῷ βασιλεῖ, ἐπανελθόντα εἰς τὸν τόπον αὐτόν. Καὶ ξεηθῆναι γὰρ αὐτῆς Γόρδιον, τὴν θυσίαν ξυνεπισπομένην οἱ αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε ὅπως ἐκείνη ὑπετίθετο τὸν Γόρδιον καὶ ξυγγενέσθαι ἐπὶ γάμῳ τῇ παιδὶ καὶ γενέσθαι αὐτοῖν παῖδα Μίδαν ὄνομα. (5) Ἤδη τε ἄνδρα εἶναι τὸν Μίδαν καλὸν καὶ γενναῖον, καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν σφίσι τοὺς Φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμὸν ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. Ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ. (6) Τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον τοῦτον ἐκεῖνον γνῶναι ὄντα ὄντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν, Μίδαν δὲ αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήρια τῷ Διὶ τῷ βασιλεῖ ἐπὶ τῇ τοῦ ἀετοῦ πομπῇ. Πρὸς δὲ δὴ τούτοις καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο, ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. (7) Ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανέας, καὶ τούτου οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη· Ἀριστόβουλος δὲ λέγει ἐξελόντα τὸν ἔστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπάξ, συνέχων τὸν δεσμόν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν. (8) Ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δεσμῷ τούτῳ Ἀλεξάνδρῳ, οὐκ ἔγω ἰσχυρίσασθαι. Ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ συμβεβηκότος. Καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν· καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

beris ab ortu insitam esse. (4) Quumque ad eorum vicum quendam venisset, virgini cuipiam ad fontem eunti obviam venisse, eique, quid sibi evenisset, narrasse. Hanc vero, quum et ipsa ex vatum progenie esset, ut locum istum repetens Jovi regi sacrificaret jussisse. Gordium contra ut ipsum comitaretur et sacrificii modum rationemque doceret, eam rogasse. Illum sacrificasse a puella edoctum, eamque conjugem sibi cepisse, puerumque ex iis procreatum, Midam nomine. (5) Qui quum jam vir forma virtuteque præstans evasisset, Phrygas interea gravi inter se seditione laborasse, eosque oraculo monitos esse, currum iis regem allaturum qui seditionem tolleret. His vero adhuc hisce de rebus inter se consultantibus, venisse Midam una cum patre ac matre, ipsumque currui insidentem concilium adiisse. (6) Illos vaticinium interpretatos, hunc nimirum esse illum quem deus monuerat curru advehendum esse, extemplo Midam regem creasse. Hunc itaque seditionem sedasse, paternumque currum Jovi regi, pro aquila missa, gratiarum loco in arce suspensum consecrasse. Adhæc illud etiam de curru ferebatur: quicumque jugi nodum quod in curru erat nexum solvisset, illum Asiæ imperio potiturum. (7) Erat autem is nexus ex corni arboris libro, qui unde inciperet, quove se conderet, percipi non poterat. Alexander quum nullam plane solvendi nexus rationem inveniret, insolutum tamen prætermittere nollet, ne id motum aliquem in multitudinis animis excitaret, sunt qui dicant illum ensis ictu vinculum discidisse, et solutum esse dixisse. Aristobulus vero auctor est, Alexandrum exemto paxillo temonis (erat is clavus ligneus per medium temonem trajectus, cui vinculum adstrictum erat) jugum temoni detraxisse. (8) Equidem, quomodo nodus ille ab Alexandro solutus fuerit, affirmare non ausim. Ipse certe et qui cum eo erant ita a curru discesserunt, perinde ac si vaticinium de solutione nexus impletum esset. Quod quidem et tonitrua et fulgura ea nocte excitata satis declararunt: eaque de causa postero die diis sacrificavit, tum ob prodigia edita, tum ob rationem solvendi nodi ostensam.

ΚΕΦ. Δ'.

Αὐτὸς δὲ τῇ ὑστεραίᾳ ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς ἐστέλλετο· κἀκεῖ αὐτῷ πρεσβεῖα ἀφικνεῖται Παφλαγόνων, τό τε ἔθνος ἐνδιδόντων καὶ ἐς ὁμολογίαν ξυμβαινόντων· ἐς δὲ τὴν χώραν σὺν τῇ δυνάμει μὴ ἐσβαλεῖν ἐδέοντο. (2) Τούτοις μὲν δὴ προστάσσει Ἀλέξανδρος ὑπακούειν Κάλᾳ τῷ σατράπῃ τῆς Φρυγίας. Αὐτὸς δὲ ἐπὶ τῆς Καππαδοκίας ἐλάσας ξύμπασαν τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν. Καταστήσας δὲ Καππαδόκων Σαβίκταν σατράπην, αὐτὸς

CAP. IV.

Alexander postridie Ancyram Galatiæ urbem profectus est. Eo loci Paphlagonum legati ad eum venerunt, qui provinciam dedant et fœdus ineant: unum hoc orantes ne exercitus fines suos intret. (2) His Alexander, ut Calæ Phrygiorum satrapæ pareant, jubet. Inde in Cappadociam movens, omnem quæ cis Halyn fluvium est regionem et partem aliquam multam ejus quæ trans Halyn est, subegit. Sabictam Cappadociæ satrapam statuit, ipse ad angustias aditus qui

προῆγεν ἐπὶ τὰς πύλας τὰς Κιλικίας. (3) Καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρου τοῦ ξὺν Ξενοφῶντι στρατόπεδον, ὡς κατεχομένας τὰς πύλας φυλαχαῖς ἰσχυραῖς εἶδε, Παρμενίωνα μὲν αὐτοῦ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν ὅσοι βαρύτερον ὡπλισμένοι ἦσαν· αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς Ἀγριᾶνας, προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας, ὡς οὐ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. (4) Καὶ προσάγων μὲν οὐκ ἔλαθεν, ἐς ἴσον δὲ αὐτῷ κατέστη ἡ τόλμα. Οἱ γὰρ φύλακες αἰσθόμενοι Ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν ᾤχοντο φεύγοντες. Τῇ δὲ ὑστεραίᾳ ἅμα τῇ ἕῳ ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας κατέβαινεν ἐς τὴν Κιλικίαν. (5) Καὶ ἐνταῦθα ἀγγέλλεται αὐτῷ Ἀρσάμης ὅτι πρόσθεν μὲν ἐπενόει διασώζειν Πέρσαις τὴν Ταρσόν, ὡς δὲ ὑπερβεβληκότα ἤδη τὰς πύλας ἐπύθετο Ἀλέξανδρον, ἐκλιπεῖν ἐν νῷ εἶχε τὴν πόλιν· δεδιέναι οὖν τοὺς Ταρσέας μὴ ἐφ' ἁρπαγὴν τραπεὶς οὕτω τὴν ἀπολειψιν τῆς Ταρσοῦ ποιήσηται. (6) Ταῦτα ἀκούσας ὁρόμῳ ἦγεν ἐπὶ τὴν Ταρσὸν τούς τε ἱππέας καὶ τῶν ψιλῶν ὅσοι κουφότατοι, ὥστε ὁ Ἀρσάμης μαθὼν αὐτοῦ τὴν ὁρμὴν σπουδῇ φεύγει ἐκ τῆς Ταρσοῦ παρὰ βασιλέα Δαρεῖον, οὐδὲν βλάψας τὴν πόλιν.

7. Ἀλέξανδρος δέ, ὡς μὲν Ἀριστοβούλῳ λέλεκται, ὑπὸ καμάτου ἐνόσησεν· οἱ δὲ εἰς τὸν Κύδνον ποταμὸν λέγουσι ῥίψαντα νήξασθαι, ἐπιθυμήσαντα τοῦ ὕδατος, ἱδρῶντα καὶ καύματι ἐχόμενον. Ὁ δὲ Κύδνος ῥεῖ διὰ μέσης τῆς πόλεως· οἷα δὲ ἐκ τοῦ Ταύρου ὄρους τῶν πηγῶν οἱ ἀνισχουσῶν καὶ διὰ χώρου καθαροῦ ῥέων, ψυχρός τέ ἐστι καὶ τὸ ὕδωρ καθαρός. (8) Σπασμῷ τε οὖν ἔχεσθαι Ἀλέξανδρον καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ ξυνεχεῖ. Καὶ τοὺς μὲν ἄλλους ἰατροὺς οὐκ οἴεσθαι εἶναι βιώσιμον, Φίλιππον δὲ Ἀκαρνᾶνα, ἰατρόν, ξυνόντα Ἀλεξάνδρῳ καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα πιστευόμενον καὶ τὰ ἄλλα οὐκ ἀδόκιμον ἐν τῷ στρατῷ ὄντα, καθῆραι ἐθέλειν Ἀλέξανδρον φαρμάκῳ· καὶ τὸν κελεύειν καθῆραι. (9) Τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν τούτῳ δὲ Ἀλεξάνδρῳ δοθῆναι ἐπιστολὴν παρὰ Παρμενίωνος φυλάξασθαι Φίλιππον· ἀκούειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀποκτεῖναι Ἀλέξανδρον. Τὸν δέ, ἀναγνόντα τὴν ἐπιστολὴν καὶ ἔτι μετὰ χεῖρας ἔχοντα, αὐτὸν μὲν λαβεῖν τὴν κύλικα ἐν ᾗ ἦν τὸ φάρμακον· τὴν ἐπιστολὴν δὲ τῷ Φιλίππῳ δοῦναι ἀναγνῶναι. (10) Καὶ ὁμοῦ τόν τε Ἀλέξανδρον πίνειν καὶ τὸν Φίλιππον ἀναγινώσκειν τὰ παρὰ τοῦ Παρμενίωνος. Φίλιππον δὲ εὐθὺς ἐνθηλον γενέσθαι ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ φαρμάκου· οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπιστολήν, ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι Ἀλέξανδρον, καὶ ἐς τὰ ἄλλα οἱ πείθεσθαι ὅσα ἐπαγγέλλοιτο· σωθήσεσθαι γὰρ πειθόμενον. (11) Καὶ τὸν μὲν καθαρθῆναί τε καὶ βαΐσαι αὐτῷ τὸ νόσημα, Φιλίππῳ δὲ ἐπιδεῖξαι ὅτι πιστός ἐστιν αὐτῷ φίλος, καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐτὸν ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος εἰς τὸ ἀνύποπτον τυγχάνει ὢν καὶ πρὸς τὸ ἀποθανεῖν ἐῤῥωμένος.

Ciliciam aperit contendit. (3) Quumque ad castra Cyri, qui cum Xenophonte erat, venisset, ut Portas valido præsidio insessas vidit, Parmenionem ibi cum cohortibus peditum, qui gravioris armaturæ erant, reliquit. Ipse sub primam noctis vigiliam sumptis secum scutatis et sagittariis atque Agrianis, noctu ad Portas movit, ut ex improviso præsidium invadat. (4) Neque tamen ita clam ac putabat, hostes adoriri potuit : sed æque feliciter ipsi cessit audacia. Præsidiarii enim cognito Alexandri adventu, deserto præsidio in fugam se conjecerunt. Postero die sub auroram Portas cum universo exercitu transgressus, in Ciliciam descendit. (5) Hic ei nuntiatum est, Arsamen qui initio Tarsum in Persarum potestate conservare statuerat, postquam audisset Alexandrum jam Portas transgressum esse, de urbe deserenda cogitare; Tarsenses autem vereri, ne direpta urbe demum Tarsum desereret. (6) Quo cognito, Alexander summa festinatione Tarsum petit, equites et levis expeditæque armaturæ pedites secum ducens. De cujus adventu Arsames certior factus confestim ex Tarso ad Darium regem fugit, nullo damno urbi illato.

7. Alexander, ut Aristobulus refert, præ nimio labore in morbum incidit. Alii tradunt illum, sudantem ac æstuantem, aquæ cupidum natandi caussa sese in Cydnum flumen, quod mediam urbem secat, conjecisse. Ejus fontes quum ex Tauro monte oriantur et puro solo excipiantur, fit ut unda ejus incorruptissima simulque frigidissima sit : (8) atque hinc Alexandrum spasmo acutaque febri et insomnia correptum fuisse. Ac ceteros quidem medicos de vita ejus desperasse, Philippum vero Acarnanem medicum, Alexandri comitem, cui in re medica potissimum fidebat, quique in exercitu etiam alioquin magno in honore habebatur, medicata potione purgare eum voluisse. (9) Atque interea dum hic adhiberi potionem juberet, ille poculum pararet, literas Alexandro a Parmenione allatas, quibus denuntiabat ut sibi a Philippo caveret. Audisse enim se, Philippum a Dario pecunia corruptum ut regem pharmaco interficeret. Alexandrum, perlectis literis, quum adhuc eas manu teneret, poculum in quo erat potio accepisse; epistolam vero Philippo legendam dedisse : (10) unoque tempore Alexandrum potionem hausisse, et Philippum Parmenionis literas legisse. Philippum vero vultu statim declarasse, bene se sibi de pharmaco conscium esse. Neque enim lectione epistolæ ullam animi perturbationem præ se tulisse : hortatum solummodo fuisse Alexandrum, ut in reliquis quoque quæ præscriberet, suo consilio acquiesceret. Salutem enim, si pareret, recuperaturum. (11) Atque Alexandrum quidem purgatum et vi morbi levatum esse et Philippo declarasse, quam fidum amicum illum haberet : ceteris etiam qui ipsi aderant, testatum fuisse quam constantem de ipsorum amicitia opinionem, omni suspicione remota, concepisset, simulque quam fortiter mortem ferret.

ΚΕΦ. Ε'.

Ἐκ δὲ τούτου Παρμενίωνα μὲν πέμπει ἐπὶ τὰς ἄλλας πύλας, αἳ ὁρίζουσι τὴν Κιλίκων τε καὶ Ἀσσυρίων χώραν, προκαταλαβεῖν καὶ φυλάσσειν τὴν πάροδον, δοὺς αὐτῷ τῶν τε ξυμμάχων τοὺς πεζοὺς καὶ τοὺς Ἕλληνας τοὺς μισθοφόρους καὶ τοὺς Θρᾷκας, ὧν Σιτάλκης ἡγεῖτο, καὶ τοὺς ἱππέας δὲ τοὺς Θεσσαλούς. (2) Αὐτὸς δὲ ὕστερος ἄρας ἐκ Ταρσοῦ τῇ μὲν πρώτῃ ἐς Ἀγχίαλον πόλιν ἀφικνεῖται. Ταύτην δὲ Σαρδανάπαλον κτίσαι τὸν Ἀσσύριον λόγος· καὶ τῷ περιβόλῳ δὲ καὶ τοῖς θεμελίοις τῶν τειχῶν δῆλη ἐστὶ μεγάλη τε πόλις κτισθεῖσα καὶ ἐπὶ μέγα ἐλθοῦσα δυνάμεως. (3) Καὶ τὸ μνῆμα τοῦ Σαρδαναπάλου ἐγγὺς ἦν τῶν τειχῶν τῆς Ἀγχιάλου· καὶ αὐτὸς ἐφειστήκει ἐπ' αὐτῷ Σαρδανάπαλος συμβεβληκὼς τὰς χεῖρας ἀλλήλαις ὡς μάλιστα ἐς κρότον συμβάλλονται, καὶ ἐπίγραμμα ἐπεγέγραπτο αὐτῷ Ἀσσύρια γράμματα· οἱ μὲν Ἀσσύριοι καὶ μέτρον ἔφασκον ἐπεῖναι τῷ ἐπιγράμματι, (4) ὁ δὲ νοῦς ἦν αὐτῷ ὃν ἔφραζε τὰ ἔπη, ὅτι Σαρδανάπαλος ὁ Ἀνακυνδαράξου παῖς Ἀγχίαλον καὶ Ταρσὸν ἐν ἡμέρᾳ μιᾷ ἐδείματο. Σὺ δέ, ὦ ξένε, ἔσθιε καὶ πῖνε καὶ παῖζε, ὡς τἆλλα τὰ ἀνθρώπινα οὐκ ὄντα τούτου ἄξια· τὸν ψόφον αἰνισσόμενος ὅπερ αἱ χεῖρες ἐπὶ τῷ κρότῳ ποιοῦσι· καὶ τὸ παῖζε ῥᾳδιουργότερον ἐγγεγράφθαι ἔφασαν τῷ Ἀσσυρίῳ ὀνόματι.

5. Ἐκ δὲ τῆς Ἀγχιάλου ἐς Σόλους ἀφίκετο· καὶ φρουρὰν ἐπήγαγεν ἐς Σόλους καὶ ἐπέβαλεν αὐτοῖς τάλαντα διακόσια ἀργυρίου ζημίαν, ὅτι πρὸς τοὺς Πέρσας μᾶλλόν τι τὸν νοῦν εἶχον. (6) Ἔνθεν δὲ ἀναλαβὼν τῶν μὲν πεζῶν τῶν Μακεδόνων τρεῖς τάξεις, τοὺς τοξότας δὲ πάντας καὶ τοὺς Ἀγριᾶνας ἐξελαύνει ἐπὶ τοὺς τὰ ὄρη κατέχοντας Κίλικας. Καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τοὺς μὲν βίᾳ ἐξελών, τοὺς δὲ ὁμολογίᾳ παραστησάμενος, ἐπανῆκεν ἐς τοὺς Σόλους. (7) Καὶ ἐνταῦθα μανθάνει Πτολεμαῖον καὶ Ἄσανδρον ὅτι ἐκράτησαν Ὀροντοβάτου τοῦ Πέρσου, ὃς τήν τε ἄκραν τῆς Ἁλικαρνασσοῦ ἐφύλασσε καὶ Μύνδον καὶ Καῦνον καὶ Θήραν καὶ Καλλίπολιν κατεῖχε· προσῆκτο δὲ καὶ Κῶ καὶ Τριόπιον. Τοῦτον ἡττῆσθαι ἔγραφον μάχῃ μεγάλῃ· καὶ ἀποθανεῖν μὲν τῶν ἀμφ' αὐτὸν πεζοὺς ἐς ἑπτακοσίους καὶ ἱππέας ἐς πεντήκοντα, ἁλῶναι δὲ οὐκ ἐλάττους τῶν χιλίων. (8) Ἀλέξανδρος δὲ ἐν Σόλοις θύσας τε τῷ Ἀσκληπιῷ καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα, καὶ λαμπάδα ἐπιτελέσας καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μουσικὸν Σολεῦσι μὲν δημοκρατεῖσθαι ἔδωκεν· αὐτὸς δὲ ἀναζεύξας ἐς Ταρσὸν τοὺς μὲν ἱππέας ἀπέστειλε Φιλώτᾳ δοὺς ἄγειν διὰ τοῦ Ἀλητίου πεδίου ἐπὶ τὸν ποταμὸν τὸν Πύραμον, (9) αὐτὸς δὲ σὺν τοῖς πεζοῖς καὶ τῇ ἴλῃ τῇ βασιλικῇ ἐς Μαγαρσὸν ἦκε καὶ τῇ Ἀθηνᾷ τῇ Μαγαρσίδι ἔθυσεν. Ἔνθεν δὲ ἐς Μαλλὸν ἀφίκετο καὶ Ἀμφιλόχῳ ὅσα ἥρωι ἐνήγισε· καὶ στασιάζοντας καταλαβὼν τὴν στάσιν αὐτοῖς κατέπαυσε· καὶ τοὺς φόρους οὓς βασιλεῖ Δαρείῳ ἀπέφερον ἀνῆκεν, ὅτι

CAP. V.

Post hæc Parmenionem ad præoccupandas alias angustias mittit, quæ Ciliciam ab Assyria dividunt, ut transitum tueatur, peditibus auxiliariis ei adjunctis Græcisque mercenariis ac Thracibus, quibus Sitalces præerat, atque equitibus Thessalis. (2) Ipse postea ex Tarso movens, primo die ad Anchialum oppidum pervenit. Hoc ferunt Sardanapalum Assyriorum regem condidisse; ac sane circuitus ipse et murorum fundamenta argumento sunt magnam urbem conditam, et ad summam potentiam pervenisse. (3) Sardanapali sepulcrum ad ipsa Anchiali mœnia exstabat, cui innitebatur Sardanapalus manus (*digitos*) collidens, ut crepitum edituri facere solent. Inscriptio statuæ addita erat Assyriis literis, cui metrum subesse Assyrii dicebant. (4) Versuum sententia hæc erat, SARDANAPALUS ANACYNDARAXÆ F. ANCHIALUM ET TARSUM UNO DIE CONDIDIT. TU VERO HOSPES EDE, BIBE, LUDE, QUUM CETERÆ RES HUMANÆ TANTI NON SINT; crepitum significans quem manus faciunt. Illud vero Lude molliore quodam lascivioreque Assyrio vocabulo expressum aiebant.

5. Ex Anchialo ad Solos pervenit, præsidioque urbi imposito, ducenta argenti talenta nomine mulctæ iis imperat, quod propensiore erga Persas animo fuissent. (6) Inde cum tribus Macedonum agminibus, sagittariis omnibus atque Agrianis Cilices qui montes occupaverant adortus, iisque intra septem in universum dies partim vi partim pactionibus in potestatem suam redactis, Solos rediit. (7) Hic Orontobatem Persam qui Halicarnassi arcem et Myndum et Caunum ac Theram et Callipolim tenebat, a Ptolemæo et Asandro victum cognovit. Accesserat ad victoriam et Cos et Triopium. Hunc magno prælio victum perscribebant, cæsis peditum circiter septingentis, equitum quinquaginta, vivis non infra mille captis. (8) Alexander quum apud Solos Æsculapio sacrificasset, ipseque pariter ac totus exercitus pompam facibus circumgestatis peregisset, ludis etiam gymnicis ac musicis editis, Solensibus democratiam concessit. Ipse Tarsum versus movens, negotio Philotæ dato ut equitatum per Aleium campum ad Pyramum flumen ducat, (9) cum peditatu et turma regia Magarsum venit, et Minervæ Magarsidi sacrificavit. Inde Mallum profectus: Amphilocho ut heroi parentavit, quumque cives seditione laborantes offendisset, ea sedata, tributa quæ Dario regi pendere soliti erant, iis remisit, quum

Ἀργείων μὲν Μαλλωταὶ ἄποικοι ἦσαν, αὐτὸς δὲ ἀπ' Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου.

ΚΕΦ. Ϛ'.

Ἔτι δὲ ἐν Μαλλῷ ὄντι αὐτῷ ἀγγέλλεται Δαρεῖον ἐν Σώχοις ξὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύειν. Ὁ δὲ χῶρος οὗτος ἔστι μὲν τῆς Ἀσσυρίας γῆς, ἀπέχει δὲ τῶν πυλῶν τῶν Ἀσσυρίων ἐς δύο μάλιστα σταθμούς. Ἔνθα δὴ ξυναγαγὼν τοὺς ἑταίρους φράζει αὐτοῖς τὰ ἐξηγγελμένα ὑπὲρ Δαρείου τε καὶ τῆς στρατιᾶς τῆς Δαρείου. Οἱ δὲ αὐτόθεν ὡς εἶχον ἄγειν ἐκέλευον. (2) Ὁ δὲ τότε μὲν ἐπαινέσας αὐτοὺς διέλυσε τὸν ξύλλογον, τῇ δὲ ὑστεραίᾳ προῆγεν ὡς ἐπὶ Δαρεῖόν τε καὶ τοὺς Πέρσας. Δευτεραῖος δὲ ὑπερβαλὼν τὰς πύλας ἐστρατοπέδευσε πρὸς Μυριάνδρῳ πόλει· καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον· τοῦτο κατέσχεν ἐν τῷ στρατοπέδῳ Ἀλέξανδρον.

3. Δαρεῖος δὲ τέως μὲν ξὺν τῇ στρατιᾷ διέτριβεν, ἐπιλεξάμενος τῆς Ἀσσυρίας γῆς πεδίον πάντη ἀναπεπταμένον καὶ τῷ τε πλήθει τῆς στρατιᾶς ἐπιτήδειον καὶ ἐνιππάσασθαι τῇ ἵππῳ ξύμφορον. Καὶ τοῦτο τὸ χωρίον ξυνεβούλευσεν αὐτῷ μὴ ἀπολιπεῖν Ἀμύντας ὁ τοῦ Ἀντιόχου, ὁ παρ' Ἀλεξάνδρου αὐτόμολος· εἶναι γὰρ τὴν εὐρυχωρίαν πρὸς τοῦ πλήθους τε καὶ τῆς σκευῆς τῶν Περσῶν. Καὶ ἔμενε Δαρεῖος. (4) Ὡς δὲ Ἀλεξάνδρῳ πολλὴ μὲν ἐν Ταρσῷ τριβὴ ἐπὶ τῇ νόσῳ ἐγίγνετο, οὐκ ὀλίγη δὲ ἐν Σόλοις, ἵνα ἔθυέ τε καὶ ἐπόμπευε, καὶ ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας διέτριψεν ἐξελάσας, τοῦτο ἔσφηλε Δαρεῖον τῆς γνώμης· καὶ αὐτός τε ὅ τιπερ ἥδιστον ἦν δοξασθέν, ἐς τοῦτο οὐκ ἀκουσίως ὑπήχθη, καὶ ὑπὸ τῶν καθ' ἡδονὴν ξυνόντων τε καὶ ξυνεσομένων ἐπὶ κακῷ τοῖς ἀεὶ βασιλεύουσιν ἐπαιρόμενος ἔγνω μηκέτι Ἀλέξανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω· (5) ἀλλ' ὀκνεῖν γὰρ πυνθανόμενον ὅτι αὐτὸς προσάγοι· καταπατήσειν τε τῇ ἵππῳ τῶν Μακεδόνων τὴν στρατιὰν ἄλλος ἄλλοθεν αὐτῷ ἐπαίροντες ἐπέλεγον· καίτοι γε Ἀμύντας ἥξειν τε Ἀλέξανδρον ἰσχυρίζετο ὅπου ἂν πύθηται Δαρεῖον ὄντα, καὶ αὐτοῦ προσμένειν ἐκέλευεν. (6) Ἀλλὰ τὰ χείρω μᾶλλον, ὅτι καὶ ἐν τῷ παραυτίκα ἡδίω ἀκοῦσαι ἦν, ἔπειθε· καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτὸν εἰς ἐκεῖνον τὸν χῶρον, οὗ μήτε ἐκ τῆς ἵππου πολλὴ ὠφέλεια αὐτῷ ἐγένετο, μήτε ἐκ τοῦ πλήθους αὐτοῦ τῶν τε ἀνθρώπων καὶ τῶν ἀκοντίων τε καὶ τοξευμάτων, μηδὲ τὴν λαμπρότητα αὐτὴν τῆς στρατιᾶς ἐπιδεῖξαι ἠδυνήθη, ἀλλὰ Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτὸν εὐμαρῶς τὴν νίκην παρέδωκεν. (7) Ἐχρῆν γὰρ ἤδη καὶ Πέρσας πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχήν, καθάπερ οὖν Μῆδοι μὲν πρὸς Περσῶν ἀνῃρέθησαν, πρὸς Μήδων δὲ ἔτι ἔμπροσθεν Ἀσσύριοι.

Malli Argivorum coloni essent, ipseque ab Heraclidis Argivis oriundum se perhiberet.

CAP. VI.

Quum adhuc apud Mallos esset Alexander, nuntii ad eum veniunt, Darium cum universo exercitu ad Sochos castra fixisse. Est is Assyriæ locus ab angustiis quæ Assyriam aperiunt bidui fere itinere dissitus. Convocatis itaque amicis, quæ sibi de Dario ejusque exercitu nuntiata erant exponit : qui quidem confestim in eos duci postulabant. (2) Alexander, collaudata eorum virtute, tum quidem concilium dimisit : postero vero die exercitum in Darium et Persas duxit : quumque secundis castris Pylarum angustias superasset, ad Myriandrum urbem castra posuit : eaque nocte ingens orta tempestas magnaque imbrium ac ventorum vis cælo effusa Alexandrum in castris continuit.

3. Darius interea cum exercitu morabatur et castris locum delegerat Assyriæ campum planum omnique ex parte apertum, qui et magnitudini exercitus maxime commodus esset, et ad ducendum equitatum peropportunus visus fuerat. A quo quidem loco ne recederet, Amyntas Antiochi filius, ab Alexandro transfuga, suaserat. Loci enim amplitudinem et multitudini Persarum et impedimentis percommodam esse. Et mansit quidem eo loci Darius. (4) Cæterum quum Alexander longiorem moram Tarsi ob ægritudinem faceret, neque minorem Solis, ubi et sacrificarat et pompam duxerat : multum etiam temporis in expeditione adversus Cilices montanos posuisset : Darium a sententia sua abduxit, neque invitus ad id quod jucundissimum erat credendum pertractus est. Siquidem ab iis qui ad voluptatem tantum loquentes aderant, semperque aderunt regibus eorum damno, impulsus, Alexandrum ulterius progredi nolle sibi persuaserat, nuntio sui adventus perculsum. (5) Hoc etiam modo ejus animum commoverant, quod Darii equitatum facile universas Macedonum copias proculcaturum dicebant : quantumvis Amyntas Alexandrum, ubicunque is Darium esse audiret, venturum affirmasset, ibique eum opperiri suasisset. (6) Cæterum deterior sententia, quum primo accessu gratior auribus accideret, vicit. Ac fortasse deus illum eo loci adduxit, ubi nec equitatus magno usui esse posset, ut nec infinita hominum pariter et jaculorum ac telorum multitudo, sed ne ipsam quidem exercitus magnificentiam ostendere poterat : Alexandro vero facilem omnino victoriam præbebat. (7) Oportebat enim Asiæ imperium Persis a Macedonibus adimi, quemadmodum Persæ Medis ac prius Medi Assyriis ademerant.

ΚΕΦ. Ζ'.

Ὑπερβαλὼν δὴ τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς καλουμένας ὡς ἐπὶ Ἰσσὸν προῆγε· καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. Τὴν δὲ Ἰσσὸν κατασχών, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ τὴν ὑστεραίαν προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. (2) Καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα [τὸν] Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας ἐς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσόν, κατασκεψομένους εἰ τὰ ὄντα ἐξαγγέλλεται. Οἱ δέ, ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον.

3. Ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας καὶ τῶν ξυμμάχων τοὺς ἡγεμόνας παρεκάλει θαρρεῖν μὲν ἐκ τῶν ἤδη σφίσι καλῶς κεκινδυνευμένων καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικηκόσιν αὐτοῖς ἔσται καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα, ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δὲ ἀχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα οὔτε τὰς γνώμας παραπλησίοις. (4) Μακεδόνας τε γὰρ Πέρσαις καὶ Μήδοις, ἐκ πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ δούλοις ἀνθρώποις ἐλευθέρους, ἐς χεῖρας ἥξειν· ὅσοι τε Ἕλληνες Ἕλλησιν, οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλλὰ τοὺς μὲν ξὺν Δαρείῳ ἐπὶ μισθῷ καὶ οὐδὲ τούτῳ πολλῷ κινδυνεύοντας, τοὺς δὲ ξὺν σφίσιν, ὑπὲρ τῆς Ἑλλάδος ἑκόντας ἀμυνομένους. (5) Βαρβάρων τε αὖ Θρᾷκας καὶ Παίονας καὶ Ἰλλυριοὺς καὶ Ἀγριᾶνας τοὺς εὐρωστοτάτους τε τῶν κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους πρὸς τὰ ἀπονώτατά τε καὶ μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξασθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντιστρατηγεῖν Δαρείῳ. (6) Ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῆει· τὰ δὲ ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. Οὐ γὰρ τοὺς σατράπας τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅ τιπερ ὄφελος καὶ Μήδων καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεταί σφισιν ἐπὶ τῷδε τῷ ἀγῶνι ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι. (7) Ἐπὶ τούτοις δὲ τῶν τε ἐς τὸ κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε καὶ εἴ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν. Καὶ τὸ αὐτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα

CAP. VII.

Darius, superato monte qui prope Portas Amanicas est, Issum versus movit, Alexandrum imprudens a tergo relinquens. Capta Isso, quotquot Macedones ibi propter invaletudinem relictos comprehendit, crudeliter excruciatos interficit. Postero die ad Pinarum amnem processit. (2) Alexander, simulac audivit Darium a tergo relictum, quoniam illi parum certum hoc nuntium videbatur, quosdam ex amicis navi quæ XXX remis agitur impositos, Issum remittit, exploraturos an quæ nuntiabantur vera essent. Qui triacontoro conscensa, quum mare illud sinuosum sit, facile cognoverunt Persas ibi castra posuisse: atque Alexandro renuntiant, Darium in manibus esse.

3. Ipse, convocatis cohortium turmarumque ductoribus et auxiliariorum præfectis, hortatur bono ut animo sint ob ea quæ præclare antea fortiterque gessissent, et quod victoribus ipsis contra victos pugna immineret. Deum pro ipsis potius pugnare, qui Darium impulerit ut exercitum ex spatiosissimo campo in illas angustias adduceret, ut Macedonibus commodus ad explicandam phalangem locus esset: hostibus vero tanta multitudo ad pugnandum inutilis. Adhæc neque corporum neque animorum viribus pares esse. (4) Macedones enim cum Persis et Medis, qui multo jam tempore otio ac deliciis enervati essent, congressuros: ipsos bellicis laboribus jamdudum ad pericula subeunda exercitatos: præterea liberos homines cum servis conflicturos. Græcos qui in utraque acie essent, non iisdem conditionibus pugnaturos. Qui enim a Darii partibus essent, mercede eaque exigua conductos pugnare: eos qui a Macedonibus essent, pro Græcia sponte sua adductos dimicare. (5) Ex barbaris autem Thraces, Pæones, Illyrios et Agrianos, fortissimos totius Europæ et bellicosissimos, adversus molles effœminatasque Asiæ gentes in aciem ire. Denique Alexandrum adversus Darium exercitum ducere. (6) Atque hæc quidem ad prælii prærogativam significandam commemoravit. Adhæc præmiorum quæ huic prælio proposita essent magnitudinem exponit. Neque enim eos satrapas Darii illo prælio victuros, neque equitatum qualis ad Granicum amnem constiterat, neque viginti millia exterorum mercenariorum, sed summam imperii Persici ac Medici, et quotquot usquam nationes Persis ac Medis parentes Asiam inhabitant, ipsumque adeo magnum regem debellaturos, nihilque ex eo prælio reliquum futurum, quam ut universæ Asiæ imperent, ut optatum laboribus suis finem imponant. (7) Adhæc quæ splendide ab iis collatis viribus gesta essent recensebat. Si quis vero audax aliquod et laudabile facinus privatim edidisset, nominatim singulos evocabat. Suum quoque periculorum in prœliis contentum, quamminima poterat cum invidia

ἐπεξῄει. (8) Λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ τὸ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐπεοικότες, οὐδὲ ἱππέων αὐτοῖς παρόντων Θεσσαλῶν, οὐδὲ Βοιωτῶν ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων ἢ Θρᾳκῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέταχται, οὐδὲ τοξοτῶν ἢ σφενδονητῶν, ὅτι μὴ Κρητῶν ἢ Ῥοδίων ὀλίγων, καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος αὐτοσχεδιασθέντων, (9) οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ ξυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο καὶ ἔθνη ὅσα ἄλλα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδὸν σφίσιν ἐπεγένετο νικῶντες ἐπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. Οἱ δὲ ἄλλος ἄλλοθεν ἐξιούμενοί τε τὸν βασιλέα καὶ τῷ λόγῳ ἐπαίροντες ἄγειν ἤδη ἐκέλευον.

ΚΕΦ. Η'.

Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει· προπέμπει δὲ ὡς ἐπὶ τὰς πύλας τῶν τε ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ἦει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. (2) Ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς αὐτοῦ ἐπὶ τῶν πετρῶν, προφυλακὰς ἀκριβεῖς καταστησάμενος. Ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ τὴν ὁδόν· καὶ ἕως μὲν πάντη στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ ὡς ἐπὶ τὴν θάλασσαν. (3) Οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν τῶν πεζῶν τεταγμένοι ἦσαν. Ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προήεσαν, συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην, πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό τε ἄγημα καὶ τοὺς ὑπασπιστάς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος, ἐχομένην δὲ τούτων τὴν Κοίνου τάξιν, ἐπὶ δὲ τούτοις τὴν Περδίκκου. Οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀριθμένῳ τεταγμένοι ἦσαν. (4) Ἐπὶ δὲ τοῦ εὐωνύμου πρώτη μὲν ἡ Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ ταύτης ἡ Μελεάγρου. Τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κράτερος ἐπετέταχτο ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο· καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντη ὑπερφαλαγγήσειν αὐτῶν διὰ πλῆθος ἤμελλον.

5. Δαρεῖος δέ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος ὡς ἐς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ τοῦ Πινάρου ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμόν, καὶ μετὰ τούτων τῶν ψιλῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν

memorabat. (8) Fertur autem etiam Xenophontis et decem millium qui cum eo fuerant meminisse, quippe quod ipsis neque numero, neque ulla alia æstimatione comparandi fuerint: quod neque Thessalos equites, neque Bœotios aut Peloponnesios, neque Macedones aut Thraces, neque alium ullum equitatum qui ipsis accensus erat, habuissent, neque sagittarios aut funditores, præter Cretenses et Rhodios nonnullos, quos Xenophon in ipso discrimine festinanter conscripserat: (9) hos tamen regem cum universo exercitu ante Babylonem in fugam vertisse, gentesque omnes, quotquot iis Euxinum pontum petentibus in itinere restiterunt, domuisse. Alia præterea adjecit, quibus bonos imperatores ante prœlia ad bonos ac strenuos milites exhortandos uti par est. Illi certatim regem complexi et verbis efferentes e vestigio in aciem duci postulant.

CAP. VIII.

Tum Alexander corpora curare jubet, equitesque nonnullos et sagittarios ad Portas præmittit, qui viam, quam jam transierat, explorent. Ipseque noctu cum universo exercitu movit, ut angustias illas denuo occupare posset. (2) Ut vero sub medium noctis rursus Portas insedit, reliquum noctis exercitui ad quietem ibi in rupibus dedit, excubiis summa diligentia dispositis, sub auroram ex Portis in viam descendit. Et quamdiu magna erat viarum angustia, angustam etiam aciem ducebat: ubi vero laxare se sinus montium cœperunt, explicuit subinde cornu, alium atque alium ordinem armatorum in phalangem adducens, dextra quidem montem versus, læva autem ad mare. (3) Equites porro interea peditibus a tergo constituti erant. At postquam in aperta loca ventum est, exercitum statim ad prœlium committendum instruit. In dextro cornu montem versus peditum agema locat et scutatos, quibus præerat Nicanor Parmenionis filius: proximum his, Cœni; mox Perdiccæ agmen. Hi quidem usque ad medios gravis armaturæ ordines, si quis a dextro aciei latere numerare incipiat, constituti erant. (4) A sinistro vero primæ erant Amyntæ copiæ, inde Ptolemæi: proximæ huic Meleagri. Et quidem ad lævam Craterus peditibus præfectus erat: totum autem sinistrum cornu Parmenio ducebat. Huic imperatum erat ne a mari recederet, ne videlicet a barbaris circumveniretur. Nam alioqui Persæ facile multitudine copiarum phalangem Macedonum omni ex parte cinxissent.

5. Darius, postquam ei nuntiatum est Alexandrum instructa acie adventare, triginta millia equitum, expeditorum viginti millia Pinarum flumen transire jubet, ut reliquum exercitum securius instruat. (6) Ac primos quidem ex ar-

συντάξεις. (6) Καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις τῶν Καρδάκων καλουμένων ἔνθεν καὶ ἔνθεν ἐς ἑξακισμυρίους· ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι. Τοσούτους γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον ἵνα ἐτάσσοντο. (7) Ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν ἐς δισμυρίους· καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. Τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν πῇ μὲν διεχώρει ἐς βάθος καὶ κολπώδές τι αὐτοῦ ὥσπερ ἐν θαλάσσῃ ἐγίγνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει. (8) Τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν, κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. Ἐλέγετο γὰρ ἡ πᾶσα ἡ ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι.

9. Ἀλέξανδρος δέ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας, τούς τε ἑταίρους καλουμένους καὶ τοὺς Θεσσαλοὺς καὶ τοὺς Μακεδόνας. Καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρᾳ ἅμα οἳ ἔταξε· τοὺς δὲ ἐκ Πελοποννήσου καὶ τὸ ἄλλο τὸ συμμαχικὸν ἐπὶ τὸ εὐώνυμον πέμπει ὡς Παρμενίωνα.

10. Δαρεῖος δέ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας οὕστινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος. Καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρατι πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν· μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. (11) Ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέγραφεν.

migeris Græcos mercede conductos numero triginta millium adversus Macedonum phalangem constituit. Ab utroque horum latere Cardacas, qui et ipsi armigeri erant, ad sexaginta millia collocat. Neque enim plures in simplici phalange constitui, locus in quo exercitus instruebatur, patiebatur. (7) Porro ad montem, qui ipsis ad sinistram erat, adversus Alexandri dextrum cornu viginti millia statuit. Atque horum quidem nonnulli a tergo Alexandri exercitus oppositi erant. Mons enim, in quo acies instructa erat, aliqua ex parte introrsum recedens, sinum quemdam veluti in mari faciebat : deinde in anfractum porrectus efficiebat ut qui ad radicem montis constituti erant, dextrum Alexandri cornu aversum cernerent. (8) Reliqua vero expeditorum atque armigerorum multitudo pro gentium varietate in confertos inutilesque ordines redacta post Græcos mercenarios et barbaros in phalangem compositos stabat. Sexcenta enim bellatorum millia in Darii exercitu esse ferebantur.

9. Alexander vero, postquam progredienti sibi majus spatium aperiri cœperat, equitatum amicorum Thessalosque et Macedonas adducit. Atque hos quidem in dextro cornu juxta se locat. Peloponnesios reliquosque socios ad lævum cornu Parmenioni mittit.

10. Darius postquam aciem instruxit, equites quos ad flumen eam ob causam locarat ut tuto exercitum ordinare posset, dato signo revocat. Horum plerosque ad dextrum cornu mare versus adversus Parmenionem statuit, quod ab ea parte major equorum esset usus : reliquam partem in sinistrum cornu ad montem traducit. (11) Quum vero propter angustiam locorum inutiles eo in loco sibi viderentur, plerosque ut in dextrum ipsorum cornu sese recipiant jubet. Ipse Darius medium aciei tenebat, Persarum regum in exercitus ordinatione veteri more observato; cujus quidem rei rationem Xenophon Grylli filius conscripsit.

ΚΕΦ. Θ'.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοποννησίους μόνους καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ κάταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. (2) Προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν

CAP. IX.

Inter hæc Alexander animadvertens universum ferme Persarum equitatum contra lævum suum cornu mare versus traductum, solosque Peloponnesios cum reliquo sociorum equitatu eam ad partem collocatos esse, Thessalos etiam equites confestim eo mittit ; imperans ne ex adverso totius aciei equitent, ne ab hostibus eo se transferentes cernantur, sed a tergo phalangis non conspecti ab hoste transeant. (2) Præstituit autem equitibus ad dextrum cornu antecursores, quibus præfectus erat Protomachus, et Pæo-

ἡγεῖτο Ἀρίστων· τῶν δὲ πεζῶν τοὺς τοξότας, ὧν ἦρχεν Ἀντίοχος· τοὺς δὲ Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος, καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξοτῶν ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν, ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φάλαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας, τὸ δὲ ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους. (3) Τοῦ δὲ εὐωνύμου προετάχθησαν τῶν μὲν πεζῶν οἵ τε Κρῆτες τοξόται καὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον. Οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν. Ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε Ἀνθεμουσίαν, ἧς ἴλαρχος ἦν Περοίδας ὁ Μενεσθέως, καὶ τὴν Λευγαίαν καλουμένην, ἧς ἡγεῖτο Παντόρδανος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. (4) Καὶ τοὺς τοξότας δὲ καὶ μέρος τῶν Ἀγριάνων καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὑτοῦ ἐπὶ μετώπου παραγαγὼν ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν φάλαγγα. Ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῆεσαν, ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας ἀνασταλέντες ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸς ὢν χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν.

ΚΕΦ. Ι'.

Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῷ ἡ πρόσοδος. Τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις, πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. Καὶ ταύτῃ εὐθὺς ὅλος ἐγένετο τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. (2) Ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, ἐνταῦθα παριππεύων πάντη Ἀλέξανδρος παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστὶ καὶ τῶν ξένων τῶν μισθοφόρων ὅσοι κατ' ἀξίωσιν ἢ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν· καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγίνετο μὴ διατρίβειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. (3) Ὁ δὲ ἦγεν ἐν τάξει ἔτι, τὰ μὲν πρῶτα, καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος· ὡς δὲ ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος ὁρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλον, ὡς

nes, quibus præerat Ariston; peditibus vero sagittarios, quos Antiochus ducebat. Agrianos autem, quorum dux erat Attalus, et nonnullos equitum ac sagittariorum in obliquum ad montem a tergo locat: ita ut ad eam partem quæ ipsi dextra erat, phalanx in duo cornua divisa cerneretur, alterum quidem adversus Darium, eosque qui trans flumen stabant, Persas omnes: alterum adversus eos qui ad montem a tergo imminebant. (3) Ante sinistrum latus ex peditibus Cretenses sagittarios et Thraces, quos ducebat Sitalces, ponit: ante hos equitatum, qui ad sinistrum cornu pertinebat. Exteri vero mercenarii omnibus præstituti erant. Ceterum quum eorum phalanx in dextro cornu non satis conferta videretur, atque ex ea parte potissimum Persas phalangem circumvenire posse judicaret, ex medio agmine duas amicorum turmas, Anthemusiam, cui Peroedas Menesthei filius, et Leugæam, cui Pantordanus Cleandri filius præerant, ut ad dextrum latus clam hostibus se recipiant jubet. (4) Sagittariis etiam ac parte Agrianorum et Græcorum mercede conductorum nonnullis ad dextrum suum cornu ad frontem traductis, phalangem ultra Persarum cornu extendit. Quum enim ii qui in monte dispositi erant non descenderent, excursione Agrianorum ac nonnullorum sagittariorum Alexandri jussu in ipsos facta, facile a radice montis propulsi ad cacumen confugerunt. Visum etiam ipsi est, eos quos illis ea ex parte opposuerat, ad corroborandam phalangem usui esse posse, satisque esse si trecenti equites illis opponerentur.

CAP. X.

Hoc modo dispositis militibus, Alexander aliquamdiu tarde aciem promovebat, ut omnino tardus eorum congressus fore videretur. Neque enim Darius barbaros ut primum eos constituerat jam in adversum ducebat, sed in ripis fluminis, quæ magna ex parte præruptæ erant, et qua facilior in illas conscensus visus fuerat, vallo ducto munitæ, sese continebat. Quod quidem statim Macedonibus argumento fuit, Darium jam servitutem animo concepisse. (2) Postquam vero acies conjunctæ sunt, Alexander in omnem exercitus partem obequitans, ut strenuos fortesque viros sese præbeant, hortatur, neque præcipuos solum copiarum duces suis nominibus, addita ut par erat laude, verum etiam tribunos et manipulares nominatim compellabat, et ex mercenariis qui aut titulo aut rerum gestarum gloria illustriores essent. Hic clamor undique sublatus est, abrumpendam moram, in hostes ruendum. (3) Alexander tametsi jam Darii exercitum in conspectu haberet, sensim tamen initio acies suas duxit, ne nimia contentione festinationeque incessus fluctuans phalanx dissiparetur. Posteaquam vero intra teli jactum ventum est, primi qui circa Alexandrum erant, ipseque Alexander in dextro cornu subsistens, cursu in flumen feruntur: ut et ipsa im-

τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόντας ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. (4) Καὶ ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος· εὐθὺς γὰρ ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περσικοῦ στρατεύματος οἱ τῷ ἀριστερῷ κέρᾳ ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν λαμπρῶς ἐνίκα Ἀλέξανδρός τε καὶ οἱ ἀμφ' αὐτόν· οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι οἱ ξὺν Δαρείῳ, ᾗ διέσχε τῶν Μακεδόνων ἡ φάλαγξ ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραβραγεῖσα, (5) ὅτι Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλὼν καὶ ἐν χερσὶ τὴν μάχην ποιήσας ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν, οἱ δὲ κατὰ μέσον τῶν Μακεδόνων οὔτε τῇ ἴσῃ σπουδῇ ἥψαντο τοῦ ἔργου καὶ πολλαχῇ χρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι, ταύτῃ ἐμβάλλουσιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν ᾗ μάλιστα διεσπασμένην αὐτοῖς τὴν φάλαγγα κατεῖδον. (6) Καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας καὶ τὴν νίκην τοῖς ἤδη φεύγουσι σφῶν ἀνασώσασθαι· τῶν Μακεδόνων δὲ τῆς τε Ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι καὶ τὴν δόξαν τῆς φάλαγγος, ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης, μὴ ἀφανίσαι. (7) Καί τι καὶ τοῖς γένεσι τῷ τε Ἑλληνικῷ καὶ τῷ Μακεδονικῷ φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. Καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν τῶν οὐκ ἠμελημένων Μακεδόνων.

ΚΕΦ. ΙΑ'.

Ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις, τεταμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπό τε τοῦ ποταμοῦ ἀπώσαντο αὐτούς, καὶ κατὰ τὸ παρερρωγὸς τοῦ Περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη ἔκοπτον τοὺς ξένους· (2) καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θεσσαλοὺς τεταγμένοι οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θεσσαλῶν· καὶ ταύτῃ ξυνέστη ἱππομαχία καρτερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ἤσθοντο καὶ πρὶν ἀποβραγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγγος. (3) Τότε δὲ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν, βαρέως ὡπλισμένους τοὺς ἀμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς, κατὰ στενὰς ὁδοὺς πλήθει τε πολλοὶ καὶ πεφοβημένως σὺν ἀταξίᾳ ἀποχωροῦντες, οὐ μεῖον ἀπ' ἀλλήλων καταπατούμενοι ἢ πρὸς τῆς διώξεως τῶν πολεμίων ἐβλάπτοντο. Καὶ οἱ Θεσσαλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο, ὥστε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο.

petus celeritate Persas percellerent, et celerius ad manus venientes minus damni a sagittariis acciperent. (4) Quod quidem ita ut Alexander cogitarat evenit. Statim enim atque ad manus ventum est, Persæ qui ad sinistrum cornu collocati erant, terga vertunt. In eo conflictu Alexander cum suo comitatu illustrem minimeque dubiam victoriam est consecutus. Græci vero mercenarii, qui a Darii partibus erant, qua Macedonum phalanx divisa erat, utpote in dextrum cornu flexa (5) (Alexander enim celeriter amnem ingressus et cominus cum hoste congressus facile Persas ex ea parte positos propulsarat; Macedones vero in medio positi non pari diligentia erant usi, sed editis ac præruptis passim ripis impediti, aciei frontem eodem ordine servare non potuerant), ea parte qua maxime convulsam phalangem sunt conspicati, impetum in Macedones faciunt. (6) Acris ibi pugna miscetur, illis quidem Macedones in flumen repellere et victoriam fugientibus jam suis recuperare nitentibus: Macedonibus contra, ne manifestæ Alexandri victoriæ deessent, aut phalangis gloriam, quæ ut invicta tum temporis omnium ore celebrabatur, imminuerent. (7) Adhæc æmulatio quædam contentioque de honore Græcanicæ nationi cum Macedonibus intercedebat. In eo conflictu Ptolemæus Seleuci filius re fortiter gesta, aliique non obscuri nominis Macedones centum fere et viginti numero ceciderunt.

CAP. XI.

Dum hæc geruntur, cohortes, quæ ad dextrum cornu erant, quum jam Persas sibi oppositos in fugam versos viderent, in exteros Darii mercede conductos et invalidos maleque affectos conversi, eos a flumine propellunt. Atque eam Persici exercitus partem quæ divulsa erat phalange circumvenientes, e transverso in eos feruntur stragemque exterorum edunt. (2) Porro equites Persæ qui Thessalis oppositi erant, nequaquam se in hoc conflictu citra flumen continebant, sed eo fortiter transmisso, in Thessalicas turmas invehuntur. Atrox ibi equestre prælium commissum est. Neque prius Persæ terga verterunt, quam Darium fugisse cognoscerent, aut antequam mercenarios suos a phalange dissipatos cæsosque esse intelligerent. (3) Tum vero manifesta, et quidem totius exercitus fuga fit. Persarum equi, quum sessores graviter armatos ferrent, in receptu multum incommodi acceperunt: ipsique equites, quum per angusta viarum confertim, metu exagitati, nullo ordine ruerent, non minore damno protriti a suis quam ab hostibus insequentibus sunt affecti. Thessali enim acriter a tergo premebant, adeo ut haud minor equitum quam peditum strages in fuga edita sit.

4. Δαρεῖος δέ, ὡς αὐτῷ τὸ πρῶτον ὑπ' Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον καὶ ταύτῃ ἀπορρηγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος ξὺν τοῖς πρώτοις ἔφευγε. (5) Καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐπετύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο· ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ καὶ τὴν ἀσπίδα καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππου ἐπιβὰς ἔφευγε· καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγενομένη ἀφείλετο αὐτὸν τὸ πρὸς Ἀλεξάνδρου ἁλῶναι. (6) Ἀλέξανδρος γὰρ ἔστε μὲν φάος ἦν ἀνὰ κράτος ἐδίωκεν· ὡς δὲ συνεσκόταζέ τε ἤδη καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἀπετράπετο ὡς ἐπὶ τὸ στρατόπεδον, τὸ μέντοι ἅρμα τὸ Δαρείου ἔλαβε καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ καὶ τὸν κάνδυν καὶ τὸ τόξον. (7) Καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραῤῥήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε.

8. Τῶν δὲ Περσῶν ἀπέθανον Ἀρσάμης μὲν καὶ Ῥεομίθρης καὶ Ἀτιζύης τῶν ἐπὶ Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ· ἀποθνήσκει δὲ καὶ Σαβάκης ὁ Αἰγύπτου σατράπης καὶ Βουβάκης τῶν ἐντίμων Περσῶν· τὸ δὲ ἄλλο πλῆθος εἰς δέκα μάλιστα μυριάδας καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους, ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε Ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα. (9) Τό τε στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ γυνή, αὐτὴ δὲ καὶ ἀδελφὴ Δαρείου, καὶ υἱὸς Δαρείου νήπιος· καὶ θυγατέρες δύο ἑάλωσαν καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων γυναῖκες οὐ πολλαί. Οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες· (10) ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται πεπόμφει ἐς Δαμασκόν, ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. Ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τὸ τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοκράτους μηνὸς Μαιμακτηριῶνος.

4. Darius vero, ubi primum ab Alexandro sinistrum ejus cornu fugatum est atque dissipatum ea parte exercitum vidit, confestim inscenso ut potuit curru, cum primariis fugit. (5) Et quamdiu planis atque apertis locis in fuga uti licuit, curru sibi salutem quæsivit. Ubi autem in prærupta loca aliasque viarum difficultates incidit, deserto curru et scuto exutoque amiculo, arcu etiam in curru relicto, conscenso equo fugit. Nox non multo post supervenieus obstitit, quominus ab Alexandro caperetur. (6) Alexander enim dum adhuc lux esset, acriter persequutus est Darium, quum vero tenebris obortis etiam proxima cerni nequirent, ad exercitum reversus est, currum tamen Darii ejusque scutum et amiculum atque arcum cepit. (7) Paulo enim tardius cum insequi cœperat, quod in prima illa phalangis dissipatione ipse etiam subsistens non prius ad insequendum se convertit, quam exteros mercenarios Persicumque equitatum a flumine repulsos conspexit.

8. E Persis cecidere Arsames, Rheomithres et Atizyes, ex iis qui apud Granicum equitatum duxerant; Sabaces etiam Ægypti satrapa, et Bubaces, magni inter Persas nominis; præter hos reliqua multitudo ad centum millia, atque in his equitum decem millia: adeo ut Ptolemæus Lagi filius, qui tum temporis Alexandrum cum suis Darium insequentem comitatus erat, auctor sit, quum in persequendo ad hiatum quendam venissent, super strata hostium cadavera sese hiatum istum transiisse. (9) Post hæc castra Darii primo impetu capta sunt, atque in iis mater Darii, et uxor eademque soror, ac filius adhuc infans; duæ præterea ejus filiæ captæ, et circum eas aliæ principum virorum uxores non multæ. Plurimi enim Persæ uxores suas cum impedimentis Damascum miserant; (10) siquidem et Darius majorem pecuniarum partem, et quæcunque ad splendidum magnificumque apparatum pertinentia reges Persarum etiam militantes comitari solent, Damascum miserat, adeo ut in exercitu ultra tria millia talentorum inventa non fuerint. Ceterum omnis ea pecunia paulo post Damasci capta est a Parmenione, eam ad rem ab Alexandro misso. Hic prælii exitus fuit, archonte Athenis Nicocrate, mense Mæmacterione.

ΚΕΦ. ΙΒ'.

Τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος ξίφει, ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγὼν ἔθαψε μεγαλοπρεπῶς ξὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον· καὶ λόγῳ τε ἐπεκόσμησεν ὅσοις τι διαπρεπὲς ἔργον ἐν

CAP. XII

Postero die Alexander, quamvis æger adhuc e vulnere quod in femore exceperat, saucios tamen obivit, et cæsorum corporibus conquisitis, magnifice ea sepelivit, universo exercitu in acie stante, et bellicas uniuscujusque laudes, quem vel ipse præclarum aliquod facinus in pugna

τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω εἰργασμένον ἢ ἀκοῇ συμφωνούμενον ἔμαθε· καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους ξὺν τῇ ἀξίᾳ ἐτίμησε. (2) Καὶ Κιλικίας μὲν ἀποδεικνύει σατράπην Βάλακρον τὸν Νικάνορος, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν· ἀντὶ δὲ τούτου ἐς τοὺς σωματοφύλακας κατέλεξε Μένητα τὸν Διονυσίου· ἀντὶ δὲ Πτολεμαίου τοῦ Σελεύκου τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ Πολυσπέρχοντα τὸν Σιμμίου ἄρχειν ἀπέδειξε τῆς ἐκείνου τάξεως. Καὶ Σολεῦσι τά τε πεντήκοντα τάλαντα ἃ ἔτι ἐνδεᾶ ἦν ἐκ τῶν ἐπιβληθέντων σφίσι χρημάτων ἀνῆκε καὶ τοὺς ὁμήρους ἀπέδωκεν.

3. Ὁ δὲ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς γυναικὸς ἢ τῶν παίδων ἠμέλησεν. Ἀλλὰ λέγουσί τινες τῶν τὰ Ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς ᾗ ἀπὸ τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν ἐς τὴν σκηνὴν παρελθόντα αὐτὸν τὴν Δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀκοῦσαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ πόρρω τῆς σκηνῆς· (4) πυθέσθαι οὖν αἵτινες γυναῖκες καὶ ἀνθ' ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσι· καί τινα ἐξαγγεῖλαι, ὅτι, Ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς ὅτι τὸ τόξον τε τοῦ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικὸν καὶ ἡ ἀσπὶς ὅτι κεκόμισαι ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶτι Δαρείῳ ἀνοιμώζουσι. (5) Ταῦτα ἀκούσαντα Ἀλέξανδρον πέμψαι πρὸς αὐτὰς Λεοννάτον, ἕνα τῶν ἑταίρων, ἐντειλάμενον φράσαι ὅτι ζῇ Δαρεῖος· τὰ δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι φεύγων ἀπέλιπεν ἐπὶ τῷ ἅρματι καὶ ταῦτα ὅτι μόνα ἔχει Ἀλέξανδρος. Καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν τά τε περὶ Δαρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖσθαι βασιλίσσας, ἐπεὶ οὐ κατὰ ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. (6) Ταῦτα μὲν Πτολεμαῖος καὶ Ἀριστόβουλος λέγουσι· λόγος δὲ ἔχει καὶ αὐτὸν Ἀλέξανδρον τῇ ὑστεραίᾳ παρελθεῖν εἴσω ξὺν Ἡφαιστίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν μητέρα τὴν Δαρείου, ἀμφιγνοήσασαν ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν, ἐστάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ, τὴν δὲ Ἡφαιστίωνι προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων [αὐτῇ] ἐφάνη ἐκεῖνος. (7) Ὡς δὲ ὁ Ἡφαιστίων τε ὀπίσω ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτήν, τὸν Ἀλέξανδρον δείσας, ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ὑποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ ἐκεῖνον εἶναι Ἀλέξανδρον. (8) Καὶ ταῦτα ἐγὼ οὔθ' ὡς ἀληθῆ οὔτε ὡς πάντη ἄπιστα ἀνέγραψα. Ἀλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς ἐς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον.

patrantem viderat, vel patrasse constanti fama acceperat, verbis ornavit et pecuniarum largitione singulos pro suo merito dignitateque honestavit. (2) Posthæc Balacrum Nicanoris filium Ciliciæ satrapam designat. Is unus ex regiis corporis custodibus erat : custodiæ autem corporis in ejus locum suffecit Menetem Dionysii filium. Polysperchonti, Simmiæ filio, agmen Ptolemæi Seleuci filii, qui in prælio ceciderat, ducendum dat. Solensibus quinquaginta talenta, quæ adhuc reliqua erant ex summa quam iis imperarat, remittit, et obsides reddit.

3. Neque vero matris Darii neque uxoris et liberorum curam omisit. Nonnulli enim qui de rebus gestis Alexandri scripserunt, auctores sunt, eadem ipsa nocte qua ab insequendo Dario redierat, quum in tabernaculum Darii, quod ipsi selectum asservatumque erat, intrasset, muliebrem ejulatum atque alium quendam tumultum audisse non procul a tabernaculo, (4) ac quæsivisse quænam essent hæ mulieres, et cur in tam vicino tabernaculo? statimque renuntiasse quempiam : « Mater Darii, o rex, ejusque uxor et liberi, ut nuntiatum illis fuit te et arcum et amiculum regium habere, posteaque etiam scutum Darii allatum esse, tanquam mortuo Dario ejulatus edunt. » (5) Alexandrum ea re cognita, Leonnatum, unum ex amicis, ad eas misisse, jussum dicere, Darium superstitem esse : arma vero et amiculum ab illo fugiente in curru relicta esse, ea solum penes Alexandrum esse. Leonnatum tabernaculum ingressum, Darii statum exposuisse, præterea ut regio etiam cultu famulatuque illis uti liceret reginaque appellarentur, ab Alexandro illis concedi. Neque enim inimicitiarum causa sibi adversus Darium bellum susceptum, sed pro imperio Asiæ legitime decertasse. (6) Hæc quidem Ptolemæus et Aristobulus tradunt. Fama vero tenet Alexandrum ipsum postero die tabernaculum, solo cum ex amicis Hephæstione comitante, ingressum : et matrem quidem Darii dubitantem uter eorum rex esset (pari enim uterque corporis cultu erat) ad Hephæstionem accessisse eumque veneratam esse, quod ille habitu corporis præstare ei videretur. (7) Qui quum retrocessisset, et quidam eorum qui circa eam erant, quis esset Alexander, monstrasset, illam errato pudefactam recessisse, Alexandrum, nullum erratum esse, respondisse; nam et illum Alexandrum esse. (8) Atque hæc quidem non ut vera, sed neque ut plane incredibilia adscripsi. Sed si ita gesta sunt, Alexandrum tum ob eam qua in fœminas usus est commiserationem, tum ob fidem et honorem amico præstitum laudo : et si scriptoribus historiarum appositus visus est Alexander ad hæc et facienda et dicenda, eo etiam nomine illum laudo.

ΚΕΦ. ΙΓ'.

Δαρεῖος δὲ τὴν μὲν νύκτα ξὺν ὀλίγοις τοῖς ἀμφ' αὐτὸν ἔφυγε, τῇ δὲ ἡμέρᾳ ἀναλαμβάνων ἀεὶ τῶν τε Περσῶν τοὺς διασωθέντας ἐκ τῆς μάχης καὶ τῶν ξένων τῶν μισθοφόρων, ἐς τετρακισχιλίους ἔχων τοὺς πάντας, ὡς ἐπὶ Θάψακόν τε πόλιν καὶ τὸν Εὐφράτην ποταμὸν σπουδῇ ἤλαυνεν, ὡς τάχιστα μέσον αὐτοῦ τε καὶ τοῦ Ἀλεξάνδρου τὸν Εὐφράτην ποιῆσαι. (2) Ἀμύντας δὲ ὁ Ἀντιόχου καὶ Θυμώνδας ὁ Μέντορος καὶ Ἀριστομήδης ὁ Φεραῖος καὶ Βιάνωρ ὁ Ἀκαρνάν, ξύμπαντες οὗτοι αὐτόμολοι, μετὰ τῶν ἀμφ' αὐτοὺς στρατιωτῶν ὡς ὀκτακισχιλίων εὐθὺς ὡς τεταγμένοι ἦσαν κατὰ τὰ ὄρη φεύγοντες ἀφίκοντο ἐς Τρίπολιν τῆς Φοινίκης· (3) καὶ ἐνταῦθα καταλαβόντες τὰς ναῦς νενεωλκημένας ἐφ' ὧν πρόσθεν ἐκ Λέσβου διακεκομισμένοι ἦσαν, τούτων ὅσαι μὲν ἱκαναί σφισιν ἐς τὴν κομιδὴν ἐδόκουν, ταύτας καθελκύσαντες, τὰς δὲ ἄλλας αὐτοῦ ἐν τοῖς νεωρίοις κατακαύσαντες, ὡς μὴ παρασχεῖν ταχεῖαν σφῶν τὴν δίωξιν, ἐπὶ Κύπρου ἔφυγον καὶ ἐκεῖθεν εἰς Αἴγυπτον, ἵναπερ ὀλίγον ὕστερον πολυπραγμονῶν τι Ἀμύντας ἀποθνήσκει ὑπὸ τῶν ἐγχωρίων.

4. Φαρνάβαζος δὲ καὶ Αὐτοφραδάτης τέως μὲν περὶ τὴν Χίον διέτριβον· καταστήσαντες δὲ φρουρὰν τῆς Χίου τὰς μέν τινας τῶν νεῶν ἐς Κῶ καὶ Ἁλικαρνασσὸν ἔστειλαν, αὐτοὶ δὲ ἑκατὸν ναυσὶ ταῖς ἄριστα πλεούσαις ἀναγόμενοι ἐς Σίφνον κατέσχον. Καὶ παρ' αὐτοὺς ἀφικνεῖται Ἄγις ὁ [τῶν] Λακεδαιμονίων βασιλεὺς ἐπὶ μιᾶς τριήρους, χρήματά τε αἰτήσων ἐς τὸν πόλεμον καὶ δύναμιν ναυτικήν τε καὶ πεζικὴν ὅσην πλείστην ἀξιώσων συμπέμψαι οἱ ἐς τὴν Πελοπόννησον. (5) Καὶ ἐν τούτῳ ἀγγελία αὐτοῖς ἔρχεται τῆς μάχης τῆς πρὸς Ἰσσῷ γενομένης. Ἐκπλαγέντες δὲ πρὸς τὰ ἐξαγγελθέντα Φαρνάβαζος μὲν σὺν δώδεκα τριήρεσι καὶ τῶν μισθοφόρων ξένων ξὺν χιλίοις καὶ πεντακοσίοις ἐπὶ Χίου ἐστάλη, δείσας μή τι πρὸς τὴν ἀγγελίαν τῆς ἥττης οἱ Χῖοι νεωτερίσωσιν, (6) Ἄγις δὲ παρ' Αὐτοφραδάτου τάλαντα ἀργυρίου λαβὼν τριάκοντα καὶ τριήρεις δέκα, ταύτας μὲν Ἱππίαν ἄξοντα ἀποστέλλει παρὰ τὸν ἀδελφὸν τὸν αὐτοῦ Ἀγησίλαον ἐπὶ Ταίναρον· καὶ παραγγέλλειν ἐκέλευσεν Ἀγησιλάῳ, διδόντα τοῖς ναύταις ἐντελῆ τὸν μισθὸν πλεῖν τὴν ταχίστην ἐπὶ Κρήτης, ὡς τὰ ἐκεῖ καταστησόμενον. Αὐτὸς δὲ τότε μὲν αὐτοῦ ἐν ταῖς νήσοις ὑπέμενεν, ὕστερον δὲ εἰς Ἁλικαρνασσὸν παρ' Αὐτοφραδάτην ἀφίκετο.

7. Ἀλέξανδρος δὲ σατράπην μὲν Συρίας τῆς κοίλης Μένωνα τὸν Κερδίμμα ἐπέταξε, δοὺς αὐτῷ ἐς φυλακὴν τῆς χώρας τοὺς τῶν ξυμμάχων ἱππέας· αὐτὸς δὲ ἐπὶ Φοινίκης ἦει. Καὶ ἀπαντᾷ αὐτῷ κατὰ τὴν ὁδὸν Στράτων ὁ Γηροστράτου παῖς τοῦ Ἀραδίων τε καὶ τῶν Ἀράδῳ προσοίκων βασιλέως· ὁ δὲ Γηρόστρατος αὐτὸς μετ' Αὐτοφραδάτου ἔπλει ἐπὶ τῶν νεῶν, καὶ οἱ ἄλλοι οἵ τε τῶν Φοινίκων καὶ οἱ τῶν Κυπρίων βασιλεῖς καὶ αὐτοὶ Αὐτοφραδάτῃ ξυνέπλεον. (8) Στράτων δὲ Ἀλε-

CAP. XIII.

Darius noctu paucis comitatus fugerat : postridie vero recolligens Persas exterosque, qui ex eo prœlio evaserant, quatuor in universum millia habens, ad Thapsacum urbem et Euphratem cum equitatu contendit, ut quam citissime posset, Euphratem inter se atque Alexandrum medium relinqueret. (2) Amyntas porro Antiochi et Thymondas Mentoris filius et Aristomedes Pheræus et Bianor Acarnan, omnes transfugæ, statim ita ut dispositi erant per montes fugientes Tripolim Phœniciæ pervenerunt, octo circiter militum millia habentes : (3) ibi repertis navibus in navale subductis, quibus antea e Lesbo transvecti fuerant, tot ac sibi ad vecturam sufficere viderentur in mare protractis, reliquisque in navali succensis, ne celeriter eos insequendi facultatem suppeditarent, in Cyprum fugerunt, atque inde in Ægyptum : ubi paulo post Amyntas res novas moliens ab incolis interfectus est.

4. Pharnabazus autem et Autophradates aliquamdiu apud Chium moram fecerunt : præsidioque in insula collocato, nonnullis in Con atque Halicarnassum navibus missis, ipsi centum navibus optime ad navigandum comparatis Siphnum appellunt. Eo loci Agis Lacedæmoniorum rex una triremi ad eos venit, pecuniam in usus belli et copias navales ac pedestres, quammaximas posset, in Peloponnesum ducendas petiturus. (5) Inter hæc nuntius adfertur prœlii apud Issum commissi. Quo nuntio perculsi, Pharnabazus quidem cum duodecim triremibus atque exterorum mercenariorum mille quingentis Chium repetit, veritus ne audita clade Chii defectionem molirentur. (6) Agis, acceptis ab Autophradate talentis argenti triginta et triremibus decem, has quidem Hippiæ ad Agesilaum fratrem suum in Tænarum ducendas tradit, mandatis additis, ut persoluto nautis integro stipendio, quam citissime possit in Cretam naviget, ad res illius insulæ constituendas. Ipse ibi in insulis aliquandiu commoratus, paulo post Halicarnassum ad Autophradatem abiit.

7. Alexander, Syriæ, quam Cœlen (*cavam*) vocant, Menonem Cerdimmæ filium satrapam constituit, equitatu auxiliariorum ipsi in præsidium provinciæ commisso : ipse in Phœniciam profectus est. Et in itinere obvium habuit Stratonem Gerostrati filium (erat is Gerostratus Aradiorum, et quot quot Arado insulæ finitimi sunt, rex, qui quidem, ut ceteri Phœnicum ac Cypriorum reges, naves suas cum Autophradate conjunxerat), (8) qui, aurea corona Alexandri capit

ξάνδρῳ ἐντυχὼν στεφανοῖ χρυσῷ στεφάνῳ αὐτόν, καὶ τήν τε Ἀραδον αὐτῷ τὴν νῆσον καὶ τὴν Μάραθον τὴν καταντικρὺ τῆς Ἀράδου ἐν τῇ ἠπείρῳ κειμένην πόλιν, μεγάλην καὶ εὐδαίμονα, καὶ Σιγῶνα καὶ Μαριάμμην πόλιν καὶ τἆλλα ὅσα τῆς σφῶν ἐπικρατείας ἐνδίδωσιν.

ΚΕΦ. ΙΔ'.

Ἔτι δὲ ἐν Μαράθῳ Ἀλεξάνδρου ὄντος ἀφίκοντο παρὰ Δαρείου πρέσβεις, ἐπιστολήν τε κομίζοντες Δαρείου καὶ αὐτοὶ ἀπὸ γλώσσης δεησόμενοι ἀφεῖναι Δαρείῳ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας. (2) Ἐδήλου δὲ ἡ ἐπιστολή, ὅτι Φιλίππῳ τε πρὸς Ἀρταξέρξην φιλία καὶ ξυμμαχία ἐγένετο· καὶ ἐπειδὴ Ἄρσης ὁ υἱὸς Ἀρταξέρξου ἐβασίλευσεν, ὅτι Φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα Ἄρσην ἦρξεν οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. Ἐξ οὗ δὲ αὐτὸς βασιλεύει Περσῶν, οὔτε πέμψαι τινὰ Ἀλέξανδρον παρ' αὐτὸν ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ ξυμμαχίας, διαβῆναί τε ξὺν στρατιᾷ ἐς τὴν Ἀσίαν καὶ πολλὰ κακὰ ἐργάσασθαι Πέρσας. (3) Τούτου ἕνεκα καταβῆναι αὐτὸς τῇ χώρᾳ ἀμυνῶν καὶ τὴν ἀρχὴν τὴν πατρῴαν ἀνασώσων. Τὴν μὲν δὴ μάχην ὡς θεῶν τῳ ἔδοξεν, οὕτω κριθῆναι· αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως γυναῖκά τε τὴν αὐτοῦ αἰτεῖν καὶ μητέρα καὶ παῖδας τοὺς ἁλόντας, καὶ φιλίαν ἐθέλειν ποιήσασθαι πρὸς Ἀλέξανδρον καὶ ξύμμαχος εἶναι Ἀλεξάνδρῳ· καὶ ὑπὲρ τούτων πέμπειν ἠξίου Ἀλέξανδρον παρ' αὐτὸν ξὺν Μενίσκῳ τε καὶ Ἀρσίμᾳ τοῖς ἀγγέλοις τοῖς ἐκ Περσῶν ἥκουσι τοὺς τὰ πιστὰ λῃψομένους τε καὶ ὑπὲρ Ἀλεξάνδρου δώσοντας.

4. Πρὸς ταῦτα ἀντιγράφει Ἀλέξανδρος καὶ ξυμπέμπει τοῖς παρὰ Δαρείου ἐλθοῦσι Θέρσιππον, παραγγείλας τὴν ἐπιστολὴν δοῦναι Δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ μηδενός. Ἡ δὲ ἐπιστολὴ Ἀλεξάνδρου ὧδε ἔχει. « Οἱ ὑμέτεροι πρόγονοι ἐλθόντες εἰς Μακεδονίαν καὶ εἰς τὴν ἄλλην Ἑλλάδα κακῶς ἐποίησαν ἡμᾶς οὐδὲν προηδικημένοι· ἐγὼ δὲ τῶν Ἑλλήνων ἡγεμὼν κατασταθεὶς καὶ τιμωρήσασθαι βουλόμενος Πέρσας διέβην ἐς τὴν Ἀσίαν, ὑπαρξάντων ὑμῶν. (5) Καὶ γὰρ Περινθίοις ἐβοηθήσατε, οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν, καὶ εἰς Θράκην, ἧς ἡμεῖς ἤρχομεν, δύναμιν ἔπεμψεν Ὦχος. Τοῦ δὲ πατρὸς ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων, οὓς ὑμεῖς συνετάξατε, ὡς αὐτοὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομπάσατε, καὶ Ἄρσην ἀποκτείναντός σου μετὰ Βαγώου, καὶ τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως οὐδὲ κατὰ τὸν Περσῶν νόμον, ἀλλὰ ἀδικοῦντος Πέρσας, καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς Ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός με πολεμῶσι, (6) καὶ χρήματα ἀποστέλλοντος πρὸς Λακεδαιμονίους καὶ ἄλλους τινὰς τῶν Ἑλλήνων, καὶ τῶν μὲν ἄλλων πόλεων οὐδεμιᾶς δεχομένης, Λακεδαιμονίων δὲ λαβόντων, καὶ τῶν παρὰ σοῦ πεμφθέντων τοὺς

imposita, Aradum insulam et Marathum ex adverso Aradi in continente sitam urbem magnam atque opulentam, et Sigonem et Mariammen, cæteraque omnia quæ ad ipsorum ditionem pertinebant, ei tradit.

CAP. XIV.

Quumque adhuc Marathi esset Alexander, legati ad eum a Dario venerunt, qui et literas adferrent et verbis deprecarentur ut Darii matrem, uxorem et liberos dimitteret. (2) Significabat vero epistola amicitiam ac fœdus quod Philippo cum Artaxerxe intercessisset: quodque quum Arses, Artaxerxis filius, regnum accepisset, Philippus nullo a Persis incommodo affectus, primus Arsen injuria lacessisset. Alexandrum vero, ex eo tempore quo Darius Persis regnare cœpisset, pro confirmanda veteri amicitia ac fœdere nunquam misisse, (3) sed in Asiam profectum cum exercitu multis malis Persas affecisse. Quam ob causam se ut terram defenderet patriumque imperium tueretur expeditionem fecisse, de prœlio ita ut alicui deorum visum fuisset decretum esse. Se regem a rege matrem suam, uxorem ac liberos captos petere, amicitiam se cum Alexandro et societatem initurum venire, eaque de re ut Alexander ad se cum Menisco et Arsimæ, legatis Persarum mitteret qui fidem acciperent, et Alexandri nomine darent, rogabat.

4. Alexander ad hæc respondet, unaque cum legatis, qui a Dario venerant, Thersippum mittit, jubens ut epistolam Dario reddat, ipse vero nulla de re cum Dario sermones conferat. Epistola Alexandri hæc fuit: « Majores « vestri, Macedoniam reliquamque Græciam ingressi, da« mnis nos affecerunt, quum ipsi nulla prius a nobis acce« pissent. Ego Græcorum imperator creatus, Persarum « injuriam vindicare volens, in Asiam trajeci, a vobis la« cessitus. (5) Siquidem et Perinthiis opem tulistis, qui « patrem meum injuria affecerant; Ochus etiam in Thra« ciam quæ nostro imperio subest exercitum duxit. Pa« rente autem meo per insidiatores quos ipsi subornaratis « occiso, quemadmodum vos literis quoquoversum missis « gloriati estis, quum tu Arsen cum Bagoa interfici curasses, « regnumque injuste et contra Persarum leges atque insti« tuta occupasses, summa Persis injuria illata, literas e« tiam parum amicas ad Græcos misisti, quibus eos adbel« lum contra me suscipiendum incitares. (6) Quumque pe« cunias ad Lacedæmonios aliosque Græcorum nonnullos « miseris, quas tamen quum reliquæ omnes Græciæ civita« tes contempsissent, soli Lacedæmonii acceperunt, quum « denique ii qui abs te emissi fuerunt, amicos sociosque

ἐμοὺς φίλους διαφθειράντων καὶ τὴν εἰρήνην ἣν τοῖς Ἕλλησι κατεσκεύασα διαλύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπὶ σέ, ὑπάρξαντος σοῦ τῆς ἔχθρας. (7) Ἐπεὶ δὲ μάχῃ νενίκηκα πρότερον μὲν τοὺς σοὺς στρατηγοὺς καὶ σατράπας, νῦν δὲ καὶ σὲ καὶ τὴν μετὰ σοῦ δύναμιν, καὶ τὴν χώραν ἔχω, τῶν θεῶν μοι δόντων. Ὅσοι τῶν μετὰ σοῦ παραταξαμένων μὴ ἐν τῇ μάχῃ ἀπέθανον, ἀλλὰ παρ' ἐμὲ κατέφυγον, τούτων ἐπιμέλομαι καὶ οὐκ ἄκοντες παρ' ἐμοί εἰσιν, ἀλλὰ καὶ αὐτοὶ ἑκόντες ξυστρατεύονται μετ' ἐμοῦ. (8) Ὡς οὖν ἐμοῦ τῆς Ἀσίας ἁπάσης κυρίου ὄντος ἧκε πρὸς ἐμέ. Εἰ δὲ φοβῇ μὴ ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φίλων τὰ πιστὰ ληψομένους. Ἐλθὼν δὲ πρός με τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ εἴ ἄλλο τι ἐθέλεις αἴτει καὶ λάμβανε. Ὅ τι γὰρ ἂν πείθῃς ἐμὲ ἔσται σοι. (9) Καὶ τοῦ λοιποῦ ὅταν πέμπῃς παρ' ἐμέ, ὡς πρὸς βασιλέα τῆς Ἀσίας πέμπε, μηδὲ ἃ ἐξ ἴσου ἐπίστελλε, ἀλλ' ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν φράζε εἴ του δέῃ· εἰ δὲ μή, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. Εἰ δ' ἀντιλέγεις περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς καὶ μὴ φεῦγε, ὡς ἐγὼ ἐπὶ σὲ πορεύσομαι οὗ ἂν ᾖς. »

« meos corruperint atque abalienarint, et pacem cum Græcis constitutam dissolvere omnibus modis conati sint, « bellum tibi intuli, quippe qui inimicitiarum auctor fueris. « (7) Quum autem primo satrapas tuos bellique duces, « nunc vero te tuumque exercitum prælio vicerim, etiam « ditiones tuas deorum benignitate in mea potestate teneo. « Quotquot tuarum partium milites ex prælio servati ad me « confugerunt, horum curam gero, neque inviti apud me « sunt, sed sua sponte mecum militant. (8) Ad me igitur utpote totius Asiæ dominum veni. At si metuis ne, « ubi veneris, aliquid tibi abs me acerbi accidat, mitte « amicorum tuorum aliquot, qui fidem accipiant. Quum « ad me veneris, matrem et uxorem ac liberos, et si quid « præterea voles posce atque accipe. Quicquid enim a « me petieris, impetrabis. (9) De reliquo, quando ad me « scribes, ad Asiæ regem scribere te memineris : neque « tanquam ad parem scribe, sed veluti omnium tuarum « rerum domino significa si qua re indiges. Sin aliter feceris, ego de te tanquam injuriam inferente decernam. Si « vero, quod ad regni possessionem attinet, contradicis, « aliud pro eo prælium experiri paratus sis, neque fugias. « Ego enim te, quocunque loci fueris, adoriar. »

ΚΕΦ. ΙΕ'.

Πρὸς μὲν Δαρεῖον ταῦτα ἐπέστειλεν. Ἐπεὶ δ' ἔμαθε τά τε χρήματα ὅσα σὺν Κωφῆνι τῷ Ἀρταβάζου ἀποπέμπει εἰς Δαμασκὸν Δαρεῖος ὅτι ἑάλωκε, καὶ ὅσοι Περσῶν ἀμφ' αὐτὰ ἐγκατελείφθησαν ξὺν τῇ ἄλλῃ βασιλικῇ κατασκευῇ ὅτι καὶ οὗτοι ἑάλωσαν, ταῦτα μὲν ὀπίσω κομίσαντα ἐς Δαμασκὸν Παρμενίωνα φυλάσσειν ἐκέλευε. (2) Τοὺς δὲ πρέσβεις τῶν Ἑλλήνων οἳ πρὸς Δαρεῖον πρὸ τῆς μάχης ἀφιγμένοι ἦσαν, ἐπεὶ καὶ τούτους ἑαλωκέναι ἔμαθε, παρ' αὐτὸν πέμπειν ἐκέλευσεν. Ἦσαν δὲ Εὐθυκλῆς μὲν Σπαρτιάτης, Θεσσαλίσκος δὲ Ἰσμηνίου καὶ Διονυσόδωρος Ὀλυμπιονίκης, Θηβαῖοι, Ἰφικράτης δὲ ὁ Ἰφικράτους τοῦ στρατηγοῦ, Ἀθηναῖος. (3) Καὶ οὗτοι ὡς ἦκον παρ' Ἀλέξανδρον, Θεσσαλίσκον μὲν καὶ Διονυσόδωρον, καίπερ Θηβαίους ὄντας, εὐθὺς ἀφῆκε, τὸ μέν τι κατοικτίσει τῶν Θηβῶν, τὸ δὲ ὅτι ξυγγνωστὰ δεδρακέναι ἐφαίνοντο, ἡνδραποδισμένης ὑπὸ Μακεδόνων τῆς πατρίδος σφίσι τε ἥντινα ἠδύναντο ὠφέλειαν εὑρισκόμενοι καὶ εἴ δή τινα καὶ τῇ πατρίδι ἐκ Περσῶν καὶ Δαρείου, (4) ταῦτα μὲν ὑπὲρ ἀμφοῖν ἐπιεικῆ ἐνθυμηθείς, ἰδίᾳ δὲ Θεσσαλίσκον μὲν αἰδοῖ τοῦ γένους ἀφιέναι εἶπεν, ὅτι τῶν ἐπιφανῶν Θηβαίων ἦν, Διονυσόδωρον δὲ ἐπὶ τῇ νίκῃ τῶν Ὀλυμπίων. Ἰφικράτην δὲ φιλίᾳ τε τῆς Ἀθηναίων πόλεως καὶ μνήμῃ τῆς δόξης τοῦ πατρὸς ζῶντά τε ἀμφ' αὐτὸν ἔχων ἐς τὰ μάλιστα ἐτίμησε καὶ νόσῳ τελευτήσαντος τὰ ὀστᾶ ἐς τὰς Ἀθήνας τοῖς πρὸς γένους ἀπέπεμψεν. (5) Εὐθυκλέα δέ, Λακεδαιμόνιόν τε ὄντα, πόλεως περιφανῶς ἐχθρᾶς ἐν τῷ τότε, καὶ αὐτὸν οὐδὲν ἰδίᾳ εὑρισκόμενον

CAP. XV.

Atque hæc quidem ad Darium scripsit. Postquam vero cognovit, omnem pecuniam quam Darius per Cophenem Artabazi filium Damascum miserat captam esse, Persas etiam ejus pecuniæ custodes, reliquumque regium apparatum in potestatem venisse, hæc Parmenioni Damascum reportanda et custodienda tradidit. (2) Legatos autem Græcorum qui ad Darium ante prælium advenerant, quum hos quoque captos audiret, ad se mitti jussit. Hi erant, Euthycles Lacedæmonius, Thessaliscus Ismenii filius, et Dionysodorus Olympionica, Thebani : porro Iphicrates, filius Iphicratis copiarum ducis, Atheniensis. (3) Qui quum ad Alexandrum adducti essent, Thessaliscum quidem et Dionysodorum, quamvis Thebani essent, statim dimisit tum commiseratione Thebarum, tum quod venia digni viderentur, quippe qui patria ipsorum a Macedonibus direpta eversaque, et sibi et patriæ utilitatem aliquam adferre Darii ac Persarum adminiculo conarentur. (4) Hæc itaque modeste ac leniter de utroque statuens, Thessaliscum præterea reverentia generis adductus (erat enim illustri apud Thebanos loco), Dionysodorum autem quod Olympiis vicisset dimisit : Iphicratem vero, ob amorem Atheniensis urbis et paternæ memoriæ gloriam, quum in vivis esset, magno semper apud se in honore habuit, et mortui ossa Athenas ad propinquos reportari curavit. (5) At Euthyclem, quod Lacedæmonius esset, eaque urbs tum temporis manifestas cum Alexandro inimicitias gereret, quodque ipse privatim nihil quod magnopere ve-

ἐς ξυγγνώμην δ τι [γε] καὶ λόγου ἄξιον, τὰ μὲν πρῶτα ἐν φυλακῇ ἀδέσμῳ εἶχεν· ὕστερον δὲ, ἐπεὶ μεγάλα εὐτύχει, καὶ τοῦτον ἀφῆκεν.

6. Ἐκ Μαράθου δὲ ὁρμηθεὶς Βύβλον τε λαμβάνει ὁμολογίᾳ ἐνδοθεῖσαν, καὶ Σιδῶνα, αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων κατὰ ἔχθος τὸ Περσῶν καὶ Δαρείου. Ἐντεῦθεν δὲ προϊόντι ὡς ἐπὶ Τύρον· καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων ἀπὸ τοῦ κοινοῦ ἐσταλμένοι ὡς ἐγνωκότων Τυρίων πράσσειν ὅ τι ἂν ἐπαγγείλῃ Ἀλέξανδρος. (7) Ὁ δὲ τήν τε πόλιν ἐπαινέσας καὶ τοὺς πρέσβεις (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν Τύρῳ οἵ τε ἄλλοι καὶ ὁ τοῦ βασιλέως τῶν Τυρίων παῖς· αὐτὸς δὲ ὁ βασιλεὺς Ἀζέμιλκος μετ' Αὐτοφραδάτου ἔπλει), ἐκέλευσεν ἐπανελθόντας φράσαι Τυρίοις ὅτι ἐθέλοι παρελθὼν ἐς τὴν πόλιν θῦσαι τῷ Ἡρακλεῖ.

ΚΕΦ. ΙϚ'.

Ἔστι γὰρ ἐν Τύρῳ ἱερὸν Ἡρακλέους παλαιότατον ὧν μνήμη ἀνθρωπίνη διασώζεται, οὐ τοῦ Ἀργείου Ἡρακλέους τοῦ τῆς Ἀλκμήνης· πολλαῖς γὰρ γενεαῖς πρότερον τιμᾶται ἐν Τύρῳ Ἡρακλῆς, ἢ Κάδμον ἐκ Φοινίκης ὁρμηθέντα Θήβας κατασχεῖν καὶ τὴν παῖδα Κάδμῳ τὴν Σεμέλην γενέσθαι, ἐξ ἧς καὶ ὁ τοῦ Διὸς Διόνυσος γίγνεται. (2) Διόνυσος μὲν δὴ τρίτος ἂν ἀπὸ Κάδμου εἴη, κατὰ Λάβδακον τὸν Πολυδώρου τοῦ Κάδμου παῖδα· Ἡρακλῆς δὲ ὁ Ἀργεῖος κατ' Οἰδίποδα μάλιστα τὸν Λαΐου. Σέβουσι δὲ καὶ Αἰγύπτιοι ἄλλον Ἡρακλέα, οὐχ ὅπερ Τύριοι ἢ Ἕλληνες. (3) Ἀλλὰ λέγει Ἡρόδοτος ὅτι τῶν δώδεκα θεῶν Ἡρακλέα ἄγουσιν Αἰγύπτιοι, καθάπερ καὶ Ἀθηναῖοι Διόνυσον τὸν Διὸς καὶ Κόρης σέβουσιν, ἄλλον τοῦτον Διόνυσον· καὶ ὁ Ἴακχος ὁ μυστικὸς τούτῳ τῷ Διονύσῳ, οὐχὶ τῷ Θηβαίῳ, ἐπᾴδεται. (4) Ὡς τόν γε ἐν Ταρτησσῷ πρὸς Ἰβήρων τιμώμενον Ἡρακλέα, ἵνα καὶ στῆλαί τινες Ἡρακλέους ὠνομασμέναι εἰσί, δοκῶ ἐγὼ τὸν Τύριον εἶναι Ἡρακλέα, ὅτι Φοινίκων κτίσμα ἡ Ταρτησσὸς καὶ τῷ Φοινίκων νόμῳ ὅ τε νεὼς πεποίηται τῷ Ἡρακλεῖ τῷ ἐκεῖ καὶ αἱ θυσίαι θύονται. (5) Γηρυόνην δέ, ἐφ' ὅντινα ὁ Ἀργεῖος Ἡρακλῆς ἐστάλη πρὸς Εὐρυσθέως τὰς βοῦς ἀπελάσαι τὰς Γηρυόνου καὶ ἀγαγεῖν ἐς Μυκήνας, οὐδέν τι προσήκειν τῇ γῇ τῶν Ἰβήρων Ἑκαταῖος ὁ λογοποιὸς λέγει· οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν ἔξω τῆς μεγάλης θαλάσσης σταλῆναι Ἡρακλέα, ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμβρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυόνην καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βόας, οὐδὲ τοῦτον φαῦλον ἆθλον τιθέμενον. (6) Οἶδα δὲ ἐγὼ καὶ εἰς τοῦτο ἔτι εὔβοτον τὴν ἤπειρον ταύτην καὶ βοῦς τρέφουσαν καλλίστας· καὶ ἐς Εὐρυσθέα τῶν μὲν ἐξ Ἠπείρου βοῶν κλέος ἀφῖχθαι καὶ τοῦ βασιλέως τῆς Ἠπείρου τὸ ὄνομα τὸν Γηρυόνην οὐκ ἔξω τοῦ εἰκότος τίθεμαι· τῶν δὲ ἐσχάτων τῆς Εὐρώπης Ἰβήρων οὔτ' ἂν τοῦ βασιλέως τὸ ὄνομα γιγνώσκειν ἄξιον ἐδόκει, ἐξευρεῖν, πρῶτον μὲν ἐν φυλακῇ (οὐ μέντοι δεσμοῖς) παρέδωκεν· ὕστερον δὲ, ἐπεὶ μεγάλα εὐτύχει, καὶ τοῦτον ἀφῆκεν.

6. E Maratho deinde movens, Byblum pactionibus traditam capit; Sidonem etiam, Sidoniis ipsis odio Persarum et Darii eum accersentibus. Tyrum inde proficiscenti Tyriorum legati obviam venerunt, a communi missi, significantes Tyrios paratos esse, quæ Alexander imperaret, facere. (7) Ipse, laudata et civitate et legatis (erant enim hi ex principibus civitatis cum alii, tum Tyriorum regis filius, nam ipse rex Azemilcus cum Autophradate navigabat), jussit ut reversi Tyriis renuntiarent, velle se urbem intrare, Herculi sacrificaturum.

CAP. XVI.

Est enim in ea urbe templum Herculis vetustissimum ex iis, quorum humana memoria conservatur, non Argivi illius Herculis qui Alcmenæ filius fuit: multis enim ante seculis Tyri colebatur Hercules, quam Cadmus e Phœnicia profectus Thebas obtinuisset, multoque ante quam Semele Cadmi filia nata esset, ex qua Bacchus Jovis filius. (2) Bacchus enim tertius a Cadmo foret temporibus vivens Labdaci, qui filius erat Polydori, nepos Cadmi; Hercules vero Argivus temporibus Œdipi Laii filii vixit. Colunt autem et Ægyptii alium Herculem, diversum ab eo quem Tyrii vel Græci. (3) Nam Herodotus tradit, Ægyptios Herculem in numero duodecim deorum habere, quemadmodum etiam Athenienses Bacchum Jovis et Proserpinæ filium colunt, diversum ab altero Baccho; et Iacchus mysticus huic Baccho, non Thebano illi, accinitur. (4) Quapropter Herculem illum qui in Tartesso ab Iberis colitur, ubi et columnæ quædam exstant Herculeæ dictæ, Tyrium hunc Herculem esse censuerim. Tartessus enim a Phœnicibus condita est, et Phœnicum more templum eo loci Herculi structum est et sacra fiunt. (5) Geryonem vero, adversus quem Hercules Argivus ab Eurystheo missus, ut boves Geryonis abreptos Mycenas duceret, nihil ad Iberorum regionem pertinere Hecatæus logographus tradit, neque ad insulam ullam Erythiam in Oceano sitam missum fuisse: sed Geryonem continentis, quæ circa Ambraciam et Amphilochos est, regem fuisse: atque ex hac continente Herculem boves abduxisse, neque parvum hunc etiam laborem judicasse. (6) Neque vero me latet, in hunc usque diem pinguia in illa continente pascua esse, et opimas boves in ea pasci; ac in notitiam Eurysthei famam de Epiri boum præstantia pervenisse regisque Epiri nomen Geryonis, id minime veri absimile esse mihi videtur: contra extremorum Europæ Iberorum neque regis nomen cognosse

σχειν Εὐρυσθέα, οὔτε εἰ βοῦς καλαὶ ἐν τῇ χώρᾳ ταύτῃ νέμονται, εἰ μή τις τὴν Ἥραν τούτοις ἐπάγων, ὡς αὐτὴν ταῦτα Ἡρακλεῖ δι' Εὐρυσθέως ἐπαγγέλλουσαν, τὸ οὐ πιστὸν τοῦ λόγου ἀποκρύπτειν ἐθέλοι τῷ μύθῳ.

7. Τούτῳ τῷ Ἡρακλεῖ τῷ Τυρίῳ ἔφη ἐθέλειν θῦσαι Ἀλέξανδρος. Ὡς δὲ ἀπηγγέλθη ταῦτα πρὸς τῶν πρέσβεων εἰς τὴν Τύρον, τὰ μὲν ἄλλα ἔδοξέ σφισι ποιεῖν ὅ τι περ ἐπαγγέλλει Ἀλέξανδρος, ἐς δὲ τὴν πόλιν μήτε τινὰ Περσῶν μήτε Μακεδόνων δέχεσθαι, ὡς τοῦτο ἔς τε τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον καὶ ἐς τοῦ πολέμου τὴν κρίσιν, ἄδηλον ἔτι οὖσαν, ἀσφαλέστατόν σφισι γενησόμενον. (8) Ὡς δὲ ἐξηγγέλθη Ἀλεξάνδρῳ τὰ ἐκ τῆς Τύρου, τοὺς μὲν πρέσβεις πρὸς ὀργὴν ὀπίσω ἀπέπεμψεν, αὐτὸς δὲ συναγαγὼν τούς τε ἑταίρους καὶ τοὺς ἡγεμόνας τῆς στρατιᾶς καὶ ταξιάρχας καὶ ἰλάρχας ἔλεξεν ὧδε.

Eurystheum censeo, neque an opimæ ea in regione boves nascantur, nisi quis Junonem adducens quæ id Herculi per Eurystheum denuntiaret, rem alsimilem vero fabulæ involucris tegere velit.

7. Huic Herculi Tyrio Alexander se sacrificare velle dixit. Quæ postquam a legatis Tyrum perlata sunt, visum illis est reliqua omnia quæ Alexander imperasset facere : cæterum neminem vel Græcorum vel Macedonum in urbem admittere, quod illud pro præsenti rerum statu rationi convenientissimum, et quoad eventum belli, qui adhuc incertus erat, tutissimum ipsis videretur. (8) Simulac vero Tyriorum responsum Alexandro renuntiatum fuit, indignatus legatos Tyrum reverti jubet : convocatisque amicis et principibus exercitus, et cohortium turmarumque præfectis, ita eos alloquutus est.

ΚΕΦ. ΙΖ'.

« Ἄνδρες φίλοι καὶ ξύμμαχοι, ἡμῖν οὔτε τὴν ἐπ' Αἰγύπτου πορείαν ἀσφαλῆ ὁρῶ, θαλασσοκρατούντων Περσῶν, Δαρεῖόν τε διώκειν ὑπολιπομένους αὐτήν τε ὀπίσω τὴν τῶν Τυρίων πόλιν ἀμφίβολον καὶ Αἴγυπτον καὶ Κύπρον ἐχομένας πρὸς Περσῶν, οὐδὲ τοῦτο ἀσφαλὲς ἔς τε τὰ ἄλλα καὶ μάλιστα δὴ ἐς τὰ Ἑλληνικὰ πράγματα, (2) μήποτ' ἄρα ἐπικρατήσαντες αὖθις τῶν ἐπὶ θαλάσσῃ χωρίων οἱ Πέρσαι, προχωρησάντων ἡμῶν ξὺν τῇ δυνάμει ὡς ἐπὶ Βαβυλῶνά τε καὶ Δαρεῖον, αὐτοὶ ξὺν πλείονι στόλῳ μεταγάγοιεν τὸν πόλεμον ἐς τὴν Ἑλλάδα, Λακεδαιμονίων μὲν ἐκ τοῦ εὐθέος ἡμῖν πολεμούντων, τῆς δὲ Ἀθηναίων πόλεως φόβῳ μᾶλλόν τι ἢ εὐνοίᾳ τῇ πρὸς ἡμᾶς πρὸς τὸ παρὸν κατεχομένης. (3) Ἐξαιρεθείσης δὲ Τύρου ἥ τε Φοινίκη ἔχοιτο ἂν πᾶσα καὶ τὸ ναυτικὸν ὅπερ πλεῖστόν τε καὶ κράτιστον τοῦ Περσικοῦ, τὸ Φοινίκων, παρ' ἡμᾶς μεταχωρήσειν εἰκός· οὐ γὰρ ἀνέξονται οὔτε οἱ ἐρέται οὔτε οἱ ἐπιβάται Φοίνικες, ἐχομένων σφίσι τῶν πόλεων, αὐτοὶ ὑπὲρ ἄλλων πλέοντες κινδυνεύειν· Κύπρος δὲ ἐπὶ τῷδε ἢ οὐ χαλεπῶς ἡμῖν προσχωρήσει ἢ ἐξ ἐπίπλου εὐμαρῶς ληφθήσεται. (4) Καὶ ταῖς τε ἐκ Μακεδονίας ναυσὶ καὶ ταῖς Φοινίσσαις πλεόντων ἡμῶν τὴν θάλασσαν καὶ Κύπρου ἅμα προσγενομένης, θαλασσοκρατοῖμέν τε ἂν βεβαίως καὶ ὁ ἐς Αἴγυπτον στόλος εὐμαρῶς ἡμῖν ἐν ταὐτῷ γίγνεται. Αἴγυπτον δὲ παραστησαμένοις ὑπέρ τε τῆς Ἑλλάδος καὶ τῆς οἰκείας οὐδὲν ἔτι ὕποπτον ὑπολείπεται, τόν τε ἐπὶ Βαβυλῶνος στόλον μετὰ τοῦ ἐς τὰ οἴκοι ἀσφαλοῦς καὶ ξὺν μείζονι ἅμα ἀξιώσει ποιησόμεθα, ἀποτετμημένοι τήν τε θάλασσαν Περσῶν ξύμπασαν καὶ τὴν ἐπὶ τάδε τοῦ Εὐφράτου γῆν. »

CAP. XVII.

« Expeditionem in Ægyptum facere, o amici ac socii, parum tutum nobis fore censeo, Persis imperium maris obtinentibus : et Darium insequi, Tyriorum urbe dubia relicta, Persisque Ægyptum ac Cyprum in sua potestate habentibus, cum ob alias res, tum ob Græciæ statum, periculosum fore judico, (2) ne fortasse maritimis oppidis recuperatis, interea dum nos exercitum in Babylonem et Darium ducimus, ipsi majore classe bellum in Græciam transferant : præsertim quum Lacedæmonii apertos sese nobis hostes declararint, Athenienses vero in præsentia metu magis, quam benevolentia erga nos sese contineant. (3) Capta autem Tyro, et Phœnicia tota et navalis apparatus Phœnicum, quo maximo et validissimo Persæ utuntur, nobis, ut verisimile est, accedet. Neque enim remiges neque navium propugnatores Phœnices committent, ut tenentibus nobis ipsorum urbes, ipsi pro aliis navale prœlium subeant. Cyprus post hæc vel facile se nobis adjunget, vel classe eo missa parvo negotio capi poterit. (4) Atque ita Macedonum et Phœnicum conjuncta classe mare pernavigantes, Cypro etiam subacta, firmum maris imperium tenebimus, simulque nobis facilis in Ægyptum expeditio fuerit. Ægypto autem nostro imperio adjecta, nihil erit quod aut de Græcia aut de rebus domesticis simus solliciti. Babylonicam porro expeditionem, præterquam quod cum rerum domesticarum securitate, majore etiam nostra cum dignitate suscipiemus, Persis undique e mari et regione cis Euphratem submotis. »

ΚΕΦ. ΙΗ'.

Ταῦτα λέγων οὐ χαλεπῶς ἔπειθεν ἐπιχειρεῖν τῇ Τύρῳ· ἀλλὰ καί τι θεῖον ἀνέπειθεν αὐτόν, ὅτι ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει αὐτὸς μὲν τῷ τείχει προσάγειν τῶν Τυρίων· τὸν δὲ Ἡρακλέα δεξιοῦσθαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν. Καὶ τοῦτο ἐξηγεῖτο Ἀρίστανδρος ὡς ξὺν πόνῳ ἁλωσομένην τὴν Τύρον, ὅτι καὶ τὰ τοῦ Ἡρακλέους ἔργα ξὺν πόνῳ ἐγένετο. (2) Καὶ γὰρ καὶ μέγα ἔργον τῆς Τύρου ἡ πολιορκία ἐφαίνετο. Νῆσός τε γὰρ αὐτοῖς ἡ πόλις ἦν καὶ τείχεσιν ὑψηλοῖς πάντη ὠχύρωτο· καὶ τὰ ἀπὸ θαλάσσης πρὸς τῶν Τυρίων μᾶλλόν τι ἐν τῷ τότε ἐφαίνετο, τῶν τε Περσῶν ἔτι θαλασσοκρατούντων καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολλῶν περιουσῶν.

3. Ὡς δὲ ταῦτα ὅμως ἐκράτησε, χῶμα ἔγνω χωννύναι ἐκ τῆς ἠπείρου ὡς ἐπὶ τὴν πόλιν. Ἔστι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον· καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτοῦ, τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν μάλιστα ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων τε πολλῶν ἀφθονία ἦν καὶ ὕλης, ἥντινα τοῖς λίθοις ἄνωθεν ἐπεφόρουν· χάρακές τε οὐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγνυντο καὶ αὐτὸς ὁ πηλὸς ξύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. (4) Καὶ προθυμία τῶν Μακεδόνων ἐς τὸ ἔργον καὶ Ἀλεξάνδρου πολλὴ ἦν, παρόντος τε καὶ αὐτοῦ ἕκαστα ἐξηγουμένου καὶ τὰ μὲν λόγῳ ἐπαίροντος, τὰ δὲ καὶ χρήμασι τούς τι ἐκπρεπέστερον κατ' ἀρετὴν πονουμένους ἐπικουφίζοντος. Ἀλλ' ἔστε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον χωννύμενον καὶ οὐδενὸς ἐξείργοντος. (5) Ὡς δὲ τῷ βαθυτέρῳ ἤδη ἐπέλαζον καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν, ὑψηλῶν ὄντων, βαλλόμενοι ἐκακοπάθουν, ἅτε καὶ ἐπ' ἐργασίᾳ μᾶλλόν τι ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι, καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅτε δὴ θαλασσοκρατοῦντες ἔτι, ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς Μακεδόσιν ἐποίουν. (6) Καὶ οἱ Μακεδόνες πύργους ἐπάνω τοῦ χώματος, ὅ τιπερ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης, ἐπέστησαν δύο καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ δέρρεις καὶ διφθέραι αὐτοῖς ἦσαν, ὡς μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προβολὴν ἐν τῷ αὐτῷ εἶναι πρὸς τὰ τοξεύματα· ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι οὐ χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον.

ΚΕΦ. Κ'.

Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες δύο ἱστοὺς ἐπὶ τῇ πρῴρᾳ καταπηγνύουσι καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον

CAP. XVIII.

His dictis facile persuasit, ut Tyri oppugnationem aggrederentur: divinitus vero etiam ipse monitus est, quum ea ipsa nocte per somnum visus sibi esset Tyriorum muros adoriri, Herculisque species se obtulisset dextram ei porrigentis atque in urbem introducentis. Quod quidem Aristander in hunc modum interpretabatur, Tyrum magnò cum labore captum iri, quoniam etiam Herculis opera laboriosa fuissent. (2) Et certe Tyri expugnatio laboriosa in primis videbatur. Nam et insula urbs erat altisque mœnibus omni ex parte munita; et tum temporis Tyrii mari plurimum pollebant, quod nimirum et Persæ domini maris erant, ipsique præterea Tyrii magnam adhuc navium vim habebant.

3. In his tamen difficultatibus aggerem ex continente ad urbem ducere statuit. Fretum erat limosum alveo, et mare ubi continenti proximum est, vadosum ac cœnosum: ubi urbem ipsam attingit, qua quidem parte profundissimus trajectus est, tres summum orgyias altum est. Sed et magna vis saxorum ad manum erat, et ligneæ materiæ quam desuper saxis insternebant, neque difficulter tigna in cœno stabiliebantur, ipsumque adeo cœnum compagis loco saxa firmius inter se committebat. (4) Magna erat Macedonum ad opus alacritas, magna etiam Alexandri, qui et præsens erat et singula ipse designabat, atque alios verbis exstimulabat, alios vero etiam pecunia, eos nempe qui ingenti quadam contentione operi instabant, alacriores reddebat. Et sane quamdiu ad continentem aggerem ducebant, non difficulter processit opus; nam et in exigua maris altitudine et nemine prohibente molem jaciebant. (5) Postquam vero in profundiora loca perventum est atque ad urbem ipsam appropinquarunt, missilibus ab altis muris, non citra damnum, petebantur: quia instructi non tam ad pugnam quam ad opus erant. Tyrii præterea diversis ex partibus triremibus adnavigantes (quippe qui mari poliebantur) difficillimam sæpe aggeris exstructionem Macedonibus reddebant. (6) Macedones duas ligneas turres aggeri, qua plurimum in mare productus erat, imponunt, machinasque in iis disponunt. Tegmina iis erant coria et pelles, ut neque missilibus ignitis a muro peti possent, et iis qui in opere constituti erant propugnaculi loco adversus telorum ictus essent; simul etiam ut quotquot Tyriorum adnavigantes operariis infesti essent, e turribus icti non magno negotio reprimerentur.

CAP. XIX.

Tyrii contra hujuscemodi quid machinati sunt. Navem hippagogam aridis sarmentis aliaque materia quæ facile succendi posset onerant, et malis duobus ad proram erectis, quam latissime possunt eos in orbem circumsepiunt, ut fa-

μακρότατον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας δέξασθαι· πρὸς δὲ πίσσαν τε καὶ θεῖον καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα ἐπὶ ταύτῃ ἐπεφόρησαν. (2) Παρέτειναν δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλεν· ἔρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξαίρειν ἐς ὕψος τὴν πρῷραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. (3) Ἔπειτα ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα, ἐξάψαντες τριήρεσι τὴν ναῦν κατ' οὐρὰν εἵλκον. Ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες ἐς τὴν ὕλην καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν ἐνσείουσιν ἄκρῳ τῷ χώματι· αὐτοὶ δὲ οἱ ἐν τῇ νηὶ καιομένῃ ἤδη ἐξενήξαντο οὐ χαλεπῶς. (4) Καὶ ἐν τούτῳ ἥ τε φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις καὶ αἱ κεραῖαι περιελασθεῖσαι ἐξέχεαν ἐς τὸ πῦρ ὅσα ἐς ἔξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν. Οἱ δ' ἀπὸ τῶν τριηρῶν πλησίον τοῦ χώματος ἀνακωχεύοντες ἐτόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι πελάσαι ὅσοι σβεστήριόν τι τῇ φλογὶ ἐπέφερον. (5) Καὶ ἐν τούτῳ κατεχομένων ἤδη ἐκ τοῦ πυρὸς τῶν πύργων, ἐκβαμόντες ἐκ τῆς πόλεως πολλοὶ καὶ ἐς κελήτια ἐμβάντες ἄλλη καὶ ἄλλη ἐποκείλαντες τοῦ χώματος τόν τε χάρακα οὐ χαλεπῶς διέσπασαν τὸν πρὸ αὐτοῦ προβεβλημένον καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπέσχεν. (6) Ἀλέξανδρος δὲ τό τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξαμένους πλατύτερον χωννύναι, ὡς πλέονας δέξασθαι πύργους, καὶ τοὺς μηχανοποιοὺς μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν. Ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς τούς τε ὑπασπιστὰς ἀναλαβὼν καὶ τοὺς Ἀγριᾶνας ἐπὶ Σιδῶνος ἐστάλη, ὡς ἀθροίσων ἐκεῖ ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν Τυρίων.

ΚΕΦ. Κ'.

Ἐν τούτῳ δὲ Γηρόστρατός τε ὁ Ἀράδου βασιλεὺς καὶ Ἔνυλος ὁ Βύβλου ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπ' Ἀλεξάνδρου ἐχομένας, ἀπολιπόντες Αὐτοφραδάτην τε καὶ τὰς ξὺν αὐτῷ νέας, παρ' Ἀλέξανδρον ξὺν τῷ ναυτικῷ τῷ σφετέρῳ ἀφίκοντο καὶ αἱ τῶν Σιδωνίων τριήρεις σὺν αὐτοῖς, ὥστε Φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιστα αὐτῷ παρεγένοντο. (2) Ἦκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις καὶ ἐκ Ῥόδου τριήρεις ἥ τε περίπολος καλουμένη καὶ ξὺν ταύτῃ ἄλλαι ἐννέα, καὶ ἐκ Σόλων καὶ Μαλλοῦ τρεῖς καὶ Λυκίας δέκα, ἐκ Μακεδονίας δὲ πεντηκόντορος, ἐφ' ἧς Πρωτέας ὁ Ἀνδρονίκου ἐπέπλει. (3) Οὐ πολλῷ δὲ ὕστερον καὶ οἱ τῆς Κύπρου βασιλεῖς ἐς τὴν Σιδῶνα κατέσχον ναυσὶν ἑκατὸν μάλιστα καὶ εἴκοσιν, ἐπειδὴ τήν τε ἦσαν τὴν κατ' Ἰσσὸν Δαρείου ἐπύθοντο καὶ ἡ Φοινίκη πᾶσα ἐχομένη ἤδη ὑπ' Ἀλεξάνδρου ἐφόβει αὐτούς.

ces fascesque quamplurimos capiant; ad hæc picem et sulphur aliaque ad excitandam ingentem flammam accommoda accumulant. (2) Præterea ad utrumque malum binas antennas extenderant, atque ex iis in lebetibus suspendunt quæcunque aut infusa aut immissa vehementer flammam augere possent. Dehinc saburram puppi imponunt, ut ejus pondere gravata puppis proram altius erigat. (3) Deinde observato vento qui aggerem versus spiraret, navim triremibus alligatam in mare protrahunt. Postquam vero moli turribusque appropinquarunt, immisso in materiem igne, quanta maxima vi possunt navim triremibus protrahentes ad molis caput impellunt. Ii qui in navi jam succensa erant facile enatarunt. (4) Interea ingens incendium turres comprehendit, et antennæ confractæ quæcunque ad augendum incendium præparata erant effundunt. Tyrii præterea, triremibus suis propius ad molem admotis, in turres ejaculabantur, ut non nisi cum periculo ad exstinguendum incendium propius accedi posset. (5) Quum itaque jam turres ignem concepissent, multi oppidanorum inscensis scaphis, diversis e partibus ad molem appulsi, vallo quod ante aggerem Macedones jecerant facile subverso, reliquis etiam machinis, quas navis incendium non attigerat, ignem immittunt. (6) Alexander latiorem in continente aggerem, qui plures turres capere posset moliri orsus machinarum fabros novas machinas struere jubet. Dum vero hæc conficiebantur, ipse cum scutatis et Agrianis in Sidonios movit, triremes nimirum quotquot jam habebat eo contracturus, quum difficilis admodum urbis expugnatio videretur, Tyriis mare tenentibus.

CAP. XX

Inter hæc Gerostratus Aradi, et Enylus Bybliorum rex, certiores facti urbes suas ab Alexandro captas, deserto Autophradate et navibus quas ducebat, ipsi cum sua quisque classe ad Alexandrum venerunt, unaque cum iis etiam Sidoniorum triremes, adeo ut Phœnicum naves octoginta circiter haberet. (2) Per eosdem dies etiam ex Rhodo triremes appulere, in quibus una peripolus dicta, et cum hac aliæ novem, ex Solis etiam et Mallo tres, ex Lycia decem, ex Macedonia quoque navis una quinquaginta remorum, cui præfectus erat Proteas Andronici filius. (3) Neque multo post etiam Cypri reges centum et viginti navibus Sidonem venerunt, clade quam Darius apud Issum acceperat audita, ea etiam re territi quod tota Phœnice in Alexandri potestatem venisset. Iis omnibus Alexander

Καὶ τούτοις πᾶσιν ἔδωκεν Ἀλέξανδρος ἄδειαν τῶν πρόσθεν, ὅτι ὑπ' ἀνάγκης μᾶλλόν τι ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκουν ξυνταχθῆναι τοῖς Πέρσαις ἐς τὸ ναυτικόν.

4. Ἐν ᾧ δὲ αἵ τε μηχαναὶ αὐτῷ ξυνεπήγνυντο καὶ αἱ νῆες ὡς εἰς ἐπίπλουν τε καὶ ναυμαχίας ἀπόπειραν ἐξηρτύοντο, ἐν τούτῳ δὲ ἀναλαβὼν τῶν τε ἱππέων ἴλας ἔστιν ἃς καὶ τοὺς ὑπασπιστὰς καὶ τοὺς Ἀγριᾶνάς τε καὶ τοὺς τοξότας ἐπ' Ἀραβίας στέλλεται εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος· (5) καὶ τὰ μὲν βίᾳ τῶν ταύτῃ ἐξελών, τὰ δὲ ὁμολογίᾳ παραστησάμενος ἐν δέκα ἡμέραις ἐπανῆγεν εἰς τὴν Σιδῶνα, καὶ καταλαμβάνει Κλέανδρον τὸν Πολεμοκράτους ἐκ Πελοποννήσου ἥκοντα καὶ ξὺν αὐτῷ μισθοφόρους Ἕλληνας ἐς τετρακισχιλίους.

6. Ὡς δὲ συνετέταχτο αὐτῷ τὸ ναυτικόν, ἐπιβιβάσας τοῖς καταστρώμασι τῶν ὑπασπιστῶν ὅσοι ἱκανοὶ ἐδόκουν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερσὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς Σιδῶνος ἐπέπλει τῇ Τύρῳ ξυντεταγμέναις ταῖς ναυσὶν αὐτὸς μὲν κατὰ τὸ δεξιὸν κέρας, ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε, καὶ ξὺν αὐτῷ οἵ τε Κυπρίων βασιλεῖς καὶ ὅσοι Φοινίκων, πλὴν Πνυταγόρου· οὗτος δὲ καὶ Κράτερος τὸ εὐώνυμον κέρας εἶχον τῆς πάσης τάξεως. (7) Τοῖς δὲ Τυρίοις πρότερον μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλασσαν ἐπιπλέοι σφίσιν Ἀλέξανδρος, τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσδοκήτως κατιδόντες (οὐ γάρ πω πεπυσμένοι ἦσαν τάς τε Κυπρίων ναῦς καὶ τὰς Φοινίκων ξυμπάσας Ἀλέξανδρον ἔχοντα) (8) καὶ ἅμα ξυντεταγμένως τοῦ ἐπίπλου γιγνομένου (ὀλίγον γὰρ πρὶν προσσχεῖν τῇ πόλει ἀνεκώχευσαν ἔτι πελάγιαι αἱ ξὺν Ἀλεξάνδρῳ νῆες· ἔπειτα οὕτω ξυνταξάμενοι, ὡς οὐκ ἀντανήγοντο, πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον), ταῦτα ὁρῶντες οἱ Τύριοι ναυμαχεῖν μὲν ἀπέγνωσαν· τριήρεσι δὲ ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο βύζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμένων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν στόλον.

9. Ἀλέξανδρος δέ, ὡς οὐκ ἀντανήγοντο οἱ Τύριοι, ἐπέπλει τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς Σιδῶνος βιάζεσθαι ἀπέγνω διὰ στενότητα τοῦ στόματος καὶ ἅμα ἀντιπρῴροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν· τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμούσας τῷ στόματι τριήρεις προσπεσόντες οἱ Φοίνικες καὶ ἀντιπρῴροις ἐμβαλόντες καταδύουσιν· οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενήξαντο ἐς τὴν γῆν, φιλίαν οὖσαν. (10) Τότε μὲν δὴ οὐ πόρρω τοῦ ποιητοῦ χώματος κατὰ τὸν αἰγιαλόν, ἵνα σκέπη τῶν ἀνέμων ἐφαίνετο, οἱ σὺν Ἀλεξάνδρῳ ὥρμισαντο. Τῇ δὲ ὑστεραίᾳ τοὺς μὲν Κυπρίους ξὺν ταῖς σφετέραις ναυσὶ καὶ Ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ Σιδῶνος φέροντα ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει, τοὺς δὲ Φοίνικας κατὰ τὸν ἐπ' ἐκεῖνα τοῦ χώματος τὸν πρὸς Αἴγυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκηνὴ ἦν.

præterita errata ignovit, quod necessitate potius quam sua ipsorum voluntate classem cum Persis junxissent.

4. Interea vero dum et machinæ conficiuntur, et naves ad adnavigationem pariter et pugnam instruuntur, Alexander cum aliquot equitum turmis atque scutatis, Agrianis et sagittariis in Arabiam contendit, ad montem cui Antilibano nomen est. (5) Eaque regione partim vi subacta, partim pactionibus in suam potestatem redacta, decem dierum spatio Sidonem reversus est, ubi Cleandrum Polemocratis filium ex Peloponneso venientem, et cum eo Græcorum mercenariorum quatuor millia deprehendit.

6. Parata jam classe dispositisque ad tabulata navium scutatis qui apti ad pugnam viderentur, nisi navium irruptione potius quam manu navale prælium fieret, ex Sidone solvens, Tyrum instructa acie navigat. Ipse quidem ad dextrum cornu quod in mare extendebatur, unaque cum ipso Cypriorum reges, reliquique Phœnices, excepto Pnytagora. Nam hic et Craterus lævum totius aciei cornu tenebant. (7) At Tyrii initio navali prœlio decernere statuerant, si Alexander mari in eos classem duceret: postquam vero tantam navium vim præter omnem exspectationem adventare conspicati sunt (nondum enim audierant omnes et Cypriorum et Phœnicum naves ad Alexandrum confluxisse), (8) quumque eas instructa acie appellere cernerent, paullo enim ante quam urbi appropinquarent, naves quæ circa Alexandrum erant in alto subsistebant, Tyriisque obviam cum classe non prodeuntibus, ita in ordinem redactæ magno cum impetu adnavigabant) tum Tyrii navali prœlio abstinendum sibi putarunt. Sed triremibus, quotquot portuum fauces capere poterant confertim aditum obstruentes, curabant ne in aliquem portuum classis hostium appellere posset.

9. Alexander, simulac Tyrios obviam ei non venire animadvertit, propius ad urbem navigat. Quumque in eum portum qui Sidonem vergit perrumpere posse diffideret, propter faucium angustias, quodque multis triremibus adversas proras ostendentibus aditus obstructus esset; tres tamen quæ ad extremas fauces positæ erant triremes, Phœnices occurrentes adversis proris demerserunt. Qui in navibus erant, facile in continentem quam amici tenebant enatarunt. (10) Tum Alexander haud procul ab aggere quem struxerat, classem ad littus, qua tutamen adversus ventos esset, adducit. Postero die Cyprios cum suis navibus et Andromacho iis præfecto ad portum qui Sidone venientes recipit, obsidere urbem jubet; Phœnices locat ad portum qui ultra aggerem erat et Ægyptum respiciebat, ubi et tabernaculum ipsius positum erat.

ΚΕΦ. ΚΑ'.

Ἤδη δὲ καὶ μηχανοποιῶν αὐτῷ πολλῶν ἔκ τε Κύπρου καὶ Φοινίκης ἁπάσης συλλελεγμένων, μηχαναὶ πολλαὶ συμπεπηγμέναι ἦσαν, αἱ μὲν ἐπὶ τοῦ χώματος, αἱ δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν, ἃς ἐκ Σιδῶνος ἅμα οἱ ἐκόμισεν, αἱ δὲ ἐπὶ τῶν τριηρῶν ὅσαι αὐτῶν οὐ ταχυναυτοῦσαι ἦσαν. (2) Ὡς δὲ παρεσκεύαστο ἤδη ξύμπαντα, προσῆγον τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα καὶ ἀπὸ τῶν νεῶν ἄλλη καὶ ἄλλη τοῦ τείχους προσορμιζομένων τε καὶ ἀποπειρωμένων τοῦ τείχους.

3. Οἱ δὲ Τύριοι ἐπί τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα πύργους ξυλίνους ἐπέστησαν, ὡς ἀπομαχέσθαι ἀπ' αὐτῶν, καὶ εἴ πῃ ἄλλῃ αἱ μηχαναὶ προσήγοντο, βέλεσί τε ἠμύνοντο καὶ πυρφόροις οἱστοῖς ἔβαλλον αὐτὰς τὰς ναῦς, ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι πελάζειν τῷ τείχει. (4) Ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα τό τε ὕψος εἰς πεντήκοντα καὶ ἑκατὸν μάλιστα πόδας καὶ ἐς πλάτος ξύμμετρον λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα. Ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς τριήρεσι τῶν Μακεδόνων, ὅσαι τὰς μηχανὰς προσῆγον τῷ τείχει, καὶ ταύτῃ οὐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ πόλει, ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν. (5) Καὶ τούτους Ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἠνύετο δὲ χαλεπῶς τοῦτο τὸ ἔργον, οἷα δὴ ἀπὸ νεῶν καὶ οὐκ ἀπὸ γῆς βεβαίου γιγνόμενον, ἄλλως τε καὶ οἱ Τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριηρῶν καὶ ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν ἄπορον τὴν προσόρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίουν. (6) Ἀλέξανδρος δὲ τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ὑπ' αὐτῶν ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν. Ἀλλὰ καὶ ὡς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμνον. Οἱ δὲ ἁλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι, οἱ Μακεδόνες, καθίεσαν, ὥστε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεσθαι. (7) Ἐξάπτοντες οὖν βρόχους τῶν λίθων ἀπὸ τοῦ χώματος ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα μηχαναῖς μετεωρίσαντες κατὰ βάθους ἀφίεσαν, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν ἔμελλον. Ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσεῖχον.

8. Οἱ δὲ Τύριοι, πάντῃ ἄποροι γιγνόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς Κυπρίαις ναυσίν, αἳ κατὰ τὸν λιμένα ἐφώρμουν τὸν ἐς Σιδῶνα τετραμμένον· ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις, τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριηρῶν τὴν πλήρωσιν, ἀμφὶ μέσον ἡμέρας, ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἀπεχώρει, (9) πληρώσαντες πεντήρεις μὲν τρεῖς καὶ τετρήρεις ἴσας, τριήρεις δὲ

CAP. XXI.

Multis interea ex Cypro totaque Phœnicia fabris collectis, machinæ permultæ confectæ erant, quarum aliæ in aggere collocatæ, aliæ hippagogis navibus quas secum Sidone advexerat, aliæ triremibus paullo tardioribus sunt impositæ. (2) Rebus omnibus ita præparatis, machinas adducunt in aggerem quem struxerant et in navibus, hic illic appellentes ad murum eumque explorantes.

3. Tyrii in suprema parte murorum qui aggeri oppositi erant, turres ligneas erexerunt, ut ex iis pugnarent, et siqua parte alia machinæ admovebantur, telis sese tuebantur, igniferaque missilia in ipsas naves conjiciebant, ut Macedonibus metum appropinquandi muris injicerent. (4) Erat autem murus aggeri oppositus ad summum pedes altus, latitudine altitudini respondente, et saxis ingentibus gypso inter se commissis. Hippagogæ vero naves et Macedonum triremes quæ machinas muro admoturæ erant, ne ipsæ quidem facile urbi appropinquare poterant, quod magna vis saxorum a Tyriis in mare projecta accessum prohibebat. (5) Alexander saxa e mari eximenda curavit. Quod quidem opus difficulter admodum, utpote e navibus, ubi pes firmiter ut in terra figi non poterat, præstabatur. Præterea Tyrii obtectis navibus ad triremium ancoras adlapsi, præcisis ancorarum funibus, omnem appellendi potestatem hostium navibus præripiebant. (6) Alexander complures naves triginta remorum eadem ratione obtegens, obliquas ancoris præstituit, ut Tyriarum navium accessum propulsarent. Cæterum nihilo secius urinatores occulto lapsu subeuntes, funes præscindebant. Macedones pro funibus ferreis catenis ancoras alligantes jaciunt, ut urinatores non amplius jam officere possent. (7) Saxa itaque laqueis implexa ab aggere e mari protrahunt : deinde ea machinis sublata in altum projiciunt, ubi conjecta non amplius incommodo esse poterant. Sublata hac saxorum strue, facile jam ad murum naves appellebantur.

8. At Tyrii in tanta rerum angustia constituti, Cyprias naves adoriri statuunt, quæ portum qui Sidonem spectat obsidebant ; quumque multo antea ipsas portus fauces velis passis obtexissent, ne nimirum triremes milite complentes ab hostibus conspicerentur, sub meridiem, quo tempore et Macedonum nautæ necessariis rebus occupati dispersi erant, et Alexander ex classe, quæ ab altera urbis parte erat, in tabernaculum se contulerat, (9) instructis quinqueremibus tribus, quadriremibus totidem, et triremibus septem, præstantissimis remigibus et militibus delectis,

ἑπτὰ ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις καὶ ἅμα εὐθαρσεστάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας, τὰ μὲν πρῶτα ἀτρέμα τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον ἄνευ κελευστῶν τὰς κώπας παραφέροντες· ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τότε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο.

quique ad pugnam ex tabulatis navium conserendam optime armati, et ad navalia certamina adeunda plus animi haberent : primo quidem singulæ lento remigio nulloque celeusmate edito prolabuntur. Postquam vero eo usque provecti sunt, ut jam a Cypriis cerni possent, tum ingenti clamore sublato, mutuoque celeusmate sese incitantes, concitato remigio in eorum naves feruntur.

ΚΕΦ. ΚΒ'.

Ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέρᾳ Ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνήν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθός, δι' ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. (2) Οἱ δὲ Τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὁρμούσαις, καὶ ταῖς μὲν πάντη κεναῖς ἐπιτυχόντες, τῶν δ' ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πληρουμένων, τήν τε Πυνταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ κατέδυσαν καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου καὶ τὴν Πασικράτους τοῦ Θουριέως, τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον.

CAP. XXII.

Accidit porro eo die ut Alexander qui in tabernaculum concesserat, minorem solito ibi moram faceret, cito ad naves reversus. (2) Tyrii, naves in statione agentes ex improviso adorti, quum aliæ prorsus vacuæ essent, aliæ in ipso clamore atque impetu non bene instructæ, Pytagoræ regis quinqueremem et Androclis Amathusii et Pasicratis Thurieinsis primo statim insultu demergunt, reliquas in littus propulsas confregerunt.

3. Ἀλέξανδρος δὲ ὡς ἤσθετο τὸν ἔκπλουν τῶν Τυρίων τριηρῶν, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν, ὅπως ἑκάστη πληρωθείη, ἐπὶ τῷ στόματι τοῦ λιμένος ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσειαν τῶν Τυρίων νῆες· αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν καὶ τῶν τριηρῶν ἐς πέντε μάλιστα, ὅσαι ἔρθησαν αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλει τὴν πόλιν ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων. (4) Οἱ δὲ ἀπὸ τοῦ τείχους, τόν τε ἐπίπλουν τῶν πολεμίων κατιδόντες καὶ Ἀλέξανδρον αὐτὸν ἐπὶ τῶν νεῶν, βοῇ τε ἐπανάγειν ἐνεκελεύοντο τοῖς ἐκ τῶν σφετέρων νεῶν καὶ ὡς οὐκ ἐξακουστὸν ἦν ὑπὸ θορύβου ξυνεχομένων ἐν τῷ ἔργῳ, σημείοις ἄλλοις καὶ ἄλλοις ἐπεκάλουν ἐς τὴν ἀναχώρησιν. Οἱ δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλουν τῶν ἀμφ' Ἀλέξανδρον ὑποστρέψαντες ἐς τὸν λιμένα ἔφευγον. (5) Καὶ ὀλίγαι μὲν τῶν νεῶν φθάνουσιν ὑπεκφυγοῦσαι, ταῖς δὲ πλείοσιν ἐμβαλοῦσαι αἱ ξὺν Ἀλεξάνδρῳ τὰς μὲν αὐτῶν ἄπλους ἐποίησαν, πεντήρης δέ τις καὶ τετρήρης αὐτῶν ἐπ' αὐτῷ τῷ στόματι τοῦ λιμένος ἑλήφθησαν. Φόνος δὲ τῶν ἐπιβατῶν οὐ πολὺς ἐγένετο. Ὡς γὰρ ἤσθοντο ἐχομένας τὰς ναῦς, ἀπενήξαντο οὐ χαλεπῶς ἐς τὸν λιμένα.

3. Alexander cognita Tyriarum triremium excursione, confestim naves plurimas quæ sibi aderant, prout quæque instructa erat, ad fauces portus stare jubet, ut reliquis Tyriorum navibus prodeundi potestatem præcluderent. Ipse cum quinqueremibus quas habebat, et triremibus summum quinque celeriter instructis, urbem circum navigans, ad Tyrios portu egressos contendit. (4) Oppidani id ex muro conspicati, ipsumque Alexandrum in navibus præsentem esse, clamore redire suos hortabantur, quum clamor ob tumultum eorum qui in illo conflictu versabantur exaudiri non posset, aliis atque aliis indiciis ut sese reciperent significabant. Illi Alexandri incursu serius intellecto, velis versis portum petunt. (5) Paucæ tamen naves fuga evaserunt; nam Alexandri naves in earum plerasque invectæ, nonnullas ad navigandum inutiles reddidere : quinqueremem vero unam et quadriremem ad ipsa portus ostia ceperunt. Propugnatorum cædes haud magna fuit, quoniam simulac captas naves senserant, facile in portum nando evaserunt.

6. Ὡς δὲ οὐδεμία ἔτι τοῖς Τυρίοις ἐκ τῶν νεῶν ὠφέλεια ἦν, ἐπῆγον ἤδη οἱ Μακεδόνες τὰς μηχανὰς τῷ τείχει αὐτῶν. Κατὰ μὲν δὴ τὸ χῶμα προσαγόμεναι διὰ ἰσχὺν τοῦ τείχους οὐδὲν ἦνυον δ τι καὶ λόγου ἄξιον· οἱ δὲ κατὰ τὸ πρὸς Σιδῶνα τετραμμένον τῆς πόλεως τῶν νεῶν τινας τῶν μηχανοφόρων προσῆγον. (7) Ὡς δὲ οὐδὲ ταύτῃ ἤνυεν, ἐς τὸ πρὸς νότον αὖ ἄνεμον καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος μετῆει, πάντη ἀποπει-

6. Macedones, quum jam nullus Tyriis navium usus superesset, tormenta muris admovere. Quæ quidem ab aggeris parte admota ob muri firmitatem parum damni inferebant. Alii vero, ea parte urbis quæ Sidonem spectat, nonnullas naves machinas portantes admoverunt. (7) Sed quum ne hic quidem proficeretur, ad murum qui meridiem versus est atque Ægyptum spectat, se contulit, omni

ρώμενος τοῦ ἔργου. Καὶ ἐνταῦθα πρῶτον κατεσείσθη τε τὸ τεῖχος ἐπὶ μέγα καί τι καὶ κατηρείφθη αὐτοῦ παραῤῥαγέν. Τότε μὲν ὅσον ἐπιβαλὼν γεφύρας ἦ ἐρήριπτο τοῦ τείχους, ἀπεπειράθη ἐς ὀλίγον τῆς προσβολῆς· καὶ οἱ Τύριοι οὐ χαλεπῶς ἀπεκρούσαντο τοὺς Μακεδόνας.

ΚΕΦ. ΚΓ'.

Τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ νηνεμίαν τε φυλάξας καὶ παρακαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἐς τὸ ἔργον, ἐπῆγε τῇ πόλει ἐπὶ τῶν νεῶν τὰς μηχανάς. Καὶ πρῶτα μὲν κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. Ὡς δὲ ἀποῤῥῶν εἰς πλάτος ἐφάνη τὸ παῤῥηγμένον, τὰς μὲν μηχανοφόρους ναῦς ἐπανάγειν ἐκέλευσεν· (2) ὁ δὲ δύο ἄλλας ἐπῆγεν, αἳ τὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλλειν ἐπενόει τῷ κατεῤῥηγμένῳ τοῦ τείχους. Καὶ τὴν μὲν μίαν τῶν νεῶν οἱ ὑπασπισταὶ ἔλαβον, ἦ ἐπετέτακτο Ἄδμητος, τὴν ἑτέραν δὲ ἡ Κοίνου τάξις οἱ πεζέταιροι καλούμενοι· καὶ αὐτὸς ξὺν τοῖς ὑπασπισταῖς ἐπιβήσεσθαι τοῦ τείχους ἦ παρείκοι ἔμελλε. (3) Τὰς τριήρεις δὲ τὰς μὲν ἐπιπλεῖν κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν· ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας δὲ ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος ἐποκέλλειν τε ὅπη παρείκοι καὶ ἀνακωχεύειν ἐντὸς βέλους, ἔστε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο, ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι.

4. Ὡς δὲ αἵ τε νῆες αἱ σὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ' αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος· ὅ τε γὰρ Ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο, καὶ ἅμα Ἀλέξανδρος εἵπετο αὐτοῖς, τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος καὶ θεατὴς τῶν ἄλλων, ὅτῳ τι λαμπρὸν κατ' ἀρετὴν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. (5) Καὶ ταύτῃ πρῶτον ᾗ ἐπετέτακτο Ἀλέξανδρος ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποχρουσθέντων ἀπ' αὐτοῦ τῶν Τυρίων, ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο οἱ Μακεδόνες. Καὶ Ἄδμητος μέν, πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ ἀποθνήσκει αὐτοῦ· ἐπὶ δὲ αὐτῷ Ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις. (6) Ὡς δὲ εἶχοντο αὐτῷ πύργοι τε ἔστιν οἳ καὶ μεταπύργια, αὐτὸς μὲν παῤῥεῖ διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος.

ex parte oppugnationem tentans. Atque hac primum et late quassatus est murus, et aliqua pars etiam perfracta dirutaque est. Tum injectis pontibus ea parte qua murum demolitus erat urbem oppugnare tantisper tentavit; sed Tyrii non magno negotio Macedones repulerunt.

CAP. XXIII.

Tertio ab hoc die, malacia ac tranquillitate exspectata, copiarum duces ad pugnam cohortatus, tormenta navibus imposita urbi admovit; ac primo quidem impetu magnam muri partem labefactat : quumque jam satis amplo spatio murus dirutus videretur, naves quibus tormenta vehebantur retrahi jubet, (2) aliasque duas cum pontibus adduci, quibus murorum strages transcendere statuerat. Atque alteram quidem navium scutati occupant, Admeto duce : alteram Cœni cohors e militibus qui pedites amici dicuntur constans : ipse etiam cum scutatis, quacunque facultas detur, murum conscensurus erat. (3) Triremium vero partem contra utrumque portum adnavigare jubet, si forte conversis in eos Tyriis vi irrumpere possint. Quotquot vero naves tela quæ ex machinis jaciuntur habebant, aut quæ sagittarios in tabulatis dispositos vehebant, jubet ut muros circumnavigantes, quacunque via licuerit applicent, utque intra teli jactum sese sistant, si omnino applicare non possint; eo consilio, ut Tyrii omni ex parte pressi, in tantis difficultatibus quo se verterent nescirent.

4. Ceterum navibus jam cum Alexandro ad urbem appulsis et pontibus muro injectis, scutati strenue per eos murum conscendunt. Admetus enim per id temporis fortiter rem gerebat, subsequebatur et Alexander ipse, qui et periculum fortiter subibat, et alios, prout quisque præclarum aliquod in pugna facinus edidisset, spectabat. (5) Atque ea parte primum qua premebat Alexander, murus captus est, Tyriis ex eo parvo negotio depulsis, quod Macedones firmo et simul non omnino arduo ingressu utebantur. Admetus qui primus murum conscenderat, dum eos qui circa eum erant ut idem faciant cohortatur, lancea trajectus interiit. (6) Post eum Alexander cum amicis murum occupavit. Occupatis itaque turribus nonnullis et interturriis, ipse per summa propugnacula murorum ad regiam contendit, quod facilior illa via ad urbem descensus videretur.

ΚΕΦ. ΚΔ'.

Οἱ δὲ ἐπὶ τῶν νεῶν οἵ τε Φοίνικες κατὰ τὸν λιμένα τὸν πρὸς Αἰγύπτου, καθ' ὅπερ καὶ ἐφορμοῦντες ἐτύγχανον, βιασάμενοι καὶ τὰ κλεῖθρα διασπάσαντες ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, ταῖς μὲν μετεώροις ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες, καὶ οἱ Κύπριοι κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, οὐδὲ κλεῖθρον τοῦτόν γε ἔχοντα, εἰσπλεύσαντες εἶλον εὐθὺς ταύτῃ τὴν πόλιν. (2) Τὸ δὲ πλῆθος τῶν Τυρίων τὸ μὲν τεῖχος, ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν· ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον καλούμενον ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. Καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν, τοῖς δὲ φεύγουσιν ἐφείπετο. (3) Καὶ φόνος ἦν πολύς, τῶν τε ἀπὸ τοῦ λιμένος ἐχόντων ἤδη τὴν πόλιν καὶ τῆς Κοίνου τάξεως παρεληλυθυίας ἐς αὐτήν. Ὀργῇ γὰρ ἐχώρουν ἐπὶ πᾶν οἱ Μακεδόνες, τῆς τε πολιορκίας τῇ τριβῇ ἀχθόμενοι καὶ ὅτι λαβόντες τινὰς αὐτῶν οἱ Τύριοι πλέοντας ἐκ Σιδῶνος ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες, ὅπως ἄποπτον εἴη ἀπὸ τοῦ στρατοπέδου, σφάξαντες ἔρριψαν ἐς τὴν θάλασσαν. (4) Ἀπέθανον δὲ τῶν μὲν Τυρίων ἐς ὀκτακισχιλίους, τῶν Μακεδόνων δὲ ἐν τῇ τότε προσβολῇ Ἄδμητός τε, ὁ πρῶτος ἑλὼν τὸ τεῖχος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐτῷ εἴκοσι τῶν ὑπασπιστῶν, ἐν δὲ τῇ πάσῃ πολιορκίᾳ μάλιστα ἐς τετρακοσίους.

5. Τοῖς δὲ ἐς τὸ ἱερὸν τοῦ Ἡρακλέους καταφύγοῦσιν (ἦσαν δὲ αὐτῶν τε τῶν Τυρίων οἱ μάλιστα ἐν τέλει καὶ ὁ βασιλεὺς Ἀζέμιλκος καὶ Καρχηδονίων τινὲς θεωροὶ ἐς τιμὴν τοῦ Ἡρακλέους κατὰ δή τινα νόμον παλαιὸν εἰς τὴν μητρόπολιν ἀφικόμενοι) τούτοις ξύμπασιν ἄδειαν δίδωσιν Ἀλέξανδρος· τοὺς δὲ ἄλλους ἠνδραπόδισε, καὶ ἐπράθησαν Τυρίων τε καὶ τῶν ξένων ὅσοι ἐγκατελήφθησαν, μάλιστα εἰς τρισμυρίους. (6) Ἀλέξανδρος δὲ τῷ Ἡρακλεῖ ἔθυσέ τε καὶ πομπὴν ἔστειλε σὺν τῇ δυνάμει ὡπλισμένῃ· καὶ αἱ νῆες ξυνεπόμπευσαν τῷ Ἡρακλεῖ, καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ἱερῷ καὶ λαμπάδα ἐποίησε· καὶ τὴν μηχανὴν ᾗ τὸ τεῖχος κατεσείσθη ἀνέθηκεν ἐς τὸν νεών· καὶ τὴν ναῦν τὴν Τυρίαν τὴν ἱερὰν τοῦ Ἡρακλέους, ἥντινα ἐν τῷ ἐπίπλῳ ἔλαβε, καὶ ταύτην τῷ Ἡρακλεῖ ἀνέθηκε καὶ ἐπίγραμμα ἐπ' αὐτῇ, ἢ αὐτὸς ποιήσας ἢ ὅτου δὴ ἄλλου ποιήσαντος, οὐκ ἄξιον μνήμης τὸ ἐπίγραμμα· διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπηξίωσα. Τύρος μὲν δὴ οὕτως ἑάλω ἐπὶ ἄρχοντος Ἀνικήτου Ἀθήνησι μηνὸς Ἑκατομβαιῶνος.

CAP. XXIV.

At qui in navibus erant Phœnices in portum qui Ægyptum spectat et quem obsederant, impetu facto, claustrisque revulsis, naves in portu confregerunt, in alias remotiores a terra magna vi delati, alias ad ipsam terram collidentes. Cyprii in alterum portum qui Sidonem respicit, ne claustro quidem septum, irrumpentes, statim ea parte urbem capiunt (2) Oppidani simulac murum captum conspexerunt, eo deserto, ad Agenorium quod appellant conglobati, inde in Macedones sese convertunt. Alexander cum scutatis in eos progressus, alios pugnantes occidit, alios fugientes insequitur. (3) Magna hic cædes facta est, quum et a portu urbs capta esset, et Cœni copiæ in eam irruissent. Macedones enim ira perciti in Tyrios grassabantur, tum quod obsidionis diuturnitatem molestissime ferebant, tum etiam quod Tyrii quum nonnullos suorum ex Sidone navigantes cepissent, in murum sublatos, ut ab exercitu cerni possent, cæsos in mare præcipitarant. (4) Tyriorum circiter octo millia interfecta : ex Macedonibus in illo quidem impetu Admetus, qui primus re fortiter gesta murum ceperat, et cum eo scutati viginti; in universa vero obsidione circiter quadringenti.

5. Qui vero in templum Herculis confugerant (erant autem hi præcipui quique Tyriorum principes et rex Azemilcus et nonnulli Carthaginienses de sacris legati, qui ex veteri consuetudine in honorem Herculis ad metropolin venerant), iis omnibus Alexander veniam concessit, reliquos in servitutem redegit. Tyriorum atque exterorum, qui capti sunt, xxx fere millia sub hastam missa. (6) Post hæc Alexander Herculi sacrificium fecit, et pompam cum exercitu armato misit; naves etiam Herculi pompam peregerunt; ludos quoque gymnicos in æde Herculi sacra et certamina, quibus lampades gestantes cursu certant edidit. Tormentum, quo murum demolitus fuerat, in templo posuit. Navem etiam Tyriam sacram Herculi, quam navali incursione ceperat, Herculi dicat, cum inscriptione, quam sive ipse sive alius quispiam fecerit, quod nihil habeat memoria dignum, commemorandam minime putavi. Atque ita quidem Tyrus capta est, archonte Athenis Aniceto, mense Hecatombæone.

ΚΕΦ. ΚΕ'.

Ἔτι δὲ ἐν τῇ πολιορκίᾳ τῆς Τύρου ξυνεχομένου Ἀλεξάνδρου ἀφίκοντο παρὰ Δαρείου πρέσβεις ὡς αὐτόν, ἀναγγέλλοντες μύρια μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε

CAP. XXV.

Quum adhuc in obsidione Tyri versaretur Alexander, legati ad eum a Dario venerunt, nuntiantes Darium decem millia talentùm daturum, si matrem, uxorem ac

καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον· τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς Εὐφράτου ποταμοῦ ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικὴν Ἀλεξάνδρου εἶναι· γήμαντα δὲ τὴν Δαρείου παῖδα Ἀλέξανδρον φίλον τε εἶναι Δαρείῳ καὶ ξύμμαχον. (2) Καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων, Παρμενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι πρόσω κινδυνεύειν· Ἀλέξανδρον δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν, ἐπεὶ δὲ Ἀλέξανδρός ἐστιν, ἀποκρινεῖσθαι Δαρείῳ ἅπερ ὃ καὶ ἀπεκρίνατο. (3) Ἔφη γὰρ οὔτε χρημάτων δεῖσθαι παρὰ Δαρείου οὔτε τῆς χώρας λαβεῖν ἀντὶ τῆς πάσης τὸ μέρος· εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν· γῆμαί τε ἂν ἐθέλῃ τὴν Δαρείου παῖδα, γῆμαι ἂν καὶ οὐ διδόντος Δαρείου· ἐκέλευέ τε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ' αὐτοῦ. Ταῦτα ὡς ἤκουσε Δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέγνω τὰς πρὸς Ἀλέξανδρον, ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν.

4. Ἀλέξανδρος δὲ ἐπ' Αἰγύπτου ἔγνω ποιεῖσθαι τὸν στόλον. Καὶ ἦν αὐτῷ τὰ μὲν ἄλλα τῆς Παλαιστίνης καλουμένης Συρίας προσχεχωρηκότα ἤδη· εὐνοῦχος δέ τις, ᾧ ὄνομα ἦν Βάτις, κρατῶν τῆς Γαζαίων πόλεως, οὐ προσεῖχεν Ἀλεξάνδρῳ, ἀλλὰ Ἄραβάς τε μισθωτοὺς ἐπαγόμενος καὶ σῖτον ἐκ πολλοῦ παρεσκευακὼς διαρκῆ ἐς χρόνιον πολιορκίαν καὶ τῷ χωρίῳ πιστεύων, μήποτε ἂν βίᾳ ἁλῶναι, ἔγνω μὴ δέχεσθαι τῇ πόλει Ἀλέξανδρον.

liberos dimitteret; quicquid præterea terrarum inter Euphratem et mare Græcanicum situm esset Alexandro concedere; adhæc, si Darii filiam Alexander conjugem acciperet, amicum ac socium fore. (2) Qua legatione in amicorum conventu explicata, Parmenionem Alexandro dixisse ferunt, se quidem, si Alexander esset, accepturum conditionem, neque se, bello composito, ulterius dimicaturum; Alexandrum contra respondisse, et se quidem, si Parmenio esset, ita facturum: quoniam vero Alexander esset, responsum daturum id quod etiam dedit. (3) Respondit enim, se neque Darii pecuniis egere, neque partem ditionis loco totius accipere velle; omnem enim et pecuniam et regionem suam esse; Darii filiam si uxorem ducere vellet, ducturum vel contra voluntatem Darii; si Alexandri humanitatem experiri vellet, ad se veniret. Hoc responso cognito, Darius de compositione desperans, rursus ad bellum se parat.

4. Alexander expeditionem in Ægyptum facere instituit. Et cetera quidem Syriæ, quæ Palæstina vocatur, oppida in suam potestatem jam adduxerat. Eunuchus vero quidam, nomine Batis, qui Gazæ urbi præerat, solus Alexandro restitit. Mercenariis enim Arabibus conductis, multoque antea frumento collecto, quod diuturnæ obsidioni ferendæ sufficeret, fretus etiam munitione oppidi, quippe quod vi capi non posset, Alexandrum urbe nequaquam recipere statuerat.

ΚΕΦ. ΚϚ'.

Ἀπέχει δὲ ἡ Γάζα τῆς μὲν θαλάσσης εἴκοσι μάλιστα σταδίους, καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα ἐς αὐτὴν ἡ ἄνοδος καὶ ἡ θάλασσα ἡ κατὰ τὴν πόλιν τεναγώδης πᾶσα. Μεγάλη δὲ πόλις ἡ Γάζα ἦν καὶ ἐπὶ χώματος ὑψηλοῦ ὠκιστο καὶ τεῖχος περιεβέβλητο αὐτῇ ὀχυρόν. Ἐσχάτη δὲ ὠκεῖτο ὡς ἐπ' Αἴγυπτον ἐκ Φοινίκης ἰόντι ἐπὶ τῇ ἀρχῇ τῆς ἐρήμου.

2. Ἀλέξανδρος δὲ ὡς ἀφίκετο πρὸς τὴν πόλιν, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος, καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν. Οἱ δὲ μηχανοποιοὶ γνώμην ἀπεδείκνυντο ἄπορον εἶναι βίᾳ ἑλεῖν τὸ τεῖχος διὰ ὕψος τοῦ χώματος. (3) Ἀλλὰ Ἀλεξάνδρῳ ἐδόκει αἱρετέον εἶναι ὅσῳ ἀπορώτερον· ἐκπλήξειν γὰρ τοὺς πολεμίους τὸ ἔργον τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναί οἱ λεγόμενον ἔς τε τοὺς Ἕλληνας καὶ ἐς Δαρεῖον. Ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ ἴσου ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς τείχεσι. Καὶ ἐχώννυτο κατὰ τὸ νότιον μάλιστα τῆς πόλεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. (4) Ὡς δὲ ἐδόκει

CAP. XXVI.

Distat Gaza a mari stadiis summum viginti, accessu quidem propter arenæ altitudinem difficillimo: adhæc mare urbi propinquum limosum est. Urbs ipsa ampla et in alto colle sita validoque muro cincta est. Novissima porro incolitur in Ægyptum ex Phœnicia euntibus ad initium solitudinis posita.

2. Alexander statim atque ad urbem pervenit, primo die castra eo loci posuit, quo maxime commodus ad oppugnationem murus videbatur, atque ibi tormenta constitui jubet. Machinarum artifices, murum præ altitudine molis difficulter admodum vi capi posse judicabant. (3) Alexander contra, quo difficilior esset oppugnatio, eo magis suscipiendam censebat; inopinatum enim rei eventum magno terrori hostibus futurum; si vero urbem capere non posset, turpe id sibi, quum ad Græcos et ad Darium perferretur, fore. Molem itaque circum urbem struere instituit tantæ altitudinis, ut machinæ in ea positæ murorum fastigium æquarent. Quam quidem molem ex ea præcipue parte mœnium quæ Austrum versus sunt, exstruxit, quoniam inde faciliora ad expugnandum videbantur. (4) Quumque jam ad justam

ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπιστήσαντες οἱ Μακεδόνες ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν Γαζαίων. Καὶ ἐν τούτῳ θύοντι Ἀλεξάνδρῳ καὶ ἐστεφανωμένῳ τε καὶ κατάρχεσθαι μέλλοντι τοῦ πρώτου ἱερείου κατὰ νόμον, τῶν τις σαρκοφάγων ὀρνίθων ὑπερπετόμενος ὑπὲρ τοῦ βωμοῦ λίθον ἐμβάλλει ἐς τὴν κεφαλὴν ὅντινα τοῖν ποδοῖν ἔφερε. Καὶ Ἀλέξανδρος ἤρετο Ἀρίστανδρον τὸν μάντιν ὅ τι νοοῖ ὁ οἰωνός. Ὁ δὲ ἀποκρίνεται ὅτι, Ὦ βασιλεῦ, τὴν μὲν πόλιν αἱρήσεις, αὐτῷ δέ σοι φυλακτέα ἐστὶν ἐπὶ τῇδε τῇ ἡμέρᾳ.

altitudinem perductum opus videretur, Macedones machinas ei impositas ad muros urbis adducunt. Inter hæc Alexandro, corona capiti imposita, sacrificante, quum ipse patrio more primum sacrificium auspicaturus esset, avis quædam ex eo genere quæ carnibus assuescunt aram supervolans, lapidem quem unguibus gerebat in ejus caput demisit. Alexander Aristandrum vatem consuluit, quid avis illa portenderet: qui respondit, Urbem quidem, o rex, capies: at tu tibi eo die cave.

ΚΕΦ. ΚΖ'.

Ταῦτα ἀκούσας Ἀλέξανδρος τέως μὲν πρὸς ταῖς μηχαναῖς ἔξω βέλους αὐτὸν εἶχεν· ὡς δὲ ἐκδρομή τε ἐκ τῆς πόλεως χαρτερὰ ἐγίγνετο καὶ πῦρ τε ἐπέφερον ταῖς μηχαναῖς οἱ Ἄραβες καὶ τοὺς Μακεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ ἐξ ὑπερδεξίου τοῦ χωρίου ἔβαλλόν τε καὶ ὤθουν κατὰ τοῦ ποιητοῦ χώματος, ἐνταῦθα ἢ ἑκὼν ἀπειθεῖ Ἀλέξανδρος τῷ μάντει ἢ ἐκπλαγεὶς ἐν τῷ ἔργῳ οὐκ ἐμνημόνευσε τῆς μαντείας, ἀλλ' ἀναλαβὼν τοὺς ὑπασπιστὰς παρεβοήθει ἵνα μάλιστα ἐπιέζοντο οἱ Μακεδόνες. (2) Καὶ τούτους μὲν ἔσχε τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι κατὰ τοῦ χώματος, αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον. Ὡς δὲ ἔγνω τὰ ἀμφὶ τὸ τραῦμα ἀληθεύσαντα τὸν Ἀρίστανδρον, ἐχάρη, ὅτι καὶ τὴν πολιν δὴ αἱρήσειν ἐδόκει Ἀριστάνδρου ἕνεκα.

3. Καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύετο χαλεπῶς· ἀφικνοῦνται δ' αὐτῷ μετάπεμπτοι ἀπὸ θαλάσσης αἱ μηχαναὶ αἷς Τύρον εἶλε· καὶ χῶμα χωννύναι ἐν κύκλῳ πάντοθεν τῆς πόλεως ἐκέλευσεν, εὖρος μὲν ἐς δύο σταδίους, ὕψος δὲ ἐς πόδας πεντήκοντα καὶ διακοσίους. (4) Ὡς δὲ αἵ τε μηχαναὶ αὐτῷ ἐποιήθησαν καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέσεισαν τοῦ τείχους ἐπὶ πολύ, ὑπονόμων τε ἄλλῃ καὶ ἄλλῃ ὀρυσσομένων καὶ τοῦ χοῦ ἀφανῶς ἐκφερομένου τὸ τεῖχος πολλαχῇ ἠρείπετο ὑφιζάνον κατὰ τὸ κενούμενον, τοῖς τε βέλεσιν ἐπὶ πολὺ κατεῖχον οἱ Μακεδόνες, ἀναστέλλοντες τοὺς προμαχομένους ἐκ τῶν πύργων, ἐς μὲν τρεῖς προσβολὰς οἱ ἐκ τῆς πόλεως, ἀποθνησκόντων τε αὐτοῖς πολλῶν καὶ τιτρωσκομένων, ὅμως ἀντεῖχον· (5) τῇ τετάρτῃ δὲ τῶν Μακεδόνων τὴν φάλαγγα πάντοθεν προσαγαγὼν Ἀλέξανδρος τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλλει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἐπὶ πολύ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν κατὰ τὰ ἐρηριμμένα ἐνδοῦναι. (6) Αἵ τε οὖν κλίμακες προσήγοντο τῷ τείχει καὶ ἔρις πολλὴ ἦν τῶν Μακεδόνων ὅσοι τι ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος· καὶ αἱρεῖ πρῶτος Νεοπτόλεμος τῶν ἑταίρων τοῦ Αἰακιδῶν γένους· ἐπὶ δὲ αὐτῷ ἄλλαι καὶ ἄλλαι τάξεις ὁμοῦ τοῖς ἡγεμόσιν ἀνέβαινον. (7) Ὡς δὲ ἅπαξ παρῆλθόν

CAP. XXVII.

Quo audito Alexander se aliquamdiu ad machinas extra teli jactum continuit; verum quum Arabes, eruptione ex urbe facta, ignem machinis inferrent, et Macedonas ex inferiori loco sese tuentes ex editiore parte ferirent, atque ab aggere quem struxerant repellerent: tum Alexander, sive sponte sua vatis monita negligens, sive stupore rei vaticinii oblitus, sumptis scutatis, qua maxime premebantur Macedones auxilio accurrit. (2) Atque hos quidem, ne turpi fuga ab aggere expellerentur, retinuit: ipse vero scuto ac thorace catapulta trajecto in humero vulnus accepit: quumque vulnere ipso sensisset Aristandri vaticinium verum fuisse, gavisus est, quod ex eodem Aristandri vaticinio urbem capturus esset.

3. Et ipse quidem ab eo vulnere difficulter curatus est. Interea tormenta, quibus Tyrum expugnarat, mari transmissa accipit: totam deinde urbem aggere cingi jubet, latitudine duorum stadiorum, altitudine pedum CCL. (4) Constructis vero et in aggere dispositis machinis, quum muri magna pars quateretur, cuniculisque diversis ex partibus suffossis et terra clam egesta, murus pluribus in locis subsidens propter exinanitiones subterraneas proruerat, telisque Macedones longe pertingerent, oppidanos ex turribus propugnantes repellentes: ter quidem oppidani Macedonum impetum, multis suorum interfectis et sauciis, sustinuerunt; (5) at quarto impetu quum Alexander omni ex parte phalangem admoveret, alibi murum suffossum diruens, alibi tormentis magnam partem labefactans, facilem Macedonibus per murorum ruinas scalarum admotionem fecit. (6) Quæ simulac applicatæ fuerunt, magna statim contentione inter Macedones gloriæ avidos certatum est, quisnam primus murum caperet. Neoptolemus ex Æacidarum gente, unus ex amicis, primus conscendit, post hunc alii atque alii duces cum suis cohortibus. (7) Quumque semel nonnulli Macedo-

τινες ἐντὸς τοῦ τείχους τῶν Μακεδόνων, κατασχίσαντες ἄλλας καὶ ἄλλας πύλας, ὅσαις ἕκαστοι ἐπετύγχανον, δέχονται εἴσω τὴν στρατιὰν πᾶσαν. Οἱ δὲ Γαζαῖοι καὶ τῆς πόλεως σφισιν ἤδη ἐχομένης ξυνεστηκότες ὅμως ἐμάχοντο· καὶ ἀπέθανον πάντες αὐτοῦ μαχόμενοι ὡς ἕκαστοι ἐτάχθησαν· παῖδας δὲ καὶ γυναῖκας ἐξηνδραπόδισεν αὐτῶν Ἀλέξανδρος. Τὴν πόλιν δὲ ξυνοικίσας ἐκ τῶν περιοίκων ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον.

num intra muros penetrassent, portis aliis atque aliis, prout quæque sese obtulerunt, reclusis, universum exercitum intromittunt. Gazæi, urbe jam ab hostibus occupata, conglobati nihilominus pugnabant, eoque ipso loco quo quisquam constiterat, vitam pugnans amisit. Alexander, uxoribus eorum et liberis in servitutem redactis, coloniaque ex finitimis in urbem deducta, ea tanquam præsidio ad bellum est usus.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

LIBER TERTIUS.

ΚΕΦ. Α'.

CAP. I.

Ἀλέξανδρος δὲ ἐπ' Αἰγύπτου, ἵναπερ τὸ πρῶτον ὡρμήθη, ἐστέλλετο, καὶ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ τῆς Γάζης ἑλαύνων ἦκεν εἰς Πηλούσιον τῆς Αἰγύπτου. Ὁ δὲ ναυτικὸς στρατὸς παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ' Αἴγυπτον· καὶ καταλαμβάνει τὰς ναῦς ἐν Πηλουσίῳ ὁρμούσας. (2) Μαζάκης δὲ ὁ Πέρσης, ὃς ἦν σατράπης Αἰγύπτου ἐκ Δαρείου καθεστηκώς, τήν τε ἐν Ἰσσῷ μάχην ὅπως συνέβη πεπυσμένος καὶ Δαρεῖον ὅτι αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ Φοινίκην τε καὶ Συρίαν καὶ τῆς Ἀραβίας τὰ πολλὰ ὑπὸ Ἀλεξάνδρου ἐχόμενα, αὐτῷ τε οὐκ οὔσης ἐυνάμεως Περσικῆς, ἐδέχετο ταῖς πόλεσι φιλίως καὶ τῇ χώρᾳ Ἀλέξανδρον. (3) Ὁ δὲ εἰς μὲν Πηλούσιον φυλακὴν εἰσήγαγε, τοὺς δὲ ἐπὶ τῶν νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν κελεύσας ἔστε ἐπὶ Μέμφιν πόλιν, αὐτὸς ἐφ' Ἡλιουπόλεως ἦει, ἐν δεξιᾷ ἔχων τὸν ποταμὸν τὸν Νεῖλον, καὶ ὅσα καθ' ὁδὸν χωρία ἐνδιδόντων τῶν ἐνοικούντων κατασχών, διὰ τῆς ἐρήμου ἀφίκετο ἐς Ἡλιούπολιν. (4) Ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον ἦκεν ἐς Μέμφιν. Καὶ θύει ἐκεῖ τοῖς τε ἄλλοις θεοῖς καὶ τῷ Ἄπιδι καὶ ἀγῶνα ἐποίησε γυμνικόν τε καὶ μουσικόν· ἦκον δὲ αὐτῷ οἱ ἀμφὶ ταῦτα τεχνῖται ἐκ τῆς Ἑλλάδος οἱ δοκιμώτατοι. Ἐκ δὲ Μέμφιος κατέπλει κατὰ τὸν ποταμὸν ὡς ἐπὶ θάλασσαν, τούς τε ὑπασπιστὰς [ἐπὶ τῶν νεῶν] λαβὼν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων. (5) Ἑλθὼν δὲ ἐς Κάνωβον καὶ κατὰ τὴν λίμνην τὴν Μαρίαν περιπλεύσας ἀποβαίνει ὅπου νῦν Ἀλεξάνδρεια πόλις οἴκισται, Ἀλεξάνδρου ἐπώνυμος. Καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι ἐν αὐτῷ πόλιν καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν. Πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκεν, ἵνα τε ἀγορὰν ἐν αὐτῇ δείμασθαι ἔδει καὶ ἱερὰ ὅσα καὶ θεῶν ὄντινων, τῶν μὲν Ἑλληνικῶν, Ἴσιδος δὲ Αἰγυπτίας, καὶ τὸ τεῖχος ᾗ περιβεβλῆσθαι. Καὶ ἐπὶ τούτοις ἐθύετο, καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο.

Alexander inde in Ægyptum, quo primum iter instituerat, contendit, septimoque postquam Gaza movit die Pelusium Ægypti urbem pervenit : navali interim exercitu ex Phœnice in Ægyptum adnavigante : ac naves quidem Pelusii appulsas offendit. (2) Inter hæc Mazaces Persa, Ægypti satrapa a Dario constitutus, de pugna apud Issum commissa deque turpi fuga Darii certior factus; Phœniciam præterea et Syriam magnamque Arabiæ partem in Alexandri potestatem redactam esse; quumque ipse Persicum exercitum non haberet, Alexandrum in provinciam atque urbes amice recepit. (3) Præsidio itaque Pelusio imposito, navibusque flumine Memphin petere jussis, ipse Heliopolin contendit, Nilum flumen a dextra habens : oppidisque quotquot in itinere erant deditione receptis, Heliopolin per deserta pervenit. (4) Inde, trajecto flumine Memphin venit, ubi cum reliquis diis tum Apidi sacrificium fecit, gymnicis ac musicis ludis editis : ad quos præstantissimi quique e Græcia artifices convenere. Ex Memphi deinde secundo flumine ad mare devectus est : ubi scutatos, et sagittarios atque Agrianos et regiam turmam equitum amicorum ejus navibus imponit. (5) Quumque Canopum venisset, Mareotida paludem circumvectus, eo loci appulit, ubi nunc Alexandria ab Alexandri nomine ita dicta, condita est. Ejus loci situs ei maxime opportunus condendæ urbi est visus, et opulentam urbem fore animo præsagiebat. Ordiendi igitur operis cupiditate succensus, urbem designare cœpit, et quo loco forum ædificandum esset, quo templa exstruenda, quotquot aut diis Græcis aut Isidi Ægyptiæ sacra esse volebat, postremo qua amplitudine murus circumducendus esset, præscripsit. Quumque ea de re sacrum diis faceret, sacrificia prosperos eventus portenderunt.

ΚΕΦ. Β'.

Λέγεται δέ τις καὶ τοιόσδε λόγος, οὐκ ἄπιστος ἔμοιγε· ἐθέλειν μὲν Ἀλέξανδρον καταλιπεῖν αὐτὸν τὰ σημεῖα τοῦ τειχισμοῦ τοῖς τέκτοσιν, οὐκ εἶναι δὲ ὅτῳ τὴν γῆν ἐπιγράψουσι· τῶν δὴ τεκτόνων τινὰ ἐπιφρασθέντα, ὅσα ἐν τεύχεσιν ἄλφιτα οἱ στρατιῶται ἐκόμιζον ξυναγαγόντα ἐπιβάλλειν τῇ γῇ ἵναπερ ὁ βασιλεὺς ὑφηγεῖτο, καὶ τὸν κύκλον οὕτω περιγραφῆναι τοῦ περιτειχισμοῦ ὄντινα τῇ πόλει ἐποίει. (2) Τοῦτο δὲ ἐπιλεξαμένους τοὺς μάντεις καὶ μάλιστα δὴ Ἀρίστανδρον τὸν Τελμισσέα, ὃς δὴ πολλὰ μὲν καὶ ἄλλα ἀληθεῦσαι ἐλέγετο Ἀλεξάνδρῳ, φάναι εὐδαίμονα ἔσεσθαι τὴν πόλιν τά τε ἄλλα καὶ τῶν ἐκ γῆς καρπῶν εἵνεκα.

3. Ἐν τούτῳ δὲ καὶ Ἡγέλοχος κατέπλευσεν εἰς Αἴγυπτον, καὶ ἀπαγγέλλει Ἀλεξάνδρῳ Τενεδίους τε ἀποστάντας Περσῶν σφίσι προσθέσθαι (καὶ γὰρ καὶ ἄκοντας Πέρσαις προσχωρῆσαι) καὶ Χίων ὅτι δὴ ὁ δῆμος ἐπηγάγετο σφᾶς βίᾳ τῶν κατεχόντων τὴν πόλιν, οὓς Αὐτοφραδάτης τε καὶ Φαρνάβαζος ἐγκατέστησαν· (4) ἁλῶναι δὲ αὐτόθι καὶ Φαρνάβαζον ἐγκαταληφθέντα καὶ Ἀριστόνικον Μηθυμναῖον τὸν τύραννον ἐσπλεύσαντα ἐς τὸν λιμένα τῆς Χίου ξὺν ἡμιολίαις ληστρικαῖς πέντε, ὑπὸ σφῶν ἐχόμενον τὸν λιμένα οὐ γνόντα, ἀλλ' ἐξαπατηθέντα γὰρ πρὸς τῶν τὰ κλεῖθρα ἐχόντων τοῦ λιμένος, ὅτι τὸ Φαρναβάζου ἄρα ναυτικὸν ὁρμεῖ ἐν αὐτῷ· (5) καὶ τοὺς μὲν ληστὰς πάντας αὐτοῦ κατακοπῆναι πρὸς σφῶν· Ἀριστόνικον δὲ ἦγε παρ' Ἀλέξανδρον καὶ Ἀπολλωνίδην τὸν Χῖον καὶ Φισινὸν καὶ Μεγαρέα καὶ τοὺς ἄλλους ὅσοι τῆς τε ἀποστάσεως τῆς Χίων ξυνεπελάβοντο καὶ ἐν τῷ τότε τὰ πράγματα τῆς νήσου βίᾳ εἶχον· (6) καὶ Μυτιλήνην δὲ Χάρητα ἔχοντα ὅτι ἀφείλετο καὶ τὰς ἄλλας τὰς ἐν Λέσβῳ πόλεις καὶ αὐτὰς ὁμολογίᾳ προσηγάγετο, Ἀμφοτερὸν δὲ σὺν ἑξήκοντα νανσὶν ἐπὶ Κῶ ἔπεμψεν· ἐπικαλεῖσθαι γὰρ σφᾶς τοὺς Κώους· καὶ αὐτὸς καταπλεύσας ὅτι εὗρε τὴν Κῶ πρὸς Ἀμφοτεροῦ ἤδη ἐχομένην· (7) καὶ τοὺς μὲν ἄλλους ὅσοι αἰχμάλωτοι ἦγεν Ἡγέλοχος, Φαρνάβαζος δὲ ἀπέδρα ἐν Κῷ λαθὼν τοὺς φύλακας. Ἀλέξανδρος δὲ τοὺς τυράννους μὲν τοὺς ἐκ τῶν πόλεων ἐς τὰς πόλεις πέμπει, χρήσασθαι ὅπως ἐθέλοιεν· τοὺς δὲ ἀμφ' Ἀπολλωνίδην τοὺς Χίους ἐς Ἐλεφαντίνην πόλιν Αἰγυπτίαν ξὺν φυλακῇ ἀκριβεῖ ἔπεμψεν.

CAP. II.

Narratur porro hac de re hujuscemodi quidpiam, meo quidem judicio, non indignum fide : voluisse quidem Alexandrum ipsum signa ducendo muro fabris relinquere, quumque nihil ad manum esset, quo terra inscribi posset, quendam ex fabris hoc excogitasse, ut congesta omni farina quam milites in vasis habebant, eam terræ quam rex designabat aspergeret, atque ita in orbem locum muro urbi circumducendo præscriptum esse. (2) Addidisse etiam hoc vates, et quidem præcipue Aristandrum Telmissensem, qui multa etiam alia vera Alexandro prædixisse ferebatur, urbem illam cum aliis rebus tum frugum copia opulentam fore.

3. Inter hæc Hegelochus in Ægyptum cum navibus venit, qui Alexandro renuntiat, Tenedios ad se a Persis defecisse, quod inviti Persis sese adjunxissent; Chios quoque ipsos in urbem advocasse, invitis iis, quos Autophradates et Pharnabazus præsidio reliquerant; (4) captum etiam in ea ipsa urbe esse Pharnabazum unaque comprehensum Aristonicum Methymnæum tyrannum qui in portum Chii cum quinque piraticis navibus se recepisset, ignarus portum ab ipsis teneri, deceptusque ab iis qui claustra portus tuebantur, Pharnabazi classem in ea statione esse affirmantibus : (5) ac piratas quidem omnes ad internecionem cæsos esse : adducere se ad Alexandrum Aristonicum et Apollonidem Chium Phisinumque et Megareum et reliquos, qui defectionis auctores adjutoresque fuerant, ac tum temporis violentam apud Chios rerum omnium administrationem tenebant. (6) Adhæc Mytilenen Chareti, qui eam tenebat, eripuisse, reliquaque Lesbiorum oppida deditione recepta esse. Amphoterum cum LX navibus in Con insulam missum; accersisse enim ipsos Coos, seque quum illac præternavigaret, intellexisse insulam in Amphoteri potestate esse : (7) et cæteros quidem captivos omnes Hegelochus adduxit : Pharnabazus in Con insulam clam custodibus aufugit. Alexander tyrannos quidem urbium in urbes mittit, ut de iis sicut liberet statuerent. Eos vero qui circa Apollonidem Chium erant, in Elephantinem Ægypti urbem cum accurata custodia misit.

ΚΕΦ. Γ'.

Ἐπὶ τούτοις δὲ πόθος λαμβάνει αὐτὸν ἐλθεῖν παρ' Ἄμμωνα ἐς Λιβύην, τὸ μέν τι τῷ θεῷ χρησόμενον, ὅτι ἀτρεκὲς ἐλέγετο εἶναι τὸ μαντεῖον τοῦ Ἄμμωνος καὶ χρήσασθαι αὐτῷ Περσέα τε καὶ Ἡρακλέα, τὸν μὲν ἐπὶ τὴν Γοργόνα ὅτε πρὸς Πολυδέκτου ἐστέλλετο, τὸν δὲ ὅτε παρ' Ἀνταῖον ἦει εἰς Λιβύην καὶ παρὰ Βούσιριν εἰς Αἴγυπτον. (2) Ἀλεξάνδρῳ δὲ φιλοτιμία ἦν

CAP. III.

Post hæc cupido Alexandrum cepit adeundi Hammonem Libycum, oraculum consulendi causa, quod certissimum esse ferebatur, Perseusque ipse et Hercules deum consuluisse credebantur : ille quidem quum adversus Gorgonem Polydecte missus esset, hic vero quum in Libyam adversus Antæum, et in Ægyptum contra Busiriden proficisceretur. (2) Erat porro Alexandro æmulatio quædam cum

πρὸς Περσέα καὶ Ἡρακλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν καί τι καὶ αὐτὸς τῆς γενέσεως τῆς ἑαυτοῦ ἐς Ἄμμωνα ἀνέφερε, καθάπερ οἱ μῦθοι τὴν Ἡρακλέους τε καὶ Περσέως ἐς Δία. Καὶ οὖν παρ' Ἄμμωνα ταύτῃ τῇ γνώμῃ ἐστέλλετο, ὡς καὶ τὰ αὐτοῦ ἀτρεκέστερον εἰσόμενος ἢ φήσων γε ἐγνωκέναι.

3. Μέχρι μὲν δὴ Παραιτονίου παρὰ θάλασσαν ἦει δι' ἐρήμου, οὐ μέντοι δι' ἀνύδρου τῆς χώρας, σταδίους ἐς χιλίους καὶ ἑξακοσίους, ὡς λέγει Ἀριστόβουλος. Ἐντεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο, ἵνα τὸ μαντεῖον ἦν τοῦ Ἄμμωνος. Ἔστι δὲ ἐρήμη τε ἡ ὁδὸς καὶ ψάμμος ἡ πολλὴ αὐτῆς καὶ ἄνυδρος. (4) Ὕδωρ δὲ ἐξ οὐρανοῦ Ἀλεξάνδρῳ πολὺ ἐγένετο, καὶ τοῦτο ἐς τὸ θεῖον ἀνηνέχθη. Ἀνηνέχθη δὲ ἐς τὸ θεῖον καὶ τόδε· ἄνεμος νότος ἐπὰν πνεύσῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τῆς ψάμμου ἐπιφορεῖ κατὰ τῆς ὁδοῦ ἐπὶ μέγα, καὶ ἀφανίζεται τῆς ὁδοῦ τὰ σημεῖα οὐδὲ ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι καθάπερ ἐν πελάγει τῇ ψάμμῳ, ὅτι σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδὸν οὔτε που ὄρος οὔτε δένδρον οὔτε γήλοφοι βέβαιοι ἀνεστηκότες, οἵστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις· ἀλλὰ ἐπλανᾶτο γὰρ ἡ στρατιὰ Ἀλεξάνδρῳ καὶ οἱ ἡγεμόνες τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν. (5) Πτολεμαῖος μὲν δὴ ὁ Λάγου λέγει ὁράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος φωνὴν ἱέντας, καὶ τούτοις Ἀλέξανδρον κελεῦσαι ἕπεσθαι τοὺς ἡγεμόνας πιστεύσαντας τῷ θείῳ· τοὺς δὲ ἡγήσασθαι τήν τε ἐς τὸ μαντεῖον καὶ ὀπίσω αὖθις· (6) Ἀριστόβουλος δέ, καὶ ὁ πλείων λόγος ταύτῃ κατέχει, κόρακας δύο προπετομένους πρὸ τῆς στρατιᾶς, τούτους γενέσθαι Ἀλεξάνδρῳ τοὺς ἡγεμόνας. Καὶ ὅτι μὲν θεῖόν τι ξυνεπέλαβεν αὐτῷ ἔγωγε ἰσχυρίσασθαι, ὅτι καὶ τὸ εἰκὸς ταύτῃ ἔχει· τὸ δὲ ἀτρεκὲς τοῦ λόγου ἀφεῖλοντο οἱ ἄλλῃ καὶ ἄλλῃ ὑπὲρ αὐτοῦ ἐξηγησάμενοι.

Perseo et Hercule, quippe qui a genere utriusque descenderet, siquidem et ipse ortus sui initia ex parte (*materna*) ad Ammonem referebat, quemadmodum Persei atque Herculis fabulæ ad Jovem. Hoc itaque consilio ad Ammonem proficiscebatur, ut quæ ad se pertinerent certius cognosceret, aut saltem se novisse jactaret.

3. Ac Parætonium usque secus mare per solitudinem profectus est, sed non omnino per inaquosam regionem, ad mille sexcenta stadia, ut tradit Aristobulus. Inde mediterranea petiit, ubi Ammonis templum est, unde oracula petuntur. Est autem via plane deserta altoque sabulo impedita et aquæ inops. (4) At Alexandro larga e cœlo pluvia demissa est, quod quidem prodigio habitum est, sicut etiam hoc: quotiescunque enim Auster ea in regione spirat, magna vi arenæ viam obruit, ita ut omnia viarum vestigia obducantur, et, perinde ut in pelago, qua eundum sit cerni præ arena non possit. Neque enim signa ulla sive notæ ad viam exstant, non collis, non arbor, non firmi et stabiles tumuli, ex quibus viatores itineris rationem colligere, ut nautæ ex astris, possint. Errabat itaque Alexandri exercitus, ejusque ductores de via ambigebant. (5) Ptolemæus Lagi filius auctor est, dracones duos clamorem edentes agmen præcessisse, et Alexandrum ducibus imperasse, ut prodigio acquiescentes dracones sequerentur; ac dracones in oraculi sedem ipsos et duxisse et reduxisse. (6) Aristobulus autem et reliqui plurimi duos corvos ante exercitum volitasse scribit, eosque Alexandro itineris duces exstitisse. Ac sane aliquo prodigio adjutum Alexandrum esse pro certo affirmaverim: verisimile enim omnino hoc est: at veram rei rationem scriptorum dissensus obscuravit.

ΚΕΦ. Δ'.

Ὁ δὲ χῶρος ἵναπερ τοῦ Ἄμμωνος τὸ ἱερόν ἐστι, τὰ μὲν κύκλῳ πάντα ἔρημα καὶ ψάμμον τὸ πᾶν ἔχει καὶ ἄνυδρον· αὐτὸς δὲ ἐν μέσῳ ὀλίγος ὤν (ὅσον γὰρ πλεῖστον αὐτοῦ ἐς πλάτος διέχει, ἐς τεσσαράκοντα μάλιστα σταδίους ἔρχεται) κατάπλεώς ἐστιν ἡμέρων δένδρων, ἐλαιῶν καὶ φοινίκων, καὶ ἔνδροσος μόνος τῶν πέριξ. (2) Καὶ πηγὴ ἐξ αὐτοῦ ἀνίσχει οὐδέν τι ἐοικυῖα ταῖς πηγαῖς ὅσαι ἄλλαι ἐκ γῆς ἀνίσχουσιν. Ἐν μὲν γὰρ μεσημβρίᾳ ψυχρὸν τὸ ὕδωρ γευσαμένῳ τε καὶ ἔτι μᾶλλον ἁψαμένῳ οἷον ψυχρότατον· ἐγκλίναντος δὲ τοῦ ἡλίου ἐς ἑσπέραν θερμότερον, καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον ἔστε ἐπὶ μέσας νύκτας, μέσων δὲ νυκτῶν ἑαυτοῦ θερμότατον· ἀπὸ δὲ μέσων νυκτῶν ψύχεται ἐν τάξει, καὶ ἕωθεν ψυχρὸν ἤδη ἐστί, ψυχρότατον δὲ μεσημβρίας· καὶ τοῦτο δὴ ἀμείβει ἐν τάξει ἐπὶ ἑκάστῃ ἡμέρᾳ. (3) Γίγνονται δὲ καὶ ἅλες αὐτόματοι ἐν τῷ χωρίῳ τούτῳ

CAP. IV.

Locus autem in quo Ammonis templum est, omni ex parte solitudines et arenas habet caretque aqua. Medium hujus loci, quod exiguo spatio circumscribitur, (nam ubi latissimum est, ad quadraginta summum stadia extenditur) cultis arboribus est refertum, oleis nimirum et palmis, solumque ex circumjectis locis roscidum. (2) Fons etiam ex eo oritur, nihil cum reliquis fontibus quotquot e terra scaturiunt simile habens. Meridie enim frigidus est gustanti multoque magis attingenti, qualis est frigidissimus; sole ad vesperum vergente, calidior est; qui quidem calor a vespera ad mediam noctem usque incrementa accipit; media nocte calidissimus est; post mediam noctem paulatim refrigescit; et sub auroram jam frigidus est, meridie frigidissimus: atque has quidem vicissitudines singulis diebus subit. (3) Gignit autem etiam hoc solum suapte natura salem fos-

ὀρυκτοί. Καὶ τούτων ἔστιν οὓς ἐς Αἴγυπτον φέρουσι τῶν ἱερέων τινὲς τοῦ Ἄμμωνος. Ἐπειδὴ γὰρ ἐπ' Αἰγύπτου στέλλονται, ἐς κοιτίδας πλεκτὰς ἐκ φοίνικος ἐσβαλόντες ὄῶρον τῷ βασιλεῖ ἀποφέρουσιν ἢ εἴ τῳ ἄλλῳ. (4) Ἔστι δὲ μακρός τε ὁ χόνδρος καὶ ἤδη τινὲς αὐτῶν καὶ ὑπὲρ τρεῖς δακτύλους, καὶ καθαρὸς ὥσπερ κρύσταλλος· καὶ τούτῳ ἐπὶ ταῖς θυσίαις χρῶνται, ὡς καθαρωτέρῳ τῶν ἀπὸ θαλάσσης ἁλῶν, Αἰγύπτιοί τε καὶ ὅσοι ἄλλοι τοῦ θείου οὐκ ἀμελῶς ἔχουσιν. (5) Ἐνταῦθα Ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε καὶ τῷ θεῷ ἐχρήσατο· καὶ ἀκούσας ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν, ὡς ἔλεγεν, ἀνέζευξεν ἐπ' Αἰγύπτου, ὡς μὲν Ἀριστόβουλος λέγει, τὴν αὐτὴν ὀπίσω ὁδόν, ὡς δὲ Πτολεμαῖος ὁ Λάγου, ἄλλην εὐθεῖαν ὡς ἐπὶ Μέμφιν.

ΚΕΦ. Ε'.

Εἰς Μέμφιν δὲ αὐτῷ πρεσβεῖαί τε πολλαὶ ἐκ τῆς Ἑλλάδος ἦκον, καὶ οὐκ ἔστιν ὄντινα ἀτυχήσαντα ὧν ἐδεῖτο ἀπέπεμψε· καὶ στρατιὰ παραγίγνεται παρὰ μὲν Ἀντιπάτρου μισθοφόροι Ἕλληνες ἐς τετρακοσίους, ὧν ἦγεῖτο Μενίδας ὁ Ἡγησάνδρου, ἐκ Θρᾴκης δὲ ἱππεῖς ἐς πεντακοσίους, ὧν ἦρχεν Ἀσκληπιόδωρος ὁ Εὐνίκου. (2) Ἐνταῦθα θύει τῷ Διὶ τῷ βασιλεῖ καὶ πομπεύει ξὺν τῇ στρατιᾷ ἐν τοῖς ὅπλοις καὶ ἀγῶνα ποιεῖ γυμνικὸν καὶ μουσικόν. Καὶ τὰ κατὰ τὴν Αἴγυπτον ἐνταῦθα ἐκόσμησε· δύο μὲν νομάρχας Αἰγύπτου κατέστησεν Αἰγυπτίους, Δολόασπιν καὶ Πέτισιν, καὶ τούτοις διένειμε τὴν χώραν τὴν Αἰγυπτίαν· Πετίσιος δὲ ἀπειπαμένου τὴν ἀρχὴν Δολόασπις ἐνδέχεται πᾶσαν. (3) Φρουράρχους δὲ τῶν ἑταίρων ἐν Μέμφει μὲν Πανταλέοντα κατέστησε τὸν Πυδναῖον, ἐν Πηλουσίῳ δὲ Πολέμωνα τὸν Μεγακλέους, Πελλαῖον· τῶν ξένων δὲ ἄρχειν Αυκίδαν Αἰτωλόν, γραμματέα δὲ ἐπὶ τῶν ξένων Εὔγνωστον τὸν Ξενοφάντου τῶν ἑταίρων· ἐπισκόπους δὲ αὐτῶν Αἰσχύλον τε καὶ Ἔφιππον τὸν Χαλκιδέα. (4) Λιβύης δὲ τῆς προσχώρου ἄρχειν δίδωσιν Ἀπολλώνιον Χαρίνου, Ἀραβίας δὲ τῆς πρὸς Ἡρώων πόλει Κλεομένην τὸν ἐκ Ναυκράτιος· καὶ τούτῳ παρηγγέλλετο τοὺς μὲν νομάρχας ἐᾶν ἄρχειν τῶν νομῶν τῶν κατὰ σφᾶς καθάπερ ἐκ παλαιοῦ καθειστήκει, αὐτὸν δὲ ἐκλέγειν παρ' αὐτῶν τοὺς φόρους· οἱ δὲ ἀποφέρειν αὐτῷ ἐτάχθησαν. (5) Στρατηγοὺς δὲ τῇ στρατιᾷ κατέστησεν ἥντινα ἐν Αἰγύπτῳ ὑπελείπετο Πευκέσταν τε τὸν Μακαρτάτου καὶ Βάλακρον τὸν Ἀμύντου, ναύαρχον δὲ ἐπὶ τῶν νεῶν Πολέμωνα τὸν Θηραμένους· σωματοφύλακα δὲ ἀντὶ Ἀρρύβα τὸν Λεοννάτου τὸν Ὀνάσου ἔταξεν· Ἀρρύβας γὰρ νόσῳ ἀπέθανεν. (6) Ἀπέθανε δὲ καὶ Ἀντίοχος ὁ ἄρχων τῶν τοξοτῶν, καὶ ἀντὶ τούτου ἄρχειν ἐπέστησε τοῖς τοξόταις Ὀμβρίωνα Κρῆτα. Ἐπὶ δὲ τοὺς ξυμμάχους τοὺς πεζούς, ὧν Βάλακρος ἡγεῖτο, ἐπεὶ Βάλακρος ἐν Αἰγύπτῳ ὑπελείπετο, Κάλανον κατέστησεν ἡγεμόνα. (7) Κατανεῖμαι δὲ λέγεται ἐς πολλοὺς τὴν ἀρχὴν τῆς

silem; quem quidem nonnulli sacerdotes Ammonis in Ægyptum portant. Quum enim in Ægyptum proficiscuntur, salem in cistulas ex palma contextas conditum, regi aut alteri cuipiam muneri ferunt. (4) Sunt autem frusta oblonga, quædam enim longitudinem trium digitorum excedunt, puraque instar crystalli. Hoc genere salis et Ægyptii et alii quibus divinus cultus curæ est, in sacrificiis utuntur, quod sale marino sit purior. (5) Alexander loci naturam admiratus, oraculum consuluit: acceptoque responso sibi, ut dicebat, grato, in Ægyptum rediit, eodem, ut Aristobulus auctor est, quo venerat itinere: ut vero Ptolemæus scribit, rectiore via Memphin versus.

CAP. V.

Ad Memphin multæ ad eum ex Græcia legationes venere, neque quenquam, qui postulata non impetrasset, dimisit. Novæ etiam copiæ accesserunt, ab Antipatro mercenarii Græci quadringenti, quibus præerat Menidas Hegesandri filius: ex Thracia equites circiter quingenti, quibus præfectus erat Asclepiodorus Eunici filius. (2) Eo loci Jovi regi sacrum fecit, pompam cum exercitu armato duxit: ludos etiam gymnicos et musicos exhibuit. Deinde ad Ægypti administrationem constituendam conversus, duos Ægypto præsides Ægyptios præfecit, Doloaspin et Petisin, inter quos universam Ægypti regionem distribuit. Petise vero imperium detrectante, Doloaspis totam provinciam suscepit. (3) Præsidiorum principes ex amicis in Memphi constituit Pantaleontem Pydnæum, Pelusii Polemonem Megaclis filium Pellæum. Exteris militibus Lycidam Ætolum præfecit. Scribam præterea exteris adjunxit, Eugnostum Xenophanti filium, ex amicis. Inspectores vero iisdem adjecit Æschylum et Ephippum Chalcidensem. (4) Libyæ vero finitimæ Apollonium Charini filium præfecit: Arabiæ quæ est ad urbem Heroum, Cleomenem Naucratitam, mandatis additis, ut legum imperium juxta veterem consuetudinem penes præsides esset: ipse tributa colligeret, quæ illi pendere ei jussi sunt. (5) Copiis quas in Ægypto reliquit, duces præfecit Peucestam Macartati et Balacrum Amyntæ filium, classi vero Polemonem Theramenis filium. Corporis custodem loco Arrhybæ Leonnatum Onasi (*Antei?*) filium constituit: Arrhybas enim morbo exstinctus erat. (6) Obierat autem etiam Antiochus sagittariorum dux, in cujus locum Ombrionem Cretensem suffecit. Sociorum peditatui cui Balacrus præfuerat (qui in Ægypto relinquebatur), Calanum ducem constituit. (7) Ægypti imperium inter plures præsides par-

Αἰγύπτου, τήν τε φύσιν τῆς χώρας θαυμάσας καὶ τὴν ὀχυρότητα, ὅτι οὐκ ἀσφαλές οἱ ἐφαίνετο ἑνὶ ἐπιτρέψαι ἄρχειν Αἰγύπτου πάσης. Καὶ Ῥωμαῖοί μοι δοκοῦσι παρ' Ἀλεξάνδρου μαθόντες ἐν φυλακῇ ἔχειν Αἴγυπτον καὶ μηδένα τῶν ἀπὸ βουλῆς ἐπὶ τῷδε ἐκπέμπειν ὕπαρχον Αἰγύπτου, ἀλλὰ τῶν εἰς τοὺς ἱππέας σφίσι ξυντελούντων.

ΚΕΦ. Ϛ'.

Ἀλέξανδρος δὲ ἅμα τῷ ἦρι ὑποφαίνοντι ἐκ Μέμφιος ἦει ἐπὶ Φοινίκης· καὶ ἐγεφυρώθη αὐτῷ ὅ τε κατὰ Μέμφιν πόρος τοῦ Νείλου καὶ αἱ διώρυχες αὐτοῦ πᾶσαι. Ὡς δὲ ἀφίκετο ἐς Τύρον, καταλαμβάνει ἐνταῦθα ἥκον αὐτῷ ἤδη καὶ τὸ ναυτικόν. Ἐν Τύρῳ δὲ αὖθις θύει τῷ Ἡρακλεῖ καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ μουσικόν. (2) Ἐνταῦθα ἀφικνεῖται παρ' αὐτὸν ἐξ Ἀθηνῶν ἡ Πάραλος πρέσβεις ἄγουσα Διόφαντον καὶ Ἀχιλλέα· ξυνεπρέσβευον δὲ αὐτοῖς καὶ οἱ Πάραλοι ξύμπαντες. Καὶ οὗτοι τῶν τε ἄλλων ἔτυχον ὧν ἕνεκα ἐστάλησαν καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν Ἀθηναίοις ὅσοι ἐπὶ Γρανικῷ Ἀθηναίων ἑάλωσαν. (3) Τὰ δὲ ἐν Πελοποννήσῳ ὅτι αὐτῷ νενεωτερίσθαι ἀπήγγελτο, Ἀμφοτερὸν πέμπει βοηθεῖν Πελοποννησίων ὅσοι ἐς τε τὸν Περσικὸν πόλεμον βέβαιοι ἦσαν καὶ Λακεδαιμονίων οὐ κατήκουον. Φοίνιξι δὲ καὶ Κυπρίοις προσετάχθη ἑκατὸν ναῦς ἄλλας πρὸς αἷς ἔχοντα Ἀμφοτερὸν ἔπεμπε στέλλειν ἐπὶ Πελοποννήσου.

4. Αὐτὸς δὲ ἤδη ἄνω ὥρμᾶτο ὡς ἐπὶ Θάψακόν τε καὶ τὸν Εὐφράτην ποταμόν, ἐν Φοινίκῃ μὲν ἐπὶ τῶν φόρων τῇ ξυλλογῇ καταστήσας Κοίρανον Βεροιαῖον, Φιλόξενον δὲ τῆς Ἀσίας τὰ ἐπὶ τάδε τοῦ Ταύρου ἐκλέγειν. Τῶν ξὺν αὐτῷ δὲ χρημάτων τὴν φυλακὴν ἀντὶ τούτων ἐπέτρεψεν Ἁρπάλῳ τῷ Μαχάτα ἄρτι ἐκ τῆς φυγῆς ἥκοντι. (5) Ἅρπαλος γὰρ τὰ μὲν πρῶτα ἔφυγε, Φιλίππου ἔτι βασιλεύοντος, ὅτι πιστὸς ἦν, καὶ Πτολεμαῖος ὁ Λάγου ἐπὶ τῷ αὐτῷ ἔφυγε καὶ Νέαρχος ὁ Ἀνδροτίμου καὶ Ἐρίγυιος ὁ Λαρίχου καὶ Λαομέδων ὁ τούτου ἀδελφός, ὅτι ὕποπτα ἦν Ἀλεξάνδρῳ ἐς Φίλιππον, ἐπειδὴ Εὐρυδίκην γυναῖκα ἠγάγετο Φίλιππος, Ὀλυμπιάδα δὲ τὴν Ἀλεξάνδρου μητέρα ἠτίμασε. (6) Τελευτήσαντος δὲ Φιλίππου κατελθόντας ἀπὸ τῆς φυγῆς ὅσοι δι' αὐτὸν ἔφευγον Πτολεμαῖον μὲν σωματοφύλακα κατέστησεν, Ἅρπαλον δὲ ἐπὶ τῶν χρημάτων, ὅτι αὐτῷ τὸ σῶμα ἐς τὰ πολέμια ἀχρεῖον ἦν, Ἐρίγυιον δὲ ἱππάρχην τῶν ξυμμάχων, Λαομέδοντα δὲ τὸν τούτου ἀδελφόν, ὅτι δίγλωσσος ἦν ἐς τὰ βαρβαρικὰ γράμματα, ἐπὶ τοῖς αἰχμαλώτοις βαρβάροις, Νέαρχον δὲ σατραπεύειν Λυκίας καὶ τῆς ἐχομένης Λυκίας χώρας ἔστε ἐπὶ τὸν Ταῦρον τὸ ὄρος. (7) Ὀλίγον δὲ πρόσθεν τῆς μάχης τῆς ἐν Ἰσσῷ γενομένης ἀναπεισθεὶς πρὸς Ταυρίσκου, ἀνδρὸς κακοῦ, Ἅρπαλος φεύγει ξὺν Ταυρίσκῳ. Καὶ ὁ μὲν Ταυρίσκος παρ' Ἀλέξανδρον τὸν Ἠπειρώτην ἐς Ἰταλίαν σταλεὶς ἐκεῖ ἐτελεύτησεν· Ἁρπάλῳ δὲ ἐν τῇ Μεγαρίδι ἡ φυγὴ ἦν.

titus esse dicitur, naturam regionis admiratus et munimenta, neque tutum ratus universum Ægypti imperium uni committere. Quod quidem Alexandri consilium imitati Romani in tuenda Ægypto mihi videntur, neminem senatorii ordinis, sed equestris, proconsulem eo mittere soliti.

CAP. VI.

Alexander ineunte vere Memphi in Phœnicen movit, Nilo flumine ad Memphin fossisque ejus omnibus ponte stratis. Ubi Tyrum pervenit, reperit ibi advectam jam etiam classem; et Herculi rursus sacrum fecit, ludosque gymnicos et musicos edidit. (2) Eodem loci Paralus, sacra Atheniensium navis, ad Alexandrum venit, legatos advehens Diophantum et Achillem. Conjunxerant sese huic legationi omnes Parali universi: quibus quidem omnia quæ postularunt concessit, et Atheniensibus cives quotquot ad Granicum amnem capti fuerant remisit. (3) Quumque in Peloponneso tumultus excitati esse nuntiarentur, Amphoterum eo mittit, iis qui constantes ad Persicum usque bellum manserant, neque Lacedæmoniis morem gesserant, subventurum. Phœnicibus autem et Cypriis imperavit, ut centum alias naves præter eas, quibus Amphoterum instructum misit, in Peloponnesum destinarent.

4. Ipse vero ulteriora petens ad Thapsacum et Euphratem fluvium contendit, atque in Phœnice quidem tributis cogendis Cœranum Berœæum quæstorem constituit: in Asia Philoxenum, qui cis Taurum vectigalia cogat. Pecuniarum autem quas penes se habebat, Harpalo Machatæ, qui recens ab exilio redierat, in horum locum suffecto, curam dedit. (5) Harpalus enim primum quidem, quod fidus (Alexandro) fuisset, Philippo adhuc regnante fugerat, eademque de causa una cum illo etiam Ptolemæus Lagi, et Nearchus Androtimi, atque Erigyius Larichi filius, ejusque frater Laomedon. Suspectus enim erat Alexander Philippo, postquam Olympiade Alexandri matre repudiata, Eurydicen uxorem ceperat. (6) Mortuo autem Philippo quum ii qui sua causa fugerant rediissent, Ptolemæum quidem inter corporis custodes retulit: Harpalum vero, quum corpore esset ad res bellicas subeundas parum firmo, thesauris præfecit: Erigyium equitatui sociorum ducem statuit: Laomedontem ejus fratrem, quod duarum linguarum, græcæ et barbaricæ, peritus esset, captivis barbaris: Nearchum Lyciæ atque universæ regioni quæ Lyciæ finitima est ad Taurum montem usque præposuit. (7) Verum paulo ante prælium quod apud Issum commissum erat, Harpalus seductus a Tauriseo homine improbo, una cum eo fugerat. Et Tauriscus quidem ad Alexandrum Epirotam in Italiam profectus, ibi vitam finiit. Harpalus quum ad Megarenses se recepisset, invitatus ab

Ἀλλ' Ἀλέξανδρος πείθει αὐτὸν κατελθεῖν, πίστεις δοὺς οὐδέν οἱ μεῖον ἔσεσθαι ἐπὶ τῇ φυγῇ· οὐδὲ ἐγένετο ἐπανελθόντι, ἀλλ' ἐπὶ τῶν χρημάτων αὖθις ἐτάχθη Ἅρπαλος. (8) Ἐς Λυδίαν δὲ σατράπην Μένανδρον ἐκπέμπει τῶν ἑταίρων· ἐπὶ δὲ τοῖς ξένοις, ὧν ἡγεῖτο Μένανδρος, Κλέαρχος αὐτῷ ἐτάχθη· ἀντὶ δὲ Ἀρίμμα σατράπην Συρίας Ἀσκληπιόδωρον τὸν Εὐνίκου ἀπέδειξεν, ὅτι Ἄρίμμας βλακεῦσαι ἐδόκει αὐτῷ ἐν τῇ παρασκευῇ ἥντινα ἐτάχθη παρασκευάσαι τῇ στρατιᾷ κατὰ τὴν ὁδὸν τὴν ἄνω.

ΚΕΦ. Ζ'.

Καὶ ἀφίκετο ἐς Θάψακον Ἀλέξανδρος μηνὸς Ἑκατομβαιῶνος ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀριστοφάνους· καὶ καταλαμβάνει δυοῖν γεφύραιν ἐζευγμένον τὸν πόρον. Καὶ γὰρ Μαζαῖος, ὅτῳ ἡ φυλακὴ τοῦ ποταμοῦ ἐκ Δαρείου ἐπετέτραπτο, ἱππέας μὲν ἔχων περὶ τρισχιλίους καὶ τούτων Ἕλληνας μισθοφόρους δισχιλίους, τέως μὲν αὐτοῦ ἐπὶ τῷ ποταμῷ ἐφύλασσε, (2) καὶ ἐπὶ τῷδε οὐ ξυνεχὴς ἡ γέφυρα ἦν ἐζευγμένη ἔστε ἐπὶ τὴν ἀντιπέραν ὄχθην τοῖς Μακεδόσι, δειμαίνουσι μὴ ἐπίθοιντο οἱ ἀμφὶ Μαζαῖον τῇ γεφύρᾳ ἵνα ἐπαύετο· Μαζαῖος δὲ ὡς ἤκουσεν ἤδη προσάγοντα Ἀλέξανδρον, ᾤχετο φεύγων ξὺν τῇ στρατιᾷ πάσῃ· καὶ εὐθὺς ὡς ἔφυγε Μαζαῖος, ἐπεβλήθησαν αἱ γέφυραι τῇ ὄχθῃ τῇ πέραν καὶ διέβη ἐπ' αὐτῶν ξὺν τῇ στρατιᾷ Ἀλέξανδρος.

3. Ἔνθεν δὲ ἐχώρει ἄνω, ἐν ἀριστερᾷ ἔχων τὸν Εὐφράτην ποταμὸν καὶ τῆς Ἀρμενίας τὰ ὄρη, διὰ τῆς Μεσοποταμίας καλουμένης χώρας. Οὐκ εὐθεῖαν δὲ ἐπὶ Βαβυλῶνος ἦγεν ἀπὸ τοῦ Εὐφράτου ὁρμηθείς, ὅτι τὴν ἑτέραν ἰόντι εὐπορώτερα τὰ ξύμπαντα τῷ στρατῷ ἦν, καὶ χιλὸς τοῖς ἵπποις καὶ τὰ ἐπιτήδεια ἐκ τῆς χώρας λαμβάνειν, καὶ τὸ καῦμα οὐχ ὡσαύτως ἐπιφλέγον. (4) Ἁλόντες δέ τινες κατὰ τὴν ὁδὸν τῶν ἀπὸ τοῦ Δαρείου στρατεύματος κατασκοπῆς ἕνεκα ἀπεσκεδασμένων ἐξήγγειλαν, ὅτι Δαρεῖος ἐπὶ τοῦ Τίγρητος ποταμοῦ κάθηται, ἐγνωκὼς εἴργειν Ἀλέξανδρον, εἰ διαβαίνοι· καὶ εἶναι αὐτῷ στρατιὰν πολὺ μείζονα ἢ ξὺν ᾗ ἐν Κιλικίᾳ ἐμάχετο. (5) Ταῦτα Ἀλέξανδρος ἀκούσας ἦει σπουδῇ ὡς ἐπὶ τὸν Τίγρητα. Ὡς δὲ ἀφίκετο, οὔτε αὐτὸν Δαρεῖον καταλαμβάνει οὔτε τὴν φυλακὴν ἥντινα ἀπολελοίπει Δαρεῖος, ἀλλὰ διαβαίνει τὸν πόρον, χαλεπῶς μὲν δι' ὀξύτητα τοῦ ῥοῦ, οὐδενὸς δὲ εἴργοντος.

6. Ἐνταῦθα ἀναπαύει τὸν στρατόν· καὶ τῆς σελήνης τὸ πολὺ ἐκλιπὲς ἐγένετο· καὶ Ἀλέξανδρος ἔθυε τῇ τε σελήνῃ καὶ τῷ ἡλίῳ καὶ τῇ γῇ, ὅτων τὸ ἔργον τοῦτο λόγος εἶναι κατέχει. Καὶ ἐδόκει Ἀριστάνδρῳ πρὸς Μακεδόνων καὶ Ἀλεξάνδρου εἶναι τῆς σελήνης τὸ πάθημα καὶ ἐκείνου τοῦ μηνὸς ἔσεσθαι ἡ μάχη, καὶ ἐκ τῶν ἱερῶν νίκην σημαίνεσθαι Ἀλεξάνδρῳ. (7) Ἦρας δὲ ἀπὸ τοῦ Τίγρητος ἦει διὰ τῆς Ἀτουρίας χώρας, ἐν ἀριστερᾷ μὲν ἔχων τὰ Γορδυαίων ὄρη, ἐν δεξιᾷ δὲ αὐτὸν τὸν Τίγρητα. Τετάρτῃ δὲ ἡμέρᾳ ἀπὸ τῆς διαβάσεως οἱ πρόδρομοι αὐτῷ

Alexandro uti ad se reverteretur, accepta fide fugam sibi damno non futuram, rediit. Neque fuit damno; nam reversus pecuniarum administrationi denuo admotus est. (8) In Lydiam Menandrum, unum ex amicis, satrapam misit, Clearcho exteris, quorum dux erat Menander, suffecto. In Arimmæ locum Asclepiodorum Eunici filium Syriæ satrapam constituit, quum Arimmas visus esset in præparandis necessariis exercitui interiora Asiæ petenti segnem se præbuisse.

CAP. VII.

Alexander Thapsacum pervenit mense Hecatombæone, archonte Athenis Aristophane: ubi duobus pontibus junctum Euphratem fluvium reperit. Mazæus enim, cui Darius amnis tutelam mandaverat, cum tribus fere millibus equitum, in quibus duo erant millia Græcorum mercenariorum, hucusque quidem ad flumen consederat; (2) et propterea, pons non continuus usque ad ulteriorem ripam perductus erat a Macedonibus, veritis, ne qui cum Mazæo erant in pontem qua parte imperfectus erat impetum facerent. Mazæus autem ubi Alexandrum appropinquare cognovit, cum omnibus copiis inde aufugit. Post ejus fugam, pontibus in ulteriorem ripam jactis, Alexander universum exercitum traduxit.

3. Inde ulterius per regionem, cui Mesopotamia nomen est, ad lævam Euphratem fluvium et Armeniæ montes habens, progressus est. Neque vero recta via ab Euphrate movens Babylonem contendit, quum alia via ad exercitum ducendum commodior plus pabuli equis suppeditaret, aliaque necessaria ex ea regione sumi possent, neque æstus tantopere gradientes torreret. (4) In itinere exploratores nonnulli, longius ab exercitu Darii speculatum digressi, capti significarunt Darium ad Tigrim fluvium consedisse, Alexandrum transitu prohibiturum, multoque majores copias habere, quam quibuscum in Cilicia pugnarat. (5) Quo cognito, Alexander confestim ad Tigrim contendit. Quo postquam venit, neque Darium ipsum offendit, neque præsidium ullum a Dario relictum: itaque flumen transit, ægre quidem ob cursus rapiditatem, nemine tamen prohibente.

6. Ibi nonnihil quietis exercitui dedit. Per id tempus ingens lunæ defectio fuit. Alexander lunæ, soli, ac terræ, a quibus eclipses fieri dicuntur, sacrificium fecit. Aristandro visum est, felicem ac faustum successum Alexandro et Macedonibus per lunæ defectum portendi, præliumque eo ipso mense committendum esse; et sacrificia ipsa victoriam Alexandro promittere. (7) Motis itaque castris a Tigri per Aturiam exercitum duxit, a sinistra habens Gordyæorum montes, a dextra Tigrim. Quarto deinde post transitum die antecursores renuntiant, hostilem equitatum in campis cer-

ἐξαγγέλλουσιν ὅτι ἱππεῖς [οὗτοι] πολέμιοι ἀνὰ τὸ πεδίον φαίνονται, ὅσοι δέ, οὐκ ἔχειν εἰκάσαι. Ξυντάξας οὖν τὴν στρατιὰν προὐχώρει ὡς ἐς μάχην· καὶ ἄλλοι αὖ τῶν προδρόμων προσελάσαντες ἀκριβέστερον οὗτοι κατιδόντες ἔφασκον δοκεῖν εἶναί σφισιν οὐ πλείους ἢ χιλίους τοὺς ἱππέας.

ΚΕΦ. Η'.

Ἀναλαβὼν οὖν τήν τε βασιλικὴν ἴλην καὶ τῶν ἑταίρων μίαν καὶ τῶν προδρόμων τοὺς Παίονας ἤλαυνε σπουδῇ, τὴν δὲ ἄλλην στρατιὰν βάδην ἕπεσθαι ἐκέλευσεν. Οἱ δὲ τῶν Περσῶν ἱππεῖς, κατιδόντες τοὺς ἀμφ' Ἀλέξανδρον ὀξέως ἐπάγοντας, ἔφευγον ἀνὰ κράτος. Καὶ Ἀλέξανδρος διώκων ἐνέκειτο· (2) καὶ οἱ μὲν πολλοὶ ἀπέφυγον, τοὺς δέ τινας καὶ ἀπέκτειναν, ὅσοις οἱ ἵπποι ἐν τῇ φυγῇ ἔκαμον, τοὺς δὲ καὶ ζῶντας αὐτοῖς ἵπποις ἔλαβον· καὶ παρὰ τούτων ἔμαθον ὅτι οὐ πόρρω εἴη Δαρεῖος ξὺν δυνάμει πολλῇ.

3. Βεβοηθήκεσαν γὰρ Δαρείῳ Ἰνδῶν τε ὅσοι Βακτρίοις ὅμοροι καὶ αὐτοὶ Βάκτριοι καὶ Σογδιανοί· τούτων μὲν πάντων ἡγεῖτο Βῆσσος ὁ τῆς Βακτρίων χώρας σατράπης. Εἵποντο δὲ αὐτοῖς καὶ Σάκαι (Σκυθικὸν τοῦτο τὸ γένος τῶν τὴν Ἀσίαν ἐποικούντων Σκυθῶν), οὐχ ὑπήκοοι οὗτοι Βήσσου, ἀλλὰ κατὰ συμμαχίαν τὴν Δαρείου· ἡγεῖτο δὲ αὐτῶν Μαυάκης· αὐτοὶ δὲ ἱπποτοξόται ἦσαν. (4) Βαρσαέντης δὲ Ἀραχώτων σατράπης Ἀραχώτους τε ἦγε καὶ τοὺς ὀρείους Ἰνδοὺς καλουμένους. Σατιβαρζάνης δὲ ὁ Ἀριῶν σατράπης Ἀρείους ἦγε. Παρθυαίους δὲ καὶ Ὑρκανίους καὶ Ταπούρους, τοὺς πάντας ἱππέας, Φραταφέρνης ἦγεν. Μήδων δὲ ἡγεῖτο Ἀτροπάτης· ξυνετάττοντο δὲ Μήδοις Καδούσιοί τε καὶ Ἀλβανοὶ καὶ Σακεσίναι. (5) Τοὺς δὲ προσοίκους τῇ Ἐρυθρᾷ θαλάσσῃ Ὀχονδοβάτης καὶ Ἀριοβαρζάνης καὶ Ὀρξίνης ἐκόσμουν. Οὔξιοι δὲ καὶ Σουσιανοὶ ἡγεμόνα παρείχοντο Ὀξάθρην τὸν Ἀβουλίτου. Βουπάρης δὲ Βαβυλωνίων ἡγεῖτο. Οἱ δ' ἀνάσπαστοι Κᾶρες καὶ Σιτακηνοὶ σὺν Βαβυλωνίοις ἐτετάγατο. Ἀρμενίων δὲ Ὀρόντης καὶ Μιθράυστης ἦρχε, καὶ Ἀριάκης Καππαδόκων. (6) Σύρους δὲ τούς τε ἐκ τῆς κοίλης καὶ ὅσοι τῆς μεταξὺ τῶν ποταμῶν Συρίας Μαζαῖος ἦγεν. Ἐλέγετο δὲ ἡ πᾶσα στρατιὰ ἡ Δαρείου ἱππεῖς μὲν ἐς τετρακισμυρίους, πεζοὶ δὲ ἐς ἑκατὸν μυριάδας, καὶ ἅρματα δρεπανηφόρα διακόσια, ἐλέφαντες δὲ οὐ πολλοί, ἀλλὰ ἐς πεντεκαίδεκα μάλιστα Ἰνδοῖς τοῖς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἦσαν.

7. Ξὺν ταύτῃ τῇ δυνάμει ἐστρατοπεδεύκει Δαρεῖος ἐν Γαυγαμήλοις πρὸς ποταμῷ Βουμώδῳ, ἀπέχων Ἀρβήλων τῆς πόλεως ὅσον ἑξακοσίους σταδίους, ἐν χώρῳ ὁμαλῷ πάντη. Καὶ γὰρ καὶ ὅσα ἀνώμαλα αὐτοῦ ἐς ἱππασίαν, ταῦτα δὲ ἐκ πολλοῦ οἱ Πέρσαι τοῖς τε ἅρμασιν ἐπελαύνειν εὐπετῆ πεποιήκεσαν καὶ τῇ ἵππῳ ἱππάσιμα. Ἦσαν γὰρ οἱ ἀνέπειθον Δαρεῖον ὑπὲρ τῆς πρὸς Ἰσσῷ γενομένης μάχης ὅτι ἄρα ἐμειονέκτησε τῶν χωρίων τῇ στενότητι· καὶ Δαρεῖος οὐ χαλεπῶς ἐπείθετο.

ni : quantus autem eorum numerus esset, colligi non posse. Instructo igitur exercitu ad pugnam procedit : quum alii rursum ex præcursoribus incitatis equis advolant, qui re certius comperta, equites ab se visos non ultra mille esse affirmabant.

CAP. VIII.

Quo audito, confestim assumpta turma regia, et amicorum alia, et antecursoribus Pæonibus, in eos fertur : reliquo exercitu lento gradu sequi jusso. Persarum equites Alexandrum acriter in sese ruentem conspicati, effuso cursu fugiunt. Alexander fugientium terga premit (3) Et quidem incolumes evasere, nonnulli occisi sunt : alii, quos equi in fuga deficiebant, una cum equis vivi in potestatem venere : ex quibus cognovit, Darium cum ingenti exercitu non procul inde abesse.

3. Venerant enim auxilio ad Darium Indi quotquot Bactrianis finitimi sunt, ipsique Bactriani et Sogdiani : quorum omnium dux Bessus erat, Bactrianorum satrapa. Conjunxerant sese his etiam Sacæ ex Scythis oriundi, iis qui Asiam incolunt : hi non imperio Bessi subjecti, sed Dario confœderati sunt. Ducebat eos Mavaces ; erantque omnes hi equestres sagittarii. (4) Barsaentes autem Arachotorum satrapa Arachotos et Indos qui montani dicuntur ducebat. Satibarzanes, Ariorum satrapa, Arios, Phrataphernes Parthos, Hyrcanos ac Tapuros, omnes equites. Atropates Medorum dux erat : conjuncti autem erant Medis Cadusii et Albani ac Sacesinæ. (5) Rubri maris accolas Ocondobates, Ariobarzanes et Orxines ducebant. Uxii vero et Susiani ducem habebant Oxathrem Abuliti filium, Babylonii Buparem Cares autem anaspasti, *hoc est*, *sedibus suis pulsi*, et Sitaceni Babyloniis conjuncti erant. Armeniis Orontes et Mithraustes præerant, Cappadocibus Ariaces. (6) Syros qui ex Cœlesyria erant, et quotquot in ea Syria, quæ est intra fluvios (in Mesopotamia) habitabant, Mazæus regebat. Universus porro Darii exercitus ferebatur esse equitum quadraginta millia, peditum circa decies centena millia, currus falcati CC, elephanti non multi, sed circiter XV cum Indis qui cis Indum flumen venerant.

7. Cum his copiis Darius ad Gaugamela prope flumen Bumodum castra posuerat, sexcentis circiter ab Arbelo oppido stadiis, plano undique et patenti campo. Quicquid enim inæqualis soli erat, quodque curribus ducendis impedimento esset, id omne Persæ multo ante adæquarant, commodumque ad equitandum fecerant. Persuaserant enim nonnulli Dario, nullam aliam fuisse causam cladis apud Issum acceptæ, quam angustiam locorum : idque Darius facile credidit.

ΚΕΦ. Θ'.

Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ πρὸς τῶν κατασκόπων τῶν Περσῶν ὅσοι ἑάλωσαν, ἔμεινεν αὐτοῦ ἵνα ἐξηγγέλθη ἡμέρας τέσσαρας· καὶ τήν τε στρατιὰν ἐκ τῆς ὁδοῦ ἀνέπαυσε, τὸ δὲ στρατόπεδον τάφρῳ τε καὶ χάρακι ἐτείχισεν. Ἔγνω γὰρ τὰ μὲν σκευοφόρα ἀπολείπειν καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν, αὐτὸς δὲ ξὺν τοῖς μαχίμοις οὐδὲν ἄλλο ὅτι μὴ ὅπλα φέρουσιν ἰέναι ἐς τὸν ἀγῶνα. (2) Ἀναλαβὼν οὖν τὴν δύναμιν νυκτὸς ἦγεν ἀμφὶ δευτέραν φυλακὴν μάλιστα, ὡς ἅμ' ἡμέρᾳ προσμίξαι τοῖς βαρβάροις. Δαρεῖος δέ, ὡς προσηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος, ἐκτάσσει τὴν στρατιὰν ὡς ἐς μάχην· καὶ Ἀλέξανδρος ἦγεν ὡσαύτως τεταγμένους. Καὶ ἀπεῖχε μὲν ἀλλήλων τὰ στρατόπεδα ὅσον ἑξήκοντα σταδίους, οὐ μήν πω καθεώρων ἀλλήλους· γήλοφοι γὰρ ἐν μέσῳ ἐπίπροσθεν ἀμφοῖν ἦσαν.

3. Ὡς δὲ ἀπεῖχεν Ἀλέξανδρος ὅσον ἐς τριάκοντα σταδίους καὶ κατ' αὐτῶν ἤδη τῶν γηλόφων ἦει αὐτῷ ὁ στρατός, ἐνταῦθα, ὡς εἶδε τοὺς βαρβάρους, ἔστησε τὴν αὐτοῦ φάλαγγα· καὶ ξυγκαλέσας αὐτούς τε τοὺς ἑταίρους καὶ στρατηγοὺς καὶ ἰλάρχας καὶ τῶν συμμάχων τε καὶ τῶν μισθοφόρων ξένων τοὺς ἡγεμόνας, ἐβουλεύετο εἰ αὐτόθεν ἐπάγοι ἤδη τὴν φάλαγγα, ὡς οἱ πλεῖστοι ἄγειν ἐκέλευον, (4) ἢ καθάπερ Παρμενίωνι καλῶς [ἔχειν] ἐδόκει, τότε μὲν αὐτοῦ καταστρατοπεδεύειν, κατασκέψασθαι δὲ τόν τε χῶρον ξύμπαντα, εἰ δή τι ὕποπτον αὐτοῦ ἢ ἄπορον [εἴη], ἢ εἴ πη τάφροι ἢ σκόλοπες καταπεπηγότες ἀφανεῖς, καὶ τὰς τάξεις τῶν πολεμίων ἀκριβέστερον κατιδεῖν. Καὶ νικᾷ Παρμενίων τῇ γνώμῃ, καὶ καταστρατοπεδεύουσιν αὐτοῦ ὅπως τεταγμένοι ἔμελλον ἰέναι ἐς τὴν μάχην.

5. Ἀλέξανδρος δέ, ἀναλαβὼν τοὺς ψιλοὺς καὶ τῶν ἱππέων τοὺς ἑταίρους, περιήει ἐν κύκλῳ σκοπῶν τὴν χώραν πᾶσαν ἵνα τὸ ἔργον αὐτῷ ἔσεσθαι ἔμελλεν. Ἐπανελθὼν δὲ καὶ ξυγκαλέσας αὖθις τοὺς αὐτοὺς ἡγεμόνας, αὐτοὺς μὲν οὐκ ἔφη χρῆναι παρακαλεῖσθαι πρὸς οὗ ἐς τὸν ἀγῶνα· πάλαι γὰρ εἶναι δι' ἀρετήν τε τὴν σφῶν παρακεκλημένους καὶ ὑπὸ τῶν πολλάκις ἤδη καλῶν ἔργων ἀποδεδειγμένους· (6) τοὺς κατὰ σφᾶς δὲ ἑκάστους ἐξορμᾶν ἠξίου, λοχαγόν τε λοχίτας καὶ ἰλάρχην τὴν ἴλην τὴν αὐτοῦ ἕκαστον καὶ ταξιάρχους τὰς τάξεις, τούς τε ἡγεμόνας τῶν πεζῶν τὴν φάλαγγα ἕκαστον τήν οἱ ἐπιτετραμμένην, ὡς ἐν τῇδε τῇ μάχῃ οὐχ ὑπὲρ Κοίλης Συρίας ἢ Φοινίκης, οὐδὲ ὑπὲρ Αἰγύπτου, ὡς πρόσθεν, μαχουμένους, ἀλλὰ ὑπὲρ τῆς ξυμπάσης Ἀσίας, οὕστινας χρὴ ἄρχειν, ἐν τῷ τότε κριθησόμενον. (7) Οὔκουν τὴν ἐς τὰ καλὰ ἐξόρμησιν διὰ πολλῶν ἀναγκαίαν αὐτοῖς εἶναι οἴκοθεν τοῦτο ἔχουσιν, ἀλλὰ κόσμου τε ἐν τῷ κινδύνῳ ὅπως τις καὐ' αὑτὸν ἐπιμελήσεται καὶ σιγῆς ἀκριβοῦς ὁπότε σιγῶντας ἐπιέναι δέοι, καὶ αὖ λαμπρᾶς τῆς βοῆς ἵνα ἐμβοῆσαι καλόν, καὶ ἀλαλαγμοῦ ὡς φοβερωτάτου ὁπότε ἐπαλαλάξαι καιρός· (8) αὐτοί τε ὅπως

CAP. IX.

Quæ posiquam Alexandro a speculatoribus Persarum captis relata sunt, quatuor diebus eo in loco ubi hæc nuntiata moratus, exercitui quietem ab itineris labore dedit: castra vallo ac fossa munivit. Statuerat enim impedimenta omnia ac militem qui inutilis ad pugnam esset relinquere: ipse vero cum bellatoribus nihil aliud quam arma portantibus prælium adire. (2) Noctu itaque copiis eductis, circiter secundam vigiliam movit, ut prima statim luce manus cum barbaris consereret. Darius, simulac ei nuntiatum est Alexandrum appropinquare, confestim exercitum ad committendum prælium instruit. Alexander etiam instructam aciem ducit. Distabat exercitus ab exercitu sexaginta ferme stadiis. Nondum vero sese conspiciebant; tumuli enim medii inter utrumque exercitum erant.

3. Quum vero Alexander triginta ferme stadiis abesset jamque ad ipsos prope tumulos exercitus processisset, ibi conspectis barbaris phalangem sistit; convocatisque amicis et copiarum ductoribus turmarumque præfectis, sociorum etiam ac mercenariorum exterorum ducibus, consultat an confestim phalanx in hostem agenda esset (quæ plurimorum sententia erat), (4) an potius (ut Parmenio recte censebat) positis tum ibi castris, omnem illum locum accurate perlustrarent, an quid alicubi suspectum parumque tutum esset, an murices solo suffixi laterent: quem etiam in modum acies instructæ essent diligentius certiusque explorarent. Vicitque Parmenionis sententia, et castra ibi posita sunt, prout ad pugnam ituri erant.

5. Deinde Alexander sumptis expeditis et equitatu amicorum, locum omnem in quo prælium committendum erat, in circuitu lustrat. Reversusque, convocatis rursum copiarum ducibus, non oportere eos sua oratione ad pugnam incitari, inquit. Veterem enim ipsorum virtutem multaque præclara facinora jam sæpenumero edita magno satis incitamento ipsis esse: (6) id modo rogare, ut prout quisque eorum alicui turmæ, alæ, agmini, aut phalangi præfectus esset, ita suos milites cohortaretur non jam illos pro Cœlesyria, aut Phœnicia, neque pro Ægypto, ut prioribus præliis, pugnaturos, sed pro universa Asia: illoque conflictu decernendum esse quosnam regnare oporteat. (7) Non igitur illos multis verbis ad fortitudinem excitandos esse, quibus virtus illa genuina propriaque sit: monendos tantum, ut unusquisque eos quibus præsit inter pugnandum in ordine contineat: utque quum silentio opus sit, id accurate observent · altiore item voce quum id ex re fuerit, utantur: clamores denique quam maxime possint terribiles, quum occasio ita postulaverit, edant. (8) Ad hæc, ut ipsi nam

ὀξέως κατακούοιεν τῶν τε παραγγελλομένων, καὶ παρ' αὐτῶν αὖ ὅπως ἐς τὰς τάξεις ὀξέως παραδιδῶνται τὰ παραγγέλματα· ἔν τε τῷ καθ' αὑτὸν ἕκαστον καὶ τὸ πᾶν μεμνῆσθαι ξυγκινδυνεῦόν τε ἀμελουμένῳ καὶ δι' ἐπιμελείας ἐκπονουμένῳ ξυνορθούμενον.

ΚΕΦ. Ι'.

Ταῦτα καὶ τοιαῦτα ἄλλα οὐ πολλὰ παρακαλέσας τε καὶ ἀντιπαρακληθεὶς πρὸς τῶν ἡγεμόνων θαρρεῖν ἐπὶ σφίσι, δειπνοποιεῖσθαί τε καὶ ἀναπαύεσθαι ἐκέλευσε τὸν στρατόν. Παρμενίων δὲ λέγουσιν ὅτι ἀφικόμενος παρ' αὐτὸν ἐπὶ τὴν σκηνήν, νύκτωρ παρῄνει ἐπιθέσθαι τοῖς Πέρσαις· ἀπροσδοκήτοις τε γὰρ καὶ ἀνατεταραγμένοις καὶ ἅμα ἐν νυκτὶ φοβερωτέροις ἐπιθήσεσθαι. (2) Ὁ δὲ ἐκείνῳ μὲν ἀποκρίνεται, ὅτι καὶ ἄλλοι κατήκουον τῶν λόγων, αἰσχρὸν εἶναι κλέψαι τὴν νίκην, ἀλλὰ φανερῶς καὶ ἄνευ σοφίσματος χρῆναι νικῆσαι Ἀλέξανδρον. Καὶ τὸ μεγαλήγορον αὐτοῦ τοῦτο οὐχ ὑπέργκον μᾶλλόν τι ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις ἐφαίνετο· δοκεῖν δ' ἔμοιγε, καὶ λογισμῷ ἀκριβεῖ ἐχρήσατο ἐν τῷ τοιῷδε· (3) ἐν νυκτὶ γὰρ τοῖς τε ἀποχρώντως καὶ τοῖς ἐνδεῶς πρὸς τὰς μάχας παρεσκευασμένοις πολλὰ ἐκ τοῦ παραλόγου ξυμβάντα τοὺς μὲν ἔσφηλε, τοὺς κρείσσονας, τοῖς χείροσι δὲ παρὰ τὰ ἐξ ἀμφοῖν ἐλπισθέντα τὴν νίκην παρέδωκεν· αὐτῷ τε κινδυνεύοντι τὸ πολὺ ἐν ταῖς μάχαις σφαλερὰ ἡ νὺξ κατεφαίνετο, καὶ ἅμα ἡσσηθέντι τε αὖθις Δαρείῳ τὴν ξυγχώρησιν τοῦ χείρονι ὄντι καὶ χειρόνων ἡγεῖσθαι ἡ λαθραία τε καὶ νυκτερινὴ ἐκ σφῶν ἐπίθεσις ἀφῃρεῖτο, (4) εἴ τε τι ἐκ τοῦ παραλόγου πταῖσμα σφίσι ξυμπέσοι, τοῖς μὲν πολεμίοις τὰ κύκλῳ φίλια καὶ αὐτοὶ τῆς χώρας ἔμπειροι· σφεῖς δὲ ἄπειροι ἐν πολεμίοις τοῖς πᾶσιν, ὧν οὐ μικρὰ μοῖρα οἱ αἰχμάλωτοι ἦσαν, ξυνεπιθησόμενοι ἐν νυκτὶ μὴ ὅτι πταίσασιν, ἀλλὰ καὶ εἰ μὴ παρὰ πολὺ νικῶντες φαίνοιντο. Τούτων τε τῶν λογισμῶν ἕνεκα ἐπαινῶ Ἀλέξανδρον καὶ τοῦ ἐς τὸ φανερὸν ὑπερόγκου οὐ μεῖον.

ΚΕΦ. ΙΑ'.

Δαρεῖος δὲ καὶ ὁ ξὺν Δαρείῳ στρατὸς οὕτως ὅπως τὴν ἀρχὴν ἐτάξαντο ἔμειναν τῆς νυκτὸς ξυντεταγμένοι, ὅτι οὔτε στρατόπεδον αὐτοῖς περιεβέβλητο ἀκριβὲς καὶ ἅμα ἐφοβοῦντο μὴ σφισι νύκτωρ ἐπίοιντο οἱ πολέμιοι. (2) Καὶ εἴπερ τι ἄλλο, καὶ τοῦτο ἐκάκωσε τοὺς Πέρσας ἐν τῷ τότε τὰ πράγματα, ἡ στάσις ἡ πολλὴ ἡ ξὺν τοῖς ὅπλοις καὶ τὸ δέος, ὅ τιπερ φιλεῖ πρὸ τῶν μεγάλων κινδύνων γίγνεσθαι, οὐκ ἐκ τοῦ παραυτίκα σχεδιασθέν, ἀλλ' ἐν πολλῷ χρόνῳ μελετηθέν τε καὶ τὴν γνώμην αὐτοῖς δουλωσάμενον.

3. Ἐτάχθη δὲ αὐτῷ ἡ στρατιὰ ὧδε· ἐάλω γὰρ ὕστερον

data celeriter auribus excipiant: excepta, accurate in agmina transmittant. Denique meminerint etiam summam rei tum periclitari ex eo, quod circa se quisque negligat, tum conservari eo, quod accurate quisque ex egerit.

CAP. X.

His atque hujusmodi aliis verbis non multis cohortatus duces, et vicissim ipse a ducibus animatus, ut confideret eorum virtute, milites corpora curare et quietem capere jubet. Sunt qui dicant Parmenionem postea ad ipsius tabernaculum venisse, utque per noctem in Persas irrueret suasisse. Inopinantibus enim ipsis atque perturbatis impetum noctu factum magis terribilem fore. (2) Alexandrum vero ei respondisse, quod quidem etiam alii ejus verba audiverunt, furtivam victoriam cum turpitudine esse conjunctam: Alexandri esse, aperto Marte non astu victoriam consequi. Atque hæc magnifica ejus vox non tam arrogantiæ quam fortitudini in adeundis periculis tributa est. At (mea sententia) summa quoque prudentia hac in re est usus. (3) Noctu enim et iis qui abunde et qui minus parati ad pugnam sunt, multa ex improviso accidere solent, quæ fortioribus cladem, et imbecillioribus inopinatam utrisque victoriam adferant. Ipsi quoque Alexandro plerumque ad prælium incundum audaciori nox periculosa videbatur. Simul verebatur, ne victo rursum Dario, clancularia nocturnaque a suis irruptio facta, in causa esset quo minus Darius confiteretur, se pariter et milites suos Alexandro et Macedonibus bellica virtute inferiores fuisse. (4) Adhæc si præter exspectationem Macedones cladem aliquam accepissent, hostes omnia loca circumjecta amica esse habituros, et peritos locorum fore, sese contra imperitos illorum inter hostes versaturos, quorum non parva pars erant captivi, qui una cum Persis noctu eos invasuri essent, non solum si Macedones semel inferiores esse cœpissent, verumetiam non multo superiores in pugna esse viderentur. Harum itaque cogitationum causa Alexandrum laudandum censeo, nihiloque secius ob tam manifestam animi altitudinem.

CAP. XI.

Darius vero ejusque exercitus, quemadmodum initio aciem instruxerunt, ita totam noctem stetit. Neque enim castra accurate munierat, simulque metuebat ne hostes noctu impetum facerent. (2) Et sane longa illa in armis mora, siquid aliud, Persarum rebus tum temporis damno fuit; et metus qui ante magnum aliquod prælium oriri solet, neque is quidem repentinus, sed qui multo ante tempore animum insedit ac penitus subjugavit.

3. Instruxerat autem exercitum Darius hoc modo: de-

ρον ἡ τάξις ἥντινα ἔταξε Δαρεῖος γεγραμμένη, ὡς λέγει Ἀριστόβουλος. Τὸ μὲν εὐώνυμον αὐτῷ κέρας οἵ τε Βάκτριοι ἱππεῖς εἶχον καὶ ξὺν τούτοις Δάαι καὶ Ἀραχῶτοι· ἐπὶ δὲ τούτοις Πέρσαι ἐτετάχατο, ἱππεῖς τε ὁμοῦ καὶ πεζοὶ ἀναμεμιγμένοι, καὶ Σούσιοι ἐπὶ Πέρσαις, ἐπὶ δὲ Σουσίοις Καδούσιοι. (4) Αὕτη μὲν ἡ τοῦ εὐωνύμου κέρως ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος τάξις ἦν· κατὰ δὲ τὸ δεξιὸν οἵ τε ἐκ Κοίλης Συρίας καὶ οἱ ἐκ τῆς μέσης τῶν ποταμῶν ἐτετάχατο, καὶ Μῆδοι ἔτι κατὰ τὸ δεξιόν, ἐπὶ δὲ Παρθυαῖοι καὶ Σάκαι, ἐπὶ δὲ Ταπουροι καὶ Ὑρκάνιοι, ἐπὶ δὲ Ἀλβανοὶ καὶ Σακεσίναι, οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος. (5) Κατὰ τὸ μέσον δέ, ἵνα ἦν βασιλεὺς Δαρεῖος, οἵ τε ξυγγενεῖς οἱ βασιλέως ἐτετάχατο καὶ οἱ μηλοφόροι Πέρσαι καὶ Ἰνδοὶ καὶ Κᾶρες οἱ ἀνάσπαστοι καλούμενοι καὶ οἱ Μάρδοι τοξόται· Οὔξιοι δὲ καὶ Βαβυλώνιοι καὶ οἱ πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ καὶ Σιτακηνοὶ ἐς βάθος ἐπιτεταγμένοι ἦσαν. (6) Προετετάχατο δὲ ἐπὶ μὲν τοῦ εὐωνύμου κατὰ τὸ δεξιὸν τοῦ Ἀλεξάνδρου οἵ τε Σκύθαι ἱππεῖς καὶ τῶν Βακτριανῶν ἐς χιλίους καὶ ἅρματα δρεπανηφόρα ἑκατόν. Οἱ δὲ ἐλέφαντες ἔστησαν κατὰ τὴν Δαρείου ἴλην τὴν βασιλικὴν καὶ ἅρματα ἐς πεντήκοντα. (7) Τοῦ δὲ δεξιοῦ οἵ τε Ἀρμενίων καὶ Καππαδόκων ἱππεῖς προετετάχατο καὶ ἅρματα δρεπανηφόρα πεντήκοντα. Οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι παρὰ Δαρεῖόν τε αὐτὸν ἑκατέρωθεν καὶ τοὺς ἅμα αὐτῷ Πέρσας κατὰ τὴν φάλαγγα αὐτὴν τῶν Μακεδόνων, ὡς μόνοι δὴ ἀντίρροποι τῇ φάλαγγι, ἐτάχθησαν.

8. Ἀλεξάνδρῳ δὲ ἡ στρατιὰ ἐκοσμήθη ὧδε. Τὸ μὲν δεξιὸν αὐτῷ εἶχον τῶν ἱππέων οἱ ἑταῖροι, ὧν προετέτακτο ἡ ἴλη ἡ βασιλική, ἧς Κλεῖτος ὁ Δρωπίδου ἴλαρχος ἦν, ἐπὶ δὲ ταύτῃ ἡ Γλαυκίου ἴλη, ἐχομένη δὲ αὐτῆς ἡ Ἀρίστωνος, ἐπὶ δὲ ἡ Σωπολιδος τοῦ Ἑρμοδώρου, ἐπὶ δὲ ἡ Ἡρακλείδου τοῦ Ἀντιόχου, ἐπὶ ταύτῃ δὲ ἡ Δημητρίου τοῦ Ἀλθαιμένους, ταύτης δὲ ἐχομένη ἡ Μελεάγρου, τελευταία δὲ τῶν βασιλικῶν ἰλῶν ἧς Ἡγέλοχος ὁ Ἱπποστράτου ἴλαρχος ἦν. Ξυμπάσης δὲ τῆς ἵππου τῶν ἑταίρων Φιλώτας ἦρχεν ὁ Παρμενίωνος. (9) Τῆς δὲ φάλαγγος τῶν Μακεδόνων ἐχόμενον τῶν ἱππέων πρῶτον τὸ ἄγημα ἐτέτακτο τῶν ὑπασπιστῶν καὶ ἐπὶ τούτῳ οἱ ἄλλοι ὑπασπισταί· ἡγεῖτο δὲ αὐτῶν Νικάνωρ ὁ Παρμενίωνος· τούτων δὲ ἐχομένη ἡ Κοίνου τοῦ Πολεμοκράτους τάξις ἦν, μετὰ δὲ τούτους ἡ Περδίκκου τοῦ Ὀρόντου, ἔπειτα ἡ Μελεάγρου τοῦ Νεοπτολέμου, ἐπὶ δὲ ἡ Πολυσπέρχοντος τοῦ Σιμμίου, ἐπὶ δὲ ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ταύτης δὲ ἡγεῖτο Σιμμίας, ὅτι Ἀμύντας ἐπὶ Μακεδονίας ἐς ξυλλογὴν στρατιᾶς ἐσταλμένος ἦν. (10) Τὸ δὲ εὐώνυμον τῆς φάλαγγος τῶν Μακεδόνων ἡ Κρατέρου τοῦ Ἀλεξάνδρου τάξις εἶχε, καὶ αὐτὸς Κράτερος ἐξῆρχε τοῦ εὐωνύμου τῶν πεζῶν· καὶ ἱππεῖς ἐχόμενοι αὐτοῦ οἱ ξύμμαχοι, ὧν ἡγεῖτο Ἐρίγυιος ὁ Λαρίχου· τούτων δὲ ἐχόμενοι ὡς ἐπὶ τὸ εὐώνυμον κέρας οἱ Θεσσαλοὶ ἱππεῖς,

scriptio enim aciei post pugnam reperta est, ut tradit Aristobulus. Sinistrum cornu Bactriani equites tenebant, et cum his Daæ et Arachoti: post hos Persæ equites simul ac pedites permisti: proximi Persis Susii. Susios Cadusii sequebantur. (4) Et hic quidem sinistri cornu ordo erat usque ad medium totius phalangis. Dextrum cornu Cœlesyrii, et qui inter duo flumina incolunt, tuebantur. His Medi adjuncti erant: deinde Parthi ac Sacæ: secundum hos Tapuri atque Hyrcani: his proximi Albani et Sacesinæ: et hi quidem usque ad mediam phalangem pertingebant. (5) Ad medium vero, ubi Darius erat, ejus cognati collocati erant, et Persæ melophori, Indique, et Cares anaspasti vocati, ac Mardi sagittarii. Uxii vero et Babylonii ac rubri maris accolæ et Sitacini post hos constituti erant. (6) Ante sinistrum porro cornu, contra dextrum Alexandri, stabant equites Scythæ, et Bactriani circiter mille, ac currus falcati centum. Elephanti circa regiam Darii turmam, et currus quinquaginta. (7) Ante dextrum cornu Armenii equites et Cappadoces, currusque falcati quinquaginta. Græci autem mercenarii utrinque Darium et Persas ei adstantes cingebant, phalangi Macedonum oppositi, ut qui soli virtute pares illis essent.

8. Alexandri autem acies ita instructa fuit. Dextrum cornu tuebatur equitatus amicorum, ex quo priore loco collocata turma regia, cui Clitus Dropidi filius præerat. Huic adjuncta erat Glauciæ turma: proxima huic Aristonis: inde, Sopolidis Hermodori filii: post hanc Heracliti Antiochi F.; ab hac Demetrii Althæmenis filii: hanc sequebatur Meleagri: ultima vero regiarum turmarum illa, cui Hegelochus Hippostrati F. præfectus erat. Universo autem equitatui amicorum Philotas Parmenionis F. præerat. (9) At phalangi Macedonicæ, quæ equitibus conjuncta erat, proxime statutum est agema scutatorum, et ab hoc alii scutati, quorum dux erat Nicanor Parmenionis F. Huic proximum erat agmen Cœni Polemocratis F.; deinde Perdiccæ Orontis F.; mox Meleagri Neoptolemi F.; deinde Polysperchontis Simmiæ F.; ab hoc Amyntæ Philippi F. Hujus agminis dux erat Simmias, quod Amyntas in Macedoniam ad conscribendum militem missus erat. (10) Sinistram phalangis Macedonicæ partem tenebat agmen Crateri Alexandri F. Et Craterus quidem universo peditatui ad sinistrum cornu præerat. Huic proximi erant equites sociorum, quibus præfectus erat Erigyius Larichi F. Hos proxime sequebantur versus lævum cornu Thessali equites, quos du-

ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. Ξύμπαν δὲ τὸ εὐώνυμον ἦγε Παρμενίων ὁ Φιλώτα, καὶ ἀμφ' αὐτὸν οἱ τῶν Φαρσαλίων ἱππεῖς οἱ κράτιστοί τε καὶ πλεῖστοι τῆς Θεσσαλικῆς ἵππου ἀνεστρέφοντο.

ΚΕΦ. ΙΒ'.

Ἡ μὲν ἐπὶ μετώπου τάξις Ἀλεξάνδρῳ ὧδε κεκόσμητο· ἐπέταξε δὲ καὶ δευτέραν τάξιν ὡς εἶναι τὴν φάλαγγα ἀμφίστομον. Καὶ παρήγγελτο τοῖς ἡγεμόσι τῶν ἐπιτεταγμένων, εἰ κυκλουμένους τοὺς σφῶν πρὸς τοῦ Περσικοῦ στρατεύματος κατίδοιεν, ἐπιστρέψαντας ἐς τὸ ἔμπαλιν δέχεσθαι τοὺς βαρβάρους· (2) ἐς ἐπικαμπὴν δέ, εἴ που ἀνάγκη καταλαμβάνοι ἢ ἀναπτύξαι ἢ ξυγκλεῖσαι τὴν φάλαγγα, κατὰ μὲν τὸ δεξιὸν κέρας ἐχόμενοι τῆς βασιλικῆς ἴλης τῶν Ἀγριάνων ἐτάχθησαν οἱ ἡμίσεες, ὧν ἡγεῖτο Ἄτταλος, καὶ μετὰ τούτων οἱ Μακεδόνες τοξόται, ὧν Βρίσων ἦρχεν, ἐχόμενοι δὲ τῶν τοξοτῶν οἱ ἀρχαῖοι καλούμενοι ξένοι καὶ ἄρχων τούτων Κλέανδρος. (3) Προετάχθησαν δὲ τῶν τε Ἀγριάνων καὶ τῶν τοξοτῶν οἵ τε πρόδρομοι ἱππεῖς καὶ οἱ Παίονες, ὧν Ἀρέτης καὶ Ἀρίστων ἡγοῦντο. Ξυμπάντων δὲ προτεταγμένοι ἦσαν οἱ μισθοφόροι ἱππεῖς, ὧν Μενίδας ἦρχε. Τῆς δὲ βασιλικῆς ἴλης καὶ τῶν ἄλλων ἑταίρων προτεταγμένοι ἦσαν τῶν τε Ἀγριάνων καὶ τῶν τοξοτῶν οἱ ἡμίσεες, καὶ οἱ Βαλάκρου ἀκοντισταί· οὗτοι κατὰ ἅρματα τὰ δρεπανηφόρα ἐτετάχατο. (4) Μενίδᾳ δὲ καὶ τοῖς ἀμφ' αὐτὸν παρήγγελτο, εἰ περιππεύοιεν οἱ πολέμιοι τὸ κέρας σφῶν, ἐς πλαγίους ἐμβάλλειν αὐτοὺς ἐπικάμψαντας. Τὰ μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως οὕτως ἐτέτακτο Ἀλεξάνδρῳ· κατὰ δὲ τὸ εὐώνυμον ἐς ἐπικαμπὴν οἵ τε Θρᾷκες ἐτετάχατο, ὧν ἡγεῖτο Σιτάλκης, καὶ ἐπὶ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Κοίρανος, ἐπὶ δὲ οἱ Ὀδρύσαι ἱππεῖς, ὧν ἡγεῖτο Ἀγάθων ὁ Τυρίμμα. (5) Ξυμπάντων δὲ ταύτῃ προετάχθη ἡ ξενικὴ ἵππος ἡ τῶν μισθοφόρων, ὧν Ἀνδρόμαχος ὁ Ἱέρωνος ἦρχεν. Ἐπὶ δὲ τοῖς σκευοφόροις οἱ ἀπὸ Θρᾴκης πεζοὶ ἐς φυλακὴν ἐτάχθησαν. Ἡ πᾶσα δὲ στρατιὰ Ἀλεξάνδρου ἱππεῖς μὲν ἐς ἑπτακισχιλίους, πεζοὶ δὲ ἀμφὶ τὰς τέσσαρας μυριάδας.

ΚΕΦ. ΙΓ'.

Ὡς δὲ ὁμοῦ ἤδη τὰ στρατόπεδα ἐγίγνετο, ὥρθη Δαρεῖός τε καὶ οἱ ἀμφ' αὐτόν, οἵ τε μηλοφόροι Πέρσαι καὶ Ἰνδοὶ καὶ Ἀλβανοὶ καὶ Κᾶρες οἱ ἀνάσπαστοι καὶ οἱ Μάρδοι τοξόται κατ' αὐτὸν Ἀλέξανδρον τεταγμένοι καὶ τὴν ὕλην τὴν βασιλικήν. Ἦγε δὲ ὡς ἐπὶ τὸ δεξιὸν τὸ αὐτοῦ Ἀλέξανδρος μᾶλλον, καὶ οἱ Πέρσαι ἀντιπαρῆγον, ὑπερφαλαγγοῦντες πολὺ ἐπὶ τῷ σφῶν εὐωνύμῳ. (2) Ἤδη τε οἱ τῶν Σκυθῶν ἱππεῖς παριππεύοντες ἥπτοντο τῶν προ-

celebat Philippus Menelai F. Universo autem equitatui sinistri lateris imperabat Parmenio Philotæ F. Circa hunc Pharsaliorum equites stabant, qui et præstantissimi et plurimi ex Thessalico equitatu erant.

CAP. XII.

In hunc modum Alexander aciem a fronte instruxit. Alium vero etiam ordinem a tergo adjecit, ut anceps ac versatilis phalanx esset, traditis mandatis ducibus ejus agminis quod a tergo addiderat, ut si circumveniri suos a Persico exercitu cernerent, retrorsum conversi barbaros exciperent; (2) ad inflexionem autem, sicubi necessitas cogeret vel explicare vel coarctare phalangem, juxta dextrum quidem cornu proxima regiæ turmæ collocata erat Agrianorum pars altera, quos Attalus ducebat; post hos Macedones sagittarii, quibus præerat Briso; sagittariis adjuncti erant ii quos veteranos exteros nominant, quorum dux erat Cleander. (3) Ante Agrianos et sagittarios positi erant equites antecursores et Pæones, quos Aretes atque Aristo ducebant. Universis autem præstituti erant equites mercenarii, Menida duce. Regiæ autem turmæ ceterisque amicis præposita erat Agrianorum et sagittariorum pars altera, et jaculatores quibus Balacrus præerat, adversus currus falcatos dispositi. (4) Porro Menidæ et iis quos circa se habebat imperatum est, ut si hostes cornu suum circumequitarent, ex transverso in eos irrumperent in latus se flectentes. Et hæc quidem in dextro cornu ita sunt ab Alexandro constituta. Ad lævum vero cornu reflexa acie Thraces collocati sunt, quos ducebat Sitalces. Post hos equites auxiliares, quibus præerat Cœranus. Ab his Odrysæ equites, ductore Agathone Tyrimmæ filio. (5) Universis autem hac parte præpositi sunt equites exteri mercenarii, quibus præfectus erat Andromachus Hieronis F. Impedimentis Thracum peditatus præsidio positus est. Erat autem totus Alexandri exercitus, equites ad septem millia, pedites circa quadraginta millia.

CAP. XIII.

Postquam vero jam propiores inter se exercitus facti sunt, videbatur Darius, et qui circa illum erant melophori Persæ, Indi, Albani, Cares anaspasti, et Mardi sagittarii adversus ipsum Alexandrum turmamque regiam sese opposuisse. Alexander magis versus dextrum suum cornu aciem ducit. Persæ contra procedunt sinistro suo cornu phalangem Macedonum longe excedentes. (2) Jamque fere Scytharum equitatus eos qui Alexandri agmini præstituti

τεταγμένων τῆς Ἀλεξάνδρου τάξεως καὶ Ἀλέξανδρος ἔτι ὅμως ἦγεν ἐπὶ δόρυ, καὶ ἐγγὺς ἦν τοῦ ἐξαλλάσσειν τὸν ὡδοπεποιημένον πρὸς τῶν Περσῶν χῶρον. Ἔνθα δὴ δείσας Δαρεῖος μὴ προχωρησάντων ἐς τὰ οὐχ ὁμαλὰ τῶν Μακεδόνων ἀχρεῖά σφισι γένηται τὰ ἅρματα, κελεύει τοὺς προτεταγμένους τοῦ εὐωνύμου περιιππεύειν τὸ κέρας τὸ δεξιόν, ᾗ Ἀλέξανδρος ἦγε, τοῦ μηκέτι προσωτέρω αὐτοὺς ἐξάγειν τὸ κέρας. (3) Τούτου δὲ γενομένου Ἀλέξανδρος ἐμβάλλειν κελεύει ἐς αὐτοὺς τοὺς μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο Μενίδας. Ἀντεκδραμόντες δὲ ἐπ' αὐτοὺς οἵ τε Σκύθαι ἱππεῖς καὶ τῶν Βακτρίων οἱ ξυντεταγμένοι τοῖς Σκύθαις τρέπουσιν ὀλίγους ὄντας πολλῷ πλείονες. Ἀλέξανδρος δὲ τοὺς περὶ Ἀρίστωνά τε, τοὺς Παίονας, καὶ τοὺς ξένους ἐμβαλεῖν τοῖς Σκύθαις ἐκέλευσε· καὶ ἐγκλίνουσιν οἱ βάρβαροι. (4) Βάκτριοι δὲ οἱ ἄλλοι πελάσαντες τοῖς Παίοσί τε καὶ ξένοις τούς τε σφῶν φεύγοντας ἤδη ἀνέστρεψαν ἐς τὴν μάχην καὶ τὴν ἱππομαχίαν ξυστῆναι ἐποίησαν. Καὶ ἔπιπτον μὲν πλείονες τῶν Ἀλεξάνδρου, τῷ τε πλήθει τῶν βαρβάρων βιαζόμενοι καὶ ὅτι αὐτοί τε οἱ Σκύθαι καὶ οἱ ἵπποι αὐτοῖς ἀκριβέστερον ἐς φυλακὴν πεφραγμένοι ἦσαν. Ἀλλὰ καὶ ὡς τάς τε προσβολὰς αὐτῶν ἐδέχοντο οἱ Μακεδόνες καὶ βίᾳ κατ' ὅλας προσπίπτοντες ἐξώθουν ἐκ τῆς τάξεως.

5. Καὶ ἐν τούτῳ τὰ ἅρματα τὰ δρεπανηφόρα ἐφῆκαν οἱ βάρβαροι κατ' αὐτὸν Ἀλέξανδρον, ὡς ἀναταράξοντες αὐτῷ τὴν φάλαγγα. Καὶ ταύτῃ μάλιστα ἐψεύσθησαν· τὰ μὲν γὰρ εὐθὺς ὡς προσεφέρετο κατηκόντισαν οἵ τε Ἀγριᾶνες καὶ οἱ ξὺν Βαλάκρῳ ἀκοντισταὶ οἱ προτεταγμένοι τῆς ἵππου τῶν ἑταίρων· τὰ δὲ τῶν ῥυτήρων ἀντιλαμβανόμενοι τούς τε ἀναβάτας κατέσπων καὶ τοὺς ἵππους περιστάμενοι ἔκοπτον. (6) Ἔστι δὲ ἃ καὶ διεξέπεσε διὰ τῶν τάξεων· διέσχον γάρ, ὥσπερ παρήγγελτο αὐτοῖς, ἵνα προσέπιπτε τὰ ἅρματα· καὶ ταύτῃ μάλιστα ξυνέβη αὐτά τε σῶα καὶ οἷς ἐπηλάθη ἀβλαβεῖς διελθεῖν· ἀλλὰ καὶ τούτων οἵ τε ἱπποκόμοι τῆς Ἀλεξάνδρου στρατιᾶς καὶ οἱ ὑπασπισταὶ οἱ βασιλικοὶ ἐκράτησαν.

ΚΕΦ. ΙΔ'.

Ὡς δὲ Δαρεῖος ἐπῆγεν ἤδη τὴν φάλαγγα πᾶσαν, ἐνταῦθα Ἀλέξανδρος Ἀρέτην μὲν κελεύει ἐμβαλεῖν τοῖς περιιππεύουσι τὸ κέρας σφῶν τὸ δεξιὸν ὡς ἐς κύκλωσιν· αὐτὸς δὲ τέως μὲν ἐπὶ κέρως τοὺς ἀμφ' αὐτὸν ἦγε· (2) τῶν δὲ ἐκβοηθησάντων ἱππέων τοῖς κυκλουμένοις τὸ κέρας τὸ δεξιὸν παραῤῥηξάντων τι τῆς πρώτης φάλαγγος τῶν βαρβάρων, ἐπιστρέψας κατὰ τὸ διέχον, καὶ ὥσπερ ἔμβολον ποιήσας τῆς τε ἵππου τῆς ἑταιρικῆς καὶ τῆς φάλαγγος τῆς ταύτῃ τεταγμένης, ἦγε ὁρμῷ τε καὶ ἀλαλαγμῷ ὡς ἐπὶ αὐτὸν Δαρεῖον. (3) Καὶ χρόνον μέν τινα ὀλίγον ἐν χερσὶν ἡ μάχη ἐγένετο· ὡς δὲ οἵ τε ἱππεῖς οἱ ἀμφ' Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέ-

erant attigerat, Alexander tamen nihilominus in dextrum cornu ducebat, jamque prope erat ut excederet eum locum quem Persæ adæquaverant : quum Darius metuens ne, Macedonibus ad loca non plana progressis, currus falcati inutiles sibi fierent, jubet ut qui ante sinistrum latus positi erant, dextrum cornu circumequitent, qua Alexander suos ducebat, ne producendi longius cornu Alexandro facultas esset. (3) Quo facto, Alexander equites mercenarios quos Menidas ducebat, invadere eos jubet. Sed quum Scytharum equites, et qui ex Bactrianis equitibus Scythis conjuncti erant, ex adverso acriter in eos invehentes repellerent illos paucos ipsi multo plures, Alexander Aristonem cum Pæonibus et exteris in Scythas invehi imperat. Et barbari quidem pedem retulerunt : (4) Bactriani vero alii Pæonibus atque exteris propinqui suos in fugam versos ad pugnam retrahunt. Commissoque ibi equestri prælio complures ab Alexandri partibus cadunt, tum quod multitudine barbarorum premebantur, tum etiam quod Scythæ et eorum equi tutioribus armis muniti erant. Sed vel sic Macedones eorum impetum sustinebant, et turmatim magna vi invecti eorum ordines turbarunt.

5. Barbari interea currus falcatos adversus Alexandrum immittunt, eo consilio ut phalangem disturbarent. Qua in re maxime spe sua frustrati sunt. Statim enim atque currus emittebantur, partim Agriani eos telis excipiebant, simulque jaculatores quibus Balacrus præerat, amicorum equitatui præstituti ; partim loris comprehensis, sessores e curribus deturbati, equique circumventi ac cæsi sunt. (6) Nonnulli etiam per medios ordines pervaserunt. Laxabant enim se, prout imperatum erat, ea parte qua currus impetum facerent : atque ita factum est ut currus salvi per illos etiam in quos ferebantur salvos pervaderent. Ceterum etiam hos equisones Alexandri et scutati regii in suam potestatem redegerunt.

CAP. XIV.

Postquam vero Darius universam phalangem admovit, Alexander Aretam in eos immittit qui ad dextrum suum cornu equitatum circumvenire studebant : ipse interea suos in cornu agebat. (2) Ceterum ut vidit equites, qui contra circumvenientes dextrum suorum cornu auxilio iverant, priores phalangis barbarorum ordines nonnihil rupisse, eo repente conversus qua abruptio patebat, cuneata acie, ex equitatu amicorum et phalange quæ eo loco constituta erat, facta, concitato cursu ingentique clamore sublato in Darium ipsum fertur. (3) Atque exiguo quidem tempore manu pugnatum est : quum vero equites qui circa Alexandrum erant, atque ipse Alexander magna vi

ξανδρος εὐρώστως ἐνέκειντο ὠθισμοῖς τε χρώμενοι καὶ τοῖς ξυστοῖς τὰ πρόσωπα τῶν Περσῶν κόπτοντες, ἥ τε φάλαγξ ἡ Μακεδονικὴ πυκνὴ καὶ ταῖς σαρίσσαις περφρικυῖα ἐμβεβλήκει ἤδη αὐτοῖς, καὶ πάντα ὁμοῦ τὰ δεινὰ καὶ πάλαι ἤδη φοβερῷ ὄντι Δαρείῳ ἐφαίνετο, πρῶτος αὐτὸς ἐπιστρέψας ἔφευγεν· ἐφοβήθησαν δὲ καὶ οἱ περιιππεύοντες τῶν Περσῶν τὸ κέρας ἐμβαλόντων ἐς αὐτοὺς εὐρώστως τῶν περὶ Ἀρέτην.

4. Ταύτῃ μὲν δὴ τῶν Περσῶν φυγὴ καρτερὰ ἦν, καὶ οἱ Μακεδόνες ἐφεπόμενοι ἐφόνευον τοὺς φεύγοντας. Οἱ δὲ ἀμφὶ Σιμμίαν καὶ ἡ τούτου τάξις οὐκέτι συνεξορμῆσαι Ἀλεξάνδρῳ δυνατοὶ ἐγένοντο ἐς τὴν δίωξιν, ἀλλ' ἐπιστήσαντες τὴν φάλαγγα αὐτοῦ ἠγωνίζοντο, ὅτι τὸ εὐώνυμον τῶν Μακεδόνων πονεῖσθαι ἠγγέλλετο. (5) Καὶ ταύτῃ παραῤῥαγείσης αὐτοῖς τῆς τάξεως, κατὰ τὸ διέχον διεκπαίουσι τῶν τε Ἰνδῶν τινες καὶ τῆς Περσικῆς ἵππου ὡς ἐπὶ τὰ σκευοφόρα τῶν Μακεδόνων· καὶ τὸ ἔργον ἐκεῖ καρτερὸν ἐγίγνετο. Οἵ τε γὰρ Πέρσαι θράσει ἐνέκειντο ἀνόπλοις τοῖς πολλοῖς καὶ οὐ προσδοκήσασιν ἐπὶ σφᾶς διεκπεσεῖσθαί τινας διακόψαντας διπλῆν τὴν φάλαγγα, καὶ οἱ αἰχμάλωτοι βάρβαροι ἐμβαλλόντων τῶν Περσῶν ξυνεπέθεντο καὶ αὐτοὶ τοῖς Μακεδόσιν ἐν τῷ ἔργῳ. (6) Τῶν δὲ ἐπιτεταγμένων τῇ πρώτῃ φάλαγγι οἱ ἡγεμόνες ὀξέως, μαθόντες τὸ γιγνόμενον, μεταβαλόντες, ἥπερ παρήγγελτο αὐτοῖς, τὴν τάξιν ἐπιγίγνονται κατὰ νώτου τοῖς Πέρσαις, καὶ πολλοὺς μὲν αὐτῶν αὐτοῦ ἀμφὶ τοῖς σκευοφόροις ξυνεχομένους ἀπέκτειναν· οἱ δὲ αὐτῶν ἐγκλίναντες ἔφευγον. Οἱ δ' ἐπὶ τοῦ δεξιοῦ κέρως τῶν Περσῶν, οὔπω τῆς φυγῆς τῆς Δαρείου ᾐσθημένοι, περιιππεύσαντες τὸ Ἀλεξάνδρου εὐώνυμον κατὰ κέρας τοῖς ἀμφὶ τὸν Παρμενίωνα ἐνέβαλον.

4. Ingens hac parte Persarum fuga erat, et Macedones insequentes magnam fugientium stragem fecere. Simmias vero cum suo agmine non amplius Alexandrum Persarum terga premente m sequi poterat, sed phalangem sistens pugnabat, quoniam sinistrum Macedonum cornu laborare nuntiabatur. (5) Ea enim parte, dirupta ipsis acie, qua vacuum spatium ob laxatos ordines erat, Indorum nonnulli Persæque equites ad ipsa Macedonum impedimenta penetrarant : acerrimeque ibi pugnatum fuit. Persæ enim audacter in Macedones ferebantur, inermes plerosque, neque exspectantes fore ut aliqui in se irruerent, duplicata phalange perfracta. Barbari quoque captivi Persarum impetum in Macedones conspicati, in medio pugnæ et ipsi in Macedones conversi sunt. (6) Duces vero Macedonum qui post primæ phalangis tergum locati erant, re cognita, conversa, uti imperatum ipsis fuerat, acie, Persas a tergo adorti sunt, multosque eorum circa impedimenta implicitos interficiunt; alii fuga evaserunt. At Persæ qui ad dextrum cornu stabant, nondum intellecta fuga Darii, sinistrum Alexandri cornu obequitantes, ex obliquo in Parmenionis agmen feruntur.

ΚΕΦ. ΙΕ'.

Καὶ ἐν τούτῳ ἀμφιβόλων τὰ πρῶτα γιγνομένων τῶν Μακεδόνων, πέμπει Παρμενίων παρ' Ἀλέξανδρον σπουδῇ ἀγγελοῦντα ὅτι ἐν ἀγῶνι ξυνέχεται τὸ κατὰ σφᾶς καὶ βοηθεῖν δεῖ. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, τοῦ μὲν διώκειν ἔτι ἀπετράπετο, ἐπιστρέψας δὲ σὺν τῇ ἵππῳ τῶν ἑταίρων ὡς ἐπὶ τὸ δεξιὸν τῶν βαρβάρων ἦγε δρόμῳ. Καὶ πρῶτα μὲν τοῖς φεύγουσι τῶν πολεμίων ἱππεῦσι, τοῖς τε Παρθυαίοις καὶ τῶν Ἰνδῶν ἔστιν οἷς καὶ Πέρσαις τοῖς πλείστοις καὶ κρατίστοις ἐμβάλλει. (2) Καὶ ἱππομαχία αὖτη καρτερωτάτη τοῦ παντὸς ἔργου ξυνέστη. Ἐς βάθος τε γάρ, οἷα δὴ ἱλαδὸν τεταγμένοι, ἀνέστρεφον οἱ βάρβαροι καὶ ἀντιμέτωποι τοῖς ἀμφ' Ἀλέξανδρον ξυμπεσόντες οὔτε ἀκοντισμῷ ἔτι οὔτ' ἐξελιγμοῖς τῶν ἵππων, ἥπερ ἱππομαχίας δίκη, ἐχρῶντο, ἀλλὰ διεκπαῖσαι πᾶς τις τὸ καθ' αὑτόν, ὡς μόνην ταύτην σωτηρίαν σφίσιν οὖσαν ἐπειγόμενοι, ἔκοπτόν τε καὶ ἐκόπτοντο ἀφειδῶς, οἷα δὴ οὐχ ὑπὲρ νίκης ἀλλοτρίας ἔτι, ἀλλ' ὑπὲρ σωτηρίας οἰκείας ἀγωνι-

Interea, quum dubiæ initio essent Macedonum res, Parmenio confestim nuntium ad Alexandrum mittit, qui agmen suum in discrimine versari significet, auxilioque suo opus esse. Quæ ubi Alexandro nuntiata sunt, a persequendo ulterius hoste desistens et cum equitatu amicorum ad exercitum conversus in dextrum barbarorum cornu magna vi fertur. Ac primum quidem in fugientes hostium equites, Parthos nimirum et Indorum nonnullos, inque Persas plurimos fortissimosque irruit. (2) Ibi acrius quam usquam antea equestre prælium committitur : nam in altitudinem utpote turmatim constituti, se converterunt barbari, et in Alexandri copias ex adverso incidentes, non jam telorum jactu, non equorum evolutionibus equestris prælii more utebantur, sed penetrare suo quisque loco conantes, perinde ac si hac una in re eorum salus versaretur, citra discrimen cædebant simul et cædebantur, quasi jam non de

ζόμενοι. Καὶ ἐνταῦθα πίπτουσι μὲν ἀμφὶ ἑξήκοντα τῶν ἑταίρων τοῦ Ἀλεξάνδρου, καὶ τιτρώσκεται Ἡφαιστίων τε αὐτὸς καὶ Κοῖνος καὶ Μενίδας· ἀλλὰ ἐκράτησε καὶ τούτων Ἀλέξανδρος.

3. Καὶ τούτων μὲν ὅσοι διεξέπεσον διὰ τῶν ἀμφ' Ἀλέξανδρον ἔφευγον ἀνὰ κράτος· Ἀλέξανδρος δὲ ἐγγὺς ἦν προσμῖξαι ἤδη τῷ δεξιῷ κέρατι τῶν πολεμίων. Καὶ ἐν τούτῳ οἱ Θεσσαλοὶ ἱππεῖς λαμπρῶς ἀγωνισάμενοι οὐχ ὑπελείποντο Ἀλεξάνδρῳ τοῦ ἔργου· ἀλλὰ γὰρ ἔφευγον ἤδη οἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τῶν βαρβάρων, ὁπότε Ἀλέξανδρος αὐτοῖς ξυνέμιξεν, ὥστε ἀποτραπόμενος Ἀλέξανδρος ἐς τὸ διώκειν αὖθις Δαρεῖον ἐξώρμησε· καὶ ἐδίωξεν ἕστε φάος ἦν· (4) καὶ οἱ ἀμφὶ Παρμενίωνα τὸ καθ' αὑτοὺς διώκοντες εἵποντο. Ἀλλὰ Ἀλέξανδρος μὲν διαβὰς τὸν ποταμὸν τὸν Λύκον κατεστρατοπέδευσεν αὐτοῦ, ὡς ἀναπαῦσαι ὀλίγον τούς τε ἄνδρας καὶ τοὺς ἵππους· Παρμενίων δὲ τό τε στρατόπεδον τῶν βαρβάρων εἶλε καὶ τὰ σκευοφόρα καὶ τοὺς ἐλέφαντας καὶ τὰς καμήλους.

5. Ἀλέξανδρος δὲ ἀναπαύσας τοὺς ἀμφ' αὑτὸν ἱππέας ἕστε ἐπὶ μέσας νύκτας προὐχώρει αὖθις κατὰ σπουδὴν ἐπ' Ἄρβηλα, ὡς Δαρεῖόν τε αἱρήσων ἐκεῖ καὶ τὰ χρήματα καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν· καὶ ἀφίκετο ἐς Ἄρβηλα τῇ ὑστεραίᾳ, διώξας τοὺς πάντας ἐκ τῆς μάχης σταδίους μάλιστα ἐς ἑξακοσίους. Καὶ Δαρεῖον μὲν οὐ καταλαμβάνει ἐν Ἀρβήλοις, ἀλλὰ ἔφευγεν οὐδέν τι ἐλινύσας Δαρεῖος· τὰ χρήματα δὲ ἐγκατελήφθη καὶ ἡ κατασκευὴ πᾶσα, καὶ τὸ ἅρμα τὸ Δαρείου αὖθις ἐγκατελήφθη καὶ ἡ ἀσπὶς αὖθις καὶ τὰ τόξα ἅλω.

6. Ἀπέθανον δὲ τῶν ἀμφ' Ἀλέξανδρον ἀνδρες μὲν ἐς ἑκατὸν μάλιστα, ἵπποι δὲ ἔκ τε τῶν τραυμάτων καὶ τῆς κακοπαθείας τῆς ἐν τῇ διώξει ὑπὲρ τοὺς χιλίους, καὶ τούτων τῆς ἑταιρικῆς ἵππου σχεδόν τι οἱ ἡμίσεες. Τῶν βαρβάρων δὲ νεκρῶν μὲν ἐλέγοντο ἐς τριάκοντα μυριάδας, ἑάλωσαν δὲ πολλῷ πλείονες τῶν ἀποθανόντων καὶ οἱ ἐλέφαντες καὶ τῶν ἁρμάτων ὅσα μὴ κατεκόπη ἐν τῇ μάχῃ.

7. Τοῦτο τὸ τέλος τῇ μάχῃ ταύτῃ ἐγένετο ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφάνους μηνὸς Πυανεψιῶνος· καὶ Ἀριστάνδρῳ ξυνέβη ἡ μαντεία ἐν τῷ αὐτῷ μηνὶ ἐν ὅτῳ ἡ σελήνη ἐκλιπὴς ἐφάνη, τήν τε μάχην Ἀλεξάνδρῳ καὶ τὴν νίκην γενέσθαι.

ΚΕΦ. ΙϚ'.

Δαρεῖος μὲν δὴ εὐθὺς ἐκ τῆς μάχης παρὰ τὰ ὄρη τὰ Ἀρμενίων ἤλαυνεν ἐπὶ Μηδίας, καὶ ξὺν αὐτῷ οἵ τε Βάκτριοι ἱππεῖς, ὡς τότε ἐν τῇ μάχῃ ξυνετάχθησαν, ἔφευγον καὶ Περσῶν οἵ τε συγγενεῖς οἱ βασιλέως καὶ τῶν μηλοφόρων καλουμένων οὐ πολλοί. (2) Προσεγένοντο δὲ αὐτῷ κατὰ τὴν φυγὴν καὶ τῶν μισθοφόρων ξένων ἐς δισχιλίους, οὓς Πάρων τε ὁ Φωκεὺς καὶ Γλαῦκος ὁ Αἰ-

aliena victoria, sed de propria quisque salute diuicaret. In hac pugna ex amicis Alexandri circiter LX cæsi sunt, Hephæstione et Cœno ac Menida vulneratis. Sed et his Alexander superior evasit.

3. Reliqui enim, qui per eos qui circa Alexandrum erant penetrarunt, effusa fuga salutem sibi quæsierunt : jamque prope eo ventum erat ut Alexander cum dextro hostium cornu congrederetur : at Thessali equites re præclare gesta, nihil Alexandro conficiendum reliqui fecerant. Jam enim terga verterant Barbari qui ad dextrum cornu stabant, quum Alexander illis appropinquaret. Rursus itaque ad insequendum Darium conversus, non prius destitit quam nocte impediretur. (4) Parmenio etiam cum suo comitatu eos qui contra ipsum in acie steterant insequebatur. Alexander Lycum amnem transgressus, ibi castra posuit, ut milites pariter atque equi nonnihil sese relaxarent. Parmenio castris barbarorum potitus, impedimenta omnia et elephantos ac camelos cepit.

5. Alexander, equitibus qui circa ipsum erant quiete data, ad mediam noctem rursus ad Arbela contendit, quod Darium et pecuniam omnemque regium apparatum se ibi capturum sperabat. Postero itaque die eo pervenit insecutus omnino a pugna ad sexcenta stadia. Ac Darium quidem in Arbelis non offendit : fugerat enim nulla uspiam intermissione aut mora facta : pecuniam vero nactus est et omnem apparatum ; etiam currum et scutum Darii atque arcum denuo cepit.

6. Ab Alexandri partibus centum summum capita in eo prælio sunt desiderata ; equi, partim vulneribus acceptis, partim ex nimia in persequendo defatigatione, ultra mille, ex quibus dimidia pars fere ex amicorum equitatu erat. Ex barbaris vero circiter trecenta millia cæsa ferebantur, multoque major numerus captorum quam cæsorum fuit. Elephanti etiam omnes, et currus quotquot in prælio confracti non fuerant, in potestatem venerunt.

7. Hic fuit pugnæ exitus, archonte Athenis Aristophane, mense Pyanepsione. Atque ita Aristandri vaticinium verax fuit, nimirum eodem illo mense quo lunæ defectus visus erat, Alexandrum et prælium commissurum et victoria potiturum.

CAP. XVI.

Darius ex hoc prælio juxta montes Armeniæ in Mediam fugit, cumque eo et Bactrii equites, sicuti tunc in acie constiterant, et ex Persis cognati regis melophorique qui vocantur nonnulli. (2) Accesserunt etiam ad eum in fuga mercenariorum exterorum duo millia, quorum duces erant Paron Phocæus et Glaucus Ætolus. Porro hoc consilio in Mediam fugit, quod Alexandrum ex prælio Su-

τωλὸς ἦγον. Ταύτῃ δὲ αὐτῷ ἡ φυγὴ ἐπὶ Μηδίας ἐγίγνετο ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων τε καὶ Βαβυλῶνος ἥξειν Ἀλέξανδρον ἐκ τῆς μάχης, ὅτι οἰκουμένη τε ἐκείνη πᾶσα ἦν καὶ ὁδὸς τοῖς σκευοφόροις οὐ χαλεπή, καὶ ἅμα τοῦ πολέμου τὸ ἆθλον ἡ Βαβυλὼν καὶ τὰ Σοῦσα ἐφαίνετο, ἡ δὲ ἐπὶ Μηδίας μεγάλῳ στρατεύματι οὐκ εὔπορος.

3. Καὶ οὐκ ἐψεύσθη Δαρεῖος. Ἀλέξανδρος γὰρ ἐξ Ἀρβήλων ὁρμηθεὶς τὴν ἐπὶ Βαβυλῶνος εὐθὺς προὐχώρει. Ἤδη τε οὐ πόρρω Βαβυλῶνος ἦν, καὶ τὴν δύναμιν ξυντεταγμένην ὡς ἐς μάχην ἦγε, καὶ οἱ Βαβυλώνιοι παντὶ δήμῳ ἀπήντων αὐτῷ ξὺν ἱερεῦσί τε σφῶν καὶ ἄρχουσι, δῶρά τε ὡς ἕκαστοι φέροντες καὶ τὴν πόλιν ἐνδιδόντες καὶ τὴν ἄκραν καὶ τὰ χρήματα. (4) Ἀλέξανδρος δὲ παρελθὼν εἰς τὴν Βαβυλῶνα, τὰ ἱερὰ ἃ Ξέρξης καθεῖλεν ἀνοικοδομεῖν προσέταξε Βαβυλωνίοις, τά τε ἄλλα καὶ τοῦ Βήλου τὸ ἱερόν, ὃν μάλιστα θεῶν τιμῶσι Βαβυλώνιοι. Σατράπην δὲ κατέστησε Βαβυλῶνος Μαζαῖον, Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην στρατηγὸν τῶν μετὰ Μαζαίου ὑπολειπομένων στρατιωτῶν, καὶ Ἀσκληπιόδωρον τὸν Φίλωνος τοὺς φόρους ἐκλέγειν. (5) Κατέπεμψε δὲ καὶ ἐς Ἀρμενίαν Μιθρίνην σατράπην, ὃς τὴν ἐν Σάρδεσιν ἀκρόπολιν Ἀλεξάνδρῳ ἐνέδωκεν. Ἔνθα δὴ καὶ τοῖς Χαλδαίοις ἐνέτυχε, καὶ ὅσα ἐδόκει Χαλδαίοις ἀμφὶ τὰ ἱερὰ τὰ ἐν Βαβυλῶνι ἔπραξε, τά τε ἄλλα καὶ τῷ Βήλῳ καθ' ἃ ἐκεῖνοι ἐξηγοῦντο ἔθυσεν.

6. Αὐτὸς δὲ ἐπὶ Σούσων ἐστέλλετο· καὶ ἐντυγχάνει αὐτῷ κατὰ τὴν ὁδὸν ὅ τε παῖς τοῦ Σουσίων σατράπου καὶ παρὰ Φιλοξένου ἐπιστολεύς. Φιλόξενον γὰρ εὐθὺς ἐκ τῆς μάχης ἐπὶ Σούσων ἐστάλκει Ἀλέξανδρος. Τῇ δὲ ἐπιστολῇ τῇ παρὰ Φιλοξένου ἐνεγέγραπτο, ὅτι τήν τε πόλιν οἱ Σούσιοι παραδεδώκασιν καὶ τὰ χρήματα πάντα σῶά ἐστιν Ἀλεξάνδρῳ. (7) Ἀφίκετο δὲ ἐς Σοῦσα Ἀλέξανδρος ἐκ Βαβυλῶνος ἐν ἡμέραις εἴκοσι· καὶ παρελθὼν εἰς τὴν πόλιν τά τε χρήματα παρέλαβεν, ὄντα ἀργυρίου τάλαντα ἐς πεντακισμύρια, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν. Πολλὰ δὲ καὶ ἄλλα κατελήφθη αὐτοῦ, ὅσα Ξέρξης ἀπὸ τῆς Ἑλλάδος ἄγων ἦλθε, τά τε ἄλλα καὶ Ἁρμοδίου καὶ Ἀριστογείτονος χαλκαῖ εἰκόνες. (8) Καὶ ταύτας Ἀθηναίοις ὀπίσω πέμπει Ἀλέξανδρος, καὶ νῦν κεῖνται Ἀθήνησιν ἐν Κεραμεικῷ αἱ εἰκόνες, ᾗ ἄνιμεν ἐς τὴν πόλιν, καταντικρὺ μάλιστα τοῦ Μητρῴου, οὐ μακρὰν τῶν Εὐδανέμων τοῦ βωμοῦ· ὅστις δὲ μεμύηται ταῖν θεαῖν ἐν Ἐλευσῖνι, οἶδε τὸν Εὐδανέμου βωμὸν ἐπὶ τοῦ δαπέδου ὄντα.

9. Ἐνταῦθα θύσας τῷ πατρίῳ νόμῳ Ἀλέξανδρος καὶ λαμπάδα ποιήσας καὶ ἀγῶνα γυμνικόν, καταλιπὼν σατράπην μὲν τῆς Σουσιανῆς Ἀβουλίτην, ἄνδρα Πέρσην, ὑπαρχον δὲ ἐν τῇ ἄκρᾳ τῶν Σούσων Μάζαρον τῶν ἑταίρων καὶ στρατηγὸν Ἀρχέλαον τὸν Θεοδώρου, προὐχώρει ὡς ἐπὶ Πέρσας· ἐπὶ θάλασσαν δὲ κατέπεμψεν ὕπαρχον Συρίας καὶ Φοινίκης καὶ Κιλικίας Μένητα. (10) Καὶ τούτῳ ἔδωκεν ἀργυρίου τάλαντα ἐς τρισχίλια φέρειν ἐπὶ θάλασσαν, καὶ ἀπ' αὐτῶν ἀποστεῖλαι παρ' Ἀντίπατρον ὅσων ἂν δέηται Ἀντίπατρος ἐς τὸν πρὸς

sas et Babylonem profecturum existimabat: quia omnis ea regio cultoribus frequens esset, atque iter impedimentis vehendis non incommodum; præterea quod Babylon et Susæ præmia quodammodo belli fore viderentur, iter vero in Mediam ingenti exercitui ducendo parum commodum.

3. Neque eum sua opinio fefellit. Alexander enim ex Arbelis movens, recta Babylonem est profectus. Jamque non procul Babylone aberat, quum instructa ad pugnandum acie exercitum duxit. Babyloniorum universa multitudo portis effusa, cum sacerdotibus et principibus civitatis Alexandro obviam ivit, munera certatim offerentes, urbemque et arcem cum pecunia tradentes. (4) Alexander Babylonem ingressus, templa quæ Xerxes subverterat, instaurare Babylonios jussit, et in his templum Beli, quem præcipue deum Babylonii colunt. Satrapam eis constituit Mazæum, Apollodorum vero Amphipolitem prætorem eorum militum qui cum Mazæo relicti erant, et Asclepiodorum Philonis filium tributis cogendis præfecit. (5) Mithrinem etiam satrapam in Armeniam misit, qui Sardium arcem Alexandro tradiderat. Chaldæos quoque in hac urbe consuluit, et quæcunque circa templorum instaurationem facienda monuerunt, peregit, atque inter cetera Belo ex ipsorum consilio sacrum fecit.

6. Ipse inde Susas movit: in itinere obvium habuit filium satrapæ Susiorum, et tabellarium cum literis a Philoxeno, quem Alexander statim ex prælio Susas miserat. Epistolæ sententia hæc erat, Susios urbem tradidisse, omnemque pecuniam Alexandro salvam esse. (7) E Babylone Susas vigesimo die pervenit, urbemque ingressus, pecuniam omnem, quinquaginta circiter millia talentûm argenti, reliquumque apparatum regium accepit. Multa præterea alia ibi reperta sunt, quæ Xerxes e Græcia attulerat: inter quæ Harmodii et Aristogitonis æneæ statuæ, (8) quas quidem Atheniensibus postea remisit Alexander, et in hunc usque diem Athenis in Ceramico habentur, ea parte qua ad urbem ascendimus, e regione Metroi, non procul ab ara Eudanemi: quam quisquis Eleusiniis sacris initiatus est in porticu sitam esse non ignorat.

9. Eo loco Alexander patrio more lampades gestantium certamina ludosque gymnicos edidit. Inde Abulite homine Persa satrapa Susianis relicto, Mazaroque uno ex amicis præfecto præsidii arcis, et Archelao Theodori filio prætore constituto, in Persas movit. Ad mare Menetem misit, Syriæ, Phœniciæ et Ciliciæ præsidem. (10) Huic tria millia talentûm argenti ad mare vehenda tradit, jubetque ut ex iis Antipatro tantum quantum ad bellum cum

Λακεδαιμονίους πόλεμον. Ἐνταῦθα καὶ Ἀμύντας ὁ Ἀνδρομένους ξὺν τῇ δυνάμει ἀφίκετο ἣν ἐκ Μακεδονίας ἦγε. (11) Καὶ τούτων τοὺς μὲν ἱππέας ἐς τὴν ἵππον τὴν ἑταιρικὴν κατέταξεν Ἀλέξανδρος, τοὺς πεζοὺς δὲ προσέθηκε ταῖς τάξεσι ταῖς ἄλλαις, κατὰ ἔθνη ἑκάστους ξυντάξας. Κατέστησε δὲ καὶ λόχους δύο ἐν ἑκάστῃ ἴλῃ, οὐ πρόσθεν ὄντας λόχους ἱππικούς, καὶ λοχαγοὺς ἐπέστησε τοὺς κατ' ἀρετὴν προκριθέντας ἐκ τῶν ἑταίρων.

Lacedæmoniis gerendum sufficiat, mittat. Eo loci Amyntas Andromenis F. cum exercitu quem ex Macedonia ducebat venit. (11) Atque equites quidem Alexander ad amicorum equitatum conjunxit: pedites vero in suæ quosque gentis ordines distribuit. Duas præterea in singulis alis turmas constituit, quum antea equestres turmæ nullæ fuissent: quarum ductores ex amicis eos qui virtute bellica præstitissent delegit.

ΚΕΦ. ΙΖ'.

Ἦρας δὲ ἐκ Σούσων καὶ διαβὰς τὸν Πασιτίγρην ποταμὸν ἐμβάλλει εἰς τὴν Οὐξίων γῆν. Οὐξίων δὲ οἱ μὲν τὰ πεδία οἰκοῦντες τοῦ τε σατράπου τῶν Περσῶν ἤκουον καὶ τότε Ἀλεξάνδρῳ σφᾶς ἐνέδοσαν· οἱ δὲ ὄρειοι καλούμενοι Οὔξιοι Πέρσαις τε οὐχ ὑπήκοοι ἦσαν, καὶ τότε πέμψαντες παρ' Ἀλέξανδρον οὐκ ἄλλως παρήσειν ἔφασαν τὴν ἐπὶ Πέρσας ἰόντα ξὺν τῇ δυνάμει ἢ λαβεῖν ὅσα καὶ παρὰ τοῦ Περσῶν βασιλέως ἐπὶ τῇ παρόδῳ ἐλάμβανον. (2) Καὶ τούτους ἀποπέμπει Ἀλέξανδρος, ἥκειν κελεύσας ἐπὶ τὰ στενὰ ὧν κρατοῦντες ἐπὶ σφίσιν ἐδόκουν τὴν πάροδον εἶναι τὴν ἐς Πέρσας, ἵνα καὶ παρ' αὐτοῦ λάβοιεν τὰ τεταγμένα. Αὐτὸς δὲ ἀναλαβὼν τοὺς σωματοφύλακας τοὺς βασιλικοὺς καὶ τοὺς ὑπασπιστὰς καὶ τῆς ἄλλης στρατιᾶς ἐς ὀκτακισχιλίους τῆς νυκτὸς ἦει ἄλλην ἢ τὴν φανεράν, ἡγησαμένων αὐτῷ τῶν Σουσίων. (3) Καὶ διελθὼν ὁδὸν τραχεῖαν καὶ δύσπορον ἐν μιᾷ ἡμέρᾳ ἐπιπίπτει ταῖς κώμαις τῶν Οὐξίων, καὶ λείαν τε πολλὴν ἔλαβε καὶ αὐτῶν ἔτι ἐν ταῖς εὐναῖς ὄντων πολλοὺς κατέκτεινεν· οἱ δὲ ἀπέφυγον εἰς τὰ ὄρη. Αὐτὸς δὲ ἦει σπουδῇ ἐπὶ τὰ στενά, ἵνα ἀπαντήσεσθαι οἱ Οὔξιοι πανδημεὶ ἐδόκουν, ληψόμενοι τὰ τεταγμένα. (4) Κράτερον δὲ ἔτι πρόσθεν ἀπέστειλε τὰ ἄκρα καταληψόμενον ἔνθα ὤετο βιαζομένους τοὺς Οὐξίους ἀποχωρήσειν. Αὐτὸς δὲ πολλῷ τάχει ἦει· καὶ φθάνει τε κρατήσας τῶν παρόδων καὶ ξυντεταγμένους τοὺς ἀμφ' αὐτὸν ἔχων ἐξ ὑπερδεξίων χωρίων ἐπῆγεν ὡς ἐπὶ τοὺς βαρβάρους. (5) Οἱ δέ, τῷ τε τάχει τῷ Ἀλεξάνδρου ἐκπλαγέντες καὶ τοῖς χωρίοις, οἷς μάλιστα δὴ ἐπεποίθεσαν, πλεονεκτούμενοι ἔφυγον οὐδὲ εἰς χεῖρας ἐλθόντες· καὶ οἱ μὲν αὐτῶν ὑπὸ τῶν ἀμφ' Ἀλέξανδρον ἐν τῇ φυγῇ ἀπέθανον, πολλοὶ δὲ καὶ κατὰ τὴν ὁδόν, κρημνώδη οὖσαν· οἱ πλεῖστοι δὲ ἐπὶ τὰ ὄρη ἀναφεύγοντες ἐμπίπτουσιν ἐς τοὺς ἀμφὶ Κράτερον καὶ ὑπὸ τούτων ἀπώλοντο. (6) Ταῦτα τὰ γέρα παρ' Ἀλεξάνδρου λαβόντες χαλεπῶς εὕροντο δεόμενοι παρ' αὐτοῦ τὴν χώραν τὴν σφῶν ἔχοντες φόρους ὅσα ἔτη Ἀλεξάνδρῳ ἀποφέρειν. Πτολεμαῖος δὲ ὁ Λάγου λέγει τὴν Δαρείου μητέρα δεηθῆναι ὑπὲρ αὐτῶν Ἀλεξάνδρου δοῦναί σφισι τὴν χώραν οἰκεῖν. Ὁ φόρος δὲ ὁ συνταχθεὶς ἦν ἵπποι ἐς ἔτος ἑκατὸν καὶ ὑποζύγια πεντακόσια καὶ πρόβατα τρισμύρια· χρήματα γὰρ οὐκ ἦν Οὐξίοις οὐδὲ ἡ γῆ οἷα ἐργάζεσθαι, ἀλλὰ νομεῖς αὐτῶν οἱ πολλοὶ ἦσαν.

CAP. XVII.

Deinde Susis cum exercitu movens, Pasitigrim amnem transgressus, Uxiorum regionem ingreditur. Et Uxii quidem plana incolentes, quum Persarum satrapæ parerent, Alexandro deditionem fecerunt: at vero Uxii, quos montanos vocant, et qui Persis subditi non erant, Alexandro nuntiant, se nequaquam passuros ut cum exercitu in Persas transiret, nisi tantundem daret quantum a Persarum regibus pro transitu accipere soliti essent. (2) Quos Alexander remittit, utque angustias illas insideant jubet, quibus occupatis in sua potestate esse transitum in Perciam crederent, ut ab ipso quoque pecuniam pendi solitam accipiant. Ipse sumptis secum corporis custodibus regiis, et scutatis, atque ex reliquo exercitu octo circiter millibus, aliam quam quæ conspicua erat viam noctu ingressus est, Susiis ductoribus usus. (3) Via itaque difficili atque ardua superata, uno die in vicos Uxiorum pervenit, ubi et magna præda potitus est, multosque eorum adhuc somno pressos interfecit: alii in montes diffugiunt. Ipse celeriter ad eas fauces contendit, ad quas confluxuros catervatim Uxios censebat, ad pactam transitus mercedem recipiendam. (4) At Craterum antea præmiserat ad juga montium occupanda, in quæ Uxios pressos sese recepturos existimabat. Ipse gressum accelerans transitum occupat, iisque qui circa ipsum erant in ordines redactis, in barbaros ex editioribus maximeque opportunis locis fertur. (5) Barbari celeritate Alexandri consternati, quum eos locos, in quibus plurimum fiduciæ posuerant, creptos sibi esse cernerent, non tentato conflictu in fugam vertuntur. Horum multi ab Alexandri comitatu in fuga interficiuntur: multi per abrupta viarum præcipitia ruunt: plurimi vero ad juga montium confugientes, in Crateri copias incidunt, et ab iis cæduntur. (6) Hac mercede accepta, ægre multis precibus ab Alexandro impetrarunt, ut agrorum suorum possessione ipsis relicta annua tributa penderent. Ptolemæus Lagi filius autor est, Darii matrem pro iis Alexandro supplicasse, agrumque ejus rogatu illis incolendum esse datum. Tributum annuum iis impositum ejuscemodi fuit: equi centum, jumenta quingenta, pecudum triginta millia. Neque enim moneta Uxii utebantur, neque agros ad colendum aptos habebant, sed plerique eorum pecori pascendo vacabant.

ΚΕΦ. ΙΗ'.

Ἐκ δὲ τούτου τὰ μὲν σκευοφόρα καὶ τοὺς Θεσσαλοὺς ἱππέας καὶ τοὺς ξυμμάχους καὶ τοὺς μισθοφόρους τοὺς ξένους καὶ ὅσοι ἄλλοι τοῦ στρατεύματος βαρύτερον ὡπλισμένοι [ἦσαν] ξὺν Παρμενίωνι ἐκπέμπει, ὡς ἐπὶ Πέρσας ἄγειν κατὰ τὴν ἁμαξιτὸν τὴν ἐς Πέρσας φέρουσαν. (2) Αὐτὸς δὲ τοὺς πεζοὺς τοὺς Μακεδόνας ἀναλαβὼν καὶ τὴν ἵππον τὴν ἑταιρικὴν καὶ τοὺς προδρόμους ἱππέας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς τοξότας ἦει σπουδῇ τὴν διὰ τῶν ὀρῶν. Ὡς δὲ ἐπὶ τὰς πύλας τὰς Περσίδας ἀφίκετο, καταλαμβάνει αὐτοῦ Ἀριοβαρζάνην τὸν Περσῶν σατράπην, πεζοὺς μὲν ἐς τετρακισμυρίους ἔχοντα, ἱππέας δὲ ἐς ἑπτακοσίους, διατετειχικότα τὰς πύλας καὶ αὐτοῦ πρὸς τῷ τείχει ἐστρατοπεδευκότα, ὡς εἴργειν τῆς παρόδου Ἀλέξανδρον.

3. Τότε μὲν δὴ αὐτοῦ κατεστρατοπεδεύσατο· τῇ δὲ ὑστεραίᾳ ξυντάξας τὴν στρατιὰν ἐπῆγε τῷ τείχει. Ὡς δὲ ἄπορόν τε διὰ δυσχωρίαν ἐφαίνετο αἱρεθῆναι καὶ πολλὰς πληγὰς οἱ ἀμφ' αὐτὸν ἐλάμβανον ἔξ ὑπερδεξίου τε χωρίου καὶ ἀπὸ μηχανῶν βαλλόμενοι, τότε μὲν ἀποχωρεῖ ἐς τὸ στρατόπεδον· (4) τῶν δὲ αἰχμαλώτων φρασάντων ἄλλην ὁδὸν περιάξειν αὐτόν, ὡς εἴσω παρελθεῖν τῶν πυλῶν, ἐπεὶ τραχεῖαν τὴν ὁδὸν καὶ στενὴν ἐπύθετο, Κράτερον μὲν αὐτοῦ καταλείπει ἐπὶ στρατοπέδου, τήν τε αὐτοῦ τάξιν ἔχοντα καὶ τὴν Μελεάγρου καὶ τῶν τοξοτῶν ὀλίγους καὶ τῶν ἱππέων ἐς πεντακοσίους, (5) καὶ προστάττει αὐτῷ, ἐπειδὰν ἐκπεριελήλυθότα αὐτὸν αἴσθηται καὶ προσάγοντα ἤδη τῷ στρατοπέδῳ τῶν Περσῶν (αἰσθήσεσθαι δὲ οὐ χαλεπῶς, σημανεῖν γὰρ αὐτῷ τὰς σάλπιγγας), τότε δὲ προσβαλεῖν τῷ τείχει· αὐτὸς δὲ προὐχώρει νύκτωρ, καὶ διελθὼν ὅσον ἑκατὸν σταδίους ἀναλαμβάνει τοὺς ὑπασπιστὰς καὶ τὴν Περδίκκου τάξιν καὶ τῶν τοξοτῶν τοὺς κουφοτάτους καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἑταίρων τὴν ἴλην τὴν βασιλικὴν καὶ τετραρχίαν πρὸς ταύτῃ μίαν ἱππικήν, καὶ ξὺν τούτοις ἦει ἐπικάμψας ὡς ἐπὶ τὰς πύλας ἵν' οἱ αἰχμάλωτοι ἦγον. (6) Ἀμύνταν δὲ καὶ Φιλώταν καὶ Κοῖνον τὴν ἄλλην στρατιὰν ὡς ἐπὶ τὸ πεδίον ἄγειν καὶ τὸν ποταμὸν ὃν ἐχρῆν περᾶσαι ἰόντι ἐπὶ Πέρσας γεφυροῦν ἐκέλευσεν· αὐτὸς δὲ ἦει ὁδὸν χαλεπὴν καὶ τραχεῖαν καὶ ταύτην ὁρόμῳ τὸ πολὺ ἦγε. Τὴν μὲν δὴ πρώτην φυλακὴν τῶν βαρβάρων πρὶν φόνους ἐπιπεσὼν διέφθειρε καὶ τῶν δευτέρων τοὺς πολλούς· (7) τῆς τρίτης δὲ οἱ πλείους διέφυγον, καὶ οὐδὲ οὗτοι ἐς τὸ στρατόπεδον τὸ Ἀριοβαρζάνου ἔφυγον, ἀλλ' αὐτόθεν ὡς εἶχον ἐς τὰ ὄρη πεφοβημένοι, ὥστε ἔλαθεν ὑπὸ τὴν ἕω ἐπιπεσὼν τῷ στρατοπέδῳ τῶν πολεμίων. Καὶ ἅμα μὲν προσέβαλλε τῇ τάφρῳ, ἅμα δὲ αἱ σάλπιγγες ἐσήμαινον τοῖς ἀμφὶ Κράτερον, καὶ Κράτερος προσῆγε τῷ προτειχίσματι. (8) Οἱ πολέμιοι δὲ πάντοθεν ἀμφίβολοι γιγνόμενοι οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον, ἀλλὰ πανταχόθεν γὰρ εἴργοντο, τῇ μὲν Ἀλεξάνδρου ἐπικειμένου, ἄλλῃ δὲ τῶν ἀμφὶ Κράτερον παραθεόντων, ὥστε

CAP. XVIII.

Posthæc Alexander sarcinas et impedimenta Thessalosque equites ac socios et mercenarios exteros reliquumque exercitum gravioris armaturæ cum Parmenione mittit, qui eos in Persas via curribus apta ducat. (2) Ipse peditatu Macedonum secum sumpto equitatuque amicorum atque equitibus antecursoribus simulque Agrianis et sagittariis, per montana citatim iter facit. Postquam vero ad pylas Persidis ventum est, Ariobarzanem ibi reperit Persarum satrapam, cum peditum prope quattuor millibus, equitibus circiter septingentis, ipsasque fauces muro clausisse, et juxta murum castris positis transitu prohibere Alexandrum instituisse.

3. Primo itaque adventu ibi castra locat: postero autem die instructo exercitu muri oppugnationem aggreditur. Cæterum quum ob asperitatem loci difficillima expugnatio fore videretur, quod sui multa vulnera excipiebant, partim ex editioribus locis partim ex machinis icti, tum quidem temporis exercitum ab oppugnatione revocavit. (4) Pollicentibus autem captivorum nonnullis, sese alia via circuducturos, qua juxta pylas introitus pateret, ut audivit tramites illos arduos angustosque esse, Craterum in castris relinquit, ad ejus agmen Meleagri etiam copiis et sagittariorum nonnullis atque equitibus quingentis adjunctis. (5) Huic imperat, ut simul ac se pertransisse senserit et Persarum castris imminere, (quod quidem haud difficulter ex tubarum clangoribus sensurus esset) impetum in murum faciat. Ipse per noctem ad centum stadia progressus, assumptis scutatis et Perdiccæ agmine sagittariisque expeditioribus et Agrianis atque ex amicis turma regia, additaque his tetrarchia equestri una, flexo itinere ad pylas contendit, ea qua captivi ducebant via. (6) Amyntam autem, Philotam et Cœnum reliquum exercitum per plana ducere jubet. Flumen præterea, quod in Persiam euntibus transeundum erat, ponte jungi mandat. Ipse viam difficilem asperamque persequitur, eamque magna ex parte cursu peregit. Quumque ad primam barbarorum stationem ante lucem venisset, custodes trucidat. Secundæ deinde stationis custodibus etiam plerisque cæsis, (7) quum ad tertiam venit, complures diffugerunt, sed ne hi quidem in castra Ariobarzanis fugerunt: sed inde in montes, prout quisque potuit, sese metu perculsi proripuerunt: adeo ut sub auroram inopinato castra hostium sit adortus. Simulac ad fossam castrorum perventum est, Craterus signo tubæ exaudito, impetum in murum facit. (8) Hostes summa consilii inopia laborantes, ne tentata quidem pugna in fugam vertuntur. Cæterum quum omni ex parte intercluderentur, hac enim Alexander premebat, illac Crateri copiæ infestæ occurre-

ἠναγκάσθησαν οἱ πολλοὶ αὐτῶν ἐς τὰ τείχη ἀποστρέψαντες φεύγειν· εἵχετο δὲ καὶ τὰ τείχη πρὸς τῶν Μακεδόνων ἤδη. (9) Ἀλέξανδρος γὰρ τοῦτο αὐτὸ ὅπερ ξυνέβη ὑποτοπήσας Πτολεμαῖον ἀπολελοίπει αὐτοῦ, ἔχοντα τῶν πεζῶν ἐς τρισχιλίους, ὥστε οἱ μὲν πλεῖστοι τῶν βαρβάρων ἐν χερσὶ πρὸς τῶν Μακεδόνων κατεκόπησαν· οἱ δὲ καὶ ἐν τῇ φυγῇ, φοβερᾷ γενομένῃ, κατὰ τῶν χρημνῶν ῥίψαντες ἀπώλοντο· αὐτὸς δὲ ὁ Ἀριοβαρζάνης ξὺν ὀλίγοις ἱππεῦσιν ἐς τὰ ὄρη ἀπέφυγεν.

10. Ἀλέξανδρος δὲ σπουδῇ αὖθις ἦγεν ὡς ἐπὶ τὸν ποταμόν, καὶ καταλαμβάνει ἤδη πεποιημένην ἐπ' αὐτοῦ γέφυραν, καὶ διαβαίνει ξὺν τῇ στρατιᾷ εὐπετῶς. Ἐντεῦθεν δὲ αὖθις σπουδῇ ἤλαυνεν ἐς Πέρσας, ὥστε ἔφθη ἀφικέσθαι πρὶν τὰ χρήματα διαρπάσασθαι τοὺς φύλακας. Ἔλαβε δὲ καὶ τὰ ἐν Πασαργάδαις χρήματα ἐν τοῖς Κύρου τοῦ πρώτου θησαυροῖς. (11) Σατράπην μὲν δὴ Περσῶν κατέστησε Φρασαόρτην τὸν Ῥεομίθρου παῖδα· τὰ βασίλεια δὲ τὰ Περσικὰ ἐνέπρησε, Παρμενίωνος σώζειν ξυμβουλεύοντος, τά τε ἄλλα [καὶ] ὅτι οὐ καλὸν αὐτοῦ κτήματα ἤδη ἀπολλύναι, καὶ ὅτι οὐχ ὡσαύτως προσέξουσιν αὐτῷ οἱ κατὰ τὴν Ἀσίαν ἄνθρωποι, ὡς οὐδὲ αὐτῷ ἐγνωκότι κατέχειν τῆς Ἀσίας τὴν ἀρχήν, ἀλλὰ ἐπελθεῖν μόνον νικῶντα. (12) Ὃ δὲ τιμωρήσασθαι ἐθέλειν Πέρσας ἔφασκεν ἀνθ' ὧν ἐπὶ τὴν Ἑλλάδα ἐλάσαντες τάς τε Ἀθήνας κατέσκαψαν καὶ τὰ ἱερὰ ἐνέπρησαν, καὶ ὅσα ἄλλα κακὰ τοὺς Ἕλληνας εἰργάσαντο, ὑπὲρ τούτων δίκας λαβεῖν. Ἀλλ' οὐδ' ἐμοὶ δοκεῖ σὺν νῷ δρᾶσαι τοῦτό γε Ἀλέξανδρος οὐδὲ εἶναί τις αὐτῇ Περσῶν τῶν πάλαι τιμωρία.

bant, plerique eorum muros cursu repetere sunt coacti: et jam Macedones muros occuparant. (9) Alexander enim id ipsum quod evenerat ante suspicatus, Ptolemæum eo loci cum peditum tribus millibus reliquerat. Maxima itaque barbarorum pars a Macedonibus trucidata est: alii fuga terroris plena, in præcipitia delapsi, periere. Ariobarzanes cum paucis equitibus in montes effugit.

10. Alexander rursus ad flumen celeriter profectus, ponte jam perfecto facile omnem exercitum transmittit. Inde magnis itineribus in Persas contendit, ut adveniret priusquam regii thesauri ab custodibus diriperentur. Cepit et apud Pasargadas pecunias, quæ in thesauris Cyri prioris erant. (11) Persis satrapam constituit Phrasaortem Rheomithris filium. Regiam autem Persarum incendit, suadente Parmenione ut intactam eam servaret, tum quod pulchrum non esset possessiones virtute sua partas disperdere, tum alias ob causas, tum quod Asiaticos minus benevolos ob id factum esset habiturus, existimaturos illum Asiam retinere nolle, sed tantum obire eam victorem. (12) Alexander se Persarum facinus ulcisci velle respondit, quod quum in Græciam cum exercitu venissent, Athenas subverterant, templaque incenderant, aliaque multa in Græcos perpetrarant. Cæterum neque mihi prudenter hoc ab Alexandro factum videri potest, neque ulla de veteribus Persis hac ratione ultio sumpta fuisse.

ΚΕΦ. ΙΘ'.

Ταῦτα δὲ διαπραξάμενος προὐχώρει ἐπὶ Μηδίας· ἐκεῖ γὰρ ἐπυνθάνετο εἶναι Δαρεῖον. Γνώμην δὲ πεποίητο Δαρεῖος, εἰ μὲν ἐπὶ Σούσων καὶ Βαβυλῶνος μένοι Ἀλέξανδρος, αὐτοῦ προσμένειν καὶ αὐτὸς ἐν Μήδοις, εἴ δή τι νεωτερισθείη τῶν ἀμφ' Ἀλέξανδρον· εἰ δ' ἐλαύνοι ἐπ' αὐτόν, αὐτὸς δὲ ἄνω ἰέναι τὴν ἐπὶ Παρθυαίους τε καὶ Ὑρκανίαν, ἔστε ἐπὶ Βάκτρα τήν τε χώραν φθείρων πᾶσαν καὶ ἄπορον ποιῶν Ἀλεξάνδρῳ τὴν πρόσω ὁδόν. (2) Τὰς μὲν δὴ γυναῖκας καὶ τὴν ἄλλην τὴν ἔτι ἀμφ' αὐτὸν κατασκευὴν καὶ τὰς ἁρμαμάξας ἐπὶ τὰς Κασπίας καλουμένας πύλας πέμπει· αὐτὸς δὲ ξὺν τῇ δυνάμει ἥτις ἐκ τῶν παρόντων ξυνείλεκτο αὐτῷ προσέμενεν ἐν Ἐκβατάνοις. Ταῦτα ἀκούων Ἀλέξανδρος προὐχώρει ἐπὶ Μηδίας. Καὶ Παραιτακας μὲν ἐς τὴν χώραν αὐτῶν ἐμβαλὼν κατεστρέψατο καὶ σατραπεύειν ἔταξεν αὐτῶν Ὀξάθρην τὸν Ἀβουλίτου τοῦ [πρότερον] Σούσων σατράπου παῖδα· (3) αὐτὸς δὲ ὡς ἠγγέλθη κατὰ τὴν ὁδὸν ὅτι ἐγνωκὼς εἴη Δαρεῖος ἀπαντᾶν τε αὐτῷ ὡς ἐς μάχην καὶ αὖθις διακινδυνεύειν (Σκύθας τε γὰρ αὐτῷ ἥκειν καὶ Καδουσίους συμμάχους), τὰ μὲν ὑποζύγια καὶ τοὺς τούτων φύλακας καὶ τὴν ἄλλην κατασκευὴν ἕπεσθαι ἐκέλευσε· τὴν

CAP. XIX.

His rebus ita gestis, Alexander in Mediam movit: ibi enim Darium esse acceperat. Darius vero ita apud se statuerat, si apud Susas et Babylonem hæreret Alexander, ipsum quoque apud Medos opperiri, num forte novi aliquid accideret in rebus Alexandri: si vero in se exercitum duceret, in Parthiam et Hyrcaniam usque ad Bactra se recipere, totaque regione vastata omnem Alexandro progrediendi potestatem præripere. (2) Et mulieres, reliquumque apparatum universum quem penes se habebat, vehiculaque omnia ad pylas Caspias mittit: ipse cum copiis quas pro tempore collegerat, in Ecbatanis exspectabat. Quibus cognitis Alexander in Mediam progreditur: et Parætacas quidem, impetu in eorum regionem facto, subegit, satrapamque iis dedit Oxathren Abuliti filium, qui [antea] apud Susas satrapatum gesserat. (3) Quumque Alexandro in itinere nuntiaretur Darium ei obviam ire statuisse, denuoque prælii fortunam experiri velle (Scythas enim et Cadusios ei auxilio venire), impedimentis eorumque præsidio et reliquo apparatu subsequi jussis, reliquas copias secum ducens instructa acie ad pugnandum processit, (4) et duodecimis castris in Mediam pervenit,

στρατιὰν δὲ τὴν ἄλλην ἀναλαβὼν ἦγεν ἐσταλμένους ὡς ἐς μάχην. (4) Καὶ ἀφικνεῖται δωδεκάτῃ ἡμέρᾳ ἐς Μηδίαν. Ἔνθα ἐμαθεν οὐκ οὖσαν ἀξιόμαχον δύναμιν Δαρείῳ οὐδὲ Καδουσίους ἢ Σκύθας αὐτῷ συμμάχους ἥκοντας, ἀλλ' ὅτι φεύγειν ἐγνωκὼς εἴη Δαρεῖος· ὁ δὲ ἔτι μᾶλλον ἦγε σπουδῇ. Ὡς δὲ ἀπεῖχεν Ἐκβατάνων ὅσον τριῶν ἡμερῶν ὁδόν, ἐνταῦθα ἀπήντα αὐτῷ Βισθάνης ὁ Ὤχου παῖς, τοῦ πρὸ Δαρείου βασιλεύσαντος Περσῶν· (5) καὶ οὗτος ἀπήγγειλεν ὅτι Δαρεῖος ἐς πέμπτην ἡμέραν εἴη πεφευγώς, ἔχων τά τε χρήματα ἐκ Μήδων ἐς ἑπτακισχίλια τάλαντα καὶ στρατιὰν ἱππέας μὲν ἐς τρισχιλίους, πεζοὺς δὲ ἐς ἑξακισχιλίους.

Ἐλθὼν δὲ ἐς Ἐκβάτανα Ἀλέξανδρος τοὺς μὲν Θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους ξυμμάχους ἀποπέμπει ὀπίσω ἐπὶ θάλασσαν, τόν τε μισθὸν ἀποδοὺς αὐτοῖς ἐντελῆ τὸν ξυντεταγμένον καὶ δισχίλια παρ' αὐτοῦ τάλαντα ἐπιδούς· (6) ὅστις δὲ ἰδίᾳ βούλοιτο ἔτι μισθοφορεῖν παρ' αὐτῷ, ἀπογράφεσθαι ἐκέλευσε· καὶ ἐγένοντο οἱ ἀπογραψάμενοι οὐκ ὀλίγοι. Ἐπόκιλλον δὲ τὸν Πολυειδοῦς ἔταξε καταγαγεῖν αὐτοὺς ὡς ἐπὶ θάλασσαν, ἱππέας ἄλλους ἔχοντα ἐς φυλακὴν αὐτῶν· οἱ γὰρ Θεσσαλοὶ τοὺς ἵππους αὐτοῦ ἀπέδοντο. Ἐπέστειλε δὲ καὶ Μένητι, ἐπειδὰν ἀφίκωνται ἐπὶ θάλασσαν, ἐπιμεληθῆναι ὅπως ἐπὶ τριηρῶν κομισθήσονται ἐς Εὔβοιαν. (7) Παρμενίωνα δὲ προσέταξε τὰ χρήματα τὰ ἐκ Περσῶν κομιζόμενα εἰς τὴν ἄκραν τὴν ἐν Ἐκβατάνοις καταθέσθαι καὶ Ἁρπάλῳ παραδοῦναι. Ἅρπαλον γὰρ ἐπὶ τῶν χρημάτων ἀπέλιπε καὶ φυλακὴν τῶν χρημάτων Μακεδόνας ἐς ἑξακισχιλίους καὶ ἱππέας καὶ ψιλοὺς ὀλίγους· αὐτὸν δὲ Παρμενίωνα τοὺς ξένους ἀναλαβόντα καὶ τοὺς Θρᾷκας καὶ ὅσοι ἄλλοι ἱππεῖς ἔξω τῆς ἵππου τῆς ἑταιρικῆς παρὰ τὴν χώραν τὴν Καδουσίων ἐλαύνειν ἐς Ὑρκανίαν. (8) Κλείτῳ δὲ τῷ τῆς βασιλικῆς ἴλης ἡγεμόνι ἐπέστειλεν, ἐπειδὰν ἐκ Σούσων ἐς Ἐκβάτανα ἀφίκηται (καταλέλειπτο γὰρ ἐν Σούσοις ἀῤῥωστῶν), ἀναλαβόντα τοὺς Μακεδόνας τοὺς ἐπὶ τῶν χρημάτων τότε ὑπολειφθέντας, ἰέναι τὴν ἐπὶ Παρθυαίους, ἵνα καὶ αὐτὸς ἥξειν ἔμελλεν.

ubi Dario non eas esse copias quibus prælio decernere posset cognovit, et neque Cadusios neque Scythas ei auxilio venire, et Darium omnem potius in fuga spem collocasse. Quapropter majore celeritate Alexander in eum contendebat. Quumque ab Ecbatanis trium dierum itinere abesset, Bisthanem Ochi filium, qui ante Darium in Perside regnarat, obvium habuit. (5) Is Alexandro nuntiavit, quintum jam diem esse ex quo Darius fugisset, pecunia ex Media ad VII. M. talentûm secum ablata, cum exercitu equitum trium millium, peditum sex millium.

Alexander ubi Ecbatana venit, Thessalos equites aliosque socios in maritimam oram remisit, ac præter integrum stipendium duo millia talentûm militibus donat. (6) Quicunque autem illorum viritim stipendia denuo mereri vellent, conscribi jussit. Neque pauci nomen dederunt. Reliquos per Epocillum Polyidis F. ad mare deduci jubet, alio equitum præsidio adjuncto. Thessali enim equos ibi reddiderunt. Meneti etiam per literas mandat, ut quum ad mare pervenerint, navibus in Euboeam transvehendos curet. (7) Parmenioni quoque negotium dat, uti pecuniam omnem ex Persis allatam in arce quæ in Ecbatanis deponat, et Harpalo custodiendam tradat, quem super thesauros ibi cum præsidio sex millium Macedonum, et equitibus levisque armaturæ militibus nonnullis reliquit. Parmenionem vero ipsum assumptis exteris et Thracibus reliquoque equitatu præterquam amicorum, secus Cadusiorum fines in Hyrcaniam mittit. (8) Clito autem regiæ turmæ duci scribit, ut quum Susis Ecbatana venisset, (ibi enim valetudinis causa relictus erat) receptis Macedonibus qui pecuniarum præsidio positi fuerant, in Parthos moveat, quo et ipse venturus erat.

ΚΕΦ. Κ'.

Αὐτὸς δὲ ἀναλαβὼν τήν τε ἵππον τῶν ἑταίρων καὶ τοὺς προδρόμους καὶ τοὺς μισθοφόρους ἱππέας, ὧν Ἐρίγυιος ἡγεῖτο, καὶ τὴν φάλαγγα τὴν Μακεδονικὴν ἔξω τῶν ἐπὶ τοῖς χρήμασι ταχθέντων καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας ἤλαυνεν ὡς ἐπὶ Δαρεῖον. Καὶ αὐτῷ κατὰ τὴν ὁδὸν σπουδῇ γιγνομένην τῶν τε στρατιωτῶν πολλοὶ κάμνοντες ὑπελείποντο καὶ ἵπποι ἀπέθνησκον· (2) ἀλλὰ καὶ ὡς ἦγε, καὶ ἀφικνεῖται ἐς Ῥάγας ἑνδεκάτῃ ἡμέρᾳ. Διέχει δὲ ὁ χῶρος οὗτος ἀπὸ τῶν Κασπίων πυλῶν ὁδὸν ἡμέρας μιᾶς ἐλαύνοντι ὡς Ἀλέξανδρος ἦγε. Δαρεῖος δὲ ἐφθάκει ἤδη παρεληλυθὼς εἴσω τῶν πυλῶν τῶν Κασπίων. Τῶν δὲ ξυμφευγόντων Δαρείῳ πολλοὶ

CAP. XX.

Alexander assumpto equitatu amicorum et antecursoribus equitibusque mercede conductis, quos Erigyius ducebat, et phalange Macedonica, iis exceptis qui pecuniarum præsidio relicti fuerant, sagittariis etiam et Agrianis sibi conjunctis, in Darium movit. Quumque summa festinatione contenderet, multi in itinere milites præ lassitudine relicti, multi etiam equi exstincti sunt. (2) Alexander nihilo secius institutum iter urgebat, et undecimis castris Rhagas pervenit. Distat hic locus unius diei itinere a Caspiis pylis, equitanti ita ut Alexander ducebat. Darius vero Caspias portas jam intraverat: sed eorum qui

μὲν ἀπολιπόντες αὐτὸν ἐν τῇ φυγῇ ἐπὶ τὰ αὑτῶν ἕκαστοι ἀπεχώρουν, οὐκ ὀλίγοι δὲ καὶ Ἀλεξάνδρῳ σφᾶς ἐνεδίδοσαν. (3) Ἀλέξανδρος δὲ ὡς ἀπέγνω κατὰ πόδας αἱρήσειν Δαρεῖον, μείνας αὐτοῦ πέντε ἡμέρας καὶ ἀναπαύσας τὸν στρατὸν, Μηδίας μὲν σατράπην ἀπέδειξεν Ὀξοδάτην, Πέρσην ἄνδρα, ὃς ἐτύγχανε πρὸς Δαρείου ξυνειλημμένος καὶ ἐν Σούσοις εἱργόμενος· τοῦτο αὐτῷ ἐς πίστιν ἦν πρὸς Ἀλέξανδρον· (4) αὐτὸς δὲ ὡς ἐπὶ Παρθυαίους ἦγε. Καὶ τῇ μὲν πρώτῃ πρὸς ταῖς Κασπίαις πύλαις ἐστρατοπέδευσε· τῇ δευτέρᾳ δὲ εἴσω παρῆλθε τῶν πυλῶν ἔστε οἰκούμενα ἦν. Ἐπισιτισόμενος δὲ αὐτόθεν, ὅτι ἔρημον τὴν πρόσω χώραν ἔχουεν, ἐς προνομὴν ἐκπέμπει Κοῖνον ξὺν ἱππεῦσί τε καὶ τῶν πεζῶν ὀλίγοις.

fugientem comitabantur, plerique in domos suas sese recipiebant; non pauci etiam sese Alexandro dedebant. (3) Alexander deposita spe Darium ulla celeritate abs se comprehendi posse, quinque diebus ibi substitit, recreatoque exercitu Oxodatem hominem Persam Mediæ satrapam constituit, qui a Dario captus apud Susas in custodia habitus fuerat; hoc ei fidem apud Alexandrum conciliabat (4) Inde in Parthos exercitum duxit : ac primo quidem die juxta Caspias pylas castra posuit : postridie ipsas pylas ingressus proficiscitur quousque loca cultoribus frequentia erant. Commeatum autem illic paraturus, quod interiorem regionem incultam esse audisset, Cœnum cum equitatu exiguoque peditatu frumentatum mittit.

ΚΕΦ. ΚΑ'.

Καὶ ἐν τούτῳ ἀφικνεῖται παρ' αὐτὸν ἀπὸ τοῦ Δαρείου στρατοπέδου Βαγιστάνης, Βαβυλώνιος ἀνήρ, τῶν γνωρίμων, καὶ ξὺν τούτῳ Ἀντίβηλος τῶν Μαζαίου παίδων· οὗτοι ἀπήγγειλαν ὅτι Ναβαρζάνης τε, χιλιάρχης τῶν ξὺν Δαρείῳ φευγόντων ἱππέων, καὶ Βῆσσος ὁ Βακτρίων σατράπης καὶ Βαρσαέντης ὁ Ἀραχώτων καὶ Δράγγων σατράπης ξυνειληφότες εἶεν Δαρεῖον. (2) Ταῦτα ἀκούσας Ἀλέξανδρος ἔτι μᾶλλον ἦγε σπουδῇ, τοὺς ἑταίρους μόνους ἔχων ἀμφ' αὐτὸν καὶ τοὺς προδρόμους ἱππέας καὶ τῶν πεζῶν τοὺς εὐρωστοτάτους τε καὶ κουφοτάτους ἐπιλεξάμενος, οὐδὲ τοὺς ἀμφὶ Κοῖνον προσμείνας ἐκ τῆς προνομῆς ἐπανελθεῖν. Ἐπὶ δὲ τοῖς ὑπολειπομένοις ἐπιστήσας Κράτερον προστάττει ἕπεσθαι μὴ μακρὰς ὁδοὺς ἄγοντα. (3) Οἱ δὲ ἀμφ' αὐτὸν τὰ ὅπλα εἶχον μόνον καὶ δύο ἡμερῶν σιτία. Ἐλθὼν δὲ τήν τε νύκτα ὅλην καὶ τῆς ἐπιούσης ἡμέρας μέχρι μεσημβρίας, ὀλίγον χρόνον ἀναπαύσας τὸν στρατὸν αὖθις ἦει ὅλην τὴν νύκτα, καὶ ἅμα ἡμέρᾳ ὑποφαινούσῃ παρῆν εἰς τὸ στρατόπεδον, ὅθεν ἀφορμήκει ὀπίσω Βαγιστάνης. (4) Καὶ τοὺς μὲν πολεμίους οὐ κατέλαβε, Δαρείου δὲ πέρι ἐπύθετο, αὐτὸν μὲν συνειλημμένον ἄγεσθαι ἐφ' ἁρμαμάξης, Βήσσῳ δὲ ἀντὶ Δαρείου εἶναι τὸ κράτος καὶ ἡγεμόνα ὀνομάζεσθαι Βῆσσον πρός τε τῶν Βακτρίων ἱππέων καὶ τῶν ἄλλων ὅσοι βάρβαροι ξυνέφευγον Δαρείῳ, πλὴν Ἀρταβάζου καὶ τῶν Ἀρταβάζου παίδων καὶ τῶν Ἑλλήνων τῶν μισθοφόρων· τούτους δὲ πιστοὺς εἶναι Δαρείῳ, καὶ εἴργειν μὲν τὰ γιγνόμενα οὐ δυνατοὺς εἶναι, ἐκτραπέντας δὲ ἔξω τῆς λεωφόρου ὁδοῦ ὡς ἐπὶ τὰ ὄρη ἰέναι κατὰ σφᾶς, οὐ μετέχοντας τοῖς ἀμφὶ Βῆσσον τοῦ ἔργου. (5) Γνώμην δὲ πεποιῆσθαι τοὺς ξυλλαβόντας Δαρεῖον, εἰ μὲν διώκοντα σφᾶς Ἀλέξανδρον πυνθάνοιντο, παραδοῦναι Δαρεῖον Ἀλεξάνδρῳ καὶ σφίσι τι ἀγαθὸν εὑρίσκεσθαι· εἰ δὲ τὸ ἔμπαλιν ἐπανεληλυθότα μάθοιεν, τοὺς δὲ στρατιάν τε ξυλλέγειν ὅσην πλείστην δύναιντο καὶ διασώζειν ἐς τὸ κοινὸν τὴν ἀρχήν. Βῆσσον δὲ ἐν τῷ

CAP. XXI.

Inter hæc Bagistanes Babylonius vir illustris, et cum eo Antibelus unus ex Mazæi filiis e Darii exercitu ad Alexandrum venerunt, nunciantes Nabarzanem, mille equitum qui cum Dario fugerant præfectum, et Bessum, Bactrianorum satrapam, ac Barsaentem, Arachotorum et Drangorum satrapam, Darium in custodia tenere. (2) Quo audito Alexander majore adhuc celeritate sibi utendum putavit, amicis tantum equitibusque antecursoribus ac peditum fortissimis simul atque expeditissimis delectis, non exspectato Cœni, qui frumentatum iverat, reditu. Reliquo exercitui Craterum præficiens, mandat ut itinera moderatius faciat. (3) Qui cum ipso ibant, arma solum et duorum dierum cibaria gerebant. Tota itaque nocte et postero die ad meridiem usque continuato itinere, aliquantulum temporis militi ad quietem dedit. Inde rursus tota nocte progressus, diluculo in ea castra pervenit, unde Bagistanes discesserat. (4) et hostes quidem ibi nactus non est. De Dario autem certior factus est captivum illum in curru portari, Bessum loco Darii imperium obtinere, et a Bactrianis equitibus aliisque barbaris qui cum Dario fugerant, ducem nominari, præterquam ab Artabazo et Artabazi filiis Græcisque mercenariis. Hos fidos perpetuo in Darium fuisse, neque tamen ea quæ accidissent impedire potuisse; eosque a publica via deflexos, montes petere, nec cum Besso consilia communicare. (5) Præterea eos qui Darium cepissent ita secum statuisse, ut si audiant Alexandrum se insequi, Darium tradant et rebus suis consulant, sin retrocessisse intelligant, exercitum quam possint maximum conscribant, et communi inter se ope imperium tueantur. Bessum in præsentia exercitus ducem designatum esse ob eam necessitu-

παρόντι ἐξηγεῖσθαι κατ' οἰκειότητά τε τὴν Δαρείου καὶ ὅτι ἐν τῇ αὐτοῦ σατραπείᾳ τὸ ἔργον ἐγίγνετο.

6. Ταῦτα ἀκούσαντι Ἀλεξάνδρῳ ἀνὰ κράτος διωκτέα ἐφαίνετο. Καὶ ἤδη μὲν ἐξέκαμνον οἵ τε ἄνδρες καὶ οἱ ἵπποι ἐπὶ τῇ ταλαιπωρίᾳ τῇ ξυνεχεῖ· ἀλλὰ καὶ ὡς ἦγε, καὶ διελθὼν ὁδὸν πολλὴν τῆς τε νυκτὸς καὶ τῆς ἐπὶ ταύτῃ ἡμέρας ἕστε ἐπὶ μεσημβρίαν ἀφικνεῖται ἔς τινα κώμην, ἵνα τῇ προτεραίᾳ ἐστρατοπεδεύκεσαν οἱ Δαρεῖον ἄγοντες. (7) Ἐνταῦθα ἀκούσας ὅτι νυκτὸς ποιεῖσθαι τὴν πορείαν ἐγνωσμένον εἴη τοῖς βαρβάροις, ἤλεγχε τοὺς προσχώρους εἴ δή τινα εἰδεῖεν ἐπιτομωτέραν ὁδὸν ἐπὶ τοὺς φεύγοντας. Οἱ δὲ εἰδέναι μὲν ἔφασαν, ἐρήμην δὲ εἶναι τὴν ὁδὸν διὰ ἀνυδρίαν. Ὁ δὲ ταύτην ἄγειν ἐκέλευσε· καὶ γνοὺς ὅτι οὐχ ἕψονται οἱ πεζοὶ αὐτῷ σπουδῇ ἐλαύνοντι, τῶν μὲν ἱππέων ἐς πεντακοσίους κατεβίβασεν ἀπὸ τῶν ἵππων· τοὺς ἡγεμόνας δὲ τῶν πεζῶν καὶ τῶν ἄλλων ἐπιλεξάμενος τοὺς κρατιστεύοντας ἐπιβῆναι τῶν ἵππων ἐκέλευσεν οὕτως ὅπως οἱ πεζοὶ ὡπλισμένοι ἦσαν. (8) Νικάνορα δὲ τὸν τῶν ὑπασπιστῶν ἡγεμόνα καὶ Ἄτταλον τὸν τῶν Ἀγριάνων κατὰ τὴν ὁδὸν ἥντινα οἱ ἀμφὶ Βῆσσον προὐκεχωρήκεσαν τοὺς ὑπολειφθέντας ἄγειν ἐκέλευσε, καὶ τούτους ὡς κουφότατα ἐσταλμένους, τοὺς δὲ ἄλλους πεζοὺς ἐν τάξει ἕπεσθαι. (9) Αὐτὸς δὲ ἀμφὶ δείλην ἄγειν ἀρξάμενος ὁρόμῳ ἠγεῖτο· διελθὼν δὲ τῆς νυκτὸς σταδίους ἐς τετρακοσίους ὑπὸ τὴν ἕω ἐπιτυγχάνει τοῖς βαρβάροις ἀτάκτως ἰοῦσι καὶ ἀνόπλοις, ὥστε ὀλίγοι μέν τινες αὐτῶν ὡς ἀμυνούμενοι ὥρμησαν· οἱ δὲ πολλοὶ εὐθὺς ὡς Ἀλέξανδρον αὐτὸν κατεῖδον, οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφευγον· καὶ οἱ τραπέντες ἐς ἀλκὴν ὀλίγων πεσόντων καὶ οὗτοι ἔφυγον. (10) Βῆσσος δὲ καὶ οἱ ξὺν αὐτῷ τέως μὲν ἐφ' ἁρμαμάξης Δαρεῖον μετὰ σφῶν ἐκόμιζον· ὡς δὲ ὁμοῦ ἤδη ἦν Ἀλέξανδρος, Δαρεῖον μὲν Ναβαρζάνης καὶ Βαρσαέντης κατατρώσαντες αὐτοῦ ἀπέλιπον· αὐτοὶ δὲ ἔφυγον σὺν ἱππεῦσιν ἑξακοσίοις. Δαρεῖος δὲ ἀποθνήσκει ὀλίγον ὕστερον ἐκ τῶν τραυμάτων πρὶν ὀρθῆναι Ἀλεξάνδρῳ.

dinem quæ ipsi cum Dario intercedebat, tum etiam quod in ejus satrapatu id perpetratum erat.

6. Hæc quum audisset Alexander, omni studio persequendam rem existimavit. Ac tametsi tam viri quam equi continuato itineris labore defatigati essent, nihilo tamen minus urgebat. Magnoque itinere per noctem et insequentem diem ad meridiem usque confecto, in pagum quendam pervenit, ubi qui Darium ducebant pridie conselerant. (7) Ibi certior factus barbaris statutum esse noctu iter ingredi, percontatus est incolas, an aliquod viæ compendium nossent, qua fugientes assequi posset. Qui quidem se nosse affirmarunt, cæterum viam illam præ aquarum inopia desertam esse. Ipse nihilominus ut illac ducant imperat: quumque intelligeret non posse pedites se festinanter equitantem sequi, equites circiter quingentos equis desilire jubet, et duces peditum aliosque præstantissimos quosque; ita ut pedites armati erant, equos conscendere. (8) Nicanori vero, scutatorum præfecto, et Attalo, Agrianorum duci, per viam qua Bessus cum suis processerat, reliquos, qui quidem levissime armati essent, ut ducant injungit; ceteri pedites, ut composito agmine sequantur. (9) Ipse sub vesperum iter ingressus, citato agmine processit. Confectisque per noctem quadringentis stadiis, sub lucem barbaros incomposite procedentes atque inermes assecutus est. Pauci admodum ex iis restitere: plurimi statim conspecto Alexandro, antequam prælium experirentur in fugam vertuntur: ex iis vero qui ad arma confugerunt cæsis nonnullis, reliqui terga verterunt. (10) Bessus autem ejusque comites interea Darium curru secum ducebant. At quum Alexander eorum tergo instaret, Nabarzanes et Barzaentes Darium ab ipsis vulneratum ibidem relinquunt, et cum DC equitibus sese in præcipitem fugam dedunt. Neque multo post Darius ex acceptis vulneribus priusquam ab Alexandro visus esset, interiit.

ΚΕΦ. ΚΒ'.

Ἀλέξανδρος δὲ τὸ μὲν σῶμα τοῦ Δαρείου ἐς Πέρσας ἔπεμψε, θάψαι κελεύσας ἐν ταῖς βασιλικαῖς θήκαις, καθάπερ καὶ οἱ ἄλλοι οἱ πρὸ Δαρείου βασιλεῖς· σατράπην δὲ ἀπέδειξε Παρθυαίων καὶ Ὑρκανίων Ἀμμινάπην Παρθυαῖον· ἦν δὲ οὗτος τῶν Αἴγυπτον ἐνδόντων Ἀλεξάνδρῳ μετὰ Μαζάκου. Τληπόλεμος δὲ Πυθοφάνους τῶν ἑταίρων ξυνετάχθη αὐτῷ σκοπεῖν τὰ ἐν Παρθυαίοις τε καὶ Ὑρκανίοις.

2. Τοῦτο τὸ τέλος Δαρείῳ ἐγένετο ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφῶντος μηνὸς Ἑκατομβαιῶνος, ἀνδρὶ τὰ μὲν πολέμια, εἴπερ τινὶ ἄλλῳ, μαλθακῷ τε καὶ οὐ φρενήρει, εἰς δὲ τἆλλα οὐδὲν ἀνεπιεικὲς ἔργον ἀποδειξαμένῳ ἢ οὐδὲ ἐγγενόμενον αὐτῷ ἀποδείξασθαι, ὅτι

CAP. XXII.

Alexander Darii corpus ad Persas misit, ut in regiis mausoleis, more reliquorum regum qui Darium antecesserant, conderetur. Post hæc Amminapem Parthum, unum eorum qui cum Mazace Ægyptum tradiderant, Parthorum et Hyrcanorum satrapam constituit. Adjunxit autem illi Tlepolemum Pythophanis filium, unum ex amicis, qui rerum Parthicarum et Hyrcanicarum simul curam gereret.

2. Atque hic quidem Dario vitæ exitus fuit, archonte Athenis Aristophonte, mense Hecatombæone: viro quod ad res bellicas attinet, si quis alius languido parumque prudenti: quod ad cetera, qui nihil iniqui in suos com-

ὁμοῦ μὲν εἰς τὴν βασιλείαν παρελθεῖν, ὁμοῦ δὲ προσπολεμεῖσθαι πρός τε Μακεδόνων καὶ τῶν Ἑλλήνων ξυνέβη. Οὔκουν οὐδὲ ἐθέλοντι ἐξῆν ἔτι ὑβρίζειν ἐς τοὺς ὑπηκόους, ἐν μείζονι κινδύνῳ ἢπερ ἐκεῖνοι καθεστηκότι. (3) Ζῶντι μὲν δὴ ξυμφοραὶ αὐτῷ ἄλλαι ἐπ' ἄλλαις ξυνηνέχθησαν, οὐδέ τις ἀνακωχὴ ἐγένετο ἐπειδὴ πρῶτον ἐς τὴν ἀρχὴν παρῆλθεν· ἀλλὰ εὐθὺς μὲν τὸ τῶν σατραπῶν ἐπὶ Γρανικῷ πταῖσμα ξυνέβη τὸ ἱππικόν, εὐθὺς δὲ Ἰωνία τε καὶ Αἰολὶς εἴχοντο καὶ Φρύγες ἀμφότεροι καὶ Λυδία καὶ Κᾶρες πλὴν Ἁλικαρνασσέων· (4) ὀλίγον δὲ ὕστερον καὶ Ἁλικαρνασσὸς ἐξῄρητο, ἐπὶ δὲ ἡ παραλία πᾶσα ἔστε ἐπὶ τὴν Κιλικίαν· ἔνθεν δὲ ἡ αὐτοῦ ἐπ' Ἰσσῷ ἦσσα, ἵνα τήν τε μητέρα αἰχμαλωτισθεῖσαν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐπεῖδεν· ἐπὶ τῷδε Φοινίκη τε ἀπώλετο καὶ Αἴγυπτος πᾶσα· ἐπὶ δὲ αὐτὸς ἐν Ἀρβήλοις ἔφυγέ τε ἐν πρώτοις αἰσχρῶς καὶ στρατιὰν πλείστην παντὸς τοῦ βαρβαρικοῦ γένους ἀπώλεσε· (5) φυγάς τε ἐκ τούτου τῆς αὐτοῦ ἀρχῆς πλανώμενος, καὶ τελευτῶν πρὸς τῶν ἀμφ' αὐτὸν ἐς τὰ ἔσχατα προδοθείς, βασιλεύς τε ἐν τῷ αὐτῷ καὶ δεσμώτης ξὺν ἀτιμίᾳ ἀγόμενος, τέλος δὲ πρὸς τῶν οἰκειοτάτων ἐπιβουλευθεὶς ἀπώλετο. Ζῶντι μὲν Δαρείῳ τοιαῦτα ξυνηνέχθη· τελευτήσαντι δὲ ταφή τε ἡ βασιλικὴ καὶ τῶν παίδων ὁποία καὶ βασιλεύοντος αὐτοῦ τροφή τε Ἀλεξάνδρου καὶ παίδευσις, καὶ γαμβρὸς Ἀλέξανδρος. Ὁπότε δὲ ἐτελεύτα ἐγεγόνει ἀμφὶ τὰ πεντήκοντα ἔτη.

ΚΕΦ. ΚΓ'.

Ἀλέξανδρος δὲ τοὺς ὑπολειφθέντας ἐν τῇ διώξει τῆς στρατιᾶς ἀναλαβὼν ἐς Ὑρκανίαν προὐχώρει. Κεῖται δὲ ἡ Ὑρκανία χώρα ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἐπὶ Βάκτρα φερούσης· καὶ τῇ μὲν ὄρεσιν ἀπείργεται δασέσι καὶ ὑψηλοῖς, τὸ πεδίον δὲ αὐτῆς καθήκει ἔστε ἐπὶ τὴν μεγάλην τὴν ταύτῃ θάλασσαν. Ταύτην δὲ ἦγεν, ὅτι ταύτῃ τοὺς ξένους τοὺς ἀμφὶ Δαρεῖον διαπεφευγέναι ἐς τὰ τῶν Ταπούρων ὄρη ἐπύθετο καὶ αὐτοὺς ἅμα τοὺς Ταπούρους χειρωσόμενος. (2) Τριχῇ δὴ διελὼν τὸν στρατὸν αὐτὸς μὲν τὴν ἐπιτομωτάτην καὶ χαλεπωτάτην ἡγήσατο, τὸ πλεῖστον καὶ ἅμα τὸ κουφότατον τῆς δυνάμεως ἄγων· Κράτερον δὲ τήν τε αὐτοῦ τάξιν ἔχοντα καὶ τὴν Ἀμύντου καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ ὀλίγους τῶν ἱππέων ἐπὶ Ταπούρων ἔστειλεν· Ἐρίγυιον δὲ τούς τε ξένους καὶ τὴν λοιπὴν ἵππον ἀναλαβόντα τὴν λεωφόρον τε καὶ μακροτέραν ἡγεῖσθαι ἐκέλευσε, τὰς ἁμάξας καὶ τὰ σκευοφόρα καὶ τὸν ἄλλον ὄμιλον ἄγοντα.

3. Ὑπερβαλὼν δὲ τὰ πρῶτα ὄρη καὶ καταστρατοπεδεύσας αὐτοῦ, ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τῆς Μακεδονικῆς φάλαγγος τοὺς κουφοτάτους καὶ τῶν τοξοτῶν ἔστιν οὓς, ἦει χαλεπὴν ὁδὸν καὶ δύσπορον, φύλακας τῶν ὁδῶν καταλιπὼν ἵνα σφαλερόν τι αὐτῷ ἐφαίνετο, ὡς μὴ τοῖς ἑπομένοις κατ' ἐκεῖνο ἐπίθοιντο οἱ τὰ ὄρη

miserit, aut certe potestatem committendi non habuerit. Nam simulac regnare cepit, statim a Macedonibus et Græcis bello lacessitus est. Quocirca ne volenti quidem integrum erat subditos sibi injuria afficere, quum ipse in majore periculo quam ipsi versaretur. (3) Quamdiu in vivis fuit, aliæ illum ex aliis calamitates exceperunt, neque ulla intermissio aut requies fuit, ex quo primum ad regnandum accessit. Nam statim initio equestris illa satraparum ad Granicum amnem clades accidit : mox Ioniam et Æoliam amisit et utramque Phrygiam, Lydiam quoque et Cariam, præter Halicarnassenses : (4) sed paulo post ipsa etiam Halicarnassus erepta est ; deinde universa regio maritima ad Ciliciam usque. Post hæc ingentem illam apud Issum cladem accepit, in qua mater, uxor ac liberi ejus capti sunt ; deinde Phœnicia atque Ægyptus imperio ejus detractæ; postea ipse in Arbelis primus turpiter fugit, et ingentem exercitum ex omni barbarorum gente amisit. (5) Inde profugus e suo regno errans, et ad postremum ab iis qui circa eum erant, pessime proditus, eodemque tempore et rex et captivus cum ignominia ductus, tandem ab intimis sibi ex insidiis cæsus interiit. (6) Hæc quidem omnia viventi Dario acciderunt : ac contra mortuo regia sepultura, liberorum perinde atque ipso regnante educatio atque institutio ab Alexandro, et Alexander gener contigit. Mortuus est annos natus circiter quinquaginta.

CAP. XXIII.

Alexander autem, iis quos in persequenda fuga post se reliquerat assumptis, in Hyrcaniam movit. Sita porro est Hyrcania ad lævam viæ quæ in Bactra ducit : atque ab una quidem parte montibus densis ac præcelsis coercetur, ab altera vero campus ejus in magnum mare quod illic est porrigitur. Hac Alexander exercitum ducebat, quod acceperat externos milites, qui Darii stipendiis meruerant, in Taporum montes confugisse, ipsos etiam Tapuros subjugare statuens. (2) Tripartito itaque exercitu, ipse per brevissimos difficillimosque tramites contendebat, maximam expeditissimamque copiarum partem ducens; Craterum autem cum suo et Amyntæ agmine cumque equitibus ac sagittariis nonnullis in Tapuros mittit. Erigyium vero exteros reliquumque equitatum via plana ceterum longiore ducere jubet, cui currus atque impedimenta ac cæteram turbam adjungit.

3. Superatis itaque primis montibus, castrisque ibi positis, ipse sumptis scutatis et Macedonicæ phalangis expeditissimis quibusque et sagittariorum nonnullis, viam perdifficilem atque impeditam ingressus est : dispositis per viam præsidiis, ubi quid periculi esse videbatur, ne barbari montani in eos qui sequebantur impetum facerent. (4) Ipse cum

ἔχοντες τῶν βαρβάρων. (4) Αὐτὸς δὲ μετὰ τῶν τοξοτῶν διελθὼν τὰ στενὰ ἐν τῷ πεδίῳ κατεστρατοπέδευσε πρὸς ποταμῷ οὐ μεγάλῳ. Καὶ ἐνταῦθα ὄντος αὐτοῦ Ναβαρζάνης τε ὁ Δαρείου χιλιάρχης καὶ Φραταφέρνης ὁ Ὑρκανίας τε καὶ Παρθυαίων σατράπης καὶ ἄλλοι τῶν ἀμφὶ Δαρεῖον Περσῶν οἱ ἐπιφανέστατοι ἀφικόμενοι παρέδοσαν σφᾶς αὐτούς. (5) Ὑπομείνας δὲ ἐν τῷ στρατοπέδῳ τέσσαρας ἡμέρας ἀνέλαβε τοὺς ὑπολειφθέντας κατὰ τὴν ὁδόν, τοὺς μὲν ἄλλους ἀσφαλῶς διελθόντας, τοῖς δὲ Ἀγριᾶσιν ὀπισθοφυλακοῦσιν ἐπέθεντο οἱ ὀρειοι τῶν βαρβάρων, καὶ μεῖον ἔχοντες τῷ ἀκροβολισμῷ ἀπηλλάγησαν.

6. Ἄρας δὲ ἐντεῦθεν προῆει ὡς ἐπ' Ὑρκανίας εἰς Ζαδράκαρτα, πόλιν Ὑρκανίων. Καὶ ἐν τούτῳ οἱ περὶ Κράτερον συνέμιξαν αὐτῷ, τοῖς μὲν ξένοις τοῖς Δαρείου οὐκ ἐντετυχηκότες, τὴν χώραν δὲ ὅσην διαπεπορευμένοι ἦσαν τὴν μὲν βίᾳ, τὴν δὲ ἐνδιδόντων τῶν κατοικούντων προσπεποιημένοι. Ἐνταῦθα καὶ Ἐρίγυιος ἦκε ξὺν τοῖς σκευοφόροις καὶ ταῖς ἁμάξαις. (7) Ὀλίγον δὲ ὕστερον Ἀρτάβαζος ἀφίκετο παρ' Ἀλέξανδρον καὶ τῶν παίδων αὐτοῦ Κωφὴν καὶ Ἀριοβαρζάνης καὶ Ἀρσάμης καὶ ξὺν τούτοις παρὰ τῶν ξένων τῶν ξὺν Δαρείῳ πρέσβεις καὶ Αὐτοφραδάτης ὁ Ταπούρων σατράπης. Αὐτοφραδάτῃ μὲν δὴ τὴν σατραπείαν ἀπέδωκεν, Ἀρτάβαζον δὲ καὶ τοὺς παῖδας ἅμα οἳ ἐν τιμῇ ἦγε, τά τε ἄλλα ἐν τοῖς πρώτοις Περσῶν ὄντας καὶ τῆς ἐς Δαρεῖον πίστεως ἕνεκα. (8) Τοῖς πρέσβεσι δὲ τῶν Ἑλλήνων δεομένοις σπείσασθαί σφισιν ὑπὲρ τοῦ παντὸς ξενικοῦ ἀπεκρίνατο, ὁμολογίαν μὲν οὐκ ἂν ποιήσεσθαι πρὸς αὐτοὺς οὐδεμίαν· ἀδικεῖν γὰρ μεγάλα τοὺς στρατευομένους ἐναντία τῇ Ἑλλάδι παρὰ τοῖς βαρβάροις παρὰ τὰ δόγματα τὰ Ἑλλήνων· ἐκέλευσε δὲ ἥκειν ξύμπαντας καὶ παραδιδόναι σφᾶς αὐτοὺς ἐπιτρέποντας Ἀλεξάνδρῳ χρῆσθαί ὅ τι καὶ βούλοιτο ἢ σώζεσθαι ὅπῃ δύναιντο. (9) Οἱ δὲ ἐπιτρέπειν ἔφασαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους Ἀλεξάνδρῳ· ξυμπέμπειν τε ἐκέλευον τὸν ἡγησόμενον αὐτοῖς, ὡς ἀσφαλῶς διακομισθεῖεν παρ' αὐτόν· εἶναι δὲ ἐλέγοντο ἐς χιλίους καὶ πεντακοσίους. Καὶ Ἀλέξανδρος πέμπει Ἀνδρόνικον τὸν Ἀγέρρου καὶ Ἀρτάβαζον παρ' αὐτούς.

sagittariis angustias transgressus, in planitie juxta amnem non magnum castra posuit. Eo loci Nabarzanes, Darii chiliarcha et Phrataphernes, Hyrcanorum ac Parthorum satrapa, et alii quidam Persarum qui apud Darium illustriori loco fuerant, ad Alexandrum accedunt, seque ei dedunt. (5) Quatuor ibi in castris dies moratus, partem copiarum quam in itinere reliquerat, recepit. Et pars quidem tuto transierant: in Agrianos vero novissimi agminis custodiam tenentes barbari montani irruerunt, sed jaculis repulsi sese receperunt.

6. Motis inde castris, in Hyrcaniam progressus, Zadracarta urbem petit. Eodem fere tempore Craterus ad eum venit, non inventis quidem exteris qui Darium secuti fuerant: omnem vero regionem per quam iter fecerat, partim vi partim deditione incolarum receperat. Erigyius quoque cum impedimentis et curribus eodem pervenit. (7) Neque multo post Artabazus cum Cophene, Ariobarzane et Arsame filiis ad Alexandrum accessit, unaque cum iis legati ab exteris Darium secutis, et Autophradates Tapurorum satrapa. Autophradatem quidem in satrapiam suam restituit. Artabazum autem et liberos secum in honore habuit, tum quod ex principibus Persicæ nationis erant, tum propter eorum erga Darium fidem. (8) Græcorum vero legatis postulantibus ut universos exteros in fidem amicitiamque suam reciperet, respondit se nullam cum iis pactionem initurum. Gravissime enim delinquere, qui adversus Græcos pro barbaris militarent, contra commune Græcorum decretum. Jussit autem ut omnes ad se venirent, seque dederent, ut de ipsis pro suo arbitrio statuere posset, aut sibi quacunque via possent salutem quærerent. (9) Illi semetipsos atque reliquos Alexandro committunt, petentes ut aliquem ipsis ducem mitteret, quo tuto ad eum venire possint. Esse vero circiter mille quingentos esse ferebant. Alexander Andronicum Agerri filium et Artabazum ad eos mittit.

ΚΕΦ. ΚΔ'.

Αὐτὸς δὲ προῆγεν ὡς ἐπὶ Μάρδους, ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ Ἀγριᾶνας καὶ τὴν Κοίνου καὶ Ἀμύντου τάξιν καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς ἱππακοντιστάς· ἤδη γὰρ αὐτῷ καὶ ἱππακοντισταὶ τάξις ἦσαν. (2) Ἐπελθὼν δὲ τὸ πολὺ μέρος τῆς χώρας τῶν Μάρδων πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν φεύγοντας, οὓς δέ τινας ἐς ἀλκὴν τετραμμένους, πολλοὺς δὲ ζῶντας ἔλαβεν. Οὐ γὰρ ἔστιν ὅστις χρόνου ἐμβεβλήκει ἐς τὴν γῆν αὐτῶν ἐπὶ πολέμῳ διά τε δυσχωρίαν καὶ ὅτι πένητες οἱ Μάρδοι καὶ μάχιμοι ἐπὶ τῇ πενίᾳ ἦσαν. Οὔκουν οὐδὲ Ἀλέξανδρον ἐμ-

CAP. XXIV.

Ipse in Mardos profectus est, sumptis secum scutatis et sagittariis atque Agrianis, Cœni etiam et Amyntæ agminibus ac dimidia equitum amicorum parte et jaculatoribus equestribus. Jam enim etiam agmen jaculatorum equestrium constituerat. (2) Magna itaque Mardorum regionis parte percursa, multos eorum fugientes, nonnullos ad arma conversos interfecit, multos etiam vivos capit. Ante Alexandrum nemo eam regionem hostiliter invaserat, cum ob asperitatem locorum, tum quod pauperes Mardi et bellicosi propter paupertatem erant. Quocirca neque Alexandrum unquam ipsos adoriturum suspicati, quum et ipse

βαλεῖν ἂν ποτε δείσαντες, ἄλλως τε καὶ προκεχωρηκότα ἤδη ἐς τὸ πρόσω, ταύτῃ μᾶλλόν τι ἀφύλακτοι ἠλίσκοντο. (3) Πολλοὶ δὲ αὐτῶν καὶ ἐς τὰ ὄρη κατέφυγον, ἃ δὴ ὑπερύψηλά τε καὶ ἀπότομα αὐτοῖς ἐν τῇ χώρᾳ ἐστίν, ὡς πρὸς ταῦτά γε οὐχ ἥξοντα Ἀλέξανδρον. Ἐπεὶ δὲ καὶ ταύτῃ προσῆγεν, οἱ δὲ πέμψαντες πρέσβεις σφᾶς τε αὐτοὺς ἐνέδοσαν καὶ τὴν χώραν· καὶ Ἀλέξανδρος αὐτοὺς μὲν ἀφῆκε, σατράπην δὲ ἀπέδειξεν αὐτῶν Αὐτοφραδάτην, ὅνπερ καὶ Ταπούρων.

4. Αὐτὸς δὲ ἐπανελθὼν ἐς τὸ στρατόπεδον ἔνθενπερ ὡρμήθη ἐς τῶν Μάρδων τὴν γῆν, κατέλαβε τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἥκοντας καὶ τοὺς Λακεδαιμονίων πρέσβεις οἳ παρὰ βασιλέα Δαρεῖον ἐπρέσβευον, Καλλικρατίδαν τε καὶ Παύσιππον καὶ Μόνιμον καὶ Ὀνόμαντα, καὶ Ἀθηναίων Δρωπίδην. Τούτους μὲν δὴ ξυλλαβὼν ἐν φυλακῇ εἶχε. Τοὺς Σινωπέων δὲ ἀφῆκεν, ὅτι Σινωπεῖς οὔτε τοῦ κοινοῦ τῶν Ἑλλήνων μετεῖχον, ὑπὸ Πέρσαις τε τεταγμένοι οὐκ ἀπεικότα ποιεῖν ἐδόκουν παρὰ τὸν βασιλέα σφῶν πρεσβεύοντες. (5) Ἀφῆκε δὲ καὶ τῶν ἄλλων Ἑλλήνων ὅσοι πρὸ τῆς εἰρήνης τε καὶ τῆς ξυμμαχίας τῆς πρὸς Μακεδόνας γενομένης παρὰ Πέρσαις ἐμισθοφόρουν, καὶ Καλχηδονίων Ἡρακλείδην τὸν πρεσβευτὴν ἀφῆκε· τοὺς δ' ἄλλους ξυστρατεύεσθαί οἱ ἐπὶ μισθῷ τῷ αὐτῷ ἐκέλευσε· καὶ ἐπέταξεν αὐτοῖς Ἀνδρόνικον, ὅσπερ ἡγαγέ τε αὐτοὺς καὶ ἔνδηλος γεγόνει οὐ φαῦλον ποιούμενος σῶσαι τοὺς ἄνδρας.

ΚΕΦ. ΚΕ'.

Ταῦτα δὲ διαπραξάμενος ἦγεν ὡς ἐπὶ Ζαδράκαρτα, τὴν μεγίστην πόλιν τῆς Ὑρκανίας, ἵνα καὶ τὰ βασίλεια τοῖς Ὑρκανίοις ἦν. Καὶ ἐνταῦθα διατρίψας ἡμέρας πεντεκαίδεκα καὶ θύσας τοῖς θεοῖς ὡς νόμος καὶ ἀγῶνα γυμνικὸν ποιήσας ὡς ἐπὶ Παρθυαίους ἦγεν· ἐκεῖθεν δὲ ἐπὶ τὰ τῆς Ἀρείας ὄρια καὶ Σουσίαν, πόλιν τῆς Ἀρείας, ἵνα καὶ Σατιβαρζάνης ἦκε παρ' αὐτὸν ὁ τῶν Ἀρείων σατράπης· (2) τούτῳ μὲν δὴ τὴν σατραπείαν ἀποδοὺς ξυμπέμπει αὐτῷ Ἀνάξιππον τῶν ἑταίρων, δοὺς αὐτῷ τῶν ἱππακοντιστῶν ἐς τεσσαράκοντα, ὡς ἔχοι φύλακας καθιστάναι τῶν τόπων, τοῦ μὴ ἀδικεῖσθαι τοὺς Ἀρείους πρὸς τῆς στρατιᾶς κατὰ τὴν πάροδον.

3. Ἐν τούτῳ δὲ ἀφικνοῦνται παρ' αὐτὸν Περσῶν τινές, οἳ ἤγγελλον Βῆσσον τήν τε τιάραν ὀρθὴν ἔχειν καὶ τὴν Περσικὴν στολὴν φοροῦντα Ἀρταξέρξην τε καλεῖσθαι ἀντὶ Βήσσου καὶ βασιλέα φάσκειν εἶναι τῆς Ἀσίας· ἔχειν τε ἀμφ' αὑτὸν Περσῶν τε τοὺς ἐς Βάκτρα διαφυγόντας καὶ αὐτῶν Βακτριανῶν πολλούς· προσδοκᾶσθαι δὲ ἥξειν αὐτῷ καὶ Σκύθας ξυμμάχους.

4. Ἀλέξανδρος δὲ ὁμοῦ ἤδη ἔχων τὴν πᾶσαν δύναμιν ἤει ἐπὶ Βάκτρων, ἵνα καὶ Φίλιππος ὁ Μενελάου παρ' αὐτὸν ἀφίκετο ἐκ Μηδίας, ἔχων τούς τε μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο αὐτός, καὶ Θεσσαλῶν τοὺς ἐθελοντὰς ὑπομείναντας καὶ τοὺς ξένους τοὺς Ἀνδρομάχου. Νικάνωρ δὲ ὁ Παρμενίωνος, ὃς ἀδελφὸς μὲν ἦν Φιλώτου, ἐτύγχανε δὲ ἀσθενῶν καὶ ὑπολειφθεὶς ἐν Ἀραχωτοῖς ἐτελεύτησεν.

alioqui jam ulterius progressus esset, eo facilius ex improviso capti sunt. (3) Complures autem eorum in montes confugerunt, qui et vehementer excelsi atque abrupti ea in regione erant, existimantes Alexandrum eo nequaquam pervasurum. Postquam vero ea etiam loca adisset, missis legatis sese pariter et regionem dediderunt. Quibus dimissis Autophradatem iis satrapam, ut et Tapuris, statuit.

4. Ipse in castra reversus unde in Mardos moverat, Græcos mercenarios qui ad se venerant, reperit: item Lacedæmoniorum legatos qui ad Darium missi fuerant. Hi erant Callicratidas, Pausippus, Monimus, Onomas: ac Dropides Atheniensium. Quos comprehensos in custodiam tradit. Sinopensium legatos liberos dimisit, quum Sinopenses, nullam cum republica Græcorum societatem habentes, utpote Persis subditi, non inique facere viderentur, si ad regem suum legatos mitterent. (5) Reliquos præterea Græcos, quotquot ante pacem et societatem cum Macedonibus initam apud Persas mercede militaverant, atque item Heraclidem Chalcedonensium legatum, dimisit. Ceteros secum eadem mercede, qua sub Dario meruerant, militare jussit, iisque Andronicum præfecit, qui illos adduxerat judicavitque se non male fecisse, quod illorum vitæ consuluisset.

CAP. XXV.

His rebus peractis ad Zadracarta maximam Hyrcaniæ urbem, ubi regia erat, exercitum duxit. Atque ibidem dies quindecim commoratus sacrificio diis rite facto, gymnicisque ludis editis, in Parthos contendit. Inde in Ariæ fines, ad Susiam Ariorum urbem, quo loci Satibarzanes Ariorum satrapes ad eum venit. (2) Huic satrapatum reddit, unaque cum eo Anaxippum unum ex amicis mittit, quadraginta equestribus jaculatoribus ei adjunctis, quos custodes locorum disponeret, ne Arii ab exercitu illac transeunte damni aliquid acciperent.

3. Per id tempus Persarum nonnulli ad eum venerunt, nuntiantes Bessum tiaram rectam Persicamque vestem gestare, et immutato Bessi nomine Artaxerxem vocari, seque Asiæ regem appellare; habere apud se Persas qui in Bactra profugerant, et ex Bactrianis complures. Scytharum etiam confœderatorum adventum exspectare.

4. Alexander omnes jam copias conjunctas habens in Bactra movet. Eo loci Philippus etiam Menelai filius ad eum ex Media venit, equites mercenarios habens, quibus ipse præerat, et Thessalos qui voluntarii remanserant, ac peregrinos Andromacho duce. Nicanor autem, Parmenionis filius,

νωρ δὲ ὁ Παρμενίωνος ὁ τῶν ὑπασπιστῶν ἄρχων τετελευτήκει ἤδη νόσῳ. (5) Ἰόντι δὲ Ἀλεξάνδρῳ τὴν ἐπὶ Βάκτρα ἐξηγγέλθη Σατιβαρζάνης ὁ Ἀρείων σατράπης Ἀνάξιππον μὲν καὶ ἱππακοντιστὰς τοὺς ξὺν αὐτῷ ἀπεκτονώς, ὁπλίζων δὲ τοὺς Ἀρείους καὶ ξυνάγων εἰς Ἀρτακόανα πόλιν, ἵνα τὸ βασίλειον ἦν τῶν Ἀρείων· ἐκεῖθεν δὲ ὅτι ἔγνωκεν, ἐπειδὰν προκεχωρηκότα Ἀλέξανδρον πύθηται, ἰέναι ξὺν τῇ δυνάμει παρὰ Βῆσσον, ὡς ξὺν ἐκείνῳ ἐπιθησόμενος ὅπῃ ἂν τύχῃ τοῖς Μακεδόσι. (6) Ταῦτα ὡς ἐξηγγέλθη αὐτῷ, τὴν μὲν ἐπὶ Βάκτρα ὁδὸν οὐκ ἦγεν· ἀναλαβὼν δὲ τούς τε ἑταίρους ἱππέας καὶ τοὺς ἱππακοντιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Ἀμύντου τε καὶ Κοίνου τάξιν, τὴν δὲ ἄλλην δύναμιν αὐτοῦ καταλιπὼν καὶ ἐπ' αὐτῇ Κράτερον ἡγεμόνα, σπουδῇ ἦγεν ὡς ἐπὶ Σατιβαρζάνην τε καὶ τοὺς Ἀρείους, καὶ διελθὼν ἐν δυσὶν ἡμέραις σταδίους ἐς ἑξακοσίους πρὸς Ἀρτακόανα ἦκε.

7. Σατιβαρζάνης μὲν οὖν, ὡς ἔγνω ἐγγὺς ὄντα Ἀλέξανδρον, τῇ ὀξύτητι τῆς ἐφόδου ἐκπλαγεὶς ξὺν ὀλίγοις ἱππεῦσι τῶν Ἀρείων ἔφυγε· πρὸς γὰρ τῶν πολλῶν στρατιωτῶν κατελείφθη ἐν τῇ φυγῇ, ὡς κἀκεῖνοι ἔμαθον προσάγοντα Ἀλέξανδρον. Ἀλέξανδρος δέ, ὅσους ξυναιτίους τῆς ἀποστάσεως κατέμαθε καὶ ἐν τῷ τότε ἀπολελοιπότας τὰς κώμας, τούτους δὲ ἄλλῃ καὶ ἄλλῃ, ὀξείας τὰς διώξεις ποιησάμενος, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἠνδραπόδισε· σατράπην δὲ Ἀρείων ἀπέδειξεν Ἀρσάμην, ἄνδρα Πέρσην. (8) Αὐτὸς δὲ ξὺν τοῖς ἀμφὶ Κράτερον ὑπολελειμμένοις, ὁμοῦ οὖσιν ἤδη, ὡς ἐπὶ τὴν Ζαραγγαίων χώραν ἦγε· καὶ ἀφικνεῖται ἵνα τὰ βασίλεια τῶν Ζαραγγαίων ἦν. Βαρσαέντης δέ, ὃς τότε κατεῖχε τὴν χώραν, εἷς ὢν τῶν ξυνεπιθεμένων Δαρείῳ ἐν τῇ φυγῇ, προσιόντα Ἀλέξανδρον μαθὼν ἐς Ἰνδοὺς τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ ἔφυγε. Ξυλλαβόντες δὲ αὐτὸν οἱ Ἰνδοὶ παρ' Ἀλέξανδρον ἀπέστειλαν· καὶ ἀποθνήσκει πρὸς Ἀλεξάνδρου τῆς ἐς Δαρεῖον ἀδικίας ἕνεκα.

scutatorum præfectus, jam morbo sublatus erat. (5) Eunti in Bactra Alexandro nuntiatur Satibarzanem Ariorum satrapam, interfecto Anaxippo, et equitibus jaculatoribus qui ei aderant, Arios armare, et ad urbem Artacoana, in qua regia Ariorum erat, congregare. Inde vero statuisse, quando Alexandrum ulterius progressum audisset, cum exercitu ad Bessum ire, ut conjunctis cum illo copiis, quacunque via facultas daretur, Macedones adoriretur. (6) His rebus nuntiatis, intermisso itinere in Bactra, sumptis secum amicis equitibus et jaculatoribus equestribus atque sagittariis et Agrianis et Amyntæ ac Coeni agminibus, reliquo exercitu ibi relicto Crateroque ei præfecto, ipse celeriter adversus Satibarzanem et Arios ducit, stadiisque sexcentis biduo emensis, ad Artacoana pervenit.

7. Satibarzanes, ut appropinquare Alexandrum sensit, celeritate adventus consternatus, cum paucis equitibus Ariorum fugit. Plerique enim milites, quum jam imminere ipsis Alexandrum audirent, eum in fuga destituerunt. Alexander quotquot conscios defectionis fuisse cognovit desertisque tunc pagis abiisse, acriter eos diversis viis insecutus, partim interfecit, partim in servitutem redegit. (8) Arsaceque Persa satrapa Ariorum constituto, ipse una cum iis qui cum Cratero relicti erant in Zarangæos profectus eo pervenit ubi gentis illius regia erat. Barsaentes vero, qui tum eam regionem obtinebat, unus ex iis qui Darium in fuga oppresserant, cognito Alexandri adventu, ad Indos qui cis Indum flumen incolunt fugit. Quem Indi comprehensum ad Alexandrum mittunt. Alexander illum, ob perfidiam qua erga Darium usus fuerat, interfici jussit.

ΚΕΦ. ΚϚ'.

Ἐνταῦθα καὶ τὴν Φιλώτα ἐπιβουλὴν τοῦ Παρμενίωνος ἔμαθεν Ἀλέξανδρος, καὶ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος ὅτι προηγγελμένην ἤδη οἱ καὶ πρότερον ἐν Αἰγύπτῳ, οὐ μέντοι πιστή γε ἐφάνη τῆς τε φιλίας τῆς πάλαι εἵνεκα καὶ τῆς ἐξ αὐτοῦ ἐς Παρμενίωνά τε τὸν πατέρα τὸν Φιλώτα τιμῆς καὶ ἐς αὐτὸν Φιλώταν πίστεως. (2) Πτολεμαῖος δὲ ὁ Λάγου λέγει εἰσαχθῆναι ἐς Μακεδόνας Φιλώταν· καὶ κατηγορῆσαι μὲν αὐτοῦ ἰσχυρῶς Ἀλέξανδρον, ἀπολογήσασθαι δὲ αὐτὸν Φιλώταν· καὶ τοὺς ἐπιμηνυτὰς τοῦ ἔργου παρελθόντας ἐξελέγξαι Φιλώταν τε καὶ τοὺς ἀμφ' αὐτὸν ἄλλοις τε ἐλέγχοις οὐκ ἀφανέσι καὶ μάλιστα ὅτι αὐτὸς Φιλώτας πεπύσθαι μὲν ἐπιβουλήν τινα Ἀλεξάνδρῳ παρασκευαζομένην συνέφη, ἐξηλέγχετο δὲ κατασιωπήσας ταύτην πρὸς Ἀλέξανδρον, καίτοι ὁἰς ἐπὶ τὴν σκη-

CAP. XXVI.

Ibidem Alexander Philotam Parmenionis filium vitæ suæ insidiari cognovit. Ptolemæus et Aristobulus autores sunt, quum jam antea in Ægypto sibi de insidiis significatum fuisset, veteris amicitiæ causa, et honoris quem Parmenioni Philotæ patri habebat, simul etiam fiduciæ causa quam de Philota conceperat, nequaquam sibi verisimile id visum fuisse. (2) At Ptolemæus Lagi filius Philotam ad Macedones adductum scribit, graviterque in concione ab Alexandro accusatum fuisse: ac Philotam quidem se purgasse: deinde indices accessisse et criminationem adversus Philotam atque suos instituisse, idque cum aliis non obscuris argumentis, tum præcipue quod Philotas quidem se de quibusdam insidiis Alexandro paratis audisse confessus esset, quas celasse Alexandrum convincebatur, quum alioqui bis per singulos dies Alexandri tabernaculum adire solitus esset: (3) ac Philotam ceteros-

νὴν ὁσημέραι τὴν Ἀλεξάνδρου φοιτῶν. (3) Καὶ Φιλώταν μὲν καταχοντισθῆναι πρὸς τῶν Μακεδόνων καὶ ὅσοι ἄλλοι μετέσχον αὐτῷ τῆς ἐπιβουλῆς· ἐπὶ Παρμενίωνα δὲ σταλῆναι Πολυδάμαντα, ἕνα τῶν ἑταίρων, γράμματα φέροντα παρ' Ἀλεξάνδρου πρὸς τοὺς στρατηγοὺς τοὺς ἐν Μηδίᾳ, Κλέανδρον τε καὶ Σιτάλκην καὶ Μενίδαν· οὗτοι γὰρ ἐπὶ τῆς στρατιᾶς ἧς ἦρχε Παρμενίων τεταγμένοι ἦσαν. (4) Καὶ πρὸς τούτων ἀποθανεῖν Παρμενίωνα, τυχὸν μὲν ὅτι οὐ πιστὸν ἐδόκει εἶναι Ἀλέξανδρος Φιλώτα ἐπιβουλεύοντος μὴ ξυμμετασχεῖν Παρμενίωνα τῷ παιδὶ τοῦ βουλεύματος, τυχὸν δὲ ὅτι, εἰ καὶ μὴ ξυμμετέσχε, σφαλερὸς ἤδη ἦν περιὼν Παρμενίων, τοῦ παιδὸς αὐτοῦ ἀνῃρημένου, ἐν τοσαύτῃ ὢν ἀξιώσει παρά τε αὐτῷ Ἀλεξάνδρῳ καὶ ἐς τὸ ἄλλο στράτευμα, μὴ ὅτι τὸ Μακεδονικόν, ἀλλὰ καὶ τῶν ἄλλων ξένων, ὧν πολλάκις καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος κατὰ πρόσταξιν τὴν Ἀλεξάνδρου ξὺν χάριτι ἐξηγεῖτο.

ΚΕΦ. ΚΖ'.

Λέγουσι δὲ καὶ Ἀμύνταν τὸν Ἀνδρομένους κατὰ τὸν αὐτὸν χρόνον ὑπαχθῆναι ἐς κρίσιν, καὶ Πολέμωνα καὶ Ἄτταλον καὶ Σιμμίαν τοὺς Ἀμύντου ἀδελφούς, ὡς ξυμμετασχόντας καὶ αὐτοὺς τῆς ἐπιβουλῆς τῆς κατ' Ἀλεξάνδρου κατὰ πίστιν τε καὶ ἑταιρίαν τὴν Φιλώτα. (2) Καὶ ἐδόκει πιστοτέρα ἡ ἐπιβουλὴ ἐς τὸ πλῆθος, ὅτι Πολέμων, εἷς τῶν ἀδελφῶν τῶν Ἀμύντου, ξυλληφθέντος Φιλώτα, ἔφυγεν ἐς τοὺς πολεμίους. Ἀλλ' Ἀμύντας γε ξὺν τοῖς ἀδελφοῖς ὑπομείνας τὴν δίκην καὶ ἀπολογησάμενος ἐν Μακεδόσι καρτερῶς ἀφίεται τῆς αἰτίας· καὶ εὐθὺς ὡς ἀπέφυγεν, ἐν τῇ ἐκκλησίᾳ ἠξίωσεν ἀφεθῆναί οἱ ἐλθεῖν παρὰ τὸν ἀδελφὸν καὶ ἐπαναγαγεῖν αὐτὸν παρὰ τὸν Ἀλέξανδρον· καὶ οἱ Μακεδόνες ξυγχωροῦσιν. (3) Ὁ δὲ ἀπελθὼν αὐτῇ τῇ ἡμέρᾳ τὸν Πολέμωνα ἐπανήγαγε· καὶ ταύτῃ πολὺ ἔτι μᾶλλον ἢ πρόσθεν ἔξω αἰτίας ἐφάνη Ἀμύντας. Ἀλλὰ ὀλίγον γε ὕστερον κώμην τινὰ πολιορκῶν τοξευθεὶς ἐκ τῆς πληγῆς ἐτελεύτησεν, ὥστε οὐδὲν πλέον αὐτῷ γίγνεται τὴν κρίσιν ἀποφυγόντι ὅτι μὴ ἀγαθῷ νομιζομένῳ ἀποθανεῖν.

4. Ἀλέξανδρος δέ, καταστήσας ἐπὶ τοὺς ἑταίρους ἱππάρχας δύο, Ἡφαιστίωνά τε τὸν Ἀμύντορος καὶ Κλεῖτον τὸν Δρωπίδου, καὶ δίχα διελὼν τὴν τάξιν τῶν ἑταίρων, ὅτι οὐδὲ φίλων ἂν ἠβούλετο ἕνα τοσούτων ἱππέων, ἄλλως τε καὶ τῶν κρατίστων τοῦ παντὸς ἱππικοῦ κατά τε ἀξίωσιν καὶ τὴν ἄλλην ἀρετὴν ἐξηγεῖσθαι, ἀφικνεῖται ἐς τοὺς πάλαι μὲν Ἀριάσπας καλουμένους, ὕστερον δὲ Εὐεργέτας ἐπονομασθέντας, ὅτι Κύρῳ τῷ Καμβύσου ξυνεπελάβοντο τῆς ἐς Σκύθας ἐλάσεως. (5) Καὶ τούτους Ἀλέξανδρος ὧν τε ἐς Κῦρον ὑπῆρξαν οἱ πρόγονοι αὐτῶν τιμήσας καὶ αὐτὸς καταμαθὼν ἄνδρας οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβάρους πολιτεύοντας, ἀλλὰ τοῦ δικαίου ἴσα καὶ τοῖς κρατίστοις τῶν Ἑλλήνων μεταποιουμένους, ἐλευθέρους τε ἀφῆκε καὶ χώραν τῆς

que omnes insidiarum conscios a Macedonibus jaculis confossos esse. Ad Parmenionem vero missum Polydamantem, unum ex amicis, literas ab Alexandro ad duces exercitus qui in Media erant ferentem. Hi erant, Cleander, Sitalces et Menides, qui quidem in exercitu cui præerat Parmenio duces erant constituti, (4) et ab his Parmenionem interfectum : sive quod haud verisimile videretur Alexandro, quum Philotas sibi insidias struxisset, Parmenionem patrem ejus consilii ignarum fuisse : sive, ut maxime conscius non esset, quod periculosum videretur illum interfecto filio superesse : præcipue quum tanta ejus esset auctoritas tum apud Alexandrum, tum apud universum exercitum non solum Macedonum, verum etiam exterorum, quibus sæpenumero sive ordine ipsum vocante sive etiam extra ordinem, jussu Alexandri, summa cum gratia præfuerat.

CAP. XXVII.

Ferunt quoque eodem tempore etiam Amyntam Andromenis filium in judicium vocatum, et cum eo Polemonem, Attalum Simmiamque, Amyntæ fratres, tanquam et ipsi insidiarum adversus Alexandrum conscii fuissent, ob fidem atque amicitiam quam cum Philota coluerant. (2) Hoc etiam insidiarum suspicionem verisimiliorem apud multitudinem effecit, quod Polemon, unus ex Amyntæ fratribus, Philota comprehenso, ad hostes profugerat. At quum Amyntas cum fratribus actionem publicam sustinuisset, causamque suam strenue apud Macedones dixisset, ab ea criminatione absolutus est : statimque post absolutionem in concilio factam, potestatem sibi fieri petiit eundi ad fratrem, ut eum ad Alexandrum reduceret. (3) Quod quum a Macedonibus illi concessum esset, abiit, eodemque die Polemonem reduxit. Ex eo multo quam antea manifestius apparuit Amyntam extra culpam fuisse. Ceterum paulo post pagum quendam oppugnans, sagitta ictus, ex eo vulnere interiit : adeo ut nihil illi ex illa absolutione accesserit, præter quam quod vir bonus habitus interierit.

4. Post hæc Alexander amicorum equitatui duces duos Hephæstionem Amyntoris filium, et Clitum Dropidis præfecit, divisisque in duas partes amicorum copiis (neque enim vel amicum volebat unum tot equitibus, qui alioqui præstantissimi totius equitatus et dignitate et bellica virtute erant, solum præfectum esse), ad eos pervenit qui olim quidem Ariaspæ, postea vero Euergetæ vocati sunt (hoc est benefici), quod Cyrum Cambysis filium in expeditione Scythica adjuverant. (5) Hos Alexander, quod illorum majores de Cyro bene meriti fuissent, honore affecit. Quumque ipse intelligeret eos non more reliquorum ejus regionis barbarorum vivere, sed perinde atque qui apud Græcos optime instituti sunt, justitiam colere, liberos dimisit, tantumque

δμόρου ὅσην αὐτοὶ σφίσιν ἤτησαν (οὐ πολλὴν δὲ οὐδ' αὐτοὶ ἤτησαν), προσέθηκεν. Ἐνταῦθα θύσας τῷ Ἀπόλλωνι Δημήτριον μὲν ἕνα τῶν σωματοφυλάκων, ὑποπτεύσας μετασχεῖν Φιλώτᾳ τῆς ἐπιβουλῆς, ξυνέλαβε· σωματοφύλακα δὲ ἀντὶ Δημητρίου ἀπέδειξε Πτολεμαῖον τὸν Λάγου.

ex finitimis locis agri quantum petiere (exiguum autem petiere) dedit. Eo loci Apollini sacrum fecit : et Demetrium, unum ex corporis custodibus, quem Philotæ consiliorum participem fuisse suspicabatur, comprehendit, et Ptolemæum agi in ejus locum suffecit.

ΚΕΦ. ΚΗ'.

Ταῦτα δὲ διαπραξάμενος προῆει ὡς ἐπὶ Βάκτρα τε καὶ Βῆσσον, Δράγγας τε καὶ Γαδρωσοὺς ἐν τῇ παρόδῳ παραστησάμενος. Παρεστήσατο δὲ καὶ τοὺς Ἀραχώτους καὶ σατράπην κατέστησεν ἐπ' αὐτοῖς Μένωνα. Ἐπῆλθε δὲ καὶ τῶν Ἰνδῶν τοὺς προσχώρους Ἀραχώτοις. Ξύμπαντα δὲ ταῦτα τὰ ἔθνη διὰ χιόνος τε πολλῆς καὶ ξὺν ἀπορίᾳ τῶν ἐπιτηδείων καὶ τῶν στρατιωτῶν ταλαιπωρίᾳ ἐπῆλθε. (2) Μαθὼν δὲ τοὺς Ἀρείους αὖθις ἀφεστάναι, Σατιβαρζάνου ἐς τὴν χώραν αὐτῶν ἐμβαλόντος σὺν ἱππεῦσι δισχιλίοις, οὓς παρὰ Βήσσου ἔλαβεν, ἀποστέλλει παρ' αὐτοὺς Ἀρτάβαζόν τε τὸν Πέρσην καὶ Ἐρίγυιον καὶ Κάρανον τῶν ἑταίρων· προσέταξε δὲ καὶ Φραταφέρνην, τὸν τῶν Παρθυαίων σατράπην, ξυνεμβαλεῖν αὐτοῖς ἐς τοὺς Ἀρείους. (3) Καὶ γίγνεται μάχη τοῖς ἀμφὶ Ἐρίγυιον καὶ Κάρανον πρὸς Σατιβαρζάνην καρτερά, οὐδὲ πρόσθεν οἱ βάρβαροι ἐνέκλιναν πρὶν Σατιβαρζάνην ξυμπεσόντα Ἐριγυίῳ πρὸς Ἐριγυίου πληγέντα δόρατι ἐς τὸ πρόσωπον ἀποθανεῖν. Τότε δὴ ἐγκλίναντες οἱ βάρβαροι προτροπάδην ἔφευγον.

Inter hæc Alexander ad Caucasum montem profectus, urbem ibi condidit, quam Alexandriam nominavit, et sacrificio diis quibus solebat facto, Caucasum montem superavit. Satrapam illi regioni constituit Proexem Persam ; ex amicis vero Niloxenum Satyri filium inspectorem cum exercitu ibi relinquit.

4. Ἐν τούτῳ δὲ Ἀλέξανδρος πρὸς τὸν Καύκασον τὸ ὄρος ἦγεν, ἵνα καὶ πόλιν ἔκτισε καὶ ὠνόμασεν Ἀλεξάνδρειαν· καὶ θύσας ἐνταῦθα τοῖς θεοῖς ὅσοι νόμος αὐτῷ ὑπερέβαλε τὸ ὄρος τὸν Καύκασον, σατράπην μὲν τῆ χώρᾳ ἐπιτάξας Προέξην, ἄνδρα Πέρσην, τῶν δὲ ἑταίρων Νειλόξενον τὸν Σατύρου ἐπίσκοπον ξὺν στρατιᾷ ἀπολιπών.

4. Inter hæc Alexander ad Caucasum montem profectus, urbem ibi condidit, quam Alexandriam nominavit, et sacrificio diis quibus solebat facto, Caucasum montem superavit. Satrapam illi regioni constituit Proexem Persam ; ex amicis vero Niloxenum Satyri filium inspectorem cum exercitu ibi relinquit.

5. Τὸ δὲ ὄρος ὁ Καύκασος ὑψηλὸν μέν ἐστιν ὥσπερ τι ἄλλο τῆς Ἀσίας, ὡς λέγει Ἀριστόβουλος, ψιλὸν δὲ τὸ πολὺ αὐτοῦ τό γε ταύτῃ. Μακρὸν γὰρ ὄρος παρατέταται ὁ Καύκασος, ὥστε καὶ τὸν Ταῦρον τὸ ὄρος, ὃς δὴ τὴν Κιλικίαν τε καὶ Παμφυλίαν ἀπείργει, ἀπὸ τοῦ Καυκάσου εἶναι λέγουσι καὶ ἄλλα ὄρη μεγάλα ἀπὸ τοῦ Καυκάσου διακεκριμένα ἄλλῃ καὶ ἄλλῃ ἐπωνυμίᾳ κατὰ ἤθη τὰ ἑκάστων. (6) Ἀλλὰ ἔν γε τούτῳ τῷ Καυκάσῳ οὐδὲν ἄλλο ὅτι μὴ τέρμινθοι πεφύκασι καὶ σίλφιον, ὡς λέγει Ἀριστόβουλος· ἀλλὰ καὶ ὡς ἐπῳκεῖτο πολλοῖς ἀνθρώποις καὶ πρόβατα πολλὰ καὶ κτήνη ἐνέμοντο, ὅτι καὶ χαίρουσι τῷ σιλφίῳ τὰ πρόβατα, καὶ εἰ ἐκ πολλοῦ πρόβατον σιλφίου αἴσθοιτο, καὶ θεῖ ἐπ' αὐτὸ καὶ τό τε ἄνθος ἐπινέμεται καὶ τὴν ῥίζαν ἀνορύττον καὶ ταύτην κατεσθίει. (7) Ἐπὶ τῷδε ἐν Κυρήνῃ ὡς μακροτάτω ἀπελαύνουσι τὰς ποίμνας τῶν χωρίων ἵνα αὐτοῖς τὸ σίλφιον φύεται· οἱ δὲ καὶ περιφράσσουσι τὸν χῶρον, τοῦ μηδ' εἰ πελάσειεν αὐτῷ πρόβατα, δυνατὰ γενέσθαι εἴσω παρελθεῖν, ὅτι πολλοῦ ἄξιον Κυρηναίοις τὸ σίλφιον.

5. Mons Caucasus nulli montium qui in Asia sunt altitudine secundus est, ut Aristobulus auctor est. Ejus ut plurimum nudum dorsum erat in hac certe parte : in magnam enim longitudinem porrigitur Caucasus; adeo ut et Taurum montem, qui Ciliciam Pamphyliamque disterminat, a Caucaso duci velint, aliosque ingentes montes qui pro varietate gentium, a quibus incoluntur, nomina variant. (6) At in hoc Caucaso nihil præter terebinthum et silphium nascitur, ut auctor est Aristobulus : et nihilominus multos incolas habebat, multæque in eo pecudes atque armenta pascebantur, quod pecudes silphium amant, et si ex longinquiore loco id per odoratum senserint, citatim eo feruntur, depastoque flore radicem etiam suffodiunt atque arrodunt : (7) eamque ob causam Cyrenæi greges ovium quam longissime ab iis locis arcent, quibus silphium nascitur : nonnulli etiam sepem obducunt, ne si pecudes propius accedant, intrare possint. Magno enim apud Cyrenæos in pretio est silphium.

8. Βῆσσος δέ, ἔχων ἀμφ' αὑτὸν Περσῶν τε τοὺς μετασχόντας αὐτῷ τῆς Δαρείου συλλήψεως καὶ αὐτῶν Βακτρίων ἐς ἑπτακισχιλίους καὶ Δάας τοὺς ἐπὶ τάδε τοῦ Τανάϊδος ποταμοῦ ἐποικοῦντας, ἔρθειρε τὴν ὑπὸ τῷ ὄρει τῷ Καυκάσῳ, ὡς ἐρημία τε τῆς χώρας τῆς ἐν μέσῳ αὐτοῦ τε καὶ Ἀλεξάνδρου καὶ ἀπορία τῶν ἐπιτηδείων ἀπείρξων Ἀλέξανδρον τοῦ μὴ ἐλαύνειν πρόσω. (9) Ἀλλ' Ἀλέξανδρος ἤλαυνεν οὐδὲν μεῖον, χαλεπῶς μὲν διά τε χιόνος πολλῆς καὶ ἐνδείᾳ τῶν ἀναγκαίων, ἦει δὲ ὅμως. Βῆσσος δέ, ἐπεὶ ἐξηγγέλλετο αὐτῷ οὐ πόρρω ἤδη ὢν Ἀλέξανδρος, διαβὰς τὸν Ὦξον ποταμὸν τὰ μὲν πλοῖα ἐφ' ὧν διέβη κατέκαυσεν, αὐτὸς δὲ ἐς Ναύταχα τῆς Σογδιανῆς χώρας ἀπεχώρει. (10) Εἵποντο δὲ αὐτῷ οἵ τε ἀμφὶ Σπιταμένην καὶ Ὀξυάρτην, ἔχοντες τοὺς ἐκ τῆς Σογδιανῆς ἱππέας, καὶ Δάαι οἱ ἀπὸ τοῦ Τανάϊδος. Οἱ δὲ τῶν Βακτρίων ἱππεῖς ὡς φεύγειν ἐγνωκότα ἔμαθον Βῆσσον, ἄλλος ἄλλῃ ἐπὶ τὰ σφῶν ἕκαστοι ἀπηλλάγησαν.

ΚΕΦ. ΚΘ'.

Ἀλέξανδρος δὲ ἐς Δράψακα ἀφικόμενος καὶ ἀναπαύσας τὴν στρατιὰν ἐς Ἄορνόν τε ἦγε καὶ Βάκτρα, αἳ δὴ μέγισταί εἰσι πόλεις ἐν τῇ Βακτρίων χώρᾳ. Καὶ ταύτας τε ἐξ ἐφόδου ἑλαβε καὶ φυλακὴν ἐν τῇ ἄκρᾳ τῆς Ἄορνου ἀπέλιπε καὶ ἐπὶ ταύτης Ἀρχέλαον τὸν Ἀνδρόκλου τῶν ἑταίρων· τοῖς δὲ ἄλλοις Βακτρίοις, οὐ χαλεπῶς προσχωρήσασιν, ἐπέταξε σατράπην Ἀρτάβαζον τὸν Πέρσην.

2. Αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὦξον ποταμόν· ὁ δὲ Ὦξος ῥέει μὲν ἐκ τοῦ ὄρους τοῦ Καυκάσου, ἔστι δὲ ποταμῶν μέγιστος τῶν ἐν τῇ Ἀσίᾳ, ὅσους γε δὴ Ἀλέξανδρος καὶ οἱ ξὺν Ἀλεξάνδρῳ ἐπῆλθον, πλὴν τῶν Ἰνδῶν ποταμῶν· οἱ δὲ Ἰνδοὶ πάντων ποταμῶν μέγιστοί εἰσιν· ἐξίησι δὲ ὁ Ὦξος ἐς τὴν μεγάλην θάλασσαν τὴν καθ' Ὑρκανίαν. (3) Διαβάλλειν δὲ ἐπιχειροῦντι αὐτῷ τὸν ποταμὸν πάντῃ ἄπορον ἐφαίνετο· τὸ μὲν γὰρ εὖρος ἦν ἐς ἓξ μάλιστα σταδίους, βαθὺς οὐ πρὸς λόγον τοῦ εὔρους, ἀλλὰ πολὺ δή τι βαθύτερος καὶ ψαμμώδης, καὶ ῥεῦμα ὀξὺ [ἔχων], ὡς τὰ καταπηγνύμενα πρὸς αὐτοῦ τοῦ ῥοῦ ἐκστρέφεσθαι ἐκ τῆς γῆς οὐ χαλεπῶς, οἷα δὴ οὐ βεβαίως κατὰ τῆς ψάμμου ἱδρυμένα. (4) Ἄλλως δὲ καὶ ἀπορία ὕλης ἐν τοῖς τόποις ἦν καὶ τριβὴ πολλὴ ἐφαίνετο, εἰ μακρόθεν μετίοιεν ὅσα ἐς γεφύρωσιν τοῦ πόρου. Ξυναγαγὼν οὖν τὰς διφθέρας ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται, φορυτοῦ ἐμπλῆσαι ἐκέλευσεν ὡς ξηροτάτου καὶ καταδῆσαί τε καὶ ξυῤῥάψαι ἀκριβῶς τοῦ μὴ ἐσδύεσθαι ἐς αὐτὰς τοῦ ὕδατος. Ἐμπλησθεῖσαι δὲ καὶ ξυῤῥαφεῖσαι ἱκαναὶ ἐγένοντο διαβιβάσαι τὸν στρατὸν ἐν πέντε ἡμέραις.

5. Πρὶν δὲ διαβαίνειν τὸν ποταμόν, τῶν τε Μακεδόνων ἐπιλέξας τοὺς πρεσβυτάτους καὶ ἤδη ἀπολέμους καὶ τῶν Θεσσαλῶν τοὺς ἐθελοντὰς καταμείναντας, ἐπ' οἶκου ἀπέστειλεν. Ἐκπέμπει δὲ καὶ Στασάνορα, ἕνα

8. Bessus autem Persis, qui participes consiliorum in capiendo Dario fuerant, comitatus, Bactrianisque circiter septem millibus, et Dais ei a Tanaim fluvium habitantibus, regionem Caucaso adjacentem depopulatus est, ut præ vastitate regionis inter se et Alexandrum interjectæ, rerumque necessariarum penuria, Alexandrum quominus progrederetur impediret. (9) Is vero idcirco nihilominus processit, difficulter quidem ob nivium altitudinem, et commeatus inopiam: processit tamen. Bessus, ut cognovit Alexandrum non procul abesse, Oxo flumine trajecto, navigia quibus copias transvexerat incendit; ipse in Nautaca Sogdianæ regionis se recepit. (10) Sequebantur eum Spitamenes et Oxyartes cum equitibus Sogdianis, et Dais a Tanai profectis. Bactriani equites, quum in fuga Bessum salutis suæ spem posuisse intellexerunt, alius alio dilapsi domum reverterunt.

CAP. XXIX.

Alexander inde Drapsaca profectus, recreato exercitu, in Aornum et Bactra movit, quæ quidem maximæ sunt in Bactris urbes: quibus primo impetu captis, præsidium in arce Aorni constituit, cui Archelaum Androcli filium, unum ex amicis, præfecit. Reliquis vero Bactriis non difficulter sese dedentibus Artabazum Persam satrapam dedit.

2. Ipse ad Oxum flumen exercitum duxit. Oxus fluvius e monte Caucaso fluit, omnium Asiæ fluminum, quotquot Alexander cum exercitu adiit, maximus, Indorum fluminibus exceptis. Hæc enim omnia flumina magnitudine superant. Oxus porro in mare magnum, juxta Hyrcaniam, influit. (3) Conanti Alexandro flumen transire nulla se facultas offerre videbatur. Namque ejus latitudo ad sex maxime stadia extenditur: altitudo latitudini non respondet, sed profundior et sabulosus est. Cursus fluminis adeo rapidus, ut facile quæ vado infixa fuerint subvertat secumque rapiat, utpote quæ ob sabulum firmiter stabilita non sint. (4) Ad hæc materia etiam in his locis deerat, multum præterea moræ faciendum videbatur, si ex longinquo apportanda essent quæcunque ad flumen ponte jungendum erant necessaria. Collectis itaque pellibus sub quibus milites in tentoriis degebant, sarmentis quam maxime siccis eas impleri, accurateque vinciri et consui jubet, ne aquam aliqua ex parte admittere possent. Quibus ita impletis et consutis, exercitum quinque dierum spatio traduxit.

5. Antequam vero flumen trajiceret, seligens ex Macedonibus qui aut præ ætate aut vulneribus inepti ad pugnam erant, et ex Thessalis qui voluntarii remanserant, domum remisit. Stasanorem quoque, unum ex amicis, in

τῶν ἑταίρων, ἐς Ἀρείους, προστάξας Ἀρσάμην μὲν τὸν σατράπην τῶν Ἀρείων ξυλλαβεῖν, ὅτι ἐθελοκακεῖν αὐτῷ Ἀρσάμης ἐδόκει, αὐτὸν δὲ σατράπην εἶναι ἀντ' ἐκείνου Ἀρείων.

6. Περάσας δὲ τὸν Ὦξον ποταμὸν ἦγε κατὰ σπουδὴν ἵνα Βῆσσον εἶναι ξὺν τῇ δυνάμει ἐπυνθάνετο. Καὶ ἐν τούτῳ ἀφικνοῦνται παρὰ Σπιταμένους καὶ Δαταφέρνου πρὸς αὐτὸν ἀγγέλλοντες ὅτι Σπιταμένης καὶ Δαταφέρνης, εἰ πεμφθείη αὐτοῖς καὶ ὀλίγη στρατιὰ καὶ ἡγεμὼν τῇ στρατιᾷ, ξυλλήψονται Βῆσσον καὶ παραδώσουσιν Ἀλεξάνδρῳ· ἐπεὶ καὶ νῦν ἀδέσμῳ φυλακῇ φυλάσσεσθαι πρὸς αὐτῶν Βῆσσον. (7) Ταῦτα ὡς ἤκουσεν Ἀλέξανδρος, αὐτὸς μὲν ἀναπαύων ἦγε τὴν στρατιὰν σχολαίτερον ἢ πρόσθεν· Πτολεμαῖον δὲ τὸν Λάγου ἀποστέλλει τῶν τε ἑταίρων ἱππαρχίας τρεῖς ἄγοντα καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας, πεζῶν δὲ τήν τε Φιλώτα τάξιν καὶ τῶν ὑπασπιστῶν χιλιαρχίαν μίαν καὶ τοὺς Ἀγριᾶνας πάντας καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, σπουδῇ ἐλαύνειν κελεύσας ὡς Σπιταμένην τε καὶ Δαταφέρνην. Καὶ Πτολεμαῖος ἦει ὡς ἐτέτακτο, καὶ διελθὼν ἐν ἡμέραις τέσσαρσι σταθμοὺς δέκα ἀφικνεῖται ἐς τὸ στρατόπεδον οὗ τῇ προτεραίᾳ ηὐλισμένοι ἦσαν οἱ ἀμφὶ τὸν Σπιταμένην βάρβαροι.

Arios mittit, qui Arsamen Ariorum satrapam comprehenderet, quod mali aliquid moliri videbatur: utque ipse ejus loco satrapatum obtineat jubet.

6. Trajecto autem amne Oxo, celeriter eo exercitum duxit, ubi Bessum cum copiis esse acceperat. Interea nuntii ad eum a Spitamene et Dataphere veniunt, pollicentes, si aliquem ex ducibus suis cum aliquantis copiis mitteret, sese Bessum comprehensum Alexandro tradituros esse. In custodia enim illum, citra vincula tamen, teneri. (7) Qua re cognita, Alexander relaxationem dans lentius quam antea exercitum duxit. Ac Ptolemæum quidem Lagi filium cum tribus amicorum equitum turmis et hastatis equitibus omnibus, ex peditibus vero Philotæ agmine et scutatis mille Agrianisque omnibus ac sagittariorum dimidia parte, ut ad Spitamenem et Dataphernem celeriter contendat jubet. Ptolemæus imperata facit, et decem mansionum iter quatriduo emensus, eo pervenit ubi pridie barbari cum Spitamene castra habuerant.

ΚΕΦ. Α'.

Ἐνταῦθα ἔμαθε Πτολεμαῖος ὅτι οὐ βεβαία τῷ Σπιταμένῃ καὶ Δαταφέρνῃ ἡ γνώμη ἐστὶν ἀμφὶ τῇ παραδόσει τοῦ Βήσσου. Τοὺς μὲν δὴ πεζοὺς κατέλιπε, προστάξας ἕπεσθαι ἐν τάξει, αὐτὸς δὲ ξὺν τοῖς ἱππεῦσιν ἐλάσας ἀφίκετο πρὸς κώμην τινά, ἵν' ὁ Βῆσσος ἦν ξὺν ὀλίγοις στρατιώταις. (2) Οἱ γὰρ ἀμφὶ τὸν Σπιταμένην μετακεχωρήκεσαν ἤδη ἐκεῖθεν, καταισθόμενοι αὐτοὶ παραδοῦναι τὸν Βῆσσον. Πτολεμαῖος δὲ περιστήσας ἐν κύκλῳ τῆς κώμης τοὺς ἱππέας (ἦν γάρ τι καὶ τεῖχος περιβεβλημένον καὶ πύλαι κατ' αὐτό), ἐπεκηρυκεύετο τοῖς ἐν τῇ κώμῃ βαρβάροις, ἀπαθεῖς σφᾶς ἀπαλλάσσεσθαι παραδόντας Βῆσσον. Οἱ δὲ ἐδέχοντο τοὺς ξὺν Πτολεμαίῳ ἐς τὴν κώμην. (3) Καὶ Πτολεμαῖος ξυλλαβὼν Βῆσσον ὀπίσω ἐπανῆει· προπέμψας δὲ ἤρετο Ἀλέξανδρον ὅπως χρὴ ἐς ὄψιν ἄγειν Ἀλεξάνδρου Βῆσσον. Καὶ Ἀλέξανδρος γυμνὸν ἐν κλοιῷ δήσαντα οὕτως ἄγειν ἐκέλευσε καὶ καταστήσαντα ἐν δεξιᾷ τῆς ὁδοῦ ᾗ αὐτός τε καὶ ἡ στρατιὰ παρελάσεσθαι ἔμελλε. Καὶ Πτολεμαῖος οὕτως ἐποίησεν.

4. Ἀλέξανδρος δὲ ἰδὼν τὸν Βῆσσον ἐπιστήσας τὸ ἅρμα ἤρετο ἀνθ' ὅτου τὸν βασιλέα τὸν αὑτοῦ καὶ ἅμα οἰκεῖον καὶ εὐεργέτην γενόμενον Δαρεῖον τὰ μὲν πρῶτα ξυνέλαβε καὶ δήσας ἦγεν, ἔπειτα ἀπέκτεινε. Καὶ ὁ Βῆσσος οὐ μόνῳ οἱ ταῦτα δόξαντα πρᾶξαι ἔφη, ἀλλὰ ξὺν τοῖς τότε ἀμφὶ Δαρεῖον οὖσιν, ὡς σωτηρίαν σφίσιν εὑρέσθαι παρ' Ἀλεξάνδρου. (5) Ἀλέξανδρος δὲ ἐπὶ τοῖσδε μαστιγοῦν ἐκέλευεν αὐτὸν καὶ ἐπιλέγειν τὸν κήρυκα

CAP. XXX.

Ibi certior factus est, dubiam esse Spitamenis et Dataphernis de tradendo Besso sententiam. Peditibus itaque relictis, et composito agmine sequi jussis, ipse cum equitatu progressus ad vicum quendam venit, in quo Bessus cum paucis militibus agebat. (2) Nam qui cum Spitamene erant jam inde abierant, quod eos Bessum tradere pudebat. Ptolemæus, pago equitibus circumsesso (erat enim pagus muro et portis cinctus), barbaris paganis denuntiari jubet, incolumes eos abituros, si Bessum tradant. Barbari Ptolemæum cum suis copiis intromittunt. (3) Ptolemæus capto Besso ad Alexandrum revertitur: nuntiumque præmittit, qui percontetur quomodo illum in conspectum suum adduci velit. Alexander nudum capistro alligatum adduci jubet, et ad dextrum viæ latus, qua sibi cum exercitu transeundum esset, sisti. Ptolemæus ita ut imperatum ei est facit.

4. Alexander Bessum conspicatus, currum sistens, rogavit quam ob causam Darium regem suum pariter atque amicum et optime de se meritum, comprehensum et in vinculis ductum interfecisset. Cui Bessus, non ex suo unius consilio id factum fuisse, sed omnium qui tum temporis Dario adfuerant, uti ea ratione salutem sibi apud Alexandrum invenirent. (5) Tum Alexander Bessum flagris cædi jussit, ac per præconem pronuntiari eadem illa quæ

ταὐτὰ ἐκεῖνα ὅσα αὐτὸς τῷ Βήσσῳ ἐν τῇ πύστει ὠνείδισε. Βῆσσος μὲν δὴ οὕτως αἰκισθεὶς ἀποπέμπεται ἐς Βάκτρα ἀποθανούμενος. Καὶ ταῦτα Πτολεμαῖος ὑπὲρ Βήσσου ἀνέγραψεν· Ἀριστόβουλος δέ, τοὺς ἀμφὶ Σπιταμένην τε καὶ Δαταφέρνην Πτολεμαίῳ ἀγαγεῖν Βῆσσον καὶ παραδοῦναι Ἀλεξάνδρῳ γυμνὸν ἐν κλοιῷ δήσαντας.

6. Ἀλέξανδρος δὲ ἀναπληρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων (πολλοὶ γὰρ αὐτῷ ἵπποι ἔν τε τῇ ὑπερβολῇ τοῦ Καυκάσου καὶ ἐν τῇ ἐπὶ τὸν Ὦξόν τε καὶ ἀπὸ τοῦ Ὦξου πορείᾳ ἐξέλιπον) ὡς ἐπὶ Μαράκανδα ἦγε· τὰ δέ ἐστι βασίλεια τῆς Σογδιανῶν χώρας. (7) Ἔνθεν δὲ ἐπὶ τὸν Τάναϊν ποταμὸν προῆγεν. Τῷ δὲ Ταναΐδι τούτῳ, ὃν δὴ καὶ Ἰαξάρτην ἄλλῳ ὀνόματι πρὸς τῶν ἐπιχωρίων βαρβάρων καλεῖσθαι λέγει Ἀριστόβουλος, αἱ πηγαὶ μὲν ἐκ τοῦ Καυκάσου ὄρους καὶ αὐτῷ εἰσιν· ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς ἐς τὴν Ὑρκανίαν θάλασσαν. (8) Ἄλλος δ' ἂν εἴη Τάναϊς ὑπὲρ ὅτου λέγει Ἡρόδοτος ὁ λογοποιὸς ὄγδοον εἶναι τῶν ποταμῶν τῶν Σκυθικῶν Τάναϊν, καὶ ῥέειν μὲν ἐκ λίμνης μεγάλης ἀνίσχοντα, ἐκδιδόναι δὲ ἐς μείζω ἔτι λίμνην τὴν καλουμένην Μαιῶτιν· καὶ τὸν Τάναϊν τοῦτον εἰσὶν οἳ ὅρον ποιοῦσι τῆς Ἀσίας καὶ τῆς Εὐρώπης, (9) οἷς δὴ ἀπὸ τοῦ μυχοῦ τοῦ πόντου τοῦ Εὐξείνου ἡ λίμνη τε ἡ Μαιῶτις καὶ ὁ ἐς ταύτην ἐξιεὶς ποταμὸς ὁ Τάναϊς οὗτος διείργει τήν τε Ἀσίαν καὶ τὴν Εὐρώπην, καθάπερ ἡ κατὰ Γάδειρά τε καὶ τοὺς ἀντιπέραν Γαδείρων Λίβυας τοὺς Νομάδας θάλασσα τὴν Λιβύην αὖ καὶ τὴν Εὐρώπην διείργει, οἷς γε δὴ ἡ Λιβύη ἀπὸ τῆς Ἀσίας τῆς ἄλλης τῷ Νείλῳ ποταμῷ διακέκριται.

10. Ἐνταῦθα ἀποσκεδασθέντες τινὲς τῶν Μακεδόνων ἐς προνομὴν κατακόπτονται πρὸς τῶν βαρβάρων· οἱ δὲ δράσαντες τὸ ἔργον ἀπέφυγον ἐς ὄρος τραχύτατον καὶ πάντη ἀπότομον· ἦσαν δὲ τὸ πλῆθος ἐς τρισμυρίους. Καὶ ἐπὶ τούτους Ἀλέξανδρος τοὺς κουφοτάτους τῆς στρατιᾶς ἀναλαβὼν ἦγεν. (11) Ἔνθα δὴ προσβολαὶ πολλαὶ ἐγίγνοντο τοῖς Μακεδόσιν ἐς τὸ ὄρος· καὶ τὰ μὲν πρῶτα ἀπεκρούοντο βαλλόμενοι ἐκ τῶν βαρβάρων, καὶ ἄλλοι τε πολλοὶ τραυματίαι ἐγένοντο καὶ αὐτὸς Ἀλέξανδρος ἐς τὴν κνήμην τοξεύεται διαμπὰξ καὶ τῆς περόνης τι ἀποθραύεται αὐτῷ ἐκ τοῦ τοξεύματος. Ἀλλὰ καὶ ὡς ἑλαβέ τε τὸ χωρίον καὶ τῶν βαρβάρων οἱ μὲν αὐτοῦ κατεκόπησαν πρὸς τῶν Μακεδόνων, πολλοὶ δὲ καὶ κατὰ τῶν πετρῶν ῥίψαντες σφᾶς ἀπέθανον, ὥστε ἐκ τρισμυρίων οὐ πλείους ἀποσωθῆναι ὀκτακισχιλίων.

ipse Besso inquirens exprobrarat. Bessus ita flagellis cæsus, Bactra pœnas capite persoluturus remittitur. Hæc Ptolemæus de Besso. Aristobulus vero auctor est, eos qui cum Spitamene et Datapherne erant, Bessum Ptolemæo adduxisse, atque ita nudum capistro vinctum Alexandro traditum fuisse.

6. Alexander, equis quos ibi nactus est in supplementum sui equitatus sumptis (multos enim equos tam in transitu Caucasi montis, quam in itinere ad Oxum amnem et discessu ab Oxo amiserat) in Maracanda movit, qua in urbe Sogdianorum regia est. (7) Inde ad Tanaim fluvium profectus est. Hujus quoque fluminis quod et alio nomine Iaxartem a finitimis barbaris appellari Aristobulus dicit, fontes e Caucaso monte oriuntur, itemque in Hyrcanium mare fertur. (8) Alius fuerit Tanais, de quo Herodotus historiarum scriptor dicit, octavum esse flumen Scythicum Tanaim, ejusque fontes ex magno lacu ortos fluere, et in alium majorem lacum, Mæotim dictum, ferri. Atque hunc Tanaim sunt qui Asiæ atque Europæ terminum statuant; (9) quibus quidem ex intimo sinu Ponti Euxini Mæotis palus atque hic Tanais in eam exiens, Asiam ab Europa separat: quemadmodum mare quod inter Gades, et inter eos qui ex adverso sunt Afros Numidas, Africam ab Europa dividit; sicut etiam Africa a reliqua Asia Nilo flumine dirimitur.

10. Eo loco nonnulli ex Macedonibus longius pabulatum digressi a barbaris cæsi sunt, qui sese post hoc factum in montem asperrimum omnique ex parte præruptum receperunt. Hi ad XXX M. erant: adversus quos Alexander assumptis expeditioribus totius exercitus celeriter profectus est. (11) Macedones frequentes in montem insultus faciunt: ac initio quidem icti a barbaris, multis vulneribus acceptis, repelluntur. Atque ipse Alexander sagitta medium crus trajectus est, et fibulæ pars sagitta abrumpitur. Collis nihilominus captus est, ac plerique barbarorum a Macedonibus cæsi, alii e rupibus sese præcipitantes interierunt: adeo ut ex triginta millibus non plures octo millibus evaserint.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. Α'.

Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις ἀπό τε Σκυθῶν τῶν Ἀβίων καλουμένων (οὓς καὶ Ὅμηρος δικαιοτάτους ἀνθρώπους εἰπὼν ἐν τῇ ποιήσει ἐπήνεσεν· οἰκοῦσι δὲ ἐν τῇ Ἀσίᾳ καὶ οὗτοι αὐτόνομοι, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιότητα), καὶ παρὰ τῶν ἐκ τῆς Εὐρώπης Σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος ἐν τῇ Εὐρώπῃ ἐποικοῦσι. (2) Καὶ τούτοις ξυμπέμπει Ἀλέξανδρος τῶν ἑταίρων, πρόφασιν μὲν κατὰ πρεσβείαν φιλίαν ξυνθησομένους, ὁ δὲ νοῦς τῆς πομπῆς ἐς κατασκοπήν τι μᾶλλον ἔφερε φύσεως τε τῆς χώρας τῆς Σκυθικῆς καὶ πλήθους αὐτῶν καὶ νομαίων καὶ ὁπλίσεως ἥντινα ἔχοντες στέλλονται ἐς τὰς μάχας.

3. Αὐτὸς δὲ πρὸς τῷ Ταναΐδι ποταμῷ ἐπενόει πόλιν οἰκίσαι, καὶ ταύτην ἑαυτοῦ ἐπώνυμον. Ὅ τε γὰρ χῶρος ἐπιτήδειος αὐτῷ ἐφαίνετο αὐξῆσαι τὴν πόλιν ἐπὶ μέγα καὶ ἐν καλῷ οἰκισθήσεσθαι τῆς ἐπὶ Σκύθας, εἴποτε ξυμβαίνοι, ἐλάσεως καὶ τῆς προφυλακῆς τῆς χώρας πρὸς τὰς καταδρομὰς τῶν πέραν τοῦ ποταμοῦ ἐποικούντων βαρβάρων. (4) Ἐδόκει δ' ἂν καὶ μεγάλη γενέσθαι ἡ πόλις πλήθει τε τῶν ἐς αὐτὴν ξυνοικιζομένων καὶ τοῦ ὀνόματος τῇ λαμπρότητι. Καὶ ἐν τούτῳ οἱ πρόσχωροι τῷ ποταμῷ βάρβαροι τούς τε τὰ φρούρια ἐν ταῖς πόλεσι σφῶν ἔχοντας στρατιώτας τῶν Μακεδόνων ξυλλαβόντες ἀπέκτειναν καὶ τὰς πόλεις ἐς ἀσφάλειάν τινα μᾶλλον ὠχύρουν. (5) Ξυνεπελάβοντο δὲ αὐτοῖς τῆς ἀποστάσεως καὶ τῶν Σογδιανῶν οἱ πολλοί, ἐπαρθέντες πρὸς τῶν ξυλλαβόντων Βῆσσον, ὥστε καὶ τῶν Βακτριανῶν ἔστιν οὓς σφισιν οὗτοι ξυναπέστησαν, εἴτε δὴ καὶ δείσαντες Ἀλέξανδρον, εἴτε καὶ λόγον ἐπὶ τῇ ἀποστάσει διδόντες, ὅτι ἐς ἕνα ξύλλογον ἐπηγγέλκει Ἀλέξανδρος ξυνελθεῖν τοὺς ὑπάρχους τῆς χώρας ἐκείνης εἰς Ζαρίασπα, τὴν μεγίστην πόλιν, ὡς ἐπ' ἀγαθῷ οὐδενὶ τοῦ ξυλλόγου γιγνομένου.

ΚΕΦ. Β'.

Ταῦτα ὡς ἀπηγγέλθη Ἀλεξάνδρῳ, παραγγείλας τοῖς πεζοῖς κατὰ λόχους κλίμακας ποιεῖσθαι ὅσαι ἑκάστῳ λόχῳ ἐπηγγέλθησαν, αὐτὸς μὲν ἐπὶ τὴν πρώτην ἀπὸ τοῦ στρατοπέδου ὁρμηθεὶς πόλιν προὐχώρει, ᾗ ὄνομα ἦν Γάζα· ἐς γὰρ ἑπτὰ πόλεις ξυμπεφευγέναι ἐλέγοντο οἱ ἐκ τῆς χώρας βάρβαροι· (2) Κρατερὸν δὲ ἐκπέμπει πρὸς τὴν καλουμένην Κυρούπολιν, ἥπερ μεγίστη πασῶν καὶ ἐς αὐτὴν οἱ πλεῖστοι ξυνειλεγμένοι ἦσαν τῶν βαρβάρων. Παρήγγελτο δὲ αὐτῷ στρατοπεδεῦσαι πλησίον τῆς πόλεως καὶ τάφρον τε ἐν κύκλῳ αὐτῆς ὀρύξαι

LIBER QUARTUS.

CAP. I.

Paucis post diebus legati ad Alexandrum veniunt a Scythis, quos Abios vocant (quos et Homerus justissimos mortalium appellans in suo opere laudat. Hi Asiam incolunt, nullis legibus subjecti, ob paupertatem nimirum cum justitia conjunctam) et a Scythis Europæis, quæ maxima natio Europam colit. (2) Cum his redeuntibus Alexander quosdam ex amicis mittit, prætextu quidem amicitiæ per legationem componendæ: re autem vera non alio spectabat hæc missio, quam ut naturam Scythicæ regionis specularentur, et quanta esset incolarum multitudo, qui mores, quave armatura utentes in pugnam prodirent, cognoscerent.

3. Ipse juxta Tanaim fluvium urbem condere statuerat, eamque suo de nomine vocare. Nam et ipse locus percommodus videbatur ad urbem amplificandam, et opportunam sedem censebat ad expeditionem, siquando id res postularet, in Scythas faciendam; tum etiam propugnaculum fore regionis adversus barbarorum qui ultra flumen degebant incursiones. (4) Magnam autem urbem fore tum ex incolarum frequentia tum ex nominis splendore autumabat. Interea barbari fluvio finitimi Macedonum milites, qui in Scythicis urbibus præsidio constituti erant, comprehensos interficiunt, urbesque suas majoris securitatis causa muniunt. (5) Conjunxerant se illorum defectioni Sogdianorum plerique, sollicitati ab iis qui Bessum ceperant. Qui et Bactrianorum nonnullos ad se pertraxerunt, sive quod Alexandrum timebant, sive rationem defectionis dantes, quod Alexander præsidum illius provinciæ conventum ad Zariaspa urbem maximam indixerat. E quo quidem conventu nihil boni ipsis sperandum videbatur.

CAP. II.

Hæc ubi Alexandro nuntiata sunt, ut pedites per singulas cohortes scalas certo numero parent jubet: ipse ad primam ab exercitu urbem (Gazæ nomen erat) cum copiis tendit. Nam in septem oppida barbari ejus regionis confugisse ferebantur. (2) Craterum Cyropolim mittit, quæ omnium istarum urbium maxima erat et in quam plurimi barbarorum se receperant. Huic imperat ut castra prope urbem locet,

καὶ χάρακα περιβαλέσθαι καὶ τὰς μηχανὰς ὅσαις χρῆσθαι [προσῆκον] ξυμπηγνύναι, ὡς πρὸς τοὺς ἀμφὶ Κράτερον τὴν γνώμην τετραμμένοι οἱ ἐκ τῆς πόλεως ταύτης ἀδύνατοι ὦσι ταῖς ἄλλαις πόλεσιν ἐπωφελεῖν. (3) Αὐτὸς δὲ ἐπὶ τὴν Γάζαν ἐπεὶ ἀφίκετο, ὡς εἶχεν ἐξ ἐφόδου σημαίνει προσβάλλειν τῷ τείχει, γηΐνῳ τε καὶ οὐχ ὑψηλῷ ὄντι, προσθέντας ἐν κύκλῳ πάντοθεν τὰς κλίμακας· οἱ δὲ σφενδονῆται αὐτῷ καὶ οἱ τοξόται τε καὶ ἀκοντισταὶ ὁμοῦ τῇ ἐφόδῳ τῶν πεζῶν ἐσηκόντιζον ἐς τοὺς προμαχομένους ἀπὸ τοῦ τείχους καὶ βέλη ἀπὸ μηχανῶν ἠφίετο, ὥστε ὀξέως μὲν ὑπὸ τοῦ πλήθους τῶν βελῶν ἐγυμνώθη τὸ τεῖχος τῶν προμαχομένων, ταχεῖα δὲ ἡ πρόσθεσις τῶν κλιμάκων καὶ ἡ ἀνάβασις τῶν Μακεδόνων ἡ ἐπὶ τὸ τεῖχος ἐγίγνετο. (4) Τοὺς μὲν δὴ ἄνδρας πάντας ἀπέκτειναν, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον· γυναῖκας δὲ καὶ παῖδας καὶ τὴν ἄλλην λείαν διήρπασαν. Ἔνθεν δὲ εὐθὺς ἦγεν ἐπὶ τὴν δευτέραν ἀπ' ἐκείνης πόλιν ὠκισμένην· καὶ ταύτην τῷ αὐτῷ τε τρόπῳ καὶ τῇ αὐτῇ ἡμέρᾳ λαμβάνει καὶ τοὺς ἁλόντας τὰ αὐτὰ ἔπραξεν. Ὁ δὲ ἦγεν ἐπὶ τὴν τρίτην πόλιν, καὶ ταύτην τῇ ὑστεραίᾳ ἐπὶ τῇ πρώτῃ προσβολῇ εἷλεν.

5. Ἐν ᾧ δὲ αὐτὸς ξὺν τοῖς πεζοῖς ἀμφὶ ταῦτα εἶχε, τοὺς ἱππέας ἐκπέμπει ἐς τὰς δύο τὰς πλησίον πόλεις, προστάξας παραφυλάττειν τοὺς ἀνθρώπους τοὺς ἔνδον, μήποτε τὴν ἅλωσιν αἰσθόμενοι τῶν πλησίον πόλεων καὶ ἅμα τὴν αὐτοῦ οὐ διὰ μακροῦ ἔφοδον, οἱ δὲ ἐς φυγὴν τραπέντες ἄποροι αὐτῷ διώκειν γένωνται. Καὶ ξυνέβη τε οὕτως ὅπως εἴκασε, καὶ ἐν δέοντι ἐγένετο αὐτῷ ἡ πομπὴ τῶν ἱππέων. (6) Οἱ γὰρ τὰς δύο τὰς οὔπω ἑαλωκυίας πόλεις ἔχοντες τῶν βαρβάρων, ὡς καπνόν τε εἶδον ἀπὸ τῆς πρὸ σφῶν πόλεως ἐμπιπραμένης καί τινες καὶ ἀπὸ τοῦ πάθους αὐτοῦ διαφυγόντες αὐτάγγελοι τῆς ἁλώσεως ἐγένοντο, ὡς τάχους ἕκαστοι εἶχον ἀθρόοι ἐκ τῶν πόλεων φεύγοντες ἐμπίπτουσιν ἐς τὸ στῖφος τῶν ἱππέων ξυντεταγμένον καὶ κατεκόπησαν οἱ πλεῖστοι αὐτῶν.

ΚΕΦ. Γ'.

Οὕτω δὴ τὰς πέντε πόλεις ἐν δυσὶν ἡμέραις ἑλών τε καὶ ἐξανδραποδισάμενος ἦει ἐπὶ τὴν μεγίστην αὐτῶν τὴν Κυρούπολιν. Ἡ δὲ τετειχισμένη τε ἦν ὑψηλοτέρῳ τείχει ἤπερ αἱ ἄλλαι, οἷα δὴ ὑπὸ Κύρου οἰκισθεῖσα, καὶ τοῦ πλείστου καὶ μαχιμωτάτου τῶν ταύτῃ βαρβάρων ἐς ταύτην συμπεφευγότος, οὐχ ὡσαύτως ῥᾳδία ἐξ ἐφόδου ἑλεῖν τοῖς Μακεδόσιν ἐγίγνετο. Ἀλλὰ μηχανὰς γὰρ προσάγων τῷ τείχει Ἀλέξανδρος ταύτῃ μὲν κατασείειν ἐπενόει τὸ τεῖχος καὶ κατὰ τὸ ἀεὶ παραῤῥηγνύμενον αὐτοῦ τὰς προσβολὰς ποιεῖσθαι. (2) Αὐτὸς δὲ ὡς κατεῖδε τοὺς ἕκρους τοῦ ποταμοῦ, ὃς διὰ τῆς πόλεως χειμάῤῥους ὢν διέρχεται, ξηροὺς ἐν τῷ τότε ὕδατος καὶ οὐ ξυνεχεῖς τοῖς τείχεσιν, ἀλλ' οἷους παρασχεῖν πάροδον τοῖς στρατιώταις διαβῆναι ἐς τὴν πόλιν, ἀνα-

fossamque in orbem ducat, et vallo muniat, ac machinas quibus opus sit componat : ut oppidani Cratero propulsando occupati, aliis urbibus opem ferre non possent. (3) Ipse vero simulac Gazam pervenit, primo statim impetu murum terreum alioqui et parum altum invadi jubet, scalis omni ex parte admotis. Tum funditores et sagittarii ac jaculatores simul cum peditibus impetum facientibus murorum propugnatores missilibus lacessunt, telisque e machinis petunt : adeo ut præ nimia telorum vi muro confestim propugnatoribus nudato, scalæ celeriter admotæ sint, Macedonesque murum conscenderint. (4) Ac viros quidem omnes interimunt : (ita enim jusserat Alexander) mulieribus ac pueris reliquaque præda direpta. Inde ad alteram ab hac urbem statim movit : quam quum eodem modo eodemque die cepisset, idem de captivis quod de Gazæis statuit. Tertiam deinde urbem adortus, postero die primo impetu cepit.

5. Interea vero dum ipse has urbes cum peditatu expugnat, equitatum ad alias duas vicinas urbes mittit : jubens ut caverent ne earum incolæ, vicinarum urbium expugnatione ipsiusque haud procul inde adventu cognito, in fugam versi, difficilem sibi insequendi rationem facerent. Et quidem ita ut cogitarat evenit, missioque equitum necessaria fuit. (6) Barbari enim qui duas alias urbes nondum captas tenebant, conspecto fumo incensæ urbis quæ ipsis ex adverso sita erat, (et non nulli etiam qui ex ea calamitate evaserant captæ urbis nuntium attulerant) quammaxima celeritate poterant confertim ex urbibus diffugientes, in instructum equitum agmen incidunt, plurimique eorum interfecti sunt.

CAP. III.

His quinque oppidis biduo captis ac direptis, ad maximam illorum urbem Cyropolim contendit. Erat hæc editiore muro quam aliæ munita, utpote a Cyro condita : quumque plurimi bellicosissimique ejus regionis barbari in eam confugissent, non perinde facile primo impetu a Macedonibus capi potuit. Porro Alexander tormentis admotis, murum quatere statuerat, et qua parte perfractus fuisset impetum facere. (2) Ceterum ut vidit alveum fluminis, quod urbem perlabitur, quum torrens esset aqua vacuum tum temporis siccumque neque contiguum muro esse, sed transitum militibus ad subeundum in urbem præbere :

λαβὼν τούς τε σωματοφύλακας καὶ τοὺς ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, τετραμμένων τῶν βαρβάρων πρὸς τὰς μηχανὰς καὶ τοὺς ταύτῃ προσμαχομένους λανθάνει κατὰ τοὺς ἔχρους ξὺν ὀλίγοις τὸ πρῶτον παρελθὼν ἐς τὴν πόλιν· (3) ἀναῤῥήξας δὲ ἔνδοθεν τῶν πυλῶν αἳ κατὰ τοῦτο τὸ χωρίον ἦσαν, δέχεται καὶ τοὺς ἄλλους στρατιώτας εὐπετῶς. Ἔνθα δὴ οἱ βάρβαροι ἐχομένην ἤδη τὴν πόλιν αἰσθόμενοι ἐπὶ τοὺς ἀμφ' Ἀλέξανδρον ὅμως ἐτράπησαν· καὶ γίνεται προσβολὴ αὐτῶν καρτερά· καὶ βάλλεται λίθῳ αὐτὸς Ἀλέξανδρος βιαίως τήν τε κεφαλὴν καὶ τὸν αὐχένα καὶ Κράτερος τοξεύματι καὶ πολλοὶ ἄλλοι τῶν ἡγεμόνων· ἀλλὰ καὶ ὡς ἐξέωσαν ἐκ τῆς ἀγορᾶς τοὺς βαρβάρους. (4) Καὶ ἐν τούτῳ οἱ κατὰ τὸ τεῖχος προσβεβληκότες ἔρημον ἤδη τὸ τεῖχος τῶν προμαχομένων αἱροῦσιν. Ἐν μὲν δὴ τῇ πρώτῃ καταλήψει τῆς πόλεως ἀπέθανον τῶν πολεμίων μάλιστα ἐς ὀκτακισχιλίους· οἱ δὲ λοιποί (ἦσαν γὰρ οἱ πάντες ἐς μυρίους καὶ πενταχισχιλίους μαχίμους οἱ ξυνεληλυθότες) καταφεύγουσιν ἐς τὴν ἄκραν. Καὶ τούτους περιστρατοπεδεύσας Ἀλέξανδρος ἡμέραν μίαν ἐφρούρησεν· οἱ δὲ ἐνδείᾳ ὕδατος ἐνεχείρισαν σφᾶς Ἀλεξάνδρῳ.

5. Τὴν δὲ ἑβδόμην πόλιν ἐξ ἐφόδου ἔλαβε, Πτολεμαῖος μὲν λέγει ὅτι αὐτοὺς σφᾶς ἐνδόντας· Ἀριστόβουλος δὲ ὅτι βίᾳ καὶ ταύτην ἐξεῖλε καὶ ὅτι πάντας τοὺς καταληφθέντας ἐν αὐτῇ ἀπέκτεινε. Πτολεμαῖος δὲ κατανεῖμαι λέγει αὐτὸν τοὺς ἀνθρώπους τῇ στρατιᾷ καὶ δεδεμένους κελεῦσαι φυλάσσεσθαι ἐστ' ἂν ἐκ τῆς χώρας ἀπαλλάττηται αὐτός, ὡς μηδένα ἀπολείπεσθαι τῶν τὴν ἀπόστασιν πραξάντων.

6. Ἐν τούτῳ δὲ τῶν ἐκ τῆς Ἀσίας Σκυθῶν στρατιὰ ἀφικνεῖται πρὸς τὰς ὄχθας τοῦ ποταμοῦ τοῦ Τανάϊδος, ἀκούσαντες οἱ πολλοὶ αὐτῶν ὅτι ἔστιν οἳ καὶ τῶν ἐπ' ἐκεῖνα τοῦ ποταμοῦ βαρβάρων ἀπ' Ἀλεξάνδρου ἀφεστᾶσιν, ὡς εἴ δή τι λόγου ἂν ἄξιον νεωτερίζοιτο, καὶ αὐτοὶ ἐπιθησόμενοι τοῖς Μακεδόσιν. Καὶ οἱ ἀμφὶ Σπιταμένην δὲ ἀπηγγέλθη ὅτι τοὺς ἐν Μαρακάνδοις καταλειφθέντας ἐν τῇ ἄκρᾳ πολιορκοῦσιν. (7) Ἔνθα δὴ Ἀλέξανδρος ἐπὶ μὲν τοὺς ἀμφὶ Σπιταμένην Ἀνδρόμαχόν τε ἀποστέλλει καὶ Μενέδημον καὶ Κάρανον, ἱππέας μὲν ἔχοντας τῶν ἑταίρων ἐς ἑξήκοντα καὶ τῶν μισθοφόρων ὀκτακοσίους, ὧν Κάρανος ἡγεῖτο, πεζοὺς δὲ μισθοφόρους ἐς χιλίους πεντακοσίους· ἐπιτάσσει δὲ αὐτοῖς Φαρνούχην τὸν ἑρμηνέα, τὸ μὲν γένος Λύκιον τὸν Φαρνούχην, ἐμπείρως δὲ τῆς τε φωνῆς τῶν ταύτῃ βαρβάρων ἔχοντα καὶ τὰ ἄλλα ὁμιλῆσαι αὐτοῖς δεξιὸν φαινόμενον.

assumptis corporis custodibus, et scutatis ac sagittariis Agrianisque, dum barbari ad machinas et in oppugnantes ea parte conversierant, clam per alveum cum paucis primum in urbem subit, (3) refractisque interius portis quæ ex ea parte erant, facile reliquos milites intromittit. Tum barbari ubi captam jam urbem esse senserunt, nihilominus tamen in Alexandri milites conversi atrocem conflictum edunt. Alexander ipse magnum saxum capite et cervice excepit, Craterus multique alii ex ducibus sagittis icti. Barbari tandem foro pulsi sunt. (4) Interea qui murum oppugnabant, cum jam propugnatoribus vacuum capiunt. Et primo quidem tumultu captæ urbis cæsi sunt ex hostibus circiter octo millia. Reliqui (erant enim in universum octodecim millia eorum qui convenerant) in arcem confugerunt. Quos quum Alexander uno die obsessos tenuisset, aquarum inopia pressi deditionem fecerunt.

5. Septimam urbem primo insultu cepit: deditione quidem, ut Ptolemæus scribit: Aristobulus vero etiam hanc vi captam tradit, omnesque in ea comprehensos interfectos esse. Ptolemæus captivos in exercitum distributos narrat, vinctosque custodiri jussos, donec ipse ex ea regione discederet: ne quis eorum qui defectionem fecerant relinqueretur.

6. Dum hæc geruntur, Scytharum Asiaticorum exercitus ad ripas Tanais fluvii venit, quod audiverant nonnullos barbarorum trans flumen incolentes ab Alexandro defecisse: ut si qua insignis defectio fieret, ipsi quoque in Macedones irruerent. Eodem tempore nuntiatum est, Spitamenem eos qui Maracandis in arce relicti erant obsidere. (7) Itaque Alexander adversus Spitamenem Andromachum mittit, et Menedemum ac Caranum, cumque his equites ex amicis circa sexaginta, ex mercenariis octingentos, quos ducebat Caranus, pedites autem mercenarios mille quingentos. His præponit Pharnuchem interpretem, Lycium genere, qui illius loci barbarorum linguam callebat, et alioqui aptus qui cum iis ageret videbatur.

ΚΕΦ. Δ'.

Αὐτὸς δὲ τὴν πόλιν ἣν ἐπενόει τειχίσας ἐν ἡμέραις εἴκοσι καὶ ξυνοικίσας ἐς αὐτὴν τῶν τε Ἑλλήνων μισθοφόρων καὶ ὅστις τῶν προσοικούντων βαρβάρων ἐθελοντὴς μετέσχε τῆς ξυνοικίσεως καί τινας καὶ τῶν ἐκ τοῦ στρατοπέδου Μακεδόνων, ὅσοι ἀπόμαχοι ἤδη ἦσαν, θύσας τοῖς θεοῖς ὡς νόμος αὐτῷ καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν ποιήσας, ὡς οὐκ ἀπαλλασσομένους ἑώρα τοὺς Σκύθας ἀπὸ τῆς ὄχθης τοῦ ποταμοῦ, (1) ἀλλ' ἐκτοξεύοντες ἐς τὸν ποταμὸν ἐωρῶντο, οὐ πλατὺν ταύτῃ ὄντα, καί τινα καὶ πρὸς ὕβριν τοῦ Ἀλεξάνδρου βαρβαρικῶς ἐθρασύνοντο, ὡς οὐκ ἂν τολμήσαντα Ἀλέξανδρον ἅψασθαι Σκυθῶν ἢ μαθόντα ἂν ὅ τιπερ τὸ διάφορον Σκύθαις τε καὶ τοῖς Ἀσιανοῖς βαρβάροις, ὑπὸ τούτων παροξυνόμενος ἐπενόει διαβαίνειν ἐπ' αὐτοὺς καὶ τὰς διφθέρας παρεσκεύαζεν ἐπὶ τῷ πόρῳ. (3) Θυομένῳ δὲ ἐπὶ τῇ διαβάσει τὰ ἱερὰ οὐκ ἐγίγνετο· ὁ δὲ βαρέως μὲν ἔφερεν οὐ γιγνομένων, ὅμως δὲ ἐκαρτέρει καὶ ἔμενεν. Ὡς δὲ οὐκ ἀνίεσαν οἱ Σκύθαι, αὖθις ἐπὶ τῇ διαβάσει ἐθύετο· καὶ αὖ ἐς κίνδυνον αὐτῷ σημαίνεσθαι Ἀρίστανδρος ὁ μάντις ἔφραζεν· ὁ δὲ κρεῖσσον ἔφη ἐς ἔσχατον κινδύνου ἐλθεῖν ἢ κατεστραμμένον ξύμπασαν ὀλίγου δεῖν τὴν Ἀσίαν γέλωτα εἶναι Σκύθαις, καθάπερ Δαρεῖος ὁ Ξέρξου πατὴρ πάλαι ἐγένετο. Ἀρίστανδρος δὲ οὐκ ἔφη παρὰ τὰ ἐκ τοῦ θείου σημαινόμενα ἄλλα ἀποδείξασθαι, ὅτι ἄλλα ἐθέλει ἀκοῦσαι Ἀλέξανδρος.

4. Ὁ δέ, ὡς αἵ τε διφθέραι αὐτῷ παρεσκευασμέναι ἦσαν ἐπὶ τῷ πόρῳ καὶ ὁ στρατὸς ἐξωπλισμένος ἐφειστήκει τῷ ποταμῷ, αἵ τε μηχαναὶ ἀπὸ ξυνθήματος ἐξηκόντιζον ἐς τοὺς Σκύθας παριππεύοντας ἐπὶ τῇ ὄχθῃ καὶ ἔστιν οἳ αὐτῶν ἐτιτρώσκοντο ἐκ τῶν βελῶν, εἷς δὲ δὴ διὰ τοῦ γέρρου τε καὶ τοῦ θώρακος διαμπὰξ πληγεὶς πίπτει ἀπὸ τοῦ ἵππου, οἱ μὲν ἐξεπλάγησαν πρός τε τῶν βελῶν τὴν διὰ μακροῦ ἄφεσιν καὶ ὅτι ἀνὴρ ἀγαθὸς αὐτοῖς τετελευτήκει, καὶ ὀλίγον ἀνεχώρησαν ἀπὸ τῆς ὄχθης· (5) Ἀλέξανδρος δὲ τεταραγμένους πρὸς τὰ βέλη ἰδὼν ὑπὸ σαλπίγγων ἔπερα τὸν ποταμὸν αὐτὸς ἡγούμενος· εἵπετο δὲ αὐτῷ καὶ ἡ ἄλλη στρατιά. Πρῶτον μὲν δὴ τοὺς τοξότας καὶ τοὺς σφενδονήτας ἀποβιβάσας σφενδονᾶν τε καὶ ἐκτοξεύειν ἐκέλευσεν ἐς τοὺς Σκύθας, ὡς μὴ πελάζειν αὐτοὺς τῇ φάλαγγι τῶν πεζῶν ἐκβαινούσῃ πρὶν τὴν ἵππον αὐτῷ διαβῆναι πᾶσαν. (6) Ὡς δὲ ἀθρόοι ἐπὶ τῇ ὄχθῃ ἐγένοντο, ἀφῆκεν ἐπὶ τοὺς Σκύθας τὸ μὲν πρῶτον μίαν ἱππαρχίαν τῶν ξένων καὶ τῶν σαρισσοφόρων ἴλας τέσσαρας· καὶ τούτους δεξάμενοι οἱ Σκύθαι καὶ ἐς κύκλους περιιππεύοντες ἔβαλλόν τε πολλοὶ ὀλίγους, αὐτοὶ δὲ οὐ χαλεπῶς διεφύγγανον. Ἀλέξανδρος δὲ τούς τε τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς ἄλλους ψιλούς, ὧν Βάλακρος ἦρχεν, ἀναμίξας τοῖς ἱππεῦσιν ἐπῆγεν ἐπὶ τοὺς Σκύθας. (7) Ὡς δὲ ὁμοῦ ἤδη ἐγίγνοντο, ἐλάσαι ἐκέλευσεν ἐς αὐτοὺς τῶν τε ἑταίρων τρεῖς ἱππαρχίας καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας· καὶ αὐτὸς δὲ τὴν λοιπὴν ἵππον ἄγων σπουδῇ ἐνέβαλεν

CAP. IV.

Ipse urbem, quam condere statuerat, viginti dierum spatio muro complexus, eam Græcis mercenariis habitandam dat, et finitimis barbaris quibus sua sponte eo commigrandi voluntas fuit, nonnullis etiam Macedonibus, qui inepti bello erant. Deinde facto diis sacrificio pro more suo, et certamine equestri ac gymnico edito, quum Scythas a ripa fluminis non recedere cerneret, (2) sed trans flumen (cujus exigua erat ea parte latitudo) tela mittere, nonnulla etiam probra in Alexandrum barbarico more jacere: nimirum non audere Alexandrum cum Scythis congredi, aut, si faciat, experturum quantum inter Scythas et barbaros Asiaticos intersit: his rebus irritatus Alexander, transire in eos statuit, pellesque ad trajiciendum parari jubet. (3) Facto igitur pro transitu sacrificio, exta nihil prosperi portenderunt. Quod quidem graviter tulit, patienter tamen sustinuit, ibique moram fecit. Scythis vero a contumelia non desistentibus, rursus pro transitu sacrificium fecit. Quumque iterum Aristander vates periculum portendi diceret, Alexander respondit, satius esse extremum periculum adire, quam se, tota pæne Asia subacta, Scythis ludibrio esse, quemadmodum Darius Xerxis pater olim fuisset. Aristander contra, non alia quam quæ divinitus portendebantur declaraturum se respondit, tametsi Alexander alia audire mallet.

4. Alexander nihilominus, paratis jam ad transitum pellibus, exercituque armato ad amnem stante, tormentis tela, signo dato, in Scythas ad ripam obequitantes excuti jubet. Ac nonnulli quidem Scythæ telorum jactu vulnerati sunt: unus scutum et thoracem trajectus ex equo procidit. Tum barbari longinquo telorum jactu et strenui illius viri cæde perterriti, parumper a ripa retrocesserunt. (5) Alexander illos telorum jactu perturbatos conspicatus, tubis clangentibus flumen transit, atque ipsum præeuntem reliquus exercitus subsequutus est. Ac primum quidem sagittariis et funditoribus transmissis, fundis telisque Scythas lacessere jubet, ne in phalangem transeuntem irruerent, priusquam universus equitatus transmissus esset. (6) Quumque jam omnes in ulteriorem ripam evasissent, primum quidem equitum sociorum agmen unum, et eorum qui sarissas gestant cohortes quatuor in Scythas immisit. Quorum impetum sustinentes Scythæ, atque equitatu cingentes, multi paucos premebant, simulque facile se recipiebant. Alexander sagittarios atque Agrianos aliosque expeditos, quibus præerat Balacrus, equitibus permiscens, in Scythas immittit. (7) Iisque inter se congressis, tria equitum amicorum agmina equitesque jaculatores omnes in eos ferri jubet: ipse reliquum equitatum ducens separatis turmis in eos contendit.

ὁρμίαις ταῖς ἵπποις. Οὔκουν ἔτι οἷοί τε ἦσαν ἐξελίσσειν τὴν ἱππασίαν ἐς κύκλους, ὡς πρόσθεν ἔτι· ὁμοῦ μὲν γὰρ ἡ ἵππος προσέκειτο αὐτοῖς, ὁμοῦ δὲ οἱ ψιλοὶ ἀναμεμιγμένοι τοῖς ἱππεῦσι, καὶ οὐκ ἦν τὰς ἐπιστροφὰς ἀσφαλεῖς ποιεῖσθαι. (8) Ἔνθα λαμπρὰ ἤδη φυγὴ τῶν Σκυθῶν ἦν· καὶ πίπτουσι μὲν αὐτῶν ἐς χιλίους καὶ εἷς τῶν ἡγεμόνων, Σατράκης, ἑάλωσαν δὲ ἐς ἑκατὸν καὶ πεντήκοντα. Ὡς δὲ ἡ δίωξις ὀξεῖά τε καὶ διὰ καύματος πολλοῦ ταλαιπώρως ἐγίγνετο, δίψει τε ἡ στρατιὰ πᾶσα εἴχετο καὶ αὐτὸς Ἀλέξανδρος ἐλαύνων πίνει ὁποῖον ἦν ὕδωρ ἐν τῇ γῇ ἐκείνῃ. (9) Καὶ ἦν γὰρ πονηρὸν τὸ ὕδωρ, ῥεῦμα ἀθρόον κατασκήπτει αὐτῷ ἐς τὴν γαστέρα· καὶ ἐπὶ τῷδε ἡ δίωξις οὐκ ἐπὶ πάντων Σκυθῶν ἐγένετο· εἰ δὲ μή, δοκοῦσιν ἄν μοι καὶ πάντες διαφθαρῆναι ἐν τῇ φυγῇ, εἰ μὴ Ἀλεξάνδρῳ τὸ σῶμα ἔκαμε. Καὶ αὐτὸς ἐς ἔσχατον κινδύνου ἐλθὼν ἐκομίσθη ὀπίσω ἐς τὸ στρατόπεδον. Καὶ οὕτω ξυνέβη ἡ μαντεία Ἀριστάνδρῳ.

Jamque non amplius equitatum in orbem ut antea ducere poterant. Simul enim et equitatus eos premebat, atque expediti equitibus misti equitatum tuto circumducere non sinebant. (8) Tum manifesta Scytharum fuga fit, cæsis circiter mille et in iis uno ex ducibus Satrace, captis ca. Quumque fugientes Scythas in summo æstu acerrime insequerentur, universus exercitus magna siti laboravit. (9) Ipse etiam Alexander aqua, qualem ea regio fert, vitiosa nimirum, epota, vehementi profluvio alvi correptus est, quæ res Macedones ab insequendis hostibus remorata est. Omnes alioqui, meo judicio, ea in fuga interiissent, nisi Alexander corpore male affecto fuisset. Ipse in summum vitæ discrimen adductus, retro in castra relatus est : atque ita Aristandri vaticinium evenit.

ΚΕΦ. Ε'.

Ὀλίγον δὲ ὕστερον παρὰ τῶν Σκυθῶν καὶ παρὰ τοῦ βασιλέως Σκυθῶν ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις, ὑπὲρ τῶν πραχθέντων ἐς ἀπολογίαν ἐκπεμφθέντες, ὅτι οὐκ ἀπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν ἐπράχθη, ἀλλὰ καθ' ἁρπαγὴν λῃστρικῷ τρόπῳ σταλέντων, καὶ αὐτὸς ὅτι ἐθέλει ποιεῖν τὰ ἐπαγγελλόμενα. Καὶ τούτῳ φιλάνθρωπα ἐπιστέλλει Ἀλέξανδρος, ὅτι οὔτε ἀπιστοῦντα μὴ ἐπεξιέναι καλὸν αὐτῷ ἐφαίνετο, οὔτε κατὰ καιρὸν ἦν ἐν τῷ τότε ἐπεξιέναι.

2. Οἱ δὲ ἐν Μαρακάνδοις ἐν τῇ ἄκρᾳ φρουρούμενοι Μακεδόνες, προσβολῆς γενομένης τῇ ἄκρᾳ ἐκ Σπιταμένους τε καὶ τῶν ἀμφ' αὐτόν, ἐπεκδραμόντες ἀπέκτειναν τέ τῶν πολεμίων ἔστιν οὓς καὶ ἀπώσαντο ξύμπαντας, καὶ αὐτοὶ ἀπαθεῖς ἀπεχώρησαν ἐς τὴν ἄκραν. (3) Ὡς δὲ καὶ οἱ ὑπ' Ἀλεξάνδρου ἐσταλμένοι ἐς Μαράκανδα ἤδη προσάγοντες Σπιταμένει ἐξηγγέλλοντο, τὴν μὲν πολιορκίαν ἐκλείπει τῆς ἄκρας, αὐτὸς δὲ ὡς ἐς τὰ βασίλεια τῆς Σογδιανῆς ἀνεχώρει. Φαρνούχης δὲ καὶ οἱ ξὺν αὐτῷ στρατηγοὶ σπεύδοντες ἐξελάσαι αὐτὸν παντάπασιν ἐπί τε τὰ ὅρια τῆς Σογδιανῆς ξυνείποντο ὑποχωροῦντι καὶ εἰς τοὺς Νομάδας τοὺς Σκύθας οὐδενὶ λογισμῷ ξυνεσβάλλουσιν. (4) Ἔνθα δὴ προσλαβὼν ὁ Σπιταμένης τῶν Σκυθῶν ἱππέων ἐς ἑξακοσίους προσεπήρθη ὑπὸ τῆς ξυμμαχίας τῆς Σκυθικῆς δέξασθαι ἐπιόντας τοὺς Μακεδόνας· παραταξάμενος δὲ ἐν χωρίῳ ὁμαλῷ πρὸς τῇ ἐρήμῳ τῆς Σκυθικῆς ὑπομεῖναι μὲν τοὺς πολεμίους ἢ αὐτὸς ἐς αὐτοὺς ἐμβαλεῖν οὐκ ἤθελε, περιιππεύων δὲ ἐτόξευεν ἐς τὴν φάλαγγα τῶν πεζῶν. (5) Καὶ ἐπελαυνόντων μὲν αὐτοῖς τῶν ἀμφὶ Φαρνούχην, ἔφευγεν εὐπετῶς, οἷα δὴ ὠκυτέρων τε αὐτοῖς καὶ ἐν τῷ τότε ἀκμαιοτέρων ὄντων τῶν ἵππων, τοῖς δὲ ἀμφὶ Ἀνδρόμαχον ὑπό τε τῆς ξυνεχοῦς πορείας καὶ ἅμα χιλοῦ ἀπορίᾳ κεκάκωτο ἡ ἵππος·

Haud multo post legati a Scythis et rege Scytharum ad Alexandrum veniunt, factum excusaturi : non esse ei illata arma communi totius gentis Scythicæ consilio, sed ab iis qui latronum more ex rapto viverent; se imperata facere velle. Alexander huic humaniter respondet : quia neque honestum putabat, si excusationem illius suspectam haberet, prælio rem non decernere : neque opportunum sibi videbatur eo tempore prælium committere.

2. At qui Maracandis in arce obsidebantur Macedones, quum Spitamenes cum suis copiis impetum in eos fecisset, excursione facta, nonnullos hostium interfecerunt, reliquos omnes repulerunt, ipsique incolumes in arcem sese receperunt. (3) Postquam vero Spitameni nuntiatum est eos qui in Maracanda auxilio obsessis missi fuerant appropinquare, relicta obsidione arcis, ad Sogdianæ provinciæ regiam contendit : Pharnuches autem et qui cum eo erant, illum profligare nitentes, ad fines Sogdianæ regionis recedentem insequebantur, et in Nomadum Scytharum terram inconsulto simul cum illo invadunt. (4) Ibi Spitamenes assumptis circiter sexcentis equitibus Scythis, statuit Macedonum insultum, Scythico auxilio fretus, excipere, acieque ad Scythicam solitudinem loco plano instructa, neque sustinere hostem, neque ipse impetum in eum facere volebat : sed circumequitans peditum phalangem sagittis incessebat. (5) Pharnuche autem in ipsos cum equitatu irruente, facile refugiebat : quod equos et velociores et robustiores tum temporis habebat. Aristomachi vero equitatus, cum ob continuata itinera, tum ob pabuli ino-

μένουσι δὲ ἡ ὑποχωροῦσιν ἐπέκειντο εὐρώστως οἱ Σκύθαι. (6) Ἔνθα δὴ πολλῶν μὲν τιτρωσκομένων ἐκ τῶν τοξευμάτων, ἔστι δ' ὧν καὶ πιπτόντων, ἐς πλαίσιον ἰσόπλευρον τάξαντες τοὺς στρατιώτας ἀνεχώρουν ὡς ἐπὶ τὸν ποταμὸν τὸν Πολυτίμητον, ὅτι νάπος ταύτῃ ἦν, ὡς μήτε τοῖς βαρβάροις εὐπετὲς ἔτι εἶναι ἐκτοξεύειν ἐς αὐτούς, σφίσι τε οἱ πεζοὶ ὠφελιμώτεροι ὦσι.

7. Κάρανος δὲ ὁ ἱππάρχης οὐκ ἀνακοινώσας Ἀνδρομάχῳ διαβαίνειν ἐπεχείρησε τὸν ποταμὸν ὡς ἐς ἀσφαλὲς ταύτῃ καταστήσων τὴν ἵππον· καὶ οἱ πεζοὶ αὐτῷ ἐπηκολούθησαν, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ φοβερά τε καὶ οὐδενὶ κόσμῳ ἐγένετο αὐτοῖς ἡ ἔσβασις ἡ ἐς τὸν ποταμὸν κατὰ κρημνώδεις τὰς ὄχθας. (8) Καὶ οἱ βάρβαροι αἰσθόμενοι τὴν ἁμαρτίαν τῶν Μακεδόνων, αὐτοῖς ἵπποις ἔνθεν καὶ ἔνθεν ἐσβάλλουσιν ἐς τὸν πόρον. Καὶ οἱ μὲν τῶν ἤδη διαβεβηκότων καὶ ἀποχωρούντων εἴχοντο, οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες ἀνείλουν ἐς τὸν ποταμόν, οἱ δὲ ἀπὸ τῶν πλαγίων ἐτόξευον ἐς αὐτούς, οἱ δὲ τοῖς ἔτι ἐσβαίνουσιν ἐπέκειντο, (9) ὥστε ἀπορίᾳ πάντοθεν συνεχόμενοι οἱ Μακεδόνες ἐς νῆσόν τινα τῶν ἐν τῷ ποταμῷ συμφεύγουσιν οὐ μεγάλην. Καὶ περιστάντες αὐτοὺς οἱ Σκύθαι τε καὶ οἱ ξὺν Σπιταμένει ἱππεῖς ἐν κύκλῳ πάντας κατετόξευσαν· ὀλίγους δὲ ἠνδραποδίσαντο αὐτῶν, καὶ τούτους πάντας ἀπέκτειναν.

piam male affectus erat. Scythæ eos sive resistentes, sive retrocedentes acriter premunt. (6) Multis itaque sagittarum ictu vulneratis, nonnullis etiam occisis, quadrato agmine sese recipiunt ad flumen Polytimetum, quum sylva illi vicinaesset : ut barbari non ita facile eos sagittis peterent et peditatus Macedonibus usui esse posset.

7. Caranus autem, uni equitum agmini præfectus, non communicato cum Andromacho consilio, flumen transire tentabat, quod tutius ibi equitatus locari posse videbatur. Pedites eum sequuntur, non jussi, sed metu impulsi : atque inordinatus plane fuit is in amnem per præruptas ripas ingressus. (8) Barbari, cognito Macedonum errato, diversis e partibus equis vadum ingressi, alii eos qui jam transierant et retrocedebant premunt, alii in transeuntes ex adverso delati eos in amnem revolvunt : alii ex obliquo eos sagittis petunt, alii in eos qui jam vadum ingrediebantur irruunt. (9) Quibus difficultatibus undique circumventi Macedones in insulam quandam non magnam, eo in flumine sitam, confugiunt. Scythæ et Spitamenis equitatus his circumfusi, omnes sagittis interfecerunt, præter paucos quos vivos ceperunt, sed hos quoque omnes occiderunt.

ΚΕΦ. Ϛ'.

Ἀριστόβουλος δὲ ἐνέδρᾳ τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν Σκυθῶν ἐν παραδείσῳ κρυφθέντων, οἳ ἐκ τοῦ ἀφανοῦς ἐπεγένοντο τοῖς Μακεδόσιν ἐν αὐτῷ τῷ ἔργῳ· ἵνα τὸν μὲν Φαρνούχην παραχωρεῖν τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι Μακεδόσιν, ὡς οὐκ ἐμπείρως ἔχοντα ἔργων πολεμικῶν, ἀλλ' ἐπὶ τῷ καθομιλῆσαι τοὺς βαρβάρους μᾶλλόν τι πρὸς Ἀλεξάνδρου ἢ ἐπὶ τῷ ἐν ταῖς μάχαις ἐξηγεῖσθαι ἐσταλμένον, τοὺς δὲ Μακεδόνας τε εἶναι καὶ ἑταίρους βασιλέως. (2) Ἀνδρόμαχον δὲ καὶ Κάρανον καὶ Μενέδημον οὐ δέξασθαι τὴν ἡγεμονίαν, τὸ μέν τι ὡς μὴ δοκεῖν παρὰ τὰ ἐπηγγελμένα ὑπὸ Ἀλεξάνδρου αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν, τὸ δὲ καὶ ἐν αὐτῷ τῷ δεινῷ οὐκ ἐθελήσαντας, εἰ δή τι πταίσειαν, μὴ ὅσον κατ' ἄνδρα μόνον μετέχειν αὐτούς, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. Ἐν τούτῳ δὴ τῷ θορύβῳ τε καὶ τῇ ἀταξίᾳ ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥστε ἱππέας μὲν οὐ πλείονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους.

3. Ταῦτα δὲ ὡς ἠγγέλθη Ἀλεξάνδρῳ, ἤλγησέ τε τῷ πάθει τῶν στρατιωτῶν καὶ ἔγνω σπουδῇ ἐλαύνειν ὡς ἐπὶ Σπιταμένην τε καὶ τοὺς ἀμφ' αὐτὸν βαρβάρους. Ἀναλαβὼν οὖν τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς ὑπασπιστὰς ξύμπαντας καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῆς φάλαγγος τοὺς κουφοτάτους ἦλθε ὡς ἐπὶ Μαράκανδα, ἵνα ἐπανήκειν Σπιταμένην ἐπυνθάνετο καὶ

CAP. VI.

Aristobulus scribit magnam exercitus partem insidiis oppressam fuisse a Scythis, qui in hortis abditi Macedonibus in ipso conflictu ex improviso supervenerunt. Quo quidem loci Pharnuchem præfecturam suam Macedonibus qui una cum eo missi erant cedere voluisse, quippe qui rei bellicæ parum peritus esset, quique potius ad sermones cum barbaris conferendos ab Alexandro missus esset, quam ut in prælio ducem ageret : ipsos vero et Macedones et regis amicos esse. (2) Quumque Andromachus, et Caranus ac Menedemus imperium recusarent, partim ne viderentur aliquid novi præter mandata regis suo arbitrio moliti esse, partim quod in ipso periculo id accipere noluissent, non ignari nimirum, si res male gereretur, non tantum pro se quemque mali participem futurum, sed tanquam toto exercitu male administrato culpam in sese redundaturam. In hoc tumultu et perturbatione rerum Scythas in eos irruisse, omnesque interfecisse, ita ut equites XL tantum, pedites CCC evaserint.

3. Hisce rebus Alexandro nuntiatis, vehementer militum suorum clade commotus, confestim in Spitamenem ac barbaros exercitum ducere statuit. Assumpta itaque amicorum equitum parte dimidia, scutatis omnibus et sagittariis atque Agrianis, et ex phalange expeditioribus, Maracanda contendit : quo Spitamenem reversum esse acceperat, de-

αὖθις πολιορκεῖν τοὺς ἐν τῇ ἄκρᾳ. (4) Καὶ αὐτὸς μὲν ἐν τρισὶν ἡμέραις διελθὼν χιλίους καὶ πενταxοσίους σταδίους, τῇ τετάρτῃ ὑπὸ τὴν ἕω προσῆγε τῇ πόλει. Σπιταμένης δὲ καὶ οἱ ἀμφ' αὐτόν, ὡς ἐξηγγέλθη προσάγων Ἀλέξανδρος, οὐx ἔμειναν, ἀλλ' ἐκλιπόντες τὴν πόλιν φεύγουσιν. (5) Ὁ δὲ ἐχόμενος αὐτῶν ἐδίωκεν· ὡς δὲ ἐπὶ τὸν χῶρον ἦxεν οὗ ἡ μάχη ἐγένετο, θάψας τοὺς στρατιώτας ὡς ἐx τῶν παρόντων εἵπετο ἔστε ἐπὶ τὴν ἔρημον τοῖς φεύγουσιν. Ἐxεῖθεν δ' ἀναστρέφων ἐπόρθει τὴν χώραν καὶ τοὺς ἐς τὰ ἐρύματα καταπεφευγότας τῶν βαρβάρων ἔxτεινεν, ὅτι ξυνεπιθέσθαι ἐξηγγέλλοντο καὶ αὐτοὶ τοῖς Μαxεδόσι· καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν ὅσην ὁ ποταμὸς ὁ Πολυτίμητος ἐπάρδων ἐπέρχεται. (6) Ἵνα δὲ ἀφανίζεται τῷ ποταμῷ τὸ ὕδωρ, ἐντεῦθεν ἤδη τὸ ἐπ' ἐxεῖνα ἔρημος ἡ χώρα ἐστίν· ἀφανίζεται δέ, καίπερ πολλοῦ ὢν ὕδατος, ἐς τὴν ψάμμον. Καὶ ἄλλοι ποταμοὶ ὡσαύτως ἐxεῖ ἀφανίζονται μεγάλοι καὶ ἀέννaοι, ὅ τε Ἔπαρδος, ὃς ῥέει διὰ Μάρδων τῆς χώρας, καὶ Ἄρειος, ὅτου ἐπώνυμος ἡ τῶν Ἀρείων γῆ ἐστι, καὶ Ἐτύμανδρος, ὃς δι' Εὐεργετῶν ῥέει. (7) Καὶ εἰσὶ ξύμπαντες οὗτοι τηλιxοῦτοι ποταμοὶ ὥστε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ Πηνειοῦ τοῦ Θεσσαλιxοῦ ποταμοῦ, ὃς διὰ τῶν Τεμπῶν ῥέων ἐxδιδοῖ ἐς θάλασσαν· ὁ δὲ Πολυτίμητος πολὺ ἔτι μείζων ἢ κατὰ τὸν Πηνειὸν ποταμόν ἐστι.

ΚΕΦ. Ζ'.

Ταῦτα δὲ διαπραξάμενος ἐς Ζαρίασπα ἀφίxετο· καὶ αὐτοῦ κατέμενεν ἔστε παρελθεῖν τὸ ἀxμαῖον τοῦ χειμῶνος. Ἐν τούτῳ δὲ ἀφίxοντο παρ' αὐτὸν Φραταφέρνης τε ὁ Παρθυαίων σατράπης καὶ Στασάνωρ ὁ ἐς Ἀρείους ἀποπεμφθεὶς ὡς Ἀρσάμην συλλῃψόμενος, τόν τε Ἀρσάμην δεδεμένον ἄγοντες καὶ Βαρζάνην, ὄντινα Βῆσσος τῆς Παρθυαίων σατράπην κατέστησε, καί τινας ἄλλους τῶν τότε ξὺν Βήσσῳ ἀποστάντων. (2) Ἦxον δὲ ἐν τῷ αὐτῷ Ἐπόxιλλος καὶ Μελαμνίδας καὶ Πτολεμαῖος ὁ τῶν Θρᾳxῶν στρατηγὸς ἀπὸ θαλάσσης, οἳ τά τε χρήματα [τὰ] ξὺν Μένητι πεμφθέντα καὶ τοὺς ξυμμάxους ὡς ἐπὶ θάλασσαν κατήγαγον. Καὶ Ἄσανδρος δὲ ἐν τούτῳ ἦxε καὶ Νέαρxος, στρατιὰν Ἑλλήνων μισθοφόρων ἄγοντες, καὶ Βῆσσός τε ὁ Συρίας σατράπης καὶ Ἀσxληπιόδωρος ὁ ὕπαρxος ἀπὸ θαλάσσης, καὶ οὗτοι στρατιὰν ἄγοντες.

3. Ἔνθα δὴ ξύλλογον ἐx τῶν παρόντων ξυναγαγὼν Ἀλέξανδρος παρήγαγεν ἐς αὐτοὺς Βῆσσον· καὶ κατηγορήσας τὴν Δαρείου προδοσίαν τήν τε ῥῖνα Βήσσου ἀποτμηθῆναι καὶ τὰ ὦτα ἄxρα ἐxέλευσεν, αὐτὸν δὲ ἐς Ἐκβάτανα ἄγεσθαι, ὡς ἐxεῖ ἐν τῷ Μήδων τε καὶ Περσῶν ξυλλόγῳ ἀποθανούμενον. (4) Καὶ ἐγὼ οὔτε τὴν ἄγαν ταύτην τιμωρίαν Βήσσου ἐπαινῶ, ἀλλὰ βαρβαρικὴν εἶναι τίθεμαι τῶν ἀxρωτηρίων τὴν λώβην καὶ ὑπαχθῆναι Ἀλέξανδρον ξύμφημι ἐς ζῆλον τοῦ Μηδιxοῦ τε καὶ Περσιxοῦ πλούτου καὶ τῆς κατὰ τοὺς βαρβάρους βασιλέας οὐx ἴσης ἐς τοὺς ὑπηxόους ξυνδιαιτήσεως, ἐσθῆτά

nunoque eos qui in arce erant obsidere. (4) Ipse tridui spatio mille quingenta stadia emensus quarto die sub auroram ad urbem venit. Spitamenes cum suis copiis, ut Alexandrum adventare intellexit, non exspectato ejus adventu, relicta obsidione, fugit. (5) Alexander eos acriter insequitur, quumque ad eum locum venit ubi pugna commissa fuerat, militibus, prout tempus ferebat, sepultis, fugientes ad Scythiæ deserta usque insecutus est. Inde conversus eorum agros vastat, et barbaros qui in loca munitiora confugerant interficit, quod et ipsi Macedones oppressisse dicebantur, totamque eam regionem, quam Polytimetus amnis irrigans transit, percurrit. (6) Namque ubi aqua fluminis e conspectu evanescit, omnis ulterior regio deserta est. Evanescit autem etsi multæ aquæ fluvius, in arenas. Alii etiam ingentes ac perpetui amnes eadem ratione ibi se condunt, Epardus nimirum, qui per Mardorum regionem fluit, et Arius, a quo Ariorum regio appellationem accepit; et Etymandrus, qui per Evergetas labitur; (7) suntque omnes hi fluvii tantæ magnitudinis, ut nullus eorum Peneo Thessaliæ amne sit minor, qui per Tempe fluens in mare fertur. Polytimetus autem Peneum amnem magnitudine longe superat.

CAP. VII.

His rebus gestis, ad Zariaspa pervenit, ibique moram fecit brumam quæ tum vigebat transacturus. Interea ad eum venerunt Phrataphernes Parthorum satrapa, et Stasanor ad Arios missus, ut Arsamen comprehenderet. Quem quidem vinctum adduxerunt, et Barzanem, quem Bessus Parthis satrapam dederat, ac nonnullos alios, qui tum temporis una cum Besso defecerant. (2) Per idem quoque tempus accesserunt e maritima ora Epocillus et Melammidas ac Ptolemæus Thracum dux, qui pecunias cum Menete missas et socios ad mare deduxerant. Venerunt item Asander et Nearchus, exercitum Græcorum mercenariorum adducentes: Bessus etiam Syriæ satrapa, atque Asclepiodorus præfectus ab ora maritima venerunt item copias adducentes.

3. Hic Alexander, conventu omnium quotquot aderant habito, Bessum introducit, accusataque ejus in Darium perfidia, nares ei summasque aures præscindi jubet: deinde Ecbatana mittit, ut ibi in Medorum Persarumque concilio morte multetur. (4) Ego vero atrocem hanc de Besso ultionem nequaquam laudaverim, quinimo barbaricam esse duxerim hanc extremarum corporis partium mutilationem; adductum vero regem fuisse judicaverim æmulatione quadam Medicæ Persicæque superbiæ atque Barbarorum regum non paris erga subjectos consuetudinis. Neque hoc

τε ὅτι Μηδικὴν ἀντὶ τῆς Μακεδονικῆς τε καὶ πατρίου Ἡρακλείδης ὢν μετέλαβεν, οὐδαμῇ ἐπαινῶ, καὶ τὴν κίταριν τὴν Περσικὴν τῶν νενικημένων ἀντὶ ὧν αὐτὸς ὁ νικῶν πάλαι ἐφόρει ἀμείψαι οὐκ ἐπηδέσθη, οὐδὲν τούτων ἐπαινῶ. (5) ἀλλ' εἴπερ τι ἄλλο, καὶ τὰ Ἀλεξάνδρου μεγάλα πράγματα ἐς τεκμηρίωσιν τίθεμαι ὡς οὔτε τὸ σῶμα ὅτῳ εἴη καρτερόν, οὔτε ὅστις γένει ἐπιφανής, οὔτε κατὰ πόλεμον εἰ δή τις διευτυχοίη, ἔτι μᾶλλον ἢ Ἀλέξανδρος, οὐδὲ εἰ τὴν Λιβύην τις πρὸς τῇ Ἀσίᾳ, καθάπερ οὖν ἐπενόει ἐκεῖνος, ἐκπεριπλεύσας κατάσχοι, οὐδὲ εἰ τὴν Εὐρώπην ἐπὶ τῇ Ἀσίᾳ τε καὶ Λιβύῃ τρίτην, τούτων οὐδέν τι ὄφελος ἐς εὐδαιμονίαν ἀνθρώπου, εἰ μὴ σωφρονεῖν ἐν ταὐτῷ ὑπάρχοι τούτῳ τῷ ἀνθρώπῳ τῷ τὰ μεγάλα, ὡς δοκεῖ, πράγματα πράξαντι.

ΚΕΦ. Η'.

Ἔνθα δὴ καὶ τὸ Κλείτου τοῦ Δρωπίδου πάθημα καὶ τὴν Ἀλεξάνδρου ἐπ' αὐτῷ ξυμφοράν, εἰ καὶ ὀλίγον ὕστερον ἐπράχθη, οὐκ ἔξω τοῦ καιροῦ ἀφηγήσομαι. Εἶναι μὲν γὰρ ἡμέραν ἱερὰν τοῦ Διονύσου Μακεδόσι καὶ θύειν Διονύσῳ ὅσα ἔτη ἐν αὐτῇ Ἀλέξανδρον· (2) τὸν δὲ τοῦ Διονύσου μὲν ἐν τῷ τότε ἀμελῆσαι λέγουσι, Διοσκούροιν δὲ θῦσαι, ἐξ ὅτου δὴ ἐπιφρασθέντα τοῖν Διοσκούροιν τὴν θυσίαν· πόρρω δὲ τοῦ πότου προϊόντος (καὶ γὰρ καὶ τὰ τῶν πότων ἤδη Ἀλεξάνδρῳ ἐς τὸ βαρβαρικώτερον νενεωτέριστο), ἀλλ' ἔν γε τῷ πότῳ τότε ὑπὲρ τοῖν Διοσκούροιν λόγους γίγνεσθαι, ὅπως ἐς Δία ἀνηνέχθη αὐτοῖν ἡ γένεσις ἀφαιρεθεῖσα Τυνδάρεω. (3) Καί τινας τῶν παρόντων κολακείᾳ τῇ Ἀλεξάνδρου, οἷοι δὴ ἄνδρες διέφθειράν τε ἀεὶ καὶ οὔποτε παύσονται ἐπιτρίβοντες τὰ τῶν βασιλέων πράγματα, κατ' οὐδὲν ἀξιοῦν συμβάλλειν Ἀλεξάνδρῳ τε καὶ τοῖς Ἀλεξάνδρου ἔργοις τὸν Πολυδεύκην καὶ τὸν Κάστορα. Οἱ δὲ οὐδὲ τοῦ Ἡρακλέους ἀπείχοντο ἐν τῷ πότῳ· ἀλλὰ τὸν φθόνον γὰρ ἐμποδὼν ἵστασθαι τοῖς ζῶσι τὸ μὴ οὐ τὰς δικαίας τιμὰς αὐτοῖς ἐκ τῶν ξυνόντων γίγνεσθαι.

4. Κλεῖτον δὲ ὄῆλον μὲν εἶναι πάλαι ἤδη ἀχθόμενον τοῦ τε Ἀλεξάνδρου τῇ ἐς τὸ βαρβαρικώτερον μεταχινήσει καὶ τῶν κολακευόντων αὐτὸν τοῖς λόγοις· τότε δὲ καὶ αὐτὸν πρὸς τοῦ οἴνου παροξυνόμενον οὐκ ἐᾶν οὔτε ἐς τὸ θεῖον ὑβρίζειν, οὔτε τὰ τῶν πάλαι ἡρώων ἔργα ἐκφαυλίζοντας χάριν ταύτην ἄχαριν προστιθέναι Ἀλεξάνδρῳ. (5) Εἶναι γὰρ οὖν οὐδὲ τὰ Ἀλεξάνδρου οὕτω τι μεγάλα καὶ θαυμαστὰ ὡς ἐκεῖνοι ἐπαίρουσιν· οὐκοῦν μόνον γε καταπρᾶξαι αὐτά, ἀλλὰ τὸ πολὺ γὰρ μέρος Μακεδόνων εἶναι τὰ ἔργα. Καὶ τοῦτον τὸν λόγον ἀνιᾶσαι Ἀλέξανδρον λεχθέντα. Οὐδὲ ἐγὼ ἐπαινῶ τὸν λόγον, ἀλλὰ ἱκανὸν γὰρ εἶναι τίθεμαι ἐν τοιᾷδε παροινίᾳ τὸ καθ' αὑτὸν σιγῶντα ἔχειν μηδὲ τὰ αὐτὰ τοῖς ἄλλοις ἐς κολακείαν πλημμελεῖν. (6) Ὡς δὲ καὶ τῶν Φιλίππου τινὲς ἔργων, ὅτι οὐ μεγάλα οὐδὲ θαυμαστὰ Φιλίππῳ κατεπράχθη, οὐδεμιᾷ ξὺν δίκῃ ἐπεμνήσθησαν, χαριζό-

ullo modo probaverim, quod vestem Medicam pro Macedonica ac patria (quum ex Heraclidarum genere esset) assumpserit; ut neque hoc, quod cidarim Persicam eorum quos prælio vicerat, cum eo ornatu quem ipse victor olim gestare solebat, commutare non erubuerit. (5) Cæterum, siquid aliud, Alexandri certe præclara facinora documento esse possunt, sive quis corporis viribus polleat, sive generis splendore emineat, sive bellica virtute felicitateque Alexandrum ipsum superet, sive Africam simul atque Asiam (quemadmodum ille animo destinarat) circumnavigans subjugarit, sive Europam Asiæ atque Africæ tertiam adjunxerit: nihil hæc omnia homini ad felicitatem adipiscendam profutura, nisi pariter moderatio animi accedat, quantumvis res in speciem maximas gerat.

CAP. VIII.

Hoc igitur loco Cliti Dropidis filii casum atque Alexandri facinus enarrare, quamvis aliquanto post acciderit, non intempestivum judicaverim. Diem quendam apud Macedones Baccho sacrum esse ferunt, atque Alexandrum quotannis eo die Baccho sacrificare solitum, (2) tum temporis neglecto Baccho, Dioscuris sacrum fecisse. Atque ex eo tempore sacrificium cum epulo Dioscuris instituisse: quumque jam pocula longius processissent (nam et in poculis jam Alexander barbarorum mores imitabatur), omnibus vino incalescentibus sermo de Dioscuris incidit, quo pacto illorum origo ad Jovem relata esset, Tyndaro ablata. (3) Quosdam etiam ex præsentibus adulandi causa (cujusmodi homines regibus regumque negotiis et perniciosi semper fuerunt, et nunquam esse desinent) nulla ratione Castorem et Pollucem Alexandro cjusque rebus gestis comparandos esse censuisse. Alii ne ab Hercule quidem inter pocula abstinebant; sed invidiam mortalibus obstare, quominus vivis debiti honores ab illis quibuscum versentur tribuantur.

4. At Clitus jamdudum et hanc Alexandri in barbaricos mores transitionem et adulantium illi sermones palam moleste ferebat. Tum vero, exstimulante vino, neque illas in divos contumelias ferre potuisse, neque quod veterum heroum facta extenuantes, inofficiosum hoc officium Alexandro deferrent. (5) Neque enim Alexandri res tantas adeoque admirandas esse, quantum illi verbis extollerent; neque ipsum solum ea præstitisse, sed magnam rerum gestarum partem Macedonibus deberi. Atque hæc quidem Cliti verba acerbe admodum tulisse Alexandrum. Neque vero ego dictum laudo; satis enim esse judicaverim, in ejuscemodi vinolentia pro se quemque silentium præstare, neque eodem cum aliis adulationis vitio peccare. (6) Quum vero nonnulli rerum ab Philippo gestarum meminissent, et nihil magnum aut præclarum ab eo factum esse nullo jure contenderent,

μενοι καὶ οὗτοι Ἀλεξάνδρῳ, τὸν Κλεῖτον ἤδη οὐκέτι ἐν ἑαυτοῦ ὄντα πρεσβεύειν μὲν τὰ τοῦ Φιλίππου, καταβάλλειν δὲ Ἀλέξανδρόν τε καὶ τὰ τούτου ἔργα, παροινοῦντα ἤδη τὸν Κλεῖτον, τά τε ἄλλα καὶ πολὺν εἶναι ἐξονειδίζοντα Ἀλεξάνδρῳ ὅτι πρὸς αὐτοῦ ἄρα ἐσώθη, ὁπότε ἡ ἱππομαχία ἡ ἐπὶ Γρανικῷ ξυνειστήκει πρὸς Πέρσας· (7) καὶ δὴ καὶ τὴν δεξιὰν τὴν αὑτοῦ σοβαρῶς ἀνατείναντα, Αὕτη σε ἡ χείρ, φάναι, ὦ Ἀλέξανδρε, ἐν τῷ τότε ἔσωσε. Καὶ Ἀλέξανδρον οὐκέτι φέρειν τοῦ Κλείτου τὴν παροινίαν τε καὶ ὕβριν, ἀλλὰ ἀναπηδᾶν γὰρ ξὺν ὀργῇ ἐπ' αὐτόν, κατέχεσθαι δὲ ὑπὸ τῶν ξυμπινόντων. Κλεῖτον δὲ οὐκ ἀνιέναι ὑβρίζοντα. (8) Ἀλέξανδρος δὲ ἐβόα ἀναλαλῶν τοὺς ὑπασπιστάς· οὐδενὸς δὲ ὑπακούοντος, ἐς ταὐτὰ ἔφη καθεστηκέναι Δαρείῳ, ὁπότε πρὸς Βήσσου τε καὶ τῶν ἀμφὶ Βῆσσον ξυλληφθεὶς ἤγετο οὐδέ τι ἄλλο ὅτι μὴ ὄνομα ἦν βασιλέως. Οὔκουν ἔτι οἷούς τε εἶναι κατέχειν αὐτὸν τοὺς ἑταίρους, ἀλλ' ἀναπηδήσαντα γὰρ οἱ μὲν λόγχην ἁρπάσαι λέγουσι τῶν σωματοφυλάκων τινὸς καὶ ταύτῃ παίσαντα Κλεῖτον ἀποκτεῖναι· οἱ δὲ σάρισσαν παρὰ τῶν φυλάκων τινὸς καὶ ταύτην. (9) Ἀριστόβουλος δὲ ὅθεν μὲν ἡ παροινία ὡρμήθη οὐ λέγει· Κλείτου δὲ γενέσθαι μόνου τὴν ἁμαρτίαν, ὅν γε, ὠργισμένου Ἀλεξάνδρου καὶ ἀναπηδήσαντος ἐπ' αὐτὸν ὡς διαχρησομένου, ἀπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγίνετο πρὸς Πτολεμαίου τοῦ Λάγου τοῦ σωματοφύλακος· οὐ καρτερήσαντα δὲ ἀναστρέψαι αὖθις καὶ περιπετῆ Ἀλεξάνδρῳ γενέσθαι Κλεῖτον ἀνακαλοῦντι, καὶ φάναι ὅτι Οὗτός τοι ἐγὼ ὁ Κλεῖτος, ὦ Ἀλέξανδρε· καὶ ἐν τούτῳ πληγέντα τῇ σαρίσσῃ ἀποθανεῖν.

Alexandro nimirum etiam hi gratificantes, Clitum jam extra se positum, Philippi res gestas extollere, Alexandrum autem ejusque facta deprimere cœpisse. Clitumque in Alexandrum debacchantem inter alia ei exprobrasse, quod in equestri apud Granicum amnem prælio a se servatus esset. (7) Simulque dextra arroganter expansa, Hæc manus (dixisse) te, Alexander, eo in conflictu servavit. Alexandrum, quum diutius Clitum linguæ intemperantia furentem, ejusque contumelias ferre non posset, inflammatum ira in eum prosiliisse, verum a convivis retentum fuisse. Clitum contra nullum convitiis modum fecisse. (8) Alexandrum clamore sublato scutatos accersisse. Quumque a nemine exaudiretur, exclamasse se in eodem statu esse quo Darium, quum a Besso ejusque sociis captus duceretur, neque quicquam jam amplius ei quam regium nomen superesset. Tum amicos diutius illum retinere non potuisse, sed exilientem, alii a quodam ex custodibus corporis hastam abripuisse aiunt, eaque ictum Clitum interemisse, alii sarissam item a custodibus corporis acceptam. (9) Aristobulus vero unde hæc debacchatio orta sit, non narrat: omnem autem culpam in uno Clito fuisse dicit, quippe qui, quum jam Alexander ira percitus in eum interfecturus prosiliret, ipse per fores ultra muros et fossam arcis subductus a Ptolemæo Lagi filio corporis custode, continere se non potuerit quin reverteretur: quumque in Alexandrum Cliti nomen inclamantem incidisset, eique respondisset, En tibi Clitum, Alexander: tum sarissa ictum interiisse.

ΚΕΦ. Θ'.

Καὶ ἐγὼ Κλεῖτον μὲν τῆς ὕβρεως τῆς ἐς τὸν βασιλέα τὸν αὑτοῦ μεγαλωστὶ μέμφομαι, Ἀλέξανδρον δὲ τῆς συμφορᾶς οἰκτείρω, ὅτι δυοῖν κακοῖν ἐν τῷ τότε ἡττημένον ἐπέδειξεν αὐτόν, ὑφ' ὅτων δὴ καὶ τοῦ ἑτέρου οὐκ ἐπέοικεν ἄνδρα σωφρονοῦντα ἐξηττᾶσθαι, ὀργῆς τε καὶ παροινίας. (2) Ἀλλὰ τὰ ἐπὶ τοῖσδε αὖ ἐπαινῶ Ἀλεξάνδρου, ὅτι παραυτίκα ἔγνω σχέτλιον ἔργον ἐργασάμενος. Καὶ λέγουσιν εἰσὶν οἳ τὸν Ἀλέξανδρον ὅτι ἐρείσας τὴν σάρισσαν πρὸς τὸν τοῖχον ἐπιπίπτειν ἐγνώκει αὐτῇ, ὡς οὐ καλὸν αὐτῷ ζῆν ἀποκτείναντι φίλον αὑτοῦ ἐν οἴνῳ. (3) Οἱ πολλοὶ δὲ ξυγγραφεῖς τοῦτο μὲν οὐ λέγουσιν· ἀπελθόντα δὲ ἐς τὴν εὐνὴν κεῖσθαι ὀδυρόμενον, αὐτόν τε τὸν Κλεῖτον ὀνομαστὶ ἀνακαλοῦντα καὶ τὴν Κλείτου μὲν ἀδελφήν, αὐτὸν δὲ ἀναθρεψαμένην, Λανίκην τὴν Δρωπίδου παῖδα, ὡς καλὰ ἄρα αὐτῇ τροφεῖα ἀποτετικὼς εἴη ἀνδρωθείς, (4) ἥ γε τοὺς μὲν παῖδας τοὺς ἑαυτῆς ὑπὲρ αὐτοῦ μαχομένους ἐπεῖδεν ἀποθανόντας, τὸν ἀδελφὸν δὲ αὐτῆς αὐτὸς αὐτοχειρίᾳ ἔκτεινε· φονέα τε τῶν φίλων οὐ διαλείπειν αὐτὸν ἀνακαλοῦντα, ἄσιτόν τε καὶ ἄποτον

CAP. IX.

Ego vero, ut Clitum ob contumelias in regem suum vehementer reprehendo, ita Alexandri vicem doleo, quod se tum temporis duobus vitiis obnoxium declararit, a quorum vel altero virum temperantem nequaquam vinci conveniebat, iræ nimirum et vinolentiæ. (2) Eo vero rursum nomine Alexandrum laudo, quod statim maleficii pœnitentia ductus fuerit. Nonnulli enim ex iis qui de Alexandri rebus scribunt, auctores sunt, ipsum in sarissæ ad parietem acclinatæ spiculum sese conjicere voluisse, quod vitam sibi turpem existimaret amico per temulentiam interfecto. (3) Plerique tamen scriptores hoc non tradiderunt. Quum vero cubitum concessisset, jacuisse lamentantem et Clitum nomine compellantem: Lanicenque Dropidis filiam, Cliti sororem, quæ Alexandrum educaverat, egregiam scilicet educationis mercedem ab se jam viro accepisse: (4) quæ et filios suos pro Alexandro pugnantes interfectos vidisset, et cujus ipse fratrem sua manu occidisset: amicorum interfectorem identi-

καρτερεῖν ἔστε ἐπὶ τρεῖς ἡμέρας, οὐδὲ τὴν ἄλλην θεραπείαν θεραπεῦσαι τὸ σῶμα.

8. Καὶ ἐπὶ τούτοις τῶν μάντεων τινες μῆνιν ἐκ Διονύσου ἤδον, ὅτι ἡ θυσία ἐξελείφθη Ἀλεξάνδρῳ ἡ τοῦ Διονύσου. Καὶ Ἀλέξανδρος μόγις πρὸς τῶν ἑταίρων πεισθεὶς σίτου τε ἥψατο καὶ τὸ σῶμα κακῶς ἐθεράπευσε· καὶ τῷ Διονύσῳ τὴν θυσίαν ἀπέδωκεν, ἐπεὶ οὐδὲ αὐτῷ ἄκοντι ἦν ἐς μῆνιν τοῦ θείου μᾶλλόν τι ἢ τὴν αὐτοῦ κακότητα ἀναφέρεσθαι τὴν ξυμφοράν. (6) Ταῦτα μεγαλωστὶ ἐπαινῶ Ἀλεξάνδρου, τὸ μήτε ἀπαυθαδιάσασθαι ἐπὶ κακῷ, μήτε προστάτην τε καὶ ξυνήγορον κακίονα ἔτι γενέσθαι τοῦ ἁμαρτηθέντος, ἀλλὰ συμφῆσαι γὰρ ἐπταικέναι ἄνθρωπόν γε ὄντα.

7. Εἰσὶ δὲ οἳ λέγουσιν Ἀνάξαρχον τὸν σοφιστὴν ἑλθεῖν μὲν παρ' Ἀλέξανδρον κληθέντα, ὡς παραμυθησόμενον· εὑρόντα δὲ κείμενον καὶ ἐπιστένοντα, ἐπιγελάσαντα, ἀγνοεῖν, φάναι, διότι ἐπὶ τῷδε οἱ πάλαι σοφοὶ ἄνδρες τὴν Δίκην πάρεδρον τῷ Διὶ ἐποίησαν, ὡς ὅ τι ἂν πρὸς τοῦ Διὸς κυρωθῇ, τοῦτο ξὺν δίκῃ πεπραγμένον· καὶ οὖν καὶ τὰ ἐκ βασιλέως μεγάλου γιγνόμενα δίκαια χρῆναι νομίζεσθαι, πρῶτα μὲν πρὸς αὐτοῦ βασιλέως, ἔπειτα πρὸς τῶν ἄλλων ἀνθρώπων. (8) Ταῦτα εἰπόντα παραμυθήσασθαι μὲν Ἀλέξανδρον ἐν τῷ τότε· κακὸν δὲ μέγα, ὡς ἐγώ φημι, ἐξεργάσασθαι Ἀλεξάνδρῳ καὶ μεῖζον ἔτι ἢ ὅτῳ τότε ξυνείχετο· εἴπερ οὖν σοφοῦ ἀνδρὸς τήνδε ἔγνω τὴν δόξαν, ὡς οὐ τὰ δίκαια ἄρα χρὴ σπουδῇ ἐπιλεγόμενον πράττειν τὸν βασιλέα, ἀλλά ὅ τι ἂν καὶ ὅπως οὖν ἐκ βασιλέως πραχθῇ, τοῦτο δίκαιον νομίζειν. (9) Ἐπεὶ καὶ προσκυνεῖσθαι ἐθέλειν Ἀλέξανδρον λόγος κατέχει, ὑπούσης μὲν αὐτῷ καὶ τῆς ἀμφὶ τοῦ Ἄμμωνος πατρὸς μᾶλλόν τι ἢ Φιλίππου δόξης, θαυμάζοντα δὲ ἤδη τὰ Περσῶν καὶ Μήδων τῆς τε ἐσθῆτος τῇ ἀμείψει καὶ τῆς ἄλλης θεραπείας τῇ μετακοσμήσει. Οὐκ ἐνδεῆσαι δὲ οὐδὲ πρὸς τοῦτο αὐτῷ τοὺς κολακείᾳ ἐς αὐτὸ ἐνδιδόντας, ἄλλους τέ τινας καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ' αὐτὸν Ἀνάξαρχόν τε καὶ Ἄγιν Ἀργεῖον, ἐποποιόν.

ΚΕΦ. Ι'.

Καλλισθένην δὲ τὸν Ὀλύνθιον Ἀριστοτέλους τε τῶν λόγων διακηκοότα καὶ τὸν τρόπον ὄντα ὑπαγροικότερον οὐκ ἐπαινεῖν ταῦτα. Τούτου μὲν δὴ ἕνεκα καὶ αὐτὸς Καλλισθένει ξυμφέρομαι· ἐκεῖνα δὲ οὐκέτι ἐπιεικῆ δοκῶ τοῦ Καλλισθένους, εἴπερ ἀληθῆ ξυγγέγραπται, ὅτι ὑφ' αὐτῷ[τε]εἶναι ἀπέφαινε καὶ τῇ αὐτοῦ ξυγγραφῇ Ἀλέξανδρόν τε καὶ τὰ Ἀλεξάνδρου ἔργα. (2) Οὔκουν αὐτὸς ἀφῖχθαι ἐξ Ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλὰ ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων. Καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν Ἀλεξάνδρῳ οὐκ ἐξ ὧν Ὀλυμπιὰς ὑπὲρ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνηρτῆσθαι, ἀλλ' ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ Ἀλεξάνδρου ξυγγράψας ἐξενέγκῃ ἐς ἀνθρώπους. (3) Εἰσὶ δὲ οἳ καὶ τάδε ἀνέγραψαν, ὡς ἄρα ἤρετό ποτε αὐτὸν Φιλώτας, ὄντινα οἴοιτο μάλιστα τιμηθῆναι

dem se esse clamitantem, ac triduum totum a cibo et potu abstinuisse, neque aliam ullam corporis curam habuisse.

(5) Quibus e rebus nonnulli vates Liberi patris iram agnoverunt, quod sacrificium ejus ab Alexandro prætermissum esset. Alexander ægre ab amicis eo adduci potuit, ut cibo ac potu sumto aliquatenus corpus reficeret. Libero itaque sacrificium reddidit. Siquidem neque ipsi ingratum erat, casum illum ad iram numinis potius quam ad suum maleficium referri. (6) Eo vero nomine magnopere laudandum Alexandrum censuerim, quod non eo facinore insolenter exsultarit, neque, quod deterius fuisset, facto suo patrocinatus sit, sed humano more lapsum se agnoverit.

7. Sunt qui scribant, Anaxarchum sophistam consolandi ejus causa accersitum ad eum venisse. Quumque cubantem atque suspirantem offendisset, arridentem dixisse, Ignorare ipsum, cur veteres sapientes Justitiam Jovi assidentem fecerint : nimirum quia quicquid a Jove decernatur, id juste factum esse censeri debeat. Oportere igitur, quæ a magno rege fierent, justa existimari, primum quidem ab ipso rege, deinde a cæteris mortalibus. (8) Atque hoc quidem dicto nonnihil solatii Alexandro attulisse. Ego vero majoris erati quam prioris auctorem Alexandro Anaxarchum fuisse censeo, si illam viri sapientis sententiam esse statuit, non oportere nimirum regem summo studio delectuque adhibito justa agere : sed quidquid aut qualecunque sit quod rex faciat, justum censeri debere. (9) Siquidem et adorari se voluisse Alexandrum fama est, quum et opinionem concepisset, Hammonem potius sibi quam Philippum patrem esse et Persas jam ac Medos admiraretur, eosque vestis immutatione totiusque cultus ratione imitaretur. Neque ad hoc eum caruisse aiunt adulatoribus qui id comprobarent, tum aliis nonnullis, tum vero sophistis istis, qui circa Anaxarchum erant, atque Agide Argivo poeta.

CAP. X.

Callisthenes vero Olynthius, Aristotelis discipulus, moribus paulo asperioribus præditus, hæc non probabat. Qua quidem in re etiam ego Callistheni assentior. Illud autem a Callisthene parum modeste dictum (si vera traduntur) censeo, quod Alexandrum ejusque facta penes se et historiam ab ipso scriptam esse prædicabat. (2) Neque enim se ad Alexandrum venisse, ut sibi ab eo gloriam compararet, sed uti Alexandrum inter mortales illustrem ac gloriosum redderet. Præterea divinitatis communicationem Alexandro non ex iis quæ Olympias de ortu suo mentita esset pendere, sed ex iis quæ ipse de Alexandro scribens ad mortalium notitiam traducturus esset. (3) Sunt etiam qui scribant, quum aliquando a Philota interrogatus esset,

πρὸς τῆς Ἀθηναίων πόλεως· τὸν δὲ ἀποκρίνασθαι Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὅτι τὸν ἕτερον τοῖν τυράννοιν ἔκτειναν καὶ τυραννίδα ὅτι κατέλυσαν. (4) Ἐρέσθαι αὖθις τὸν Φιλώταν εἰ τῷ τύραννον κτείναντι ὑπάρχει παρ' οὕστινας ἐθέλει τῶν Ἑλλήνων φυγόντα σώζεσθαι· καὶ ἀποκρίνασθαι αὖθις Καλλισθένην, εἰ καὶ μὴ παρ' ἄλλους, παρά γε Ἀθηναίους ὅτι φυγόντι ὑπάρχει σώζεσθαι· τούτους γὰρ καὶ πρὸς Εὐρυσθέα πολεμῆσαι ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους, τυραννοῦντα ἐν τῷ τότε τῆς Ἑλλάδος.

5. Ὑπὲρ δὲ τῆς προσκυνήσεως ὅπως ἠναντιώθη Ἀλεξάνδρῳ, καὶ τοιόσδε κατέχει λόγος. Ξυγκεῖσθαι μὲν γὰρ τῷ Ἀλεξάνδρῳ πρὸς τοὺς σοφιστάς τε καὶ τοὺς ἀμφ' αὐτὸν Περσῶν καὶ Μήδων τοὺς δοκιμωτάτους μνήμην τοῦ λόγου τοῦδε ἐν πότῳ ἐμβαλεῖν· (6) ἄρξαι δὲ τοῦ λόγου Ἀνάξαρχον, ὡς πολὺ δικαιότερον ἂν θεὸν νομιζόμενον Ἀλέξανδρον Διονύσου τε καὶ Ἡρακλέους, μὴ ὅτι τῶν ἔργων ἕνεκα ὅσα καὶ ἡλίκα καταπέπραχται Ἀλεξάνδρῳ, ἀλλὰ καὶ ὅτι Διόνυσος μὲν Θηβαῖος ἦν, οὐδέν τι προσήκων Μακεδόσι, καὶ Ἡρακλῆς Ἀργεῖος, οὐδὲ οὗτος προσήκων, ὅτι μὴ κατὰ γένος τὸ Ἀλεξάνδρου· Ἡρακλείδην γὰρ εἶναι Ἀλέξανδρον· (7) Μακεδόνας δὲ αὖ τὸν σφῶν βασιλέα δικαιότερον θείαις τιμαῖς κοσμοῦντας. Καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον ὅτι ἀπελθόντα γε ἐξ ἀνθρώπων ὡς θεὸν τιμήσουσι· πόσῳ δὴ δικαιότερον ζῶντα γεραίρειν ἢπερ τελευτήσαντα ἐς οὐδὲν ὄφελος τῷ τιμωμένῳ.

ΚΕΦ. ΙΑ'.

Λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς Ἀναξάρχου, τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον καὶ δὴ ἐθέλειν ἄρχεσθαι τῆς προσκυνήσεως· τοὺς Μακεδόνας δὲ τοὺς πολλοὺς μαχομένους τῷ λόγῳ σιγῇ ἔχειν. (2) Καλλισθένην δὲ ὑπολαβόντα, Ἀλέξανδρον μέν, εἰπεῖν, ὦ Ἀνάξαρχε, οὐδεμιᾶς ἀνάξιον ἀποφαίνω τιμῆς ὅσαι ξύμμετροι ἀνθρώπῳ· ἀλλὰ διακεχρίσθαι γὰρ τοῖς ἀνθρώποις ὅσαι τε ἀνθρώπιναι τιμαὶ καὶ ὅσαι θεῖαι πολλοῖς μὲν καὶ ἄλλοις, καθάπερ ναῶν τε οἰκοδομήσει καὶ ἀγαλμάτων ἀναστάσει καὶ τεμένη ὅτι ταῖς θεοῖς ἐξαιρεῖται καὶ θύεται ἐκείνοις καὶ σπένδεται, καὶ ὕμνοι μὲν ἐς τοὺς θεοὺς ποιοῦνται, ἔπαινοι δὲ ἐς ἀνθρώπους, ἀτὰρ οὐχ ἥκιστα τῷ τῆς προσκυνήσεως νόμῳ· (3) τοὺς μὲν γὰρ ἀνθρώπους φιλεῖσθαι πρὸς τῶν ἀσπαζομένων, τὸ θεῖον δέ, ὅτι ἄνω ποὺ ἱδρυμένον καὶ οὐδὲ ψαῦσαι αὐτοῦ θέμις, ἐπὶ τῷδε ἄρα τῇ προσκυνήσει γεραίρεται, καὶ χοροὶ τοῖς θεοῖς ἵστανται καὶ παιᾶνες ἐπὶ τοῖς θεοῖς ᾄδονται. Καὶ οὐδὲν θαυμαστόν, ὁπότε γε καὶ αὐτῶν τῶν θεῶν ἄλλοις ἄλλαι τιμαὶ πρόσκεινται, καὶ ναὶ μὰ Δία ἥρωσιν ἄλλαι, καὶ αὖται ἀποκεχριμέναι τοῦ θείου. (4) Οὔκουν εἰκὸς ξύμπαντα ταῦτα ἀναταράσσοντας τοὺς μὲν ἀνθρώπους ἐς σχῆμα ὑπέρογκον καθιστάναι τῶν τιμῶν ταῖς ὑπερβο-

quem putaret ab Atheniensibus in maximo honore haberi, respondisse Harmodium et Aristogitonem, quod alterum tyrannorum interfecissent, ac tyrannidem sustulissent. (4) Philotam rursus interrogasse, si cui contingat tyrannum occidere, num apud quosquos velit Græcorum profugium illi tutum foret? Respondisse Callisthenem, si non alibi, certe apud Athenienses tutum fore. Hos enim pro filiis Herculis etiam adversus Eurystheum tum temporis Græciam tyrannide prementem bellum gessisse.

5. De adoratione vero, quo pacto Alexandro Callisthenes restiterit, hujuscemodi quippiam narratur. Convenerat inter Alexandrum et sophistas eosque qui ex Persis et Medis illustriores circa ipsum erant, ut inter pocula in hunc sermonem ex composito venirent. (6) Anaxarchum sermonis initium fecisse, censentem, Alexandrum majori jure pro deo habendum, quam Liberum aut Herculem, idque non modo propter magnitudinem atque præstantiam rerum ab Alexandro gestarum, verum etiam quod Liber pater Thebanus fuisset, nihil cum Macedonibus commune habens: Hercules autem Argivus, ne ipse quidem ad Macedones, spectans, nisi quod ad Alexandri genus attineret. Alexandrum enim Heraclidem esse. (7) Macedones vero multo convenientius atque æquius suum ipsorum regem divinis honoribus prosequi. Neque enim dubium esse, quin postquam e vivis excessisset, ut deum culturi essent. Multo igitur satius esse, vivo illi divinos honores deferre quam mortuo, quum nulla ad eum cultus utilitas esset perventura.

CAP. XI.

Hæc atque alia in hanc sententiam quum ab Anaxarcho dicta essent, eos qui participes consilii initi erant, ea laudasse, et initium adorandi facere velle dixisse; plerosque vero Macedones, qui Anaxarchi orationem improbarent, tacuisse. (2) Callisthenem autem abrupto silentio in hanc sententiam dixisse: Equidem, Anaxarche, Alexandrum nullo plane honore, qui quidem hominibus conveniat, indignum esse censeo. Ceterum statuta sunt inter homines divini et humani honoris discrimina, cum multis aliis rebus, velut templorum exædificatione et statuarum erectione: diis enim delubra consecramus iisque sacra facimus et libamus: tum hymnis qui deorum sunt, dum laudationes sunt hominum, tum vero omnium maxime ritu adorationis: (3) hominibus siquidem a salutantibus oscula dantur: deos vero edito loco positos ne contingi quidem fas est, ideoque adoratione coluntur. Tripudia etiam saltationesque diis fiunt, et pæanes cantantur. Neque vero mirum id est, quum ex ipsis diis alii aliis honores tribuantur, et heroibus quoque alii, etiam ipsi a divinis honoribus diversi. (4) Non est igitur consentaneum hæc omnia inter se confundere, neque homines nimiis honoribus supra humanum modum extollere, et deos ad statum ab illorum dignitate

λαῖς, τοὺς θεοὺς δὲ τό γε ἐπὶ σφίσιν ἐς ταπεινότητα οὐ πρέπουσαν καταβάλλειν τὰ ἴσα ἀνθρώποις τιμῶντας. Οὔκουν οὐδὲ Ἀλέξανδρον ἀνασχέσθαι ἄν, εἰ τῶν ἰδιωτῶν τις εἰσποιοῖτο ταῖς βασιλικαῖς τιμαῖς χειροτονίᾳ ἢ ψήφῳ οὐ δικαίᾳ. (5) Πολὺ ἂν οὖν δικαιότερον τοὺς θεοὺς δυσχεραίνειν ὅσοι ἄνθρωποι ἐς τὰς θείας τιμὰς σφᾶς εἰσποιοῦσιν ἢ πρὸς τῶν ἄλλων εἰσποιούμενοι ἀνέχονται. Ἀλέξανδρον δὲ πόρρω τοῦ ἱκανοῦ ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶναί τε καὶ δοκεῖν, καὶ βασιλέων τὸν βασιλικώτατον καὶ στρατηγῶν τὸν ἀξιοστρατηγότατον. (6) Καὶ σέ, εἴπερ τινὰ ἄλλον, ὦ Ἀνάξαρχε, εἰσηγητήν τε τούτων τῶν λόγων ἐχρῆν γίγνεσθαι καὶ κωλυτὴν τῶν ἐναντίων, ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει Ἀλεξάνδρῳ ξυνόντα. Οὔκουν ἄρχειν γε τοῦδε τοῦ λόγου πρέπον ἦν, ἀλλὰ μεμνῆσθαι γὰρ οὐ Καμβύσῃ οὐδὲ Ξέρξῃ ξυνόντα ἢ ξυμβουλεύοντα, ἀλλὰ Φιλίππου μὲν παιδί, Ἡρακλείδῃ δὲ ἀπὸ γένους καὶ Αἰακίδῃ, ὅτου οἱ πρόγονοι ἐξ Ἄργους ἐς Μακεδονίαν ἦλθον, οὐδὲ βίᾳ, ἀλλὰ νόμῳ Μακεδόνων ἄρχοντες διετέλεσαν. (7) Οὔκουν οὐδὲ αὐτῷ τῷ Ἡρακλεῖ ζῶντι ἔτι θεῖαι τιμαὶ παρ' Ἑλλήνων ἐγένοντο, ἀλλ' οὐδὲ τελευτήσαντι πρόσθεν ἢ πρὸς τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἐπιθεσπισθῆναι ὡς θεὸν τιμᾶν Ἡρακλέα. Εἰ δέ, ὅτι ἐν τῇ βαρβάρῳ γῇ οἱ λόγοι γίγνονται, βαρβαρικὰ χρὴ ἔχειν τὰ φρονήματα, καὶ ἐγὼ τῆς Ἑλλάδος μεμνῆσθαί σε ἀξιῶ, ὦ Ἀλέξανδρε, ἧς ἕνεκα ὁ πᾶς στόλος σοι ἐγένετο, προσθεῖναι τὴν Ἀσίαν τῇ Ἑλλάδι. (8) Καὶ οὖν ἐνθυμήθητι, ἐκεῖσε ἐπανελθὼν ἆρά γε καὶ τοὺς Ἕλληνας τοὺς ἐλευθερωτάτους προσαναγκάσεις ἐς τὴν προσκύνησιν, ἢ Ἑλλήνων μὲν ἀφέξῃ, Μακεδόσι δὲ προσθήσεις τήνδε τὴν ἀτιμίαν, ἢ διακεκριμένα ἔσται σοι οὕτω τὰ τῶν τιμῶν εἰς ἅπαντας, ὡς πρὸς Ἑλλήνων μὲν καὶ Μακεδόνων ἀνθρωπίνως τε καὶ Ἑλληνικῶς τιμᾶσθαι, πρὸς δὲ τῶν βαρβάρων μόνων βαρβαρικῶς. (9) Εἰ δὲ ὑπὲρ Κύρου τοῦ Καμβύσου λέγεται τὸν πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον καὶ ἐπὶ τῷδε ἐμμεῖναι Πέρσαις τε καὶ Μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ ἐνθυμεῖσθαι, ὅτι τὸν Κῦρον ἐκεῖνον Σκύθαι ἐσωφρόνισαν, πένητες ἄνδρες καὶ αὐτόνομοι, καὶ Δαρεῖον ἄλλοι αὖ Σκύθαι, καὶ Ξέρξην Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ Ἀρταξέρξην Κλέαρχος καὶ Ξενοφῶν καὶ οἱ ξὺν τούτοις μύριοι, καὶ Δαρεῖον τοῦτον Ἀλέξανδρος μὴ προσκυνούμενος.

ΚΕΦ. ΙΒ'.

Ταῦτα δὴ καὶ τοιαῦτα εἰπόντα Καλλισθένην ἀνιᾶσαι μὲν μεγαλωστὶ Ἀλέξανδρον, Μακεδόσι δὲ πρὸς θυμοῦ εἰπεῖν. Καὶ τοῦτο γνόντα Ἀλέξανδρον πέμψαντα κωλῦσαι Μακεδόνας μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως. (2) Ἀλλὰ σιγῆς γὰρ γενομένης ἐπὶ τοῖς λόγοις ἀναστάντας Περσῶν τοὺς πρεσβυτάτους ἑφεξῆς προσκυνεῖν. Λεοννάτον δέ, ἕνα τῶν ἑταίρων, ἐπειδή τις ἐδόκει τῶν Περσῶν αὐτῷ οὐκ ἐν κόσμῳ προσκυνῆσαι, τὸν δὲ ἐπι-

alienum redigere, ut nimirum eodem quo homines cultu colantur. Neque enim pateretur Alexander privatum aliquem regios honores electione suffragiisque illegitimis usurpare. (5) Multo itaque justius deos indignaturos, si quis mortalium divinos honores sibi arroget aut ab aliis delatos sustineat. Atque Alexandrum quidem infinitis partibus fortium virorum fortissimum esse atque haberi, inter reges maxime regium, inter imperatores maxime imperio dignum. (6) Ac te quidem, Anaxarche, si quem alium, oportebat hujusmodi sermonibus Alexandrum instruere atque a contrariis deterrere, cujus ille quotidiana consuetudine propter sapientiam et eruditionem utitur. Neque conveniebat hujus sermonis auctorem exsistere : at potius meminisse, te non id Cambysi aut Xerxi consulere, sed Philippi filio, qui ab Hercule atque Achille genus ducat, cujus majores ex Argis in Macedoniam venerunt, neque vi sed Macedonum legibus atque institutis imperium tenuerunt. (7) Sed ne Herculi quidem, quum adhuc in vivis esset, divini honores a Græcis delati sunt, imo ne mortuo quidem, donec Delphico oraculo ut pro deo coleretur jussum fuit. Si vero, quod in barbara regione verba fiunt, barbaricos sensus induere oportet, ego te, Alexander, ut Græciæ memineris oro, cujus gratia hæc omnis expeditio a te suscepta est, ut Asiam Græciæ adjicias. (8) Nunc vero cogita, an quum in Græciam redieris, Græcos liberrimos populos ad tui adorationem sis compulsurus, aut an, Græcis exemptis, Macedonas tantum hoc dedecore sis oneraturus : aut an tibi diversi plane honores sint decernendi, Græcis quidem et Macedonibus humanos honores Græcorum more tibi deferentibus, barbaris autem solis barbarice te colentibus? (9) Si vero de Cyro Cambysis filio dicitur, primum omnium mortalium Cyrum ab hominibus adoratione cultum fuisse, atque ab hoc summissionem hanc Persis et Medis permansisse, cogitare te oportet Scythas populum inopem, liberum tamen, Cyri insolentiam compescuisse. Darium rursus alii Scythæ ad modestiam redegerunt, Xerxem Athenienses et Lacedæmonii, Artaxerxem Clearchus et Xenophon cum decem tantum hominum millibus, Darium etiam hunc Alexander, quum nulla ei adoratio decreta esset.

CAP. XII.

Hæc aliaque ejusmodi quum dixisset Callisthenes, Alexandrum quidem molestissime tulisse, Macedonibus vero gratissima accidisse. Quo cognito, Alexandrum misisse qui Macedonas prohiberent, ne adorationis memores essent. (2) Silentio ad hunc sermonem facto, qui inter Persas ætate dignitateque præstabant consurrexisse, eumque ordine adorasse. Leonnatum vero, unum ex amicis, quum ex Persis quendam indecore adorantem conspexisset, gestum illius

γελάσαι τῷ σχήματι τοῦ Περσοῦ, ὡς ταπεινόν· καὶ τούτῳ χαλεπήναντα τότε Ἀλέξανδρον ξυναλλαγῆναι αὖθις. Ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος. (3) Προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ Ἀλέξανδρον πρώτοις μὲν τούτοις πρὸς οὕστινας ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως· τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην προσκυνῆσαί τε ἀναστάντα καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. (4) Ὡς δὲ ἐς Καλλισθένην ἦκεν ἡ πρόποσις, ἀναστῆναι μὲν Καλλισθένην καὶ ἐκπιεῖν τὴν φιάλην, καὶ προσελθόντα ἐθέλειν φιλῆσαι οὐ προσκυνήσαντα. Τὸν δὲ τυχεῖν μὲν τότε διαλεγόμενον Ἡφαιστίωνι· οὔκουν προσέχειν τὸν νοῦν, εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῆ αὐτῷ Καλλισθένει ἐγένετο. (5) Ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσήει αὐτῷ ὁ Καλλισθένης φιλήσων, φάναι ὅτι οὐ προσκυνήσας πρόσεισι. Καὶ τὸν Ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν· τὸν δὲ Καλλισθένην, φιλήματι, φάναι, ἔλαττον ἔχων ἄπειμι.

6. Καὶ τούτων ἐγὼ ὅσα ἐς ὕβριν τε τὴν Ἀλεξάνδρου τὴν ἐν τῷ παραυτίκα καὶ ἐς σκαιότητα τὴν Καλλισθένους φέροντα, οὐδὲν οὐδαμῇ ἐπαινῶ· ἀλλὰ τὸ καθ' αὑτὸν γὰρ κοσμίως τίθεσθαι ἐξαρκεῖν φημί, αὔξοντα ὡς ἀνυστὸν τὰ βασιλέως πράγματα ὅτῳ τις ξυνεῖναι οὐκ ἀπηξίωσεν. (7) Οὔκουν ἀπεικότως δι' ἀπειροθείας γενέσθαι Ἀλεξάνδρῳ Καλλισθένην τίθεμαι ἐπὶ τῇ ἀκαίρῳ τε παῤῥησίᾳ καὶ ὑπερόγκῳ ἀβελτηρίᾳ. Ἐφ' ὅτῳ τεκμαίρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλισθένους ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης Ἀλεξάνδρῳ ἐκ τῶν παίδων, τοὺς δὲ ὅτι καὶ ἐπῆρεν αὐτοὺς ἐς τὸ ἐπιβουλεῦσαι. Ξυνέβη δὲ τὰ τῆς ἐπιβουλῆς ὧδε.

Persæ, ut nimis abjectum, irrisisse. Alexandrum vero tunc indignatum, postea conciliatum fuisse. (3) Sunt qui scribant, Alexandrum phialam auream in corona propinasse, iis quidem primum quibuscum de se adorando convenisset: eumque qui primus ebibisset, consurrexisse atque adorasse, deinde osculatum esse. Idque ordine deinceps a reliquis factitatum. (4) Quumque propinandi ordo ad Callisthenem venisset, consurrexisse quidem et phialam ebibisse, propiusque accedentem osculari voluisse, adoratione prætermissa. At tum forte Alexandrum sermonem cum Hephæstione habuisse, eamque ob rem non animadvertisse an integram adorationem deferret. (5) Demetrium vero Pythonactis filium, unum ex amicis, quum Callisthenes Alexandrum osculaturus accederet, dixisse, illum eo non adorato accedere. Atque ita Alexandrum ejus osculum non admisisse. Tum Callisthenem dixisse, se osculi jactura facta discedere.

6. Ego vero nihil aut eorum quæ ad præsentem ignominiam Alexandri pertinent, aut Callisthenis asperitatem morum illico laudaverim: sufficere autem existimaverim modestiam præ se ferre, eumque qui regi inservire velit, ejus negotia, quoad fieri potest, promovere. (7) Non igitur immerito odiosum fuisse Alexandro Callisthenem censeo ob intempestivam ejus loquendi libertatem et ineptam arrogantiam. Quam quidem ob causam crediderim facile fidem adhibitam fuisse delatoribus, qui Callisthenem insidiarum, quæ Alexandro per pueros structæ erant, conscium fuisse accusarant: aliisque, qui illos ab eo incitatos dicebant. Insidiæ vero hujuscemodi fuerunt.

ΚΕΦ. ΙΓ'.

Ἐκ Φιλίππου ἦν ἤδη καθεστηκός, τῶν ἐν τέλει Μακεδόνων τοὺς παῖδας ὅσοι ἐς ἡλικίαν ἐμειρακίσαντο, καταλέγεσθαι ἐς θεραπείαν τοῦ βασιλέως, τά τε περὶ τὴν ἄλλην δίαιταν τοῦ σώματος διακονεῖσθαι βασιλεῖ καὶ κοιμώμενον φυλάσσειν τούτοις ἐπετέτραπτο· καὶ ὁπότε ἐξελαύνοι βασιλεύς, τοὺς ἵππους παρὰ τῶν ἱπποκόμων δεχόμενοι ἐκεῖνοι προσῆγον καὶ ἀνέβαλλον οὗτοι· βασιλέα τὸν Περσικὸν τρόπον καὶ τῆς ἐπὶ θήρᾳ φιλοτιμίας βασιλεῖ κοινωνοὶ ἦσαν. (2) Τούτων καὶ Ἑρμόλαος ἦν, Σωπόλιδος μὲν παῖς, φιλοσοφίᾳ δὲ ἐδόκει προσέχειν τὸν νοῦν καὶ Καλλισθένην θεραπεύειν ἐπὶ τῷδε. Ὑπὲρ τούτου λόγος κατέχει ὅτι ἐν θήρᾳ προσφερομένου Ἀλεξάνδρῳ συὸς ἔφθη βαλὼν τὸν σῦν ὁ Ἑρμόλαος· καὶ ὁ μὲν σῦς πίπτει βληθείς, Ἀλέξανδρος δὲ τοῦ καιροῦ ὑστερίσας ἐχαλέπηνε τῷ Ἑρμολάῳ καὶ κελεύει αὐτὸν πρὸς ὀργὴν πληγὰς λαβεῖν, ὁρώντων τῶν ἄλλων παίδων, καὶ τὸν ἵππον αὐτοῦ ἀφεῖλετο.

3. Τοῦτον τὸν Ἑρμόλαον ἀλγήσαντα τῇ ὕβρει φράσαι πρὸς Σώστρατον τὸν Ἀμύντου, ἡλικιώτην τε αὐτοῦ καὶ ἐραστὴν ὄντα, ὅτι οὐ βιωτόν οἱ ἐστι μὴ τιμωρησαμέ-

CAP. XIII.

Erat jam ante a Philippo institutum, uti Macedonum, qui in aliqua dignitate constituti essent, filii quum adolevissent, ad regium ministerium deligerentur, et cum ad alia quæ ad regii corporis curam pertinerent præsto essent, tum eo cubante custodias agerent. Hi equos quum rex ascensurus esset ab agasonibus acceptos ad regem adducebant: cum Persico more in equum imponebant, et venationi studentem comitabantur. (2) In his erat Hermolaus Sopolidis F. qui quidem philosophiæ studiosus esse videbatur, et propterea Callisthenem observare. Hunc Hermolaum rumor est, quum Alexandro inter venandum aper occurrisset, in eo feriendo Alexandrum prævenisse. Atque aprum quidem ictum procidisse; regem vero indignatum opportunitatem feriendi apri sibi præreptam, adolescentem per iram, cæteris pueris spectantibus, verberari eique equum adimi jussisse.

3. Quam contumeliam ægre ferentem Hermolaum, rem cum Sostrato Amyntæ filio, æquali atque amatori suo, communicasse, vitam sibi acerbam testatum, nisi Alexan-

νῳ Ἀλέξανδρον τῆς ὕβρεως, καὶ τὸν Σώστρατον οὐ χαλεπῶς συμπεῖσαι μετασχεῖν τοῦ ἔργου, ἅτε ἐρῶντα. (4) Ὑπὸ τούτων δὲ ἀναπεισθῆναι Ἀντίπατρόν τε τὸν Ἀσκληπιοδώρου τοῦ Συρίας σατραπεύσαντος καὶ Ἐπιμένην τὸν Ἀρσέου καὶ Ἀντικλέα τὸν Θεοκρίτου καὶ Φιλώταν τὸν Κάρσιδος τοῦ Θρᾳκός. Ὡς οὖν περιῆκεν ἐς Ἀντίπατρον ἡ νυκτερινὴ φυλακή, ταύτῃ τῇ νυκτὶ ξυγκείμενον εἶναι ἀποκτεῖναι Ἀλέξανδρον, κοιμωμένῳ ἐπιπεσόντας.

5. Ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν ἔστε ἡμέραν πίνειν Ἀλέξανδρον· Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε· Σύραν γυναῖκα ἐφομαρτεῖν Ἀλεξάνδρῳ, κάτοχον ἐκ τοῦ θείου γιγνομένην· καὶ ταύτην τὸ μὲν πρῶτον γέλωτα εἶναι Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτόν· ὡς δὲ τὰ πάντα ἐν τῇ κατοχῇ ἀληθεύουσα ἐφαίνετο, οὐκέτι ἀμελεῖσθαι ὑπ' Ἀλεξάνδρου, ἀλλ' εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασιλέα καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἤδη ἐπιστῆναι. (6) Καὶ δὴ καὶ τότε ἀπαλλασσομένου ἐκ τοῦ πότου, κατεχομένην ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα· καὶ Ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτω τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον.

7. Τῇ δὲ ὑστεραίᾳ Ἐπιμένης ὁ Ἀρσέου τῶν μετεχόντων τῆς ἐπιβουλῆς φράζει τὴν πρᾶξιν Χαρικλεῖ τῷ Μενάνδρου, ἐραστῇ ἑαυτοῦ γεγονότι· Χαρικλῆς δὲ φράζει Εὐρυλόχῳ τῷ ἀδελφῷ τῷ Ἐπιμένους. Καὶ ὁ Εὐρύλοχος ἐλθὼν ἐπὶ τὴν σκηνὴν τὴν Ἀλεξάνδρου, Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι καταλέγει ἅπαν τὸ πρᾶγμα· ὁ δὲ Ἀλεξάνδρῳ ἔφρασε. Καὶ ὁ Ἀλέξανδρος ξυλλαβεῖν κελεύει ὧν τὰ ὀνόματα εἶπεν ὁ Εὐρύλοχος· καὶ οὗτοι στρεβλούμενοι σφῶν τε αὐτῶν κατεῖπον τὴν ἐπιβουλὴν καί τινας καὶ ἄλλους ὠνόμασαν.

dri injuriam ulcisceretur. Ac Sostratum quidem non difficulter, utpote amatorem, in societatem facinoris pertractum esse. (4) Ab his Antipatrum etiam Asclepiodori, qui satrapatum Syriæ gerebat, filium persuasum, et Epimenem Arsei filium, atque Anticlem Theocriti, unaque Philotam Carsidis Thracis filium. Quum itaque nocturnæ custodiæ vices ad Antipatrum revolutæ essent, ea nocte statutum fuisse Alexandrum dormientem opprimere.

5. Contigisse vero ut sua sponte, quemadmodum nonnulli scribunt, Alexander in lucem usque potaret. At Aristobulus auctor est, mulierem quandam Syram numine correptam Alexandrum sequutam. Atque hanc quidem initio et Alexandro ejusque amicis risui fuisse, quum vero in illa numinis afflatione omnia vera vaticinaretur, non amplius ab Alexandro contemptui habitam, sed liberum Syræ ad regem et noctu et interdiu accessum factum fuisse, ac sæpenumero etiam dormienti adfuisse. (6) Hanc tum forte regi e compotatione discedenti numine afflatam occurrisse, atque ut reversus totam noctem potando traduceret orasse. Alexandrum divinos monitus esse suspicatum, ad pocula rediisse, et sic puerorum conatus irritos fuisse.

7. Postero die Epimenes, Arsei filius, unus ex conjuratis, Charicli Menandri filio, amatori suo, rem aperit, Charicles Eurylocho Epimenis fratri : Eurylochus Alexandri tabernaculum ingressus, Ptolemæo Lagi filio corporis custodi totum negotium declarat : is Alexandro id significat. Qui statim eos quorum nomina detulerat Eurylochus comprehendi jubet. Hi quæstione adhibita, et suum de insidiis consilium aperuerunt, et alios nonnullos nominarunt.

ΚΕΦ. ΙΔ'.

Ἀριστόβουλος μὲν λέγει ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα· καὶ Πτολεμαῖος ὡσαύτως λέγει. Οἱ δὲ πολλοὶ οὐ ταύτῃ λέγουσιν, ἀλλὰ διὰ μῖσος γὰρ τὸ ἤδη ὂν πρὸς Καλλισθένην ἐξ Ἀλεξάνδρου καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῷ Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. (2) Ἤδη δέ τινες καὶ τάδε ἀνέγραψαν, τὸν Ἑρμόλαον προαχθέντα ἐς τοὺς Μακεδόνας ὁμολογεῖν τε ἐπιβουλεῦσαι (καὶ γὰρ οὐκ εἶναι ἔτι ἐλευθέρῳ ἀνδρὶ φέρειν τὴν ὕβριν τὴν Ἀλεξάνδρου), πάντα καταλέγοντα, τήν τε Φιλώτα οὐκ ἔνδικον τελευτὴν καὶ τοῦ πατρὸς αὐτοῦ Παρμενίωνος ἔτι ἐκνομωτέραν καὶ τῶν ἄλλων τῶν τότε ἀποθανόντων, καὶ τὴν Κλείτου ἐν μέθῃ ἀναίρεσιν, καὶ τὴν ἐσθῆτα τὴν Μηδικήν, καὶ τὴν προσκύνησιν τὴν βουλευθεῖσαν καὶ οὔπω πεπαυμένην, καὶ πότους τε καὶ ὕπνους τοὺς Ἀλεξάνδρου· ταῦτα οὐ φέροντα ἔτι ἐλευθερῶσαι ἐθελῆσαι ἑαυτόν τε καὶ τοὺς ἄλλους Μακεδόνας. (3) Τοῦτον μὲν δὴ αὐτόν τε καὶ τοὺς ξὺν

CAP. XIV.

Aristobulus quidem auctor est, illos hoc etiam dixisse, se a Callisthene ad facinus adeundum incitatos fuisse. Quod et Ptolemæus affirmat. Plurimi tamen aliter hac de re scribunt : nimirum Alexandrum quod odio Callisthenis laboraret : et quod magna Hermolao cum Callisthene familiaritas intercederet, facile in sinistram de Callisthene suspicionem a delatoribus adductum. (2) Nonnulli etiam tradunt, Hermolaum ad Macedonas productum, insidias abs se structas confessum (neque enim liberi hominis esse, Alexandri contumelias ferre), omniaque ab Alexandro perpetrata recensuisse : nimirum injustam Philotæ necem et patris ejus Parmenionis atque eorum qui tum temporis interfecti fuerant multo iniquiorem : Cliti etiam per temulentiam cædem, habitum quoque Medorum assumptum : adorationem decretam neque adhuc abolitam : adhæc potationes et somnolentiam Alexandri : quæ quum diutius ferre non posset, voluisse se reliquosque Macedonas in libertatem vindicare. (3) Tum Hermolaum et cæteros comprehensos a circumstantibus la-

αὐτῷ ξυλληφθέντας καταλευσθῆναι πρὸς τῶν παρόντων. Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ, ἔπειτα νόσῳ τελευτῆσαι, Πτολεμαῖος δὲ ὁ Λάγου στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. Οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν καὶ ξυγγενόμενοι ἐν τῷ τότε Ἀλεξάνδρῳ ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λαθόντων σφᾶς ὅπως ἐπράχθη ξύμφωνα ἀνέγραψαν. (4) Πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο· ἀλλ' ἐμοὶ ταῦτα ἀποχρῶντα ἔστω ἀναγεγραμμένα. Ταῦτα μὲν δὴ οὐ πολλῷ ὕστερον πραχθέντα ἐγὼ ἐν τοῖσδε τοῖς ἀμφὶ Κλεῖτον ξυνενεχθεῖσιν Ἀλεξάνδρῳ ἀνέγραψα, τούτοις μᾶλλόν τι οἰκεῖα ὑπολαβὼν ἐς τὴν ἀφήγησιν.

pidibus obrutos esse. Aristobulus vero Callisthenem compedibus vinctum cum exercitu ductum esse ac postea morbo interiisse scribit. Ptolemæus illum tortum ac deinde suspensum vitam finisse ait. Adeo ne ipsi quidem scriptores, quorum maxima est fides, quique tum temporis Alexandro aderant, de rebus manifestis, quæque quo pacto gestæ essent eos nequaquam latebant, inter se consentiunt. (4) Multa vero etiam alia alii de hisce rebus diversaque scripserunt. Sed de his abunde a me jam dictum est. Quæ quidem, quum haud multo post tempore acta sint, iis quæ Clito acciderunt adjeci, quod non aliena ab hac narratione viderentur.

ΚΕΦ. ΙΕ'.

Παρ' Ἀλέξανδρον δὲ ἦκε καὶ αὖθις Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης πρεσβεία ξὺν τοῖς πρέσβεσιν οἷς αὐτὸς ἐς Σκύθας ἔστειλεν. Ὁ μὲν δὴ τότε βασιλεὺς τῶν Σκυθῶν, ὅτε οὗτοι ὑπ' Ἀλεξάνδρου ἐπέμποντο, τετελευτηκὼς ἐτύγχανεν· ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευεν. (2) Ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας, ἐθέλειν ποιεῖν πᾶν τὸ ἐξ Ἀλεξάνδρου ἐπαγγελλόμενον Σκύθας· καὶ δῶρα ἔφερον Ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν Σκυθῶν ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις· καὶ τὴν θυγατέρα ὅτι ἐθέλει Ἀλεξάνδρῳ δοῦναι γυναῖκα βεβαιότητος οὕνεκα τῆς πρὸς Ἀλέξανδρον φιλίας τε καὶ ξυμμαχίας. (3) Εἰ δὲ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς Σκυθικῆς χώρας καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν Σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ' Ἀλέξανδρον· ἥξειν δὲ καὶ αὐτὸς ἔφασκεν, εἰ κελεύοιτο, ὡς παρ' αὐτοῦ Ἀλεξάνδρου ἀκοῦσαι ὅσα ἐπαγγέλλοι. (4) Ἀφίκετο δ' ἐν τούτῳ παρ' Ἀλέξανδρον καὶ Φαρασμάνης ὁ Χωρασμίων βασιλεὺς ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. Ἔφασκε δὲ ὁ Φαρασμάνης ὅμορος οἰκεῖν τῷ τε Κόλχων γένει καὶ ταῖς γυναιξὶ ταῖς Ἀμαζόσι, καὶ εἰ ἐθέλοι Ἀλέξανδρος, ἐπὶ Κόλχους τε καὶ Ἀμαζόνας ἐλάσας καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν Εὔξεινον ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάσειν.

5. Τοῖς τε οὖν παρὰ τῶν Σκυθῶν ἥκουσι φιλάνθρωπα ἀποκρίνεται Ἀλέξανδρος καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα· γάμου δὲ οὐδὲν δεῖσθαι Σκυθικοῦ· καὶ Φαρασμάνην ἐπαινέσας τε καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς αὐτὸν ξυνθέμενος αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι πλαύειν ἐπὶ τὸν Πόντον· Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ, ὅτῳ τὰ Βακτρίων ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, καὶ ὅσοι ἄλλοι πρόσχωροι τούτῳ σατράπαι ξυστήσας Φαρασμάνην ἀποπέμπει ἐς τὰ ἤθη τὰ αὐτοῦ. Αὐτῷ δὲ τὰ Ἰνδῶν ἔφη ἐν τῷ τότε μέλειν· (6) τούτους γὰρ καταστρεψάμενος πᾶσαν ἂν ἤδη ἔχειν τὴν Ἀσίαν· ἐχομένης

CAP. XV.

Tum legati denuo ad Alexandrum a Scythis Europam incolentibus venerunt, una cum legatis quos ipse ad Scytha miserat. Rex enim Scytharum, qui tum temporis regnabat quum hi ab Alexandro mitterentur, mortem obierat, ejusque frater regnum tenebat. (2) Summa legationis erat, Scythas quicquid Alexander imperaret facere velle. Dona etiam a Scytharum rege adferebant, quæ apud Scythas censentur amplissima. Ad hæc se filiam suam Alexandro uxorem ad amicitiam societatemque confirmandam dare velle. (3) At si Scytharum reginam uxorem ducere dedignaretur, principum Scythicæ regionis et eorum qui apud sese in dignitate constituti essent filias iis quos Alexander maxime caros ac fidos haberet matrimonio copulaturum. Se quoque, si juberetur, venturum, ut ab ipso Alexandro coram imperata acciperet. (4) Eodem fere tempore Pharasmanes Chorasmiorum rex ad Alexandrum venerat cum equitibus MD, qui se finitimum Colchorum genti et mulieribus Amazonibus esse dicebat. Et si Alexander in Colchos et Amazonas profectus gentes Euxino ponto vicinas subigere in animo haberet, se et ducem itineris fore, omniaque exercitui necessaria suppeditaturum pollicebatur.

5. Alexander primum Scythicis legatis benigne respondet, oratione tempori illi maxime accommodata usus. Se vero Scythicis nuptiis non egere dixit; deinde Pharasmane collaudato, ipsoque in amicitiam ac societatem recepto, sibi quidem tum commodum non esse dixit in Pontum proficisci. Artabazo autem Persæ, cui Bactrianorum regionem reliquosque vicinos satrapatus Alexander commiserat, Pharasmanem commendatum, ad suam gentem dimittit. Sibi vero res Indicas in animo esse dixit. (6) Indis enim subactis, universam Asiam in sua potestate fore. Porro Asia

ὸὲ τῆς Ἀσίας ἐπανιέναι [ἀν] ἐς τὴν Ἑλλάδα· ἐκεῖθεν δὲ ἐφ' Ἑλλησπόντου τε καὶ τῆς Προποντίδος ξὺν τῇ δυνάμει πάσῃ τῇ τε ναυτικῇ καὶ τῇ πεζικῇ ἐλάσειν εἴσω τοῦ Πόντου· καὶ ἐς τὸ τότε ἡξίου ἀποθέσθαι Φαρασμάνην ὅσα ἐν τῷ παραυτίκα ἐπηγγέλλετο.

7. Αὐτὸς δὲ ἐπὶ τὸν Ὦξόν τε ποταμὸν ἦει αὖθις καὶ ἐς τὴν Σογδιανὴν προχωρεῖν ἐγνώκει, ὅτι πολλοὺς τῶν Σογδιανῶν ἐς τὰ ἐρύματα ξυμπεφευγέναι ἠγγέλλετο οὐδὲ ἐθέλειν κατακούειν τοῦ σατράπου ὅστις αὐτοῖς ἐξ Ἀλεξάνδρου ἐπετέταχτο. Στρατοπεδεύοντος δὲ αὐτοῦ ἐπὶ τῷ ποταμῷ τῷ Ὦξῳ, οὐ μακρὰν τῆς σκηνῆς τῆς αὐτοῦ Ἀλεξάνδρου πηγὴ ὕδατος καὶ ἄλλη ἐλαίου πηγὴ πλησίον αὐτῆς ἀνέσχε. (8) Καὶ Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι ἐπειδὴ ἐσηγγέλθη τὸ τέρας, Πτολεμαῖος Ἀλεξάνδρῳ ἔφρασεν. Ἀλέξανδρος δὲ ἔθυεν ἐπὶ τῷ φάσματι ὅσα οἱ μάντεις ἐξηγοῦντο. Ἀρίστανδρος δὲ πόνων εἶναι σημεῖον τοῦ ἐλαίου τὴν πηγὴν ἔφασκεν· ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνειν.

debellata, in Græciam reversurum; illinc per Hellespontum et Propontidem cum omnibus copiis tam navalibus quam terrestribus pontum Euxinum petiturum: utque in id tempus Pharasmanes promissa sua reservaret jussit.

7. Ipse rursus ad Oxum amnem contendit. Decreverat enim in Sogdianos proficisci, quod plerosque Sogdianorum in arces sese recepisse cognoverat, neque satrapæ quem iis Alexander constituerat morem gerere velle. Quumque prope Oxum flumen castra posuisset, gemini fontes, alter aquam, alter ipsi vicinus oleum fundens, non procul ab ipsius Alexandri tabernaculo orti sunt. (8) Quod prodigium ubi Ptolemæo Lagi filio nuntiatum fuit, is protinus Alexandre significavit. Qui statim ex vatum præscripto sacrificium fecit. Aristander fontem oleo manantem labores portendere respondit, victoriam tamen ex labore consecuturam.

ΚΕΦ. ΙΣ'.

Διαβὰς οὖν ξὺν μέρει τῆς στρατιᾶς ἐς τὴν Σογδιανήν, Πολυσπέρχοντα δὲ καὶ Ἄτταλον καὶ Γοργίαν καὶ Μελέαγρον αὐτοῦ ἐν Βάκτροις ὑπολιπόμενος, τούτοις μὲν παρήγγειλε τήν τε χώραν ἐν φυλακῇ ἔχειν, ὡς μή τι νεωτερίσωσιν οἱ ταύτῃ βάρβαροι, καὶ τοὺς ἤδη ἀφεστηκότας αὐτῶν ἐξαιρεῖν· (2) αὐτὸς δὲ ἐς πέντε μέρη διελὼν τὴν ἅμα οἱ στρατιάν, τῶν μὲν Ἡφαιστίωνα ἄρχειν ἔταξε, τῶν δὲ Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα· τοῖς τρίτοις δὲ Περδίκκαν ἐπέταξε· τῆς δὲ τετάρτης τάξεως Κοῖνος καὶ Ἀρτάβαζος ἡγοῦντο αὐτῶν· τὴν δὲ πέμπτην μοῖραν ἀναλαβὼν αὐτὸς ἐπῄει τὴν χώραν ὡς ἐπὶ Μαράκανδα. (3) Καὶ οἱ ἄλλοι ὡς ἑκάστοις προὐχώρει ἐπῆσαν, τοὺς μὲν τινας τῶν ἐς τὰ ἐρύματα ξυμπεφευγότων βίᾳ ἑλόντες, τοὺς δὲ καὶ ὁμολογίᾳ προσχωροῦντάς σφισιν ἀναλαμβάνοντες. Ὡς δὲ ξύμπασα αὐτῷ ἡ δύναμις, ἐπελθοῦσα τῶν Σογδιανῶν τῆς χώρας τὴν πολλήν, ἐς Μαράκανδα ἀφίκετο, Ἡφαιστίωνα μὲν ἐκπέμπει τὰς ἐν τῇ Σογδιανῇ πόλεις συνοικίζειν, Κοῖνον δὲ καὶ Ἀρτάβαζον ὡς ἐς Σκύθας, ὅτι ἐς Σκύθας καταπεφευγέναι Σπιταμένης αὐτῷ ἐξηγγέλλετο· αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ ἐπιὼν τῆς Σογδιανῆς ὅσα ἔτι πρὸς τῶν ἀφεστηκότων κατείχετο, ταῦτα οὐ χαλεπῶς ἐξῄρει.

4. Ἐν τούτοις δὲ Ἀλεξάνδρου ὄντος, Σπιταμένης τε καὶ σὺν αὐτῷ τῶν Σογδιανῶν τινες φυγάδων ἐς τῶν Σκυθῶν τῶν Μασσαγετῶν καλουμένων τὴν χώραν ξυμπεφευγότες, ξυναγαγόντες τῶν Μασσαγετῶν ἱππέας ἑξακοσίους, ἀφίκοντο πρός τι φρούριον τῶν κατὰ τὴν Βακτριανήν. (5) Καὶ τῷ τε φρουράρχῳ οὐδὲν πολέμιον προσδεχομένῳ ἐπιπεσόντες καὶ τοῖς ξὺν τούτῳ τὴν φυλακὴν ἔχουσι τοὺς μὲν στρατιώτας διέφθειραν, τὸν

CAP. XVI.

In Sogdianos itaque cum parte exercitus progressus, Polysperchonte vero et Attalo et Gorgia atque Meleagro ibi apud Bactrianos relictis, ut regionem illam præsidio tenerent, ne barbari ejus loci novi aliquid molirentur, utque eos qui jam descivissent ab ipsis expugnarent: (2) ipse copiis suis in quinque partes divisis, Hephæstionem aliis, aliis Ptolemæum, corporis custodem, tertiæ parti Perdiccam præesse jussit; quarto autem agmini Cœnum et Artabazum præfecit. Ipse quinta parte secum sumpta, regionem ingreditur Maracanda versus. (3) Reliqui, ut quisque potuit, ingressi, alios qui in arces confugerant vi expugnarunt, alios deditionem voluntarie facientes receperunt. Postquam vero universæ copiæ, majore Sogdianæ provinciæ parte peragrata, ad Maracanda convenerunt, Hephæstionem emittit, qui in Sogdianorum urbes colonias deducat: Cœnum autem et Artabazum in Scythas, quod nuntiatum fuerat Spitamenem ad eos confugisse: ipse cum reliquo exercitu Sogdianorum ditionem ingressus, cætera oppida, quæ ab iis qui defecerant tenebantur, parvo negotio expugnat.

4. Dum hæc aguntur, Spitamenes cum Sogdianorum profugorum manu qui ad Scythas Massagetas profugerant, collectis Massagetis equitibus sexcentis, ad arcem quandam Bactrianæ profectus, (5) et præfectum præsidii nihil hostile exspectantem adortus, milites qui in præsidio erant inter-

φρούραρχον δὲ ἑλόντες ἐν φυλακῇ εἶχον. Θαρσήσαντες δὲ ἐπὶ τοῦ φρουρίου τῇ καταλήψει ὀλίγαις ἡμέραις ὕστερον Ζαριάσποις πελάσαντες, τῇ μὲν πόλει προσβαλεῖν ἀπέγνωσαν, λείαν δὲ πολλὴν περιβαλλόμενοι ἤλαυνον.

6. Ἦσαν δὲ ἐν τοῖς Ζαριάσποις, νόσῳ ὑπολελειμμένοι, τῶν ἑταίρων ἱππέων οὐ πολλοὶ καὶ ξὺν τούτοις Πείθων τε ὁ Σωσικλέους, ἐπὶ τῆς βασιλικῆς θεραπείας τῆς ἐν Ζαριάσποις τεταγμένος, καὶ Ἀριστόνικος ὁ κιθαρῳδός. Καὶ οὗτοι αἰσθόμενοι τῶν Σκυθῶν τὴν καταδρομήν (ἤδη γὰρ ἐκ τῆς νόσου ἀναῤῥωσθέντες ὅπλα τε ἔφερον καὶ τῶν ἵππων ἐπέβαινον), ξυναγαγόντες τούς τε μισθοφόρους ἱππέας ἐς ὀγδοήκοντα, οἳ ἐπὶ φυλακῇ τῶν Ζαριάσπων ὑπολελειμμένοι ἦσαν, καὶ τῶν παίδων τινὰς τῶν βασιλικῶν ἐκβοηθοῦσιν ἐπὶ τοὺς Μασσαγέτας. (7) Καὶ τῇ μὲν πρώτῃ προσβολῇ οὐδὲν ὑποτοπήσασι τοῖς Σκύθαις ἐπιπεσόντες τήν τε λείαν ξύμπασαν ἀφείλοντο αὐτοὺς καὶ τῶν ἀγόντων τὴν λείαν οὐκ ὀλίγους ἀπέκτειναν. Ἐπανιόντες δὲ αὐτοὶ ἀτάκτως, ἅτε οὐδενὸς ἐξηγουμένου, ἐνεδρευθέντες πρὸς Σπιταμένους καὶ τῶν Σκυθῶν τῶν μὲν ἑταίρων ἀποβάλλουσιν ἑπτά, τῶν δὲ μισθοφόρων ἱππέων ἑξήκοντα· καὶ Ἀριστόνικος ὁ κιθαρῳδὸς αὐτοῦ ἀποθνήσκει, οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος. Πείθων δὲ τρωθεὶς ζῶν λαμβάνεται πρὸς τῶν Σκυθῶν.

ΚΕΦ. ΙΖ'.

Καὶ ταῦτα ὡς Κρατέρῳ ἐξηγγέλθη, σπουδῇ ἐπὶ τοὺς Μασσαγέτας ἤλαυνεν. Οἱ δὲ ὡς ἐπύθοντο πλησίον ἐπελαύνοντά σφισι Κρατερον, ἔφευγον ἀνὰ κράτος ὡς ἐς τὴν ἐρήμην. Καὶ Κρατερος ἐχόμενος αὐτῶν αὐτοῖς τε ἐκείνοις περιπίπτει οὐ πόῤῥω τῆς ἐρήμου καὶ ἄλλοις ἱππεῦσι Μασσαγετῶν ὑπὲρ τοὺς χιλίους. (2) Καὶ μάχη γίγνεται τῶν [τε] Μακεδόνων καὶ τῶν Σκυθῶν καρτερά· καὶ ἐνίκων οἱ Μακεδόνες. Τῶν δὲ Σκυθῶν ἀπέθανον μὲν ἑκατὸν καὶ πεντήκοντα ἱππεῖς· οἱ δὲ ἄλλοι οὐ χαλεπῶς ἐς τὴν ἐρήμην διεσώθησαν, ὅτι ἄπορον ἦν προσωτέρω τοῖς Μακεδόσι διώκειν.

3. Καὶ ἐν τούτῳ Ἀλέξανδρος Ἀρτάβαζον μὲν τῆς σατραπείας τῆς Βακτρίων ἀπαλλάττει δεηθέντα διὰ γῆρας, Ἀμύνταν δὲ τὸν Νικολάου σατράπην ἀντ' αὐτοῦ καθίστησι. Κοῖνον δὲ ἀπολείπει αὐτοῦ τήν τε αὐτοῦ τάξιν καὶ τὴν Μελεάγρου ἔχοντα καὶ τῶν ἑταίρων ἱππέων ἐς τετρακοσίους καὶ τοὺς ἱππακοντιστὰς πάντας καὶ τῶν Βακτρίων τε καὶ Σογδιανῶν καὶ ὅσοι ἄλλοι μετὰ Ἀμύντου ἐτάχθησαν, προστάξας ἅπασιν ἀκούειν Κοίνου καὶ διαχειμάζειν αὐτοῦ ἐν τῇ Σογδιανῇ, τῆς τε χώρας ἕνεκα τῆς φυλακῆς καὶ εἴ πη ἄρα Σπιταμένην περιφερόμενον κατὰ τὸν χειμῶνα ἐνεδρεύσαντας ξυλλαβεῖν.

5. Σπιταμένης δὲ καὶ οἱ ἀμφ' αὐτὸν ὡς φρουραῖς τε τάντα κατειλημμένα ἑώρων ἐκ τῶν Μακεδόνων καί

fecit, præfectum vero in custodia tenuit. Ipsi capta hac arce, animis elati, paucis post diebus Zariaspis appropinquantes urbem oppugnare non statuerunt, sed multam prædam inde abegerunt.

6. Erant in ea urbe equites nunnulli ex amicis, valetudinis causa ibi relicti, et simul cum his Pithon Sosiclis filius, iis qui ex regia familia Zariaspis erant præfectus, et Aristonicus citharœdus. Hi cognita incursione Scytharum (jam enim convaluerant, armaque ferre et equos conscendere poterant) collectis mercenariis equitibus LXXX, qui præsidio Zariaspis relicti fuerant, et regiorum puerorum nonnullis, in Massagetas feruntur. (7) Ac primum quidem, impetu in Scythas nihil tale opinantes facto, omnem prædam illis abripiunt et eorum qui prædam abigebant plerosque interficiunt. Quum vero incomposito agmine solutisque ordinibus, utpote nemine ipsos ducente, redirent, Spitamenes et Scythæ ex insidiis eos adorti, ex amicis quidem septem, ex mercenariis equitibus LX interimunt. Aristonicus quoque citharœdus, qui in ea pugna se non ut citharœdum sed strenuum militem gesserat, interfectus est; Pithon saucius vivus in hostium potestatem venit.

CAP. XVII.

Hæc ut Cratero nuntiata sunt, confestim in Massagetas contendit. Qui ut illum adventare acceperunt, effusa fuga deserta petierunt. Craterus acriter eos insecutus, illos pariter aliosque Massagetarum equites ultra mille non procul a solitudine consequitur. (2) Acre ibi inter Macedones et Scythas certamen fit: victoria penes Macedones fuit. Ex Scythis quidem CL equites cæsi. Reliqui facile per solitudinem evaserunt, Macedonibus facultate persequendi adempta.

3. Inter hæc Alexander, Artabazo a satrapatu Bactrianorum propter senectutem id precante absoluto, Amyntam Nicolai filium in ejus locum suffecit. Cœnoque ibidem relicto cum suis ac Meleagri copiis, equitibusque ex amicis CCCC, et omnibus jaculatoribus equestribus, tum Bactrianis Sogdianisque quibus Amyntas præfuerat, eos omnes Cœno parere et in Sogdianis hibernare jussit: partim ut præsidio regioni essent, partim ut Spitamenem, si is forte per hiemem ea loca peragraret, ex insidiis caperent.

4. Spitamenes vero cum suis, ubi agnovit omnia passim loca præsidiis Macedonum teneri fugamque sibi perdifficilem

σφισιν ἄπορα πάντα τὰ τῆς φυγῆς ἐγίγνετο, ὡς ἐπὶ Κοῖνόν τε καὶ τὴν ξὺν τούτῳ στρατιὰν ἐτράποντο, ὡς ταύτῃ μᾶλλόν τι ἀξιόμαχοι ἐσόμενοι. Ἀφικόμενοι δὲ ἐς Βαγάς, χωρίον τῆς Σογδιανῆς ὀχυρόν, ἐν μεθορίῳ τῆς τε Σογδιανῶν γῆς καὶ τῆς Μασσαγετῶν Σκυθῶν ὠκισμένον, ἀναπείθουσιν οὐ χαλεπῶς τῶν Σκυθῶν ἱππέας ἐς τρισχιλίους συνεμβάλλειν σφίσιν ἐς τὴν Σογδιανήν. (5) Οἱ δὲ Σκύθαι οὗτοι ἀπορίᾳ τε πολλῇ ἔχονται καὶ ἅμα ὅτι οὔτε πόλεις εἰσὶν αὐτοῖς οὔτε ἱδραῖοι οἰκοῦσιν, ὡς δειμαίνειν ἂν περὶ τῶν φιλτάτων, οὐ χαλεποὶ ἀναπεισθῆναί εἰσιν ἐς ἄλλον καὶ ἄλλον πόλεμον. Ὡς δὲ Κοῖνός τε καὶ οἱ ἀμφ' αὐτὸν ἔμαθον προσιόντας τοὺς ξὺν Σπιταμένῃ ἱππέας, ἀπήντων καὶ αὐτοὶ μετὰ τῆς στρατιᾶς. Καὶ γίγνεται αὐτῶν μάχη καρτερά· (6) καὶ νικῶσιν οἱ Μακεδόνες, ὥστε τῶν μὲν βαρβάρων ἱππέων ὑπὲρ τοὺς ὀκτακοσίους πεσεῖν ἐν τῇ μάχῃ, τῶν δὲ ξὺν Κοίνῳ ἱππέας μὲν ἐς εἴκοσι καὶ πέντε, πεζοὺς δὲ δώδεκα. Οἵ τε οὖν Σογδιανοὶ οἱ ἔτι ὑπολειπόμενοι ξὺν Σπιταμένῃ καὶ τῶν Βακτρίων οἱ πολλοὶ ἀπολείπουσιν ἐν τῇ φυγῇ Σπιταμένην καὶ ἀφικόμενοι παρὰ Κοῖνον παρέδοσαν σφᾶς αὐτοὺς Κοίνῳ, (7) οἵ τε Μασσαγέται οἱ Σκύθαι κακῶς πεπραγότες τὰ μὲν σκευοφόρα τῶν ξυμπαραταξαμένων σφίσι Βακτρίων τε καὶ Σογδιανῶν διήρπασαν, αὐτοὶ δὲ ξὺν Σπιταμένῃ ἐς τὴν ἔρημον ἔφευγον. Ὡς δὲ ἐξήγγελτο αὐτοῖς Ἀλέξανδρος ἐν ὁρμῇ ὢν ἐπὶ τὴν ἔρημον ἐλαύνειν, ἀποτεμόντες τοῦ Σπιταμένου τὴν κεφαλὴν παρὰ Ἀλέξανδρον πέμπουσιν, ὡς ἀποστρέψοντες ἀπὸ σφῶν αὐτὸν τούτῳ τῷ ἔργῳ.

ΚΕΦ. ΙΗ'.

Καὶ ἐν τούτῳ Κοῖνός τε ἐς Ναύταχα παρ' Ἀλέξανδρον ἐπανέρχεται καὶ οἱ ἀμφὶ Κράτερόν τε καὶ Φραταφέρνην τὸν τῶν Παρθυαίων σατράπην καὶ Στασάνωρ ὁ Ἀρείων, πεπραγμένων σφίσι πάντων ὅσα ἐξ Ἀλεξάνδρου ἐτέτακτο. (2) Ἀλέξανδρος δέ, περὶ Ναύταχα ἀναπαύων τὴν στρατιὰν ὅ τι περ ἀκμαῖον ἦν τοῦ χειμῶνος, Φραταφέρνην μὲν ἀποστέλλει ἐς Μάρδους καὶ Ταπούρους, Αὐτοφραδάτην ἐπανάξοντα τὸν σατράπην, ὅτι πολλάκις ἤδη μετάπεμπτος ἐξ Ἀλεξάνδρου γιγνόμενος οὐχ ὑπήκουε καλοῦντι. (3) Στασάνορα δὲ ἐς Δράγγας σατράπην ἐκπέμπει, ἐς Μήδους δ' Ἀτροπάτην ἐπὶ σατραπείᾳ καὶ τοῦτον τῇ Μήδων, ὅτι Ὀξοδάτης ἐθελοκακεῖν αὐτῷ ἐφαίνετο. Σταμένην δὲ ἐπὶ Βαβυλῶνος στέλλει, ὅτι Μαζαῖος ὁ Βαβυλώνιος ὕπαρχος τετελευτηκέναι αὐτῷ ἐξηγγέλλετο. Σώπολιν δὲ καὶ Ἐπόκιλλον καὶ Μενίδαν ἐς Μακεδονίαν ἐκπέμπει, τὴν στρατιὰν τὴν ἐκ Μακεδονίας αὐτῷ ἀνάξοντας.

4. Ἅμα δὲ τῷ ἦρι ὑποφαίνοντι προὐχώρει ὡς ἐπὶ τὴν ἐν τῇ Σογδιανῇ πέτραν, ἐς ἣν πολλοὺς μὲν τῶν Σογδιανῶν ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο· καὶ ἡ Ὀξυάρτου δὲ γυνὴ τοῦ Βακτρίου καὶ αἱ παῖδες αἱ

fore, in Cœnum ejusque copias se convertit, quod facilior ea parte conflictus futurus videbatur. Quumque Bagas pervenissent, munitum Sogdianorum oppidum, medium inter Massagetas Scythas et Sogdianos situm, Scytharum equitibus circiter III M facile ut se ipsis conjungant atque in Sogdianos una irrumpant, persuadent. (5) Hi Scythæ quum inopes admodum sint, quippe qui neque urbes habeant, neque certas sedes figant, neque metu perdendi res maxime caras occupentur, non difficulter ad alia atque alia bella inducuntur. Cœnus cognito Spitamenis adventu, obviam cum exercitu profectus, acre cum barbaris prœlium committit. (6) Macedones superiores evadunt. Ex barbaris DCCC amplius equites cæsi, a Cœni partibus equites XXV, pedites XII Sogdiani qui cum Spitamene pugnæ superfuerant, et Bactrianorum plerique, Spitamene in fuga deserto, ad Cœnum venerunt, seque in illius fidem dediderunt. (7) Massagetæ vero Scythæ re male gesta, Bactrianorum et Sogdianorum sociorum impedimentis direptis cum Spitamene in solitudinem confugerunt. Cæterum postquam intellexerunt Alexandrum animo penetrandi deserta adventare, interfecto Spitamene, caput ejus ad Alexandrum mittunt, tanquam illum a sese hoc facto aversuri.

CAP. XVIII.

Inter hæc Cœnus et Craterus Nautaca ad Alexandrum reverterunt, et Phrataphernes ac Stasanor, ille Parthorum, hic Arcorum satrapa, omnibus iis rebus quas Alexander imperarat confectis. (2) Alexander quiete exercitui ad Nautaca data (vigebat enim tum bruma) Phrataphernem in Mardos ac Tapuros mittit, ut Autophradatem satrapam, qui sæpius accersitus ab Alexandro non parebat, adducat. (3) Stasanorem in Drangas præsidem mittit, in Medos Atropatem: atque hunc quidem in Medos, quod Oxodatem male sibi velle intellexerat. Stamenem vero Babylonem ire jubet, quod Mazæus Babylonis præses mortem obiisse nuntiabatur. Sopolim vero et Epocillum ac Menidam in Macedoniam mittit, exercitum inde ducturos.

4. Posthæc imminente vere ad petram in Sogdianis sitam proficiscitur, in quam multos Sogdianorum confugisse acceperat. Oxyartis quoque Bactriani uxor et filiæ eo sese recepisse dicebantur. Oxyartes enim eas in hunc locum ut

Ὀξυάρτου ἐς τὴν πέτραν ταύτην ξυμπεφευγέναι ἐλέγοντο, Ὀξυάρτου αὐτὰς ὡς ἐς ἀνάλωτον ὄῆθεν τὸ χωρίον ἐκεῖνο ὑπεκθεμένου, ὅτι καὶ αὐτὸς ἀφειστήκει ἀπ' Ἀλεξάνδρου. Ταύτης γὰρ ἐξαιρεθείσης οὐκέτι οὐδὲν ὑπολειφθήσεσθαι ἐδόκει τῶν Σογδιανῶν τοῖς νεωτερίζειν ἐθέλουσιν. (5) Ὡς δὲ ἐπέλασαν τῇ πέτρᾳ, καταλαμβάνει πάντη ἀπότομον ἐς τὴν προσβολήν, σιτία τε ξυγκεκομισμένους τοὺς βαρβάρους ὡς ἐς χρόνιον πολιορκίαν· καὶ χιὼν πολλὴ ἐπιπεσοῦσα τήν τε πρόσβασιν ἀπορωτέραν ἐποίει τοῖς Μακεδόσι καὶ ἅμα ἐν ἀρθονίᾳ ὕδατος τοὺς βαρβάρους διῆγεν. Ἀλλὰ καὶ ὡς προσβάλλειν ἐδόκει τῷ χωρίῳ. (6) Καὶ γάρ τι καὶ ὑπέρογκον ὑπὸ τῶν βαρβάρων λεχθὲν ἐς φιλοτιμίαν ξὺν ὀργῇ ἐμβεβλήκει Ἀλέξανδρον. Προκληθέντες γὰρ ἐς ξύμβασιν καὶ προτεινομένου σφίσιν ὅτι σώοις ὑπάρξει ἐπὶ τὰ σφέτερα ἀπαλλαγῆναι παραδοῦσι τὸ χωρίον, οἱ δὲ σὺν γέλωτι βαρβαρίζοντες πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον, οἵτινες αὐτῷ ἐξαιρήσουσι τὸ ὄρος, ὡς τῶν γε ἄλλων ἀνθρώπων οὐδεμίαν ὥραν σφίσιν οὖσαν. (7) Ἔνθα δὴ ἐκήρυξεν Ἀλέξανδρος τῷ μὲν πρώτῳ ἀναβάντι δώδεκα τάλαντα εἶναι τὸ γέρας, δευτέρῳ δὲ ἐπὶ τούτῳ τὰ δεύτερα καὶ τρίτῳ τὰ ἐφεξῆς, ὡς τελευταῖον εἶναι τῷ τελευταίῳ ἀνελθόντι τριακοσίους Δαρεικοὺς τὸ γέρας. Καὶ τοῦτο τὸ κήρυγμα παρώξυνεν ἔτι μᾶλλον καὶ ἄλλως τοὺς Μακεδόνας ὡρμημένους.

inexpugnabilem subduci curarat. Nam et ipse ab Alexandro defecerat. Porro ea petra capta, nihil reliquum Sogdianis fore videbatur, qui ad defectionem inclinarent. (5) Simulac vero ad petram accessit, comperit præruptum undique ejus aditum esse, et barbaros frumentum in diu, turnam obsidionem importasse. Nivium etiam altitudo difficiliorem Macedonibus accessum faciebat, et aquarum copiam barbaris suppetebat. Alexander nihilominus oppugnandam esse petram statuit. (6) Arrogans etiam ac superbum barbarorum responsum ad gloriam simul atque iram Alexandrum excitavit. Quum enim eos ad colloquium evocasset, ac si se dederent, facultatem libere in domos suas redeundi eis proposuisset, ipsi barbare irridentes, ut alatos sibi milites Alexander quæreret, qui petram caperent, jusserunt, quippe qui ab aliis hominibus nihil sibi metuerent. (7) Tum Alexander per præconem edici jubet primo omnium qui in petram conscenderet XII talenta præmii loco se daturum. Secundo deinde secundum, (*undecim talentorum*) præmium ac tertio tertium proponit, et sic porro, ita ut postremum præmium postremo (*duodecimo*) qui in petram evasisset, trecentorum Daricorum (*unius talenti*) esset. Quæ quidem præmii spes Macedones etiam sua sponte concitatos magis accendit.

ΚΕΦ. ΙΘ'.

Ξυνταξάμενοι δὴ ὅσοι πετροβατεῖν ἐν ταῖς πολιορκίαις αὐτῶν μεμελετήκεσαν, ἐς τριακοσίους τὸν ἀριθμόν, καὶ πασσάλους μικροὺς σιδηροῦς, οἷς αἱ σκηναὶ καταπεπήγεσαν αὐτοῖς, παρασκευάσαντες, τοῦ καταπηγνύναι αὐτοὺς ἔς τε τὴν χιόνα ὅπου πεπηγυῖα φανείη καὶ εἴ πού τι τῆς χώρας ἔρημον χιόνος ὑποφαίνοιτο, καὶ τούτους καλωδίοις ἐκ λίνου ἰσχυροῖς ἐκδήσαντες, τῆς νυκτὸς προὐχώρουν κατὰ τὸ ἀποτομώτατόν τε τῆς πέτρας καὶ ταύτῃ ἀφυλακτότατον. (2) Καὶ τούτους τοὺς πασσάλους καταπηγνύντες τοὺς μὲν εἰς τὴν γῆν, ὅπου διεφαίνετο, τοὺς δὲ καὶ τῆς χιόνος ἐς τὰ μάλιστα οὐ θρυφθησόμενα, ἀνεῖλκον σφᾶς αὐτοὺς ἄλλοι ἄλλῃ τῆς πέτρας. Καὶ τούτων ἐς τριάκοντα μὲν ἐν τῇ ἀναβάσει διεφθάρησαν, ὥστε οὐδὲ τὰ σώματα αὐτῶν ἐς ταφὴν εὑρέθη, ἐμπεσόντα ἄλλῃ καὶ ἄλλῃ τῆς χιόνος. (3) Οἱ δὲ λοιποὶ ἀναβάντες ὑπὸ τὴν ἕω καὶ τὸ ἄκρον τοῦ ὄρους καταλαβόντες σινδόνας κατέσειον ὡς ἐπὶ τὸ στρατόπεδον τῶν Μακεδόνων, οὕτως αὐτοῖς ἐξ Ἀλεξάνδρου παρηγγελμένον. Πέμψας δὲ κήρυκα ἐμβοῆσαι ἐκέλευσε τοῖς προφυλάσσουσι τῶν βαρβάρων μὴ διατρίβειν ἔτι, ἀλλὰ παραδιδόναι σφᾶς· ἐξευρῆσθαι γὰρ δὴ τοὺς πτηνοὺς ἀνθρώπους καὶ ἔχεσθαι ὑπ' αὐτῶν τοῦ ὄρους τὰ ἄκρα· καὶ ἅμα ἐδείκνυεν τοὺς ὑπὲρ τῆς κορυφῆς στρατιώτας.

CAP. XIX.

Collectis itaque ex omni numero eorum qui conscendendis rupibus in obsidionibus assueverant, trecentis, præparatis exiguis paxillis ferreis, quibus tabernacula affixa erant, ita ut in nivem, ubi illa gelu constricta esset, aut iis locis quæ nivem non habebant, defigere possent, validos funes linteos iis alligant, noctuque ad eam rupis partem quæ maxime prærupta arduaque erat, atque ob id præsidio non indigere videbatur, sese conferunt, (2) et paxillis partim in terram nive vacuam, partim in nivem ipsam, quæ maxime congelata esset, defixis, ipsi se alia atque alia via in altum nitentes sublevant. Atque ex his quidem XXX in ascensu perierunt, adeo ut ne corpora quidem, ut sepeliri possent, inventa sint, in nivem scilicet hic illic demersa. (3) Reliqui quum sub lucem in verticem rupis evasissent, linteorum quassatione Macedonum exercitui ascensus significationem dederunt. Ita enim illis ab Alexandro imperatum fuerat. Misso itaque statim caduceatore, Alexander procubitoribus barbaris denuntiari jubet, ut nulla interposita mora sese dedant. Inventos enim esse abs se homines alatos et ab iis petræ cacumen teneri : simulque iis milites qui in vertice rupis stabant ostendit.

4. Οἱ δὲ βάρβαροι ἐκπλαγέντες τῷ παραλόγῳ τῆς ὄψεως καὶ πλείονάς τε ὑποτοπήσαντες εἶναι τοὺς κατέχοντας τὰ ἄκρα καὶ ἀκριβῶς ὡπλισμένους, ἐνέδοσαν σφᾶς αὐτούς· οὕτω πρὸς τὴν ὄψιν τῶν ὀλίγων ἐκείνων Μακεδόνων φοβεροὶ ἐγένοντο. Ἔνθα δὴ ἄλλων τε πολλῶν γυναῖκες καὶ παῖδες ἑλήφθησαν καὶ ἡ γυνὴ ἡ Ὀξυάρτου καὶ οἱ παῖδες. (5) Καὶ γὰρ ἦν Ὀξυάρτου παῖς παρθένος ἐν ὥρᾳ γάμου, Ῥωξάνη ὀνόματι, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀρθῆναι οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες μετά γε τὴν Δαρείου γυναῖκα. Καὶ ταύτην ἰδόντα Ἀλέξανδρον ἐς ἔρωτα ἐλθεῖν αὐτῆς· ἐρασθέντα δὲ οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. (6) Καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι. Καίτοιγε τῆς Δαρείου γυναικός, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν, ἣ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν ἢ καρτερὸς αὐτὸς αὐτοῦ ἐγένετο, νέος τε ὢν καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν οἱ ἄνθρωποι· ὁ δὲ κατηθέσθη τε καὶ ἐφείσατο, σωφροσύνῃ τε πολλῇ διαχρώμενος καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει.

ΚΕΦ. Κ'.

Καὶ τοίνυν καὶ λόγος κατέχει, ὀλίγον μετὰ τὴν μάχην ἣ πρὸς Ἰσσῷ Δαρείῳ τε καὶ Ἀλεξάνδρῳ ξυνέβη, ἀποδράντα ἐλθεῖν παρὰ Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. Καὶ τοῦτον ὡς εἶδε Δαρεῖος, πρῶτα μὲν πυθέσθαι εἰ ζῶσιν αὐτῷ οἱ παῖδες καὶ ἡ γυνή τε καὶ ἡ μήτηρ. (2) Ὡς δὲ ζώσας τε ἐπύθετο καὶ βασίλισσαι ὅτι καλοῦνται καὶ ἡ θεραπεία ὅτι ἀμφ' αὐτάς ἐστιν ἥντινα καὶ ἐπὶ Δαρείου ἐθεραπεύοντο, ἐπὶ τῷδε αὖ πυθέσθαι εἰ σωφρονεῖ αὐτῷ ἡ γυνὴ ἔτι. Ὡς δὲ σωφρονοῦσαν ἐπύθετο, αὖθις ἐρέσθαι μήτι βίαιον ἐξ Ἀλεξάνδρου αὐτῇ ἐς ὕβριν ξυνέβη· καὶ τὸν εὐνοῦχον ἐπομόσαντα φάναι ὅτι, Ὦ βασιλεῦ, οὕτω τοι ὡς ἀπέλιπες ἔχει ἡ σὴ γυνή, καὶ Ἀλέξανδρος ἀνδρῶν ἄριστός τέ ἐστι καὶ σωφρονέστατος. (3) Ἐπὶ τοῖσδε ἀνατεῖναι Δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας καὶ εὔξασθαι ὧδε· Ἀλλ', ὦ Ζεῦ βασιλεῦ, ὅτῳ ἐπιτέτραπται νέμειν τὰ βασιλέων πράγματα ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας· εἰ δὲ δὴ ἐγὼ οὐκέτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. Οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται ὅσα σώφρονα ἔργα.

4. Ὀξυάρτης δὲ ἀκούσας τὰς παῖδας ἐχομένας, ἀκούσας δὲ καὶ ὑπὲρ Ῥωξάνης τῆς θυγατρὸς ὅτι μέλει αὐτῆς Ἀλεξάνδρῳ, θαρσήσας ᾐσίχετο παρ' Ἀλέξανδρον, καὶ ἦν ἐν τιμῇ παρ' αὐτῷ, ἥπερ εἰκὸς ἐπὶ ξυντυχίᾳ τοιαύτῃ.

4. Barbari inopinato spectaculo attoniti, plures eos quam erant et bene armatos esse rati, sese dedunt. Tanto terrori iis paucorum Macedonum aspectus fuit. Multæ ibi tum aliorum uxores et liberi capti sunt, tum Oxyartis uxor et liberi. (5) Erat porro Oxyartis filia Roxane virgo nubilis, quam omnium Asiaticarum mulierum pulcherrimam fuisse, post Darii uxorem, qui Alexandro militarunt, narrant. Qua visa, Alexandrum ejus amore captum, contumeliam ei tamquam captivæ inferre noluisse, sed vel uxorem eam ducere dedignatum non fuisse. (6) Quod quidem Alexandri factum laude potius quam reprehensione dignum censuerim. Quamquam Darii uxoris (quæ formosissima omnium Asiæ mulierum habita fuit) aut desiderio tactus non fuit, aut cupiditati suæ imperavit, etsi in ipso ætatis flore summaque felicitatis culmine constitutus: quæ duo maxime humanos animos ad contumeliam aliis inferendam provocare solent: sed quadam reverentia ductus ei pepercit: magna profecto continentia usus, et magno quodam gloriæ studio impulsus.

CAP. XX.

Fama etiam tenet, paulo post puguam apud Issum inter Alexandrum et Darium commissam eunuchum, Darii uxoris custodem, castris elapsum ad Darium confugisse, quem ut conspexit Darius, primum interrogasse an filiæ ac filii, uxorque et mater viverent? (2) Quas quum vivere et reginas vocari eundemque honorem illis, qui apud Darium habitus fuerat, haberi dixisset, rursus quæsivit an uxor matrimonii fidem servaret. Quod quum eunuchus affirmaret, rursus percontatus est, an Alexander illi vim aliquam quæ ad ejus ludibrium pertineret intulisset: quumque eunuchus jure jurando adhibito testaretur, uxorem Darii in eo statu quo eam reliquerat esse, et Alexandrum omnium mortalium optimum ac temperantissimum esse: (3) tum Darium manus ad cœlum tendentem, ita orasse: Jupiter rex, qui regum in terris negotia statusque moderaris, tu mihi Medorum ac Persarum imperium quod dedisti stabilito. Sin vero jam de me actum est, ut rex Asiæ esse desinam, in neminem alium quam in Alexandrum imperium meum transferto. Adeo ne ab hostibus quidem quod honeste quis agit, negligitur.

4. Oxyartes vero ut liberos suos captos audivit, filiamque suam Alexandro curæ esse, erecto in bonam spem animo ad Alexandrum venit, magnoque in honore, ut par erat ob ejusmodi conjunctionem, ab Alexandro habitus est.

ΚΕΦ. ΚΑ'.

Ἀλέξανδρος δέ, ὡς τὰ ἐν Σογδιανοῖς αὐτῷ διεπέπρακτο, ἐχομένης ἤδη καὶ τῆς πέτρας ἐς Παραιτάκας προὐχώρει, ὅτι καὶ ἐν Παραιτάκαις χωρίον τι ὀχυρόν, ἄλλην πέτραν, κατέχειν ἐλέγοντο πολλοὶ τῶν βαρβάρων. Ἐκαλεῖτο δὲ αὕτη Χοριήνου ἡ πέτρα· καὶ ἐς αὐτὴν αὐτός τε ὁ Χοριήνης ξυμπεφεύγει καὶ ἄλλοι τῶν ὑπάρχων οὐκ ὀλίγοι. (2) Ἦν δὲ τὸ μὲν ὕψος τῆς πέτρας ἐς σταδίους εἴκοσι, κύκλος δὲ ἐς ἑξήκοντα· αὐτὴ δὲ ἀπότομος πάντοθεν, ἄνοδος δὲ ἐς αὐτὴν μία καὶ αὕτη στενή τε καὶ οὐκ εὔπορος, οἷα δὴ παρὰ τὴν φύσιν τοῦ χωρίου πεποιημένη, ὡς χαλεπὴ εἶναι καὶ μηδενὸς εἴργοντος καὶ καθ' ἕνα ἀνελθεῖν. Φάραγξ δὲ κύκλῳ περιείργει τὴν πέτραν βαθεῖα, ὥστε ὅστις προσάξειν στρατιὰν τῇ πέτρᾳ ἔμελλε, πολὺ πρόσθεν αὐτῷ τὴν φάραγγα εἶναι χωστέον, ὡς ἐξ ὁμαλοῦ ὁρμᾶσθαι προσάγοντα ἐς προσβολήν τὸν στρατόν.

3. Ἀλλὰ καὶ ὡς Ἀλέξανδρος ἥπτετο τοῦ ἔργου· οὕτω πάντα ὤετο χρῆναι βατά τε αὐτῷ καὶ ἑξαιρετέα εἶναι, ἐς τοσόνδε τόλμης τε καὶ εὐτυχίας προκεχωρήκει. Τέμνων δὴ τὰς ἐλάτας (πολλαὶ γὰρ καὶ ὑπερύψηλοι ἐλάται ἦσαν ἐν κύκλῳ τοῦ ὄρους) κλίμακας ἐκ τούτων ἐποίει, ὡς κάθοδον εἶναι ἐς τὴν φάραγγα τῇ στρατιᾷ· οὐ γὰρ ἦν ἄλλως κατελθεῖν ἐς αὐτήν. (4) Καὶ τὰς μὲν ἡμέρας αὐτὸς Ἀλέξανδρος ἐφειστήκει τῷ ἔργῳ, τὸ ἥμισυ τοῦ στρατοῦ ἔχων ἐργαζόμενον· τὰς δὲ νύκτας ἐν μέρει οἱ σωματοφύλακες αὐτῷ εἰργάζοντο Περδίκκας τε καὶ Λεοννάτος καὶ Πτολεμαῖος ὁ Λάγου τῷ λοιπῷ μέρει τῆς στρατιᾶς, τριχῇ διανενεμημένῳ ὅπερ αὐτῷ ἐς τὴν νύκτα ἐπετέτακτο. Ἦνυτον δὲ τῆς ἡμέρας οὐ πλέον ἢ περ εἴκοσι πήχεις καὶ τῆς νυκτὸς ὀλίγον ἀποδεῖον, καίτοι ξυμπάσης τῆς στρατιᾶς ἐργαζομένης· οὕτω τό τε χωρίον ἄπορον ἦν καὶ τὸ ἔργον ἐν αὐτῷ χαλεπόν. (5) Κατιόντες δ' ἐς τὴν φάραγγα πασσάλους κατεπήγνυον ἐς τὸ ὀξύτατον τῆς φάραγγος, διέχοντας ἀλλήλων ὅσον ξύμμετρον πρὸς ἰσχύν τε καὶ ξυνοχὴν τῶν ἐπιβαλλομένων. Ἐπέβαλλον δὲ πλέγματα ἐκ λύγων εἰς γεφύρας μάλιστα ἰδέαν, καὶ ταῦτα ξυνδοῦντες χοῦν ἄνωθεν ἐπεφόρουν, ὡς ἐξ ὁμαλοῦ γίγνεσθαι τῇ στρατιᾷ τὴν πρόσοδον τὴν πρὸς τὴν πέτραν.

6. Οἱ δὲ βάρβαροι τὰ μὲν πρῶτα κατεφρόνουν ὡς ἀπόρου πάντη τοῦ ἐγχειρήματος· ὡς δὲ τοξεύματα ἤδη ἐς τὴν πέτραν ἐξικνοῦντο καὶ αὐτοὶ ἀδύνατοι ἦσαν ἄνωθεν ἐξείργειν τοὺς Μακεδόνας (πεποίητο γὰρ αὐτοῖς προκαλύμματα πρὸς τὰ βέλη, ὡς ὑπ' αὐτοῖς ἀβλαβῶς ἐργάζεσθαι), ἐκπλαγεὶς ὁ Χοριήνης πρὸς τὰ γιγνόμενα κήρυκα πέμπει πρὸς Ἀλέξανδρον, δεόμενος Ὀξυάρτην οἱ ἀναπέμψαι· καὶ πέμπει Ὀξυάρτην Ἀλέξανδρος. (7) Ὁ δὲ ἀφικόμενος πείθει Χοριήνην ἐπιτρέψαι Ἀλεξάνδρῳ αὐτόν τε καὶ τὸ χωρίον. Βίᾳ μὲν γὰρ οὐδὲν ὅ τι οὐχ ἁλωτὸν εἶναι Ἀλεξάνδρῳ καὶ τῇ στρατιᾷ τῇ ἐκείνου· ἐς πίστιν δὲ ἐλθόντος καὶ φιλίαν, τὴν πίστιν τε καὶ δικαιότητα μεγαλωστὶ ἐπῄνει τοῦ βασιλέως, τά τ' ἄλλα

CAP. XXI.

His apud Sogdianos ita gestis petraque occupata, Alexander in Parætacas movit, quod ibi aliud quoddam oppidum munitum petramque aliam multi barbari insedisse nuntiabantur. Ea Chorienis petra appellabatur : ipseque Chorienes atque alii principes non pauci in eam confugerant. (2) Erat ejus altitudo stadiorum circiter xx, in ambitu lx, ipsa undique prærupta; ascensus ad eam unicus, isque angustus et difficilis, utpote præter loci naturam factus, adeo ut singuli, etiam nemine obstante, ægre conscendere possent. Erat porro hæc petra profunda voragine in orbem cincta, adeo ut qui exercitum ad petram adducere vellet, multo antea illi cavernosæ illæ voragines aggere obruendæ essent, ut ex plano exercitus admoveri rupemque oppugnare posset.

3. Alexander nihilominus aggrediendum opus esse statuit, nihil omnino sibi inaccessum aut inexpugnabile censens; tantum fiduciæ ex perpetua felicitate conceperat. Cæsis itaque abietibus, quarum celsissimarum magna in ambitu illius montis copia erat, scalas ex iis confici jubet, ut per eas exercitus (quod aliter ne quidem fieri poterat) in voraginem descenderet. (4) Et interdiu quidem Alexander opus urgebat cum dimidia exercitus parte, noctu vero vicissim corporis custodes Perdiccas et Leonnatus et Ptolemæus Lagi filius, reliquo exercitu in tres partes distributo, nocturni operis ipsis commissi curam gerebant. Nec per diem plus xx cubitis, noctu paulo minus efficiebant, quantumvis universus exercitus in opere esset : tanta erat et ipsius loci asperitas et operis difficultas. (5) Descendentes itaque in voraginem, paxillos quam firmissime potuerunt in maxime præcipites voraginis partes impegerunt, tanto spatio inter se distantes, quantum ponderi sustinendo par esset. His crates vimineas instraverunt, quæ pontis similitudinem præ se ferrent, iisque arcte colligatis terram ingesserunt, ut per planitiem exercitus ad petram adduceretur.

6. Barbari initio Macedonum conatus tanquam vanos atque irritos irridebant. Postquam vero sagittis peti cœperunt, neque ipsi ex editiore petra Macedonas propulsare possent, (tegmina enim sibi construxerant, ne telorum jactu ab opere impedirentur) Chorienes molitionum novitate attonitus, caduceatorem ad Alexandrum mittit, rogans ut Oxyartem ad se mittat. (7) Is quum ad eum venisset, Chorieni suadere cœpit, ut se pariter atque petram Alexandro dedat. Nihil enim Alexandro ejusque exercitui impervium esse. Si vero ad ejus fidem amicitiamque se

καὶ τὸ αὐτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προφέρων. (8) Τούτοις πεισθεὶς ὁ Χοριήνης αὐτός τε ἦκε παρ' Ἀλέξανδρον καὶ τῶν οἰκείων τινὲς καὶ ἑταίρων αὐτοῦ. Ἐλθόντι δὲ Χοριήνῃ φιλάνθρωπά τε ἀποχρινάμενος καὶ πίστιν ἐς φιλίαν δοὺς αὐτὸν μὲν κατέχει, πέμψαι δὲ κελεύει τῶν συγκατελθόντων τινὰς αὐτῷ ἐς τὴν πέτραν τοὺς κελεύσοντας ἐνδοῦναι τὸ χωρίον. (9) Καὶ ἐνδίδοται ὑπὸ τῶν ξυμπεφευγότων, ὥστε καὶ αὐτὸς Ἀλέξανδρος ἀναλαβὼν τῶν ὑπασπιστῶν ἐς πεντακοσίους ἀνέβη κατὰ θέαν τῆς πέτρας, καὶ τοσούτου ἐδέησεν ἀνεπιεικές τι ἐς τὸν Χοριήνην ἔργον ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο ἐπιτρέπει Χοριήνῃ καὶ ὕπαρχον εἶναι ὅσωνπερ καὶ πρόσθεν ἔδωκε.

10. Ξυνέβη δὲ χειμῶνί τε κακοπαθῆσαι αὐτῷ τὴν στρατιάν, πολλῆς χιόνος ἐπιπεσούσης ἐν τῇ πολιορκίᾳ, καὶ ἅμα ἀπορίᾳ τῶν ἐπιτηδείων ἐπιέσθησαν. Ἀλλὰ Χοριήνης ἐς δίμηνον σιτία ἔφη δώσειν τῇ στρατιᾷ καὶ ἔδωκε σῖτόν τε καὶ οἶνον τῶν ἐν τῇ πέτρᾳ ἀποθέτων χρέα τε ταριχηρὰ κατὰ σκηνήν. Καὶ ταῦτα δοὺς οὐκ ἔφασκεν ἀναλῶσαι τῶν παρεσκευασμένων ἐς τὴν πολιορκίαν οὐδὲ τὴν δεκάτην μοῖραν. Ἔνθεν ἐν τιμῇ μᾶλλον τῷ Ἀλεξάνδρῳ ἦν ὡς οὐ πρὸς βίαν μᾶλλον ἢ κατὰ γνώμην ἐνδοὺς τὴν πέτραν.

ΚΕΦ. ΚΒ'.

Ταῦτα δὲ καταπραξάμενος Ἀλέξανδρος αὐτὸς μὲν ἐς Βάκτρα ἦει· Κράτερον δὲ τῶν ἱππέων ἑταίρων ἔχοντα ἑξακοσίους καὶ τῶν πεζῶν τήν τε αὐτοῦ τάξιν καὶ τὴν Πολυσπέρχοντος καὶ Ἀττάλου καὶ τὴν Ἀλκέτα ἐπὶ Κατάνην τε καὶ Αὐστάνην ἐκπέμπει, οἳ δὴ μόνοι ἔτι ὑπελείποντο ἐν τῇ Παραιταχηνῶν χώρᾳ ἀφεστηκότες. (2) Καὶ μάχης γενομένης πρὸς αὐτοὺς καρτερᾶς, νικῶσιν οἱ ἀμφὶ Κράτερον τῇ μάχῃ· καὶ Κατάνης μὲν ἀποθνήσκει αὐτοῦ μαχόμενος, Αὐστάνης δὲ ξυλληφθεὶς ἀνήχθη παρ' Ἀλέξανδρον· τῶν δὲ ξὺν αὐτοῖς βαρβάρων ἱππεῖς μὲν ἀπέθανον ἐς ἑκατὸν καὶ εἴκοσι, πεζοὶ δὲ ἀμφὶ τοὺς χιλίους πενταλοσίους. Ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ Κράτερον, καὶ οὗτοι ἐς Βάκτρα ἦσαν. Καὶ ἐν Βάκτροις τὸ ἀμφὶ Καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα Ἀλεξάνδρῳ ξυνηνέχθη.

3. Ἐκ Βάκτρων δὲ ἐξήκοντος ἤδη τοῦ ἦρος ἀναλαβὼν τὴν στρατιὰν προυχώρει ὡς ἐπ' Ἰνδούς, Ἀμύνταν ἀπολιπὼν ἐν τῇ χώρᾳ τῶν Βακτρίων καὶ ξὺν αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ μυρίους. (4) Ὑπερβαλὼν δὲ τὸν Καύκασον ἐν δέκα ἡμέραις ἀφίκετο ἐς Ἀλεξάνδρειαν πόλιν, τὴν κτισθεῖσαν ἐν Παραπαμισάδαις ὅτε τὸ πρῶτον ἐπὶ Βάκτρων ἐστέλλετο. Καὶ τὸν μὲν ὕπαρχον, ὅστις αὐτῷ ἐπὶ τῆς πόλεως τότε ἐτάχθη, παραλύει τῆς ἀρχῆς, ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε. (5) Προσκατοικίσας δὲ καὶ ἄλλους τῶν περιοίκων τε καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν ἐς τὴν Ἀλεξάνδρειαν, Νικάνορα μέν, ἕνα

contulisset, fidem regis et benignitatem extollebat, tum alia tum se ipse maxime in exemplum adducens. (8) Quibus rebus persuasus Chorienes, cum consanguineis nonnullis et amicis ad Alexandrum venit. Quem Alexander humaniter exceptum quum in fidem amicitiamque suam recepisset, ipsum quidem penes se retinet: at ex iis qui cum ipso venerant nonnullos in petram remittit, qui ut deditionem faciant jubeant. (9) Atque ita ab iis qui eo confugerant petra tradita est. Quo facto Alexander assumptis scutatis circiter quingentis, petram spectandi causa conscendit. Tantumque abfuit ut indignum aliquid in Chorienen statueret, ut oppidum ejus fidei rursus commiserit, præsidemque omnium locorum quorum antea fuerat, statuerit.

10. Per id tempus accidit ut exercitus, quum per hiemem in ea obsidione nix alte terram operuisset, commeatus et rerum necessariarum inopia laboraret: Chorienes cibaria quæ duobus mensibus sufficerent exercitui subministraturum se dixit: exque eo commeatu qui in petra erat frumentum et vinum dedit; carnes etiam salitas per singula tentoria distribuit. Quæ omnia quum dedisset, ne decimam quidem partem commeatus, quem eo ad obsidionem sustinendam convexerat, exhaustam esse dicebat. Qua de causa majore ab Alexandro in honore est habitus, quippe qui non tam vi quam sua sponte deditionem fecisse videretur.

CAP. XXII.

His rebus ita gestis Alexander in Bactra movit, Craterum autem cum sexcentis amicorum equitibus suoque et Polysperchontis atque Attali et Alcetæ peditatu adversus Catanem et Austanem, qui in Parætacene soli ex defectoribus adhuc reliqui erant, mittit. (2) Acrique inter hos pugna commissa, Craterus superior evadit: Catanes inter pugnandum occisus; Austanes captus ad Alexandrum adductus est. Ex barbaris equites CXX cæsi: pedites circiter MD. Quo facto Craterus quoque Bactra est profectus. In Bactris Callisthenis et puerorum regiorum insidiæ Alexandro structæ sunt.

3. Ex Bactris, adulto jam vere, coactis omnibus copiis in Indos movit, Amynta apud Bactrianos relicto cum equitibus III MD, peditibus XM. (4) Decimisque castris transmisso Caucaso pervenit Alexandriam, quæ apud Parapamisadas condita fuerat, quum primam expeditionem in Bactra faceret: præsidemque illius urbis amovit, quod non bene officio suo functus fuisse videbatur: (5) pluribusque colonis in Alexandriam ex finitimis et Macedonibus qui inutiles bello erant deductis, Nicanora unum ex amicis

τῶν ἑταίρων, τὴν πόλιν αὐτὴν κοσμεῖν ἐκέλευσε· σατράπην δὲ Τυριάσπην κατέστησε τῆς τε χώρας τῆς Παραπαμισαδῶν καὶ τῆς ἄλλης ἔστε ἐπὶ τὸν Κωφῆνα ποταμόν. (6) Ἀφικόμενος δὲ ἐς Νίκαιαν πόλιν καὶ τῇ Ἀθηνᾷ θύσας προὐχώρει ὡς ἐπὶ τὸν Κωφῆνα, προπέμψας κήρυκα ὡς Ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ, κελεύσας ἁπαντᾶν ὅπως ἂν ἑκάστοις προχωρῇ. Καὶ Ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήντων, δῶρα τὰ μέγιστα παρ' Ἰνδοῖς νομιζόμενα κομίζοντες, καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον τοὺς παρὰ σφίσιν ὄντας, ἀριθμὸν ἐς πέντε καὶ εἴκοσιν.

7. Ἔνθα δὴ διελὼν τὴν στρατιὰν Ἡφαιστίωνα μὲν καὶ Περδίκκαν ἐκπέμπει ἐς τὴν Πευκελαῶτιν χώραν ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμόν, ἔχοντας τήν τε Γοργίου τάξιν καὶ Κλείτου καὶ Μελεάγρου καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας, προστάξας τά τε κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἑλεῖν ἢ ὁμολογίᾳ παρίστασθαι· καὶ ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἀφικομένους παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα. (8) Σὺν τούτοις δὲ καὶ Ταξίλης καὶ οἱ ἄλλοι ὕπαρχοι στέλλονται. Καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν Ἰνδὸν ποταμόν, ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν τεταγμένα. Ἄστης δὲ ὁ τῆς Πευκελαώτιδος χώρας ὕπαρχος νεωτερίσας αὐτός τε ἀπόλλυται καὶ τὴν πόλιν προσαπώλεσεν ἐς ἣντινα ξυμπεφεύγει. Ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι οἱ ξὺν Ἡφαιστίωνι. Καὶ αὐτὸς μὲν Ἄστης ἀποθνήσκει, τῆς πόλεως δὲ ἐτάχθη ἐπιμελεῖσθαι Σαγγαῖος, ὃς ἔτι πρόσθεν πεφευγὼς Ἄστην παρὰ Ταξίλην ἠτιμολήκει· καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς Ἀλέξανδρον.

illius urbis gubernationi præficit. Tyriaspen totius regionis Parapamisadarum et reliquæ provinciæ ad Cophenem amnem usque satrapam constituit. (6) Inde Nicæam profectus, sacro Palladi facto, ad Cophenem amnem processit, et caduceatore præmisso, Taxilem ac cæteros qui trans amnem incolebant obviam sibi progredi jussit. Et Taxiles quidem reliquique præsides obviam venerunt, dona quæ apud Indos censentur amplissima offerentes, elephantos etiam, qui apud eos erant, numero viginti quinque se missuros polliciti.

7. Ibi diviso exercitu, Hephæstionem ac Perdiccam in Peucelaotidem regionem mittit Indum amnem versus, una cum Gorgiæ et Cliti atque Meleagri copiis atque equitum amicorum dimidia parte et mercenariis equitibus omnibus: mandatis traditis uti oppida omnia quæ in itinere essent aut deditione reciperent, aut vi expugnarent, quumque ad Indum fluvium pervenissent, omnia quæ ad trajiciendum necessaria essent appararent. (8) Cum his et Taxiles reliquique ejus regionis præsides missi, ubi ad Indum flumen venerunt, quæ Alexander jusserat faciunt. Astes vero Peucelaotidis regionis præses, defectione tentata, et se et urbem in quam confugit perdidit. Hephæstion enim eam XXX dies obsessam expugnavit, Asteque in ea interfecto, ejus gubernationem Sangæo tradidit, qui jam antea Astem fugiens ad Taxilem se contulerat. Quod quidem illi fidem apud Alexandrum fecerat.

ΚΕΦ. ΚΓ'.

Ἀλέξανδρος δέ, ἄγων τοὺς ὑπασπιστὰς καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ σὺν Ἡφαιστίωνι ἐτετάχατο καὶ τῶν πεζεταίρων καλουμένων τὰς τάξεις καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς ἱππακοντιστάς, προὐχώρει ἐς τὴν Ἀσπασίων τε καὶ Γουραίων χώραν καὶ Ἀσσακηνῶν. (2) Πορευθεὶς δὲ παρὰ τὸν Χόην καλούμενον ποταμὸν ὀρεινήν τε ὁδὸν καὶ τραχεῖαν, καὶ τοῦτον διαβὰς χαλεπῶς, τὸ μὲν πεζῶν πλῆθος βάδην ἕπεσθαι οἱ ἐκέλευσεν· αὐτὸς δὲ ἀναλαβὼν τοὺς ἱππέας ξύμπαντας καὶ τῶν πεζῶν τῶν Μακεδόνων ἐς ὀκτακοσίους ἐπιβιβάσας τῶν ἵππων ξὺν ταῖς ἀσπίσι ταῖς πεζικαῖς σπουδῇ ἦγεν, ὅτι τοὺς ταύτῃ οἰκοῦντας βαρβάρους ξυμπεφευγέναι ἔς τε τὰ ὄρη τὰ κατὰ τὴν χώραν ἐξηγγέλλετο αὐτῷ καὶ ἐς τὰς πόλεις ὅσαι ὀχυραὶ αὐτῶν ἐς τὸ ἀπομάχεσθαι. (3) Καὶ τούτων τῇ πρώτῃ καθ' ὁδὸν πόλει ὡρμισμένῃ προσβαλὼν τοὺς μὲν πρὸ τῆς πόλεως τεταγμένους ὡς εἶχεν ἐξ ἐφόδου ἐτρέψατο καὶ κατέκλεισεν ἐς τὴν πόλιν, αὐτὸς δὲ τιτρώσκεται βέλει διὰ τοῦ θώρακος ἐς τὸν ὦμον. Τὸ δὲ τραῦμα οὐ χαλεπὸν αὐτῷ ἐγένετο· ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου

CAP. XXIII.

Alexander cum scutatorum manu et equitatu amicorum, qui Hephæstionem secuti non erant, et eorum qui pedites amici vocantur agmine, cumque sagittariis atque Agrianis et hastatis equitibus, in Aspasios Guræos et Assacenos movit. (2) Itinereque ad Choen fluvium facto, montano magna ex parte atque aspero, eoque amne difficulter transmisso, peditatum sensim subsequi jubet. Ipse sumpto secum equitatu universo, et Macedonum peditibus octingentis scuta pedestria gestantibus in equos impositis, summa celeritate contendit, quod barbari ejus regionis in montes confugisse nuntiabantur, et in urbes munitiores ad repugnandum sese recepisse. (3) Quarum urbium primam in ipso itinere sitam adortus, oppidanos pro mœnibus instructa acie stantes primo impetu, uti erat, in fugam vertit et intra portas rejecit: ipse vero telo per thoracem ictus vulnus in humero accepit. Levius tamen id fuit, quod thorax, quominus telum altius in humerum penetraret,

ἐλθεῖν τὸ βέλος· καὶ Πτολεμαῖος ὁ Λάγου ἐτρώθη καὶ Λεοννάτος.

4. Τότε μὲν δὴ ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο ἐστρατοπεδεύσατο πρὸς τῇ πόλει· τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω, διπλοῦν γὰρ τεῖχος περιβέβλητο τῇ πόλει, ἐς μὲν τὸ πρῶτον, ἅτε οὐκ ἀκριβῶς τετειχισμένον, οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακεδόνες· πρὸς δὲ τῷ δευτέρῳ ὀλίγον ἀντισχόντες οἱ βάρβαροι, ὡς αἵ τε κλίμακες προσέκειντο ἤδη καὶ ὑπὸ τῶν βελῶν πάντοθεν ἐτιτρώσκοντο οἱ προμαχόμενοι, οὐκ ἔμειναν, ἀλλὰ κατὰ τὰς πύλας ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσιν ἐκ τῆς πόλεως. (3) Καὶ τούτων οἱ μὲν ἐν τῇ φυγῇ ἀποθνήσκουσιν· ὅσους δὲ ζῶντας ἔλαβον αὐτῶν, ξύμπαντας ἀποκτείνουσιν οἱ Μακεδόνες, ὅτι ἐτρώθη ὑπ' αὐτῶν Ἀλέξανδρος ὀργιζόμενοι· οἱ πολλοὶ δὲ ἐς τὰ ὄρη, ὅτι οὐ μακρὰν τῆς πόλεως τὰ ὄρη ἦν, ἀπέφυγον. Τὴν πόλιν δὲ κατασκάψας ἐς Ἄνδακα ἄλλην πόλιν ἦγε. Ταύτην δὲ ὁμολογίᾳ ἐνδοθεῖσαν κατασχὼν Κράτερον μὲν ξὺν τοῖς ἄλλοις ἡγεμόσι τῶν πεζῶν καταλείπει αὐτοῦ ἐξαιρεῖν ὅσαι ἂν ἄλλαι πόλεις μὴ ἑκοῦσαι προσχωρῶσι καὶ τὰ κατὰ τὴν χώραν ὅπως ξυμφορώτατον ἐς τὰ παρόντα κοσμεῖν.

4. Tum Alexander, qua parte commodior ad oppugnandum murus videbatur, ad urbem castra locat. Posteroque die sub lucem (duplici enim muro cincta urbs erat) exteriorem, qui minus firmus erat, Macedones parvo negotio superant. Ad interiorem barbari aliquamdiu restitere. Quum vero scalæ admotæ et propugnatores omni ex parte telis peterentur neque diutius sustinere possent, protinus eruptione per portas facta in montes sese proripiunt. (3) Quos insecuti Macedones, non paucos in fuga cædunt. Quotquot autem vivi in potestatem venerunt, eos quoque animis ob Alexandri vulnus ira inflammatis omnes interficiunt. Plurimi tamen in montes non procul ab urbe dissitos evaserunt. Ea urbe solo adæquata, in Andaca aliam urbem exercitum duxit. Qua urbe deditione recepta, Craterum ibi cum aliis peditum ducibus reliquit, ut reliquas ejus regionis urbes, quæ se sponte non dederent, vi expugnet, et provinciam, prout commodissimum præsenti rerum statui videretur, administraret.

ΚΕΦ. ΚΔ'.

Αὐτὸς δὲ, ἄγων τοὺς ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου τε καὶ Ἀττάλου τάξιν καὶ τῶν ἱππέων τὸ ἄγημα καὶ τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμίσεας, ὡς ἐπὶ τὸν ποταμὸν τὸν Εὐάσπλα προὐχώρει, ἵνα ὁ τῶν Ἀσπασίων ὕπαρχος ἦν· καὶ διελθὼν πολλὴν ὁδὸν δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν. (2) Οἱ δὲ βάρβαροι προσάγοντα αἰσθόμενοι Ἀλέξανδρον ἐμπρήσαντες τὴν πόλιν ἔφευγον πρὸς τὰ ὄρη. Οἱ δὲ ἀμφ' Ἀλέξανδρον εἶχοντο τῶν φευγόντων ἔστε ἐπὶ τὰ ὄρη, καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς δυσχωρίας φθάσαι ἀπελθόντας.

3. Τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν ταύτῃ Ἰνδῶν Πτολεμαῖος ὁ Λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδὼν καὶ τῶν ὑπασπιστῶν ἔστιν οὓς ἀμφ' αὐτὸν ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵππου· ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῷ ἵππῳ ἀναδραμεῖν ἦν, τοῦτον μὲν αὐτοῦ καταλείπει, παραδούς τινι τῶν ὑπασπιστῶν ἄγειν· αὐτὸς δὲ ὡς εἶχε πεζὸς τῷ Ἰνδῷ εἵπετο. (4) Ὁ δὲ ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολεμαῖον, αὐτός τε μεταβάλλει ἐς τοὔμπαλιν καὶ οἱ ὑπασπισταὶ ξὺν αὐτῷ. Καὶ ὁ μὲν Ἰνδὸς τοῦ Πτολεμαίου διὰ τοῦ θώρακος παίει ἐκ χειρὸς ἐς τὸ στῆθος ξυστῷ μακρῷ, καὶ ὁ θώραξ ἔσχε τὴν πληγήν· Πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βαλὼν τοῦ Ἰνδοῦ καταβάλλει τε καὶ σκυλεύει αὐτόν. (5) Ὡς δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ' αὐτὸν εἶδον, οὗτοι μὲν οὐκέτι ἔμενον· οἱ δὲ ἐκ τῶν ὀρῶν αἰρόμενον τὸν νεκρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων, ἤλγησάν τε καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ' αὐτῷ μά-

Ipse cum scutatis et sagittariis atque Agrianis Cœnique et Attali copiis et equitum agemate atque reliquorum amicorum equitum quatuor circiter turmis et equestrium sagittariorum dimidia parte ad flumen Euaspla contendit, ubi Aspasiorum præfectus erat. Magnoque itinere confecto secundis castris ad urbem pervenit. (2) Barbari simulac Alexandrum appropinquare senserunt, incensa urbe in montes confugiunt. Macedones eos in montes usque insecuti sunt. Multaque barbarorum cædes edita est, priusquam ad loca ob asperitatem tuta pervenirent.

3. Quorum ducem Ptolemæus Lagi F. jam ad collem quendam progressum conspicatus, scutatorum manu comitatum, tametsi ipse numero militum multo inferior esset, eques in eum fertur. Quumque in collem acclivem nonnisi difficulter subire posset, relicto cuidam ex scutatis equo qui illum duceret pedes Indum insequitur. (4) Quem ut Indus appropinquantem vidit, continuo cum suis occurrens longam hastam in Ptolemæi thoracem vibrat: neque tamen ictus thoracem penetravit. Ptolemæus Indi femore trajecto, illum prosternit armisque exuit. (5) Barbari circumstantes ducem suum prostratum conspicati, in fugam vertuntur. Qui vero jam in montes fuga pervenerant, ducis cadaver ab hostibus ablatum esse indignati decurrentes ad collem, acrem pro ducis corpore recupe-

χην καρτερὰν πρὸς τῷ γηλόφῳ. Ἤδη γὰρ καὶ Ἀλέξανδρος ἔχων τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζοὺς πρὸς τῷ γηλόφῳ ἦν. Καὶ οὗτοι ἐπιγενόμενοι μόγις ἐξέωσαν τοὺς Ἰνδοὺς ἐς τὰ ὄρη καὶ τοῦ νεκροῦ ἐκράτησαν.

6. Ὑπερβαλὼν δὲ τὰ ὄρη Ἀλέξανδρος ἐς πολιν κατῆλθεν ᾗ ὄνομα ἦν Ἀριγαῖον· καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν ἐνοικούντων καὶ τοὺς ἀνθρώπους περευγότας. Ἐνταῦθα δὲ ἀφίκοντο αὐτῷ καὶ οἱ ἀμφὶ Κράτερον ξὺν τῇ στρατιᾷ, πεπραγμένων σφίσι ξυμπάντων ὅσα ὑπὸ τοῦ βασιλέως ἐτέταχτο. (7) Ταύτην μὲν δὴ τὴν πολιν, ὅτι ἐν ἐπιχαίρῳ χωρίῳ ἐδόκει ὠκίσθαι, ἐκτειχίσαι τε προστάσσει Κρατέρῳ καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους ὅσοι ἐθελονταὶ καὶ εἴ δή τινες ἀπόμαχοι τῆς στρατιᾶς. Αὐτὸς δὲ προὐχώρει ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτῃ βαρβάρων. Ἐλθὼν δὲ πρός τι ὄρος, κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους.

8. Καὶ ἐν τούτῳ Πτολεμαῖος ὁ Λάγου ἐκπεμφθεὶς μὲν ὑπὸ Ἀλεξάνδρου ἐς προνομήν, προελθὼν δὲ προσωτέρω αὐτὸς ξὺν ὀλίγοις ὡς ἐς κατασκοπήν, ἀπαγγέλλει Ἀλεξάνδρῳ πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείονα ἢ ἐν τῷ Ἀλεξάνδρου στρατοπέδῳ. (9) Καὶ Ἀλέξανδρος τῷ μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν· εἶναι δέ τι ξυνεστηκὸς τῶν ταύτῃ βαρβάρων αἰσθόμενος, μέρος μὲν τῆς στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῷ ὄρει ὡς εἶχον ἐστρατοπεδευμένους· αὐτὸς δὲ ἀναλαβὼν ὅσοι ἀποχρῶντες ἐς τὰ ἀπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων τὰ πυρά, τριχῇ διανέμει τὴν στρατιάν. (10) Καὶ τῷ μὲν ἑνὶ ἐπέταξε Λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῷ τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν· τὴν δευτέραν δὲ μοῖραν Πτολεμαίῳ τῷ Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος καὶ τὴν Φιλίππου καὶ Φιλώτα τάξιν καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τοὺς ἡμίσεας· τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο.

rando pugnam ineunt. Jam vero et Alexander advenerat cum peditibus qui ex equis descenderant : qui quidem in barbaros irruentes, difficulter eos in montes repulerunt et cadavere potiti sunt.

6. Post hæc trajecto monte Alexander quum ad urbem venisset cui Arigæo nomen erat, eam ab incolis incensam ac desertam reperit. Ibi Craterus cum exercitu, peractis iis rebus quas Alexander imperarat, advenit. (7) Et quoniam ejus urbis situs peropportunus videbatur, Cratero ejus instaurandæ negotium dat; utque colonos ex finitimis qui sua sponte accedere vellent, et ex iis qui bello inutiles essent deducat jubet. Ipse eo contendit quo barbarorum plerosque confugisse audierat. Quumque ad montem quendam pervenissset, ad ejus radicem castra posuit.

8. Interea Ptolemæus Lagi F. pabulatum ab Alexandro missus, longius cum exigua manu speculandi causa progressus, Alexandro nuntiat plures in barbarorum quam in Alexandri castris ignes videri. (9) Atque Alexander quidem ignium frequentiæ parum fidei tribuit. Ceterum quum intellexisset barbaros eo confluxisse, partem quidem exercitus ad montem ubi castra locarat relinquit : ipse vero assumtis iis quos pares imperatis exsequendis fore censebat, quum ad ignium conspectum venisset, in tres partes copias dividit. (10) Atque uni quidem Leonnatum corporis custodem præficit, adjuncto ei Attali et Balacri agmine; alteram partem Ptolemæo Lagi filio ducendam dat, scutatorum scilicet regiorum partem tertiam, Philippi et Philotæ agmen sagittariorum duo millia, Agrianos totiusque equitatus dimidium. Tertiam partem ipe ducit qua confertissimam barbarorum aciem videt.

ΚΕΦ. ΚΕ'.

Οἱ δὲ ὡς ἤσθοντο προσάγοντας τοὺς Μακεδόνας, κατεῖχον γὰρ χωρία ὑπερδέξια, τῷ τε πλήθει σφῶν θαρσήσαντες καὶ τῶν Μακεδόνων, ὅτι ὀλίγοι ἐφαίνοντο, καταφρονήσαντες, ἐς τὸ πεδίον ὑποκατέβησαν· καὶ μάχη γίγνεται καρτερά. Ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνῳ ἐνίκα Ἀλέξανδρος· (2) οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῷ ὁμαλῷ παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βάρβαροι, ὀρθίους ποιήσας τοὺς λόχους Πτολεμαῖος προσῆγεν ᾗπερ ἐπιμαχώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντη τὸν λόφον κυκλωσάμενος, ἀλλ' ἀπολιπών, εἰ φεύγειν ἐθέλοιεν οἱ βάρβαροι, χώραν αὐτοῖς ἐς τὴν φυγήν. (3) Καὶ γίγνεται καὶ τούτοις μάχη καρτερά, τοῦ χωρίου τῇ χαλεπότητι καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ

CAP. XXV.

Qui postquam Macedonas appropinquantes sensere, tenebant enim superiora loca, multitudine suorum confisi, et Macedonibus quod pauci viderentur contemptis, in planitiem descendunt. Atrox ibi pugna fit. Ceterum hos non magno cum negotio vicit Alexander. (2) Ptolemæus autem loco non æquo iis oppositus erat; collem enim occuparant barbari; separatis itaque agminibus iis locis, quibus collis facilior oppugnatu videbatur, exercitum admovet, non utique collem omni ex parte cingens, sed locum ad fugam barbaris relinquens. (3) Et cum his quoque acre certamen habitum est, tum propter iniquitatem loci, tum quod longe alia est Indorum quam reliquorum ejus

βαρβάρους οἱ Ἰνδοί, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσχώρων εἰσίν. Ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους ὑπὸ τῶν Μακεδόνων· καὶ οἱ ἀμφὶ Λεοννάτον τῇ τρίτῃ μοίρᾳ τῆς στρατιᾶς ὡσαύτως ἔπραξαν· ἐνίκων γὰρ καὶ οὗτοι τοὺς κατὰ σφᾶς. (4) Καὶ λέγει Πτολεμαῖος ἀνθρώπους μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἴκοσι μυριάδας· καὶ τούτων τὰς καλλίστας ἐπιλεξάμενον Ἀλέξανδρον, ὅτι διαφέρουσαι αὐτῷ κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν ἐς Μακεδονίαν ἐργάζεσθαι τὴν χώραν.

5. Ἐντεῦθεν ἐπὶ τὴν τῶν Ἀσσακηνῶν χώραν ἦγεν· τούτους γὰρ ἐξηγγέλλετο παρεσκευάσθαι ὡς μαχουμένους, ἱππέας μὲν ἐς δισχιλίους ἔχοντας, πεζοὺς δὲ ὑπὲρ τοὺς τρισμυρίους, τριάκοντα δὲ ἐλέφαντας. Κράτερος μὲν δή, ἐκτετειχικὼς ἤδη τὴν πόλιν ἐφ' ἧς τῷ οἰκισμῷ κατελέλειπτο, τούς τε βαρύτερον ὡπλισμένους τῆς στρατιᾶς Ἀλεξάνδρῳ ἦγε καὶ τὰς μηχανάς, εἴ που πολιορκίας δεήσειεν. (6) Αὐτὸς δὲ Ἀλέξανδρος, τούς τε ἑταίρους ἱππέας ἄγων καὶ τοὺς ἱππακοντιστὰς καὶ τὴν Κοίνου καὶ Πολυσπέρχοντος τάξιν καὶ τοὺς Ἀγριᾶνας τοὺς χιλίους καὶ τοὺς τοξότας, ἦει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς· ἦγε δὲ διὰ τῆς Γουραίων χώρας. (7) Καὶ τὸν ποταμὸν τὸν ἐπώνυμον τῆς χώρας τὸν Γουραῖον χαλεπῶς διέβη, διὰ βαθύτητά τε καὶ ὅτι ὀξὺς ὁ ῥοῦς ἦν αὐτῷ καὶ οἱ λίθοι στρογγύλοι ἐν τῷ ποταμῷ ὄντες σφαλεροὶ τοῖς ἐπιβαίνουσιν ἐγίγνοντο. Οἱ δὲ βάρβαροι ὡς προσάγοντα ἤσθοντο Ἀλέξανδρον, ἀθρόοι μὲν ἐς μάχην καταστῆναι οὐκ ἐτόλμησαν· διαλυθέντες δὲ ὡς ἕκαστοι κατὰ πόλιν ταύτας ἐπενόουν ἀπομαχόμενοι διασώζειν.

ΚΕΦ. ΚϚ'.

Καὶ Ἀλέξανδρος πρῶτα μὲν ἐπὶ Μάσσαγα ἦγε, τὴν μεγίστην τῶν ταύτῃ πόλεων. Ὡς δὲ προσῆγεν ἤδη τοῖς τείχεσι, θαρρήσαντες οἱ βάρβαροι τοῖς μισθοφόροις τοῖς ἐκ τῶν πρόσω Ἰνδῶν, ἦσαν γὰρ οὗτοι ἐς ἑπτακισχιλίους, ὡς στρατοπεδευομένους εἶδον τοὺς Μακεδόνας, ὁρμῷ ἐπ' αὐτοὺς ἦεσαν. (2) Καὶ Ἀλέξανδρος ἰδὼν πλησίον τῆς πόλεως ἐσομένην τὴν μάχην, προσωτέρω ἐκκαλέσασθαι αὐτοὺς βουληθεὶς τῶν τειχῶν, ὡς εἰ τροπὴ γίγνοιτο (ἐγίγνωσκε γὰρ ἐσομένην), μὴ δι' ὀλίγου ἐς τὴν πόλιν καταφυγόντες εὐμαρῶς διασώζοιντο, ὡς ἐκθέοντας εἶδε τοὺς βαρβάρους, μεταβαλλομένους κελεύει τοὺς Μακεδόνας ὀπίσω ἀποχωρεῖν ὡς πρὸς γήλοφόν τινα, ἀπέχοντα ἀπὸ τοῦ χωρίου ἔνθαπερ στρατοπεδεύειν ἐγνώκει ἑπτά που μάλιστα σταδίους. (3) Καὶ οἱ πολέμιοι ἀναθαρσήσαντες, ὡς ἐγκεκλικότων ἤδη τῶν Μακεδόνων, ὁρμῷ τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐφέροντο ἐς αὐτούς. Ὡς δὲ ἐξικνεῖτο ἤδη τὰ τοξεύματα, ἐνταῦθα Ἀλέξανδρος ἀπὸ ξυνθήματος ἐπιστρέψας ἐς αὐτοὺς τὴν φάλαγγα ὁρμῷ ἀντεπῆγε. Πρῶτοι δὲ οἱ ἱππακον-

provinciæ barbarorum ratio, quippe qui finitimos omnes bellica virtute superent. Sed et hi a Macedonibus monte depulsi sunt. Eodem modo et Leonnatus cum tertia exercitus parte rem gessit : nam et hic barbaros quos adortus est vicit. (4) Ac Ptolemæus quidem auctor est hominum ultra XL M capta esse, boum ultra CCXXX M : e quibus Alexandrum præstantissimas quasque delectas, quod eximia pulchritudine atque magnitudine excellere viderentur, in Macedoniam, regionis colendæ causa, mittere voluisse.

5. Exinde Alexander in Assacenos movit, qui quidem equitum duo millia, peditum XXX M, elephantos triginta ad pugnam instruxisse nuntiabantur. Craterus instauratis mœnibus urbis, ad cujus exædificationem relictus fuerat, milites gravioris armaturæ ad Alexandrum adduxit, machinis etiam tormentisque advectis, sicubi obsidione opus esset. (6) Alexander cum equitatu amicorum et equestribus jaculatoribus, unaque Coeni ac Polysperchontis agmine atque Agrianis mille et sagittariis, in Assacenos pergit, per Guræos iter faciens. (7) Et fluvium Guræum, ejusdem cum regione nominis, difficulter transit cum ob amnis profunditatem et cursus rapiditatem, tum quod rotunda ejus fluminis saxa transeuntium vestigia fallebant. Barbari ut adventare Alexandrum senserunt, conferta acie subsistere non ausi, dissolutis ordinibus, prout cuique integrum erat, in oppida sua quique sese recipiunt, ea tueri propugnando statuentes.

CAP. XXVI.

Atque Alexander quidem primum Massaga cum exercitu petit, urbem ejus regionis maximam. Admoto itaque urbi exercitu, barbari Indis mercenariis ex Inlia interiore adductis freti (erant hi ad septem millia) in Macedones castra ponentes cursu feruntur. (2) Alexander quum pugnam sub ipsos urbis muros futuram videret, longius a mœnibus eos prolicere cupiens, ne si fuga fieret, (quam futuram omnino cogitabat) e parvo loci intervallo in urbem confugientes, facile evaderent : statim atque barbaros excurrentes est conspicatus, conversos Macedones in collem quendam, septem circiter stadiis ab eo loco, ubi castra ponere statuerat, dissitum, retrocedere jubet. (3) Tum hostes audaciores facti, utpote retrocedentibus Macedonibus, effuso cursu nulloque ordine in eos feruntur. Postquam vero intra teli jactum venerunt, Alexander dato signo in eos conversus phalangem magna vi immisit. Ac primi quidem jaculatores equites, atque Agriani et sagittarii excursione facta cum barbaris conflixerunt, ipse vero pha-

τισταί τε αὐτῷ καὶ οἱ Ἀγριᾶνες καὶ οἱ τοξόται ἐκδραμόντες ξυνέμιξαν τοῖς βαρβάροις· αὐτὸς δὲ τὴν φάλαγγα ἐν τάξει ἦγεν. (4) Οἱ δὲ Ἰνδοὶ τῷ τε παραλόγῳ ἐκπλαγέντες καὶ ἅμα ἐν χερσὶ γεγενημένης τῆς μάχης, ἐγκλίναντες ἔφευγον ἐς τὴν πόλιν. Καὶ ἀπέθανον μὲν αὐτῶν ἀμφὶ τοὺς διακοσίους, οἱ δὲ λοιποὶ ἐς τὰ τείχη κατεκλείσθησαν. Καὶ Ἀλέξανδρος προσῆγε τῷ τείχει τὴν φάλαγγα, καὶ ἐντεῦθεν τοξεύεται μὲν ἀπὸ τοῦ τείχους ἐς τὸ σφυρὸν οὐ χαλεπῶς. (5) Ἐπαγαγὼν δὲ τὰς μηχανὰς τῇ ὑστεραίᾳ τῶν μὲν τειχῶν τι εὐμαρῶς κατέσεισε· βιαζομένους δὲ ταύτῃ τοὺς Μακεδόνας ἦ παρέρρηκτο τοῦ τείχους οὐκ ἀτόλμως οἱ Ἰνδοὶ ἠμύνοντο, ὥστε ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀνεκαλέσατο τὴν στρατιάν. Τῇ δὲ ὑστεραίᾳ τῶν τε Μακεδόνων αὐτῶν ἡ προσβολὴ χαρτερωτέρα ἐγένετο, καὶ πύργος ἐπήχθη ξύλινος τοῖς τείχεσιν, ὅθεν ἐκτοξεύσαντες οἱ τοξόται καὶ βέλη ἀπὸ μηχανῶν ἀφιέμενα ἀνέστελλον ἐπὶ πολὺ τοὺς Ἰνδούς. Ἀλλ' οὐδὲ ὡς βιάσασθαι εἴσω τοῦ τείχους οἷοί τε ἐγένοντο.

6. Τῇ δὲ τρίτῃ προσαγαγὼν αὖθις τὴν φάλαγγα καὶ ἀπὸ μηχανῆς γέφυραν ἐπιβαλὼν τοῦ τείχους ᾗ παρερρωγὸς ἦν, ταύτῃ ἐπῆγε τοὺς ὑπασπιστάς, οἵπερ αὐτῷ καὶ Τύρον ὡσαύτως ἑξεῖλον. Πολλῶν δὲ ὑπὸ προθυμίας ὠθουμένων, ἄχθος λαβοῦσα μεῖζον ἡ γέφυρα κατέρρηγη καὶ πίπτουσι ξὺν αὐτῇ οἱ Μακεδόνες. (7) Οἱ δὲ βάρβαροι ἰδόντες τὸ γιγνόμενον λίθοις τε ξὺν βοῇ ἀπὸ τῶν τειχῶν καὶ τοξεύμασι καὶ ἄλλῳ ὅτῳ τις μετὰ χεῖρας ἔχων ἐτύγχανεν ἢ ὅτῳ τις ἐν τῷ τότε ἔλαβεν ἐξεκόντιζον ἐς τοὺς Μακεδόνας· οἱ δὲ καὶ κατὰ θύρας, αἵτινες αὐτοῖς κατὰ τὰ μεσοπύργια μικραὶ ἦσαν, ἐκθέοντες ἐκ χειρὸς ἔπαιον τεταραγμένους.

ΚΕΦ. ΚΖ'.

Ἀλέξανδρος δὲ πέμπει Ἀλκέταν ξὺν τῇ αὐτοῦ τάξει τούς τε κατατετρωμένους ἀναλαβεῖν καὶ ὅσοι προσεμάχοντο ἐπαναχαλέσασθαι ὡς ἐπὶ τὸ στρατόπεδον. Καὶ τῇ τετάρτῃ ὡσαύτως ἐπ' ἄλλης μηχανῆς ἄλλη ἐπιβάθρα αὐτῷ προσήγετο πρὸς τὸ τεῖχος.

2. Καὶ οἱ Ἰνδοί, ἕως μὲν αὐτοῖς ὁ ἡγεμὼν τοῦ χωρίου περιῆν, ἀπεμάχοντο καρτερῶς· ὡς δὲ βέλει ἀπὸ μηχανῆς τυπεὶς ἀποθνήσκει ἐκεῖνος, αὐτῶν τε οἱ μέν τινες πεπτωκότες ἐν τῇ ξυνεχεῖ πολιορκίᾳ, οἱ πολλοὶ δὲ τραυματίαι τε καὶ ἀπόμαχοι ἦσαν, ἐπεκηρυκεύοντο πρὸς Ἀλέξανδρον. (3) Τῷ δὲ ἀσμένῳ γίνεται ἄνδρας ἀγαθοὺς διασῶσαι· καὶ ξυμβαίνει ἐπὶ τῷδε Ἀλέξανδρος τοῖς μισθοφόροις Ἰνδοῖς ὡς καταταχθέντας ἐς τὴν ἄλλην στρατιὰν ξὺν αὐτῷ στρατεύεσθαι. Οἱ μὲν δὴ ἐξῆλθον ξὺν τοῖς ὅπλοις, καὶ κατεστρατοπέδευσαν κατὰ σφᾶς ἐπὶ γηλόφῳ ὃς ἦν ἀντίπορος τοῦ τῶν Μακεδόνων στρατοπέδου. Νυκτὸς δὲ ἐπενόουν ῥασμῷ διαχρησάμενοι ἐς τὰ σφέτερα ἤθη ἀπαναστῆναι, οὐκ ἐθέλοντες ἐναντία αἴρεσθαι τοῖς ἄλλοις Ἰνδοῖς ὅπλα. (4) Καὶ ταῦτα ὡς

langem instructa acie duxit. (4) Indi celeritate rei inexspectatæ perculsi, quumque jam ad manus ventum esset, fuga sese in urbem receperunt. Ducenti ex iis cæsi, reliqui intra muros rejecti. Alexander confestim phalangem muris admovet. Atque ibi sagitta malleolum leviter perstrictus est. (5) Postero vero die machinis admotis, aliqua murorum parte facile dejecta, quum Macedones per ruinas impetum facerent, Indi strenue restiterunt, adeo ut eo die Alexander receptui cani jusserit. Postridie vero Macedones rursus majore conatu urbem aggrediuntur, turri lignea mœnibus admota, e qua sagittarii magnam sagittarum vim torquentes et tela machinis excutientes Ipdos acriter reprimebant. Sed ne sic quidem intra muros irrumpere potuerunt.

6. Tertio exinde die Macedonum phalange rursus ad muros adducta, atque ex lignea turri ponte muris, qua parte perfracti erant, superinjecto, scutatos immittit, qui quidem Tyrum antea eadem ratione ceperant. Quumque magna animorum alacritate pontem subeunt, is nimio pondere fatiscens ruptus est, unaque cum Macedonibus ruinam fecit. (7) Barbari eo casu alacriores facti, saxis omnique genere telorum, quæ quisque aut in manibus habebat aut tum forte assumpsit, clamore sublato Macedones e muris petunt: alii vero per angustas portulas interturriis interjectas prosilientes perturbatos cominus feriunt.

CAP. XXVII.

Alexander Alcetam cum suo agmine emittit, qui et saucios recipiat, et eos qui urbem oppugnabant in castra revocet. Quarto die aliis operibus alium pontem in murum jacit.

2. Atque Indi quidem, quamdiu præfectus loci supererat, fortiter Macedonas propulsabant. At quum is telo ex machinis ictus occubuit, multique ex suis in continua oppugnatione cæsi, alii saucii pugnæque inutiles essent, caduceatorem ad Alexandrum mittunt. (3) Qui quidem libenter fortes strenuosque viros servare statuerat. Paciscitur itaque ea conditione cum mercenariis Indis, ut exercitui suo accensi secum militent. Hi cum armis urbe egressi seorsim in colle quodam Macedonibus opposito castra faciunt, eo consilio ut noctu arrepta fuga domum redirent, quum adversus alios Indos arma ferre nollent. (4) Quæ ut

ἐξηγγέλθη Ἀλεξάνδρῳ, περιστήσας τῆς νυκτὸς τῷ γηλόφῳ τὴν στρατιὰν πᾶσαν, κατακόπτει τοὺς Ἰνδοὺς ἐν μέσῳ ἀπολαβών, τήν τε πόλιν αἱρεῖ κατὰ κράτος, ἐρημωθεῖσαν τῶν προμαχομένων, καὶ τὴν μητέρα τὴν Ἀσσακηνοῦ καὶ τὴν παῖδα ἔλαβεν. Ἀπέθανον δὲ ἐν τῇ πάσῃ πολιορκίᾳ τῶν ξὺν Ἀλεξάνδρῳ ἐς πέντε καὶ εἴκοσιν.

5. Ἔνθεν δὲ Κοῖνον μὲν ὡς ἐπὶ Βάζιρα ἐκπέμπει, γνώμην ποιησάμενος ὅτι μαθόντες τῶν Μασσάγων τὴν ἅλωσιν ἐνδώσουσι σφᾶς αὐτούς. Ἄτταλον δὲ καὶ Ἀλκέταν καὶ Δημήτριον τὸν ἱππάρχην ἐπὶ Ὥρα στέλλει, ἄλλην πόλιν, παραγγείλας περιτειχίζειν τὴν πόλιν ἔστ' ἂν ἀφίκηται αὐτός. (6) Καὶ γίγνεται ἐκδρομὴ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἀμφὶ Ἀλκέταν. Οὐ χαλεπῶς δὲ τρεψάμενοι αὐτοὺς οἱ Μακεδόνες εἴσω τοῦ τείχους ἐς τὴν πόλιν ἀποστρέφουσι. Καὶ Κοίνῳ οὐ προχωρεῖ τὰ ἐν τοῖς Βαζίροις, ἀλλὰ πιστεύοντες γὰρ τοῦ χωρίου τῇ ὀχυρότητι, ὅτι ὑπερύψηλόν τε ἦν καὶ πάντη ἀκριβῶς τετειχισμένον, οὐδὲν ξυμβατικὸν ἐνεδίδοσαν.

7. Ταῦτα μαθὼν Ἀλέξανδρος ὥρμητο μὲν ὡς ἐπὶ Βάζιρα· γνοὺς δὲ ὅτι τῶν προσοίκων τινὲς βαρβάρων παριέναι ἐς τὰ Ὥρα τὴν πόλιν λαθόντες μέλλουσι, πρὸς Ἀβισάρου ἐπὶ τῶδε ἐσταλμένοι, ἐπὶ τὰ Ὥρα πρῶτον ἦγε· Κοῖνον δὲ ἐπιτειχίσαι τῇ πόλει τῶν Βαζίρων καρτερόν τι χωρίον προσέταξε, καὶ ἐν τούτῳ φυλακὴν καταλιπόντα ἀποχρῶσαν, ὡς μὴ ἄδεια εἴη τοῖς ἐν τῇ πόλει χρῆσθαι τῇ χώρᾳ, αὐτὸν ἄγοντα τῆς στρατιᾶς τὴν λοιπὴν παρ' αὑτὸν ἰέναι. (8) Οἱ δὲ ἐκ τῶν Βαζίρων ὡς εἶδον ἀπιόντα ξὺν τῷ πλείστῳ τῆς στρατιᾶς τὸν Κοῖνον, καταφρονήσαντες τῶν Μακεδόνων, ὡς οὐ γενομένων ἂν σφισιν ἀξιομάχων, ἐπεκθέουσιν ἐς τὸ πεδίον· καὶ γίγνεται αὐτῶν μάχη καρτερά. Καὶ ἐν ταύτῃ πίπτουσι μὲν τῶν βαρβάρων ἐς πεντακοσίους, ζῶντες δὲ ἑλήφθησαν ὑπὲρ τοὺς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ ἐν τῇ πόλει ξυμφυγόντες βεβαιότερον ἤδη εἶργοντο τῆς χώρας ὑπὸ τῶν ἐκ τοῦ ἐπιτειχίσματος. (9) Καὶ Ἀλεξάνδρῳ δὲ τῶν Ὥρων ἡ πολιορκία οὐ χαλεπὴ ἐγένετο, ἀλλ' εὐθὺς ἐξ ἐφόδου προσβαλὼν τοῖς τείχεσι τῆς πόλεως ἐκράτησε, καὶ τοὺς ἐλέφαντας τοὺς ἐγκαταλειφθέντας ἔλαβε.

Alexandro nuntiata sunt, eadem nocte colle in quo constiterant copiis suis circumsesso, omnes ad internecionem cecidit : urbemque propugnatoribus vacuam protinus vi capit, in eaque Assaceni matrem et filiam. Ab Alexandri partibus XXV tantum in universa obsidione desiderati.

5. Exinde Cœnum Bazira mittit, ratus oppidanos, Assacenorum expugnatione audita deditionem facturos. Attalum vero et Alcetam ac Demetrium equitatus præfectum ad Ora oppidum mittit, utque urbem muro in orbem ducto intercludant, tantisper dum ipse advenerit, jubet. (6) Oppidani in Alcetam excursionem faciunt : quos Macedones facile repulsos atque in urbem rejectos muris clauserunt. At Cœno Bazirensium obsidio non statim ex sententia successit. Siquidem oppidani loci munitione freti (erat enim urbs et excelso loco sita, et valido muro omni ex parte cincta) nullam deditionis significationem edebant.

7. Quo cognito, Alexander confestim Bazira versus movere cœpit : quum vero accepisset nonnullos barbarorum finitimorum in Ora urbem clam se immissuros, ab Abisaro ad id missos, primum Ora cum exercitu petit : Cœnum vero apud Bazira munitam arcem exstruere, præsidioque in ea relicto, quod oppidanis agri usum impedire posset, reliquum exercitum ad se ducere jubet. (8) Bazirenses Cœnum cum maxima copiarum parte decessisse conspicati, contempta Macedonum qui relicti erant paucitate, in planitiem excurrunt. Acrisque inter eos conflictus fit : quingentis barbaris ea pugna cæsis, vivis supra septuaginta captis : reliqui in urbem repulsi, acrius deinceps ab excursione in agrum, ab iis qui in arce ex adverso murorum exstructa erant, arcebantur. (9) Neque vero laboriosa Alexandro Ororum obsidio fuit. Primo enim impetu in muros facto urbem expugnavit et elephantos qui ibi relicti erant cepit.

ΚΕΦ. ΚΗ'.

Καὶ ταῦτα οἱ ἐν τοῖς Βαζίροις ὡς ἔμαθον, ἀπογνόντες τὰ σφέτερα πράγματα ἀμφὶ μέσας νύκτας τὴν πόλιν ἐκλείπουσιν. Ὡς δὲ καὶ οἱ ἄλλοι βάρβαροι ἔπραττον· ἀπολιπόντες τὰς πόλεις ξύμπαντες ἔφευγον ἐς τὴν πέτραν τὴν ἐν τῇ χώρᾳ τὴν Ὄρνον καλουμένην. Μέγα γάρ τι τοῦτο χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστί, καὶ λόγος ὑπὲρ αὐτῆς κατέχει οὐδὲ Ἡρακλεῖ τῷ Διὸς ἁλωτὸν γενέσθαι τὴν πέτραν. (2) Εἰ μὲν δὴ καὶ ἐς Ἰνδοὺς ἀφίκετο ὁ Ἡρακλῆς ὁ Θηβαῖος ἢ ὁ Τύριος ἢ

CAP. XXVIII.

Bazirenses Ororum expugnatione audita viribus suis diffisi sub mediam noctem urbem deserunt, Quod et reliqui barbari imitati sunt. Omnes enim desertis oppidis in petram hujus tractus sese receperunt, quam Aornum vocant. Ingens porro erat hæc petra ejus regionis munimentum, famaque est, ne ab ipso quidem Hercule ab Jove sato expugnari eam potuisse. (2) Ego vero an Hercules Thebanus aut Tyrius aut Ægyptius ad Indos penetrarit, nihil

ὁ Αἰγύπτιος, ἐς ὁκότερα ἔχω ἰσχυρίσασθαι· μᾶλλον δὲ ἔοικα ὅτι οὐκ ἀφίκετο, ἀλλὰ πάντα γὰρ ὅσα χαλεπὰ οἱ ἄνθρωποι ἐς τοσόνδε ἄρα αὔξουσιν αὐτῶν τὴν χαλεπότητα ὡς καὶ τῷ Ἡρακλεῖ ἂν ἄπορα γενέσθαι μυθεύειν. Κἀγὼ ὑπὲρ τῆς πέτρας ταύτης οὕτω γινώσκω, τὸν Ἡρακλέα ἐς κόμπον τοῦ λόγου ἐπιφημίζεσθαι. (3) Τὸν μὲν δὴ κύκλον τῆς πέτρας λέγουσιν ἐς διακοσίους σταδίους μάλιστα εἶναι, ὕψος δὲ αὐτῆς, ὅπερ χθαμαλώτατον, σταδίων ἕνδεκα, καὶ ἀνάβασιν χειροποίητον μίαν χαλεπήν· εἶναι δὲ καὶ ὕδωρ ἐν ἄκρᾳ τῇ πέτρᾳ πολὺ καὶ καθαρόν, πηγὴν ἀνίσχουσαν, ὡς καὶ ἀπορρεῖν ἀπὸ τῆς πηγῆς ὕδωρ, καὶ ὕλην καὶ γῆν ἀγαθὴν ἐργάσιμον ὅσην καὶ χιλίοις ἀνθρώποις ἀποχρῶσαν ἂν εἶναι ἐργάζεσθαι.

4. Καὶ ταῦτα ἀκούοντα Ἀλέξανδρον πόθος λαμβάνει ἐξελεῖν καὶ τοῦτο τὸ ὄρος, οὐχ ἥκιστα ἐπὶ τῷ ἀμφὶ τὸν Ἡρακλέα μύθῳ πεφημισμένῳ. Τὰ μὲν δὴ Ὦρα καὶ τὰ Μάσσαγα φρούρια ἐποίησεν ἐπὶ τῇ χώρᾳ· τὰ Βάζιρα δὲ πόλιν ἐξετείχισε. (5) Καὶ οἱ ἀμφὶ Ἡφαιστίωνά τε καὶ Περδίκκαν αὐτῷ ἄλλην πόλιν ἐκτειχίσαντες (Ὀροβάτις ὄνομα τῇ πόλει ἦν), καὶ φρουρὰν καταλιπόντες ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἦσαν· ὡς δὲ ἀφίκοντο, ἔπρασσον ἤδη ὅσα ἐς τὸ ζεῦξαι τὸν Ἰνδὸν ὑπὸ Ἀλεξάνδρου ἐτέτακτο.

6. Ἀλέξανδρος δὲ τῆς μὲν χώρας τῆς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ σατράπην κατέστησε Νικάνορα τῶν ἑταίρων. Αὐτὸς δὲ τὰ μὲν πρῶτα ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἦγε, καὶ πόλιν τε Πευκελαῶτιν οὐ πόρρω τοῦ Ἰνδοῦ ὠχισμένην ὁμολογίᾳ παρεστήσατο καὶ ἐν αὐτῇ φρουρὰν καταστήσας τῶν Μακεδόνων καὶ Φίλιππον ἐπὶ τῇ φρουρᾷ ἡγεμόνα, ὃ δὲ καὶ ἄλλα προσηγάγετο μικρὰ πολίσματα πρὸς τῷ Ἰνδῷ ποταμῷ ὠχισμένα. Ξυνείποντο δὲ αὐτῷ Κωφαῖός τε καὶ Ἀσσαγέτης οἱ ὕπαρχοι τῆς χώρας. (7) Ἀφικόμενος δὲ ἐς Ἐμβόλιμα πόλιν, ἣ ξύνεγγυς τῆς πέτρας τῆς Ἀόρνου ὠχεῖτο, Κράτερον μὲν ξὺν μέρει τῆς στρατιᾶς καταλείπει αὐτοῦ, σῖτόν τε ἐς τὴν πόλιν ὡς πλεῖστον ξυνάγειν καὶ ὅσα ἄλλα ἐς χρόνιον τριβήν, ὡς ἐντεῦθεν ὁρμωμένους τοὺς Μακεδόνας χρονίῳ πολιορκίᾳ ἐκτρυχῶσαι τοὺς κατέχοντας τὴν πέτραν, εἰ μὴ ἐξ ἐφόδου ληφθείη. (8) Αὐτὸς δὲ τοὺς τοξότας τε ἀναλαβὼν καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου τάξιν καὶ ἀπὸ τῆς ἄλλης φάλαγγος ἐπιλέξας τοὺς κουφοτάτους τε καὶ ἅμα εὐοπλοτάτους καὶ τῶν ἑταίρων ἱππέων ἐς διακοσίους καὶ ἱπποτοξότας ἐς ἑκατὸν προσῆγε τῇ πέτρᾳ. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ κατεστρατοπεδεύσατο ἵνα ἐπιτήδειον αὐτῷ ἐφαίνετο· τῇ δὲ ὑστεραίᾳ ὀλίγον προελθὼν ὡς πρὸς τὴν πέτραν αὖθις ἐστρατοπεδεύσατο.

habeo quod affirmare possim : potius tamen non eo penetrasse (omnia enim quæ difficilia sunt homines ut difficiliora esse videantur Herculem ipsum præstare nequivisse comminiscuntur), verum esse crediderim. Equidem de hac petra ita sentio, augendæ rei causa Herculis nomen adhibitum esse. (3) Ambitum hujus petræ cc stadiorum esse aiunt : altitudinem, qua humillima est, stadiorum xi ; uno tantum arduo calle, eoque manu facto, adiri posse. Multam etiam eamque purissimam in vertice petræ aquam e fonte edi indeque defluere : silvam etiam habere tantumque arabilis et fertilis agri, quantum mille homines colere possint.

4. Quibus cognitis Alexandrum magno ejus montis capiendi desiderio captum fuisse. Neque parum fabula illa de Hercule vulgata illum accendit. Itaque Oris et Massagis ad regionis præsidium firmatis, Baziræ muros exstruxit. (5) Hephæstion interea et Perdiccas alia urbe Alexandri jussu instaurata (Orobatis urbi nomen erat) et relicto ibidem præsidio, ad Indum flumen moverunt. Quo ubi venerunt, omnia quæ de ponte jungendo Alexander imperarat faciunt.

6. Regioni cis Indum sitæ Alexander ex amicis Nicanorem satrapam constituit. Ipse primum ad Indum flumen movit, urbemque Peucelaotim haud procul ab amne sitam deditione recepit, præsidioque Macedonum imposito Philippoque ei præfecto multa præterea ignobilia oppida ad Indum amnem sita subegit, comitantibus eum Cophæo et Assagete præsidibus provinciæ. (7) Postquam vero Embolima venit, quæ urbs non procul a petra Aorno sita est, Craterum cum parte exercitus ibi relinquit, utque frumentum quantum posset aliaque necessaria ad longi temporis moram ibi faciendam in urbem convehat jubet, ut inde progressi Macedones, diuturna obsidione eos qui petram tenebant conficerent, si primo impetu capi non posset. (8) Ipse assumptis sagittariis atque Agrianis Cœnique agmine et ex reliqua phalange delectis iis qui et expeditiores et melius armati essent, præterea ex equitatu amicorum ducentis ac sagittariis equestribus centum, exercitum ad petram admovit. Ac primo quidem die castra commodo loco ponit. Postero die propius ad petram rursum castra locat.

ΚΕΦ. ΚΘ'.

Καὶ ἐν τούτῳ ἦκον παρ' αὐτὸν τῶν προσχώρων τινές, σφᾶς τε αὐτοὺς ἐνδιδόντες καὶ ἡγήσασθαι φάσκοντες ἐς τῆς πέτρας τὸ ἐπιμαχώτατον, ὅθεν οὐ χαλεπὸν αὐτῷ ἔσεσθαι ἑλεῖν τὸ χωρίον. Καὶ ξὺν τούτοις πέμπει Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα, τούς τε Ἀγριᾶνας ἄγοντα καὶ τοὺς ψιλοὺς τοὺς ἄλλους καὶ τῶν ὑπασπιστῶν ἐπιλέκτους, προστάξας, ἐπειδὰν καταλάβῃ τὸ χωρίον, κατέχειν μὲν αὐτὸ ἰσχυρᾷ φυλακῇ, οἱ δὲ σημαίνειν ὅτι ἔχεται. (2) Καὶ Πτολεμαῖος ἐλθὼν δόδν τραχεῖάν τε καὶ δύσπορον λανθάνει τοὺς βαρβάρους κατασχὼν τὸν τόπον· καὶ τοῦτον χάρακι ἐν κύκλῳ καὶ τάφρῳ ὀχυρώσας πυρσὸν αἴρει ἀπὸ τοῦ ὄρους ἔνθεν ὀρθήσεσθαι ὑπ' Ἀλεξάνδρου ἔμελλε. Καὶ ὥρθη τε ἅμα ἡ φλὸξ καὶ Ἀλέξανδρος ἐπῆγε τῇ ὑστεραίᾳ τὴν στρατιάν· ἀμυνομένων δὲ τῶν βαρβάρων οὐδὲν πλέον αὐτῷ ὑπὸ δυσχωρίας ἐγίγνετο. (3) Ὡς δὲ Ἀλεξάνδρῳ ἄπορον τὴν προσβολὴν κατέμαθον οἱ βάρβαροι, ἀναστρέψαντες τοῖς ἀμφὶ Πτολεμαῖον αὐτοὶ προσέβαλλον· καὶ γίγνεται αὐτῶν τε καὶ τῶν Μακεδόνων μάχη καρτερά, τῶν μὲν διασπάσαι τὸν χάρακα σπουδὴν ποιουμένων, τῶν Ἰνδῶν, Πτολεμαίου δὲ διαφυλάξαι τὸ χωρίον· καὶ μεῖον σχόντες οἱ βάρβαροι ἐν τῷ ἀκροβολισμῷ νυκτὸς ἐπιγενομένης ἀνεχώρησαν.

4. Ἀλέξανδρος δὲ τῶν Ἰνδῶν τινὰ τῶν αὐτομόλων, πιστόν τε ἄλλως καὶ τῶν χωρίων δαήμονα, ἐπιλεξάμενος πέμπει παρὰ Πτολεμαῖον τῆς νυκτός, γράμματα φέροντα τὸν Ἰνδόν, ἵνα ἐγέγραπτο, ἐπειδὰν αὐτὸς προσβάλῃ τῇ πέτρᾳ, τὸν δὲ ἐπιέναι τοῖς βαρβάροις κατὰ τὸ ὄρος, μηδὲ ἀγαπᾶν ἐν φυλακῇ ἔχοντα τὸ χωρίον, ὡς ἀμφοτέρωθεν βαλλομένους τοὺς Ἰνδοὺς ἀμφιβόλους γίγνεσθαι. (5) Καὶ αὐτὸς ἅμα τῇ ἡμέρᾳ ἄρας ἐκ τοῦ στρατοπέδου προσῆγε τὴν στρατιὰν κατὰ τὴν πρόσβασιν ᾗ Πτολεμαῖος λαθὼν ἀνέβη, γνώμην ποιούμενος ὡς εἰ ταύτῃ βιασάμενος ξυμμίξει τοῖς ἀμφὶ Πτολεμαῖον, οὐ χαλεπὸν ἔτι ἐσόμενον αὐτῷ τὸ ἔργον. Καὶ ξυνέβη οὕτως. (6) Ἔστε μὲν γὰρ ἐπὶ μεσημβρίαν ξυνειστήκει καρτερὰ μάχη τοῖς τε Ἰνδοῖς καὶ τοῖς Μακεδόσι, τῶν μὲν ἐκβιαζομένων ἐς τὴν πρόσβασιν, τῶν δὲ βαλλόντων ἀνιόντας· ὡς δὲ οὐκ ἀνίεσαν οἱ Μακεδόνες, ἄλλοι ἐπ' ἄλλοις ἐπιόντες, οἱ δὲ πρόσθεν ἀναπαυόμενοι, μόγις δὴ ἀμφὶ δείλην ἐκράτησαν τῆς παρόδου καὶ ξυνέμιξαν τοῖς ξὺν Πτολεμαίῳ. Ἐκεῖθεν δὲ ὁμοῦ ἤδη γενομένη ἡ στρατιὰ πᾶσα ἐπήγετο αὖθις ὡς ἐπ' αὐτὴν τὴν πέτραν· ἀλλὰ γὰρ ἔτι ἄπορος ἦν αὕτη ἡ προσβολή. Ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος γίγνεται.

7. Ὑπὸ δὲ τὴν ἕω παραγγέλλει στρατιώτῃ ἑκάστῳ κόπτειν χάρακας ἑκατὸν κατ' ἄνδρα. Καὶ οὗτοι κεκομμένοι ἦσαν, καὶ αὐτὸς ἐχώννυεν ἀρξάμενος ἀπὸ τῆς κορυφῆς τοῦ λόφου ἵνα ἑστρατοπεδευκότες ἦσαν ὡς ἐπὶ τὴν πέτραν χῶμα μέγα, ἔνθεν τοξεύματά τε ἂν ἐξικνεῖσθαι ἐς τοὺς προμαχομένους ξυνατὰ αὐτῷ ἐφαίνετο

CAP. XXIX.

Interea finitimorum nonnulli ad eum venerunt deditionem facientes, viamque sese ostensuros dicentes, qua commodior petræ oppugnatio futura esset, parvoque negotio capi posset. Cum his Ptolemæum Lagi filium corporis custodem mittit, Agrianos secum ducentem aliosque levis armaturæ et scutatorum lectissimos quosque jubens, ut quum oppidum occupasset, firmo id præsidio muniret, utque occupati loci significationem aliquam ederet. (2) Ptolemæus via ardua atque difficili contendens non sentientibus barbaris in verticem evadit, et loco in orbem vallo ac fossa communito facem accensam ab ea parte montis qua conspici ab Alexandro posset tollit. Alexander conspecto flammæ splendore postridie exercitum admovit. At Barbaris acriter sese tuentibus, nihil tum ob locorum asperitatem effecit. (3) Quum vero barbari animadverterent Alexandrum ab ea parte frustra niti, in Ptolemæum conversi feruntur. Atrox ibi cum Macedonibus pugna miscetur, Indis quidem vallum rescindere nitentibus, Ptolemæo omnibus viribus locum tutante. Demum barbari Macedonum velitari conflictu male excepti nocte interveniente retrocedunt.

4. Alexander interea Indum quendam transfugam, fidum et locorum peritum, noctu cum literis ad Ptolemæum mittit. Quibus monet, ut quum ipse petram adoriretur, Ptolemæus eodem tempore ex monte impetum in hostes faceret, neque in præsidio se continere contentus esset, ut utrinque petiti barbari in ambiguo versarentur. (5) Ipse prima luce castris motis exercitum ad eam partem ducit, qua Ptolemæus clam hostibus montem conscenderat, ita secum statuens, si impetu facto illac se cum Ptolemæo conjungere posset, non ita difficile negotium ei futurum. Quod quidem ita evenit. (6) Nam ad meridiem usque acre inter Indos et Macedones certamen fuit, his quidem conscendere nitentibus, illis subeuntes propulsantibus. Quum vero Macedones non desisterent alii aliis succedere, prioresque interim a labore reficerentur, vix ante noctem transitu potiti sese cum Ptolemæo conjunxerunt. Exinde quum jam omnes copiæ una essent, rursus petram adoriuntur. Sed ne hac quidem ratione petra subiri potuit. Atque ita dies ille consumptus est.

7. Sub lucem milites singulos centum palos cædere jubet. Quibus comportatis ingentem aggerem a summo colle in quo castra locarat ad petram molitur, unde et sagittæ et tela machinis excussa ad hostes pertingere possent : uni-

καὶ ἀπὸ μηχανῶν βέλη ἀφιέμενα· καὶ ἐχώννυον αὐτὸ πᾶς τις ἀντιλαμβανόμενος τοῦ ἔργου· καὶ αὐτὸς ἐφειστήκει θεατὴς καὶ ἐπαινέτης τοῦ ξὺν προθυμίᾳ περαινομένου, κολαστὴς δὲ τοῦ ἐν τῷ παραχρῆμα ἐκλιποῦς.

ΚΕΦ. Λ'.

Τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ ὡς ἐπὶ στάδιον ἔχωσεν αὐτῷ ὁ στρατός. Ἐς δὲ τὴν ὑστεραίαν οἵ τε σφενδονῆται σφενδονῶντες ἐς τοὺς Ἰνδοὺς ἐκ τοῦ ἤδη κεχωσμένου καὶ ἀπὸ τῶν μηχανῶν βέλη ἀφιέμενα ἀνέστελλε τῶν Ἰνδῶν τὰς ἐκδρομὰς τὰς ἐπὶ τοὺς χωννύοντας. Καὶ ἐχώννυτο αὐτῷ ἐς τρεῖς ἡμέρας ξυνεχῶς τὸ χωρίον. Τῇ τετάρτῃ δὲ βιασάμενοι τῶν Μακεδόνων οὐ πολλοὶ κατέσχον ὀλίγον γήλοφον ἰσόπεδον τῇ πέτρᾳ· καὶ Ἀλέξανδρος οὐδέν τι ἐλινύων ἐπῆγε τὸ χῶμα, ξυνάψαι ἐθέλων τὸ χωννύμενον τῷ γηλόφῳ ὄντινα οἱ ὀλίγοι αὐτῷ ἤδη κατεῖχον.

2. Οἱ δὲ Ἰνδοὶ πρός τε τὴν ἀδιήγητον τόλμαν τῶν ἐς τὸν γήλοφον βιασαμένων Μακεδόνων ἐκπλαγέντες καὶ τὸ χῶμα ξυνάπτον ἤδη ὁρῶντες, τοῦ μὲν ἀπομάχεσθαι ἔτι ἀπείχοντο· πέμψαντες δὲ κήρυκα σφῶν παρ' Ἀλέξανδρον ἐθέλειν ἔφασκον ἐνδοῦναι τὴν πέτραν, εἴ σφισι σπένδοιτο. Γνώμην δὲ πεποίηντο ἐν τῷ ἔτι διαμέλλοντι τῶν σπονδῶν διαγαγόντες τὴν ἡμέραν νυκτὸς ὡς ἕκαστοι διασκεδάννυσθαι ἐπὶ τὰ σφέτερα ἤθη. (3) Καὶ τοῦτο ὡς ἐπύθετο Ἀλέξανδρος, ἐνδίδωσιν αὐτοῖς χρόνον τε ἐς τὴν ἀποχώρησιν καὶ τῆς φυλακῆς τὴν κύκλωσιν τὴν πάντη ἀφελεῖν. Καὶ αὐτὸς ἔμενεν ἕστε ἤρξαντο τῆς ἀποχωρήσεως· καὶ ἐν τούτῳ ἀναλαβὼν τῶν σωματοφυλάκων καὶ τῶν ὑπασπιστῶν ἐς ἑπτακοσίους κατὰ τὸ ἐκλελειμμένον τῆς πέτρας ἀνέρχεται ἐς αὐτὴν πρῶτος, καὶ οἱ Μακεδόνες ἄλλος ἄλλῃ ἀνιμῶντες ἀλλήλους ἀνήεσαν. (4) Καὶ οὗτοι ἐπὶ τοὺς ἀποχωροῦντας τῶν βαρβάρων τραπόμενοι ἀπὸ ξυνθήματος, πολλοὺς μὲν αὐτῶν ἐν τῇ φυγῇ ἀπέκτειναν· οἱ δὲ καὶ περοβημένως ἀποχωροῦντες κατὰ τῶν κρημνῶν ῥίψαντες σφᾶς ἀπέθανον. Εἵχετό τε Ἀλεξάνδρῳ ἡ πέτρα ἡ τῷ Ἡρακλεῖ ἄπορος γενομένη, καὶ ἔθυεν ἐπ' αὐτῇ Ἀλέξανδρος καὶ κατεσκεύασε φρούριον, παραδοὺς Σισικόττῳ ἐπιμελεῖσθαι τῆς φρουρᾶς, ὃς ἐξ Ἰνδῶν μὲν πάλαι ἠυτομολήκει ἐς Βάκτρα παρὰ Βῆσσον, Ἀλεξάνδρου δὲ κατασχόντος τὴν χώραν τὴν Βακτρίαν ξυνεστράτευέ τε αὐτῷ καὶ πιστὸς ἐς τὰ μάλιστα ἐφαίνετο.

5. Ἄρας δὲ ἐκ τῆς πέτρας ἐς τὴν τῶν Ἀσσακηνῶν χώραν ἐμβάλλει. Τὸν γὰρ ἀδελφὸν τὸν Ἀσσακηνοῦ ἐξηγγέλλετο τούς τε ἐλέφαντας ἔχοντα καὶ τῶν προσχώρων βαρβάρων πολλοὺς ξυμπεφευγέναι ἐς τὰ ταύτῃ ὄρη. (6) Καὶ ἀφικόμενος ἐς Δύρτα πόλιν, τῶν μὲν ἐνοικούντων οὐδένα καταλαμβάνει οὐδὲ ἐν τῇ χώρᾳ τῇ περὶ τῇ πόλει· ἐς δὲ τὴν ὑστεραίαν Νέαρχόν τε καὶ

versoque exercitu ad opus intento, ipse et spectator et laudator adstabat, eos quidem qui magna contentione opus promovebant collaudans : segniores vero castigans.

CAP. XXX.

Ac primo quidem die exercitus in stadii longitudinem aggerem perduxit. Postero die funditores per aggeris partem jam perfectam dispositi et tela machinis excussa facile Indorum in eos qui aggerem struebant excursiones repressserunt. Atque ita triduum in struendo indesinenter aggere consumpsit. Quarto die quum Macedones aliquot collem quendam petræ oppositum, æqualis cum ea altitudinis, cepissent, Alexander confestim aggerem ad eum collem quem pauci suorum jam tenebant continuare statuit.

2. Barbari ob incredibilem Macedonum qui collem illum superarant audaciam attoniti, aggeremque jam ad collem perductum conspicati, a defensione desistunt, missoque ad Alexandrum caduceatore spondent sese, si pacisci cum iis velit, petræ deditionem facturos. Consilium vero ipsorum erat, ut totum illum diem pactionibus faciendis transigentes, noctu sese quisque in domos suas reciperent. (3) Quo cognito Alexander tempus satis amplum iis ad discedendum concessit, omni præsidio per circuitum amoto. Ipseque ibi tantisper dum discedere inciperent mansit. Posthæc assumtis ex custodibus corporis et scutatis DCC, primus in desertam ab hostibus petram conscendit. Macedones quoque, alius alia sese mutuo subtrahentes, eodem ascenderunt. (4) Exinde in recedentes barbaros signo dato conversi multos in fuga interfecerunt. Nonnulli eorum trepide fugientes, per præcipitia delapsi perierunt. Alexander potitus petra, quam ne Hercules quidem ipse superare potuerat, sacrificio in ea facto, præsidium imposuit, eique Sisicottum præfecit, qui multo ante ex Indis Bactra ad Bessum transfugerat, et postquam Alexander Bactrianorum regionem subjugarat, conjunctis cum eo copiis fidelem imprimis ei operam navarat.

5. Alexander e petra in Assacenorum regionem movit. Assaceni enim fratrem cum elephantis et finitimorum barbarorum non exigua manu in illius regionis montes confugisse acceperat. (6) Quumque ad urbem Dyrtam pervenisset, neminem incolarum aut in ea aut in vicina regione reperit. Postero autem die Nearchum et Antiochum, quorum uterque mille scutatis præfectus erat, emittit. Ac Nearcho

Ἀντίοχον τοὺς χιλιάρχους τῶν ὑπασπιστῶν ἐκπέμπει· καὶ Νεάρχῳ μὲν τοὺς Ἀγριᾶνας καὶ τοὺς ψιλοὺς ἄγειν ἔδωκεν, Ἀντιόχῳ δὲ τήν τε αὐτοῦ χιλιαρχίαν καὶ δύο ἐπὶ ταύτῃ ἄλλας. Ἐστέλλοντο δὲ τά τε χωρία κατοψόμενοι καὶ εἴ πού τινας τῶν βαρβάρων ξυλλαβεῖν ἐς ἔλεγχον τῶν κατὰ τὴν χώραν, τῶν τε ἄλλων καὶ μάλιστα δὴ τὰ ἀμφὶ τοὺς ἐλέφαντας ἔμελεν αὐτῷ μαθεῖν.

7. Αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἤδη ἦγε, καὶ ἡ στρατιὰ αὐτῷ ὡδοποιεῖτο πρόσω ἰοῦσα ἄπορα ἄλλως ὄντα τὰ ταύτῃ χωρία. Ἐνταῦθα ξυλλαμβάνει ὀλίγους τῶν βαρβάρων, καὶ παρὰ τούτων ἔμαθεν ὅτι οἱ μὲν ἐν τῇ χώρᾳ Ἰνδοὶ παρὰ Ἀβισάρῃ ἀποπεφευγότες εἶεν, τοὺς ἐλέφαντας δὲ ὅτι αὐτοῦ κατέλιπον νέμεσθαι πρὸς τῷ ποταμῷ τῷ Ἰνδῷ· καὶ τούτους ἡγήσασθαί οἱ τὴν ὁδὸν ἐκέλευσεν ὡς ἐπὶ τοὺς ἐλέφαντας. (8) Εἰσὶ δὲ Ἰνδῶν πολλοὶ κυνηγέται τῶν ἐλεφάντων, καὶ τούτους σπουδῇ ἀμφ' αὑτὸν εἶχεν Ἀλέξανδρος, καὶ τότε ἐθήρα ξὺν τούτοις τοὺς ἐλέφαντας· καὶ δύο μὲν αὐτῶν ἀπόλλυνται κατὰ χρημνοῦ σφᾶς ῥίψαντες ἐν τῇ διώξει, οἱ δὲ ἄλλοι ξυλληφθέντες ἔφερόν τε τοὺς ἀμβάτας καὶ τῇ στρατιᾷ ξυνετάσσοντο. (9) Ἐπεὶ δὲ καὶ ὕλῃ ἐργασίμῳ ἐνέτυχε παρὰ τὸν ποταμόν, καὶ αὖτῃ ἐκόπη αὐτῷ ὑπὸ τῆς στρατιᾶς καὶ ναῦς ἐποιήθησαν. Καὶ αὗται κατὰ τὸν Ἰνδὸν ποταμὸν ἤγοντο ὡς ἐπὶ τὴν γέφυραν ἥντινα Ἡφαιστίων καὶ Περδίκκας αὐτῷ ἐξῳκοδομηκότες πάλαι ἦσαν.

quidem Agrianos et alios levis armaturæ, Antiocho ad mille scutatos quos ducebat alia duo millia adjungit. Hos speculatum in illa loca mittit, et an forte nonnullos ex barbaris comprehendere possint, e quibus cum alia ad regionis notitiam pertinentia tum de elephantis cognoscerent.

7. Ipse ad Indum flumen pergit : exercitu qui viam faceret præmisso. Neque enim aliter ea loca transiri possunt. Eo loci barbaris nonnullis captis certior factus est Indos ejus regionis ad Abisarem confugisse. Elephantos in pascuis apud Indum amnem relictos esse. Quo cognito ut se ad eum locum ubi elephanti erant ducant jubet. (8) Sunt autem Indorum multi elephantorum venatores, et ob id Alexander hos apud se caros habebat. Ac tum quidem cum his elephantos venatus est. Duo inter persequendum e præcipitiis lapsi perierunt : reliqui capti admissis sessoribus exercitui admoti sunt. (9) Silvam quoque cæduam apud flumen nactus ab exercitu cædi navesque ædificari jussit, quibus in Indum flumen subductis, ad pontem quem jam multo ante Hephæstion et Perdiccas construxerant, vectus est.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

LIBER QUINTUS.

ΚΕΦ. Α'.

CAP. I.

Ἐν δὲ τῇ χώρᾳ ταύτῃ ἥντινα μεταξὺ τοῦ τε Κωφῆνος καὶ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπῆλθεν Ἀλέξανδρος, καὶ Νύσαν πόλιν ᾠκίσθαι λέγουσι· τὸ δὲ κτίσμα εἶναι Διονύσου· (2) Διόνυσον δὲ κτίσαι τὴν Νύσαν ἐπεί τε Ἰνδοὺς ἐχειρώσατο, ὅστις δὴ οὗτος ὁ Διόνυσος καὶ ὁπότε ἢ ὅθεν ἐπ' Ἰνδοὺς ἐστράτευσεν· οὐ γὰρ ἔγωγε συμβαλεῖν εἰ ὁ Θηβαῖος Διόνυσος ἐκ Θηβῶν ἢ καὶ ἐκ Τμώλου τοῦ Λυδίου ὁρμηθεὶς ἐπ' Ἰνδοὺς ἦγε στρατιὰν ἄγων, τοσαῦτα μὲν ἔθνη μάχιμα καὶ ἄγνωστα τοῖς τότε Ἕλλησιν ἐπελθών, οὐδὲν δὲ αὐτῶν ἄλλο ὅτι μὴ τὸ Ἰνδῶν βίᾳ χειρωσάμενος· πλήν γε δὴ ὅτι οὐκ ἀκριβῆ ἐξεταστὴν χρὴ εἶναι τῶν ὑπὲρ τοῦ θείου ἐκ παλαιοῦ μεμυθευμένων. Τὰ γάρ τοι κατὰ τὸ εἰκὸς ξυντιθέντι οὐ πιστά, ἐπειδὰν τὸ θεῖόν τις προσθῇ τῷ λόγῳ, οὐ πάντη ἄπιστα φαίνεται.

3. Ὡς δὲ ἐπέβη τῇ Νύσῃ Ἀλέξανδρος, ἐκπέμπουσι παρ' αὐτὸν οἱ Νυσαῖοι τὸν κρατιστεύοντα σφῶν, ὄνομα δὲ ἦν αὐτῷ Ἀκουφις, καὶ ξὺν αὐτῷ πρέσβεις τῶν δοκιμωτάτων τριάκοντα, δεησομένους Ἀλεξάνδρου ἀφεῖναι τῷ

In hac regione, quam inter Cophenem et Indum fluvios interjacentem Alexander aggressus est, Nysam etiam urbem sitam esse ferunt, a Baccho conditam eo tempore quo Indos domuit. (2) Quisnam vero is Bacchus fuerit et quando aut unde Indis bellum intulerit, conjicere non possum sitne is qui Thebanus ex Thebis, an vero ex Tmolo Lydiæ profectus in Indos exercitum duxerit; qui quum tot bellicosas et tum temporis Græcis ignotas gentes adierit, nullam ex iis præterquam Indorum vi subegit. Ceterum ea quæ de diis veteres fabulis suis conscripsere, non nimium curiose pervestiganda sunt. Scripta enim quibus merito fides derogari posset, quando numinis alicujus mentio accedit, fit ut non omnino incredibilia esse videantur.

3. Alexander itaque simulac Nysam cum exercitu venit, oppidani Acuphim principem civitatis ad eum mittunt, et cum eo legatos xxx ex primoribus, orantes uti numini suo urbem liberam relinquat. (4) Legati ad Alexandri taber-

θεῷ τὴν πόλιν. (4) Παρελθεῖν τε δὴ ἐς τὴν σκηνὴν τὴν Ἀλεξάνδρου τοὺς πρέσβεις καὶ καταλαβεῖν καθήμενον κεκονιμένον ἔτι ἐκ τῆς ὁδοῦ ξὺν τοῖς ὅπλοις τοῖς τε ἄλλοις καὶ τὸ κράνος αὐτῷ περικείμενον καὶ τὸ δόρυ ἔχοντα· θαμβῆσαί τε ἰδόντας τὴν ὄψιν καὶ πεσόντας ἐς γῆν ἐπὶ πολὺ σιγὴν ἔχειν. Ὡς δὲ ἐξανέστησέ τε αὐτοὺς Ἀλέξανδρος καὶ θαρρεῖν ἐκέλευσε, τότε δὴ τὸν Ἄκουφιν ἀρξάμενον λέγειν ὧδε·

5. « Ὦ βασιλεῦ, δέονταί σου Νυσαῖοι ἔᾶσαι σφᾶς ἐλευθέρους τε καὶ αὐτονόμους αἰδοῖ τοῦ Διονύσου. Διόνυσος γὰρ ἐπειδὴ χειρωσάμενος τὸ Ἰνδῶν ἔθνος ἐπὶ θάλασσαν ὀπίσω κατήει τὴν Ἑλληνικήν, ἐκ τῶν ἀπομάχων στρατιωτῶν, οἳ δὴ αὐτῷ καὶ Βάκχοι ἦσαν, κτίζει τὴν πόλιν τήνδε μνημόσυνον τῆς αὐτοῦ πλάνης τε καὶ νίκης τοῖς ἔπειτα ἐσόμενον, καθάπερ οὖν καὶ σὺ αὐτὸς Ἀλεξάνδρειάν τε ἔκτισας τὴν πρὸς Καυκάσῳ ὄρει καὶ ἄλλην Ἀλεξάνδρειαν ἐν τῇ Αἰγυπτίων γῇ, καὶ ἄλλας πολλὰς τὰς μὲν ἔκτισας ἤδη, τὰς δὲ καὶ κτίσεις ἀνὰ χρόνον, οἷα δὴ πλείονα Διονύσου ἔργα ἀποδειξάμενος. (6) Νύσαν τε οὖν ἐκάλεσε τὴν πόλιν ὁ Διόνυσος ἐπὶ τῆς τροφοῦ τῆς Νύσης καὶ τὴν χώραν Νυσαίαν· τὸ δὲ ὄρος ὃ τιπερ πλησίον ἐστὶ τῆς πόλεως καὶ τοῦτο Μηρὸν ἐπωνόμασε Διόνυσος, ὅτι δὴ κατὰ τὸν μῦθον ἐν μηρῷ τῷ τοῦ Διὸς ηὐξήθη. Καὶ ἐκ τούτου ἐλευθέραν τε οἰκοῦμεν τὴν Νύσαν καὶ αὐτοὶ αὐτόνομοι καὶ ἐν κόσμῳ πολιτεύοντες· τῆς δὲ ἐκ Διονύσου οἰκίσεως καὶ τόδε σοι γενέσθω τεκμήριον· κιττὸς γὰρ οὐκ ἄλλῃ τῆς Ἰνδῶν γῆς φυόμενος παρ' ἡμῖν φύεται. »

naculum adducti, quum illum sedentem nondum detersо pulvere, omni adhuc armatura indutum, galeaque tectum, et lanceam manu tenentem vidissent, aspectu ejus perterrefacti in terram prociderunt, diuque silentium tenuerunt. Postquam vero Alexander surgere illos bonoque animo esse jussit, Acuphim ita orsum :

5. « Orant te, o rex, Nysæi, uti Liberi patris reverentia adductus civitatem ipsis liberam legibusque suis utentem relinquas. Bacchus enim debellatis Indis quum ad Græcanicum mare reverteretur, ex militibus rude donatis, qui et ipsi Bacchici erant, hanc urbem condidit, quæ perpetuum peregrinationis victoriæque suæ monumentum posteris exstaret, quemadmodum tu ipse Alexandriam ad Caucasum montem condidisti, aliamque in Ægyptiorum regione, aliasque multas partim jam exædificasti, partim in posterum ædificabis : utpote qui jam plura quam Bacchus præstiteris. (6) Nysam autem vocavit urbem a nutrice Nysa, et provinciam Nysæam; montem vero qui urbi imminet, Meron [*hoc est femur*] vocari voluit, quod secundum fabulas in femore Jovis succrevit. Ex eo tempore liberam Nysam incolimus nostrisque legibus utentes composite vivimus. Eam vero a Libero patre ædificatam esse, hoc etiam tibi documento esse potest, quod nusquam alibi apud Indos hedera nascitur. »

ΚΕΦ. Β'.

Καὶ ταῦτα πάντα Ἀλεξάνδρῳ πρὸς θυμοῦ ἐγίγνετο ἀκούειν καὶ ἤθελε πιστὰ εἶναι τὰ ὑπὲρ τοῦ Διονύσου τῆς πλάνης μυθευόμενα· καὶ κτίσμα εἶναι Διονύσου τὴν Νύσαν ἤθελεν, ὡς ἤδη τε ἥκειν αὐτὸς ἔνθα ἦλθε Διόνυσος καὶ ἐπ' ἐκεῖνα ἂν ἐλθεῖν Διονύσου· οὐδ' ἂν Μακεδόνας τὸ πρόσω ἀπαξιῶσαι συμπονεῖν οἱ ἔτι κατὰ ζῆλον τῶν Διονύσου ἔργων. (2) Καὶ δίδωσιν ἐλευθέρους τε εἶναι τοὺς οἰκήτορας τῆς Νύσης καὶ αὐτονόμους. Ὡς δὲ καὶ τοὺς νόμους ἐπύθετο αὐτῶν καὶ ὅτι πρὸς τῶν ἀρίστων τὸ πολίτευμα ἔχεται, ταῦτά τε ἐπῄνεσε καὶ ἠξίωσε τῶν τε ἱππέων οἱ ξυμπέμψαι ἐς τριακοσίους καὶ τῶν προεστώτων τοῦ πολιτεύματος, ἦσαν δὲ καὶ αὐτοὶ τριακόσιοι, ἑκατὸν τοὺς ἀρίστους ἐπιλεξαμένους. Ἄκουφιν δὲ εἶναι τὸν ἐπιλεγόμενον, ὄντινα καὶ ὕπαρχον τῆς χώρας τῆς Νυσαίας κατέστησεν αὐτός. (3) Τὸν δὲ Ἄκουφιν ταῦτα ἀκούσαντα ἐπιμειδιάσαι λέγεται τῷ λόγῳ· καὶ Ἀλέξανδρον ἐρέσθαι ἐφ' ὅτῳ ἐγέλασεν· ἀποκρίνασθαι δ' Ἄκουφιν· Καὶ πῶς ἄν, ὦ βασιλεῦ, μία πόλις ἑκατὸν ἀνδρῶν ἀγαθῶν ἐρημωθεῖσα ἔτι καλῶς πολιτεύοιτο; ἀλλὰ σύ, εἴ σοι μέλει Νυσαίων, τοὺς ἱππέας μὲν ἄγεσθαι τοὺς τριακοσίους καὶ εἰ βούλει, ἔτι τούτων πλείονας· ἀντὶ δὲ τῶν ἑκατόν,

CAP. II.

Grata Alexandro Acuphis oratio accidit. Cupiebat enim fide digna esse quæ de Bacchi peregrinatione fabulæ narrant : facileque credi volebat, Nysam ab eo conditam fuisse, quippe quod jam eo quo Bacchus pervenisset, et ulterius quam Bacchus progressurus esset : et Macedonas non illibenter cum ipso æmulatione quadam rerum a Baccho gestarum ulteriores labores adituros putabat. (2) Itaque Nysæis civibus libertatem, utque suis legibus uterentur concessit. Deinde quum leges eorum cognovisset, eosque rempublicam ex optimatibus constitutam habere, illorum institutum collaudavit, et trecentos equites ad se mitti jussit, cum centum præcipuis ex iis qui rempublicam regerent (qui et ipsi trecenti erant) sibi delectis. Acuphis autem voluit eos deligere; quem quidem ipse præsidem Nysææ provinciæ constituit. Ad hæc postulata Acuphim subrisisse ferunt, (3) et Alexandro interrogante causam risus, respondisse Acuphim, Quonam pacto, o rex, civitas centum bonis viris privata recte deinceps gubernari queat? At tu, si Nysæorum salus tibi cordi est, equites quidem ccc, et si velis plures accipe; sed pro centum quos ex optimis deligi tibi jubes, ducentos ex deterioribus dari patiare, ut si quando huc revertaris, civitatem pristinum statum de-

οὕστινας τοὺς ἀρίστους ἐπιλέξαι σὺ κελεύεις, διπλασίους τῶν ἄλλων τῶν χαχῶν ἄγεσθαι, ἵνα σοι καὶ αὖθις ἀφικομένῳ δεῦρο ἐν τῷ αὐτῷ τούτῳ κόσμῳ φανείη ἡ πόλις. Ταῦτα λέγοντα, λέγειν γὰρ δόξαι φρόνιμα, πεῖσαι Ἀλέξανδρον. (4) Καὶ τοὺς μὲν ἱππέας ξυμπέμπειν οἱ ἐκέλευσε, τοὺς δὲ ἑκατὸν τοὺς ἐπιλέκτους μηκέτι αἰτῆσαι, ἀλλὰ μηδ' ἀντ' αὐτῶν ἄλλους· τὸν δὲ παῖδα ἄρα τοῦ Ἀκούφιος καὶ τῆς θυγατρὸς τὸν παῖδα ξυμπέμψαι αὐτῷ Ἀκουφιν.

5. Ἀλέξανδρον δὲ πόθος ἔλαβεν ἰδεῖν τὸν χῶρον ὅπου τινὰ ὑπομνήματα τοῦ Διονύσου οἱ Νυσαῖοι ἐκόμπαζον. Ἐλθεῖν τε ἐς τὸ ὄρος τὸν Μηρὸν ξὺν τοῖς ἑταίροις ἱππεῦσι καὶ τῷ πεζικῷ ἀγήματι καὶ ἰδεῖν κισσοῦ τε ἀνάπλεων καὶ δάφνης τὸ ὄρος καὶ ἄλση παντοῖα· καὶ ἰδεῖν σύσκιον καὶ θήρας ἐν αὐτῷ εἶναι θηρίων παντοδαπῶν. (6) Καὶ τοὺς Μακεδόνας ἡδέως τὸν κισσὸν ἰδόντας, οἷα δὴ διὰ μακροῦ ὀρθέντα (οὐ γὰρ εἶναι ἐν τῇ Ἰνδῶν χώρᾳ κισσόν, οὐδὲ ἵναπερ αὐτοῖς ἄμπελοι ἦσαν), στεφάνους σπουδῇ ἀπ' αὐτοῦ ποιεῖσθαι καὶ στεφανώσασθαι ὡς εἶχον ἐρυμνοῦντας καὶ Διόνυσόν τε καὶ τὰς ἐπωνυμίας τοῦ θεοῦ ἀναχαλοῦντας. Θῦσαί τε αὐτοῦ Ἀλέξανδρον τῷ Διονύσῳ καὶ εὐωχηθῆναι ὁμοῦ τοῖς ἑταίροις. (7) Οἱ δὲ καὶ τάδε ἀνέγραψαν, εἰ δή τῳ πιστὰ καὶ ταῦτα, πολλοὺς τῶν ἀμφ' αὐτὸν τῶν οὐχ ἡμελημένων Μακεδόνων τῷ τε κισσῷ ἐστεφανωμένους καὶ ὑπὸ τῇ κατακλήσει τοῦ θεοῦ κατασχεθῆναί τε πρὸς τοῦ Διονύσου καὶ ἀνευάσαι τὸν θεὸν καὶ βαχχεῦσαι.

ΚΕΦ. Γ'.

Καὶ ταῦτα ὅπως τις ἐθέλει ὑπολαβὼν ἀπιστείτω ἢ πιστευέτω. Οὐ γὰρ ἔγωγε Ἐρατοσθένει τῷ Κυρηναίῳ πάντῃ ξυμφέρομαι, ὃς λέγει πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ Μακεδόνων πρὸς χάριν τὴν Ἀλεξάνδρου ἐς τὸ ὑπέρογκον ἐπιρημισθῆναι. (2) Καὶ γὰρ καὶ σπήλαιον λέγει ἰδόντας ἐν Παραπαμισάδαις τοὺς Μακεδόνας καί τινα μῦθον ἐπιχώριον ἀκούσαντας ἢ καὶ αὐτοὺς ξυνθέντας φημίσαι ὅτι τοῦτο ἄρα ἦν τοῦ Προμηθέως τὸ ἄντρον, ἵνα ἐδέδετο, καὶ ὁ ἀετὸς ὅτι ἐκεῖσε ἐφοίτα δαισόμενος τῶν σπλάγχνων τοῦ Προμηθέως, καὶ ὁ Ἡρακλῆς ὅτι ἐκεῖσε ἀφικόμενος τόν τε ἀετὸν ἀπέκτεινε καὶ τὸν Προμηθέα τῶν δεσμῶν ἀπέλυσε. (3) Τὸν δὲ Καύκασον τὸ ὄρος ἐκ τοῦ Πόντου ἐς τὰ πρὸς ἕω μέρη τῆς γῆς καὶ τὴν Παραπαμισαδῶν χώραν ὡς ἐπὶ Ἰνδοὺς μετάγειν τῷ λόγῳ τοὺς Μακεδόνας, Παραπάμισον ὄντα τὸ ὄρος αὐτοὺς καλοῦντας Καύκασον τῆς Ἀλεξάνδρου ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν Καύκασον ἄρα ἐλθόντα Ἀλέξανδρον. (4) Ἔν τε αὐτῇ τῇ Ἰνδῶν γῇ βοῦς ἰδόντας ἐγκεκαυμένας βόπαλον τεκμηριοῦσθαι ἐπὶ τῷδε ὅτι Ἡρακλῆς ἐς Ἰνδοὺς ἀφίκετο. Ὅμοια δὲ καὶ ὑπὲρ Διονύσου τῆς πλάνης ἀπιστεῖ Ἐρατοσθένης· ἐμοὶ δὲ ἐν μέσῳ κείσθων οἱ ὑπὲρ τούτων λόγοι.

5. Ἀλέξανδρος δὲ ὡς ἀφίκετο ἐπὶ τὸν Ἰνδὸν ποταμόν, καταλαμβάνει γέφυράν τε ἐπ' αὐτῷ πεποιημένην πρὸς

cusque retinuisse intelligas. (4) His dictis (quod prudenter respondisse videretur) Alexandrum persuasum fuisse, atque equites quidem ut mitterentur jussisse: centum vero illos ex præcipuis delectos neque petiisse, neque eorum loco alios. Filium vero Acuphis, ejusque ex filia nepotem una ad Alexandrum missum.

5. Posthæc Alexandrum cupido cepit visendi locum in quo Nysæi monumenta quædam Bacchi esse gloriabantur: venisse igitur narrant in montem Merum cum equitatu amicorum et peditum agemate, montem hedera lauroque refertum, lucosque opacos omni ferarum genere abundantes vidisse. (6) Macedonibus hederæ conspectum jucundum fuisse, quam nimirum a multo tempore non vidissent (neque enim Indorum regio hederam fert, ne ibi quidem ubi vites sunt) coronasque ex ea fecisse, et capita redimitos Baccho hymnos cantasse, variis cum appellationibus invocantes: Alexandrum ibi Baccho sacrificium fecisse, et cum amicis epulatum esse. (7) Tradunt etiam nonnulli (si cui hæc credibilia videntur) multos non obscuri nominis Macedones hedera coronatos in eo epulo Bacchi numine correptos, bacchantes discurrisse.

CAP. III.

Cæterum his unicuique per me integrum sit fidem prout velit aut tribuere aut derogare. Neque vero Eratostheni Cyrenæo prorsus assentior, qui auctor est, quicquid honoris numini a Macedonibus delatum fuit, in gratiam Alexandri supra modum exornatum esse. (2) Dicit etiam Macedones specum quandam apud Parapamisadas conspicatos, fabula quadam ab incolis audita aut ab ipsismet conficta sparsisse specum illam Promethei antrum esse, ubi religatus olim is fuit, aquilamque eo venire solitam quæ ejus viscera depasceretur: Herculis autem interventu aquilam interfectam, et Prometheum vinculis solutum. (3) Caucasum montem ex Ponto ad orientales terræ partes et Parapamisadarum regionem, ad Indos nimirum ea ratione Macedones suis sermonibus transferre, et Parapamisum montem Caucasum vocare in Alexandri gloriam, utpote qui Caucasum superarit. (4) Quumque in eadem Indorum regione boves vidissent, quibus clavæ inustæ essent, ex hoc conjectasse Herculem ad Indos pervenisse. Similia de Bacchi peregrinatione Eratosthenes improbat. Mihi vero hac de re sermo in medio relinquendus videtur.

5. Alexander ubi ad Indum pervenit, pontem jam ab Hephæstione perfectum reperit, multaque minora navigia,

Ἡφαιστίωνος καὶ πλοῖα πολλὰ μὲν σμικρότερα, δύο δὲ τριακοντόρους, καὶ παρὰ Ταξίλου τοῦ Ἰνδοῦ ὧρα ἥκοντα ἀργυρίου μὲν τάλαντα ἐς διακόσια, ἱερεῖα δὲ βοῦς μὲν τρισχιλίους, πρόβατα δὲ ὑπὲρ μύρια, ἐλέφαντας δὲ ἐς τριάκοντα· (6) Καὶ ἱππεῖς δὲ ἑπτακόσιοι αὐτῷ Ἰνδῶν ἐς ξυμμαχίαν παρὰ Ταξίλου ἦκον, καὶ τὴν πόλιν Ταξίλα, τὴν μεγίστην μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου, ὅτι αὐτῷ Ταξίλης ἐνδίδωσιν. Ἐνταῦθα θύει Ἀλέξανδρος τοῖς θεοῖς ὅσοις αὐτῷ νόμος καὶ ἀγῶνα ποιεῖ γυμνικὸν καὶ ἱππικὸν ἐπὶ τῷ ποταμῷ· καὶ γίγνεται αὐτῷ ἐπὶ τῇ διαβάσει τὰ ἱερά.

duas vero naves triginta remorum; adhæc dona a Taxile Indo allata, argenti talenta circa CC, boves IIIM, oves ultra XM, elephantos XXX. (6) Equites etiam DCC Indi a Taxile auxilio missi. Urbis quoque Taxilorum, quæ inter Indum et Hydaspem fluvios maxima est, Taxiles deditionem fecit. Alexander ibi diis quibus consueverat sacrificio facto, ludos gymnicos et equestres ad flumen edidit. Exta felicem transitum portenderunt.

ΚΕΦ. Δ'.

Ὁ δὲ Ἰνδὸς ποταμὸς ὅτι μέγιστος ποταμῶν ἐστι τῶν κατὰ τὴν Ἀσίαν τε καὶ τὴν Εὐρώπην, πλὴν Γάγγου, καὶ τούτου Ἰνδοῦ ποταμοῦ, καὶ ὅτι αἱ πηγαί εἰσιν αὐτῷ ἐπὶ τάδε τοῦ ὄρους τοῦ Παραπαμίσου ἢ Καυκάσου, καὶ ὅτι ἐκδίδωσιν εἰς τὴν μεγάλην θάλασσαν τὴν κατὰ Ἰνδοὺς ὡς ἐπὶ νότον ἄνεμον, καὶ ὅτι διστομός ἐστιν ὁ Ἰνδὸς καὶ αἱ ἐκβολαὶ αὐτοῦ ἀμφότεραι τεναγώδεις, καθάπερ αἱ πέντε τοῦ Ἴστρου, καὶ ὅτι Δέλτα ποιεῖ καὶ αὐτὸς ἐν τῇ Ἰνδῶν γῇ τῷ Αἰγύπτου Δέλτα παραπλήσιον καὶ τοῦτο Πάτταλα καλεῖται τῇ Ἰνδῶν φωνῇ, ταῦτα μὲν ὑπὲρ τοῦ Ἰνδοῦ, τὰ μάλιστα οὐκ ἀμφίλογα, καὶ ἐμοὶ ἀναγεγράφθω. (2) Ἐπεὶ καὶ ὁ Ὑδάσπης καὶ Ἀκεσίνης καὶ Ὑδραώτης καὶ Ὕφασις, καὶ οὗτοι Ἰνδοὶ ποταμοὶ ὄντες, τῶν μὲν ἄλλων τῶν Ἀσιανῶν ποταμῶν πολύ τι κατὰ μέγεθος ὑπερφέρουσι· τοῦ δὲ Ἰνδοῦ μείονες εἰσὶ καὶ πολὺ δὴ μείονες, ὅπου καὶ αὐτὸς ὁ Ἰνδὸς τοῦ Γάγγου. Κτησίας μέν, εἰ δή τῳ ἱκανὸς καὶ Κτησίας εἰς τεκμηρίωσιν, ἵνα μὲν στενώτατος αὐτοῦ ὁ Ἰνδός ἐστι, τεσσαράκοντα σταδίους ὅτι διέχουσιν αὐτῷ αἱ ὄχθαι· ἵνα δὲ πλατύτατος, καὶ ἑκατόν· τὸ πολὺ δὲ εἶναι αὐτοῦ τὸ μέσον τούτοιν.

3. Τοῦτον τὸν ποταμὸν τὸν Ἰνδὸν ὑπὸ τὴν ἕω διέβαινε ξὺν τῇ στρατιᾷ Ἀλέξανδρος ἐς τῶν Ἰνδῶν τὴν γῆν· ὑπὲρ ὧν ἐγὼ οὔτε οἵστισι νόμοις διαχρῶνται ἐν τῇδε τῇ συγγραφῇ ἀνέγραψα, οὔτε ζῷα εἰ δή τινα ἄτοπα ἡ χώρα αὐτοῖς ἐκφέρει, οὔτε ἰχθύας ἢ κήτη ὅσα ἢ οἷα ὁ Ἰνδὸς ἢ ὁ Ὑδάσπης ἢ ὁ Γάγγης ἢ ἄλλοι Ἰνδῶν ποταμοὶ φέρουσιν, οὐδὲ τοὺς μύρμηκας τοὺς τὸν χρυσὸν σφισιν ἐργαζομένους, οὐδὲ τοὺς γρῦπας τοὺς φύλακας, οὐδὲ ὅσα ἄλλα ἐφ' ἡδονῇ μᾶλλόν τι πεποίηται ἢ ἐς ἀφήγησιν τῶν ὄντων, ὡς τά γε κατ' Ἰνδοὺς ὅσα ἂν ἄτοπα ψεύσωνται, οὐκ ἐξελεγχθησόμενα πρὸς οὐδαμῶν. (4) Ἀλλὰ Ἀλέξανδρος γὰρ καὶ οἱ ξὺν τούτῳ στρατεύσαντες τὰ πολλὰ ἐξήλεγξαν, ὅσα γε μὴ καὶ αὐτῶν ἔστιν οἳ ἐψεύσαντο· ἀχρύσους τε εἶναι Ἰνδοὺς ἐξήλεγξαν, ὅσους γε δὴ Ἀλέξανδρος ξὺν τῇ στρατιᾷ ἐπῆλθε, πολλοὺς δὲ ἐπῆλθε, καὶ ἥκιστα χλιδῶντας κατὰ τὴν δίαιταν· ἀλλὰ μεγάλους μὲν τὰ σώματα, οἵους μεγίστους τῶν κατὰ τὴν Ἀσίαν, πενταπήχεις τοὺς πολλοὺς ἢ ὀλίγον ἀποδέοντας· καὶ με-

CAP. IV.

Indus porro omnium Asiæ atque Europæ fluviorum maximus est, præter Gangem, qui etiam Indiæ fluvius est. Fontes ejus ex Parapamiso vel Caucaso monte oriuntur, atque in Oceanum Indicum Austrum versus fertur. Duo sunt ejus ostia eaque palustria, quemadmodum quinque Istri ostia: et delta literæ figuram in regione Indorum cursu suo efficit, Ægyptio delta simile, quod Indorum lingua Pattala vocatur. Atque hæc quidem de Indo flumine ut quæ maxime certa sunt mihi quoque scripta sint. (2) Namque et Hydaspes et Acesines, itemque Hydraotes et Hyphasis Indiæ flumina quum sint, omnes Asiæ fluvios magnitudine superant: sed Indo flumine minora sunt, et tanto quidem minora, quanto ipse Indus Gange minor est. Ac Ctesias quidem (si cui ejus auctoritas ad probandum sufficiat) affirmat Indi, qua angustissimus is est, XL stadiorum latitudine ripas inter se distare: qua vero latissimus, etiam centum: maxima vero ex parte mediam inter hæc duo ejus latitudinem esse.

3. Hunc amnem Indum Alexander sub lucem cum exercitu trajecit in Indorum regionem. De quibus equidem, neque quibus legibus utantur in hoc libro conscripsi, neque quæ monstra animalium ea regio ferat, neque pisces aut cete quæcunque aut Indus aut Hydaspes, aut Ganges aut alii Indorum fluvii gignunt, neque formicas aurum ipsis operantes, neque gryphes custodes: quæ delectandi causa potius, quam quod re vera ita se habeant, scripta sunt; quippe quod quantumvis absurda de Indis confingant, neminem sint habituri qui eos mendacii arguat. (4) Cæterum Alexander et qui cum Alexandro militarunt, multa reprobaverunt, quanquam ex his quoque nonnulli mentiti sunt. Indos enim, quos Alexander cum exercitu adiit (multos autem adiit) aurum non habere, neque delicato victu uti compererunt. Præterea grandibus corporibus præditos esse, quippe qui maximi sint omnium Asiæ populorum, quin-

λαντέρους τῶν ἄλλων ἀνθρώπων, πλὴν Αἰθιόπων, καὶ τὰ πολέμια πολύ τι γενναιοτάτους τῶν γε δὴ τότε ἐποίκων τῆς Ἀσίας. (5) Τὸ γὰρ Περσῶν τῶν πάλαι, ξὺν οἷς ὁρμηθεὶς Κῦρος ὁ Καμβύσου Μήδους τε τὴν ἀρχὴν τῆς Ἀσίας ἀφείλετο καὶ ἄλλα ἔθνη τὰ μὲν κατεστρέψατο, τὰ δὲ προσχωρήσαντά οἱ ἑκόντα κατέσχεν, οὐκ ἔχω ἀτρεκῶς ὡς γε δὴ πρὸς τὰ Ἰνδῶν ξυμβαλεῖν. Καὶ γὰρ καὶ Πέρσαι τότε πένητές τε ἦσαν καὶ χώρας τραχείας οἰκήτορες, καὶ νόμιμά σφισιν ἦν οἷα ἐγγυτάτω εἶναι τῇ Λακωνικῇ παιδεύσει. Τὸ δὲ τραῦμα τὸ γενόμενον Πέρσαις ἐν τῇ Σκυθικῇ γῇ οὐδὲ τοῦτο ἔχω ἀτρεκῶς ξυμβαλεῖν πότερα δυσχωρίαις ξυνενεχθεῖσιν ἤ τινι ἄλλῃ Κύρου ἁμαρτίᾳ ξυνέβη ἢ Σκυθῶν γε τῶν ταύτῃ κακίους τὰ πολέμια Πέρσαι ἦσαν.

que cubitos aut paulo minus plerique alti, cæterisque mortalibus, exceptis Æthiopibus, nigriores. Omnium quoque eorum qui tunc Asiam incolebant bellicosissimos dicunt. (5) Nam Persas illos, quorum virtute olim Cyrus Cambysis filius Asiæ imperium Medis abstulit, aliasque gentes partim subegit partim vòluntaria deditione recepit, non ausim in universum cum Indis comparare. Nam Persæ iis temporibus et inopes erant, et aspera loca colebant, et leges atque instituta habebant Laconicæ disciplinæ maxime consentanea. Clades vero, quam Persæ in Scythica regione acceperunt, equidem pro certo affirmare non ausim, an iis quod locorum angustiis pressi essent, an alia quapiam Cyri culpa acciderit, an quod Persæ Scythis illis bellica virtute inferiores fuerint.

ΚΕΦ. Ε'.

Ἀλλὰ ὑπὲρ Ἰνδῶν ἰδίᾳ μοι γεγράψεται ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ' Ἰνδοὺς Νέαρχος, ἐπὶ δὲ ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης, δοκίμω ἄνδρε, ξυνεγραψάτην, καὶ νόμιμα ἄττα Ἰνδοῖς ἐστὶ καὶ εἰ δή τινα ἄτοπα ζῷα αὐτόθι φύεται καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θαλάσσης. (2) Νῦν δὲ ὅσον ἐς τὰ Ἀλεξάνδρου ἔργα ἀποχρῶν ἐφαίνετο, τοσόνδε μοι ἀναγεγράφθω· τὸν Ταῦρον τὸ ὄρος ἀπείργειν τὴν Ἀσίαν, ἀρχόμενον μὲν ἀπὸ Μυκάλης τοῦ καταντικρὺ Σάμου τῆς νήσου ὄρους, ἀποτεμνόμενον δὲ τήν τε Παμφύλων καὶ Κιλίκων γῆν ἔνθεν μὲν ὡς ἐς Ἀρμενίαν παρήκειν· ἀπὸ δ' Ἀρμενίων ὡς ἐπὶ Μηδίαν παρὰ Παρθυαίους τε καὶ Χωρασμίους· (3) κατὰ δὲ Βακτρίους ξυμβάλλειν τῷ Παραπαμίσῳ ὄρει, ὃ δὴ Καύκασον ἐκάλουν οἱ Ἀλεξάνδρῳ ξυστρατεύσαντες Μακεδόνες, ὡς μὲν λέγεται τὰ Ἀλεξάνδρου αὔξοντες, ὅτι δὴ καὶ ἐπ' ἐκεῖνα ἄρα τοῦ Καυκάσου κρατῶν τοῖς ὅπλοις ἦλθεν Ἀλέξανδρος· τυχὸν δὲ καὶ ξυνεχὲς τυγχάνει ὂν τοῦτο τὸ ὄρος τῷ ἄλλῳ τῷ Σκυθικῷ Καυκάσῳ, καθάπερ οὖν αὐτῷ τούτῳ ὁ Ταῦρος· καὶ ἐμοὶ αὐτῷ πρότερόν ποτε ἐπὶ τῷδε λέλεκται Καύκασος τὸ ὄρος τοῦτο καὶ ὕστερον τῷδε τῷ ὀνόματι κληθήσεται. (4) Τὸν δὲ Καύκασον τοῦτον καθήκειν ἔστε ἐπὶ τὴν μεγάλην τὴν πρὸς ἕω τε καὶ Ἰνδοὺς θάλασσαν. Τοὺς οὖν ποταμοὺς ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι ἐκ τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου ἀνίσχοντας τοὺς μὲν ὡς ἐπ' ἄρκτον τετραμμένον ἔχειν τὸ ὕδωρ, καὶ τούτων τοὺς μὲν ἐς τὴν λίμνην ἐνδιδόναι τὴν Μαιῶτιν, τοὺς δὲ ἐς τὴν Ὑρκανίαν καλουμένην θάλασσαν, καὶ ταύτην κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης· (5) τοὺς δὲ ὡς ἐπὶ νότον ἄνεμον τὸν Εὐφράτην τε εἶναι καὶ τὸν Τίγρητα καὶ τὸν Ἰνδόν τε καὶ τὸν Ὑδάσπην καὶ Ἀκεσίνην καὶ Ὑδραώτην καὶ Ὑφασιν καὶ ὅσοι ἐν μέσῳ τούτων τε καὶ τοῦ Γάγγου ποταμοῦ ἐς θάλασσαν καὶ οὗτοι ἐσβάλ-

CAP. V.

Cetera de Indis seorsim scribam quæ narratu fideque dignissima tum ii qui cum Alexandro militarunt, tum Nearchus qui Oceanum Indicum pernavigavit, deinde quæ Megasthenes et Eratosthenes probatissimi auctores memoriæ prodiderunt: Indorum etiam leges atque instituta, et si quæ illic monstruosa animalia nascantur, ipsam denique exterioris maris circumnavigationem describam. (2) In præsentia vero tantum quantum ad Alexandri res gestas pertinet, adscribendum mihi putavi. Taurus mons per omnem Asiam porrigitur, initio facto a Mycale monte qui est Samo insulæ oppositus: deinde Pamphyliam ac Ciliciam secans in Armeniam protenditur; ex Armeniis in Mediam trans Parthos et Chorasmios penetrat. (3) Ac circa Bactrianos Parapamiso monti committitur, quem Macedones Alexandro militantes Caucasum appellabant, studio (ut fertur) Alexandri res gestas amplificandi, quasi Caucasum continuata victoria Alexander superasset. Fieri autem potest ut hic ipse mons cum altero Scytharum Caucaso coeat, quemadmodum Taurus cum hoc, atque ego quidem ipse idcirco superius hunc montem Caucasum vocavi, et deinceps hoc nomine appellabo. (4) Porro Caucasus hic Orientem versus ad Oceanum Indicum pertingit. Omnes itaque fluvii quotquot per Asiam celebres sunt ex Tauro et Caucaso orientes alii quidem in Septentrionem aquas volvunt, eorumque nonnulli in Mæotim paludem feruntur: alii vero in Hyrcanium mare, Oceani sinum, labuntur. (5) Alii Austrum versus fluunt: ii sunt Euphrates, Tigris, Indus, Hydaspes, Acesines, Hydraotes, Hyphasis, denique quotquot medii inter hos et Gangem in mare feruntur; aut in

λουσιν ἢ εἰς τενάγη ἀναχεόμενοι ἀφανίζονται, καθάπερ ὁ Εὐφράτης ποταμὸς ἀφανίζεται.

ΚΕΦ. Ϛ'.

Ὅτῳ δὴ τὰ τῆς Ἀσίας ὧδε ἔχει ὡς πρὸς τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου τέμνεσθαι ἀπ' ἀνέμου ζεφύρου ὡς ἐπ' ἀπηλιώτην ἄνεμον τὴν Ἀσίαν, τούτῳ δύο μὲν αὗται μέγισται πρὸς αὐτοῦ τοῦ Ταύρου τῆς Ἀσίας μοῖραι γίγνονται, ἡ μὲν ἐς μεσημβρίαν τε καὶ πρὸς νότον ἄνεμον [τοῦ Ταύρου] κεκλιμένη, ἡ δὲ ἐπ' ἄρκτον τε καὶ ἄνεμον βορρᾶν. (2) Ἧς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης μεγίστην μὲν μοῖραν τὴν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας, πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα· ἐλαχίστην δὲ ὅσην ὁ Εὐφράτης ποταμὸς ἀπείργει ὡς πρὸς τὴν ἐντὸς τὴν ἡμετέραν θάλασσαν. Δύο δὲ αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν. (3) Ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀπηλιώτην ἄνεμον ἔστε ἐπὶ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυγα ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν ὁ Ἰνδὸς ποταμὸς ἀποτέμνεται. Καὶ ἔστι πεδίον ἡ πολλὴ αὐτῆς, καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προσχεχωσμένον. (4) Εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις ποιήματα, ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς Δινδυμήνης παρὰ πόλιν Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν· καὶ ἄλλο Καΰστρου πεδίον Λύδιον καὶ αὐτὸ ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ καὶ Μαιάνδρου τὸ Καρικὸν ἔστε ἐπὶ Μίλητον πόλιν Ἰωνικήν. (5) Αἴγυπτόν τε Ἡρόδοτός τε καὶ Ἑκαταῖος οἱ λογοποιοί, ἢ εἰ δή του ἄλλου ἢ Ἑκαταίου ἐστὶ τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ ποιήματα, δῶρόν τε τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσι καὶ οὐκ ἀμαυροῖς τεκμηρίοις ὅτι ταύτῃ ἔχει Ἡροδότῳ ἐπιδέδεικται, ὡς καὶ τὴν γῆν αὐτὴν τυχὸν τοῦ ποταμοῦ εἶναι ἐπώνυμον. Αἴγυπτος γὰρ τὸ παλαιὸν ὁ ποταμὸς ὅτι ἐκαλεῖτο ὄντινα νῦν Νεῖλον Αἰγύπτιοί τε καὶ οἱ ἔξω Αἰγύπτου ἄνθρωποι ὀνομάζουσιν, ἱκανὸς τεκμηριῶσαι Ὅμηρος, λέγων ἐπὶ τῇ ἐκβολῇ τοῦ Αἰγύπτου ποταμοῦ τὸν Μενέλεων στῆσαι τὰς νέας. (6) Εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις καὶ οὐ μεγάλοι οὗτοι ποταμοὶ ἱκανοὶ γῆν πολλὴν ποιῆσαι ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἴλὺν καταφέροιεν, καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς Ἰνδῶν ἄρα χώρας εἰς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλὴ

palustria loca diffusi evanescunt, quemadmodum Euphrates fluvius.

CAP. VI.

Cui igitur Asiæ situs ita se habet, ut Taurus et Caucasus eam ab Zephyro in Subsolanum scindant, ei duæ hæ maximæ totius Asiæ partes a Tauro fiunt, hæc quidem meridiem et Notum, altera septentrionem ac Boream spectans. (2) Porro Asiæ quæ ad Austrum vergit, quæ et ipsa in quatuor partes scinditur, maximam partem esse statuunt Indorum regionem Eratosthenes et Megasthenes, qui quidem quum apud Sibyrtium Arachosiorum satrapam degeret, frequenter se ad Sandracottum Indorum regem commeasse scribit: minimam vero, quam Euphrates dirimit, ad nostrum mare conversam: reliquas duas inter Euphratem et Indum positas, si conjungantur, vix dignas esse quæ Indorum regioni comparentur. (3) Terminari autem Indiam orientem et Subsolanum versus adusque meridiem, Oceano: a septentrione vero, Caucaso monte, ad Tauri usque confinia: ab occidente et Iapyge vento ad Oceanum usque, Indo amne distingui. Magnamque ejus partem planam et campestrem esse. Quæ quidem planities (ut suspicantur) ab ipsis fluminibus terram sua alluvione accumulantibus fit, (4) quemadmodum reliqua campestria loca non procul a mari sita planitiem suam plerumque fluminum alluvionibus debent, adeo ut regionum ipsarum appellationes fluminibus jam olim inditæ sint: quemadmodum Hermi campus dicitur, qui amnis in Asia oriens ex monte matris Dindymenes, ad Smyrnam urbem Æolicam in mare fluit. Item Caystri campus Lydius, et ipse a flumine, et Caici alius in Mysia, et Mæandri in Caria Miletum Ionicam urbem usque. (5) Ægyptum quoque Herodotus et Hecatæus historiarum scriptores, (nisi alterius cujuspiam quam Hecatæi sint illa de regione Ægypti scripta) fluminis donum eodem modo appellant. Neque inanibus argumentis Herodotus id ita esse demonstrat, adeo ut et regioni ipsi fortasse fluminis nomen inditum sit. Quod autem amnis hic olim Ægyptus vocatus sit, quem nunc Ægyptii pariter reliquæque extra Ægyptum gentes Nilum appellant, Homeri autoritas satis probaverit, qui Menelaum ad Ægypti fluminis fauces classem constituisse commemorat. (6) Si igitur singuli amnes, neque ii quidem magni, id præstant ut in mare prolabentes, quum multum luti atque limi secum ex superioribus locis ubi fontes eorum oriuntur trahant, multum terræ sua alluvione regioni addant: certe neque de Indorum regione mirandum est, quomodo factum sit, ut

ἐστι καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. (7) Ἕρμον μὲν γὰρ καὶ Κάϋστρον καὶ Κάϊκόν τε καὶ Μαίανδρον ἢ ὅσοι ἄλλοι ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν οὐδὲ σύμπαντας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ποταμῶν ἄξιον συμβαλεῖν πλήθους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε τὸ Νείλου ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν, (8) ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται, ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει καὶ πεντεκαίδεκα ποταμούς, πάντας τῶν Ἀσιανῶν μείζονας, παραλαβὼν καὶ τῇ ἐπωνυμίᾳ κρατήσας οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. Ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

magna ex parte campestris sit, et campos illos fluviorum alluvione aggestos habeat. (7) Hermum enim et Caystrum et Caicum ac Mæandrum reliquosque Asiæ fluvios qui in mare interius feruntur, ne si omnes quidem conjunxeris, digni sint qui uni Indorum flumini aquarum copia conferantur : nedum Gangi maximo, cui neque Nili Ægyptii fluenta, neque Ister per Europam fluens comparari possunt. (8) Sed ne Indum quidem ii omnes si simul misceantur, æquant, qui magnus statim ab ipsis fontibus erumpens, et xv majoribus quam est quod libet ex illis Asiaticis fluminibus in se receptis, nomen suum perpetuo retinens in mare contendit. Atque hæc quidem in præsentia de Indorum regione dixisse sufficiat. Reliqua in historiam Indicam rejiciantur.

ΚΕΦ. Ζ'.

Τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ ποταμοῦ ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρῳ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν· οὐδὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐζεύχθη ὁ πόρος, καθάπερ οὖν ὁ Ἑλλήσποντός τε πρὸς Ξέρξου καὶ ὁ Βόσπορός τε καὶ ὁ Ἴστρος πρὸς Δαρείου, ἢ γέφυρα κατὰ τοῦ ποταμοῦ διηνεκὴς ἐποιήθη αὐτῷ· δοκεῖ δὲ ἧσσον πλοίοις μᾶλλον ζευχθῆναι· οὐ γὰρ ἂν δέξασθαι γέφυραν τὸ βάθος τοῦ ὕδατος, οὐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον οὕτως ἄτοπον ξυντελεσθῆναι. (2) Εἰ δὲ δὴ πλοίοις ἐζεύχθη ὁ πόρος, πότερα ξυνδεθεῖσαι αἱ νῆες σχοίνοις καὶ κατὰ στοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, ὡς λέγει Ἡρόδοτος ὁ Ἁλικαρνασεὺς ζευχθῆναι τὸν Ἑλλήσποντον, ἢ ὅτῳ τρόπῳ Ῥωμαίοις ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ζεῦγμα ποιεῖται καὶ ἐπὶ τῷ Ῥήνῳ τῷ Κελτικῷ, καὶ τὸν Εὐφράτην καὶ τὸν Τίγρητα, ὁσάκις κατέλαβεν αὐτοὺς ἀνάγκη, ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν. (3) Καίτοι γε ταχυτάτη ὧν ἐγὼ οἶδα Ῥωμαίοις ἡ γεφύρωσις ἡ διὰ τῶν νεῶν γίγνεται, καὶ ταύτην ἐγὼ ἀφηγήσομαι ἐν τῷ παρόντι, ὅτι λόγου ἀξία. Αἱ νῆες αὐτοῖς κατὰ τοῦ ῥοῦ ἀφίενται ἀπὸ ξυνθήματος, οὐκ ἐπ' εὐθύ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. Ταύτας ὑποφέρει μέν, οἷα εἰκός, ὁ ῥοῦς, ἀνέχει δὲ κελήτιον ἐπῆρες, ἔστ' ἂν καταστήσῃ ἐς τὸ τεταγμένον χωρίον· καὶ ἐνταῦθα ἤδη καθίεται πλέγματα ἐκ λύγου πυραμοειδῆ πλήρη λίθων λογάδων ἀπὸ πρῴρας ἑκάστης νεώς, τοῦ ἀνέχειν τὴν ναῦν πρὸς τὸν ῥοῦν. (4) Ὅτε δὲ δὴ μία τις τῶν νεῶν ἅμα δὴ ἐσχέθη, καὶ ἄλλη, ἀπὸ ταύτης διέχουσα ὅσον ξύμμετρον πρὸς ἰσχὺν τῶν ἐπιβαλλομένων, ἀντίπρῳρος πρὸς τὸ ῥεῦμα ὁρμίζεται· καὶ ἀπ' ἀμφοῖν ξύλα τε ἐς εὐθὺ ὀξέως ἐπιβάλλεται καὶ σανίδες ἐγκάρσιαι ἐς τὸ ξυνδεῖν. Καὶ διὰ πασῶν οὕτω τῶν νεῶν, ὅσαι ἱκαναὶ γεφυρῶσαι τὸν πόρον, χωρεῖ τὸ ἔργον. (5) Ἑκατέρωθεν δὲ τοῦ ζεύγματος κλίμακες προβάλλονται καταπηγνύμεναι, τοῦ ἀσφα-

CAP. VII.

Quonam autem modo Alexander Indum amnem ponte junxerit, neque Aristobulus neque Ptolemæus, quos ego maxime secutus sum, scribunt. Neque ego certi aliquid affirmare ausim, an navigiis pons junctus fuerit, quemadmodum Hellespontus a Xerxe, et Bosporus ac Ister a Dario : an vero continuus pons flumini impositus fuerit. Mihi certe probabilius videtur navibus junctum fuisse. Neque enim pontem jaci pateretur amnis altitudo : neque adeo brevi temporis spatio tam ingens opus perfici potuisset. (2) At si omnino navigiis pons junctus fuit, an ea rudentibus colligata atque ita in ordinem ducta ponti jungendo sufficerint, ut Herodotus Halicarnassensis testatur Hellespontum ponte stratum fuisse, an vero ea ratione qua Romani Istrum aut Rhenum Celticum ponte jungunt, et per Euphratem ac Tigrim quoties necesse fuit pontem duxerunt, ne hoc quidem ipsum compertum habeo. (3) Porro celerrima expeditissimaque est Romanis, quod norim, struendorum pontium in navibus ratio : quam quidem ego, quod commemoratu digna est, hic recensebo. Naves iis demittuntur lapsu fluminis dato signo : non quidem recto et libero cursu, sed tanquam puppibus inhibitæ. Atque has quidem subducit, ut par est, cursus fluminis : remigiorum vero impulsus retinet, donec ad statum locum pervenerint. Atque ibi crates vimineas, in pyramidis formam plexas, selectis ad id saxis oppletas, a prora cujusque navis demittunt ut sistant eas contra fluminis cursum ; (4) simul autem una navium ita firmata fuerit, et alia juxta illam tanto spatio ab ea separata quantum ad firmitatem insternendorum requiri videtur, pariter prora obversa in fluminis cursum statuitur. Et in utrisque tigna statim in directum injiciuntur, tabulæque transversæ quibus tigna jungantur ac colligentur. Ita deinceps per ceteras naves opus procedit, quantæ ad jungendum ponte flumen sufficiant. (5) Ad utrumque vero pontis latus gradus in terram depacti adjiciuntur, quo tutior equis

λεστέραν τοῖς τε ἵπποις καὶ τοῖς ζεύγεσι τὴν ἔφοδον γίγνεσθαι, καὶ ἅμα ὡς σύνδεσμος εἶναι τοῦ ζεύγματος· δι' ὀλίγου τε ξυντελεῖται ἅπαν καὶ ξὺν πολλῷ θορύβῳ, καὶ τὸ τεταγμένον ἐν τῷ ὁρωμένῳ ὅμως οὐκ ἄπεστιν· οἵ τε παρακελευσμοὶ ὡς τύχοιεν κατὰ ναῦν ἑκάστην καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς οὔτε τὴν κατάκουσιν τῶν παραγγελμάτων οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται.

jumentisque sit ingressus, et simul ut veluti vinculum sint totius pontis. Brevi autem tempore totum opus perficitur et cum magno tumultu, nec tamen ordo et decorum abest. Adhortationes etiam per singulas naves, et objurgationes eorum qui segnius munus obeunt, nihil impediunt aut tollunt vel mandatorum auditionem vel operandi celeritatem.

ΚΕΦ. Η'.

Ῥωμαίοις μὲν δὴ οὕτω ταῦτα ἐκ παλαιοῦ ἐπήσκηται· Ἀλεξάνδρῳ δὲ ὅπως ἐζεύχθη ὁ Ἰνδὸς ποταμὸς οὐκ ἔχω εἰπεῖν, ὅτι μηδὲ οἱ συστρατεύσαντες αὐτῷ εἶπον. Ἀλλά μοι δοκεῖ ὡς ἐγγυτάτω τούτων ἐζεῦχθαι, ἢ εἰ δή τινι ἄλλῃ μηχανῇ, ἐκείνῃ ἐχέτω. (2) Ὡς δὲ διέβη πέραν τοῦ Ἰνδοῦ ποταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον Ἀλέξανδρος. Ἆρας δὲ ἀπὸ τοῦ Ἰνδοῦ ἐς Τάξιλα ἀφίκετο, πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου. Καὶ ἐδέχετο αὐτὸν Ταξίλης ὁ ὕπαρχος τῆς πόλεως καὶ αὐτοὶ οἱ τῇδε Ἰνδοὶ φιλίως· καὶ Ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς ὁμόρου ὅσης ἐδέοντο. (3) Ἦκον δὲ ἐνταῦθα παρ' αὐτὸν καὶ παρὰ Ἀβισάρου πρέσβεις τοῦ τῶν ὀρείων Ἰνδῶν βασιλέως ὅ τε ἀδελφὸς τοῦ Ἀβισάρου καὶ ἄλλοι ξὺν αὐτῷ οἱ δοκιμώτατοι, καὶ παρὰ Δοξάρεως νομάρχου ἄλλοι, δῶρα φέροντες. Καὶ ἐνταῦθα αὖ Ἀλέξανδρος ἐν Ταξίλοις θύει ὅσα οἱ νόμος, καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. Καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ Ἰνδῶν Φίλιππον τὸν Μαχάτα φρουράν τε ἀπολείπει ἐν Ταξίλοις καὶ τοὺς ἀπομάχους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν.

4. Ἐπ' ἐκεῖνα γὰρ τοῦ Ὑδάσπου Πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο ξὺν τῇ στρατιᾷ πάσῃ, ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτὸν ἢ περῶντι ἐπιτίθεσθαι. Ταῦτα ὡς ἔγνω Ἀλέξανδρος, Κοῖνον μὲν τὸν Πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν Ἰνδὸν ποταμόν, τὰ πλοῖα ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ Ἰνδοῦ ξυντεμόντα κελεύει φέρειν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. (5) Καὶ ξυνετμήθη τε τὰ πλοῖα καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα δίχῃ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν, καὶ τὰ τμήματα ἐπὶ ζευγῶν διεκομίσθη ἔστε ἐπὶ τὴν ὄχθην τοῦ Ὑδάσπου· κἀκεῖ ξυμπηχθὲν τὸ ναυτικὸν αὖθις δὴ ὁμοῦ ὥρθη ἐν τῷ Ὑδάσπῃ. Αὐτὸς δὲ ἀναλαβὼν ἦν τε δύναμιν ἔχων ἦκεν ἐς Τάξιλα καὶ πεντακισχιλίους τῶν Ἰνδῶν οὓς Ταξίλης τε καὶ οἱ ταύτῃ ὕπαρχοι ἦγον ἦει ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν.

CAP. VIII.

Atque hæc sunt, quæ Romanis jam olim usitata. Quonam vero pacto Indus amnis ponte junctus fuerit, mihi non constat. Neque enim qui cum Alexandro militarunt, ullam ejus mentionem fecerunt. Putarim tamen eos proxime ad hanc rationem accessisse. Si vero alia quapiam arte usi fuerint, illa valeat. (2) Transmisso itaque Indo Alexander rursum diis patrio more sacrum facit. Atque inde profectus, ad Taxila, urbem populosam atque opulentam pervenit. Est enim hæc omnium quæ inter Indum et Hydaspem sunt oppidorum maxima. Taxiles urbis præses, quique in ea urbe erant Indi amice eum exceperunt: Alexander iis tantum finitimæ regionis quantum petierunt adjecit. (3) Eo loci legati ad Alexandrum ab Abisaro montanorum Indorum rege cum ipsius Abisari fratre, aliis aliquot primoribus comitato, venerunt, nonnulli etiam a Doxareo præside, dona adferentes. Taxilis Alexander rursus sacrificia consueta peragit, ludos gymnicos et equestres facit. Et Philippo Machatæ filio præside illius regionis constituto, præsidioque Taxilis imposito, milites valetudinis causa bello inutiles ibi reliquit. Ipse Hydaspen amnem versus movit.

4. Porum enim ultra Hydaspen cum omni exercitu consedisse nuntiabatur, eo animo ut aut Alexandrum transitu amnis prohiberet, aut transgressum adoriretur. Quibus cognitis Alexander Cœnum Polemocratis F. retro ad Indum amnem mittit, utque navigiis quæ ad trajiciendum Indum præpararat dissectis, ad Hydaspen fluvium ea transferat jubet. (5) Navigia itaque dissecta allata sunt, brevioribus quidem in duas, quæ vero triginta remis instructa erant, in tres partes dissectis: segmenta curribus in ripam Hydaspis transvecta sunt. Ibique navigiis rursus compactis atque in amnem subductis, ipse assumptis copiis et quibuscum Taxila venerat quinque Indorum millibus, quos Taxiles ejusque regionis præsides ducebant, ad Hydaspen fluvium contendit.

ΚΕΦ. Θ.

Καὶ Ἀλέξανδρός τε κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου, καὶ Πῶρος κατὰ τὴν ἀντιπέραν ὄχθην ὤφθη ξὺν πάσῃ τῇ στρατιᾷ καὶ τῶν ἐλεφάντων τῷ στίφει. Ταύτῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν Ἀλέξανδρον αὐτὸς μένων ἐφύλαττε τὸν πόρον, ὅσα δὲ ἄλλα τοῦ ποταμοῦ εὐπορώτερα, ἐπὶ ταῦτα φρουρὰς διαπέμψας καὶ ἡγεμόνας ἐπιστήσας ἑκάστοις εἴργειν ἐπενόει ἀπὸ τοῦ πόρου τοὺς Μακεδόνας. (2) Ταῦτα δὲ ὁρῶντι Ἀλεξάνδρῳ κινητέα καὶ αὐτῷ ἐδόκει ἡ στρατιὰ πολλαχῇ, ὡς τὸν Πῶρον ἀμφίβολον γίγνεσθαι. Διελὼν δὲ ἐς πολλὰ τὸν στρατόν, τοὺς μὲν αὐτὸς ἄλλῃ καὶ ἄλλῃ ἦγε τῆς χώρας, τὰ μὲν πορθῶν ὅσα πολέμια, τὰ δὲ σκοπῶν ὅπῃ εὐπορώτερος αὐτῷ ὁ ποταμὸς φανεῖται, τοὺς δὲ τῶν ἡγεμόνων ἄλλοις καὶ ἄλλοις ἐπιτάξας καὶ αὐτοὺς πολλαχῇ διέπεμπε. (3) Σῖτος δὲ αὐτῷ πάντοθεν ἐκ τῆς ἐπὶ τάδε τοῦ Ὑδάσπου χώρας ἐς τὸ στρατόπεδον ξυνεκομίζετο, ὡς δῆλον εἶναι τῷ Πώρῳ ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν τῇ ὄχθῃ, ἔστε τὸ ὕδωρ τοῦ ποταμοῦ μεῖον γενόμενον τοῦ χειμῶνος πολλαχῇ παραδοῦναί οἱ τὸν πόρον· τά τε πλοῖα αὐτῷ ἄλλῃ καὶ ἄλλῃ παραπλέοντα καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι καὶ ἡ ὄχθη πλήρης πᾶσα φαινομένη τῇ μὲν ἱππέων, τῇ δὲ πεζῶν, οὐκ εἶα ἠρεμεῖν τὸν Πῶρον, οὐδὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον, ἐς τοῦτο ἐκ πάντων παρασκευάζεσθαι. (4) Ἄλλως τε ἐν μὲν τῷ τότε οἱ ποταμοὶ πάντες οἱ Ἰνδικοὶ πολλοῦ τε ὕδατος καὶ θολεροῦ ἔρρεον καὶ ὀξέος τοῦ ῥεύματος· ἦν γὰρ ὥρα ἔτους ἡ μετὰ τροπὰς μάλιστα ἐν θέρει τρέπεται ὁ ἥλιος· ταύτῃ δὲ τῇ ὥρᾳ ὕδατά τε ἐξ οὐρανοῦ ἀθρόα τε καταφέρεται ἐς τὴν γῆν τὴν Ἰνδικήν, καὶ αἱ χιόνες αἱ τοῦ Καυκάσου, ἔνθενπερ τῶν πολλῶν ποταμῶν αἱ πηγαί εἰσι, κατατηκόμεναι αὔξουσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα· χειμῶνος δὲ ἔμπαλιν ἴσχουσιν, ὀλίγοι τε γίγνονται καὶ καθαροὶ ἰδεῖν καὶ ἔστιν ὅπου περάσιμοι, πλήν γε δὴ τοῦ Ἰνδοῦ καὶ Γάγγου, καὶ τυχὸν καὶ ἄλλου του· ἀλλ' ὅ γ' Ὑδάσπης περατὸς γίγνεται.

ΚΕΦ. Ι'.

Ταύτην οὖν τὴν ὥραν τοῦ ἔτους προσμένειν ἐς τὸ φανερὸν ἔφασκεν, εἰ ἐν τῷ τότε εἴργοιτο· ὁ δὲ οὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν, εἴ πῃ λάθοι ὑφαρπάσας ὀξέως τὸν πόρον. Ἦ μὲν δὴ αὐτὸς Πῶρος κατεστρατοπεδεύκει πρὸς τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἔγνω ἀδύνατος ὢν περᾶσαι ὑπὸ πλήθους τε τῶν ἐλεφάντων καὶ ὅτι πολλὴ στρατιὰ καὶ αὕτη τεταγμένη τε καὶ ἀκριβῶς ὡπλισμένη ἐκβαίνουσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελλεν· (2) οἵ τε ἵπποι οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθελῆσαι οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλεφάντων καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ φοβούντων, οὐδ' ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ τῶν διφθερῶν κατὰ τὸν πόρον, ἀλλ' ἐκ-

CAP. IX.

Atque Alexander ad ejus ripam castra locavit, Porus in adversa ripa cum omni exercitu conspiciebatur, elephantis stipatus. Qui quidem qua parte Alexandrum castra posuisse videbat, ipsemet transitum tuebatur : ad reliquas vero fluminis partes qua facilius transiri posse videbatur, præsidia mittebat, ducesque singulis præficiebat, qui Macedones transitu fluminis prohiberent. (2) Hæc animadvertens Alexander sibi quoque exercitum in varias partes mittendum esse statuit, ut Pori consilia turbaret dubiaque redderet. Diviso itaque in multas partes exercitu, alios ipse alio atque alio duxit, partim quæcunque hostilia erant vastans, partim contemplans qua commodius transmitti flumen posset : alios vero aliis atque aliis ducibus attributos et ipsos in varias partes dimisit. (3) Multum præterea frumenti ex omni regione cis Hydaspen sita in castra convehebatur, ut Poro fides fieret Alexandrum ibi ad ripam hæsurum, donec aqua fluminis per hiemem subsidente facultas ei diversis partibus transeundi fieret. Navigia etiam in aliam atque aliam partem ducta, et pelles tentoriorum stramentis repletæ, totaque ripa equitatu pariter ac peditatu obsessa anxium atque solicitum Porum tenebant, neque, siquid consilii quod ad ripæ custodiam expediret cepisset, id omnino exsequi sinebant. (4) Accedebat huc quod eo tempore omnes Indiæ fluvii multam camque turbulentam aquam trahebant et rapido cursu ferebantur. Erat enim per id anni tempus solstitium æstivum. Quo quidem tempore creberrimi imbres e cælo in Indorum regionem ruunt, et Caucasi nivibus, quo in monte multi fluviorum fontes oriuntur, æstu solutis amnes summopere augentur. Hieme vero rursum decrescunt amnes et minores purioresque fiunt, ac nonnullis in partibus vado transiri possunt, excepto Indo et Gange, et fortassis alio aliquo. Hydaspes certe vado transiri potest.

CAP. X.

Hoc itaque anni tempus exspectaturum se Alexander vulgaverat, si tum temporis transitu prohiberetur. Nihilominus tamen insidias locabat, ea spe ut alicubi clam hostibus celeriter flumen transmitteret. Quumque ea quidem parte qua Porus castra posuerat ad ripam Hydaspis transiri posse diffideret, cum ob multitudinem elephantorum, tum quod ingens exercitus bene ad pugnam instructus optimeque armatus in suas copias flumen egredientes impetum facturus esset : (2) præterea existimabat se equos difficulter in ulteriorem ripam perducturum elephantis occurrentibus, qui ipso aspectu et clamore equis terrorem incussuri essent; sed neque etiam antequam in ulteriorem ripam venirent, in ipso trajectu mansuros in pellibus, verum

πηδᾶν γὰρ ἐς τὸ ὕδωρ ἀφορῶντες πέραν τοὺς ἐλέφαντας καὶ ἔκφρονες γιγνόμενοι. Κλέψαι οὖν ἐπενόει τὴν διάβασιν ὡδὲ πράττων. (3) Νύκτωρ παραγαγὼν ἄλλη καὶ ἄλλῃ τῆς ὄχθης τοὺς πολλοὺς τῶν ἱππέων βοήν τε ἐποίει καὶ ἠλαλάζετο τῷ Ἐνυαλίῳ, καὶ τἆλλα ὅσα ἐπὶ διαβάσει συσκευαζομένων θόρυβος παντοδαπὸς ἐγίγνετο. Καὶ ὁ Πῶρός τε ἀντιπαρῄει πρὸς τὴν βοὴν ἐπάγων τοὺς ἐλέφαντας καὶ Ἀλέξανδρος ἐς ἔθος αὐτὸν τῆς ἀντιπαραγωγῆς καθίστη. (4) Ὡς δὲ ἐπὶ πολὺ τοῦτο ἐγίγνετο καὶ βοὴ μόνον καὶ ἀλαλαγμὸς ἦν, οὐκέτι ὁ Πῶρος μετεκινεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων, ἀλλ' ἐκείνων γὰρ γνοὺς τὸν φόβον κατὰ χώραν ἐπὶ στρατοπέδου ἔμενε· σκοποὶ δὲ αὐτῷ πολλαχοῦ τῆς ὄχθης καθειστήκεσαν. Ἀλέξανδρος δὲ ὡς ἐξείργαστο αὐτῷ ἄφοβον τὸ τοῦ Πώρου εἰς τὰς νυκτερινὰς ἐπιχειρήσεις μηχανᾶταί τι τοιόνδε.

ΚΕΦ. ΙΑ'.

Ἄκρα ἦν ἀνέχουσα τῆς ὄχθης τοῦ Ὑδάσπου, ἵνα ἐπέκαμπτεν ὁ ποταμὸς λόγου ἀξίως, αὐτή τε δασεῖα εἶδει παντοίῳ δένδρων καὶ κατ' αὐτὴν νῆσος ἐν τῷ ποταμῷ ὑλώδης τε καὶ ἀστιβὴς ὑπ' ἐρημίας. Ταύτην καταμαθὼν τὴν νῆσον καταντικρὺ τῆς ἄκρας, ἀμφότερα ὑλώδη τὰ χωρία καὶ οἷα κρύψαι τῆς διαβάσεως τὴν ἐπιχείρησιν, ταύτῃ ἔγνω διαβιβάζειν τὸν στρατόν. (2) Ἀπεῖχε δὲ ἥ τε ἄκρα καὶ ἡ νῆσος τοῦ μεγάλου στρατοπέδου ἐς πεντήκοντα καὶ ἑκατὸν σταδίους. Παρὰ πᾶσαν δὲ τὴν ὄχθην φυλακαί τε αὐτῷ καθεστηκυῖαι ἦσαν, διαλείπουσαι ὅσον ξύμμετρον ἐς τὸ ξυνορᾶν τε ἀλλήλους καὶ κατακούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο, καὶ πανταχόθεν βοαί τε νύκτωρ ἐπὶ πολλὰς νύκτας ἐγίγνοντο καὶ πυρὰ ἐκαίετο.

3. Ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ πόρῳ, κατὰ μὲν τὸ στρατόπεδον φανερῶς αὐτῷ τὰ τῆς διαβάσεως παρεσκευάζετο· καὶ Κρατέρος ὑπολέλειπτο ἐπὶ στρατοπέδου τήν τε αὑτοῦ ἔχων ἱππαρχίαν καὶ τοὺς ἐξ Ἀραχώτων καὶ Παραπαμισαδῶν ἱππέας καὶ τῆς φάλαγγος τῶν Μακεδόνων τήν τε Ἀλκέτου καὶ τὴν Πολυσπέρχοντος τάξιν καὶ τοὺς νομάρχας τῶν ἐπὶ τάδε Ἰνδῶν καὶ τοὺς ἅμα τούτοις τοὺς πεντακισχιλίους. (4) Παρηγγέλλετο δὲ Κρατέρῳ μὴ πρὶν διαβαίνειν τὸν πόρον πρὶν ἀπαλλαγῆναι Πῶρον ξὺν τῇ δυνάμει ὡς ἐπὶ σφᾶς ἢ φεύγοντα μαθεῖν, αὐτοὺς δὲ νικῶντας· ἦν δὲ μέρος μέν τι τῆς στρατιᾶς ἀναλαβὼν Πῶρος ἐπ' ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ αὐτῷ ἐπὶ στρατοπέδου καὶ ἐλέφαντες, σὺ δὲ δὴ καὶ ὡς μένειν κατὰ χώραν· εἰ δὲ τοὺς ἐλέφαντας ξύμπαντας ἅμα οἵ ἄγει Πῶρος ἐπ' ἐμέ, τῆς δὲ ἄλλης στρατιᾶς ὑπολείποιτό τι ἐπὶ στρατοπέδου, σὺ δὲ διαβαίνειν σπουδῇ· οἱ γὰρ ἐλέφαντες μόνοι, ἔφη, ἄποροί εἰσι πρὸς τοὺς ἐκβαίνοντας ἵππους· ἡ δὲ ἄλλη στρατιὰ εὔπορος.

statim atque elephantos in adversa ripa positos conspexissent, attonitos in aquam desaltaturos esse suspicabatur. Furtivo itaque transitu utendum sibi esse ratus, ita rem instituit. (3) Noctu equitibus plerisque ad diversas ripæ partes adductis, clamorem et classico cani jubebat ceterumque, qui in transitu parando fieri solet, varium excitabat tumultum. Porus contra ad eam partem qua clamor edebatur elephantos adducebat, eumque Alexander in consuetudinem copias ita contra educendi paullatim conferebat. (4) Quumque multo tempore hoc fieret, neque aliud præter clamores ederetur, Porus ad equitum incursiones moveri destitit, sed vanum illorum terrorem esse intelligens eo loci ubi castra fixerat mansit, speculatoribus per varia ripæ loca dispositis. Alexander ut jam Poro metum nocturnarum excursionum exemerat, hujuscemodi quid molitur.

CAP. XI.

Rupes erat ad ripam Hydaspis sita, ea parte qua amnis sese magnopere flectit, arboribus varii generis perfrequens. E regione rupis insula in medio amne erat sylvosa atque ob solitudinem inaccessa, quam quum animadvertisset ex adverso rupis, et utraque loca silvestria, quæque Macedonas transitum tentantes occulere possent; hac parte exercitum transmittere statuit. (2) Distabat ea rupes atque insula a magnis castris CL stadiis. Porro per omnem ripam custodiæ dispositæ erant, tanto inter se spatio distinctæ, ut alii alios cernere facileque mandata excipere possent. Clamores etiam noctu variis ex locis, idque multis noctibus edi ignesque excitari jubet.

3. Ubi vero amnem transiri statuit, in castris aperte ad trajiciendum apparatus fiebat. Craterus apud castra relinquebatur, cui ad suam equitum præfecturam Arachoti etiam et Parapamisadæ equites adjungebantur, præterea Macedonum phalanx, et Alcetæ ac Polysperchontis agmen, et citerioris Indiæ præsides et cum illis quinque Indorum millia. (4) Imperatum autem erat Cratero, ne prius amnem transiret quam Porus cum exercitu e castris suis egressus contra Alexandri copias ferretur, aut intellexisset eum in fugam versum, se autem victores esse. Si vero Porus parte exercitus sumpta in me contendat, partemque aliam cum elephantis apud castra relinquat: tu quidem etiam sic tuo loco te contine. At si omnes elephantos adversus me ducat, reliquo exercitu apud castra relicto, tu celeriter amnem transmitte; soli enim, inquit, elephanti equis difficilem transitum efficiunt, reliquus autem exercitus facile transmittitur.

ΚΕΦ. ΙΒ'.

Ταῦτα μὲν Κρατέρῳ ἐνετέλλετο. Ἐν μέσῳ δὲ τῆς νήσου τε καὶ τοῦ μεγάλου στρατοπέδου, ἵνα αὐτῷ Κράτερος ὑπολέλειπτο, Μελέαγρός τε καὶ Ἄτταλος καὶ Γοργίας ξὺν τοῖς μισθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐτέτάχατο· καὶ τούτοις διαβαίνειν παρηγγέλλετο κατὰ μέρος, διελόντας τὸν στρατόν, ὁπότε ξυνεχομένους ἤδη ἐν τῇ μάχῃ τοὺς Ἰνδοὺς ἴδοιεν.

2. Αὐτὸς δὲ ἐπιλεξάμενος τῶν τε ἑταίρων τὸ ἄγημα καὶ τὴν Ἡφαιστίωνος ἱππαρχίαν καὶ τὴν Περδίκκου τε καὶ Δημητρίου καὶ τοὺς ἐκ Βάκτρων καὶ Σογδιανῶν καὶ τοὺς Σκύθας ἱππέας καὶ Δάας τοὺς ἱπποτοξότας καὶ τῆς φάλαγγος τούς τε ὑπασπιστὰς καὶ τὴν Κλείτου τε καὶ Κοίνου τάξιν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, ἦγεν ἀφανῶς, πολύ τι ἀπέχων τῆς ὄχθης, τοῦ μὴ καταφανὴς εἶναι ἄγων ἐπὶ τὴν νῆσον καὶ τὴν ἄκραν ἔνθεν διαβαίνειν αὐτῷ ἦν ἐγνωσμένον. (3) Καὶ ἐνταῦθα ἐπληροῦντο τῆς νυκτὸς αἱ διφθέραι τῆς κάρφης, ἐκ πολλοῦ ἤδη παρενηνεγμέναι, καὶ κατερράπτοντο ἐς ἀκρίβειαν· ὕδωρ τε ἐξ οὐρανοῦ τῆς νυκτὸς λάβρον ἐπιγίνεται. Ταύτῃ καὶ μᾶλλόν τι ἡ παρασκευή τε αὐτῷ καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν οὐ φανερὰ κατέστη τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων καὶ τῷ θορύβῳ τῷ ἀπὸ τῶν παραγγελμάτων τῶν τε βροντῶν καὶ τοῦ ὄμβρου ἀντιπαταγούντων. (4) Καὶ τῶν πλοίων δὲ τὰ πολλὰ αὐτῷ ξυντετμημένα παρεκεκόμιστο ἐς τὸν χῶρον τοῦτον καὶ ἀφανῶς αὖθις ξυμπεπηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο, τά τε ἄλλα καὶ αἱ τριακόντοροι. Ὑπὸ δὲ τὴν ἕω ὅτε ἄνεμος καὶ ὁ ὄμβρος κεκοίμητο. Καὶ ἡ μὲν ἄλλη στρατιὰ αὐτῷ ἡ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα καὶ ὅσους τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο ἐπέρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθεῖεν πρὸς τῶν σκοπῶν τῶν ἐκ Πώρου καθεστηκότων πρὶν παραλλάξαντας τὴν νῆσον ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης.

ΚΕΦ. ΙΓ'.

Αὐτὸς δὲ ἐπιβὰς τριακοντόρου ἐπέρα καὶ ἅμα αὐτῷ Πτολεμαῖός τε καὶ Περδίκκας καὶ Λυσίμαχος οἱ σωματοφύλακες καὶ Σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ὑπασπιστῶν οἱ ἡμίσεες· τοὺς δὲ ἄλλους ὑπασπιστὰς ἄλλαι τριακόντοροι ἔφερον. Ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιά, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ· καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμὴν ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον ἤλαυνον ὡς ἐπὶ τὸν Πῶρον. (2) Ἐν τούτῳ δὲ Ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν ξυνέταττε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων· οἱ γὰρ ἱππεῖς πρῶτοι ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους ἄγων προῆει ἐν τάξει. Ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον ἐκβὰς ἀγνοίᾳ τῶν τόπων, ἀλλὰ ἐς νῆσον γὰρ καὶ αὐτὴν μὲν μεγάλην, ἧ δὴ καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν, οὐ πολλῷ δὲ ὕδατι

CAP. XII.

Atque hæc quidem Cratero mandata sunt. Medio autem loco inter insulam et magna castra, apud quæ Craterum reliquerat, Meleagrum atque Attalum et Gorgiam cum mercenariis equitibus ac peditibus statuit: mandatis additis, ut diviso in partes exercitu, quum Indos pugnæ implicitos cernerent, etiam ipsi trajicerent.

2. Ipse delecto amicorum agemate et equitatu Hephæstionis, Perdiccæ et Demetrii, Bactrianis etiam et Sogdianis et Scythis equitibus et Daarum equestribus sagittariis, ex phalange vero sumptis scutatis, Clitique ac Cœni copiis et sagittariis atque Agrianis, remotius nonnihil a ripa, ne ab hostibus cerneretur ad rupem atque insulam, qua trajicere statuerat, sese conferens, exercitum duxit. (3) Tum per noctem pelles jam multo ante eo allatæ stramentis implentur, accurateque consuuntur. Largus etiam imber ea nocte e cælo fusus effecit, ut apparatus qui ad trajiciendum fiebat eo minus sentiretur, quum et tonitruorum et imbrium sonus strepitum armorum et clamores imperantium ducum interciperet. (4) Pleraque etiam navigia dissecta ad eum locum advecta et clam compacta in sylva occultabantur, tum reliqua tum naves triginta remorum. Sub lucem itaque vento pariter atque imbre sedato, equitatus ac peditatus, quantum aut pelles aut navigia ferre poterant, juxta insulam trajiciebat ita ut non prius a speculatoribus quos Porus ad ripam statuerat conspecti sint, quam prætorita insula jam non procul ab ripa abessent.

CAP. XIII.

Ipse conscensa nave xxx remorum trajiciebat, unaque cum eo Ptolemæus et Perdiccas ac Lysimachus corporis custodes, ex amicis etiam Seleucus cui postea regnare contigit, et scutatorum dimidia pars; reliquos scutatos aliæ naves triginta remorum vehebant. Simulac vero exercitus insulam prætergressus est conspiciente jam hoste in ripam contendebat. Speculatores itaque cognito Macedonum adventu, quanta maxima celeritate potuerunt equis ad Porum contendunt. (2) Interea Alexander qui primus in terram exscenderat, eos qui aliis navibus xxx remorum trajiciebant assumpsit, et subinde escendentes equites in ordinem redigebat. Equites enim primi omnium escendere jussi erant. Hos ducens acie instructa processit. Ceterum ignoratione locorum in locum parum firmum descendit. In aliam enim insulam eamque amplam incidit, unde eo minus insula esse

πρὸς τοῦ ποταμοῦ ἀποτεμνομένην ἀπὸ τῆς ἄλλης γῆς. (3) Καὶ ἅμα ηὐξήκει τὸ ὕδωρ ὁ ὄμβρος λάβρος τε καὶ ἐπὶ πολὺ τῆς νυκτὸς κατασχών, ὥστε οὐκ ἐξεύρισκον αὐτῷ οἱ ἱππεῖς τὸν πόρον, καὶ δέος ἦν αὖθις ἄλλου δεῆσαι αὐτῷ ἐπὶ τῇ διαβάσει ἴσου τῷ πρώτῳ πόνου. Ὡς δὲ ἐξευρέθη ποτὲ ὁ πόρος, ἦγε κατ' αὐτὸν χαλεπῶς· ἦν γὰρ τῶν μὲν πεζῶν ὑπὲρ τοὺς μαστοὺς τὸ ὕδωρ ἵναπερ τὸ βαθύτατον αὐτοῦ· τῶν δὲ ἵππων ὅσον τὰς κεφαλὰς ὑπερίσχειν τοῦ ποταμοῦ. (4) Ὡς δὲ καὶ τοῦτο ἐπερᾶτο αὐτῷ τὸ ὕδωρ, ἐπὶ μὲν τὸ δεξιὸν κέρας παρήγαγε τό τε ἄγημα τῶν ἱππέων καὶ τῶν ἄλλων ἱππαρχιῶν τοὺς κρατίστους ἐπιλεξάμενος· τοὺς δὲ ἱπποτοξότας τῆς πάσης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους μὲν τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς, ὧν ἡγεῖτο Σέλευκος, ἐπέταξε τῇ ἵππῳ· ἐπὶ δὲ τούτοις τὸ ἄγημα τὸ βασιλικόν· ἐχομένους δὲ τούτων τοὺς ἄλλους ὑπασπιστάς, ὡς ἑκάστοις αἱ ἡγεμονίαι ἐν τῷ τότε ξυνέβαινον· κατὰ δὲ τὰ ἄκρα τῆς φάλαγγος οἱ τοξόται αὐτῷ καὶ οἱ Ἀγριᾶνες καὶ οἱ ἀκοντισταὶ ἑκατέρωθεν ἐπέστησαν.

videbatur, quam aqua exiguo spatio a terra sejungebat. (3) Accedebat huc quod imber largus et in multam noctem durans aquam auxerat, ita ut equites vadum reperire non possent, metuerentque ne hic trajectus tantum ipsis negotii quantum prior facesseret. Tandem reperto vado, ægre per eum transitum est. Aqua enim ubi altissima erat peditum pectora, equorum cervices æquabat. (4) Postquam vero hæc quoque aqua trajecta erat, agema equitum et reliquarum turmarum optimos quosque selectos, ad dextrum cornu traduxit, sagittarios vero equites universo equitatui præposuit. Peditum autem primos scutatos regios, quos ducebat Seleucus, equitatui adjunxit; proxime his agema regium; exinde reliquos scutatos, prout singulis præfecturæ contigerant. Ab utroque phalangis latere sagittarios atque Agrianos et jaculatores constituit.

ΚΕΦ. ΙΔ'.

Οὕτως ἐκτάξας τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι ἐκέλευσεν, οὐ πολὺ ἀποδέοντας τῶν ἑξακισχιλίων· αὐτὸς δέ, ὅτι κρατεῖν ἐδόκει τῇ ἵππῳ, τοὺς ἱππέας μόνους ἀναλαβὼν σπουδῇ ἡγεῖτο, ὄντας ἐς πεντακισχιλίους. Ταύρωνι δὲ τῷ τοξάρχῃ προσέταξε τοὺς τοξότας ἐπάγειν τῇ ἵππῳ καὶ αὐτοὺς σπουδῇ. (2) Γνώμην δὲ πεποίητο, ὡς εἰ μὲν προσμίξειαν αὐτῷ οἱ ἀμφὶ τὸν Πῶρον ξὺν τῇ δυνάμει ἁπάσῃ, ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς τῇ ἵππῳ προσβαλὼν ἢ ἀπομαχεῖσθαί γε ἔστε τοὺς πεζοὺς ἐν τῷ ἔργῳ ἐπιγενέσθαι· εἰ δὲ πρὸς τὴν τόλμαν τῆς διαβάσεως ἄτοπον γενομένην οἱ Ἰνδοὶ ἐκπλαγέντες φεύγοιεν, οὐ πόρρωθεν ἕξεσθαι αὐτῶν κατὰ τὴν φυγήν, ὡς πλείονα ἐν τῇ ἀποχωρήσει τὸν φόνον γενόμενον ὀλίγον ἔτι ὑπολείπεσθαι αὐτῷ τὸ ἔργον.

3. Ἀριστόβουλος δὲ τὸν Πώρου παῖδα λέγει φθάσαι ἀφικόμενον σὺν ἅρμασιν ὡς ἑξήκοντα πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου τῆς μακρᾶς περᾶσαι Ἀλέξανδρον· καὶ τοῦτον δυνηθῆναι ἂν εἴρξαι Ἀλέξανδρον τῆς διαβάσεως, χαλεπῶς καὶ μηδενὸς εἴργοντος περαιωθέντα, εἴπερ οὖν καταπηδήσαντες οἱ Ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέκειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων· ἀλλὰ παραλλάξαι γὰρ ξὺν τοῖς ἅρμασι καὶ ἀκίνδυνον ποιῆσαι Ἀλεξάνδρῳ τὴν διάβασιν· καὶ ἐπὶ τούτους ἀφεῖναι Ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς, πληγὰς λαμβάνοντας. (4) Οἱ δὲ καὶ μάχην λέγουσιν ἐν τῇ ἐκβάσει γενέσθαι τῶν Ἰνδῶν τῶν ξὺν τῷ παιδὶ τῷ Πώρου ἀφιγμένων πρὸς Ἀλέξανδρόν τε καὶ τοὺς ξὺν αὐτῷ ἱππέας. Καὶ γὰρ καὶ ἀφικέσθαι ξὺν μείζονι δυνάμει τὸν Πώρου παῖδα, καὶ αὐτόν τε Ἀλέξανδρον τρωθῆναι πρὸς αὐτοῦ καὶ τὸν ἵππον αὐτοῦ ἀποθανεῖν τὸν Βουκεφάλαν, φίλτατον Ἀλεξάνδρῳ ὄντα τὸν ἵππον, καὶ τοῦτον τρω-

CAP. XIV.

Acie ita instructa, peditatum sex circiter millium ordine et sensim sequi jubet. Ipse quum equitatu superior futurus videretur, equitibus, quinquies fere mille, assumtis celeriter contendit, Taurone sagittariorum præfecto sagittarios ad equitatum festinanter adducere jusso. (2) Ita vero secum statuebat, si Porus cum universo exercitu eum adoriretur, se vel facile cum equitatu irruentem superiorem fore, vel certe tantisper dum peditatus accederet hostilem impetum moraturum; sin vero Indi improviso transitu perculsi sese in fugam verterent, non procul ab ipsis in fuga abfuturum, et quo major inter fugiendum cædes edita esset, tanto minus negotii sibi reliquum futurum.

3. Aristobulus autem auctor est Pori filium cum XL curribus venisse, priusquam ultimum ex longa illa insula Alexander exercitum transmisisset. Atque hunc quidem Alexandrum transitu prohibere potuisse, quippe qui difficulter etiam nemine obsistente transisset, si modo Indi e curribus desilientes in primos quosque transeuntes impetum fecissent. Cæterum illum cum curribus prætergressum, tutum Alexandro transitum reliquisse. In quos quum Alexander equestres sagittarios immisisset, in fugam non incruentam vertisse. (4) Alii Indos qui Pori filium secuti erant cum Alexandro ejusque equitatu flumen egrediente conflixisse tradunt. Majoribus enim copiis Pori filium instructum venisse, ipsumque Alexandrum ab eo vulnus accepisse, Bucephalum vero equum, qui carissimus Alexandro erat, a Pori filio vulneratum interiisse. (5) Sed Ptolemæus Lagi filius,

θέντα ὑπὸ τοῦ παιδὸς τοῦ Πώρου. (5) Ἀλλὰ Πτολεμαῖος ὁ Λάγου, ὅτῳ καὶ ἐγὼ ξυμφέρομαι, ἄλλως λέγει. Ἐκπεμφθῆναι μὲν γὰρ τὸν παῖδα ὑπὸ τοῦ Πώρου λέγει καὶ οὗτος, ἀλλ' οὐχ ἑξήκοντα μόνα ἅρματα ἄγοντα. Οὐδὲ γὰρ εἰκὸς Πῶρον ἀκούσαντα ἐκ τῶν σκοπῶν ὅτι δὴ ἢ αὐτὸς Ἀλέξανδρος διαβέβηκε τοῦ Ὑδάσπου τὸν πόρον ἢ μέρος γέ τι τῆς στρατιᾶς, ξὺν ἑξήκοντα ἅρμασι μόνοις ἐκπέμψαι τὸν αὑτοῦ παῖδα· (6) ἃ δὴ ὡς μὲν ἐπὶ κατασκοπὴν ἐκπεμπόμενα πολλά τε καὶ οὐκ εὔζωνα ἐς τὴν ἀποχώρησιν ἦν, ὡς δὲ εἰς τὸ εἴρξαί τε τοὺς οὔπω πεπερακότας τῶν πολεμίων καὶ τοῖς ἤδη ἐκβεβηκόσιν ἐπιθέσθαι, οὐδαμῇ ἀξιόμαχα. Ἀλλὰ δισχιλίους γὰρ λέγει ἱππέας ἄγοντα ἀφικέσθαι τὸν Πώρου παῖδα, ἅρματα δὲ ἑκατὸν καὶ εἴκοσι· φθάσαι δὲ περάσαντα Ἀλέξανδρον καὶ τὸν ἐκ τῆς νήσου τὸν τελευταῖον πόρον.

cui ego assentior, aliter sentit. Hic quoque filium a Poro missum fuisse scribit, non autem LX solum currus ducentem. Neque enim verisimile est Porum quum jam per speculatores certior factus esset, aut ipsum Alexandrum, aut certe partem exercitus Hydaspen transiisse, filium suum cum LX tantum curribus emisisse. (6) Qui quidem si ad speculandum missi forent, nimis multi, neque ad receptum expediti fuissent : si ad arcendum hostes nondum transgressi et cum transgressis confligendum, nequaquam pares fuissent. Sed duo millia equitum secum duxisse Pori filium scribit, currus vero CXX ; at priusquam eo pervenisset, Alexandrum etiam ultimum ex insula vadum transisse.

ΚΕΦ. ΙΕ'.

Καὶ ἐπὶ τούτους τὰ μὲν πρῶτα ἐκπέμψαι Ἀλέξανδρον καὶ οὗτος λέγει τοὺς ἱπποτοξότας, αὐτὸν δὲ ἄγειν τοὺς ἱππέας· προσάγειν γὰρ οἰηθῆναι Πῶρον ξὺν τῇ πάσῃ δυνάμει· τὴν δὲ ἵππον ταύτην προτεταγμένην αὐτῷ προπορεύεσθαι πρὸ τοῦ ἄλλου στρατοῦ. (2) Ὡς δὲ κατέμαθεν ἀτρεκῶς τὸ πλῆθος τὸ τῶν Ἰνδῶν, ἐνταῦθα δὴ ὀξέως ἐπιπεσεῖν αὐτοῖς ξὺν τῇ ἁμᾳ' αὐτὸν ἵππῳ· τοὺς δὲ ἐγκλῖναι, ὡς Ἀλέξανδρόν τε αὐτὸν κατεῖδον· καὶ τὸ στῖφος ἁμᾳ' αὐτὸν τῶν ἱππέων, οὐκ ἐπὶ μετώπου, ἀλλὰ κατ' ἴλας ἐμβεβληκός. Καὶ τούτων ἱππέας μὲν πεσεῖν ἐς τετρακοσίους, πεσεῖν δὲ καὶ τοῦ Πώρου τὸν παῖδα· τὰ δὲ ἅρματα αὐτοῖς ἵπποις ἁλῶναι ἔν τε τῇ ἀποχωρήσει βαρέα γενόμενα καὶ ἐν αὐτῷ τῷ ἔργῳ ὑπὸ πηλοῦ ἀχρεῖα.

3. Πῶρος δέ, ὡς αὐτῷ ὅσοι ἱππεῖς ἐκ τῆς φυγῆς διεσώζοντο, Ἀλέξανδρόν τε αὐτὸν πεπερακότα ξὺν τῇ στρατιᾷ ἐς τὸ καρτερώτατον καὶ τὸν παῖδα ἐν τῇ μάχῃ τετελευτηκότα ἤγγειλαν, ἐγίγνετο μὲν καὶ ὡς ἀμφίβολος τῇ γνώμῃ, ὅτι καὶ οἱ ἀπὸ τοῦ καταντικρὺ τοῦ μεγάλου στρατοπέδου οἱ ξὺν Κρατέρῳ ὑπολελειμμένοι ἐπιχειροῦντες τῇ διαβάσει ἐφαίνοντο· (4) εἵλετο δ' οὖν ἐπ' αὐτὸν Ἀλέξανδρον ἐλάσας ξὺν τῇ στρατιᾷ πάσῃ πρὸς τὸ καρτερώτατόν τε τῶν Μακεδόνων καὶ αὐτὸν τὸν βασιλέα διαγωνίσασθαι. Ἀλλὰ καὶ ὡς ὀλίγους τῶν ἐλεφάντων σὺν οὐ πολλῇ στρατιᾷ αὐτοῦ ἐπὶ τοῦ στρατοπέδου ἀπέλιπεν, ὡς φοβεῖν ἀπὸ τῆς ὄχθης τοὺς ξὺν Κρατέρῳ ἱππέας. Αὐτὸς δὲ τήν τε ἵππον ἀναλαβὼν πᾶσαν, ἐς τετρακισχιλίους ἱππέας, καὶ τὰ ἅρματα πάντα, τριακόσια ὄντα, καὶ τῶν ἐλεφάντων διακοσίους καὶ τῶν πεζῶν ὅ τιπερ ὄφελος, ἐς τρισμυρίους, ἤλαυνεν ὡς ἐπ' Ἀλέξανδρον. (5) Ὡς δ' ἐνέτυχε χωρίῳ ἵνα οὐ πηλὸς αὐτῷ ἐφαίνετο, ἀλλ' ὑπὸ ψάμμου γὰρ ξύμπαν ἦν ἄπεδον καὶ στερεὸν ἐς τάς ἐφόδους τε καὶ ἀναστροφὰς τῶν ἵππων, ἐνταῦθα ἔτασσε τὴν στρατιάν, πρώτους μὲν τοὺς

CAP. XV.

Idem Ptolemæus narrat Alexandrum primo sagittarios equestres in illos emisisse : ipsum vero equites duxisse, existimantem Porum cum omnibus copiis adventare. Equitatum vero primo loco positum reliquum exercitum præcessisse. (2) Postquam autem ex speculatoribus numerum hostium Indorum certo cognovit, tum acriter cum equitatu quem penes se habebat in eum invectum fuisse : illos in fugam versos, simulac Alexandrum ipsum equitumque qui ei aderant agmen non exporrecta acie sed turmatim in sese ferri vidissent. Ex his equites quidem CCCC cæsos esse, atque in iis etiam Pori filium, currusque una cum equis captos, quod et tardiores in fuga essent, et limus cursum impediret.

3. Porus vero, simulac qui fuga evaserant equites nuntiarunt, Alexandrum cum suo exercitu maximis viribus trajecisse, filiumque in pugna cæsum, ancipitis consilii hic quoque factus est, propterea quod milites qui e regione apud magna castra cum Cratero relicti erant transitum item tentare videbantur. (4) Tandem statuit Alexandro cum universo exercitu occurrere, et adversus firmissimam exercitus Macedonici partem regemque ipsum pugnam inire. Quod tamen ita fecit, ut elephantos nonnisi paucos et aliquam exercitus partem apud castra relinqueret, qui Crateri equitibus ex ripa terrori essent. Ipse assumpto universo equitatu, qui quatuor millium erat, omnesque curribus CCC, et elephantis CC, peditum vero qui usui esse possent XXX millibus, adversus Alexandrum contendit. (5) Quumque ad campum minime lutosum, sed arena planum firmumque et ducendo circumagendoque equitatui idoneum, venisset, exercitum hoc pacto instruit. Elephantos pri-

ἐλέφαντας ἐπὶ μετώπου, διέχοντα ἐλέφαντα ἐλέφαντος οὐ μεῖον πλέθρου, ὡς πρὸ πάσης τε τῆς φάλαγγος τῶν πεζῶν παραταθῆναι αὐτῷ τοὺς ἐλέφαντας ἐπὶ μετώπου καὶ φόβον πάντη παρέχειν τοῖς ἀμφ' Ἀλέξανδρον ἱππεῦσιν. (6) Ἄλλως τε οὐδὲ ἠξίου ἐς τὰ διαλείποντα τῶν ἐλεφάντων τολμῆσαι ἄν τινα ὥσασθαι τῶν πολεμίων, οὔτε ξὺν ἵπποις διὰ τὸν φόβον τῶν ἵππων, πεζούς τε ἔτι μεῖον· κατὰ στόμα τε γὰρ ἂν πρὸς τῶν ὁπλιτῶν προσβαλλόντων εἴργεσθαι καὶ καταπατηθήσεσθαι ἐπιστρεψάντων ἐπ' αὐτοὺς τῶν ἐλεφάντων. (7) Ἐπὶ τούτοις δὲ οἱ πεζοὶ αὐτῷ ἐτετάχατο, οὐκ ἴσον τὸ μέτωπον τοῖς θηρίοις ἐπέχοντες, ἀλλ' ἐν δευτέρῳ μετώπῳ μετὰ τοὺς ἐλέφαντας, ὅσον ἐς τὰ διαλείποντα ἐπ' ὀλίγον ἐμβεβλῆσθαι τοὺς λόχους. Ἦσαν δὲ αὐτῷ καὶ κατὰ τὰ κέρατα ἔτι ὑπὲρ τοὺς ἐλέφαντας πεζοὶ ἐφεστηκότες· ἑκατέρωθεν δὲ τῶν πεζῶν ἡ ἵππος αὐτῷ ἐτέτακτο καὶ πρὸ ταύτης τὰ ἅρματα ἑκατέρωθεν.

ΚΕΦ. ΙϚ'.

Αὕτη μὲν ἡ Πώρου τάξις ἦν. Ἀλέξανδρος δὲ ὡς ἤδη καθεώρα τοὺς Ἰνδοὺς ἐκτασσομένους, ἐπέστησε τοὺς ἱππέας τοῦ πρόσω, ὡς ἀναλαμβάνειν τῶν πεζῶν τοὺς ἀεὶ προσάγοντας. Ὡς δὲ καὶ ἡ φάλαγξ αὐτῷ ὁρόμῳ συνάψασα ὁμοῦ ἤδη ἦν, ὁ δὲ οὐκ εὐθὺς ἐκτάξας ἐπῆγεν, ὡς μὴ καματηρούς τε καὶ πνευστιῶντας ἀκμῆσι παραδοῦναι τοῖς βαρβάροις, ἀλλὰ ἐς κύκλους παριππεύων ἀνέπαυε τοὺς πεζοὺς ἔστε καταστῆναι αὐτοῖς τὸν θυμόν. (2) Ὡς δὲ τὴν τάξιν κατεῖδε τῶν Ἰνδῶν, κατὰ μέσον μέν, ἵνα οἱ ἐλέφαντες προεβέβληντο καὶ πυκνὴ ἡ φάλαγξ κατὰ τὰ διαλείποντα αὐτῶν ἐπετέτακτο, οὐκ ἔγνω προάγειν, αὐτὰ ἐκεῖνα ὀκνήσας ἅπερ ὁ Πῶρος τῷ λογισμῷ ξυνθεὶς ταύτῃ ἔταξεν· ἀλλὰ αὐτὸς μέν, ἅτε ἱπποκρατῶν, τὴν πολλὴν τῆς ἵππου ἀναλαβὼν ἐπὶ τὸ εὐώνυμον κέρας τῶν πολεμίων παρήλαυνεν, ὡς ταύτῃ ἐπιθησόμενος. (3) Κοῖνον δὲ πέμπει ὡς ἐπὶ τὸ δεξιόν, τὴν Δημητρίου καὶ τὴν αὐτοῦ ἔχοντα ἱππαρχίαν, κελεύσας, ἐπειδὰν τὸ κατὰ σφᾶς στῖφος τῶν ἱππέων ἰδόντες οἱ βάρβαροι ἀντιπαριππεύωσιν, αὐτὸν κατόπιν ἔχεσθαι αὐτῶν· τῶν πεζῶν δὲ τὴν φάλαγγα Σελεύκῳ καὶ Ἀντιγένει καὶ Ταύρωνι προσέταξεν ἄγειν· μὴ πρόσθεν δὲ ἅπτεσθαι τοῦ ἔργου πρὶν ὑπὸ τῆς ἵππου τῆς ἀμφ' αὐτὸν τεταραγμένην τήν τε φάλαγγα τῶν πεζῶν καὶ τοὺς ἱππέας κατίδωσιν.

4. Ἤδη τε ἐντὸς βέλους ἐγίγνετο καὶ ἐφῆκεν ἐπὶ τὸ κέρας τὸ εὐώνυμον τῶν Ἰνδῶν τοὺς ἱπποτοξότας, ὄντας ἐς χιλίους, ὡς ταράξαι τοὺς ταύτῃ ἐφεστηκότας τῶν πολεμίων τῇ πυκνότητί τε τῶν τοξευμάτων καὶ τῶν ἵππων τῇ ἐπελάσει· καὶ αὐτὸς δὲ τοὺς ἑταίρους ἔχων τοὺς ἱππέας παρήλαυνεν ὀξέως ἐπὶ τὸ εὐώνυμον τῶν βαρβάρων, κατὰ κέρας ἔτι τεταραγμένοις ἐμβαλεῖν σπουδὴν ποιούμενος, πρὶν ἐπὶ φάλαγγος ἐκταθῆναι αὐτοῖς τὴν ἵππον.

mum in fronte collocat, centum pedum spatio inter se disjunctos, qui ante universam peditum phalangem exporrecti starent, metumque Alexandri equitibus inculerent. (6) Neque enim putabat quenquam hostium per illa elephantorum interstitia penetrare ausurum, neque equites propter equorum metum, pedites vero multo minus, quod et armati milites eos ex adverso ferientes propulsaturi, et elephanti proculcaturi essent. (7) Post hos collocati erant pedites: non quidem in eadem cum elephantis serie, sed secundo post elephantos ordine, adeo ut fere ipsis interstitiis interjecta essent agmina. Adhæc ad cornua aciei ultra ordinem elephantorum pedites collocarat. Utrumque vero peditum latus equitatu cinxerat, equitatum utrinque curribus munierat.

CAP. XVI.

Atque hæc quidem Pori acies erat. Alexander simulatque Indos acie instructa stantes vidit, equites subsistere jubet, ut paulatim advenientes pedites reciperet. Quumque jam phalanx cursim sese cum reliquis copiis conjunxisset, Alexander non continuo eos in aciem eduxit, ne cursus celeritate defatigatos atque anhelos barbaris recentibus objiceret: sed in orbem equitatum ducens, respirandi locum peditibus dedit, donec animum recollegissent. (2) Itaque Indorum exercitus ordinatione conspecta, non in mediam aciem, qua parte elephanti objecti erant, et densa phalanx per interstitia collocata, impetum facere statuit, id ipsum metuens quod Porum ad ita instruendam aciem induxerat: sed ipse, ut qui equitatu superior erat, assumpta majore equitum parte in sinistrum Pori cornu movet, tanquam ea parte irruptums. (3) Cœnum ad dextrum cornu mittit, suas et Demetrii turmas ducentem, mandatis additis, ut quum barbari suum equitatum adversus agmen equitum quod eos adoriebatur ducerent, eorum terga premerent. Peditum autem phalangem Seleuco, Antigeni et Tauroni ducendam dedit, utque non prius prælium ineant jubet, quam equitatum hostilem et phalangem a suis equitibus perturbatam viderint.

4. Quumque intra teli jactum appropinquasset, confestim sagittarios equestres circiter mille in sinistrum Indorum cornu immittit, ut frequentia telorum et equorum irruptione hostes ex ea parte constitutos turbarent. Ipse etiam equitatum amicorum apud se habens ad sinistrum barbarorum cornu contendit, eo consilio ut circumagenda acie adhuc perturbatos aggrediatur, antequam ipsorum equitatus in phalangem constitueretur.

ΚΕΦ. ΙΖ'.

Ἐν τούτῳ δὲ οἵ τε Ἰνδοὶ τοὺς ἱππέας πάντοθεν ξυναλίσαντες παρίππευον Ἀλεξάνδρῳ ἀντιπαρεξάγοντες τῇ ἐλάσει, καὶ οἱ περὶ Κοῖνον, ὡς παρήγγελτο, κατόπιν αὐτοῖς ἐπεφαίνοντο. Ταῦτα ξυνιδόντες οἱ Ἰνδοὶ ἀμφίστομον ἠναγκάσθησαν ποιῆσαι τὴν τάξιν τῆς ἵππου, τὴν μὲν ὡς ἐπ' Ἀλέξανδρον τὴν πολλήν τε καὶ κρατίστην· οἱ δὲ ἐπὶ Κοῖνόν τε καὶ τοὺς ἅμα τούτῳ ἐπέστρεφον. (2) Τοῦτό τε οὖν εὐθὺς ἐτάραξε τὰς τάξεις τε καὶ τὰς γνώμας τῶν Ἰνδῶν, καὶ Ἀλέξανδρος ἰδὼν τὸν καιρὸν ἐν αὐτῇ τῇ ἐπὶ θάτερα ἐπιστροφῇ τῆς ἵππου ἐπιτίθεται τοῖς καθ' αὑτόν, ὥστε οὐδὲ τὴν ἐμβολὴν ἐδέξαντο τῶν ἀμφ' Ἀλέξανδρον ἱππέων οἱ Ἰνδοί, ἀλλὰ κατηράχθησαν ὥσπερ εἰς τεῖχός τι φίλιον τοὺς ἐλέφαντας. (3) Καὶ ἐν τούτῳ οἱ ἐπιστάται τῶν ἐλεφάντων ἀντεπῆγον τῇ ἵππῳ τὰ θηρία, καὶ ἡ φάλαγξ αὐτὴ τῶν Μακεδόνων ἀντεπῄει πρὸς τοὺς ἐλέφαντας, ἔς τε τοὺς ἐπιβάτας αὐτῶν ἀκοντίζοντες καὶ αὐτὰ τὰ θηρία περισταδὸν πάντοθεν βάλλοντες. Καὶ ἦν τὸ ἔργον οὐδενὶ τῶν πρόσθεν ἀγώνων ἐοικός· τά τε γὰρ θηρία ἐπεχθέοντα ἐς τὰς τάξεις τῶν πεζῶν, ὅπη ἐπιστρέψειεν, ἐκεραΐζε καίπερ πυκνὴν οὖσαν τὴν τῶν Μακεδόνων φάλαγγα, καὶ οἱ ἱππεῖς οἱ τῶν Ἰνδῶν, τοῖς πεζοῖς ἰδόντες ξυνεστηκὸς τὸ ἔργον, ἐπιστρέψαντες αὖθις καὶ αὐτοὶ ἐπήλαυνον τῇ ἵππῳ. (4) Ὡς δὲ πάλιν ἐκράτησαν αὐτῶν οἱ ἀμφ' Ἀλέξανδρον, τῇ τε ῥώμῃ καὶ τῇ ἐμπειρίᾳ πολὺ προέχοντες, ὡς ἐπὶ τοὺς ἐλέφαντας αὖθις κατειλήθησαν. Καὶ ἐν τούτῳ πᾶσα ἡ ἵππος Ἀλεξάνδρῳ ἐς μίαν ἴλην ἤδη ξυνηγμένη, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ ἐν τῷ ἀγῶνι αὐτῷ ἐς τήνδε τὴν τάξιν καταστᾶσα, ὅποι προσπέσοι τῶν Ἰνδῶν ταῖς τάξεσι, ξὺν πολλῷ φόνῳ ἀπελύοντο. (5) Καὶ ἐς στενὸν ἤδη κατειλημένων τῶν θηρίων οὐ μείω πρὸς αὐτῶν οἱ φίλοι ἢ περ οἱ πολέμιοι ἐβλάπτοντο, ἐν ταῖς ἐπιστροφαῖς τε καὶ τοῖς ὠθισμοῖς καταπατούμενοι. Τῶν τε οὖν ἱππέων, οἷα δὴ ἐν στενῷ περὶ τοὺς ἐλέφαντας εἱλουμένων, πολὺς φόνος ἐγίγνετο, καὶ οἱ ἡγεμόνες τῶν ἐλεφάντων οἱ πολλοὶ κατηκοντισμένοι ἦσαν, καὶ αὐτοὶ οἱ ἐλέφαντες τὰ μὲν τιτρωσκόμενοι, τὰ δὲ ὑπό τε τῶν πόνων καὶ ἐρημίας ἡγεμόνων οὐκέτι διακεκριμένοι ἐν τῇ μάχῃ ἦσαν· (6) ἀλλ' οἷα δὴ ὑπὸ τοῦ κακοῦ ἔκφρονες φιλίοις τε ὁμοῦ καὶ πολεμίοις προσφερόμενοι πάντα τρόπον ἐξώθουν τε καὶ κατεπάτουν καὶ κατέκαινον. Ἀλλ' οἱ μὲν Μακεδόνες, ἅτε ἐν εὐρυχωρίᾳ τε καὶ κατὰ γνώμην τὴν σφῶν προσφερόμενοι τοῖς θηρίοις ὅπη μὲν ἐπιφέροιντο εἶκον, ἀποστραφέντων δὲ εἴχοντο ἐσακοντίζοντες· οἱ δὲ Ἰνδοὶ ἐν αὐτοῖς ἀναστρεφόμενοι τὰ πλείω ἤδη πρὸς ἐκείνων ἐβλάπτοντο. (7) Ὡς δὲ καματηρά τε ἦν τὰ θηρία καὶ οὐκέτι αὐτοῖς ἐρρωμέναι αἱ ἐκδρομαὶ ἐγίγνοντο, ἀλλὰ συριγμῷ μόνον διαχρώμενα ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες ἐπὶ πόδα ὑπεχώρουν, αὐτὸς μὲν Ἀλέξανδρος περιβάλλει ἐν κύκλῳ τὴν ἵππον τῇ πάσῃ τάξει, τοὺς πεζοὺς δὲ ξυνασπίσαντας ὡς ἐς πυκνοτάτην ξύγκλεισιν ἐπάγειν τὴν φάλαγγα ἐσήμηνε. Καὶ οὕτως οἱ μὲν ἱππεῖς τῶν Ἰνδῶν

CAP. XVII.

Interea Indi omni ex parte conglomerati equitatum contra Alexandrum, impetum ejus propulsaturi, ducunt, quum statim Cœnus cum suis copiis, uti ei imperatum erat, eorum tergo imminet. Quod conspicati Indi equitatum in duas acies diducere sunt coacti, atque eam quidem quæ et pluribus et præstantioribus copiis constabat, in Alexandrum, alteram vero in Cœnum ducebant. (2) Quod quidem statim Indorum ordines pariter atque animos turbavit. Alexander opportunitate rei animadversa, interea dum se equitatus in duas partes dividit, in eam quæ in se conversa erat impetum facit. Quam Alexandri equitatus incursionem quum Indi sustinere non possent, ad elephantos tanquam ad amicos muros confugiunt. (3) Quorum rectores quum belluas in equitatum concitassent, Macedonum phalanx invecta telorum jactu tum sessores tum elephantos ipsos omni ex parte premebat. Eratque hæc pugna nulli priorum certaminum similis. Belluæ enim in peditum agmina delatæ, quacunque sese vertebant Macedonum phalangem quantumvis densam perfringebant: adhæc Indorum equites quum peditatum manum conserere viderent, denuo conversi equitatum invadebant. (4) Qui quum iterum ab iis qui circa Alexandrum erant victi essent, (quippe qui et robore et peritia rei militaris longe erant superiores) ad elephantos rursus confugiebant. Interea universus Alexandri equitatus jam in unum agmen conglomeratus, non quidem ipsius mandato, sed in ipso certamine in eum ordinem redactus, quacunque in agmina Indorum incidebat, cum multa cæde discedebat. (5) Belluæ vero quum jam in angustum redactæ essent, non minus damni suis quam hostibus inferebant, multos dum convertunt se et mutuo trudunt, proculcantes. Equitibus itaque angusto loco cum elephantis conclusis magna strages edebatur. Plerique etiam elephantorum rectores telorum jactu interfecti, ipsique elephanti partim vulnerati partim defatigati et rectoribus destituti non amplius in pugna certum locum tenebant, (6) sed vulnerum impatientia, rabie instinctis similes, nullo discrimine suos juxta atque hostes impellebant proculcabantque atque interimebant. Macedones tamen; quum in loco spatioso et pro lubitu suo impetum facerent, irruentibus in se belluis cedebant, contra recedentes jaculis confodiebant; at Indi qui circum ipsos elephantos versabantur majore damno afficiebantur. (7) Postquam vero belluæ defatigatæ non jam amplius validos impetus facerent, sed stridorem tantum edentes, instar navis puppi inhibita pedem retro ferrent: Alexander repente omni equitatu hostibus circumfuso, signo dato imperat uti pedites inter se consertis scutis confertissimaque phalange in eos ferantur. Atque ita undique circumventi Indorum equites

πλὴν ὀλίγων κατεκόπησαν ἐν τῷ ἔργῳ· ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων. Καὶ ἐν τούτῳ ἵνα διέσχεν ἡ ἵππος ἡ Ἀλεξάνδρου ἐς φυγὴν πάντες ἐπεστράφησαν.

ΚΕΦ. ΙΗ'.

Καὶ ἐν τῷ αὐτῷ Κράτερός τε καὶ οἱ ἄλλοι ὅσοι τῆς στρατιᾶς τῆς Ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ὑπολελειμμένοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς κατεῖδον Ἀλέξανδρον, ἐπέρων καὶ αὐτοὶ τὸν ποταμόν. Καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν Ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ' Ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει.

2. Ἀπέθανον δὲ τῶν Ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους, τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη· καὶ Πώρου δύο παῖδες ἀπέθανον καὶ Σπιτάκης ὁ νομάρχης τῶν ταύτῃ Ἰνδῶν καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες καὶ οἱ ἱππάρχαι καὶ οἱ στρατηγοὶ τῆς Πώρου ξύμπαντες. * * * Ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτῶν μὴ αὐτοῦ ἀπέθανον. (3) Τῶν δὲ ἀμφ' Ἀλέξανδρον πεζοὶ μὲν ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ ἑταιρικῆς ἵππου ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων ὡς διακόσιοι.

4. Πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος μὴ ὅτι στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπροὺς πεπλανημένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείους ἀπολώλεσαν, οὐχ ἥπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς φυγῆς ἀπεχώρει, (5) ἀλλὰ ἔστε γὰρ ὑπέμενέ τι τῶν Ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκός, ἐς τοσόνδε ἀγωνισάμενος, τετρωμένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο (ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ, περιττὸς ὢν κατά τε τὴν ἰσχὺν καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν), τότε δὴ καὶ αὐτὸς ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. (6) Καὶ Ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ σῶσαι ἐπεθύμησε. Πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν Ἰνδόν· καὶ Ταξίλης προσιππεύσας ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι ὃς ἔφερε τὸν Πῶρον ἐπιστῆσαί τε ἠξίου τὸ θηρίον, οὐ γὰρ εἶναί οἱ ἔτι φεύγειν, καὶ ἀκοῦσαι τῶν παρ' Ἀλεξάνδρου λόγων. (7) Ὁ δὲ ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιοῦ τὸν Ταξίλην ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων· καὶ ἂν καὶ κατέκανεν [ἂν] τυχόν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπήλασεν ἀπὸ τοῦ Πώρου πρόσω τὸν ἵππον. Ἀλέξανδρος δὲ οὐδὲ ἐπὶ τῷδε τῷ Πώρῳ χαλεπὸς ἐγένετο, ἀλλ' ἄλλους τε ἐν μέρει ἔπεμπε καὶ δὴ καὶ Μερόην ἄνδρα Ἰνδόν, ὅτι φίλος ἦν Πώρου, ἐπὶ τοῦτον ἔπεμπε.

omnes fere ea in pugna cæsi sunt. Peditum etiam, irruentibus omni ex parte Macedonibus, magna strages edita est. Tum omnes, qua Alexandri equitatus spatium dabat, in fugam vertuntur.

CAP. XVIII.

Interea Craterus aliique duces qui cum eo ad ripam Hydaspis relicti fuerant, manifesta Alexandri victoria conspecta, amnem trajiciunt. Qui quidem non minorem fugientium Indorum cædem ediderunt, quippe qui integri fessis Alexandri militibus in insequendo succederent.

2. Cæsi sunt ex Indis pedites paulo minus XX M, equites III M; currus omnes concisi. Duo Pori filii interfecti et Spitaces Indorum illius regionis præses omnesque elephantorum et curruum præfecti et equitatus ac peditatus Pori duces * * * Elephanti etiam qui in pugna cæsi non erant, capti. (3) Ex peditatu Alexandri, qui VI M numero primum conflictum adierunt, LXXX summum desiderati; ex sagittariis equestribus, qui quidem primi pugnam aggressi sunt, X, ex amicorum equitatu XX, ex reliquo omni equitatu CC.

4. Porus qui in ea pugna rem præclare gesserat, non ducis solum verum etiam strenui militis officio functus, conspecta equitum cæde, quumque elephantorum alios prostratos, alios absque rectoribus tristes errare, peditatus etiam maximam partem interiisse cerneret: non tamen veluti magnus ille rex Darius ex suis fugam primus inivit, sed quamdiu partem aliquam Indorum pugnantem vidit, tamdiu etiam ipse conflixit. (5) Quum vero in dextro humero, quem quidem solum in pugna nudum ferebat, vulnus accepisset (nam lorica et robore et opere præ ceteris eximia ut postea intuentibus adparuit, facile a reliquo corpore tela propulsabat) converso elephanto recessit. (6) Alexander, quod magnum ac generosum virum in pugna se præstitisset, salvum cupiebat. Ac primum quidem Taxilem Indum ad eum mittit. Qui quum adequitasset quousque per elephantum qui eum gestabat tutum erat, et Porum rogasset ut sisteret elephantum (neque enim amplius fugere posse) uti Alexandri postulata acciperet: (7) hic viso Taxile vetere hoste, conversus in eum ferebatur, tanquam lancea petiturus; et fortassis interfecisset, nisi ille confestim cum equo e Pori conspectu se proripuisset. Alexander ne hanc quidem ob causam Poro succensebat; sed alios nihilominus submittebat, et in iis Meroem hominem Indum,

λον εἶναι ἐκ παλαιοῦ τῷ Πώρῳ τὸν Μερόην ἔμαθε. (8) Πῶρος δὲ ὡς τὰ παρὰ τοῦ Μερόου ἤκουσε καὶ ἐκ τοῦ ὀΐψους ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα καὶ κατέβη ἀπ' αὐτοῦ· ὡς δὲ ἔπιέ τε καὶ ἀνέψυξεν, ἄγειν αὐτὸν σπουδῇ ἐκέλευσε παρ' Ἀλέξανδρον.

ΚΕΦ. ΙΘ'.

Καὶ ὁ μὲν ἤγετο· Ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο, προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἁπαντᾷ τῷ Πώρῳ· καὶ ἐπιστήσας τὸν ἵππον τό τε μέγεθος ἐθαύμαζεν, ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον, καὶ τὸ κάλλος τοῦ Πώρου καὶ ὅτι οὐ δεδουλωμένος τῇ γνώμῃ ἐφαίνετο, ἀλλ' ὥσπερ ἂν ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι ὑπὲρ βασιλείας τῆς αὐτοῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. (2) Ἔνθα δὴ Ἀλέξανδρος πρῶτος προσειπὼν αὐτὸν λέγειν ἐκέλευσεν ὅ τι οἱ γενέσθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρίνασθαι λόγος, ὅτι Βασιλικῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε. Καὶ Ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ, Τοῦτο μὲν ἔσται σοι, ὦ Πῶρε, ἔφη, ἐμοῦ ἕνεκα· σὺ δὲ σαυτοῦ ἕνεκα ὅ τι σοὶ φίλον ἀξίου. Ὁ δὲ πάντα ἔφη ἐν τούτῳ ἐνεῖναι. (3) Καὶ Ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν τε αὐτοῦ Ἰνδῶν ἔδωκε καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ πάλαι οὔσῃ πλείονα τῆς πρόσθεν προσέθηκε· καὶ οὕτως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ καὶ ἐκείνῳ ἐκ τούτου ἐς ἅπαντα πιστῷ ἐχρήσατο. Τοῦτο τὸ τέλος τῇ μάχῃ τῇ πρὸς Πῶρόν τε καὶ τοὺς ἐπ' ἐκεῖνα τοῦ Ὑδάσπου ποταμοῦ Ἰνδοὺς Ἀλεξάνδρῳ ἐγένετο ἐπ' ἄρχοντος Ἀθηναίοις Ἡγεμόνος μηνὸς Μουνυχιῶνος.

4. Ἵνα δὲ ἡ μάχη ξυνέβη καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε τὸν Ὑδάσπην ποταμόν, πόλεις ἔκτισεν Ἀλέξανδρος. Καὶ τὴν μὲν Νίκαιαν τῆς νίκης τῆς κατ' Ἰνδῶν ἐπώνυμον ὠνόμασε· τὴν δὲ Βουκέφαλα ἐς τοῦ ἵππου τοῦ Βουκεφάλα τὴν μνήμην, ὃς ἀπέθανεν αὐτοῦ, οὐ βληθεὶς πρὸς οὐδενός, ἀλλ' ὑπὸ καμάτου τε καὶ ἡλικίας. (5) Ἦν γὰρ ἀμφὶ τὰ τριάκοντα ἔτη, καματηρὸς γενόμενος, πολλὰ δὲ πρόσθεν ξυγκαμών τε καὶ ξυγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνου Ἀλεξάνδρου ὁ Βουκεφάλας οὗτος, ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας, καὶ μεγέθει μέγας καὶ τῷ θυμῷ γενναῖος. Σημεῖον δέ οἱ ἦν βοὸς κεφαλὴ ἐγκεχαραγμένη, ἐφ' ὅτου καὶ τὸ ὄνομα τοῦτο λέγουσιν ὅτι ἔφερεν· οἱ δὲ λέγουσιν ὅτι λευκὸν σῆμα εἶχεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν αὐτός, εἰς βοὸς κεφαλὴν μάλιστα εἰκασμένον. (6) Οὗτος ὁ ἵππος ἐν τῇ Οὐξίων χώρᾳ ἀφανὴς ἐγένετο Ἀλεξάνδρῳ, καὶ Ἀλέξανδρος προεκήρυξεν ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν Οὐξίους, εἰ μὴ ἀπάξουσιν αὐτῷ τὸν ἵππον· καὶ ἀπήχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι. Τοσήδε μὲν σπουδὴ Ἀλεξάνδρῳ ἀμφ' αὐτὸν ἦν, τόσος δὲ Ἀλεξάνδρου φόβος τοῖς βαρβάροις. Καὶ ἐμοὶ ἐς τοσόνδε τετιμήσθω ὁ Βουκεφάλας οὗτος Ἀλεξάνδρου ἕνεκα.

quum veterem ei cum Poro amicitiam intercedere accepisset. (8) Porus Merois oratione audita quod vehementi siti premebatur cum elephanto substitit atque ex eo descendit. Quumque bibisset ac nonnihil respirasset, continuo se ad Alexandrum adduci jussit.

CAP. XIX.

Alexander ut eum a Meroe ductum appropinquare intellexit, nonnihil ante aciem progressus, amicis aliquot comitatus Poro obviam ivit. Equumque sistens, magnitudinem Pori (erat enim quinque cubitis procerior) et pulchritudinem simul admiratus est quodque nullum dejecti animi signum præ se ferre videretur, sed ut generosus cum generoso viro congrederetur, pro regno suo adversus alium regem fortiter prœliatus. (2) Tum Alexander prior eum compellans, quid sibi fieri cuperet dicere jussit. Cui Porum respondisse ferunt, Ut me regie tractes Alexander. Porro Alexander ea oratione delectatus, Hoc tibi, inquit, Pore, mea causa continget: tu quod tua causa tibi gratum sit postula. Cui Porus, omnia iis quæ dixisset contineri, respondit. (3) Quo responso lætior Alexander Poro regnum Indorum restituit, et ultra pristinum imperium aliam ei regionem vetere ampliorem adjecit. Atque ita et regie hominem generosum tractavit, et fido in posterum amico ad omnia est usus. Hujusmodi exitum habuit pugna Alexandri adversus Porum et Indos trans Hydaspen amnem colentes, archonte Athenis Hegemone, mense Munychione.

4. Porro eo loco quo et pugna commissa fuerat et quo ad trajiciendum Hydaspen moverat, urbes condidit, atque alteram quidem a victoria adversus Indos parta Nicæam appellavit: alteram, Bucephalam in equi sui Bucephali memoriam, qui quidem eo loci interiit, non quidem ab aliquo vulneratus, sed laboribus pariter atque ætate fractus, (5) siquidem trigesimum annum agebat, quum hæc defatigatio ei accideret. Multos vero etiam antea labores, multaque pericula cum Alexandro obierat, solumque Alexandrum sessorem admittebat, reliquos rejiciebat, magnitudine simul corporis eximia atque animo generoso præditus. Nota ei impressa erat bovis caput, cujus etiam causa nomen ei Bucephalo inditum est; vel quod, ut aliis placet, quum ipse nigri coloris esset, albam in capite notam haberet, bovis capiti perquam similem. (6) Hunc ipsum equum quum in Uxiorum regione amisisset Alexander, per universam regionem proclamari jussit, nisi equum ei reducerent, se Uxios omnes ad internecionem interfecturum. Ad hoc edictum equus statim reductus fuit. Adeo hic carus Alexandro, et Alexander terribilis barbaris fuit. Et hæc quidem in laudem Bucephali Alexandri causa dicta sint.

ΚΕΦ. Κ'.

Ἀλεξάνδρῳ δὲ ἐπειδὴ οἱ ἀποθανόντες ἐν τῇ μάχῃ κεκόσμηντο τῷ πρέποντι κόσμῳ, ὁ δὲ τοῖς θεοῖς τὰ νομιζόμενα ἐπινίκια ἔθυε, καὶ ἀγὼν ἐποιεῖτο αὐτῷ γυμνικὸς καὶ ἱππικὸς αὐτοῦ ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ἵναπερ τὸ πρῶτον διέβη ἅμα τῷ στρατῷ. (2) Κρατέρον μὲν δὴ ξὺν μέρει τῆς στρατιᾶς ὑπελείπετο, τὰς πόλεις ἅστινας ταύτῃ ἔκτιζεν ἀναστήσοντά τε καὶ ἐκτειχιοῦντα· αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τοὺς προσχώρους τῇ Πώρου ἀρχῇ Ἰνδούς. Ὄνομα δὲ ἦν τῷ ἔθνει Γλαυγανῖκαι, ὡς λέγει Ἀριστόβουλος, ὡς δὲ Πτολεμαῖος, Γλαῦσαι· ὁποτέρως δὲ ἔχει τὸ ὄνομα οὔ μοι μέλει. (3) Ἐπῄει δὲ τὴν χώραν αὐτῶν Ἀλέξανδρος τῶν τε ἑταίρων ἱππέων ἔχων τοὺς ἡμίσεας καὶ τῶν πεζῶν ἀπὸ φάλαγγος ἑκάστης ἐπιλέκτους καὶ τοὺς ἱπποτοξότας ξύμπαντας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς τοξότας· καὶ προσεχώρουν αὐτῷ ὁμολογίᾳ πάντες. (4) Καὶ ἑλάβε πόλεις μὲν ἐς τριάκοντα καὶ ἑπτά, ὧν ἵνα ὀλιγοστοὶ ἦσαν οἰκήτορες πεντακισχιλίων οὐκ ἐλάττους ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τοὺς μυρίους· καὶ κώμας πλήθει τε πολλὰς ἕλαβε καὶ πολυανθρώπους οὐ μεῖον τῶν πόλεων. Καὶ ταύτης τῆς χώρας Πώρῳ ἄρχειν ἔδωκε· καὶ Ταξίλῃ δὲ διαλλάττει Πῶρον καὶ Ταξίλην ἀποπέμπει ὀπίσω ἐς τὰ ἤθη τὰ αὐτοῦ.

5. Ἐν τούτῳ δὲ παρά τε Ἀβισάρου πρέσβεις ἦκον, ἐνδιδόντες αὐτόν τε Ἀλεξάνδρῳ Ἀβισάρην καὶ τὴν χώραν ὅσης ἦρχε. Καίτοι πρό γε τῆς μάχης τῆς πρὸς Πῶρον γενομένης Ἀλεξάνδρῳ ἐπενόει Ἀβισάρης καὶ αὐτὸς ξὺν Πώρῳ τάσσεσθαι· τότε δὲ καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ ξὺν τοῖς ἄλλοις πρέσβεσι παρ' Ἀλέξανδρον ἔπεμψε, χρήματά τε κομίζοντα καὶ ἐλέφαντας τεσσαράκοντα δῶρον Ἀλεξάνδρῳ. (6) Ἦκον δὲ καὶ παρὰ τῶν αὐτονόμων Ἰνδῶν πρέσβεις παρ' Ἀλέξανδρον καὶ παρὰ Πώρου ἄλλου τοῦ ὑπάρχου Ἰνδῶν. Ἀλέξανδρος δὲ διὰ τάχους Ἀβισάρην ἶέναι παρ' αὐτὸν κελεύει, ἐπαπειλήσας, εἰ μὴ ἔλθοι, ὅτι αὐτὸν ὄψεται ἥκοντα ξὺν τῇ στρατιᾷ ἵνα οὐ χαιρήσει ἰδών.

7. Ἐν τούτῳ δὲ Φραταφέρνης τε ὁ Παρθυαίων καὶ Ὑρκανίας σατράπης τοὺς καταλειφθέντας παρὰ οἱ Θρᾷκας ἄγων ἦκεν ὡς Ἀλέξανδρον καὶ παρὰ Σισικόττου τοῦ Ἀσσακηνῶν σατράπου ἄγγελοι, ὅτι τόν τε ὕπαρχον σφῶν ἀπεκτονότες εἶεν οἱ Ἀσσακηνοὶ καὶ ἀπ' Ἀλεξάνδρου ἀφεστηκότες. Καὶ ἐπὶ τούτους Φίλιππον ἐκπέμπει καὶ Τυριάσπην σὺν στρατιᾷ, τά τε περὶ τὴν Ἀσσακηνῶν χώραν καταστησομένους καὶ κοσμήσοντας.

8. Αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν προὐχώρει. Τούτου τοῦ Ἀκεσίνου ποταμοῦ τὸ μέγεθος μόνου τῶν Ἰνδῶν ποταμῶν Πτολεμαῖος ὁ Λάγου ἀνέγραψεν· εἶναι γὰρ ἵνα ἐπέρασεν αὐτὸν Ἀλέξανδρος ἐπὶ τῶν πλοίων τε καὶ τῶν διφθερῶν ξὺν τῇ στρατιᾷ τὸ μὲν ῥεῦμα ὀξὺ τοῦ Ἀκεσίνου πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν· τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα.

CAP. XX.

Alexander quum iis qui in pugna cecidissent debitum honorem persolvisset, sacrificiaque consueta diis pro victoria fecisset, ludis etiam gymnicis atque equestribus ad Hydaspis ripam habitis, (2) eo loco quo primum cum exercitu trajecit, Craterum cum parte copiarum reliquit, qui urbes quas ibi condere cœperat exædificaret, muroque cingeret. Ipse in Indos Pori regno finitimos movit. Hi Glauganicæ, ut auctor est Aristobulus, dicebantur : ut vero Ptolemæus, Glausæ; quonam nomine rectius appellati fuerint non ego curo. (3) Alexander regionem eorum ingressus est, equitatus amicorum alteram partem apud se habens, et ex singulis peditum phalangibus selectissimos quosque, equestres sagittarios omnes, Agrianos præterea et sagittarios. Nec mora, omnes se ei dedidorunt. (4) Adhæc urbes XXXVII recepit, quarum quæ minima erat, non minus VM incolarum habebat : multæ vero etiam ultra XM. Pagorum quoque magnum numerum cepit, atque eos quidem non minus quam urbes ipsas incolarum frequentia celebres. Totius vero hujusce regionis imperium Poro dedit. Taxilem etiam Poro conciliatum in suas sedes dimittit.

5. Per id tempus legati ab Abisare venerunt; Abisarem ipsum totamque ejus regionem dedentes. Porro ante pugnam cum Poro commissam statuerat Abisares copias suas cum Poro conjungere. Tum vero fratrem suum aliosque legatos ad Alexandrum cum pecuniis et elephantis XL misit. (6) Venerunt etiam legati ab Indis qui libere suis legibus utentes vivunt, et a Poro alio Indorum præfecto. Alexander confestim Abisarem ad se venire jubet, minatus nisi pareret se cum exercitu magno ejus malo ad ipsum venturum.

7. Dum hæc geruntur, Phrataphernes Parthorum atque Hyrcaniæ satrapa cum Thracibus sibi commissis ad Alexandrum venit; et nuntii a Sisicotto Assacenorum satrapa, Assacenos interfecto prætore ab Alexandro defecisse nuntiantes. Adversus hos Philippum et Tyriaspem cum exercitu mittit, qui Assacenorum motus compescant, et provinciam regant.

8. Ipse ad Acesinem amnem movit. Hujus amnis solius ex Indiæ fluminibus magnitudinem Ptolemæus Lagi filius descripsit. Esse enim, ea parte qua Alexander eum navigiis et pellibus cum exercitu transmisit, rapidum Acesinis cursum magnis asperisque cautibus interjectis, quibus illisæ ac repercussæ undæ ingentes æstus strepitusque concitent. Latitudinem vero esse quindecim stadiorum. (9)

(9) Καὶ τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον· τοὺς δὲ ἐν τοῖς πλοίοις διαβαίνοντας ἐποχειλάντων πολλῶν πλοίων ἐπὶ ταῖς πέτραις καὶ ξυναραχθέντων οὐκ ὀλίγους αὐτοῦ ἐν τῷ ὕδατι διαφθαρῆναι. Εἴη ἂν οὖν ἐκ τοῦδε τοῦ λόγου ξυντιθέντι τεκμηριοῦσθαι ὅτι οὐ πόρρω τοῦ ἀληθοῦς ἀναγέγραπται τοῦ Ἰνδοῦ ποταμοῦ τὸ μέγεθος ὅσοις ἐς τεσσαράκοντα σταδίους δοκεῖ τοῦ Ἰνδοῦ εἶναι τὸ εὖρος ἵνα μέσως ἔχει αὐτὸς αὑτοῦ ὁ Ἰνδός· ἵνα δὲ στενώτατός τε καὶ διὰ στενότητα βαθύτατος, ἐς τοὺς πεντεκαίδεκα συνάγεσθαι· καὶ ταῦτα πολλαχῇ εἶναι τοῦ Ἰνδοῦ. Καὶ γὰρ καὶ τοῦ Ἀκεσίνου τεκμαίρομαι ἐπιλέξασθαι Ἀλέξανδρον ἵναπερ τὸ πλατύτατον ἦν τοῦ πόρου, ὡς σχολαιτέρῳ χρήσασθαι τῷ ῥεύματι.

(9) Atque iis quidem qui utribus transportati sunt facilem trajectum fuisse : eorum vero qui navibus transvecti sunt, quum pleræque cautibus illisæ rumperentur, non paucos in amne periisse. Ex quibus verbis facile quis colligere queat, non multum a vero abhorrere quod de Indi amnis magnitudine scriptum est ab iis qui latitudinem XL stadiorum esse statuunt ubi latissimus is sit : ubi vero angustissimus et ob angustiam profundissimus, in XV stadia contrahi. Atque hanc quidem mediam fere esse Indi fluminis plerisque in locis latitudinem. Etenim existimaverim Alexandrum ad Acesinem quoque trajiciendum eam partem delegisse qua maxime amplus ejus cursus eaque de causa minus rapidus esset.

ΚΕΦ. ΚΑ'.

Περάσας δὲ τὸν ποταμὸν Κοῖνον μὲν ξὺν τῇ αὐτοῦ τάξει ἀπολείπει αὐτοῦ ἐπὶ τῇ ὄχθῃ, προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως, οἳ τόν τε σῖτον αὐτῷ τὸν ἐκ τῆς ἤδη ὑπηκόου τῶν Ἰνδῶν χώρας καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον. (2) Πῶρον δὲ ἐς τὰ αὑτοῦ ἤθη ἀποπέμπει, κελεύσας Ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον καὶ εἴ τινας παρ' αὐτῷ ἔχοι ἐλέφαντας, τούτους δὲ ἀναλαβόντα ἰέναι παρ' αὐτόν. Αὐτὸς δὲ Πῶρον τὸν ἕτερον τὸν κακόν, ὅτι ἐξηγγέλθη περευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχεν, ἐπενόει διώκειν ξὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. (3) Ὁ γὰρ Πῶρος οὗτος, ἔστε μὲν πολέμια ξυνειστήκει Ἀλεξάνδρῳ τὰ πρὸς τὸν ἄλλον Πῶρον, πρέσβεις παρ' Ἀλέξανδρον πέμπων, αὐτόν τε καὶ τὴν ὑπὸ οἱ χώραν ἐνεδίδου Ἀλεξάνδρῳ, κατὰ ἔχθος τὸ Πώρου μᾶλλον ἢ φιλίᾳ τῇ Ἀλεξάνδρου· ὡς δὲ ἀφειμένον τε ἐκεῖνον καὶ πρὸς τῇ αὐτοῦ καὶ ἄλλης πολλῆς ἄρχοντα ἔμαθε, τότε δὴ φοβηθείς, οὐχ οὕτω τι Ἀλέξανδρον, ὡς τὸν Πῶρον ἐκεῖνον τὸν ὁμώνυμον, φεύγει τὴν ἑαυτοῦ, ἀναλαβὼν ὅσους τῶν μαχίμων ξυμπεῖσαι ἠδυνήθη μετασχεῖν οἱ τῆς φυγῆς.

4. Ἐπὶ τοῦτον ἐλαύνων Ἀλέξανδρος ἀφικνεῖται ἐπὶ τὸν Ὑδραώτην ποταμόν, ἄλλον αὖ τοῦτον Ἰνδὸν ποταμόν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ Ἀκεσίνου, ὀξύτητι δὲ τοῦ ῥοῦ μείονα. Ὅσην δὲ τῆς χώρας ἔστε ἐπὶ τὸν Ὑδραώτην ἐπῆλθε, φυλακὰς ὑπέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ Κράτερόν τε καὶ Κοῖνον δι' ἀσφαλείας ἐπέρχοιντο τῆς χώρας τὴν πολλὴν προνομεύοντες. (5) Ἐνταῦθα Ἡφαιστίωνα μὲν ἐκπέμπει, δοὺς αὐτῷ μέρος τῆς στρατιᾶς, πεζῶν μὲν φάλαγγας δύο, ἱππέων δὲ τήν τε αὐτοῦ καὶ τὴν Δημητρίου ἵππαρχίαν καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν Πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην Πώρῳ τῷ ἄλλῳ, καὶ εἴ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ Ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῷ Πώρῳ ἄρχειν ἐγχειρίσαι. (6) Αὐτὸς δὲ ἐπέρα τὸν Ὑδραώτην ποταμόν, οὐ καθάπερ τὸν

Atque his quidem qui utribus transportati sunt facilem trajectum fuisse : eorum vero qui navibus transvecti sunt, quum pleræque cautibus illisæ rumperentur, non paucos in amne periisse. Ex quibus verbis facile quis colligere queat, non multum a vero abhorrere quod de Indi amnis magnitudine scriptum est ab iis qui latitudinem XL stadiorum esse statuunt ubi latissimus is sit : ubi vero angustissimus et ob angustiam profundissimus, in XV stadia contrahi. Atque hanc quidem mediam fere esse Indi fluminis plerisque in locis latitudinem. Etenim existimaverim Alexandrum ad Acesinem quoque trajiciendum eam partem delegisse qua maxime amplus ejus cursus eaque de causa minus rapidus esset.

CAP. XXI.

Transmisso itaque flumine, Cœnum cum suis copiis ad ripam relinquit, qui reliqui exercitus transitum curaret, qui et frumentum et alia necessaria ex regione Indorum quæ ei jam parebat allaturi erant. (2) Porum in regnum suum remittit, mandatis additis, ut lectissimis Indorum qui bellicosissimi haberentur copiis, et elephantis (si quos haberet) collectis ad se veniret. Ipse vero alium illum Porum hominem malum, qui deserta provincia cui præerat fugisse nuntiabatur, cum expeditissimo milite insequi statuit. (3) Porus enim hic, quamdiu Alexander cum altero Poro bellum gerebat, legationes ad Alexandrum mittens se pariter et regionem cui imperabat Alexandro dedebat, magis odio Pori quam amore Alexandri motus. Quum autem Porum ad Alexandrum venisse, et regnum suum idque multo auctius ei restitutum esse cognovit, non tam Alexandri quam Pori, qui ejusdem cum ipso nominis erat, metu e provincia sua aufugit, omnibus iis qui bello apti essent, (quibus quidem persuadere potuit ut fugæ comites essent) secum sumptis.

4. In hunc profectus Alexander ad Hydraoten alium Indiæ fluvium pervenit, latitudine quidem Acesine nihilo minorem, cursus vero rapiditate inferiorem. Et per omnem regionem præsidia idoneis locis posuit, ut Craterus et Cœnus tuto ad se pervenirent, frumento per maximam regionis partem directo. (5) Deinde Hephæstioni partem exercitus committens, peditum scilicet phalanges duas, ex equitibus Demetrii agmen et suum ipsius, et sagittariorum dimidiam partem, eum in Pori illius qui aufugerat regionem mittit, eamque ut alteri Poro tradat jubet. Et siquæ aliæ ad ripam Hydraotis fluvii gentes Indorum essent libere suis legibus viventes, earum omnium gubernationem Poro det. (6) Ipse Hydrao-

Ἀκεσίνην χαλεπῶς. Προχωροῦντι δὲ αὐτῷ ἐπ' ἐκεῖνα τῆς ὄχθης τοῦ Ὑδραώτου τοὺς μὲν πολλοὺς καθ' ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν, ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας· τοὺς δὲ καὶ ὑποφεύγοντας ἑλὼν βίᾳ κατεστρέψατο.

ΚΕΦ. ΚΒ'.

Ἐν τούτῳ δὲ ἐξαγγέλλεται Ἀλεξάνδρῳ τῶν αὐτονόμων Ἰνδῶν ἄλλους τέ τινας καὶ τοὺς καλουμένους Καθαίους αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῇ χώρᾳ αὐτῶν Ἀλέξανδρος, καὶ ὅσα δμορά σφισιν ὡσαύτως αὐτόνομα, καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον· (2) εἶναι δὲ τήν τε πόλιν ὀχυρὰν πρὸς ἣν ἐπενόουν ἀγωνίσασθαι· Σάγγαλα ἦν τῇ πόλει ὄνομα, καὶ αὐτοὶ οἱ Καθαῖοι εὐτολμότατοί τε καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο· καὶ τούτοις κατὰ τὰ αὐτὰ Ὀξυδράκαι ἄλλο Ἰνδῶν ἔθνος, καὶ Μαλλοί, ἄλλο καὶ τοῦτο· ἐπεὶ καὶ ὀλίγῳ πρόσθεν στρατεύσαντας ἐπ' αὐτοὺς Πῶρόν τε καὶ Ἀβισάρην ξύν τε τῇ σφετέρᾳ δυνάμει καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων Ἰνδῶν ἀναστήσαντας οὐδὲν πράξαντας τῆς παρασκευῆς ἄξιον ξυνέβη ἀπελθεῖν.

3. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν ὡς ἐπὶ τοὺς Καθαίους. Καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου πρὸς πόλιν ἦκεν ᾗ ὄνομα Πίμπραμα· τὸ δ' ἔθνος τοῦτο τῶν Ἰνδῶν Ἀδραῖσται ἐκαλοῦντο. Οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίᾳ Ἀλεξάνδρῳ. (4) Καὶ Ἀλέξανδρος ἀναπαύσας τῇ ὑστεραίᾳ τὴν στρατιάν, τῇ τρίτῃ προὐχώρει ἐπὶ τὰ Σάγγαλα, ἵνα οἱ Καθαῖοί τε καὶ οἱ ἄλλοι πρόσχωροι αὐτοῖς ξυνελήλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν ἐπὶ γηλόφου οὐ πάντη ἀποτόμου· κύκλῳ δὲ τοῦ γηλόφου ἁμάξας περιστήσαντες ἐντὸς αὐτῶν ἐστρατοπέδευον, ὡς τριπλοῦν χάρακα προβεβλῆσθαι πρὸ τῶν ἁμαξῶν. (5) Ἀλέξανδρος δὲ τό τε πλῆθος κατιδὼν τῶν βαρβάρων καὶ τοῦ χωρίου τὴν φύσιν, ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷ οἱ ἐφαίνετο παρετάσσετο· καὶ τοὺς μὲν ἱπποτοξότας εὐθὺς ὡς εἶχεν ἐκπέμπει ἐπ' αὐτούς, ἀκροβολίζεσθαι κελεύσας παριππεύοντας, ὡς μήτε ἐκδρομήν τινα ποιήσασθαι τοὺς Ἰνδοὺς πρὶν ξυνταχθῆναι αὐτῷ τὴν στρατιὰν καὶ ὡς πληγὰς γίγνεσθαι αὐτοῖς καὶ πρὸ τῆς μάχης ἐντὸς τοῦ ὀχυρώματος. (6) Αὐτὸς δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως τῶν ἱππέων τὸ ἄγημα κατέστησε καὶ τὴν Κλείτου ἱππαρχίαν, ἐχομένους δὲ τούτων τοὺς ὑπασπιστάς, καὶ ἐπὶ τούτοις τοὺς Ἀγριᾶνας· κατὰ δὲ τὸ εὐώνυμον Περδίκκας αὐτῷ ἐτέτακτο, τήν τε αὐτοῦ ἔχων ἱππαρχίαν καὶ τὰς τῶν πεζεταίρων τάξεις· ἐπὶ κέρως δὲ ἑκατέρου οἱ τοξόται αὐτῷ διχῇ διακριθέντες ἐτάχθησαν. (7) Ἐκτάσσοντι δὲ αὐτῷ παρεγένοντο καὶ οἱ ἀπὸ τῆς ὀπισθοφυλακίας πεζοί τε καὶ ἱππεῖς. Καὶ τούτων τοὺς μὲν ἱππέας ἐπὶ τὰ κέρατα διελὼν παρήγαγεν· ἀπὸ δὲ τῶν πεζῶν τῶν προσγενομένων πυκνοτέραν τὴν ξύγχλεισιν τῆς φάλαγγος ποιήσας, αὐτὸς ἀναλαβὼν τὴν ἵππον τὴν ἐπὶ τοῦ δεξιοῦ τεταγμένην παρήγαγεν ἐπὶ

ten fluvium non ita difficulter atque Acesinem trajecit. Dehinc ultra ripam Hydraotis progressus, plerosque deditione recepit: nonnullos etiam cum armis occurrentes, alios vero fugientes captos vi subegit.

CAP. XXII.

Inter hæc Alexandro nuntiatur alios quosdam Indos liberos et Cathæos paratos esse, si eo exercitum duceret, pugnam experiri, reliquosque finitimos, qui sicut ipsi libere viverent, ad societatem sollicitare: (2) urbem vero ad quam confligere statuissent, nomine Sangala, munitam esse. Cathæi quoque strenui in primis reique bellicæ peritissimi habebantur. Cum his conspirasse Oxydracas aliam Indorum gentem, et Mallos aliam ab his diversam; adversus quos paulo ante et Abisares et Porus conjunctis copiis, ac multis Indorum in societatem adscitis, profecti, quum nihil tanto belli apparatu dignum gessissent, recesserant.

3. Hæc ut Alexandro nuntiata sunt, confestim in Cathæos contendit, et secundis castris ab Hydraote fluvio ad urbem pervenit cui Pimprama nomen est. Ea Indorum gens Adraistæ vocabantur. Ii statim pactionibus deditionem fecerunt. (4) Alexander postero die militibus ad quietem dato, tertio die Sangala profectus est, ubi et Cathæi aliique his finitimi qui sese iis conjunxerant, ante urbem in colle non omnino arduo instructa acie stabant. Hunc collem velut triplici vallo in orbem curribus dispositis munierant, castris in medio locatis. (5) Alexander naturam loci hostiumque multitudinem contemplatus, quomodo commodissimum visum est aciem instruxit, et sagittarios equestres, uti erant, continuo qui adequitantes hostem telis lacessant emittit, ne nimirum Indi nondum satis instructa Macedonum acie excursionem aliquam faciant, utque Indis intra ipsa munimenta consistentibus ante pugnam damnum inferretur. (6) Dehinc equitum agema ad dextrum cornu constituit, quibus Cliti equitum præfecturam adjunxit. Proximos his scutatos locat, deinde Agrianos. Ad sinistrum cornu Perdiccam statuit, sua equestri præfectura et peditum amicorum agminibus instructum; sagittarios in utrumque cornu divisit. (7) Alexandro ita aciem instruente, pedites atque equites qui novissimo agmini præsidio erant adveniunt. Atque ex his quidem equites cornibus admovit: ex peditibus vero qui accesserant, phalangis structura confertiore effecta, ipse assumto equitatu quem ad dextram

τὰς κατὰ τὸ εὐώνυμον τῶν Ἰνδῶν ἁμάξας. Ταύτῃ γὰρ εὐπροσοδώτερον αὐτῷ ἐφαίνετο τὸ χωρίον καὶ οὐ πυκναὶ ὡσαύτως αἱ ἅμαξαι ἐφειστήκεσαν.

ΚΕΦ. ΚΓ'.

Ὡς δὲ ἐπὶ τὴν ἵππον προσαγαγοῦσαν οὐκ ἐξέδραμον οἱ Ἰνδοὶ ἔξω τῶν ἁμαξῶν, ἀλλ' ἐπιβεβηκότες αὐτῶν ἀφ' ὑψηλοῦ ἠκροβολίζοντο, γνοὺς Ἀλέξανδρος ὅτι οὐκ εἴη τῶν ἱππέων τὸ ἔργον, καταπηδήσας ἀπὸ τοῦ ἵππου πεζὸς ἐπῆγε τῶν πεζῶν τὴν φάλαγγα. (2) Καὶ ἀπὸ μὲν τῶν πρώτων ἁμαξῶν οὐ χαλεπῶς ἐδιάσαντο οἱ Μακεδόνες τοὺς Ἰνδούς· πρὸ δὲ τῶν δευτέρων οἱ Ἰνδοὶ παραταξάμενοι ῥᾷον ἀπεμάχοντο, οἷα δὴ πυκνότεροί τε ἐφεστηκότες ἐν ἐλάττονι τῷ κύκλῳ καὶ τῶν Μακεδόνων οὐ κατ' εὐρυχωρίαν ὡσαύτως προσαγόντων σφίσιν, ἐν ᾧ τάς τε πρώτας ἁμάξας ὑπεξῆγον καὶ κατὰ τὰ διαλείμματα αὐτῶν ὡς ἑκάστοις προὐχώρει ἀτάκτως προσέβαλλον· ἀλλὰ καὶ ἀπὸ τούτων ὅμως ἐξώσθησαν οἱ Ἰνδοὶ βιασθέντες πρὸς τῆς φάλαγγος. (3) Οἱ δὲ οὐκέτι ἐπὶ τῶν τρίτων ἔμενον, ἀλλ' ὡς τάχους εἶχον φυγῇ εἰς τὴν πόλιν κατεκλείσθησαν. Καὶ Ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιεστρατοπέδευσε τοῖς πεζοῖς τὴν πόλιν ὅσα γε ἠδυνήθη αὐτῷ περιβαλεῖν ἡ φάλαγξ· ἐπὶ πολὺ γὰρ ἐπέχον τὸ τεῖχος τῷ στρατοπέδῳ κυκλώσασθαι οὐ δυνατὸς ἐγένετο· (4) κατὰ δὲ τὰ διαλείποντα αὐτοῦ, ἵνα καὶ λίμνη οὐ μακρὰν τοῦ τείχους ἦν, τοὺς ἱππέας ἐπέταξεν ἐν κύκλῳ τῆς λίμνης, γνοὺς οὐ βαθεῖαν οὖσαν τὴν λίμνην καὶ ἅμα εἰκάσας ὅτι φοβεροὶ γενόμενοι οἱ Ἰνδοὶ ἀπὸ τῆς προτέρας ἥττης ἀπολείψουσι τῆς νυκτὸς τὴν πόλιν. (5) Καὶ ξυνέβη οὕτως ὅπως εἴκασεν· ἀμφὶ γὰρ δευτέραν φυλακὴν ἐκπίπτοντες ἐκ τοῦ τείχους οἱ πολλοὶ αὐτῶν ἐνέκυρσαν ταῖς προφυλακαῖς τῶν ἱππέων, καὶ οἱ μὲν πρῶτοι αὐτῶν κατεκόπησαν πρὸς τῶν ἱππέων· οἱ δὲ ἐπὶ τούτοις αἰσθόμενοι ὅτι φυλάσσεται ἐν κύκλῳ ἡ λίμνη ἐς τὴν πόλιν αὖθις ἀνεχώρησαν.

6. Ἀλέξανδρος δὲ χάρακί τε διπλῷ περιβάλλει ἵναπερ μὴ εἶργεν ἡ λίμνη τὴν πόλιν καὶ φυλακὰς ἐν κύκλῳ τῆς λίμνης ἀκριβεστέρας κατέστησεν. Αὐτὸς δὲ μηχανὰς προσάγειν τῷ τείχει ἐπενόει, ὡς κατασείειν τὸ τεῖχος. Αὐτομολήσαντες δὲ αὐτῷ τῶν ἐκ τῆς πόλεώς τινες φράζουσιν ὅτι ἐν νῷ ἔχοιεν αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐκπίπτειν ἐκ τῆς πόλεως οἱ Ἰνδοὶ κατὰ τὴν λίμνην ἵναπερ τὸ ἐκλιπὲς ἦν τοῦ χάρακος. (7) Ὁ δὲ Πτολεμαῖον τὸν Λάγου ἐπιτάττει ἐνταῦθα, τῶν τε ὑπασπιστῶν αὐτῷ δοὺς χιλιαρχίας τρεῖς καὶ τοὺς Ἀγριᾶνας ξύμπαντας καὶ μίαν τάξιν τῶν τοξοτῶν, ἀποδείξας τὸ χωρίον ᾗπερ μάλιστα εἶχαζε βιάσεσθαι τοὺς βαρβάρους· Σὺ δὲ ἐπειδὰν αἴσθῃ, ἔφη, βιαζομένους ταύτῃ, αὐτὸς μὲν ξὺν τῇ στρατιᾷ εἶργειν τοὺς βαρβάρους τοῦ πρόσω, τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν· ὑμεῖς δέ, ἄνδρες ἡγεμόνες, ἐπειδὰν σημανθῇ, ξὺν τοῖς καθ' αὐτοὺς ἕκαστοι

statuerat, in currus Indorum ad lævam collocatos duxit. Hac enim facilior ad collem aditus fore videbatur, neque ita densus erat ex hac parte curruum ordo.

CAP. XXIII.

Postquam vero Indi adversus adductum equitatum extra currus non procurrerent, sed consensis iis tela ex editiore loco torquerent, equitatum parum idoneum ad hanc rem ratus, desiliens ex equo Alexander pedes ipse peditum phalangem in eos duxit. (2) Atqui a prima curruum serie non difficulter Indi a Macedonibus sunt repulsi. Ad secundum vero ordinem conferti facilius sese tuebantur, quippe quod et densiores in minori urbe curribus insisterent, et Macedones non ita spatioso loco in eos ferrentur dum et primos currus submovebant, et per illorum interstilia, prout quisque poterat, inordinate irrumpebant. Ceterum iis etiam curribus Indi a phalange depulsi sunt. (3) Neque in tertio curruum ordine diutius restiterunt, sed fuga quam celerrima potuerunt sese in urbem receperunt: quibus ea conclusis, Alexander eo ipso die peditum copiis, quatenus phalanx sufficiebat, oppidum obsedit. Murus enim in circuitu amplior erat, quam ut ab exercitu totus in orbem cingi posset. (4) Vacuis vero peditatu locis, ubi et stagnum quoddam non procul a muris situm erat, equitatum circa hoc stagnum collocavit, sciens stagnum id parum profundum esse simulque facile conjiciens, Indos cladis acceptæ metu perculsos noctu urbem deserturos. (5) Quod quidem ita ut cogitarat evenit. Nam circiter secundam noctis vigiliam plerique eorum urbe elapsi, in equitum procubias inciderunt. Quorum quidem primi ab equitibus cæsi sunt: alii hos secuti quum stagnum equitatu circumsessum esse sensissent, rursus in urbem sese receperunt.

6. Alexander urbem, ea parte qua stagnum impediebat excepta, duplici vallo in orbem cingit, et accuratiores ad circuitum stagni custodias locat. Ipse tormenta muris admovere eosque quatere statuit, quum transfugæ quidam ex urbe ad eum venientes nuntiarunt Indos ea nocte ex urbe sese subducere constituisse circa stagnum ea parte qua vallum desinebat. (7) Alexander Ptolemæum Lagi f. eo loco statuit, scutatorum tria millia ei adjungens, Agrianos omnes, unumque sagittariorum agmen, ostenso loco qua verisimile erat barbaros erupturos: mandatis additis, ut simulac eos eruptionem tentantes sensisset, ipse cum exercitu transitu prohibeat: tubicini ut signum tuba det jubeat. Ducibus etiam imperat, ut statim audito signo cum suis quisque

ξυντεταγμένοι ἰέναι ἐπὶ τὸν θόρυβον ἵν' ἂν ἡ σάλπιγξ παρακαλῇ. Ἀποστατήσω δὲ οὐδὲ ἐγὼ τοῦ ἔργου.

ΚΕΦ. ΚΔ'.

Ὁ μὲν ταῦτα παρήγγειλε· Πτολεμαῖος δὲ ἁμάξας τε ἐκ τῶν ἀπολελειμμένων ἐν τῇ πρώτῃ φυγῇ ἁμαξῶν ταύτῃ ξυναγαγὼν ὡς πλείστας κατέστησεν ἐγκαρσίας, ἵνα πολλὰ ἐν νυκτὶ τὰ ἄπορα φαίνηται τοῖς φεύγουσι, καὶ τοῦ χάρακος τοῦ κεκομμένου τε καὶ οὐ καταπηχθέντος συννῆσαι ἄλλῃ καὶ ἄλλῃ ἐκέλευσεν ἐν μέσῳ τῆς τε λίμνης καὶ τοῦ τείχους. Καὶ ταῦτα αὐτῷ οἱ στρατιῶται ἐν τῇ νυκτὶ ἐξειργάσαντο. (2) Ἦδη τε ἦν ἀμφὶ τετάρτην φυλακὴν καὶ οἱ βάρβαροι, καθάπερ ἐξήγγελτο Ἀλεξάνδρῳ, ἀνοίξαντες τὰς ὡς ἐπὶ τὴν λίμνην πύλας ὁρόμῳ ἐπ' αὐτὴν ἐφέροντο. Οὐ μὴν ἔλαθον τὰς ταύτῃ φυλακὰς οὐδὲ Πτολεμαῖον τὸν ἐπ' αὐταῖς τεταγμένον· ἀλλὰ ἐν τούτῳ οἵ τε σαλπιγκταὶ ἐσήμαινον αὐτῷ καὶ αὐτὸς τὴν στρατιὰν ὡπλισμένην τε καὶ ξυντεταγμένην ἔχων ἐχώρει ἐπὶ τοὺς βαρβάρους. (3) Τοῖς δὲ αἵ τε ἅμαξαι ἐμποδὼν ἦσαν καὶ ὁ χάραξ ἐν μέσῳ καταβεβλημένος. Ὡς δὲ ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ οἱ ἀμφὶ Πτολεμαῖον προσέκειντο αὐτοῖς, τοὺς ἀεὶ ἐκπίπτοντας διὰ τῶν ἁμαξῶν καταικαίνοντες, ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν. Καὶ ἀπέθανον αὐτῶν ἐν τῇ ἀποχωρήσει ἐς πεντακοσίους.

4. Ἐν τούτῳ δὲ καὶ Πῶρος ἀφίκετο, τούς τε ὑπολοίπους ἐλέφαντας ἅμα οἵ ἄγων καὶ τῶν Ἰνδῶν ἐς πεντακισχιλίους· αἵ τε μηχαναὶ Ἀλεξάνδρῳ ξυμπεπηγμέναι ἦσαν καὶ προσήγοντο ἤδη τῷ τείχει. Ἀλλὰ οἱ Μακεδόνες, πρὶν καὶ κατασεισθῆναί τι τοῦ τείχους, ὑποῤῥύντοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος καὶ τὰς κλίμακας ἐν κύκλῳ πάντῃ προσθέντες αἱροῦσι κατὰ κράτος τὴν πόλιν. (5) Καὶ ἀποθνήσκουσι μὲν ἐν τῇ καταλήψει τῶν Ἰνδῶν ἐς μυρίους καὶ ἑπτακισχιλίους, ἑάλωσαν δὲ ὑπὲρ τὰς ἑπτὰ μυριάδας καὶ ἅρματα τριακόσια καὶ ἱππεῖς πεντακόσιοι. Τῆς δὲ ξὺν Ἀλεξάνδρῳ στρατιᾶς ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν ἐν τῇ πάσῃ πολιορκίᾳ· τραυματίαι δὲ οὐ κατὰ τὸ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλ' ὑπὲρ τοὺς χιλίους καὶ διακοσίους, καὶ ἐν τούτοις τῶν ἡγεμόνων ἄλλοι τε καὶ Λυσίμαχος ὁ σωματοφύλαξ.

6. Θάψας δὲ ὡς νόμος αὐτῷ τοὺς τελευτήσαντας, Εὐμένη τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις τὰς ξυναφεστώσας τοῖς Σαγγάλοις, δοὺς αὐτῷ τῶν ἱππέων ἐς τριακοσίους, φράσοντας τοῖς ἔχουσι τὰς πόλεις τῶν τε Σαγγάλων τὴν ἅλωσιν καὶ ὅτι αὐτοῖς οὐδὲν ἔσται χαλεπὸν ἐξ Ἀλεξάνδρου ὑπομένουσί τε καὶ δεχομένοις φιλίως Ἀλέξανδρον· οὐδὲ γὰρ οὐδὲ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων Ἰνδῶν ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν. (7) Οἱ δέ (ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἁλωκότα πρὸς Ἀλεξάνδρου τὰ Σάγγαλα) φοβεροὶ γενόμενοι ἔφευγον ἀπολιπόντες τὰς πόλεις. Καὶ Ἀλέξανδρος,

copiis, quo tuba vocaverit advolent. Se quoque pugnæ non defuturum promittit.

CAP. XXIV.

Atque hæc quidem Alexander quum imperasset, Ptolemæus multis curribus qui in prima illa fuga relicti fuerant collectis, transversos eos in via disponit, ut plures fugientibus per noctem difficultates apparerent; præterea quod erat vallorum jam cæsum at nondum in terram depactum connecti inter se hic illic in loco inter stagnum et murum medio jubet. Quod quidem ea nocte a militibus confectum est. (2) Barbari sub quartam noctis vigiliam, quemadmodum Alexandro significatum fuerat, effusi portis quæ ad stagnum vergebant, cursim eo ferebantur, sed neque procubias, neque Ptolemæum post eas constitutum latere potuerunt. In hoc rerum statu tubicines signum dant; ipse cum exercitu armato atque in ordinem redacto in barbaros contendit. (3) At vero currus et vallum loco inter stagnum medio ductum, magno barbaris impedimento erant. Quum vero ad tubæ sonitum Ptolemæi copiæ acriter in eos ferrentur, magnamque eorum qui subinde per currus penetrabant stragem ederent, rursus in urbem confugiunt: quingenti barbari in ea fuga cæsi.

4. Interea Porus advenit reliquos elephantos adducens, et Indorum VII. Jamque et machinæ Alexandro confectæ erant et muris admovebantur. Macedones vero vel antequam ullam mœnium partem quassarent, lateritio muro suffosso scalisque omni ex parte admotis, urbem vi capiunt. (5) In ejus urbis expugnatione XVII millia Indorum trucidata sunt: capti supra LXX millia, currus CCC, equites II. De Alexandri exercitu circiter centum in universa obsidione desiderati, vulnerati fuerunt non pro numero cæsorum, supra mille et ducentos; mille enim circiter in his cum alii duces tum Lysimachus corporis custos.

6. Posthæc Alexander, cæsis patrio more sepultis, Eumenem scribam ad duas urbes, quæ una cum Sangalis defecerant, mittit, trecentis equitibus ei adjunctis, qui oppidanis denuntient, Sangala urbem abs se expugnatam esse, nihil vero ipsis sinistri eventurum, si Alexandri imperium non detrectantes amice eum excipiant; ut nec aliis Indis libere viventibus accidisset, qui voluntariam deditionem fecissent. (7) Sed hi jam antea de Sangalorum expugnatione certiores facti, metu perculsi desertis urbibus fugerant. Quorum fuga cognita, Alexander acriter eos insecutus est. At multi eorum fuga evaserunt; multo

ἐπειδὴ ἐξηγγέλθη αὐτῷ ἡ φυγή, σπουδῇ ἐδίωκεν· ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔφθασαν ἀποφυγόντες, διὰ μακροῦ γὰρ ἡ δίωξις ἐγίγνετο· ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν ἀσθενείᾳ ὑπελείποντο, οὗτοι ἐγκαταληφθέντες πρὸς τῆς στρατιᾶς ἀπέθανον ἐς πενταχοσίους μάλιστα. (8) Ὡς δὲ ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας, ἐπανελθὼν ἐς τὰ Σάγγαλα, τὴν πόλιν μὲν κατέσκαψε, τὴν χώραν δὲ τῶν Ἰνδῶν τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκουσίως προσχωρήσασι προσέθηκε. Καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμφ' αὐτὸν ἐκπέμπει ἐπὶ τὰς πόλεις αἳ προσκεχωρήκεσαν, φρουρὰς εἰσάξοντα εἰς αὐτάς· αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὑφασιν ποταμὸν προὐχώρει, ὡς καὶ τοὺς ἐπ' ἐκεῖνα Ἰνδοὺς καταστρέψαιτο. Οὐδὲ ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου ἔστε ὑπελείπετό τι πολέμιον.

enim postea quam fugerant tempore insequi coeptum est. Quotquot vero e fuga ob valetudinem relicti sunt, quingenti circiter, ab exercitu comprehensi cæsique sunt. (8) Deposita itaque spe assequendi fugientes, Sangala reversus, urbem solo æquavit: regionem autem ipsam Indis, qui antea libere legibus suis vivebant et sponte deditionem fecerant, attribuit. Ac Porum quidem cum copiis suis ad urbes quæ deditionem fecerant mittit, præsidia iis impositurum; ipse cum exercitu ad Hyphasin amnem processit, Indos qui trans flumen habitabant, subacturus. Neque enim ullum belli finem cernebat, quamdiu aliquid hostile superesset.

ΚΕΦ. ΚΕ'.

Τὰ δὲ δὴ πέραν τοῦ Ὑφάσιος ποταμοῦ εὐδαίμονά τε τὴν χώραν εἶναι ἐξηγγέλλετο καὶ ἀνθρώπους ἀγαθοὺς μὲν γῆς ἐργάτας, γενναίους δὲ τὰ πολέμια καὶ ἐς τὰ ἴδια δὲ σφῶν ἐν κόσμῳ πολιτεύοντας· πρὸς γὰρ τῶν ἀρίστων ἄρχεσθαι τοὺς πολλούς, τοὺς δὲ οὐδὲν ἔξω τοῦ ἐπιεικοῦς ἐξηγεῖσθαι. Πλῆθός τε ἐλεφάντων εἶναι τοῖς ταύτῃ ἀνθρώποις πολύ τι ὑπὲρ τοὺς ἄλλους Ἰνδοὺς καὶ μεγέθει μεγίστους καὶ ἀνδρείᾳ. (2) Ταῦτα δὲ ἐξαγγελλόμενα Ἀλέξανδρον μὲν παρώξυνεν ἐς ἐπιθυμίαν τοῦ πρόσω ἰέναι· οἱ Μακεδόνες δὲ ἐξέκαμνον ἤδη ταῖς γνώμαις, πόνους τε ἐκ πόνων καὶ κινδύνους ἐκ κινδύνων ἐπαναιρούμενον ὁρῶντες τὸν βασιλέα· ξύλλογοί τε ἐγίγνοντο κατὰ τὸ στρατόπεδον τῶν μὲν τὰ σφέτερα ὀδυρομένων, ὅσοι ἐπιεικέστατοι, τῶν δὲ οὐκ ἀκολουθήσειν, οὐδ' ἢν ἄγῃ Ἀλέξανδρος, ἐπισχυριζομένων. Ταῦτα ὡς ἐπύθετο Ἀλέξανδρος, πρὶν καὶ ἐπὶ μεῖζον προελθεῖν τὴν ταραχὴν τοῖς στρατιώταις καὶ τὴν ἀθυμίαν, ξυγκαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἔλεξεν ὧδε.

3. « Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες Μακεδόνες τε καὶ ξύμμαχοι, οὐχ ὁμοίᾳ ἔτι τῇ γνώμῃ ἑπομένους μοι ἐς τοὺς κινδύνους, ξυνήγαγον ἐς ταὐτό, ὡς ἢ πείσας ἄγειν τοῦ πρόσω ἢ πεισθεὶς ὀπίσω ἀποστρέφεσθαι. Εἰ μὲν δὴ μεμπτοί εἰσιν ὑμῖν οἱ μέχρι δεῦρο πονηθέντες πόνοι καὶ αὐτὸς ἐγὼ ἡγούμενος, οὐδὲν ἔτι προὔργου λέγειν μοί ἐστιν. (4) Εἰ δὲ Ἰωνία τε πρὸς ὑμῶν διὰ τούσδε τοὺς πόνους ἔχεται καὶ Ἑλλήσποντος καὶ Φρύγες ἀμφότεροι καὶ Καππάδοκες καὶ Παφλαγόνες καὶ Λυδοὶ καὶ Κᾶρες καὶ Λύκιοι καὶ Παμφυλία τε καὶ Φοινίκη καὶ Αἴγυπτος ξὺν τῇ Λιβύῃ τῇ Ἑλληνικῇ καὶ Ἀραβίας ἔστιν ἃ καὶ Συρία ἥ τε κοίλη καὶ ἡ μέση τῶν ποταμῶν, (5) καὶ Βαβυλὼν δὲ ἔχεται καὶ τὸ Σουσίων ἔθνος καὶ Πέρσαι καὶ Μῆδοι καὶ ὅσων Πέρσαι καὶ Μῆδοι ἐπῆρχον, καὶ ὅσων δὲ οὐκ ἦρχον, τὰ ὑπὲρ τὰς Κασπίας πύλας, τὰ ἐπ' ἐκεῖνα τοῦ Καυκάσου, ὅ τι ἂν ἐς τὰ πρόσω ἔτι τοῦ Τανάϊδος,

CAP. XXV.

Porro regionem illam trans Hyphasin opulentam esse audierat, incolas et bonos agricolas et strenuos milites esse, privatim etiam composite vivere; plerasque enim civitates ab optimatibus regi nihilque ab iis inique decerni: majorem apud hosce quam apud ullos Indos elephantorum copiam esse et mole corporis roboreque excellere. (2) Quæ quidem Alexandro nuntiata, vehementi ejus animum ulterius procedendi studio exstimulabant. Macedonum vero animi jam fatiscere cœperant, quum regem labores ex laboribus suscipientem, pericula ex periculis adeuntem viderent. Conventus etiam in castris agebant, aliis, qui modestiores erant, fortunam suam deplorantibus: aliis se non secuturos etiam ducente rege affirmantibus. Quæ postquam cognovit Alexander, priusquam tumultus militaris simul et animorum abjectio longius serperet viresque acciperet convocatis ordinum ducibus ita disseruit.

3. « Quum intelligam vos, o Macedones et socii, non eadem qua soletis voluntate pericula mecum adire, idcirco hac mihi apud vos concione utendum esse putavi uti aut persuadens ulterius ducam, aut persuasus pedem referam. Porro, si neque labores in hunc usque diem actos, neque me qui ad eos subeundos dux vobis fui, probatis, non est quod pluribus vobiscum agam: (4) sin autem Ionia vobis hisce laboribus, Hellespontus, Phrygia utraque, Cappadocia, Paphlagonia, Lydia, Caria, Lycia, Pamphylia, Phœnice, et Ægyptus cum ea Libyæ parte quam Græci tenent, parta est: si Arabiæ etiam aliquam partem, et Syriam quæ Cœle et eam quæ Mesopotamia dicitur, (5) Babylonem præterea gentemque Susiorum subegistis: adhæc Persas ac Medos, gentesque omnes quæ horum imperio parebant, quæque non parebant: si regiones etiam trans portas Caspias, ultraque Caucasum positas, et qui ultra Tanaim habitant,

Βακτριανοί, Ὑρκάνιοι, ἡ θάλασσα ἡ Ὑρκανία, Σκύθας τε ἀνεστείλαμεν ἔστε ἐπὶ τὴν ἔρημον, ἐπὶ τούτοις μέντοι καὶ ὁ Ἰνδὸς ποταμὸς διὰ τῆς ἡμετέρας ῥεῖ, ὁ Ὑδάσπης διὰ τῆς ἡμετέρας, ὁ Ἀκεσίνης, ὁ Ὑδραώτης, τί ὀκνεῖτε καὶ τὸν Ὑφασιν καὶ τὰ ἐπ' ἐκεῖνα τοῦ Ὑφάσιος γένη προσθεῖναι τῇ ὑμετέρᾳ Μακεδόνων ἀρχῇ; (6) ἢ δέδιτε μὴ δέξωνται ὑμᾶς ἔτι ἄλλοι βάρβαροι ἐπιόντας; ὧν γε οἱ μὲν προσχωροῦσιν ἑκόντες, οἱ δὲ φεύγοντες ἁλίσκονται, οἱ δὲ ἀποφυγόντες τὴν χώραν ἡμῖν ἔρημον παραδιδόασιν, ἡ δὲ τοῖς ξυμμάχοις τε καὶ τοῖς ἑκουσίως προσχωρήσασι προστίθεται.

Bactrianos, Hyrcanios mareque Hyrcanium nobis subjecimus: si Scythas in solitudines repulimus, perfecimusque ut Indus amnis, Hydaspes, Acesines et Hydraotes per nostram ditionem fluant: quid cunctamini Hyphasin etiam, quæque ultra Hyphasin sunt gentes nostro Macedonum imperio adjicere? (6) An veremini ne alii adhuc barbari nos bellum inferentes excipiant? quum alii sua sponte deditionem faciant, alii fugientes capiantur, alii fuga elapsi regiones nobis ab incolis desertas relinquant, quas sociis et iis qui voluntarie sese dediderunt concedimus.

ΚΕΦ. ΚϚ'.

Πέρας δὲ τῶν πόνων γενναίῳ μὲν ἀνδρὶ οὐδὲν δοκῶ ἔγωγε ὅτι μὴ αὐτοὺς τοὺς πόνους, ὅσοι αὐτῶν ἐς καλὰ ἔργα φέρουσιν. Εἰ δέ τις καὶ αὐτῷ τῷ πολεμεῖν ποθεῖ ἀκοῦσαι ὅ τιπερ ἔσται πέρας, μαθέτω ὅτι οὐ πολλὴ ἔτι ἡμῖν ἡ λοιπή ἐστιν ἔστε ἐπὶ τὸν ποταμόν τε Γάγγην καὶ τὴν ἑῴαν θάλασσαν· ταύτῃ δὲ λέγω ὑμῖν ξυναφὴς φανεῖται ἡ Ὑρκανία θάλασσα· ἐκπεριέρχεται γὰρ γῆν περὶ πᾶσαν ἡ μεγάλη θάλασσα. (2) Καὶ ἐγὼ ἐπιδείξω Μακεδόσι τε καὶ τοῖς ξυμμάχοις τὸν μὲν Ἰνδικὸν κόλπον ξυῤῥοῦν ὄντα τῷ Περσικῷ, τὴν δὲ Ὑρκανίαν τῷ Ἰνδικῷ, ἀπὸ δὲ τοῦ Περσικοῦ εἰς Λιβύην περιπλευσθήσεται στόλῳ ἡμετέρῳ τὰ μέχρι Ἡρακλέους Στηλῶν· ἀπὸ δὲ Στηλῶν ἡ ἐντὸς Λιβύη πᾶσα ἡμετέρα γίγνεται, καὶ ἡ Ἀσία δὴ οὕτω πᾶσα, καὶ ὅροι τῆς ταύτῃ ἀρχῆς οὕσπερ καὶ τῆς γῆς ὅρους ὁ θεὸς ἐποίησε. (3) Νῦν δὲ δὴ ἀποτρεπομένων πολλὰ μὲν μάχιμα ὑπολείπεται γένη ἐπ' ἐκεῖνα τοῦ Ὑφάσιος ἔστε ἐπὶ τὴν ἑῴαν θάλασσαν, πολλὰ δὲ ἀπὸ τούτων ἔτι ἐπὶ τὴν Ὑρκανίαν ὡς ἐπὶ βορρᾶν ἄνεμον, καὶ τὰ Σκυθικὰ γένη οὐ πόῤῥω τούτων, ὥστε δέος μὴ ἀπελθόντων ὀπίσω καὶ τὰ νῦν κατεχόμενα οὐ βέβαια ὄντα ἐπαρθῇ πρὸς ἀπόστασιν πρὸς τῶν μήπω ἐχομένων. (4) Καὶ τότε δὴ ἀνόνητοι ἡμῖν ἔσονται οἱ πολλοὶ πόνοι ἢ ἄλλων αὖθις ἐξ ἀρχῆς δεήσει πόνων τε καὶ κινδύνων. Ἀλλὰ παραμείνατε, ἄνδρες Μακεδόνες καὶ ξύμμαχοι. Πονούντων τοι καὶ κινδυνευόντων τὰ καλὰ ἔργα· καὶ ζῆν τε ξὺν ἀρετῇ ἡδὺ καὶ ἀποθνήσκειν κλέος ἀθάνατον ὑπολειπομένους. (5) Ἢ οὐκ ἴστε ὅτι ὁ πρόγονος ὁ ἡμέτερος οὐκ ἐν Τίρυνθι οὐδ' ἐν Ἄργει, ἀλλ' οὐδὲ ἐν Πελοποννήσῳ ἢ Θήβαις μένων ἐς τοσόνδε κλέους ἦλθεν ὡς θεὸς ἐξ ἀνθρώπου γενέσθαι ἢ δοκεῖν; οὐ μὲν οὖν δὴ οὐδὲ Διονύσου, ἀκροτέρου τούτου θεοῦ ἢ καθ' Ἡρακλέα, ὀλίγοι πόνοι. Ἀλλὰ ἡμεῖς γε καὶ ἐπ' ἐκεῖνα τῆς Νύσης ἀφίγμεθα καὶ ἡ Ἄορνος πέτρα ἡ τῷ Ἡρακλεῖ ἀνάλωτος πρὸς ἡμῶν ἔχεται. (6) Ὑμεῖς δὲ καὶ τὰ ἔτι ὑπόλοιπα τῆς Ἀσίας πρόσθετε τοῖς ἤδη κεκτημένοις καὶ τὰ ὀλίγα τοῖς πολλοῖς. Ἐπεὶ καὶ ἡμῖν αὐτοῖς τί ἂν μέγα καὶ καλὸν κατεπέπρακτο, εἰ ἐν Μακεδονίᾳ καθήμενοι ἱκανὸν ἐποιούμεθα ἀπόνως τὴν οἰκείαν διασώζειν, Θρᾷκας

CAP. XXVI.

Ego vero nullum generoso viro laborum finem statuo, quam labores ipsos qui ad gloriam ac decus ducunt. Siquis tamen cupit cognoscere, quisnam bellandi finis futurus sit, is intelligat parum terræ nobis usque ad Gangem fluvium et orientalem Oceanum restare. Ibi (inquam) Hyrcanium mare huic conjunctum cernetis: ambit enim universum terrarum orbem Oceanus. (2) Tum ego vobis, Macedones ac socii, commonstrabo, Indicum quidem sinum cum Persico confluere, Hyrcanium vero cum Indico. A sinu vero Persico in Libyam usque ad Herculis columnas navigabimus. A columnis universa interior Libya nostra erit, tota etiam Asia: iidemque limites qui a deo orbi terrarum positi sunt, imperium nostrum terminabunt. (3) At si nunc revertamur, multæ quidem ultra Hyphasin ad orientalem usque oceanum bellicosæ gentes relinquuntur, multæ etiam septentrionem versus, ad mare usque Hyrcanium. Scythicæ quoque gentes non procul ab his remotæ sunt. Quare timendum nobis est ne retrocedentibus nobis ea etiam quæ nunc tenemus nondum satis stabilita, ab iis qui nondum subacti sunt ad defectionem incitentur. (4) Tum vero omnes acti labores nobis perierint, aut certe novi labores novaque pericula adeunda erunt. Quamobrem persistite, Macedones ac socii. Laborantium enim et periclitantium sunt præclara facinora; et vivere cum virtute jucundum est et mori immortalem nominis sui gloriam relinquentibus. (5) An ignoratis progenitorem nostrum nunquam ad tantam gloriam perventurum fuisse ut ex homine deus fieret aut haberetur, si apud Tirynthem aut Argos vel Peloponnesum aut Thebas deses mansisset? Sed neque Bacchi, cujus quidem sublimius quam Herculis numen est, exigui labores memorantur. Nos etiam ultra Nysam progressi sumus, et Aornos petra Herculi ipsi inexpugnabilis in nostra potestate est. (6) Vos itaque, quicquid in Asia reliqui est, iis quæ tenemus, pauca nimirum multis, adjicite. Siquidem nos etiam quidnam magnum ac memorabile in vita egissemus, si desides in Macedonia satis habuissemus, laboris expertes domesticam terram tueri,

τοὺς ὁμόρους ἢ Ἰλλυριοὺς ἢ Τριβαλλοὺς ἢ καὶ τῶν Ἑλλήνων ὅσοι οὐκ ἐπιτήδειοι ἐς τὰ ἡμέτερα ἀναστέλλοντες;

7. Εἰ μὲν δὴ ὑμᾶς πονοῦντας καὶ κινδυνεύοντας αὐτὸς ἀπόνως καὶ ἀκινδύνως ἐξηγούμενος ἦγον, οὐκ ἀπεικότως ἂν προεκάμνετε ταῖς γνώμαις, τῶν μὲν πόνων μόνοις ὑμῖν μετόν, τὰ δὲ ἆθλα αὐτῶν ἄλλοις περιποιοῦντες· νῦν δὲ κοινοὶ μὲν ἡμῖν οἱ πόνοι, ἴσον δὲ μέτεστι τῶν κινδύνων, τὰ δὲ ἆθλα ἐν μέσῳ κεῖται ξύμπασιν· (8) ἥ τε [γὰρ] χώρα ὑμετέρα καὶ ὑμεῖς αὐτῆς σατραπεύετε· καὶ τῶν χρημάτων τὸ μέρος νῦν τε ἐς ὑμᾶς τὸ πολὺ ἔρχεται καὶ ἐπειδὰν ἐπεξέλθωμεν τὴν Ἀσίαν, τότε οὐκ ἐμπλήσας μὰ Δί' ὑμᾶς, ἀλλὰ καὶ ὑπερβαλὼν ὅσα ἕκαστος ἐλπίζει ἀγαθὰ ἔσεσθαι τοὺς μὲν ἀπιέναι οἴκαδε ἐθέλοντας εἰς τὴν οἰκείαν ἀποπέμψω ἢ ἐπανάξω αὐτός· τοὺς δὲ αὐτοῦ μένοντας ζηλωτοὺς τοῖς ἀπερχομένοις ποιήσω. »

Thracas finitimos aut Illyrios aut Triballos vel eos qui ex Græcis nobis infesti erant propulsantes?

7. Quod si vobis labores et pericula adeuntibus ego dux vester nullam ipse laborum et periculorum partem subirem, non immerito animis caderetis, quippe qui labores vestros esse intelligeretis, præmiis vero laborum alios frui. At labores communes mihi vobiscum sunt, pericula ex æquo vobiscum adeo : præmia in medio proposita sunt omnibus. (8) Nam et regio ipsa vestra est, et vos ei præestis, et pecuniarum maxima pars ad vos pervenit. Quum vero tota Asia subacta fuerit, tum medius fidius spem exspectationemque cujusque vestrum non explebo tantum, verumetiam superabo. Quique in domos suas reverti voluerint dimittam, aut reducam ipse : qui vero permanserint, faxo ut iis qui discesserint invidiosi sint. »

ΚΕΦ. ΚΖ'.

Ταῦτα καὶ τὰ τοιαῦτα εἰπόντος Ἀλεξάνδρου πολὺν μὲν χρόνον σιωπὴ ἦν οὔτε ἀντιλέγειν τολμώντων πρὸς τὸν βασιλέα ἐκ τοῦ εὐθέος οὔτε ξυγχωρεῖν ἐθελόντων. Ἐν δὲ τούτῳ πολλάκις μὲν Ἀλέξανδρος ἐκέλευε λέγειν τὸν βουλόμενον, εἴ δή τις τὰ ἐναντία τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι γιγνώσκει· ἔμενε δὲ καὶ ὡς ἐπὶ πολὺ ἡ σιωπή· ὑψὲ δέ ποτε θαρσήσας Κοῖνος ὁ Πολεμοκράτους ἔλεξε τοιάδε.

2. « Ἐπειδὴ αὐτός, ὦ βασιλεῦ, οὐ κατὰ πρόσταγμα ἐθέλεις Μακεδόνων ἐξηγεῖσθαι, ἀλλὰ πείσας μὲν ἄξειν φῄς, πεισθεὶς δὲ οὐ βιάσεσθαι, οὐχ ὑπὲρ ἡμῶν τῶνδε ποιήσομαι ἐγὼ τοὺς λόγους, οἳ καὶ προτιμώμενοι τῶν ἄλλων καὶ τὰ ἆθλα τῶν πόνων οἱ πολλοὶ ἤδη κεκομισμένοι καὶ τῷ κρατιστεύειν παρὰ τοὺς ἄλλους πρόθυμοί σοι ἐς πάντα ἐσμέν, ἀλλ' ὑπὲρ τῆς στρατιᾶς τῆς πολλῆς. (3) Οὐδὲ ὑπὲρ ταύτης τὰ καθ' ἡδονὴν ἐκείνοις ἐρῶ, ἀλλ' ἃ νομίζω ξύμφορά τέ σοι ἐς τὰ παρόντα καὶ ἐς τὰ μέλλοντα μάλιστα ἀσφαλῆ εἶναι. Δίκαιος δέ εἰμι καθ' ἡλικίαν τε μὴ ἀποκρύπτεσθαι τὰ δοκοῦντα βέλτιστα καὶ κατὰ τὴν ἐκ σοῦ μοι οὖσαν ἐς τοὺς ἄλλους ἀξίωσιν καὶ κατὰ τὴν ἐν τοῖς πόνοις τε καὶ κινδύνοις ἐς τόδε ἀπροφάσιστον τόλμαν. (4) Ὅσῳ γάρ τοι πλεῖστα καὶ μέγιστά σοί τε ἡγουμένῳ καταπέπρακται καὶ τοῖς ἅμα σοὶ οἴκοθεν ὁρμηθεῖσι, τοσῷδε μᾶλλόν τι ξύμφορόν μοι δοκεῖ πέρας τι ἐπιθεῖναι τοῖς πόνοις τε καὶ κινδύνοις. Αὐτὸς γάρ τοι ὁρᾷς ὅσοι μὲν Μακεδόνων τε καὶ Ἑλλήνων ἅμα σοὶ ὡρμήθημεν, ὅσοι δὲ ὑπολελείμμεθα· (5) ὧν Θετταλοὺς μὲν ἀπὸ Βάκτρων εὐθύς, οὐ προθύμους ἔτι ἐς τοὺς πόνους αἰσθόμενος, οἴκαδε, καλῶς ποιῶν, ἀπέπεμψας· τῶν δὲ ἄλλων Ἑλλήνων οἱ μὲν ἐν ταῖς πόλεσι ταῖς πρὸς σοῦ οἰκισθείσαις κατῳκισμένοι οὐδ' οὗτοι πάντη ἑκόντες μένουσιν· οἱ δέ,

CAP. XXVII.

Hæc aliaque in hanc sententiam quum dixisset Alexander, altum quoddam silentium subsecutum est : quum neque aperte regis voluntati refragari auderent, neque assentiri vellent. Quumque identidem juberet Alexander, ut siquis rem secus atque ipse dixisset intelligeret, sententiam suam declararet : magnum tamen nihilominus omnes silentium tenuit. Tandem Cœnus Polemocratis F. sumpta audacia hunc in modum orsus est.

2. « Quoniam ipse, o rex, negas te imperiose Macedonibus præfuturum, sed, si persuaseris, ducturum te ulterius dicis : sin ipsi tibi persuaserint, nequaquam coacturum : non pro nobis copiarum ducibus, qui præ cæteris honore abs te affecti sumus et præmia laborum plerique jam accepimus, quique, quod nos præ aliis imperare voluisti, parati ad omnia tibi sumus, sed pro universo exercitu dicam. (3) Sed ne ea quidem quæ militibus cordi sint dicturus sum, sed quæ tibi cum in præsentia salutaria, tum in posterum tutissima fore censeo. Porro et ætas mea id postulat, ut quæ maxime expedire videantur non celem, et dignitas qua me etiam præ aliis ornare voluisti, tot denique a me labores, tot pericula audacter citra ullam tergiversationem adita. (4) Quo enim plura præclarioraque facinora cum abs te duce tum ab iis qui te e domibus suis secuti sunt, gesta fuerunt, eo magis e re esse judico finem aliquem laboribus ac periculis imponere. Vides enim ipse ex tanta Macedonum et Græcorum qui te secuti sumus multitudine, quam pauci reliqui simus. (5) Ex quibus Thessalos quidem statim a Bactris, quum alacritatem ad perferendos labores in eis imminutam sentires, domum, et recte quidem, remisisisti; reliquorum vero Græcorum alios in urbibus abs te conditis collocasti, qui nec ipsi quidem libenter ibi

ξυμπονοῦντές τε ἔτι καὶ ξυγκινδυνεύοντες αὐτοί τε καὶ ἡ Μακεδονικὴ στρατιά, τοὺς μὲν ἐν ταῖς μάχαις ἀπολωλέχασιν, οἱ δὲ ἐκ [τῶν] τραυμάτων ἀπόμαχοι γεγενημένοι ἄλλοι ἄλλῃ τῆς Ἀσίας ὑπολελειμμένοι εἰσίν· (6) οἱ πλείους δὲ νόσῳ ἀπολώλασιν, ὀλίγοι δὲ ἐκ πολλῶν ὑπολείπονται, καὶ οὔτε τοῖς σώμασιν ἔτι ὡσαύτως ἐρρωμένοι, ταῖς τε γνώμαις πολὺ ἔτι μᾶλλον προκεκμηκότες. Καὶ τούτοις ξύμπασι πόθος μὲν γονέων ἐστίν, ὅσοις ἔτι σώζονται, πόθος δὲ γυναικῶν καὶ παίδων, πόθος δὲ ὁπόσοις τῆς γῆς αὐτῆς τῆς οἰκείας, ἣν ξὺν τῷ ἐκ σοῦ πορισθέντι σφίσι κόσμῳ, μεγάλοι τε ἀντὶ μικρῶν καὶ πλούσιοι ἐκ πενήτων ἀναστρέφοντες, ξύγγνωστοί εἰσιν ἐπιδεῖν ποθοῦντες. (7) Σὺ δὲ νῦν μὴ ἄγειν ἄκοντας· οὐδὲ γὰρ ὁμοίοις ἔτι χρήσῃ ἐς τοὺς κινδύνους, οἷς τὸ ἑκούσιον ἐν τοῖς ἀγῶσιν ἀπέσται· ἐπανελθὼν δὲ αὐτός τε, εἰ δοκεῖ, ἐς τὴν οἰκείαν καὶ τὴν μητέρα τὴν σαυτοῦ ἰδὼν καὶ τὰ τῶν Ἑλλήνων καταστησάμενος καὶ τὰς νίκας ταύτας τὰς πολλὰς καὶ μεγάλας ἐς τὸν πατρῷον οἶκον κομίσας, οὕτω δὴ ἐξ ἀρχῆς ἄλλον στόλον στέλλεσθαι, εἰ μὲν βούλει, ἐπ' αὐτὰ ταῦτα τὰ πρὸς τὴν ἕω ὠκισμένα Ἰνδῶν γένη· εἰ δὲ βούλει, ἐς τὸν Εὔξεινον πόντον· εἰ δέ, ἐπὶ Καρχηδόνα καὶ τὰ ἐπ' ἐκεῖνα Καρχηδονίων τῆς Λιβύης. (8) Ταῦτα δὲ σὸν ἤδη ἐξηγεῖσθαι. Ἕψονται δέ σοι ἄλλοι Μακεδόνες καὶ ἄλλοι Ἕλληνες, νέοι τε ἀντὶ γερόντων καὶ ἀκμῆτες ἀντὶ κεκμηκότων, καὶ οἷς τὰ τοῦ πολέμου διὰ τὸ ἀπείρατον ἔς τε τὸ παραυτίκα οὐ φοβερὰ καὶ κατὰ τὴν τοῦ μέλλοντος ἐλπίδα ἐν σπουδῇ ἔσται· οὓς καὶ ταύτῃ ἔτι προθυμότερον ἀκολουθήσειν σοι εἰκός, ὁρῶντας τοὺς πρότερον ξυμπονήσαντάς τε καὶ ξυγκινδυνεύσαντας ἐς τὰ σφέτερα ἤθη ἐπανεληλυθότας, πλουσίους τε ἀντὶ πενήτων καὶ ἀντὶ ἀφανῶν τῶν πάλαι εὐκλεεῖς. (9) Καλὸν δέ, ὦ βασιλεῦ, εἴπερ τι καὶ ἄλλο, καὶ ἡ ἐν τῷ εὐτυχεῖν σωφροσύνη. Σοὶ μὲν γὰρ αὐτῷ ἡγουμένῳ καὶ στρατιὰν τοιαύτην ἄγοντι ἐκ μὲν πολεμίων δέος οὐδέν· τὰ δὲ ἐκ τοῦ δαιμονίου ἀδόκητά τε καὶ ταύτῃ καὶ ἀφύλακτα τοῖς ἀνθρώποις ἐστί. »

manent, alii tecum labores ac pericula adeuntes cum Macedonico exercitu, partim in præliis cæsi sunt, partim vulneribus inutiles ad pugnam effecti, in diversis Asiæ partibus relicti : (6) maxima vero pars morbo periit : pauci denique ex tanta multitudine supersunt, iique nec corporibus sunt perinde firmis, animis vero multo magis fracti. Atque iis quidem omnibus desiderium est parentum quibus adhuc supersunt, uxorum, liberorum, patriæ et soli natalis. Quorum desiderio si tanguntur, ornati præsertim abs te atque aucti, divitesque ex pauperibus effecti revertentes, certe veniam merentur. (7) Tu vero ne invitos ducito. Neque enim eosdem illos in periculis es experturus, quum voluntas adeundi certamina in iis non sit futura. Quin potius tu quoque, si placet, domum reversus matrem invisas, Græcorum simul res compositurus et tot tamque ingentes victorias in paternam domum reportaturus. Tum licebit tibi denuo novam expeditionem suscipere, sive adversus istas Indorum gentes quæ orientem versus sitæ sunt, sive malis in pontum Euxinum, sive in Carthaginem et Libyam quæ ultra Carthaginem est. (8) Tunc enim tui muneris erit exercitum quo libuerit ducere. Sequentur autem te alii Macedones, juniores pro senioribus, integri pro defessis, et quibus bellum, utpote inexpertis, non statim tanto terrori, et futurorum commodorum spe in votis erit : quos etiam tanto alacrius te secuturos esse verisimile est, quum eos qui tibi laborum atque periculorum socii exstiterunt in suas domos reversos videbunt, ex pauperibus opulentos, et ex obscuris claros. (9) Præclarum etiam est, o rex, si quicquam aliud, animo in secundis rebus moderari posse. Tibi quidem imperatori atque hujusmodi exercitum ducenti nihil ab hoste metuendum est : fortunæ vero inopinati sunt eventus, atque ideo hominibus inevitabiles. »

ΚΕΦ. ΚΗ'.

Τοιαῦτα εἰπόντος τοῦ Κοίνου θόρυβον γενέσθαι ἐκ τῶν παρόντων ἐπὶ τοῖς λόγοις· πολλοῖς δὲ δὴ καὶ δάκρυα προχυθέντα ἔτι μᾶλλον δηλῶσαι τό τε ἀκούσιον τῆς γνώμης ἐς τοὺς πρόσω κινδύνους καὶ τὸ καθ' ἡδονὴν σφισιν εἶναι τὴν ἀναχώρησιν. Ἀλέξανδρος δὲ τότε μὲν ἀχθεσθεὶς τοῦ τε Κοίνου τῇ παῤῥησίᾳ καὶ τῷ ὄκνῳ τῶν ἄλλων ἡγεμόνων διέλυσε τὸν ξύλλογον· (2) ἐς δὲ τὴν ὑστεραίαν ξυγκαλέσας αὖθις ξὺν ὀργῇ τοὺς αὐτοὺς αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω, βιάσεσθαι δὲ οὐδένα ἄκοντα Μακεδόνων ξυνέπεσθαι· ἔξειν γὰρ τοὺς ἀκολουθήσοντας τῷ βασιλεῖ σφῶν ἑκόντας· τοῖς δὲ καὶ ἀπιέναι οἴκαδε ἐθέλουσιν ὑπάρχειν ἀπιέναι καὶ ἐξαγγέλλειν τοῖς οἰκείοις ὅτι τὸν βασιλέα σφῶν ἐν μέσοις

CAP. XXVIII.

Hæc Cœni oratio fremitu quodam audientium excepta est. Multorum etiam lacrimæ subsecutæ sunt, quod ipsum majori documento erat, invitos sese ulteriora pericula adituros, reditum vero in patriam perjucundum ipsis fore. Alexander, Cœni libertate loquendi et reliquorum ducum ignavia offensus, concionem dimisit. (2) Qua postridie rursum iracunde convocata, se quidem ulterius perrecturum dixit; neminem vero Macedonum ad sequendum coacturum : neque enim defuturos qui regem suum sua sponte sequerentur; iis autem qui abire statuissent per se liberum esse, utque amicis nuntiarent sese rege suo in mediis hostibus destituto domum reverti. (3) Hæc quum dixisset, in

τοῖς πολεμίοις ἐπανήκουσιν ἀπολιπόντες. (3) Ταῦτα εἰπόντα ἀπελθεῖν ἐς τὴν σκηνήν, μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τε ἐκείνης τῆς ἡμέρας καὶ ἐς τὴν τρίτην ἔτι ἀπ' ἐκείνης, ὑπομένοντα εἰ δή τις τροπὴ ταῖς γνώμαις τῶν Μακεδόνων τε καὶ ξυμμάχων, οἷα δὴ ἐν ὄχλῳ στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι, ἐμπεσοῦσα εὐπειθεστέρους παρέξει αὐτούς. (4) Ὡς δὲ σιγὴ αὖ πολλὴ ἦν ἀνὰ τὸ στρατόπεδον καὶ ἀχθόμενοι μὲν τῇ ὀργῇ αὐτοῦ δῆλοι ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε ὑπ' αὐτῆς, ἐνταῦθα δὴ λέγει Πτολεμαῖος ὁ Λάγου ὅτι ἐπὶ τῇ διαβάσει οὐδὲν μεῖον ἐθύετο, θυομένῳ δὲ οὐκ ἐγίγνετο αὐτῷ τὰ ἱερά. Τότε δὴ τοὺς πρεσβυτάτους τε τῶν ἑταίρων καὶ μάλιστα τοὺς ἐπιτηδείους αὐτῷ συναγαγών, ὡς πάντα ἐς τὴν ὀπίσω ἀναχώρησιν αὐτῷ ἔφερεν, ἐκφαίνει ἐς τὴν στρατιὰν ὅτι ἔγνωσται ὀπίσω ἀποστρέφειν.

ΚΕΦ. ΚΘ'.

Οἱ δὲ ἐβόων τε οἷα ἂν ὄχλος ξυμμιγὴς χαίρων βοήσειε καὶ ἐδάκρυον οἱ πολλοὶ αὐτῶν· οἱ δὲ καὶ τῇ σκηνῇ τῇ βασιλικῇ πελάζοντες εὔχοντο Ἀλεξάνδρῳ πολλὰ καὶ ἀγαθά, ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο. Ἔνθα δὴ διελὼν κατὰ τάξεις τὴν στρατιὰν δώδεκα βωμοὺς κατασκευάζειν προστάττει, ὕψος μὲν κατὰ τοὺς μεγίστους πύργους, εὖρος δὲ μείζονας ἔτι ἢ κατὰ πύργους, χαριστήρια τοῖς θεοῖς τοῖς ἐς τοσόνδε ἀγαγοῦσιν αὐτὸν νικῶντα καὶ μνημεῖα τῶν αὐτοῦ πόνων. (2) Ὡς δὲ κατεσκευασμένοι αὐτῷ οἱ βωμοὶ ἦσαν, θύει δὴ ἐπ' αὐτῶν ὡς νόμος καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. Καὶ τὴν μὲν χώραν τὴν μέχρι τοῦ Ὑφάσιος ποταμοῦ Πώρῳ ἄρχειν προσέθηκεν, αὐτὸς δὲ ἐπὶ τὸν Ὑδραώτην ἀνέστρεφε. Διαβὰς δὲ τὸν Ὑδραώτην, ἐπὶ τὸν Ἀκεσίνην αὖ ἐπανῄει ὀπίσω. (3) Καὶ ἐνταῦθα καταλαμβάνει τὴν πόλιν ἐξῳκοδομημένην ἥντινα Ἡφαιστίων αὐτῷ ἐκτειχίσαι ἐτάχθη· καὶ ἐς ταύτην ξυνοικίσας τῶν τε προσχώρων ὅσοι ἐθελονταὶ κατῳκίζοντο καὶ τῶν μισθοφόρων ὅ τιπερ ἀπόμαχον, αὐτὸς τὰ ἐπὶ τῷ κατάπλῳ παρεσκευάζετο τῷ ἐς τὴν μεγάλην θάλασσαν.

4. Ἐν τούτῳ δὲ ἀφίκοντο πρὸς αὐτὸν Ἀρσάκης τε ὁ τῆς ὁμόρου Ἀβισάρῃ χώρας ὕπαρχος καὶ ὁ ἀδελφὸς Ἀβισάρου καὶ οἱ ἄλλοι οἰκεῖοι, δῶρά τε κομίζοντες ἃ μέγιστα παρ' Ἰνδοῖς καὶ τοὺς παρ' Ἀβισάρου ἐλέφαντας, ἐς τριάκοντα τὸν ἀριθμόν· Ἀβισάρην γὰρ νόσῳ ἀδύνατον γενέσθαι ἐλθεῖν. Συνέβαινον δὲ τούτοις καὶ οἱ παρ' Ἀλεξάνδρου ἐκπεμφθέντες πρέσβεις πρὸς Ἀβισάρην. (5) Καὶ ταῦτα οὐ χαλεπῶς πιστεύσας οὕτως ἔχειν Ἀβισάρῃ τε τῆς αὐτοῦ χώρας σατραπεύειν ἔδωκε καὶ Ἀρσάκην τῇ Ἀβισάρου ἐπικρατείᾳ προσέθηκε· καὶ φόρους οὕστινας ἀποίσουσι τάξας θύει αὖ καὶ ἐπὶ τῷ Ἀκεσίνῃ ποταμῷ. Καὶ τὸν Ἀκεσίνην αὖ διαβὰς ἐπὶ τὸν Ὑδάσπην ἦκεν, ἵνα καὶ τῶν πόλεων τῆς τε Νι-

tabernaculum se recepit, neque quemquam amicorum ad tertium ab eo diem in colloquium admisit: exspectans siqua forte animorum mutatio, ut plerunque in turba militari evenire solet, Macedonibus ac sociis incideret, quæ faciliores persuasu eos redderet. (4) Ceterum quum exercitus in eodem silentio persisteret, satisque intelligeretur milites indignatione Alexandri vehementer commotos esse, animis tamen non mutari: tum, ut auctor est Ptolemæus Lagi F., nihilominus pro transitu sacrum fecit. Quumque exta infaustos eventus portendissent, convocatis amicis qui et ætate grandiores maximeque familiares ei erant, quoniam omnia illum ab ulteriore profectione revocarent, exercitui declarasse, statutum sibi esse domum reverti.

CAP. XXIX.

Hanc vocem lamore, qualis a multitudine lætitiam significante edi solet exceptam fuisse: multis lacrymas erupisse. Alios ad regium tabernaculum accessisse, multa Alexandro fausta precantes, quod ab ipsis solis vinci se passus esset. Eo loci diviso per ordines exercitu, XII aras exstrui jubet, altitudine quidem maximis turribus bellicis pares, latitudine, quam quæ turrium est, majore. Quibus diis gratias agebat quod ipsum eo usque victorem perduxissent, et laborum suorum monumenta consecrabat. (2) Exstructis itaque aris, sacrificium patrio more in aris illis peragit. Ludos etiam gymnicos et equestres facit: totique regioni ad Hyphasin amnem usque Porum præficit. Ipse ad Hydraoten fluvium redit. Quo trajecto ad Acesinem retrocedit. (3) Atque ibi urbem exædificatam reperit, ad quam condendam Hephæstion ab eo relictus fuerat: in quam inductis colonis ex finitimis quicunque in eam commigrare vellent, et mercenariis ad militiam ineptis, ipse quæ ad navigationem Oceani necessaria erant parare cœpit.

4. In hoc rerum statu Arsaces, provinciæ Abisari finitimæ præses, et frater Abisaris aliique amici ad eum venerunt, dona adferentes quæ apud Indos censentur maxima: elephantos etiam ab Abisare missos triginta: Abisarem ipsum morbo impeditum venire non potuisse dicentes. Quod quum et legati qui ab Alexandro ad Abisarem missi fuerant confirmarent, (5) facile persuasus rem ita se habere, Abisarem provinciæ ipsius satrapam constituit atque Arsacem Abisaris imperio adjunxit: et tributis quæ penderent imperatis, ad Acesinem fluvium rursus sacrificium fecit. Quo transmisso, ad Hydaspen venit. Ubi quicquid

καίας καὶ τῶν Βουκεφάλων ὅσα πρὸς τῶν ὄμβρων πεπονηκότα ἦν ξὺν τῇ στρατιᾷ ἐπεσκεύασε καὶ τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.

in Nicæa et Bucephalis imbres corruperant, militum opera instauravit, aliaque ad regionis illius custodiam pertinentia curavit.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

LIBER SEXTUS.

ΚΕΦ. Α'.

CAP. I.

Ἀλέξανδρος δέ, ἐπειδὴ παρεσκευάσθησαν αὐτῷ ἐπὶ τοῦ Ὑδάσπου ταῖς ὄχθαις πολλαὶ μὲν τριακόντοροι καὶ ἡμιόλιαι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν στρατιᾶς ποταμῷ εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν Ὑδάσπην ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. (2) Πρότερον μέν γε ἐν τῷ Ἰνδῷ ποταμῷ κροκοδείλους ἰδών, μόνῳ τῶν ἄλλων ποταμῶν πλὴν Νείλου, πρὸς δὲ ταῖς ὄχθαις τοῦ Ἀκεσίνου κυάμους πεφυκότας ὁποίους ἡ γῆ ἐκφέρει ἡ Αἰγυπτία, καὶ ἀκούσας ὅτι ὁ Ἀκεσίνης ἐμβάλλει εἰς τὸν Ἰνδόν, ἔδοξεν ἐξευρηκέναι τοῦ Νείλου τὰς ἀρχάς, (3) ὡς τὸν Νεῖλον ἐνθένδε ποθὲν ἐξ Ἰνδῶν ἀνίσχοντα καὶ δι' ἐρήμου πολλῆς γῆς ῥέοντα καὶ ταύτῃ ἀπολλύοντα τὸν Ἰνδὸν τὸ ὄνομα, ἔπειτα ὁπόθεν ἄρχεται διὰ τῆς οἰκουμένης χώρας ῥεῖν Νεῖλον ἤδη πρὸς Αἰθιόπων τε τῶν ταύτῃ καὶ Αἰγυπτίων καλούμενον, ὡς Ὅμηρος ἐποίησεν ἐπώνυμον τῆς Αἰγύπτου Αἴγυπτον, οὕτω δὴ ἐκδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν. (4) Καὶ δὴ καὶ πρὸς Ὀλυμπιάδα γράφοντα ὑπὲρ τῶν Ἰνδῶν τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη αὐτῷ ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς, μικροῖς δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον. (5) Ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῷ ποταμῷ τῷ Ἰνδῷ, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων τὸν μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην δὲ τῷ Ἰνδῷ τό τε ὕδωρ ξυμβάλλοντας καὶ τῷ ὀνόματι ξυγχωροῦντας, τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν, δίστομον τὸν Ἰνδὸν ὄντα, οὐδέν τι αὐτῷ προσῆκον τῆς γῆς τῆς Αἰγυπτίας, τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς τὴν μητέρα τοῦτο τὸ ἀμφὶ τῷ Νείλῳ γραφὲν ἀφελεῖν. (6) Καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί οἱ ἐπὶ τῷδε κελεῦσαι τὰς ναῦς. Αἱ δὲ ὑπηρεσίαι αὐτῷ ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων.

Alexander quum jam ad Hydaspis ripas multas triginta remorum naves et biremes paratas haberet, multas etiam transmittendis equis aptas, cæteraque omnia ad vehendum exercitum necessaria, per Hydaspem ad Oceanum navigare statuit. (2) Quumque antea in Indo amne, solo ex reliquis fluminibus præter Nilum, crocodilos vidisset, fabas etiam ad Acesinis ripas, quales Ægyptia tellus fert, audissetque Acesinem in Indum fluere: Nili se caput reperisse arbitrabatur: (3) suspicatus Nilum inde uspiam in India oriri et per ingentes solitudines fluere, ibique Indum nomen amittere: deinde unde incipit per cultam regionem labi, et Nilum jam ab Æthiopibus ea loca colentibus atque Ægyptiis vocatum, quemadmodum etiam Homerus Nilum communi cum Ægypti regione nomine Ægyptum nominavit, atque ita in interius mare fluere. (4) Itaque Alexander ad Olympiadem de Indorum regione scribens, inter alia hoc scribebat, existimare se fontes Nili reperisse: parvis quibusdam atque inanibus conjecturis in re tanti momenti usus. (5) Quum vero accuratius de Indo flumine inquisisset, ab incolis edoctus est Hydaspem in Acesinem, hunc autem in Indum, nomina sua amittentes labi, Indum porro duplici ostio in Oceanum ferri, nec ad eum quicquam Ægyptum pertinere: ac tum demum id quod ad matrem suam de Nilo scripserat ex epistola delevisse: (6) navigationeque ad Oceanum per flumina decreta, naves ad hoc parari jussisse. Ministeria navium ei a Phœnicibus, Cypriis, Caribus et Ægyptiis exercitum sequutis expleta sunt.

ΚΕΦ. Β'.

CAP. II.

Ἐν δὲ τούτῳ Κοῖνος μέν, ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων, νόσῳ τελευτᾷ· καὶ τοῦτον θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. Αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ'

Per id tempus Cœnus ex intimis fidelissimisque Alexandri amicis, morbo interiit. Quo magnifice pro eo ac tempus ferebat sepulto, ipse convocatis amicis, omnibusque Indorum legatis ad se profectis, universæ Indicæ regionis

αὐτὸν ἀφιγμένοι ἦσαν, βασιλέα μὲν τῆς ἁλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. (2) Τὴν στρατιὰν δὲ διένειμεν ὧδε. Αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὸ ἄγημα τῶν ἱππέων. Κράτερος δὲ αὐτῷ μοῖράν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγε· κατὰ δὲ τὴν ἑτέραν ὄχθην τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προὐχώρει ἄγων, ἤδη ὄντας ἐς διακοσίους· τούτοις δὲ ἦν παρηγγελμένον ὡς τάχιστα ἄγειν ἵναπερ τὰ Σωπείθου βασίλεια· (3) Φιλίππῳ δὲ τῷ σατράπῃ τῆς ἐπ' ἐκεῖνα τοῦ Ἰνδοῦ ὡς ἐπὶ Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ' αὐτόν. Τοὺς ἱππέας δὲ τοὺς Νυσαίους ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. Τοῦ μὲν δὴ ναυτικοῦ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε καὶ τοῦτο ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα. (4) Ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν, ὡς λέγει Πτολεμαῖος ὁ Λάγου, ᾧ μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα· τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκούροις καὶ ὅσα ἄλλα ποτάμια ἢ τῶν πάλαι πλεόντων κατὰ τοὺς ποταμοὺς ἢ ἐν τῷ τότε ποιηθέντων οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων.

ΚΕΦ. Γ'.

Ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ ὅπως οἱ μάντεις ἐξηγοῦντο. Καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρῴρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ, ὄντινα μέγιστον αὖ τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν Ἰνδόν, ἐς ὄντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλλει. (2) Ἐπεὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας καὶ Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι. Ἅμα τε δὴ ἐσημάνθη καὶ ἀνήγοντο ἐν κόσμῳ. Παρήγγελτο γὰρ ἐφ' ὅσον τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι καὶ ἐφ' ὅσον τὰ ἱππαγωγά, ἐφ' ὅσον τε τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεούσας· καὶ ταῖς ταχυναυτούσαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως. (3) Ἦν δὲ ὅ τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ ἐοικώς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε τῶν κελευστῶν ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῆς εἰρεσίας, καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοντες τῷ ῥοθίῳ ἐπαλαλάξειαν· αἵ τε ὄχθαι, ὑψηλότεραι τῶν νεῶν πολλαχῇ οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγουσαι καὶ τῇ ξυνα-

als se victæ Porum regem constituit, gentium quidem ormnino septem, urbium autem quas gentes illæ incolebant supra mm. (2) Post hæc exercitum ita dividit. Scutatos omnes et sagittarios atque Agrianos et equitum agema secum navibus imponit : Craterus ei pelitum atque equitum partem ad dexteram Hydaspis ripam duxit. Ad sinistram ripam Hephæstionem cum majore melioreque exercitus parte, atque elephantis quorum jam erant circa cc procedere jubet. His imperatum erat ut quam celerrime ad Sopithi regiam contendant. (3) Philippo autem præfecto regionis ultra Indum sitæ quæ ad Bactrianos vergit, jussum erat elapso triduo cum suis copiis sequi. Nysæos vero equites Nysam remittit. Nearchum universæ classi præficit. Onesicritum navis suæ gubernatorem constituit, qui quidem in ea historia quam de Alexandro conscripsit etiam hoc mentitur, quod se classis præfectum fuisse scribit, quum gubernator navis tantum esset. (7) Erat autem navium omnium numerus, ut Ptolemæus Lagi filius tradit, quem ego potissimum sequor, naves triginta remorum circa lxxx, et in universum omnes naves, tam quæ equos vehebant, quam actuariæ et fluviales, quæ aut multo ante, aut tum temporis constructæ fuerant, circiter mm

CAP. III.

Omnibus itaque rebus ad navigationem præparatis, exercitus sub auroram naves conscendit. Ipse patrio more diis et Hydaspi flumini ex vatum præscripto sacrum fecit : conscensaque nave, ex aurea phiala a prora in flumen libavit, Acesinem simul et Hydaspen invocans, quem quidem Acesinem reliquorum fluviorum maximum in Hydaspen fluere acceperat, et confluentes non procul inde abesse, Indum etiam invocans, in quem Acesines cum Hydaspe fertur. (2) Deinde quum Herculi progenitori libasset, simulque Ammoni et aliis diis quibus consueverat, signum deducendis navibus tuba dari jubet : quo audito, statim naves ordine deducuntur. Imperatum enim erat quanto spatio onerarias, quanto hippagines, quanto bellicas naves sejunctas inter se esse oporteret : ne temere nulloque ordine navigantes colliderentur, neque iis quæ velociores erant interrupto ordine alias prævertere permittebatur. (3) Miranda res erat, remorum sonitum exaudire, tot navibus uno temporis momento remigantibus, et hortatoribus suo celeusmate remigationis initium intermissionemque prascribentibus, tot remigum uno impetu flumen remis verberantium clamoribus sublatis. Ripæ etiam ipsæ navibus multo altiores, clamorem in arctum redigentes multo ve-

γωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον· καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τε ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου καὶ αὖται ξυνεπελάμβανον· (4) οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀρθέντες ἐν τῇ Ἰνδῶν γῇ, (καὶ γὰρ καὶ τὸν Διονύσου ἐπ' Ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο γενέσθαι ναυτικόν,) ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων, ὥστε οἱ μὲν αὐτῶν αὐτόθεν τῇ ἀναγωγῇ παραγενόμενοι ἐπὶ πολὺ ἐφωμάρτουν· (5) ἐς ὅσους δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας ἐξίκετο, καὶ οὗτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον καὶ ξυνείποντο ἐπάδοντες βαρβαρικῶς. Φιλῳδοὶ γάρ, εἴπερ τινὲς ἄλλοι, Ἰνδοὶ καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.

ΚΕΦ. Δ'.

Οὕτω δὴ πλέων τρίτῃ γε ἡμέρᾳ κατέσχεν ἵναπερ Ἡφαιστίωνί τε καὶ Κρατέρῳ κατὰ τὸ αὐτὸ στρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέραν ὄχθαις παρήγγελτο. Μείνας δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ στρατιᾷ ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἦκε, τάξας παρὰ τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δὲ ἀμφὶ Κράτερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. (2) Αὐτὸς δὲ ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμόν, οὐδαμοῦ μείονα ἐν τῷ κατάπλῳ εἴκοσι σταδίων τὸ εὖρος. Προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις τοὺς προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδῶν τοὺς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις κατελάμβανεν· ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας βίᾳ κατεστρέψατο. (3) Αὐτὸς δὲ ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ Ἰνδῶν πυνθανόμενος καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι ἐς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν· ἐφ' ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ τε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένῳ προσφέρηται. (4) Ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, καὶ πέμπτῃ ἡμέρᾳ ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου. Ἵνα δὲ ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενώτατος εἷς ποταμὸς ἐκ τοῖν δυοῖν γίγνεται καὶ τὸ ῥεῦμα αὐτῷ ὀξὺ ἐπὶ τῇ στενότητι καὶ δῖναι ἄτοποι ὑποστρέφοντος τοῦ ῥοῦ, καὶ τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα, ὡς καὶ πόρρω ἔτι ὄντων ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος. (5) Καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα Ἀλεξάνδρῳ ἐκ τῶν ἐγχωρίων καὶ Ἀλεξάνδρου τῇ στρατιᾷ· ὅμως δὲ ἐπειδὴ ἐπέλαζεν αὐτῷ ταῖς ξυμβολαῖς ὁ στρατός, ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, hementiorem illum compressione redditum reperculiebant, et alicubi etiam nemora utrimque ripis circumjecta sonitum illum remorum excipientia multo auctiorem sua solitudine et repercussione efficiebant. (4) Equi etiam in hippaginibus visi, (neque enim unquam antea Indi equos navibus vehi viderant, neque Bacchi in Indos expeditionem navalem fuisse memorabant) magnam barbaris admirationem inferebant, adeo ut ii qui jam aderant quum classis deduceretur per longum prosequerentur: (5) quotquot vero Indi Alexandro amici e remotioribus locis remigiorum sonitum exaudierant, etiam hi ad ripam accurrerent et barbarico ritu accinentes comitarentur. Studiosi enim musices, si qui alii, sunt Indi: saltationibus quoque addicti jam inde a Baccho eorumque qui in India simul bacchati sunt tempore.

CAP. IV.

Alexander hoc pacto navigans tertio die eo loci appulit, quo Craterum et Hephæstionem in utraque ripa castra locare jusserat. Biduum ibi commoratus dum Philippus cum reliquo exercitu advenisset, hunc quidem cum iis quos adduxit ad Acesinem fluvium mittit, juxta fluminis ripam iter facere jussum. Craterum etiam et Hephæstionem rursus emittit, itineris quod tenerent ratione præscripta. (2) Ipse per Hydaspen fluvium navigationem persequebatur, nusquam xx stadiorum spatio angustiorem. Ubicunque appellebat, Indos Hydaspis ripam accolentes partim deditionem facientes in amicitiam ac fidem recipiebat, partim ad arma confugientes vi subigebat. (3) Porro magna celeritate in Mallos et Oxydracas contendebat, quod et plurimos eos et bellicosissimos illius tractus esse acceperat: quodque liberis atque uxoribus in munitissima oppida traductis, ipsi prælio cum Alexandro decernere statuisse nuntiarentur: tantoque magis accelerandum sibi putabat, ut eos nondum constitutos sed apparandis rebus perturbatos opprimeret. (4) Itaque inde rursum movit, et quinto die ad confluentem Hydaspis et Acesinis pervenit. Ubi vero hi duo fluvii confunduntur, unus ex duobus isque angustissimus alveus efficitur, rapidusque ejus ob angustiam cursus fit, et ingentes vortices ex revertente fluxu: æstuantesque et magnopere strepentes undæ sonitum in loca longissime inde remota transmittunt. (5) Quæ quidem multo ante Alexandro ejusque exercitui ab incolis prædicta fuerant: postquam tamen confluentibus appropinquavit, tantus flu-

ὥστε ἐπέστησαν τὰς εἰρεσίας οἱ ναῦται, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι.

ΚΕΦ. Ε'.

Ὡς δὲ οὐ πόρρω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιοτάτῃ εἰρεσίᾳ χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. (2) Τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ ἐπιστροφῇ, ὅτι μὴ συνταράξαντα τοὺς ἐμπλέοντας, κατέστη ἐς εὐθύ, πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ νῆες οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῇ ἐπιστροφῇ, οὔτε μετέωροι ἐπὶ τοῦ καχλάζοντος κύματος ὡσαύτως οὖσαι, ὅσαι τε δίκροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· (3) καὶ αἱ κῶπαι δὲ αὐτοῖς, πλαγίοις ἐν ταῖς δίναις γενομένοις, συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ ὕδατος οὐ φθασάντων αὐτὰς μετεωρίσαι, ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ δὴ περιπεσούσας ἀλλήλαις αὐτάς τε διαφθαρῆναι καὶ τῶν ἐμπλεόντων ἐν αὐταῖς πολλούς. Ὡς δὲ ἐς πλάτος ἤδη ὁ ποταμὸς διέσχεν, ἐνταῦθα δὴ ὅ τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν καὶ αἱ δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ ἐπέστρεφον. (4) Προσορμίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ ὁ Ἀλέξανδρος τὸν στρατόν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσβολὴ ταῖς ναυσὶ καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτηδείως ἀνεῖχεν ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν καὶ εἴ τινες ἐπ' αὐτῶν ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν, Νέαρχον μὲν καταπλεῖν κελεύει ἔστ' ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ Μαλλῶν ἔθνους· αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν τῆς χώρας ποιησάμενος καὶ κωλύσας ἐπικουρῆσαι αὐτοὺς τοῖς Μαλλοῖς, οὕτω δὴ αὖθις ξυνέμιξε τῷ ναυτικῷ.

5. Καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῷ καὶ Κράτερος καὶ Φίλιππος ξὺν τοῖς ἀμφ' αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. Ὁ δὲ τοὺς μὲν ἐλέφαντας καὶ τὴν Πολυσπέρχοντος τάξιν καὶ τοὺς ἱπποτοξότας καὶ Φίλιππον ξὺν τῇ ἀμφ' αὐτὸν στρατιᾷ διαβιβάσας [τὸν Ὑδάσπην ποταμὸν] Κρατέρῳ ἄγειν προσέταξε· Νέαρχον δὲ ξὺν τῷ ναυτικῷ πέμπει, τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν κατὰ τὸν πλοῦν. (6) Τὸν δὲ ἄλλον στρατὸν τριχῇ διένειμε· καὶ Ἡφαιστίωνα μὲν πέντε ἡμέραις προϊέναι ἔταξεν, ὡς εἴ τινες τοὺς ξὺν αὐτῷ τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφ' Ἡφαιστίωνα ἐμπίπτοντες ἁλίσκωνται· Πτολεμαῖον δὲ τὸν Λάγου, δοὺς καὶ τούτῳ τῆς στρατιᾶς μέρος, τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τοὔμπαλιν

minum concurrentium sonitus remigum aures pervasit, ut nautæ remos remitterent, non quod ita eis imperatum esset, sed quod hortatores admiratione rei perculsi conticescerent, et ipsi nautæ soni vehementia attonitis similes redditi essent.

CAP. V.

Quum vero jam ad confluentes ventum esset, gubernatores navium imperant ut summa vi remigantes ex angustiis naves protrudant, ne a vorticibus correptæ subverterentur, sed remigiorum impulsu fluctuum vim frangant: (2) et rotundiora quidem navigia, quæ vorticibus circumagi contigit, nihil aliud quam eorum qui in iis navigabant perturbationem passa, in rectum cursum ipso fluxu constituta sunt. Oblongæ vero naves, quum minus facile quasi suspense supra undas æstuantes ferrentur, majus a vorticibus damnum acceperunt: ut et biremes, quarum inferiores remi parum admodum supra undas eminent. (3) Nam remi quum transversi in ipsis fluctibus hærerent, confringebantur, quotquot eorum aqua occupavit, nec citius nautæ elevarunt. Multæ itaque naves quassatæ, duæ inter se collisæ, cum multis qui eis vehebantur, perierunt. At postquam fluminis alveus sese aperire cœpit, mitiore jam cursu, minusque violentis vorticibus redditis, (4) Alexander classe ad dextram ripam appulsa, quod ibi tutela contra fluxum erat et appulsus navibus et rupes quoque fluvii opportune prominebat ad colligenda naufragia et siqui adhuc vivi inessent, tum eos recepit. Posthæc refectis navibus, Nearchum navigationem, donec ad Mallorum fines perveniat, continuare jubet: ipse vero in barbaros qui deditionem non fecerant excursione facta, quum ne Mallis uppetias ferrent impedivisset, ad classem reversus est.

5. Ibi Hephæstionem, Craterum et Philippum cum suis quemque copiis reperit. Ipse, elephantis et Polysperchontis copiis, et sagittariis equestribus ac Philippo (per Hydaspen) transmissis, Cratero eas ducendas dat. Nearchum vero cum classe mittit, præcipiens uti trium dierum itinere exercitum prævertat. (6) Reliquas copias in tres partes divisit: atque Hephæstionem quidem quinque dierum iter præcedere jubet, ut siqui Alexandri adventum fugientes in ulteriora sese celeriter proriperent, in Hephæstionem incidentes caperentur. Ptolemæum autem Lagi filium, data etiam huic exercitus parte, triduo post suum discessum se-

ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δὲ ἐς τοὺς ἀμφὶ τὸν Πτολεμαῖον ἐμπίπτοιεν. (7) Ἐπὰν δὲ ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα δὲ τούς τε φθάνοντας ὑπομένειν ἐκέλευσεν ἔστ' ἂν ἥκῃ αὐτὸς καὶ τοὺς ἀμφὶ Κράτερον καὶ Πτολεμαῖον αὐτῷ ξυμβαλεῖν.

qui jubet : eo consilio ut qui fugientes retrorsum se reciperent, in Ptolemæi copias inciderent. (7) Quum vero ad confluentes Acesinis et Hydraotis pervenissent, eos qu prægressi erant exspectare jussit, dum et ipse eo veniat, et Crateri ac Ptolemæi copiæ ei conjunctæ sint.

ΚΕΦ. Ϛ'.

Αὐτὸς δὲ ἀναλαβὼν τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν πεζεταίρων καλουμένων τὴν Πείθωνος τάξιν καὶ τοὺς ἱπποτοξότας τε πάντας καὶ τῶν ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας διὰ γῆς ἀνύδρου ὡς ἐπὶ Μαλλοὺς ἦγεν, ἔθνος Ἰνδικὸν Ἰνδῶν τῶν αὐτονόμων. (2) Καὶ τῇ μὲν πρώτῃ κατεστρατοπέδευσε πρὸς ὕδατι οὐ πολλῷ, ὃ δὴ ἀπεῖχε τοῦ Ἀκεσίνου ποταμοῦ σταδίους εἰς ἑκατόν· δειπνοποιησάμενος δὲ καὶ ἀναπαύσας τὴν στρατιὰν οὐ πολὺν χρόνον παραγγέλλει ὅ τι τις ἔχει ἄγγος ἐμπλῆσαι [τοῦ] ὕδατος. Διελθὼν δὲ τῆς τε ἡμέρας τὸ ἔτι ὑπολειπόμενον καὶ τὴν νύκτα ὅλην ἐς τετρακοσίους μάλιστα σταδίους ἅμα ἡμέρᾳ πρὸς πόλιν ἀφίκετο εἰς ἣν ξυμπεφεύγεσαν πολλοὶ τῶν Μαλλῶν. (3) Οἱ δὲ οὔποτ' ἂν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν ἐπὶ σφᾶς Ἀλέξανδρον ἔξω τε τῆς πόλεως οἱ πολλοὶ καὶ ἄνοπλοι ἦσαν· ἐφ' ὅτῳ καὶ ὄκλος ἐγένετο ταύτην ἀγαγὼν Ἀλέξανδρος, ἣν ὅτι αὐτῷ ἀγαγεῖν χαλεπὸν ἦν, ἐπὶ τῷδε οὐδὲ τοῖς πολεμίοις ὅτι ἄξει πιστὸν ἐφαίνετο. Τούτοις μὲν δὴ οὐ προσδοκήσασιν ἐπιπεσὼν τοὺς μὲν πολλοὺς ἀπέκτεινεν αὐτῶν οὐδὲ εἰς ἀλκήν, οἷα δὴ ἀνόπλους, τραπέντας· τῶν δὲ ἄλλων ἐς τὴν πόλιν κατακλεισθέντων κύκλῳ περιστήσας τῷ τείχει τοὺς ἱππέας, ὅτι μήπω ἡ φάλαγξ τῶν πεζῶν ἠκολουθήκει αὐτῷ, ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ. (4) Ὡς δὲ τάχιστα οἱ πεζοὶ ἀφίκοντο, Περδίκκαν μὲν τήν τε αὐτοῦ ἱππαρχίαν ἔχοντα καὶ τὴν Κλείτου καὶ τοὺς Ἀγριᾶνας πρὸς ἄλλην πόλιν ἐκπέμπει τῶν Μαλλῶν, οἳ ξυμπεφευγότες ἦσαν πολλοὶ τῶν ταύτῃ Ἰνδῶν, φυλάσσειν τοὺς ἐν τῇ πόλει κελεύσας, ἔργου δὲ μὴ ἔχεσθαι ἔστ' ἂν ἀφίκηται αὐτός, ὡς μηδὲ ἀπὸ ταύτης τῆς πόλεως διαφυγόντας τινὰς αὐτῶν ἀγγέλους γενέσθαι τοῖς ἄλλοις βαρβάροις ὅτι προσάγει ἤδη Ἀλέξανδρος· αὐτὸς δὲ προσέβαλλε τῷ τείχει. (5) Οἱ δὲ βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ ἂν διαφυλάξοντες αὐτὸ ἔτι, πολλῶν ἐν τῇ καταλήψει τεθνηκότων, τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων γεγενημένων· ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες χρόνον μέν τινα ἠμύνοντο ἐξ ὑπερδεξίου τε χωρίου καὶ χαλεποῦ ἐς προσβολήν· προσκειμένων δὲ πάντοθεν εὐρώστως τῶν Μακεδόνων καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου τῷ ἔργῳ ἥ τε ἄκρα κατὰ κράτος ἑάλω καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες ἀπέθανον· ἦσαν δὲ ἐς δισχιλίους.

CAP. VI.

Ipse, sumptis scutatis et sagittariis atque Agrianis et Pithonis agmine, quod iis qui pedites amici vocantur constabat, sagittariis etiam equestribus omnibus et ex equitatu amicorum dimidia parte, per siticulosam regionem contendit in Mallos, Indorum libere suis legibus viventium gentem. (2) Ac primo quidem die juxta amnem non magnum castra locavit, distantem ab Acesine stadiis centum. Ibi curato corpore, et exigui temporis quiete militibus data, mandat ut quas quisque lagenas habeat aqua repleat. Progressusque per id quod supererat diei et per noctem totam ad XL circiter stadia, sub lucem ad urbem pervenit in quam multi Mallorum confugerant. (3) Qui quum putassent Alexandrum nunquam per siticulosa illa loca ad sese venturum, extra urbem inermes vagabantur : quum tandem senserunt Alexandrum illac exercitum duxisse, qua quia difficulter duci poterat, verisimile hostibus visum fuerat non ducturum. Quum itaque his ex improviso supervenisset, plerosque eorum ne ad tutandos quidem sese, utpote inermes, conversos, occidit. Reliquis in urbem repulsis ac conclusis, equitatu loco valli (peditum enim phalanx eum assequuta nondum erat) muros in orbem cinxit. (4) Statim vero ac peditatus advenit, Perdiccam quidem cum suis et Cliti equestribus copiis cumque Agrianis ad aliam Mallorum urbem obsidendam mittit, in quam Indorum non parva manus confugerat : mandans ut eos urbe inclusos teneant, neque oppugnationem aggrediantur donec ipse advenerit, sed hoc tantum curent, nequi urbe elapsi alios barbaros de Alexandri adventu certiores faciant; ipse vero urbem oppugnare cœpit. (5) Barbari murum deserunt, desperantes nimirum se diu eum tueri posse, quum multi in expugnatione cæsi, multi vulneribus acceptis inutiles ad pugnandum effecti essent. Tum in arcem sese recipientes se aliquandiu ex loco edito adituque difficili tutati sunt. At quum Macedones omni ex parte fortiter urgerent et Alexander ipse acriter instaret, arx vi capta est quique in eam confugerant, (II M. hi erant) ad unum omnes cæsi.

6. Περδίκκας δὲ ἐς τὴν πόλιν ἐφ' ἣντινα ἐστάλη ἀφικόμενος, τὴν μὲν πόλιν ἐρήμην καταλαμβάνει· μα-

6. Perdiccas ad urbem quam obsidere jussus fuerat profectus, eam ab incolis desertam reperit : quos quum non

θὼν δὲ ὅτι οὐ πρὸ πολλοῦ πεφεύγεσαν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες ὁρόμῳ ἤλαυνε κατὰ στίβον τῶν φευγόντων· οἱ δὲ ψιλοὶ ὡς τάχους εἶχον ποδῶν αὐτῷ ἐρείποντο. Καταλαβὼν δὲ τῶν φευγόντων κατέκοψεν ὅσοι γε μὴ ἔφθασαν ἐς τὰ ἕλη ξυμφυγόντες.

ΚΕΦ. Ζ'.

Ἀλέξανδρος δὲ ὀειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς ἀμφ' αὐτὸν ἕστε ἐπὶ πρώτην φυλακὴν ἦλθε τοῦ πρόσω· καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν ἅμα ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. Ἔνθα δὴ τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη ἔμαθε, τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν τὸν πόρον πολλοὺς αὐτῶν διέφθειρε. (2) Καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον διώκων εἵχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν. Καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας ἔλαβεν, οἱ πλείους δὲ κατέφυγον ἐς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον. Ἀλέξανδρος δέ, ὡς οἱ πεζοὶ ἀφίκοντο αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πείθωνα τήν τε αὑτοῦ τάξιν ἔχοντα καὶ τῶν ἱππέων δύο ἱππαρχίας. (3) Καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες λαμβάνουσι τὸ χωρίον καὶ τοὺς καταπεφευγότας εἰς αὐτὸ ἠνδραπόδισαν, ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν. Ταῦτα δὲ οἱ ἀμφὶ τὸν Πείθωνα διαπραξάμενοι ἐπανῆλθον αὖθις ἐς τὸ στρατόπεδον.

4. Αὐτὸς δὲ Ἀλέξανδρος ὡς ἐπὶ τῶν Βραχμάνων τινὰ πόλιν ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπεφευγέναι τινὰς τῶν Μαλλῶν ἔμαθεν. Ὡς δὲ ἀφίκετο πρὸς αὐτήν, ἐπῆγε τῷ τείχει πάντοθεν πυκνὴν τὴν φάλαγγα. Οἱ δὲ ὑπορυσσόμενα τὰ τείχη ἰδόντες καὶ ἐκ τῶν βελῶν ἀναστελλόμενοι, τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες ἐκεῖθεν ἠμύνοντο· ξυνεισπεσόντων δὲ αὐτοῖς ὀλίγων Μακεδόνων, μεταβαλλόμενοι καὶ ξυστραφέντες τοὺς μὲν ἐξέωσαν αὐτῶν, ἀπέκτειναν δὲ ἐν τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴκοσι. (5) Καὶ ἐν τούτῳ Ἀλέξανδρος τάς τε κλίμακας πάντοθεν κελεύει προστιθέναι τῇ ἄκρᾳ καὶ ὑπορύττειν τὸ τεῖχος. Ὡς δὲ πύργος τε ἔπεσεν ὑπορυσσόμενος καὶ τοῦ μεταπυργίου τι παραῤῥαγὲν ἐπιμαχωτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν, πρῶτος Ἀλέξανδρος ἐπιβὰς τοῦ τείχους ὤφθη ἔχων τὸ τεῖχος. (6) Καὶ τοῦτον ἰδόντες οἱ ἄλλοι Μακεδόνες αἰσχυνθέντες ἄλλος ἄλλῃ ἀνῆσαν. Εἵχετό τε ἤδη ἡ ἄκρα, καὶ τῶν Ἰνδῶν οἱ μὲν τὰς οἰκίας ἐνεπίμπρασαν καὶ ἐν αὐταῖς ἐγκαταλαμβανόμενοι ἀπέθνησκον, οἱ πολλοὶ δὲ μαχόμενοι αὐτῶν. Ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους, ζῶντες δὲ δι' ἀνδρείαν ὀλίγοι ἑλήφθησαν.

multo ante tempore effugisse cognovisset, cursim fugientium vestigia sectatus est. Expediti quanta maxima celeritate pedum potuerunt eum sequuti sunt. Quoscunque in fuga nactus est, occidit: reliquis palustria loca saluti fuerunt.

CAP. VII.

Alexander, curato corpore et quiete suis data, ad primam noctis vigiliam progressus est: magnumque iter ea nocte emensus, sub diluculum ad Hydraotem fluvium pervenit: ac multos quidem Mallorum jam amnem transgressos cognovit: alios alveum transeuntes adortus, plerosque interfecit, (2) amnemque uti erat transgressus, tergisque eorum qui jam discesserant inhærens, multos ex iis cecidit, multos cepit. Maxima tamen pars in oppidum natura atque opere munitum se recepit. Alexander, postquam peditatus advenit, Pithonem in eos mittit cum suo agmine et duabus equitum præfecturis. (3) Qui quidem primo impetu oppidum capiunt, omnesque qui eo confugerant, quot eorum in illo impetu interfecti non erant, in servitutem redigunt. Quo facto Pithon in castra rediit.

4. Alexander deinde in quandam Brachmanorum urbem exercitum duxit, quo aliam Mallorum manum confugisse audierat. Eo simulac venit, densam phalangem omni ex parte muro admovit. Oppidani muros suffodi conspicati et telis repressi, hi quoque desertis mœnibus in arcem confugiunt et ex ea se tuentur. Macedonibus vero aliquot una cum iis in arcem illapsis, conversi et in unum collecti nonnullos ex iis extruserunt, occiderunt autem XXV dum pedem referrent. (5) Inter hæc Alexander scalas undequaque arci admoveri jubet, et murum suffodi. Quo suffosso quum turris quædam concidisset et pars aliqua interturrii perfracta faciliorem arcis oppugnationem fecisset, ipse primus murum conscendit. (6) Quo viso, alii Macedones pudore suffusi, alius alia in murum adscendunt. Jamque arx capta erat, quum Indorum alii succensis suis ædibus ipsi etiam earum incendio perierunt: plerique pugnantes interfecti. Quinque in universum millia cæsa: pauci (tanta eorum virtus fuit) vivi in potestatem venerunt.

ΚΕΦ. Η'.

Μείνας δὲ αὐτοῦ μίαν ἡμέραν καὶ ἀναπαύσας τὴν στρατιάν, τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους Μαλλούς. Καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει, αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον. (2) Καὶ ἐνταῦθα αὖθις μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιάν, ἐς τὴν ἐπιοῦσαν Πείθωνα μὲν καὶ Δημήτριον τὸν ἱππάρχην πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν ὧν τε αὐτοὶ ἡγοῦντο ἄγοντας καὶ πρὸς τούτοις ψιλῶν τάξεις δοὺς αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον. (3) Προσέταξε δὲ παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ ἰόντας, εἴ τισι περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευγότων, αἳ δὴ πολλαὶ πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους κτείνειν, ὅσοι μὴ ἐθελονταὶ σφᾶς ἐνδιδοῖεν. Καὶ πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ Πείθωνά τε καὶ Δημήτριον ἀπέκτειναν.

4. Αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν Μαλλῶν πόλιν, ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο. Ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ Ἰνδοὶ ὡς προσάγοντα Ἀλέξανδρον ἔμαθον· διαβάντες δὲ τὸν Ὑδραώτην ποταμόν, ἐπὶ ταῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ αἱ ὄχθαι ἦσαν, παρατεταγμένοι ἔμενον, ὡς εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον. (5) Καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ πᾶσαν ἦει ὡς ἐπὶ τὸν Ὑδραώτην, ἵναπερ παρατετάχθαι τοὺς Μαλλοὺς ἐξηγγέλλετο· οἱ δὲ πεζοὶ ἔπεσθαι αὐτῷ ἐτάχθησαν. Ὡς δὲ ἀφίκετό τε ἐπ' αὐτὸν καὶ ἐν τῷ πέραν τοὺς πολεμίους κατεῖδε τεταγμένους, ὡς εἶχεν ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ. (6) Οἱ δέ, ἰδόντες ἐν μέσῳ τοῦ ποταμοῦ ὄντα ἤδη Ἀλέξανδρον, κατὰ σπουδὴν μέν, ξυντεταγμένοι δὲ ὅμως ἀπεχώρουν ἀπὸ τῆς ὄχθης· καὶ Ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο. Ὡς δὲ κατεῖδον ἱππέας μόνους, ἐπιστρέψαντες οἱ Ἰνδοὶ καρτερῶς ἐμάχοντο, πλῆθος ὄντες ἐς πέντε μυριάδας. Καὶ Ἀλέξανδρος ὡς τήν τε φάλαγγα αὐτῶν πυκνὴν κατεῖδε καὶ αὐτῷ οἱ πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποίει ἐς κύκλους περιππεύων· ἐς χεῖρας δὲ οὐκ ἦει τοῖς Ἰνδοῖς. (7) Καὶ ἐν τούτῳ παραγίγνονται αὐτῷ οἵ τε Ἀγριᾶνες καὶ ἄλλαι τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα οἷ ἦγε, καὶ οἱ τοξόται· οὐ πόρρω δὲ οὐδὲ ἡ φάλαγξ ἐφαίνετο τῶν πεζῶν. Καὶ οἱ Ἰνδοὶ ὁμοῦ σφίσι πάντων τῶν δεινῶν προσκειμένων ἀποστρέψαντες ἤδη προτροπάδην ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίον. (8) Καὶ Ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς πολλοὺς ἔκτεινε καὶ ὡς ἐς τὴν πόλιν οἱ διαφυγόντες κατειλήθησαν, πρῶτα μὲν τοῖς ἵπποις ἐξ ἐφόδου ἐκύκλωσατο τὴν πόλιν· ὡς δὲ οἱ πεζοὶ αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τε τῆς ἡμέρας ὑπελείπετο ἐς τὴν προσβολήν, καὶ ἡ στρατιὰ αὐτῷ ὑπό τε πορείας μακρᾶς οἱ πεζοὶ καὶ ὑπὸ διώξεως συνεχοῦς οἱ ἵπποι καὶ οὐχ ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν.

CAP. VIII.

Alexander unum diem ibi commoratus, quiete exercitui data, postridie in alios Mallos movit, quos quidem urbes deseruisse, et in solitudines sese abdidisse cognovit. (2) Ibi etiam uno die cum exercitu substitit. Postero die Pithonem et Demetrium equestris agminis præfectum retro ad flumen misit, quibus ad copias quas ducebant expeditorum agmina, quæ rei gerendæ sufficerent, adjunxit : (3) mandatis additis, ut ad ripam fluminis iter facientes, siquos eorum qui in sylvas ripis circumjectas confugerant reperissent, nisi sponte deditionem facerent, interficerent. Multos itaque in sylvis nacti occidere.

4. Ipse in maximam Mallorum urbem exercitum duxit, in quam etiam ex aliis oppidis multi sese recepisse nuntiabantur. Sed et hanc Indi, simulatque Alexandrum adventare intellexerant, deseruerant, transitoque Hydraote fluvio, in ripis ejus, quæ altæ in primis erant, aciem instruxerant, tanquam transitu prohibituri. (5) Quo cognito, Alexander confestim ad eam fluminis partem ubi consedisse dicebantur, omnem, quem secum habebat equitatum ducit, peditatu sequi jusso. Quumque ad Hydraotem amnem venisset, hostes in adversa ripa instructa acie stantes conspicatus, ita ut ex itinere advenerat amnem cum solo equitatu ingreditur. (6) Indi Alexandrum jam in medio amne conspicati, celeriter, ordinate tamen, a ripa recedunt. Alexander eos cum solo equitatu insequitur. Indi, quum equitatum solum esse sensissent, conversi acriter pugnant. Indorum quinquaginta circiter millia erant. Alexander confertam eorum phalangem videns, quum peditatum secum non haberet, incursiones obequitando faciebat, prælium nequaquam committendum censens. (7) Interea Agriani aliaque expeditorum agmina, quos selectissimos secum ducebat, et sagittarii adveniunt : et peditum phalanx haud procul inde apparebat. Indi tot simul malis pressi concitato cursu in vicinam urbem munitam confugiunt. (8) Quos insequutus Alexander, multos interficit : quumque jam urbe conclusi essent, primo quidem accessu muros equitatu cingit : postquam vero peditatus advenit, eo ipso quidem die urbem circumsidet : quod et parum diei ad impetum faciendum reliquum esset, et pedites longo itinere, equitesque continua hostium persecutione ipsoque fluminis transitu defatigati erant.

ΚΕΦ. Θ'.

Τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατὸν τοῦ μὲν ἑτέρου αὐτὸς ἡγούμενος προσέβαλλε τῷ τείχει, τὸ δ' ἕτερον Περδίκκας προσῆγε. Καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ Ἰνδοὶ τῶν Μακεδόνων τὴν ὁρμὴν τὰ μὲν τείχη τῆς πόλεως λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφευγον. Ἀλέξανδρος μὲν οὖν καὶ οἱ ἀμφ' αὐτὸν πυλίδα τινὰ κατασχίσαντες παρῆλθον ἐς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων· (2) οἱ δὲ ὁμοῦ Περδίκκα τεταγμένοι ὑστέρησαν ὑπερβαίνοντες κατὰ τὰ τείχη οὐκ εὐπετῶς, οὐδὲ τὰς κλίμακας οἱ πολλοὶ αὐτῶν φέροντες, ὅτι ἑαλωκέναι αὐτοῖς ἐδόκει ἡ πόλις, ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη ὡς κατεῖδον. Ὡς δὲ ἡ ἄκρα ἐχομένη πρὸς τῶν πολεμίων καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι πολλοὶ ἐφάνησαν, ἐνταῦθα δὴ οἱ μὲν ὑποῤῥύσσοντες τὸ τεῖχος, οἱ δὲ προσθέσει ὅπη παρείκοι τῶν κλιμάκων βιάσασθαι ἐπειρῶντο ἐς τὴν ἄκραν. (3) Ἀλέξανδρος δέ, ὡς βλακεύειν αὐτῷ ἐδόκουν τῶν Μακεδόνων οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων προσέθηκε τῷ τείχει αὐτὸς καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι ἀνέβαινεν· ἐπὶ δὲ αὐτῷ Πευκέστας ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος λαβὼν ἅμα οἱ εἶχεν Ἀλέξανδρος καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις· ἐπὶ δὲ τούτῳ Λεοννάτος ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ ἄλλην κλίμακα Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων. (4) Ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν καὶ ἐρείσας ἐπ' αὐτῇ τὴν ἀσπίδα τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν, τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος· καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα συντρίβουσιν αὐτήν, ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν κάτω ἔπεσον, τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον.

5. Ἀλέξανδρος δὲ ὡς ἐπὶ τοῦ τείχους στὰς κύκλῳ τε ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο (οὐ γὰρ πελάσαι γε ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν), καὶ ὑπὸ τῶν ἐκ τῆς πόλεως, οὐδὲ πόῤῥω τούτων γε ἐσαφικνουμένων (ἔτυχε γάρ τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος), ὅῃλος μὲν ἦν Ἀλέξανδρος ὧν τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῷ ἀτόπῳ τῆς τόλμης, ἔγνω δὲ ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει μηδὲν ὅ τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος, καταπηδήσας δὲ εἴσω τοῦ τείχους τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς Ἰνδούς, εἰ δὲ μή, καὶ κινδυνεύειν δέοι, μεγάλα ἔργα καὶ τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος οὐκ ἀσπουδεὶ ἀποθανεῖται, ταῦτα γνοὺς καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν. (6) Ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει τοὺς μέν τινας ἐς χεῖρας ἐλθόντας καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν προσφερόμενόν οἱ θρασύτερον παίσας τῷ ξίφει ἀποκτείνει· ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε, καὶ ἄλλον λίθῳ, τὸν δὲ ἐγγυτέρω προσάγοντα τῷ ξίφει αὖθις. Οἱ δὲ

CAP. IX.

Postero vero die diviso in duas partes exercitu, ipse alteram earum ducens, Perdiccas alteram, impetum in murum fecit. Quem quum Indi sustinere non possent, desertis mœnibus in arcem se recipiunt. Alexander cum iis qui circa ipsum erant primus perfracta quadam porta in urbem irrupit. (2) Perdiccas et qui cum eo erant milites non ita cito muros transcenderunt. Neque enim scalas plerique eorum admovebant, quod captam esse urbem judicabant, quum nimirum muros a propugnatoribus destitutos viderent. Occupata vero jam ab hostibus arce, multisque passim ad eam tuendam dispositis, Macedones alii murum suffodientes, alii scalas, quomodocunque liceret, admoventes irrumpere conabantur. (3) Quum autem cunctari Macedones in admotione scalarum viderentur, Alexander ipse scalam cuidam eam gestanti ereptam muro applicat, scutoque tectus conscendit; post hunc Peucestas, sacrum scutum gestans, quod Alexander ex æde Palladis Iliacæ sumptum in omnibus præliis præ se gestari curabat. Post Peucestam Leonnatus corporis custos per eandem scalam subit: per aliam scalam Abreas unus ex duplariorum ordine. (4) Jamque Alexander in summum muri fastigium evaserat, quum obfirmato scuto aliis introrsum depulsis, aliis gladio interfectis, murum ea parte propugnatoribus nudaverat. Tum scutati de rege solliciti, quum et ipsi celeriter scalam conscendunt, fracta scala præcipites in terram corruerunt, aliisque simul conscendendi facultatem sustulerunt.

5. Alexander vero, quum in muro stans e vicinis circumquaque turribus peteretur, (neque enim quisquam Indorum cominus eum ferire audebat) atque adeo ab iis etiam qui in urbe erant, qui nec ipsi longe ab eo disjuncti tela torquebant, (erat enim ea parte agger quidam muro propinquus, et Alexandrum cum armorum splendor tum insignis audacia notum faciebat) statuit tandem, si diutius in muro persisteret, periclitaturum se, neque quicquam operæ pretium facturum: at si intra arcem se conjiceret, fortassis eo ipso facto hostes territurum. Sin minus et utique periclitandum sit ipsi, saltem egregium facinus editurum, et laude admirationeque apud posteros parta moriturum. Ita secum statuens e mœnibus in arcem desilit. (6) Ad cujus murum obfirmatus, nonnullos cominus eum lacessentes atque adeo ipsum Indorum ducem audacius irruentem gladio interficit. Alium appropinquantem lapide conjecto reprimit, alium quoque lapide, propius autem ac-

βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον, ἔβαλλον δὲ πάντοθεν περιεστηκότες ὅ τι τις ἔχων βέλος ἐτύγχανεν ἢ ἐν τῷ τότε ἔλαβεν.

ΚΕΦ. Ι'.

Ἐν τούτῳ δὲ Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας καὶ ἐπ' αὐτοῖς Λεοννάτος, οἱ δὴ μόνοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ πρὸ τοῦ βασιλέως ἐμάχοντο. Καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ, τοξευθεὶς ἐς τὸ πρόσωπον· Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν, ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο. (2) Ὅ δέ, ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων, ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ ἀθρόου, οἷα δὴ ξὺν πνεύματι, ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυνεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότι καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα πρὸ αὐτοῦ καὶ Λεοννάτος ἐς τὰ ἐπὶ θάτερα αὐτοί τε βάλλονται ἀμφότεροι καὶ Ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν. (3) Τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένητο τὰ τῆς προσβολῆς, ὅτι οἱ τὸν Ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες καὶ πηδῶντα εἴσω ἐς τὴν ἄκραν, ὑπὸ σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασιλεὺς πάθῃ οὐ ξὺν νῷ κινδυνεύων, τὰς κλίμακας ξυντετριφότες ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος ὡς ἐν ἀπόροις ἐμηχανῶντο, οἱ μὲν πασσάλους ἐμπηγνύοντες ἐς τὸ τεῖχος, γήϊνον ὄν, καὶ κατὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀνεῖρπον, οἱ δέ, ἄλλοι ἐπ' ἄλλους ἐπιβαίνοντες. (4) Ὁ δὲ πρῶτος ἀνελθὼν ἐνρίπτει ἑαυτὸν κατὰ τοῦ τείχους ἐς τὴν πόλιν, ἵναπερ τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες. Ἤδη τε ἀμφ' αὐτῷ πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει ἄλλου ἐπ' ἄλλῳ τῶν Μακεδόνων προασπίζοντος, καὶ ἐν τούτῳ οἱ μὲν τὸν μοχλὸν ὅτῳ εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη κατασχίσαντες, ἐπ' ὀλίγους παρῆσαν· οἱ δὲ καθ' ὅ τι ἡ πύλη διέσχε τοὺς ὤμους ὑποθέντες καὶ ὦσαντες ἐς τὸ εἴσω τοῦ τείχους, ἀνεπέτασαν ταύτῃ τὴν ἄκραν.

ΚΕΦ. ΙΑ'.

Ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδούς, καὶ ἀπέκτειναν γε πάντας οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο· οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀσπίδος κακῶς ἔχοντα, οὔπω γιγνώσκοντες βιώσιμον ὄντα. Τὸ δὲ βέλος ἐξελκύσαι ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πλη-

celentem rursus gladio ferit. Nec jam amplius barbari propius pedem ferre audebant, sed circumfusi, telis quae aut habebant aut sors offerebat eminus cum petebant.

CAP. X.

Interea Peucestas et Abreas duplarius, ac Leonnatus, qui quidem soli antequam scalæ rumperentur in murum evaserant, desiliunt, acriterque pro rege pugnant. Atque Abreas quidem faciem sagitta trajectus cecidit. Alexander etiam ipse thorace sagitta discusso supra mammam in pectore vulnus accipit; quod quidem (ut auctor est Ptolemæus) ejusmodi fuit, ut una cum sanguine spiritum etiam ex vulnere sufflaret. (2) Qui quidem, quamdiu illi sanguis fervebat, tametsi graviter saucius, acriter se nihilominus tuebatur. At quum multus sanguis simul et spiritus continuo erumperet, vertigine oculorum animique defectione correptus, pronus in scutum collapsus est. Peucestas sacro Palladis Iliacæ scuto obtento regem a fronte protegebat: Leonnatus ex altera parte. Sed et hi quoque graviter vulnerantur: parumque aberat quin vita Alexandrum simul cum sanguine deficeret. (3) Macedones enim vel idcirco in arcem conscendere non poterant, quod quum Alexandrum in muro telis peti atque ex eo in arcem interiorem desiliisse vidissent, studio pariter et metu ne rex qui se temerario periculo objecerat, male exciperetur, ruptis scalis, alii alia instrumenta ad conscendendum murum apta excogitabant, uti fieri solet in ejusmodi rerum difficultate: nonnulli palis in murum terreum infixis pendentia corpora sublevantes difficulter in altum nitebantur, nonnulli vero, alii supra alios adscendentes. (4) Qui primus conscenderat, sese e muro in urbem conjiciebat, qua regem prostratum cernebat: moxque alii cum clamore atque ejulatu accurrentes pugnam atrocem ineunt, Macedonibus, aliis post alios, regem suum prætensis scutis acriter tuentibus. Interea alii pauci, portæ quæ inter duas turres sita erat vectibus revulsis, introierunt, alii qua parte nonnihil patebat porta humeris interjectis introrsum eam deturbarunt aditumque in arcem aperuerunt.

CAP. XI.

Magna tum Indorum strages fit, omnibus ad unum cæsis, ne mulieribus quidem aut infantibus exceptis. Dehinc regem pessime affectum scuto efferunt, vitam num servaturus esset, necne incerti. Sunt qui scribant Critodemum medicum Coum, ex Æsculapii stirpe, resoluta plaga sa-

γὴν οἱ μὲν Κριτόδημον ἀνέγραψαν, ἰατρὸν Κῶον, τὸ γένος Ἀσκληπιάδην· οἱ δέ, Περδίκκαν τὸν σωματοφύλακα, οὐ παρόντος ἐν τῷ δεινῷ ἰατροῦ, ἐγκελευσαμένου Ἀλεξάνδρου τῷ ξίφει ἐπιτεμεῖν τὴν πληγὴν καὶ κομίσασθαι τὸ βέλος. (2) Ἐν δὲ τῇ κομιδῇ φορὰ αἵματος πολλοῦ γίγνεται, ὥστε λειποψυχῆσαι αὖθις Ἀλέξανδρον καὶ οὕτω σχεθῆναι αὐτῷ τὸ αἷμα ὑπὸ τῇ λειποψυχίᾳ. Πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται τοῖς ξυγγραφεῦσιν ὑπὲρ τοῦ παθήματος, καὶ ἡ φήμη παραδεξαμένη αὐτὰ κατὰ τοὺς πρώτους ψευσαμένους ἔτι καὶ εἰς ἡμᾶς διασώζει, οὐδὲ ἀφήσει παραδιδοῦσα καὶ ἐφεξῆς ἄλλοις τὰ ψεύδη, εἰ μὴ ὑπὸ τῆσδε τῆς ξυγγραφῆς παύσεται.

3. Αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι Ἀλεξάνδρῳ ὁ πᾶς λόγος κατέχει· τὸ δὲ ἐν Μαλλοῖς, ἔθνει αὐτονόμῳ Ἰνδικῷ, ξυνέβη, καὶ ἥ τε πόλις Μαλλῶν ἦν καὶ οἱ βαλόντες Ἀλέξανδρον Μαλλοί· οἱ δὴ ἐγνώκεσαν μὲν ξυμμίξαντες τοῖς Ὀξυδράκαις οὕτω διαγωνίζεσθαι, ἔρθη δὲ διὰ τῆς ἀνύδρου ἐπ' αὐτοὺς ἐλάσας πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν Ὀξυδρακῶν γενέσθαι ἢ αὐτοὺς ἐκείνοις τι ἐπωφελῆσαι. (4) Ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς Δαρεῖον γενομένην, καθ' ἥντινα ἔφυγε Δαρεῖος οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ Βῆσσον καὶ προσάγοντος ἤδη Ἀλεξάνδρου ἀποθανεῖν, πρὸς Ἀρβήλοις γενέσθαι ὁ πᾶς λόγος κατέχει, καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης ἐν Ἰσσῷ, καὶ τὴν πρώτην ἱππομαχίαν πρὸς Γρανικῷ. (5) Ἀλλὰ πρὸς Γρανικῷ μὲν ξυνέβη μάχη ἱππικὴ καὶ πρὸς Ἰσσῷ ἡ αὖθις πρὸς Δαρεῖον μάχη· Ἄρβηλα δὲ τοῦ χώρου ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο οἱ μὲν τὰ πλεῖστα ξυγγράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει, οἱ δὲ τὰ ἐλάχιστα, ὅτι ἐς πεντακοσίους. Ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς τῷ ποταμῷ Βουμώδῳ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος. (6) Πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, ἀλλὰ κώμη μεγάλη, οὐδὲ ὀνομαστὸς ὁ χῶρος οὐδὲ ἐς ἀκοὴν ἦδὺ τὸ ὄνομα· ἔνθεν δέ μοι δοκεῖ πόλις οὖσα τὰ Ἄρβηλα ἀπηνέγκατο τὴν δόξαν τῆς μεγάλης μάχης. Εἰ δὲ πρὸς Ἀρβήλοις χρὴ εἶεσθαι γενέσθαι τὸ ἔργον ἐκεῖνο, ἐς τοσόνδε Ἀρβήλων ἀπέχον, καὶ τὴν ἐν Σαλαμῖνι γενομένην ναυμαχίαν πρὸς Ἰσθμῷ τῷ Κορινθίων ἔξεστι λέγειν ὅτι ἐγένετο, καὶ τὴν ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας πρὸς Αἰγίνῃ ἢ Σουνίῳ.

7. Καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρου, Πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν, ὑπὲρ Λεοννάτου δὲ οὐκέτι ξυμφέρονται οὐδὲ ὑπὲρ Ἀβρέου τοῦ διμοιρίτου. Καὶ οἱ μὲν ξύλῳ πληγέντα κατὰ τοῦ κράνους Ἀλέξανδρον καὶ ἰλιγγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος· Πτολεμαῖος δ' ὁ Λάγου ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει τὴν ἐς τὸ στῆθος. (8) Τὸ δὲ δὴ μέγιστον πλημμέλημα τῶν ξυγγραφάντων τὰ ἀμφὶ Ἀλέξανδρον ἐκεῖνο τίθεμαι ἐγώγε.

gittam evulsisse : alii Perdiccam, corporis custodem, quum medicus urgente necessitate non adesset, jubente Alexandro ense vulnus rescidisse, telumque exemisse : (2) inque evulsione magnam sanguinis vim erupisse. Quumque Alexander rursum animo linqueretur, syncopen ipsam sistendo sanguini remedio fuisse. Multa præterea alia de hoc Alexandri casu ab historicis scripta sunt, quæ fama a primis mendacii auctoribus sparsa in hunc usque diem transmisit : neque desinet mendacii fides etiam in posteros propagari, nisi hoc scripto finis ei imponatur.

3. Ac primum quidem infortunium hoc in Oxydracis Alexandro obtigisse communis opinio est : quod tamen apud Mallos, liberam Indorum gentem, accidit. Nam et urbs Mallorum erat, et a Mallis ictus fuit Alexander. Porro statuerant quidem Malli Oxydracis sese conjungere, atque ita prælium inire, sed Alexander itinere per arida et siticulosa loca facto eos præverterat, priusquam aut Malli Oxydracis aut Oxydraci Mallis adjumento esse possent. (4) Sed et ultimam pugnam cum Dario commissam, in qua fugit Darius, neque prius destitit a fuga quam a Besso caperetur, atque adventante Alexandro interficeretur, apud Arbela accidisse publica opinio est, quemadmodum illam quæ ante hanc fuit, ad Issum, et primum equestre prælium ad Granicum commissum esse. (5) Contigit enim quidem equestris pugna ad Granicum et apud Issum altera cum Dario; Arbela vero ab eo loco, in quo Darius et Alexander postremo dimicarunt, qui plurimum prodidere, dicunt abesse sexcentis stadiis : qui minimum, quingentis. Sed apud Gaugamela ad flumen Bumodum pugnam eam fuisse commissam Ptolemæus et Aristobulus tradunt. (6) Atqui Gaugamela non oppidum est, sed vicus non magnus, neque locus celebris aut gratum auribus nomen præ se ferens. Quo factum puto ut Arbelis, utpote urbi celebri, gloria pugnæ apud illam commissæ adscripta fuerit. Si vero apud Arbela prælium hoc contigisse dicendum est, quum tanto spatio ab Arbelis distet : eodem modo et navale prælium apud Salamina gestum Isthmo Corinthio adscribere licebit : et id quod ad Artemisium Eubœæ, apud Æginam vel Sunium gestum fuisse dicetur.

7. Porro in iis qui Alexandrum in eo periculo scutis suis protexerunt Peucestam fuisse omnes profitentur : de Leonnato non omnes consentiunt, ut nec de Abrea duplario. Rursus alii Alexandrum fuste ad galeam ictum, caligine oculis oborta procidisse scribunt. Quumque se denuo erexisset, thorace trajectum sagittam pectore excepisse. Ptolemæus Lagi filius in pectore solum vulneratum fuisse tradit. (8) In eo autem præcipue mihi errasse videntur qui Alexandri res conscripserunt, quod Ptolemæum Lagi fi-

Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οἳ ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρῳ κατὰ τὴν κλίμακα ὁμοῦ Πευκέστᾳ καὶ ὑπερασπίσαι κειμένου, καὶ ἐπὶ τῷδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον· καίτοι αὐτὸς Πτολεμαῖος ἀναγέγραφεν οὐδὲ παραγενέσθαι τούτῳ τῷ ἔργῳ· ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους. Ταῦτα μὲν δὴ ἐν ἐκβολῇ τοῦ λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαίπωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ παθημάτων ἀφήγησιν.

lium una cum Alexandro et Peucesta scalam conscendisse scribant, jacentemque objecto scuto protexisse, ideoque Ptolemæum Soterem *id est servatorem* a militibus appellatum fuisse, quum tamen Ptolemæus ipse scribat se huic pugnæ non interfuisse : sed eo tempore copiarum ducem adversus alios barbaros pugnasse. Hæc mihi per digressionem dicta sint, ut in tantorum facinorum et casuum expositione posteri plus diligentiæ adhibeant.

ΚΕΦ. ΙΒ'.

Ἐν ᾧ δὲ Ἀλέξανδρος αὐτοῦ μένων τὸ τραῦμα ἐθεραπεύετο, ἐς τὸ στρατόπεδον ἔνθενπερ ὡρμήθη ἐπὶ τοὺς Μαλλοὺς ὁ μὲν πρῶτος λόγος ἦκεν ὅτι τεθνηκὼς εἴη ἐκ τοῦ τραύματος. Καὶ τὰ μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπάσης, ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην· παυσάμενοι δὲ τῆς οἰμωγῆς ἄθυμοί τε καὶ ἄποροι ἦσαν ὅστις μὲν ἐξηγούμενος ἔσται τῆς στρατιᾶς· (2) (πολλοῖς γὰρ δὴ ἐν ἴσῳ τὰ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ Ἀλεξάνδρου καὶ πρὸς Μακεδόνων καθεστηκέναι·) ὅπως δὲ ἀποσωθήσονται εἰς τὴν οἰκείαν, τοσούτων μὲν ἐθνῶν μαχίμων περιειργόντων σφᾶς ἐν κύκλῳ, τῶν μὲν οὔπω προσκεχωρηκότων, ἃ δὴ ὑπὲρ τῆς ἐλευθερίας εἰκαζον ἀγωνιεῖσθαι καρτερῶς, τῶν δὲ ἀποστησομένων, ἀφαιρεθέντος αὐτοῖς τοῦ Ἀλεξάνδρου φόβου· ποταμῶν τε ἐν μέσῳ ἀδιαβάτων τότε δ' ἐδόκουν εἶναι, καὶ πάντα σφίσιν ἄπορα καὶ ἀμήχανα ἐρήμοις Ἀλεξάνδρου ἐφαίνετο. (3) Ὡς δὲ ἦκέ ποτε λόγος ὅτι ζῇ Ἀλέξανδρος, τούτῳ μὲν μόγις ξυνεχώρησαν· εἰ δὲ καὶ βιώσιμός ἐστιν, οὔπω ἐπιστεύετο. Ὡς δὲ καὶ γράμματα παρ' αὐτοῦ ἦκεν ὅτι ὅσον οὔπω κατελεύσεται ἐπὶ τὸ στρατόπεδον, οὐδὲ ταῦτα τοῖς πολλοῖς ὑπὸ τοῦ ἄγαν δέους πιστὰ ἐφαίνετο, ἀλλὰ πλάττεσθαι γὰρ πρὸς τῶν ἀμφ' αὐτὸν σωματοφυλάκων τε καὶ στρατηγῶν εἰκάζετο.

CAP. XII.

Porro quum Alexander ibi ad curandum vulnus commoraretur, primo statim rumore perlatum est in castra, unde is in Mallos profectus fuerat, eum ex vulnere interiisse. Ac primo quidem ejulatus totis castris auditus est, quum ex aliis in alios fama spargeretur. Quum vero jam lamentis modum fecissent, vehementer animis consternati dubiique erant, quis exercitui præfuturus esset, (2) (multos enim ex æquo hujus dignitatis videri capaces, cum ipsius Alexandri tum Macedonum judicio) quo pacto etiam salvi domum reversuri essent tot undique bellicosis gentibus cincti : quarum quidem alias nondum domitas verisimile ipsis fiebat acriter pro libertate pugnaturas, alias defectionem facturas, sublato Alexandri metu, quumque flumina, quæ nulla tunc ratione transiri poterant, interjecta esse cogitarent, desperatione quadam acti quid consilii caperent Alexandro destituti nesciebant. (3) Postquam vero nuntiatum est Alexandrum vivere, fides nuntio ægre habita est, neque vero adduci poterant ut crederent aliquam de vita ejus servanda spem superesse. Quumque literæ ab eo adferrentur, quibus significabat se brevi in castra venturum, ne id quidem plerisque præ ingenti metu credibile videbatur. Confingi enim id a custodibus corporis ducibusque credebant.

ΚΕΦ. ΙΓ'.

Καὶ ταῦτα ἐννοήσας Ἀλέξανδρος, μή τι νεωτερισθείη ἐν τῇ στρατιᾷ, ὅτε πρῶτον ἡδυνήθη κομίζεται ἐπὶ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου τὰς ὄχθας· καὶ πλέων κατὰ τὸν ποταμόν (ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς ξυμβολαῖς τῶν τε Ὑδραώτου καὶ τοῦ Ἀκεσίνου, ἵνα Ἡφαιστίων τε ἐπὶ τῆς στρατιᾶς ἦν καὶ Νέαρχος τὸ ναυτικὸν αὐτῷ εἶχεν), ὡς ἐπέλαζεν ἡ ναῦς ἤδη τῷ στρατοπέδῳ τὸν βασιλέα φέρουσα, κελεύει δὴ ἀφελεῖν τὴν σκηνὴν ἀπὸ τῆς πρύμνης, ὡς καταφανὴς εἶναι πᾶσιν. (2) Οἱ δὲ ἔτι ἠπίστουν, ὡς νεκροῦ δῆθεν κομιζομένου Ἀλεξάνδρου, πρίν γε δὴ προσχούσης τῆς νεὼς τῇ ὄχθῃ ὁ μὲν τὴν χεῖρα ἀνέτεινεν ἐς τὸ πλῆθος· οἱ δὲ ἀνεβόησαν, ἐς τὸν

CAP. XIII.

Hac trepidatione cognita Alexander, ne qui in exercitu motus fierent, quam potuit celerrime ad Hydraotis fluvii ripas se deferri curavit, secundo amne navigaturus ad castra, quæ circa confluentes Hydraotis et Acesinis subsistebant : ubi Hephæstion exercitui, et Nearchus classi præerant. Mox ubi navis quæ regem vehebat castris appropinquare cœpit, tentorium e navis suæ puppi auferri jussit, ut ab omnibus conspici posset. (2) At ne tum quidem credidere, corpus Alexandri exanime adferri existimantes, donec navi ad ripam appulsa dextram multitudini porrexit. Tum ingenti clamore sublato, alii in cælum, alii in Alexandrum manus

οὐρανὸν ἀνασχόντες τὰς χεῖρας, οἱ δὲ πρὸς αὐτὸν Ἀλέξανδρον· πολλοῖς δὲ καὶ δάκρυα ἐπὶ τῷ ἀνελπίστῳ προεχύθη ἀκούσια. Καὶ οἱ μὲν τῶν ὑπασπιστῶν κλίνην προσέφερον αὐτῷ ἐκκομιζομένῳ ἐκ τῆς νεώς· ὁ δὲ τὸν ἵππον προσαγαγεῖν ἐκέλευσεν. (3) Ὡς δὲ ἐπιβὰς τοῦ ἵππου ὤρθη αὖθις, κρότῳ δὴ πολλῷ ἐπεκτύπησεν ἡ στρατιὰ πᾶσα· ἐπήχησαν δὲ αἵ τε ὄχθαι καὶ αἱ πλησίον αὐτῶν νάπαι. Προσάγων δὲ ἤδη τῇ σκηνῇ καταβαίνει ἀπὸ τοῦ ἵππου, ὥστε καὶ βαδίζων ὀφθῆναι. Οἱ δὲ ἐπέλαζον ἄλλος ἄλλοθεν, οἱ μὲν χειρῶν, οἱ δὲ γονάτων, οἱ δὲ τῆς ἐσθῆτος αὐτῆς ἁπτόμενοι· οἱ δὲ καὶ ἰδεῖν ἐγγύθεν καί τι καὶ ἐπευφημήσαντες ἀπελθεῖν· οἱ δὲ ταινίαις ἔβαλλον, οἱ δὲ ἄνθεσιν, ὅσα ἐν τῷ τότε ἡ Ἰνδῶν γῆ παρεῖχε.

4. Νέαρχος δὲ λέγει ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. Καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε καὶ αὐτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει. Καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων. (5) Ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει Βοιώτιον, τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει, ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν Ἀλέξανδρον καὶ ἐσκυθρωπακότα, προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ ταῦτα φάναι· Ὦ Ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα· καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι τῷ τι ὀρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον. Καὶ τοῦτον ἔν τε τῷ παραυτίκα εὐδοκιμῆσαι καὶ ἐπιτηδειότερον εἰς τὸ ἔπειτα Ἀλεξάνδρῳ γενέσθαι.

tendunt : multis præ insperato gaudio lacrymæ sponte obortæ sunt. Quumque scutati ei navem egresso lecticam adferrent, ipse equum adduci jussit. (3) Quem ut inscendit, ab universo rursum exercitu applausum est, ripis ac silvis circumvicinis clamore resonantibus. Tabernaculo autem appropinquans ex equo desiliit, ut et pedibus incedens conspici posset. Tum certatim alii atque alii accurrebant, alii manus, alii genua, alii vestem ipsius contigisse, alii vel vidisse tantum contenti, et salutem felicitatemque ei precantes : alii corollas, alii flores quoscunque tunc ferebat Indorum regio inspergere.

4. Nearchus vero auctor est regem moleste tulisse eos amicorum qui reprehendebant, quod ipse se tanto discrimini pro exercitu objecisset : neque enim id ducis sed militis officium esse. Qua quidem oratione offensus mihi fuisse Alexander videtur, quod vera esset, seque merito reprehendi sentiret. Cæterum insigne Alexandri in pugnando robur et immensa gloriæ cupiditas sicut alios alia quædam voluptas transversum illum ad pericula abripiebat. (5) Narrat idem Nearchus seniorem quendam Bœotum, cujus nomen non adscribit, quum Alexandrum reprehensiones amicorum ægre ferre intelligeret, et indignationem vultu præ se ferre videret, Bœotica lingua eum compellasse, ac dixisse, O Alexander, virorum est præclara facinora aggredi : simulque iambicum versum subdidisse, cujus hæc erat sententia, Qui magnum aliquid faciat, æquum esse et pati. Ac senem et tunc statim ab Alexandro laudatum, et cariorem ei deinceps fuisse.

ΚΕΦ. ΙΔ΄.

Ἐν τούτῳ δὲ ἀφίκοντο παρ' Ἀλέξανδρον τῶν Μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις, ἐνδιδόντες τὸ ἔθνος, καὶ παρὰ Ὀξυδρακῶν οἵ τε ἡγεμόνες τῶν πόλεων καὶ οἱ νομάρχαι αὐτοὶ καὶ ἄλλοι ἅμα τούτοις ἑκατὸν καὶ πεντήκοντα οἱ γνωριμώτατοι αὐτοκράτορες περὶ σπονδῶν δῶρά τε ὅσα μέγιστα παρ' Ἰνδοῖς νομίζοντες καὶ τὸ ἔθνος καὶ οὗτοι ἐνδιδόντες. (2) Συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν οὐ πάλαι παρ' αὐτὸν πρεσβευσάμενοι· ἐπιθυμεῖν γάρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι, ἥντινα ἐλευθερίαν ἐξ ὅτου Διόνυσος ἐς Ἰνδοὺς ἦκε σώαν σφίσιν εἶναι ἐς Ἀλέξανδρον· εἰ δὲ Ἀλεξάνδρῳ δοκοῦν ἐστίν, ὅτι καὶ Ἀλέξανδρον ἀπὸ θεῶν γενέσθαι λόγος κατέχει, σατράπην τε ἀναδέξεσθαι ὄντινα τάττοι Ἀλέξανδρος καὶ φόρους ἀποίσειν τοὺς Ἀλεξάνδρῳ δόξαντας· διδόναι δὲ καὶ ὁμήρους ἐθέλειν ὅσους ἂν αἰτῇ Ἀλέξανδρος. (3) Ὁ δὲ χιλίους ἤτησε τοὺς κρατιστεύοντας τοῦ ἔθνους, οὓς, εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν, εἰ δὲ μή, ξυστρατεύ-

CAP. XIV.

Inter hæc legati a Mallis, qui reliqui erant, ad Alexandrum venerunt, deditionem totius gentis facientes. Itemque ab Oxydracis urbium præfecti ac præsides ipsi et cum his alii CL principes illius gentis, qui pro fœdere ineundo dona quæ apud Indos censentur amplissima adferebant, etiam ipsi gentem dedentes. (2) Veniam autem deprecabantur, quod non antea legatos misissent. Quam vel ideo mereri se dicebant, quod, quemadmodum quidam alii, majore adhuc jure ipsi liberi suis legibus vivere cupiissent, quam quidem libertatem jam inde ab eo tempore quo Liber pater in Indiam venisset ad Alexandrum usque salvam tenuissent. Quod si vero ita Alexandro visum esset, quoniam et ipsum ex deorum genere ortum fama esset, satrapam quem daret accepturos, tributa quæ imperaret pensuros, obsides quot peteret daturos. (3) Alexander mille ex primoribus gentis sibi mitti jubet, quos vel pro obsidibus, si vellet, teneret, vel quibus militibus uteretur, donec reliquos Indos debel-

οντας ἔξειν ἔστ' ἂν διαπολεμηθῇ αὐτῷ πρὸς τοὺς ἄλλους Ἰνδούς. Οἱ δὲ τούς τε χιλίους ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι, καὶ ἅρματα πεντακόσια οὐκ αἰτηθέντες καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. Ἀλέξανδρος δὲ σατράπην μὲν τούτοις τε καὶ τῶν Μαλλῶν τοῖς ἔτι σωζομένοις ἐπέταξε Φίλιππον· τοὺς δμήρους δὲ αὐτοῖς ἀφῆκε, τὰ δὲ ἅρματα ἔλαβεν.

4. Ὡς δὲ ταῦτα αὐτῷ κεκόσμητο καὶ πλοῖα ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τοῦ τραύματος πολλὰ προσενεναυπήγητο, ἀναβιβάσας ἐς τὰς ναῦς τῶν μὲν ἑταίρων ἱππέας ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσουσπερ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους, ὀλίγον μέν τι τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσεν· ὡς δὲ συνέμιξεν ὁ Ὑδραώτης τῷ Ἀκεσίνῃ, ὅτι ὁ Ἀκεσίνης κρατεῖ τοῦ Ὑδραώτου τῇ ἐπωνυμίᾳ, κατὰ τὸν Ἀκεσίνην αὖ ἔπλει, ἔστε ἐπὶ τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ ἦκε. (5) Τέσσαρες γὰρ οὗτοι μεγάλοι ποταμοὶ καὶ ναυσίποροι οἱ τέσσαρες εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ, ἀλλὰ ὁ Ὑδάσπης μὲν ἐς τὸν Ἀκεσίνην ἐμβάλλει, ἐμβαλὼν δὲ τὸ πᾶν ὕδωρ Ἀκεσίνην παρέχεται καλούμενον· αὖθις δὲ ὁ Ἀκεσίνης οὗτος ξυμβάλλει τῷ Ὑδραώτῃ, καὶ παραλαβὼν τοῦτον ἔτι Ἀκεσίνης ἐστί· καὶ τὸν Ὕφασιν ἐπὶ τούτῳ ὁ Ἀκεσίνης παραλαβὼν τῷ αὐτοῦ δὴ ὀνόματι ἐς τὸν Ἰνδὸν ἐμβάλλει· ξυμβαλὼν δὲ ξυγχωρεῖ ἤδη τῷ Ἰνδῷ. Ἔνθεν δὴ ὁ Ἰνδὸς πρὶν ἐς τὸ Δέλτα σχισθῆναι οὐκ ἀπιστῶ ὅτι καὶ ἐς ἑκατὸν σταδίους ἔρχεται καὶ ὑπὲρ τοὺς ἑκατὸν τυχὸν ἵναπερ λιμνάζει μᾶλλον.

ΚΕΦ. ΙΕ'.

Ἐνταῦθα ἐπὶ τῇ ξυμβολῇ τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ προσίμενεν ἔστε ἀφίκετο αὐτῷ ξὺν τῇ στρατιᾷ Περδίκκας, καταστρεψάμενος ἐν παρόδῳ τὸ Ἀβαστανῶν ἔθνος αὐτόνομον. Ἐν τούτῳ δὲ ἄλλαι τε προσγίγνονται Ἀλεξάνδρῳ τριακόντοροι καὶ πλοῖα στρογγύλα ἄλλα, ἃ δὴ ἐν Ξάθροις ἐναυπηγήθη αὐτῷ, οἱ δὴ ἄλλο ἔθνος Ἰνδῶν αὐτόνομον προσεχώρησαν. Καὶ παρὰ Ὀσσαδίων, καὶ τούτου γένους αὐτονόμου Ἰνδικοῦ, πρέσβεις ἦκον, ἐνδιδόντες καὶ οὗτοι τοὺς Ὀσσαδίους. (2) Φιλίππῳ μὲν δὴ τῆς σατραπείας ὅρους ἔταξε τάς τε συμβολὰς τοῦ Ἀκεσίνου καὶ Ἰνδοῦ, καὶ ἀπολείπει ξὺν αὐτῷ τούς τε Θρᾷκας πάντας καὶ ἐκ τῶν τάξεων ὅσοι ἐς φυλακὴν τῆς χώρας ἱκανοὶ ἐφαίνοντο. Πόλιν τε ἐνταῦθα κτίσαι ἐκέλευσεν ἐπ' αὐτῇ τῇ ξυμβολῇ τοῖν ποταμοῖν, ἐλπίσας μεγάλην τε ἔσεσθαι καὶ ἐπιφανῆ ἐς ἀνθρώπους, καὶ νεωσοίκους ποιηθῆναι. (3) Ἐν τούτῳ δὲ καὶ Ὀξυάρτης ὁ Βάκτριος, ὁ Ῥωξάνης τῆς γυναικὸς Ἀλεξάνδρου πατήρ, ἦκε παρ' Ἀλέξανδρον· καὶ προστίθησιν αὐτῷ Παραπαμισαδῶν σατραπεύειν, ἀπαλλάξας Τιρυάσπην τὸν πρόσθεν σατράπην, ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐτῷ ὁ Τιρυάσπης ἐξήγγελτο.

4. Ἔνθα δὴ διαβιβάσας Κράτερόν τε καὶ τῆς στρα-

lasset. Atque hi quidem mille viros, quos et præstantissimos et maximos selegerant, miserunt: quingentis etiam curribus eorumque propugnatoribus, quos Alexander ne petierat quidem, adjectis. His itaque reliquisque Mallis qui servati erant, Philippo satrapa constituto, obsides remittit, currus accipit.

4. His rebus ita gestis, navibusque compluribus dum vulnus curatur constructis, militeque iis imposito, equitibus ex amicis ᴍᴅᴄᴄᴄ expeditis totidem quot antea, peditibus ᴘ ᴍ, non multum spatii per Hydraotem emensus, ad confluentes Hydraotis et Acesinis pervenit. Ibi Hydraotes in Acesinem fluens nomen amittit. Per Acesinem itaque navigans ad confluentem Acesinis atque Indi venit. (5) Siquidem quattuor hi magni et navigabiles fluvii in Indum amnem labuntur, non quidem sua singuli nomina servantes, sed Hydaspes in Acesinem fertur, nomen suum amittens; Acesines vero cum Hydraote in unum alveum coit, eoque assumpto, nomen tamen suum Acesines retinet. Hyphasi etiam in se recepto, veterique Acesinis nomine servato in Indum amnem fertur, cujus alveo immissus appellationem suam Indo cedit. Inde, priusquam in Δ literæ figuram scindatur, centum stadia patere Indum crediderim, et fortasse eo amplius iis locis ubi stagnum efficit.

CAP. XV.

Eo igitur loci ubi Acesinis et Indi confluentes sunt Alexander cum exercitu advenit, Abastanis, libera Indorum gente, ex ipso itinere subactis. Inter hæc aliæ triginta remorum naves aliæque onerariæ, quæ in Xathris, quæ et ipsa libera Indorum gens se dediderat, constructæ fuerant, advenerunt. Præterea legati ab Ossadiis, libero quoque Indorum populo, Alexandrum adierunt deditionem facientes. (2) Deinde Alexander Philippo satrapatus sui limites Acesinis et Indi confluentibus terminat, universo Thracum equitatu ei relicto, aliisque agminibus, quæ provinciæ custodiendæ sufficere viderentur. Ad hæc urbem ad confluentes fluminum condi jussit, arbitratus populosam et claram fore. Navalia etiam ibi exstrui curavit. (3) Per eosdem dies Oxyartes Bactrianus, Roxanes Alexandri uxoris pater, ad Alexandrum venit. Huic Parapamisadarum satrapatum dedit, submoto Tiryaspe priore satrapa, quod non bene officio suo functus fuisse nuntiaretur.

4. Deinde Cratero cum majore exercitus parte et elephan-

τιᾶς τὴν πολλὴν καὶ τοὺς ἐλέφαντας ἐν ἀριστερᾷ τοῦ Ἰνδοῦ ποταμοῦ, ὅτι εὐπορώτερά τε ταύτῃ τὰ παρὰ τὸν ποταμὸν στρατιᾷ βαρείᾳ ἐφαίνετο καὶ τὰ ἔθνη τὰ προσοικοῦντα οὐ πάντῃ φίλια ἦν, αὐτὸς κατέπλει ἐς τῶν Σόγδων τὸ βασίλειον. Καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην καὶ νεωσοίκους ἐποίει ἄλλους καὶ τὰ πλοῖα αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη. Τῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τοῦ τε Ἰνδοῦ καὶ Ἀκεσίνου χώρας ἔστε ἐπὶ θάλασσαν σατράπην ἀπέδειξεν Ὀξυάρτην καὶ Πείθωνα ξὺν τῇ παραλίᾳ πάσῃ τῆς Ἰνδῶν γῆς.

5. Καὶ Κράτερον μὲν ἐκπέμπει αὖθις ξὺν τῇ στρατιᾷ [διὰ τῆς Ἀραχώτων καὶ Δράγγων γῆς]· αὐτὸς δὲ κατέπλει ἐς τὴν Μουσικανοῦ ἐπικράτειαν, ἥντινα εὐδαιμονεστάτην τῆς Ἰνδῶν γῆς εἶναι ἐξηγγέλλετο, ὅτι οὔπω οὔτε ἀπηντήκει αὐτῷ Μουσικανὸς ἐνδιδοὺς αὑτόν τε καὶ τὴν χώραν οὔτε πρέσβεις ἐπὶ φιλίᾳ ἐκπέμπει, οὐδέ τι οὔτε αὐτὸς ἐπεπόμφει ἃ δὴ μεγάλῳ βασιλεῖ εἰκός, οὔτε τι ἠτήκει ἐξ Ἀλεξάνδρου. (6) Καὶ γίγνεται αὐτῷ ὁ πλοῦς κατὰ τὸν ποταμὸν ἐς τοσόνδε ἐσπουδασμένος ὥστε ἔφθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς Μουσικανοῦ χώρας πρὶν πυθέσθαι Μουσικανὸν ὅτι ὥρμηται ὡς ἐπ' αὐτὸν Ἀλέξανδρος. Οὕτω δὴ ἐκπλαγεὶς κατὰ τάχος ἀπήντα Ἀλεξάνδρῳ, δῶρά τε τὰ πλείστου ἄξια ἐν Ἰνδοῖς νομίζων καὶ τοὺς ἐλέφαντας ξύμπαντας ἄγων καὶ τὸ ἔθνος τε καὶ αὐτὸν ἐνδιδοὺς καὶ ὁμολογῶν ἀδικεῖν, ὅπερ μέγιστον παρ' Ἀλεξάνδρῳ ἦν ἐς τὸ τυχεῖν ὧν τις δέοιτο. (7) Καὶ οὖν καὶ Μουσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ Ἀλεξάνδρου, καὶ τὴν πόλιν ἐθαύμασεν Ἀλέξανδρος καὶ τὴν χώραν, καὶ ἄρχειν αὐτῆς Μουσικανῷ ἔδωκε. Κράτερος δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη Ἀλεξάνδρου καὶ φυλακὴ κατεστάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐφάνη τὸ χωρίον ἐς τὸ κατέχεσθαι τὰ κύκλῳ ἔθνη φυλαττόμενα.

tis ad sinistram Indi fluminis ripam traducto, quum ab ea parte exercitui gravioris armaturæ commodior via futura videretur et gentes finitimæ non omnino amicæ essent: ipse secundo amne in Sogdorum regiam navigavit. Ibique aliam urbem condidit et alia navalia exstruxit: navesque quassatas reparari jussit. Totius vero regionis quæ a confluentibus Acesinis atque Indi ad mare usque pertinet Oxyartem et Pithonem satrapas constituit, universa etiam Indorum maritima ora illis adjuncta.

5. Cratero deinde rursus cum exercitu (per fines Arachotorum et Drangorum) emisso, ipse secundo amne in Musicani regnum venit, quod quidem opulentissimum totius Indorum regionis esse audierat, commotus, quod Musicanus nondum sibi obviam processerat se pariter et regionem dediturus, neque per legatos amicitiam petierat, neque dona, ut magnum regem decebat, miserat, neque quicquam omnino ab Alexandro postularat. (6) Tantaque celeritate per flumen contendit, ut prius in Musicani fines irrumperet, quam is quidquam de Alexandri expeditione audisset. Inopinato itaque ejus adventu perculsus Musicanus confestim Alexandro obviam processit, dona quæ apud Indos censentur amplissima adferens, universos etiam quos habebat elephantos ducens, gentemque pariter et se dedens, ac culpam suam agnoscens, quod quidem ad ea quæ quis petiisset impetranda summam apud Alexandrum vim habebat. (7) Alexander itaque Musicano venia culpæ data, urbem simul regionemque admiratus, pristinum imperium ei reliquit. Cratero ut arcem in urbe exstruat jubet: quæ quidem præsente adhuc Alexandro exædificata est, præsidiumque ei impositum, quum peridoneus is locus videretur ad finitimas gentes in fide atque officio continendas.

ΚΕΦ. ΙϚ'.

Ἔνθεν δὲ ἀναλαβὼν τούς τε τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν ἵππον τὴν ἅμα οἳ πλέουσαν ἐξελαύνει ἐπὶ τὸν νομάρχην τῆς ταύτῃ γῆς, ὄνομα δὲ ἦν Ὀξυκανός, ὅτι μήτε αὐτὸς ἀφῖκτο μήτε πρέσβεις παρ' αὐτοῦ ἦκον ἐνδιδόντες αὐτόν τε καὶ τὴν χώραν. (2) Δύο μὲν δὴ τὰς μεγίστας πόλεις τῶν ὑπὸ τῷ Ὀξυκανῷ ἐξ ἐφόδου κατὰ κράτος ἑλαβεν· ἐν δὲ τῇ ἑτέρᾳ τούτων καὶ αὐτὸς Ὀξυκανὸς ἑάλω. Ὁ δὲ τὴν μὲν λείαν τῇ στρατιᾷ δίδωσι, τοὺς ἐλέφαντας δὲ ἅμα οἳ ἦγε. Καὶ ἄλλαι δὲ πόλεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ χώρᾳ ἐνεδίδοντο ἐπιόντι οὐδέ τις ἐτράπετο ἐς ἀλκήν· οὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ γνώμῃ πρὸς Ἀλεξάνδρου τε καὶ τῆς Ἀλεξάνδρου τύχης.

3. Ὁ δὲ ἐπὶ Σάμβον αὖ ἦγε, τῶν ὀρείων Ἰνδῶν σατράπην ὑπ' αὐτοῦ κατασταθέντα, ὃς πεφευγέναι αὐτῷ ἐξηγγέλλετο ὅτι Μουσικανὸν ἀφειμένον πρὸς Ἀλεξάνδρου ἐπύθετο καὶ τῆς χώρας τῆς ἑαυτοῦ ἄρχοντα· τὰ

CAP. XVI.

Inde assumtis sagittariis atque Agrianis omnique equitatu quem in navibus vehebat, in ejus regionis præsidem, Oxycanum nomine, movet, quod nec ipse obviam processerat, nec legatos ipsum et regionem dedituros miserat. (2) Ac duas quidem urbes maximas quæ Oxycano parebant primo impetu cepit. In altera harum etiam ipse Oxycanus captus. Alexander prædam militi dat et elephantos secum abducit: reliquæ urbes adventante Alexandro deditionem faciunt, nulla earum ad arma conversa. Ita omnium Indorum animos Alexandri virtus et fortuna subjugarat.

3. Posthæc adversus Sambum rursus copias ducit, quem montanis Indis satrapam constituerat, fugisseque acceperat, quum Musicanum ab Alexandro dimissum suæque regioni præfectum audisset. Nam cum Musicano graves inimicitias

γὰρ πρὸς Μουσικανὸν αὐτῷ πολέμια ἦν. (4) Ὡς δὲ ἐπέλαζεν ἤδη τῇ πόλει Ἀλέξανδρος ἥντινα μητρόπολιν εἶχεν ἡ τοῦ Σάμβου χώρα, ὄνομα δὲ ἦν τῇ πόλει Σινδίμανα, αἵ τε πύλαι αὐτῷ ἀνοίγονται προσάγοντι καὶ οἱ οἰκεῖοι τοῦ Σάμβου τά τε χρήματα ἀπηρίθμησαν καὶ τοὺς ἐλέφαντας μετὰ σφῶν ἄγοντες ἀπήντων· οὐ γὰρ δὴ Ἀλεξάνδρῳ γε πολεμίως ἔχοντα Σάμβον φυγεῖν, ἀλλὰ Μουσικανοῦ τὴν ἄφεσιν δείσαντα. (5) Ὁ δὲ καὶ ἄλλην πόλιν ἐν τούτῳ ἀποστᾶσαν εἶλε, καὶ τῶν Βραχμάνων, οἳ δὴ σοφισταὶ τοῖς Ἰνδοῖς εἰσίν, ὅσοι αἴτιοι τῆς ἀποστάσεως ἐγένοντο ἀπέκτεινεν· ὑπὲρ ὧν ἐγὼ τῆς σοφίας, εἰ δή τίς ἐστιν, ἐν τῇ Ἰνδικῇ ξυγγραφῇ ὀηλώσω.

ΚΕΦ. ΙΖ'.

Καὶ ἐν τούτῳ Μουσικανὸς αὐτῷ ἀφεστάναι ἐξηγγέλλετο. Καὶ ἐπὶ τοῦτον μὲν ἐκπέμπει Πείθωνα τὸν Ἀγήνορος σατράπην ξὺν στρατιᾷ ἀποχρώσῃ. Αὐτὸς δὲ τὰς πόλεις τὰς ὑπὸ Μουσικανῷ τεταγμένας ἐπελθὼν τὰς μὲν ἐξανδραποδίσας αὐτῶν κατέσκαψεν, εἰς ἃς δὲ φρουρὰς εἰσήγαγε καὶ ἄκρας ἐξετείχισε. Ταῦτα δὲ διαπραξάμενος ἐπὶ τὸ στρατόπεδόν τε ἐπανῆκε καὶ τὸν στόλον. (2) Ἔνθα δὴ Μουσικανός τε ξυλληφθεὶς ἄγεται πρὸς Πείθωνος, καὶ τοῦτον κρεμάσαι κελεύει Ἀλέξανδρος ἐν τῇ αὐτοῦ γῇ καὶ τῶν Βραχμάνων ὅσοι αἴτιοι τῆς ἀποστάσεως τῷ Μουσικανῷ κατέστησαν· ἀφίκετο δὲ αὐτῷ καὶ ὁ τῶν Παττάλων τῆς χώρας ἄρχων, ὃ δὴ τὸ Δέλτα ἔφην εἶναι τὸ πρὸς τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ποιούμενον, μεῖζον ἔτι τοῦ Δέλτα τοῦ Αἰγυπτίου, καὶ οὗτος τήν τε χώραν αὐτῷ ἐνεδίδου πᾶσαν καὶ αὐτόν τε καὶ τὰ αὐτοῦ ἐπέτρεψε. (3) Τοῦτον μὲν δὴ ἐπὶ τῇ αὐτοῦ ἀρχῇ ἐκπέμπει αὖθις, παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ· αὐτὸς δὲ Κράτερον μὲν τήν τε Ἀττάλου τάξιν ἄγοντα καὶ τὴν Μελεάγρου καὶ Ἀντιγένους καὶ τῶν τοιοτῶν ἔστιν οὓς καὶ τῶν ἑταίρων τε καὶ ἄλλων Μακεδόνων ὅσους ἐς Μακεδονίαν ἀπομάγους ὄντας ἤδη ἔστελλε, τὴν ἐπ' Ἀραχώτων καὶ Ζαράγγων ἔπεμπεν ἐς Καρμανίαν, καὶ τοὺς ἐλέφαντας τούτῳ ἄγειν ἔδωκε· (4) τῇ δὲ ἄλλῃ στρατιᾷ, ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν, Ἡφαιστίων ἐπετάχθη· Πείθωνα δὲ τούς τε ἱππακοντιστὰς ἄγοντα καὶ τοὺς Ἀγριᾶνας ἐς τὴν ἐπ' ἐκεῖνα ὄχθην τοῦ Ἰνδοῦ διαβιβάσας, οὐχ ἥπερ Ἡφαιστίων τὴν στρατιὰν ἄγειν ἤμελλε, τάς τε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι ἐκέλευσε καὶ εἴ δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ Ἰνδῶν καὶ ταῦτα ἐς κόσμον καταστήσαντα ξυμβάλλειν οἱ ἐς τὰ Πάτταλα.

5. Ἤδη δὲ τρίτην ἡμέραν αὐτῷ τοῦ πλοῦ ἔχοντι ἐξαγγέλλεται ὅτι ὁ τῶν Παττάλων ὕπαρχος ξυλλαβὼν τῶν Πατταλέων τοὺς πολλοὺς ἀποδεδρακὼς οἴχοιτο, ἀπολιπὼν τὴν χώραν ἔρημον· καὶ ἐπὶ τούτῳ πλείονι ἢ πρόσθεν σπουδῇ κατέπλει Ἀλέξανδρος. Ὡς δὲ ἀφίκετο ἐς τὰ Πάτταλα, τήν τε πόλιν καὶ τὴν χώραν ἔρημον

gerebat. (4) Postquam vero urbi quæ illius imperii caput est, (Sindimana ei nomen erat) appropinquavit, portæ urbis ei apertæ sunt, quique Sambo familiares ac domestici erant cum numerata pecunia et elephantis occurrerunt, declarantes Sambum non hostili animo in Alexandrum fugisse, sed Musicani dimissi metu. (5) Quibus in fidem receptis, aliam quandam urbem quæ defecerat cepit, et Brachmanorum nonnullos, qui quidem sophistæ sive sapientes apud Indos habentur, quos defectionis auctores fuisse constabat, interfecit: de quorum sapientia, si modo ulla est, in Indica historia tractabimus.

CAP. XVII.

Dum hæc geruntur, Musicani defectio nuntiatur. Quapropter Pithone Agenoris filio, satrapa, cum idoneo exercitu in eum misso, ipse urbes Musicano subditas adortus, alias direptas subvertit, aliis præsidia imposuit, arcesque in iis exstruxit. (2) His gestis, ad castra et classem rediit, quo Musicanus a Pithone captus adducitur. Hunc Alexander crucifigi in sua regione jubet, unaque cum eo quotquot Brachmani Musicanum ad defectionem instigarant. Eodem tempore ad eum venit Pattalorum regulus, quam regionem Indum amnem in literæ Δ figuram secare dixi, majoremque quam est Ægyptium delta efficere, se suasque ditiones Alexandri fidei committens. (3) Atque hunc quidem imperio suo restitutum omnia quæ ad excipiendum exercitum necessaria essent parare jussit. Ipse Craterum Attali agmen ducentem et Meleagri atque Antigenis nonnullosque ex sagittariis, ex amicis etiam et aliis Macedonibus quos inutiles bello factos in Macedoniam missurus erat, in Carmaniam per Arachotos et Zarangos proficisci, elephantosque ducere jubet. (4) Reliquo exercitui, præter eas copias quæ secum in maritimam oram navigabant, Hephæstionem præfecit. Pithonem vero, qui equestres jaculatores et Agrianos ducebat, in ulteriorem Indi ripam traductum, non eam qua Hephæstion exercitum ducturus erat, ut colonos in urbes abs se conditas ducat imperat, et siquid apud finitimos Indos novatum esset, rebus compositis ad Pattala se cum reliquis copiis conjungat.

5. Quumque jam triduo navigasset, nuntiatum ei est Pattalorum regulum, cum majore Pattalensium parte urbe destituta aufugisse. Quo nuntio accepto Alexander properantius classem agit. Quumque Pattala pervenit, urbem incolis, agrum agricolis vacuum reperit. (6) Inde expeditissimis

καταλαμβάνει τῶν ἐνοικούντων τε καὶ ἐπεργαζομένων. (6) Ὁ δὲ κατὰ δίωξιν τῶν φευγόντων ἐκπέμψας τῆς στρατιᾶς τοὺς κουφοτάτους, ἐπεί τινες αὐτῶν ξυνελήφθησαν, ἀποπέμπει τούτους παρὰ τοὺς ἄλλους, ἐντειλάμενος ἐπανιέναι θαῤῥοῦντας· εἶναι γὰρ αὐτοῖς τήν τε πόλιν οἰκεῖν ὡς πρόσθεν καὶ τὴν χώραν ἐργάζεσθαι. Καὶ ἐπανῆλθον οἱ πολλοὶ αὐτῶν.

ΚΕΦ. ΙΗ'.

Αὐτὸς δὲ Ἡφαιστίωνι προστάξας τειχίζειν ἐν τοῖς Πατταλοίς ἄκραν ἀποπέμπει ἐς τὴν ἄνυδρον τῆς πλησίον γῆς φρέατά τε ὀρύξοντας καὶ οἰκήσιμον τὴν χώραν κατασκευάσοντας. Καὶ τούτοις ἐπέθεντο τῶν προσχώρων τινὲς βαρβάρων. Καὶ ἔστι μὲν οὓς διέφθειραν αὐτῶν ἄφνω προσπεσόντες, πολλοὺς δὲ καὶ σφῶν ἀποβαλόντες ἔφυγον ἐς τὴν ἔρημον, ὥστε ἐπιτελεσθῆναι τοῖς ἐκπεμφθεῖσι τὰ ἔργα, προσγενομένης αὐτοῖς καὶ ἄλλης στρατιᾶς, ἣν Ἀλέξανδρος πυθόμενος τῶν βαρβάρων τὴν ἐπίθεσιν ἐστάλκει μεθέξοντας τοῦ ἔργου.

2. Περὶ δὲ τοῖς Πατταλοίς σχίζεται τοῦ Ἰνδοῦ τὸ ὕδωρ ἐς δύο ποταμοὺς μεγάλους, καὶ οὗτοι ἀμφότεροι σώζουσι τοῦ Ἰνδοῦ τὸ ὄνομα ἔστε ἐπὶ τὴν θάλασσαν. Ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει Ἀλέξανδρος. Ὡς δὲ προὐκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει ἔστε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾷ ῥέοντος ποταμοῦ ἐς τὴν θάλασσαν. (3) Λεοννάτον μὲν δή, δοὺς αὐτῷ τῶν τε ἱππέων ἐς χιλίους καὶ τῶν ὁπλιτῶν τε καὶ ψιλῶν ἐς ὀκτακισχιλίους, κατὰ τὴν νῆσον τὰ Πάτταλα ἐκπέμπει ἀντιπαράγειν τῷ στόλῳ· αὐτὸς δὲ τὰς μάλιστα τῶν νεῶν ταχυναυτούσας ἀναλαβὼν ὅσαι τε ἡμιόλιαι καὶ τὰς τριακοντόρους πάσας καὶ τῶν κερκούρων ἔστιν οὓς ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾷ. (4) Οὐκ ἔχοντι δὲ αὐτῷ ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτῃ Ἰνδοί, ἀπορώτερα τὰ τοῦ κατάπλου ἦν· χειμών τε ἐπιγίγνεται ἐς τὴν ὑστεραίαν ἀπὸ τῆς ἀναγωγῆς καὶ ὁ ἄνεμος τῷ ῥόῳ πνέων ὑπεναντίος κοίλον τε ἐποίει τὸν ποταμὸν καὶ τὰ σκάφη διέσειεν, ὥστε ἐπόνησαν αὐτῷ αἱ πλεῖσται τῶν νεῶν· τῶν δὲ τριακοντόρων ἔστιν αἳ καὶ πάντη διελύθησαν. Ἔφθασαν δὲ ἐποκείλαντες αὐτὰς πρὶν παντάπασι διαπεσεῖν ἐν τῷ ὕδατι. Ἕτεραι οὖν ξυνεπήγνυντο. (5) Καὶ τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσωτέρω τῆς ὄχθης χώραν ξυλλαμβάνει τινὰς τῶν Ἰνδῶν, καὶ οὗτοι τὸ ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῷ τὸν πόρον. Ὡς δὲ ἦκον ἵναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμός, ὡς καὶ διακοσίους ταύτῃ σταδίους ἐπέχειν ἦπερ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν, τό τε πνεῦμα κατῄει μέγα ἀπὸ τῆς ἔξω θαλάσσης καὶ αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο, ξυμφεύγουσιν αὖ ἐς διώρυχα ἐς ἥντινα οἱ ἡγεμόνες αὐτῷ καθηγήσαντο.

quibusque e toto exercitu qui fugientes insequerentur missis, quum nonnulli eorum capti essent, confestim eos ad alios adhuc fugientes misit, qui illos ut fidenti animo redirent hortarentur; liberam enim illis fore ut antea et urbis habitationem et agri culturam. Ac plurimi eorum rediere.

CAP. XVIII.

Deinde Hephæstione in Pattalis arcem ædificare jusso, alios in vicinam regionem quæ aquarum inopia laborabat mittit qui puteos foderent, regionemque habitabilem facerent. Hos barbarorum finitimorum nonnulli ex improviso adorti, quum aliquot interfecissent, multis etiam suorum desideratis, in solitudinem sese receperunt. Alexander, cognito barbarorum insultu, alias copias mittit quæ se prioribus adjungant, quo tutius opera jam incepta absolvant.

2. Porro apud Pattala Indus amnis in duos ingentes fluvios scinditur, quorum uterque Indi appellationem ad mare usque retinet. Hoc loco etiam Alexander portum et navalia exstrui jussit. Quumque res omnes ex animi sententia successissent, statuit usque ad ostium fluminis quod dextrorsum in mare ferebatur navigare. (3) Itaque Leonnatum emittit cum mille equitibus et peditibus graviter leviterque armatis circiter VIIIIM, qui ad Pattala insulam e regione classis procedat. Ipse delectis navibus quæ velociores erant, ut biremibus et omnibus triginta remorum navibus actuariisque nonnullis, per dexteriorem amnem vehi cœpit. (4) Cæterum quum ipse neminem navigationis ducem haberet, Indi enim qui ea loca habitabant, profugerant, difficilis ea in primis fuit. Postridie enim quam solverant orta tempestas ventusque fluminis cursui contrarius cavas undas ciebat navesque disjiciebat: adeo ut pleræque quassatæ, nonnullæ vero ex triginta remorum navibus prorsus dissolutæ fuerint, ægreque ad ripam, priusquam a vorticibus plane absorberentur, appulsæ sint. (5) Aliis igitur navibus fabricatis, et nonnullis qui inter levis armaturæ milites expeditissimi essent in remotiora a ripa emissis, Indos aliquot cepit, quibus deinceps in eo flumine navigationis ducibus est usus. Postquam vero eo perventum est ubi amnis latitudo in CC stadia extenditur, qua nimirum parte amplissimus est, quum ventus a mari vehementior incubuisset remique ægre inter fluctus attollerentur, rursus in sinum quendam quem duces navigationis iis monstrarunt se recipiunt.

ΚΕΦ. ΙΘ'.

Ἐνταῦθα ὁρμισάντων τὸ πάθημα ἐπιγίγνεται τῆς μεγάλης θαλάσσης ἡ ἄμπωτις, ὥστε ἐπὶ ξηροῦ ἀπελείφθησαν αὐτοῖς αἱ νῆες. Καὶ τοῦτο οὔπω πρότερον ἐγνωκόσι τοῖς ἀμφ' Ἀλέξανδρον ἔκπληξιν μὲν καὶ αὐτὸ οὐ σμικρὰν παρέσχε· πολὺ δὲ δὴ ἔτι μείζονα ὁπότε διελθούσης τῆς ὥρας προσήει τε τὸ ὕδωρ καὶ τὰ σκάφη ἐμετεωρίζοντο. (2) Ὅσας μὲν δὴ τῶν νεῶν ἐν τῷ πηλῷ ἑδραίας κατέλαβεν, αὗται δὲ ἀβλαβῶς τε ἐμετεωρίσθησαν καὶ οὐδὲν χαλεπὸν παθοῦσαι ἔπλεον αὖθις· ὅσαι δὲ ἐν ξηροτέρᾳ τε τῇ γῇ καὶ οὐ βεβαίως γε τὴν στάσιν ἔχουσαι ὑπελείφθησαν, αὗται δὲ ἀθρόου ἐπελθόντος τοῦ κύματος αἱ μὲν αὐτῶν ξυμπεσοῦσαι ἐς ἀλλήλας, αἱ δὲ πρὸς τῇ γῇ ἀραχθεῖσαι ξυνετρίβησαν. (3) Ταῦτά τε οὖν ἐπεσκεύασεν Ἀλέξανδρος ἐκ τῶν παρόντων καὶ ἐν κερκούροιν δυοῖν προπέμπει κατὰ τὸν ποταμὸν τοὺς κατασκεψομένους τὴν νῆσον ἐς ἥντινα οἱ ἐπιχώριοι ἔφασκον ὁρμιστέα εἶναι αὐτῷ κατὰ τὸν πλοῦν τὸν ἐπὶ θάλασσαν· Κιλλουτὰ δὲ τῇ νήσῳ τὸ ὄνομα ἔλεγον. Ὡς δὲ ἐξηγγέλθη ὅτι ὅρμοι τε ἐν τῇ νήσῳ εἰσὶ καὶ αὐτὴ μεγάλη καὶ ὕδωρ ἔχουσα, ὁ μὲν ἄλλος αὐτῷ στόλος ἐς τὴν νῆσον κατέσχεν· αὐτὸς δὲ ταῖς ἄριστα πλεούσαις τῶν νεῶν ἐπ' ἐκεῖνα προὐχώρει, ὡς ἀπιδεῖν τοῦ ποταμοῦ τὴν ἐκβολὴν τὴν ἐς τὴν θάλασσαν, εἰ παρέχοι τὸν ἔκπλουν εὔπορον. (4) Προελθόντες δὲ ἀπὸ τῆς νήσου σταδίους ὅσον διακοσίους ἀφορῶσιν ἄλλην νῆσον, ταύτην ἤδη ἐν τῇ θαλάσσῃ. Τότε μὲν δὴ ἐπανῆλθον ἐς τὴν ἐν τῷ ποταμῷ νῆσον, καὶ πρὸς τοῖς ἄκροις αὐτῆς καθορμισθεὶς θύει τοῖς θεοῖς Ἀλέξανδρος ὅσοις ἔφασκεν ὅτι παρὰ τοῦ Ἄμμωνος ἐπηγγελμένον ἦν θῦσαι αὐτῷ. Ἐς δὲ τὴν ὑστεραίαν κατέπλει ὡς ἐπὶ τὴν ἄλλην τὴν ἐν τῷ πόντῳ νῆσον· καὶ προσσχὼν καὶ ταύτῃ ἔθυε καὶ ἐνταῦθα ἄλλας αὖ θυσίας ἄλλοις τε θεοῖς καὶ ἄλλῳ τρόπῳ· καὶ ταύτας δὲ κατ' ἐπιθεσπισμὸν θύειν τοῦ Ἄμμωνος. (5) Αὐτὸς δὲ ὑπερβαλὼν τοῦ Ἰνδοῦ ποταμοῦ τὰς ἐκβολὰς ἐς τὸ πέλαγος ἀνέπλει, ὡς μὲν ἔλεγεν, ἀπιδεῖν εἴ πού τις χώρα πλησίον ἀνίσχει ἐν τῷ πόντῳ· ἐμοὶ δὲ δοκεῖ, οὐχ ἥκιστα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω Ἰνδῶν θάλασσαν. Ἐνταῦθα ταύρους τε σφάξας τῷ Ποσειδῶνι ἀφῆκεν ἐς τὴν θάλασσαν καὶ σπείσας ἐπὶ τῇ θυσίᾳ τήν τε φιάλην, χρυσῆν οὖσαν, καὶ κρατῆρας χρυσοῦς ἐνέβαλλεν ἐς τὸν πόντον χαριστήρια, εὐχόμενος σῶόν οἱ παραπέμψαι τὸν στρατὸν τὸν ναυτικόν, ὄντινα ξὺν Νεάρχῳ ἐπενόει στέλλειν ὡς ἐπὶ τὸν κόλπον τὸν Περσικὸν καὶ τὰς ἐκβολὰς τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος.

CAP. XIX.

Ibi quum in statione essent, accidit quod in Magno mari accidere solet; recedente enim æstu naves siccæ in limo hærebant. quod quum Græci antea ignorassent, tanto majori illis admirationi fuit: multo tamen majori, quum stato tempore recurrens æstus naves sublevavit: (2) et quidem quæ limo firmiter insederant naves, citra ullum detrimentum sublatæ rursus navigarunt; quæ vero in sicciore terra parum firmiter hæserant, earum aliæ recurrentis æstus impetu invicem illisæ, aliæ in ripam propulsæ dissilierunt. (3) His omnibus pro eo ac tempus ferebat reparatis, Alexander duabus actuariis navibus secundo flumine præmittit qui insulam explorent, in quam indigenæ aiebant ipsi descendendum esse ad Oceanum naviganti. Eam insulam Cillutam vocabant. Qui postquam renuntiaverunt ipsam insulam magnam esse, portusque commodos et aquam habere, reliquam classem eo agi jubet. Ipse cum lectioribus navibus ulterius progreditur, exploraturus an ea parte qua flumen in mare exit facilis classi transitus futurus esset: (4) progressusque ab insula cc circiter stadia, aliam insulam prospicit jam in mari sitam. Tum ad priorem fluminis insulam redit, atque ad ejus promontorium appulsus diis quibus ab Ammone se sacrificare jussum esse dicebat sacrum facit. Postero die ad insulam in Oceano sitam navigat. Quo ubi venit, aliis hostiis, aliis etiam diis, alio quoque modo sacrificat, id quoque ex Ammonis oraculo facere se prædicans. (5) Ipse Indi amnis ostia prætergressus in vasto pelago navigavit, exploraturus ut ipse quidem dicebat, an aliqua regio vicina in mari appareret: meo vero judicio, præcipue ut in Oceano qui ultra Indos est navigasse diceretur. Ibi tauros Neptuno cæsos in mare projecit, libationeque sacrificio superaddita, phialam auream et crateras aureos gratias agens in undas immisit, precatus ut exercitum navalem, quem cum Nearcho in sinum Persicum atque ostia Euphratis et Tigritis mittere statuerat, salvum et incolumem traducat.

ΚΕΦ. Κ'.

Ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ Πάτταλα τήν τε ἄκραν τετειχισμένην καταλαμβάνει καὶ Πείθωνα ξὺν τῇ στρατιᾷ ἀφιγμένον καὶ τούτῳ ξύμπαντα καταπεπραγμένα ἐφ' οἷσπερ ἐστάλη. Ἡφαιστίων μὲν δὴ ἐτάχθη παρα-

CAP. XX.

Post hæc Pattala reversus arcem exædificatam reperit, et Pithonem cum copiis rediisse, omnibus iis rebus ad quas missus fuerat peractis. Igitur Hephæstioni portus et nava-

σκευάζειν τὰ πρὸς τὸν ἐκτειχισμόν τε τοῦ ναυστάθμου καὶ τῶν νεωσοίκων τὴν κατασκευήν· καὶ γὰρ καὶ ἐνταῦθα ἐπενόει στόλον ὑπολείπεσθαι νεῶν οὐκ ὀλίγων πρὸς τῇ πόλει τοῖς Πατταλοῖς, ἵναπερ ἐσχίζετο ὁ ποταμὸς ὁ Ἰνδός.

2. Αὐτὸς δὲ κατὰ τὸ ἕτερον στόμα τοῦ Ἰνδοῦ [ποταμοῦ] κατέπλει αὖθις ἐς τὴν μεγάλην θάλασσαν, ὡς καταμαθεῖν ὅπῃ εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς τὸν πόντον γίγνεται· ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ἐς σταδίους μάλιστα ὀκτακοσίους καὶ χιλίους. (3) Ἐν δὲ τῷ κατάπλῳ ἀφίκετο τῆς ἐκβολῆς τοῦ ποταμοῦ ἐς λίμνην μεγάλην, ἥντινα ἀναχεόμενος ὁ ποταμός, τυχὸν δὲ καὶ ἐκ τῶν πέριξ ὑδάτων ἐμβαλόντων ἐς αὐτήν, μεγάλην τε ποιεῖ καὶ κόλπῳ θαλάσσης μάλιστα ἐοικυῖαν· καὶ γὰρ καὶ ἰχθύες ἤδη ἐν αὐτῇ τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο μείζονες τῶν ἐν τῇδε τῇ ἡμετέρᾳ θαλάσσῃ. Προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην ἵναπερ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν Λεοννάτῳ αὐτοῦ καὶ τοὺς χερκούρους ξύμπαντας. (4) Αὐτὸς δὲ ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ Ἰνδοῦ καὶ προελθὼν καὶ ταύτῃ ἐς τὴν θάλασσαν, εὐπορωτέραν τε κατέμαθε τὴν ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἐκβολήν, καὶ αὐτὸς προσορμισθεὶς τῷ αἰγιαλῷ καὶ τῶν ἱππέων τινὰς ἅμα οἷ ἔχων παρὰ θάλασσαν ἦει σταθμοὺς τρεῖς, τήν τε χώραν ὁποία τίς ἐστιν ἡ ἐν τῷ παράπλῳ ἐπισκεπτόμενος καὶ φρέατα ὀρύσσεσθαι κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες. (5) Αὐτὸς μὲν δὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς ἀνέπλει ἐς τὰ Πάτταλα· μέρος δέ τι τῆς στρατιᾶς τὰ αὐτὰ ταῦτα ἔργασομένους κατὰ τὴν παραλίαν ἔπεμψεν, ἐπανιέναι καὶ τούτοις προστάξας ἐς τὰ Πάτταλα. Αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην καταπλεύσας ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασε, καὶ φυλακὴν καταλιπὼν τῷ χωρίῳ σῖτόν τε ὅσον καὶ ἐς τέσσαρας μῆνας ἐξαρκέσαι τῇ στρατιᾷ ἐπηγάγετο καὶ τἆλλα ὅσα ἐν τῷ παράπλῳ παρεσκεύασεν.

ΚΕΦ. ΚΑ'.

Ἦν δὲ ἐν μὲν τῷ τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν· οἱ γὰρ ἐτήσιοι ἄνεμοι κατεῖχον, οἳ δὴ τῇ ὥρᾳ ἐκείνῃ οὐ καθάπερ παρ' ἡμῖν ἀπ' ἄρκτου, ἀλλ' ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ νότον μάλιστα ἄνεμον ἵστανται. (2) Ἀπὸ δὲ τοῦ χειμῶνος τῆς ἀρχῆς τὸ ἀπὸ Πλειάδων δύσεως ἔστε ἐπὶ τροπὰς ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει πλοΐμα εἶναι ταύτῃ ἐξηγγέλλετο· τότε γὰρ κατὰ γῆν μᾶλλον, οἷα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην, αὔρας ἵστασθαι μαλθακὰς καὶ ἐς τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους.

3. Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυτικῷ προσέμενε τὴν ὥραν τοῦ παράπλου· αὐτὸς δὲ ἄρας ἐκ Παττάλων ἔστε μὲν ἐπὶ τὸν ποταμὸν τὸν Ἀράβιον ξὺν τῇ στρατιᾷ πάσῃ προὐχώρει. Ἐκεῖθεν δέ, ἀναλαβὼν τῶν ὑπασπιστῶν τε

lium struendorum negotium dat. Statuerat enim partem classis ad urbem Pattala, ubi Indus amnis dividitur, relinquere.

2. Ipse per alterum Indi ostium rursus in Oceanum navigat, ut qua parte facilior minusque vehemens ejus in mare irruptio sit cognoscat. Distant autem inter se duo hæc Indi amnis ostia stadiis ɯccc. (3) Quumque jam non procul ab ostiis fluminis abesset, ad magnum quendam lacum pervenit, qui aut ab ipso flumine late diffuso efficitur aut ab aquis ex circumvicinis locis influentibus flumenque auctius et marino sinui perquam simile reddentibus. Nam et pisces marini jam in eo conspiciebantur majores quam nostrum mare fert. Ad eam itaque lacus partem quam duces navigationis monstrabant appulsus plerosque militum cum Leonnato ibi relinquit actuariasque naves omnes : (4) ipse cum aliquot navibus triginta remorum et biremibus superato fluminis ostio, ea quoque parte in Oceanum excurrit, faciliusque ea parte classem in mare subduci posse cognovit. Deinde in littus cum equitibus aliquot egressus ad maris oram tridui iter fecit, et regionis quam adnavigabat ratione explorata puteos complures effodi jubet, unde aqua classi suppetere posset. (5) Hinc ipse conscensis rursus navibus Pattala remeat : partem vero exercitus ad puteos illos effodiendos in maritimam oram mittit, mandatis additis ut absoluto opere Pattala redeant. Ipse denuo in lacum navigans alium ibi portum aliaque navalia exstruxit : præsidioque ibidem relicto frumentum in quattuor menses convexit, aliaque ad navigationem necessaria paravit.

CAP. XXI.

Erat vero id anni tempus ad navigandum ineptum. Etesiæ enim spirabant, qui quidem ea anni parte non a septentrione ut apud nos, sed ab Oceano ex austro potissimum exsurgunt. (2) Verum ab initio hiemis, quæ simul cum occasu Pleiadum incipit, ad solstitium hibernum usque navigabilem iis in locis Oceanum esse narrabant. Tum enim temporis in terra multis pluviis madida lenes auras excitari, et ad navigationem tam velis quam remis faciendam accommodatas.

3. Nearchus itaque classis præfectus tempus ad navigandum opportunum exspectabat. Ipse ex Pattalis solvens, ad Arabium amnem cum exercitu processit. Inde assumta scutatorum et sagittariorum dimidia parte, agminibusque

καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας καὶ τῶν πεζεταίρων καλουμένων τὰς τάξεις καὶ τῆς ἵππου τῆς ἑταιρικῆς τό τε ἄγημα καὶ ἴλην ἀφ' ἑκάστης ἱππαρχίας καὶ τοὺς ἱπποτοξότας σύμπαντας, ὡς ἐπὶ τὴν θάλασσαν ἐν ἀριστερᾷ ἐτράπετο, ὕδατά τε ὀρύσσειν, ὡς κατὰ τὸν παράπλουν ἄφθονα εἶναι τῇ στρατιᾷ τῇ παραπλεούσῃ καὶ ἅμα ὡς τοῖς Ὠρείταις τοῖς ταύτῃ Ἰνδοῖς, αὐτονόμοις ἐκ πολλοῦ οὖσιν, ἄφνω ἐπιπεσεῖν, ὅτι μηδὲν φίλιον αὐτοῖς ἐς αὐτόν τε καὶ τὴν στρατιὰν ἐπέπραχτο. Τῆς δὲ ὑπολειφθείσης δυνάμεως Ἡφαιστίων αὐτῷ ἀφηγεῖτο. (4) Ἀραβῖται μὲν δή, ἔθνος καὶ τοῦτο αὐτόνομον τῶν περὶ τὸν Ἀράβιον ποταμὸν νεμομένων, οὔτε ἀξιόμαχοι δόξαντες εἶναι Ἀλεξάνδρῳ οὔτε ὑποδῦναι ἐθελήσαντες, ὡς προσάγοντα ἐπύθοντο Ἀλέξανδρον, φεύγουσιν ἐς τὴν ἔρημον. Ἀλέξανδρος δὲ διαβὰς τὸν Ἀράβιον ποταμόν, στενόν τε καὶ ὀλίγου ὕδατος, καὶ διελθὼν ἐν νυκτὶ τῆς ἐρήμου τὴν πολλήν, ὑπὸ τὴν ἕω πρὸς τῇ οἰκουμένῃ ἦν· καὶ τοὺς μὲν πεζοὺς ἐν τάξει ἐκέλευσεν ἕπεσθαι, τοὺς δὲ ἱππέας ἀναλαβὼν αὐτὸς καὶ ἐς ἴλας κατανείμας, ὅπως ἐπὶ πλεῖστον τοῦ πεδίου ἐπέχοιεν, ἐπῆλθε τὴν χώραν τῶν Ὠρειτῶν. (5) Ὅσοι μὲν δὴ ἐς ἀλκὴν ἐτράποντο αὐτῶν κατεκόπησαν πρὸς τῶν ἱππέων· πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν. Ὁ δὲ τότε μὲν κατεστρατοπέδευσε πρὸς οὐ πολλῷ ὕδατι· ὡς δὲ καὶ οἱ περὶ Ἡφαιστίωνα αὐτῷ ὁμοῦ ἤδη ἦσαν, προὐχώρει ἐς τὸ πρόσω. Ἀφικόμενος δὲ ἐς κώμην ἥπερ ἦν μεγίστη τοῦ ἔθνους τοῦ Ὠρειτῶν, Ῥαμβακία ἐκαλεῖτο ἡ κώμη, τόν τε χῶρον ἐπῄνεσε καὶ ἐδόκει ἂν αὐτῷ πόλις ξυνοικισθεῖσα μεγάλη καὶ εὐδαίμων γενέσθαι. Ἡφαιστίωνα μὲν δὴ ἐπὶ τούτοις ὑπελείπετο.

eorum qui pedites amici vocantur, agemate etiam equitatus ex amicis et ex singulis præfecturis equitum turma una equestribusque sagittariis omnibus, ad Oceanum lævam versus convertitur: puteosque fodi jussit, ut exercitui præternaviganti aqua abunde suppeteret, simulque ut Oritas Indorum gentem jam inde a multo tempore liberam, insperato adoriretur: quod nullam amicitiæ erga se aut exercitum significationem edidissent. Reliquas copias Hephæstioni ducendas tradit. (4) Cæterum Arabitæ, ipsi quoque liberi, Arabium flumen accolentes, quum neque satis virium haberent ut cum Alexandro confligerent, neque tamen sese subjicere ei vellent, simulatque eum cum exercitu adventare senserunt, in solitudines aufugerunt. Alexander transito amne, qui et angustus et modicæ altitudinis erat, magnam solitudinis partem ea nocte transgressus, sub auroram cultæ habitataeque regioni appropinquavit. Tum peditibus instructa acie sequi jussis, ipse sumtis equitibus, iisque per turmas distributis atque expansis, ut magnam campi partem occuparent, Oritarum fines invadit. (5) Quotquot eorum ad arma confugerant ab equitatu cæsi: non pauci etiam vivi in potestatem venerunt. Post hæc modico fluvio reperto, juxta eum castra locat. Deinde ubi Hephæstion cum reliquis copiis advenit, ulterius progressus est. Quumque ad pagum quendam venisset, qui erat ejus gentis maximus, Rambacia ei nomen erat, situm loci laudavit, urbemque magnam et opulentam colonia in eam deducta fore judicabat. Atque Hephæstioni quidem id negotii dat.

ΚΕΦ. ΚΒ'.

Αὐτὸς δὲ ἀναλαβὼν αὖθις τῶν ὑπασπιστῶν καὶ τῶν Ἀγριάνων τοὺς ἡμίσεας καὶ τὸ ἄγημα τῶν ἱππέων καὶ τοὺς ἱπποτοξότας προῆγεν ὡς ἐπὶ τὰ ὅρια τῶν τε Γαδρωσῶν καὶ Ὠρειτῶν, ἵναπερ στενή τε ἡ πάροδος αὐτῷ εἶναι ἐξηγγέλλετο καὶ οἱ Ὠρεῖται τοῖς Γαδρωσοῖς ξυντεταγμένοι πρὸ τῶν στενῶν στρατοπεδεύειν, ὡς εἴρξοντες τῆς παρόδου Ἀλέξανδρον. (2) Καὶ ἦσαν μὲν ταύτῃ τεταγμένοι· ὡς δὲ προσάγων ἤδη ἐξηγγέλλετο, οἱ μὲν πολλοὶ ἔφυγον ἐκ τῶν στενῶν λιπόντες τὴν φυλακήν· οἱ δὲ ἡγεμόνες τῶν Ὠρειτῶν ἀφίκοντο παρ' αὐτὸν σφᾶς τε αὐτοὺς καὶ τὸ ἔθνος ἐνδιδόντες. Τούτοις μὲν δὴ προστάττει, ξυγκαλέσαντας τὸ πλῆθος τῶν Ὠρειτῶν πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη, ὡς δεινὸν οὐδὲν πεισομένους· σατράπην δὲ καὶ τούτοις ἐπιτάσσει Ἀπολλοφάνην. (3) Καὶ ξὺν τούτῳ ἀπολείπει Λεοννάτον τὸν σωματοφύλακα ἐν Ὥροις, ἔχοντα τούς τε Ἀγριᾶνας ξύμπαντας καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ τῶν ἱππέων καὶ ἄλλους πεζούς τε καὶ ἱππέας Ἕλληνας μισθοφόρους, καὶ τό τε ναυτικὸν ὑπομένειν ἔστ' ἂν περιπλεύσῃ τὴν χώραν καὶ τὴν πόλιν ξυνοικίζειν καὶ τὰ κατὰ τοὺς Ὠρείτας κοσμεῖν, ὅπως μᾶλλόν τι προσέχοιεν τῷ σατράπῃ τὸν νοῦν. Αὐτὸς δὲ ξὺν τῇ

CAP. XXII.

Ipse sumpta rursus secum scutatorum atque Agrianorum dimidia parte equitumque agemate et sagittariis equestribus, ad fines Gadrosorum atque Oritarum contendit, qua angustus ad eos aditus patere nuntiabatur, ad quem Oritæ Gadrosis conjuncti castra locassent, Alexandrum transitu prohibituri. (2) Atque ii quidem acie instructa stantes simulac adventare Alexandrum audierunt, deserto præsidio ex angustiis profugerunt. At vero duces Oritarum ad eum profecti et se et gentem in ejus potestatem dederunt. His imperat ut convocata Oritarum multitudine, domum eos remittant: nihil incommodi, si id faciant, accepturos. (3) Satrapam iis constituit Apollophanem, Leonnato corporis custode illi adjuncto, qui in Oris Agrianos omnes, et sagittariorum equitumque nonnullos aliosque pedites et equites Græcos mercenarios apud se habeat, et classem exspectans dum illa regionem circumnavigarit, urbem inhabitandam curet et Oritarum res componat, ut satrapæ magis dicto

στρατιᾷ τῇ πολλῇ (καὶ γὰρ καὶ Ἡφαιστίων ἀφίκετο ἄγων αὐτῷ τοὺς ὑπολειφθέντας) προὐχώρει ὡς ἐπὶ Γαδρωσοὺς ἔρημον τὴν πολλήν.

4. Καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ λέγει Ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν· καὶ τοὺς Φοίνικας τοὺς κατ' ἐμποριαν τῇ στρατιᾷ ξυνεπομένους ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης (πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων τε τῶν πρέμνων καὶ οὔπω πρόσθεν ξυλλελεγμένον) ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν. (5) Ἔχειν δὲ τὴν ἔρημον ταύτην καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὐοδμον· καὶ ταύτην ξυλλέγειν τοὺς Φοίνικας· πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς, καὶ ἀπὸ τοῦ πατουμένου ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας· τοσόνδε εἶναι τὸ πλῆθος. (6) Εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρήμῳ, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον, καὶ τοῦτο ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι· καὶ ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτιος ἐπὶ ξηροῦ, ἐπελθόντος δὲ τοῦ ὕδατος ἐν τῇ θαλάσσῃ πεφυκότα φαίνεσθαι· τῶν δὲ καὶ ἀεὶ τὰς ῥίζας τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπεφύκει, ἔνθενπερ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης. (7) Εἶναι δὲ τὰ δένδρα ταύτῃ πήχεων καὶ τριάκοντα ἔστιν ἃ αὐτῶν, τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές, τὴν ὀδμὴν δὲ πολύ τι ὑπερφέρον. Καὶ ἄλλον εἶναι καυλὸν ἐκ γῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥστε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τῇ ἐσθῆτι κατασπάσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ. (8) Καὶ τῶν λαγῶν λέγεται ὅτι παραθεόντων ἔχονται ἐν ταῖς θριξὶν αἱ ἄκανθαι, καὶ οὕτω τοι ἡλίσκοντο οἱ λαγώ, καθάπερ ὑπὸ ἰξοῦ αἱ ὄρνιθες ἢ τοῖς ἀγχίστροις οἱ ἰχθύες· σιδήρῳ δὲ ὅτι διακοπῆναι οὐ χαλεπὴ ἦν· καὶ ὀπὸν ὅτι ἀνίει πολὺν ὁ καυλὸς τῆς ἀκάνθης τεμνομένης, ἔτι πλείονα ἢ αἱ συκαῖ τοῦ ἦρος καὶ ὁριμύτερον.

audientes sint. Ipse cum magna exercitus parte (jam enim Hephæstion advenerat reliquas copias adducens) in Gadrosorum regionem via maxima ex parte deserta contendit.

4. In hac solitudine tradit Aristobulus multas myrrhæ arbores nasci, vulgari myrrha majores. Phœnices autem qui mercimoniorum causa exercitum comitabantur, collecta lacrima myrrhæ (ingens enim ejus copia erat, quippe quod et rami magni erant et nunquam antea quicquam ex iis collectum fuerat) jumenta onerasse. (5) Habere præterea eam solitudinem magnam nardi odoratæ radicum copiam, et Phœnices magnam quoque ejus vim legisse. Multum etiam ab exercitu proculcatum fuisse, atque ex ea protritione suavissimum odorem late diffusum. Tantam ibi ejus esse copiam. (6) Alia præterea ibi nasci arborum genera, quarum folia lauri follis sint similia. Atque eas quidem iis locis quos mare alluit nasci, et recedente æstu in sicco destitui: accedente vero æstu mari nata videri. Aliarum vero radices semper mari allui, quotquot scilicet in concavis atque sinuosis locis nascantur, ubi mare non recedat; sed ne sic quidem arbores a mari corrumpi. (7) Harum arborum nonullas altitudine ibi esse triginta cubitorum: ac tum quidem temporis floruisse: florem albæ violæ persimilem esse, odoris tamen suavitate longe superare. Alium quoque spinæ esse caulem e terra ortum eique adeo validam spinam adnasci, ut si cujus adequitantis vesti implicata fuerit, eques citius equo detrahatur quam ipsa a caule avellatur. (8) Leporum etiam prætercurrentium pilis ita adhærescere spinæ dicuntur, ut perinde ac visco aves aut hamis pisces, ita lepores spinis istis capiantur. Ferro tamen non difficulter incidi, spinaque dissecta multum succi e caule emitti, multoque uberiorem quam ex ficubus verno tempore, ac magis austerum.

ΚΕΦ. ΚΓ'.

Ἔνθεν δὲ διὰ τῆς Γαδρωσῶν χώρας ἦει ὁδὸν χαλεπὴν καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν τε ἄλλων καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ οὐκ ἦν· ἀλλὰ νύκτωρ ἠναγκάζοντο γῆν πολλὴν πορεύεσθαι καὶ προσωτέρω ἀπὸ θαλάσσης, ἐπεὶ αὐτῷ γε ἐν σπουδῇ ἦν ἐπελθεῖν τὰ παρὰ τὴν θάλασσαν τῆς χώρας καὶ λιμένας τε ἰδεῖν τοὺς ὄντας καὶ ὅσα γε ἐν παρόδῳ δυνατὰ γένοιτο τῷ ναυτικῷ παρασκευάσαι, ἢ φρέατα ὀρύξαντας ἢ ἀγορᾶς που ἢ ὅρμου ἐπιμεληθέντας. (2) Ἀλλὰ ἦν γὰρ ἔρημα παντάπασι τὰ πρὸς τῇ θαλάσσῃ τῆς Γαδρωσῶν γῆς, ὁ δὲ Θόαντα τὸν Μανδροδώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀλίγοις ἱππεῦσι, κατασκεψόμενον εἴ πού τις ὅρμος ὢν τυγχάνει ταύτῃ ἢ ὕδωρ οὐ πόρρω ἀπὸ θαλάσσης ἢ τι ἄλλο τῶν ἐπιτη-

CAP. XXIII

Exinde Alexander per Gadrosorum regionem profectus est via difficili et rerum necessariarum indiga. Atque inter alia, magna sæpe aquæ penuria exercitus laborabat, noctuque multum itineris conficere longeque a mari discedere cogebatur. Cupiebat ipse quidem Alexander regionem mari vicinam obire et quinam portus propinqui essent perlustrare, simulque per transitum quæ classi necessaria essent præparare et puteos effodere, foraque et portus præbere: (2) verum Gadrosorum regio mare versus deserta penitus erat. Thoantem tamen Mandrodori filium cum modico equitatu ad mare speculatum mittit, visurum an ullus uspiam portus, aut aqua non procul a mari aut aliud quicquam necessariorum reperiatur. (3) Qui reversus nuntiavit, pisca-

δείων. (3) Καὶ οὗτος ἐπανελθὼν ἀπήγγειλεν ἁλιέας τινὰς καταλαβεῖν ἐπὶ τοῦ αἰγιαλοῦ ἐν καλύβαις πνιγηραῖς· πεποιῆσθαι δὲ τὰς καλύβας ξυνθέντας τὰς κόγχας· στέγην δὲ εἶναι αὐταῖς τὰς ἀκάνθας τῶν ἰχθύων· καὶ τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆσθαι, χαλεπῶς διαμωμένους τὸν κάχληκα, καὶ οὐδὲ τούτῳ πάντη γλυκεῖ τῷ ὕδατι.

4. Ὡς δὲ ἀφίκετο Ἀλέξανδρος ἐς χῶρόν τινα τῆς Γαδρωσίας ἵνα ἀφθονώτερος ἦν σῖτος, διανέμει ἐς τὰ ὑποζύγια τὸν καταληφθέντα· καὶ τοῦτον σημηνάμενος τῇ ἑαυτοῦ σφραγῖδι, κατακομίζεσθαι κελεύει ὡς ἐπὶ θάλασσαν. Ἐν ᾧ δὲ ἦει ὡς ἐπὶ τὸν σταθμὸν ἔνθενπερ ἐγγυτάτω ἦν ἡ θάλασσα, ἐν τούτῳ ὀλίγα φροντίσαντες οἱ στρατιῶται τῆς σφραγῖδος αὐτοί τε οἱ φύλακες τῷ σίτῳ ἐχρήσαντο καὶ ὅσοι μάλιστα λιμῷ ἐπιέζοντο καὶ τούτοις μετέδωκαν. (5) Ἐς τοσόνδε πρὸς τοῦ κακοῦ ἐνικῶντο ὡς τὸν πρόδηλον καὶ παρόντα ἤδη ὄλεθρον τοῦ ἀφανοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασιλέως κινδύνου ξὺν λογισμῷ ἔδοξε σφίσιν ἔμπροσθεν ποιήσασθαι. Καὶ Ἀλέξανδρος καταμαθὼν τὴν ἀνάγκην συνέγνω τοῖς πράξασιν. Αὐτὸς δὲ ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγαγεῖν ἠδυνήθη εἰς ἐπισιτισμὸν τῇ στρατιᾷ τῇ περιπλεούσῃ σὺν τῷ στόλῳ, ταῦτα κομίσοντα πέμπει Κρηθέα τὸν Καλλατιανόν. (6) Καὶ τοῖς ἐγχωρίοις προσετάχθη ἐκ τῶν ἄνω τόπων σῖτόν τε ὅσον δυνατοὶ ἦσαν κατακομίσαι ἀλέσαντας καὶ τὰς βαλάνους τὰς τῶν φοινίκων καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ. Καὶ ἐς ἄλλον αὖ τόπον Τήλεφον κατέπεμψε τῶν ἑταίρων σὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ.

tores quosdam abs se in littore inventos sub angustis tuguriis degentes. Ea tuguria ex conchis congestis facta esse, tecta ex piscium spinis. Eos vero ipsos piscatores modica aqua uti quam magna cum difficultate e sabulo effodissent, ac ne illa quidem omnino dulci.

4. Posteaquam vero Alexander in locum quendam Gadrosiæ venit, ubi copiosius erat frumentum, id acceptum et sigillo suo obsignatum jumentisque impositum ad mare vehi jussit. Interea vero dum in portum mari proximum it, milites neglecto sigillo atque ipsi adeo custodes frumento usi sunt, iisque qui maxime fame premebantur partiti. (5) Quæ quidem adeo ingens erat, ut manifestæ ac præsentis jam mortis potius quam incerti et procul remoti periculi ab rege ipsis timendi rationem habendam sibi putarent. Alexander cognita necessitate qua adacti id fecissent iis ignovit. Ipse quicquid frumenti peragrata ea regione conquiri potuit Cretheum Callatianum mittit qui ad classem cum exercitu navigantem adducat. (6) Indigenis etiam imperat ut ex superioribus locis quantum possent frumenti moliti, palmarum etiam fructus et pecudes ad mercatum adferant. Telephum quoque, unum ex amicis, in alium locum cum frumento molito non multo misit.

ΚΕΦ. ΚΔ'.

Αὐτὸς δὲ προὐχώρει ὡς ἐπὶ τὰ βασίλεια τῶν Γαδρωσῶν, ὁ δὲ χῶρος Πουῦρα ὀνομάζεται, ἵναπερ ἀφίκετο ἐξ Ὡρων ὁρμηθεὶς ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. Καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραφάντων τὰ ἀμφ' Ἀλέξανδρον οὐδὲ τὰ ξύμπαντα ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν ἡ στρατιὰ ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πόνοις. (2) Οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα, ταύτῃ ἐλθεῖν (τοῦτο μὲν μόνος Νέαρχος λέγει ὧδε), ἀλλὰ ἀκούσαντα γὰρ ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη ὅτι μὴ Σεμίραμις ἐξ Ἰνδῶν ἔφυγε· καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι ξὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι· Κῦρον δὲ τὸν Καμβύσου σὺν ἑπτὰ μόνοις καὶ τοῦτον. (3) Ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν, φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. Καὶ ταῦτα Ἀλεξάνδρῳ ἐξαγγελλόμενα ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. Τούτων τε οὖν ἕνεκα καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον. (4) Τό τε οὖν καῦμα

CAP. XXIV.

Ipse ad Gadrosorum regiam contendit (locus is Pura dicebatur), ad quam sexagesimo postquam ex Oris discessit die pervenit. At vero plurimi eorum qui Alexandri res gestas conscripserunt, tradunt, labores quoscunque exercitus per Asiam perpessus esset iis quos in hac regione pertulit comparandos non fuisse. (2) Alexandrum vero non ignorata ejus itineris difficultate, illac proficisci voluisse (hoc autem unus Nearchus scribit) quum videlicet audisset neminem adhuc ducem exercitum per ea loca salvum traduxisse, excepta Semiramide ex Indis fugiente: quam quidem indigenæ narrabant cum viginti solis ex toto exercitu evasisse: Cyrum vero Cambysis filium cum vii solis. (3) Venisse enim etiam in hæc loca Cyrum, ut Indorum regionem invaderet; priusquam vero eam attingeret magnam exercitus sui partem per solitudines difficillimaque itinera amisisse. Atque hæc quidem Alexandro nuntiata æmulationem quandam Cyri et Semiramidis in ejus animo excitasse. His igitur de causis, simulque ut classi non procul remotæ necessaria subministraret, tradit Nearchus Alexandrum hac via rediisse. (4) Ingenti vero solis ardore aqua-

ἐπιλέγον καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι καὶ μάλιστα δὴ τὰ ὑποζύγια· ταῦτα μὲν δὴ πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ δὲ καὶ δίψει ἀπόλλυσθαι· καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς ψάμμου βαθείας, οὐ νεναγμένης, ἀλλ' οἵας δέχεσθαι καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. (5) Καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιόνους ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ καὶ ἅμα οὐ βεβαίῳ. Τῶν δὲ σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα τὴν στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα μᾶλλόν τι ἤγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. (6) Ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδὸν ἥντινα ἀνῦσαι ἐχρῆν ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντη ἐταλαιπωροῦντο· προχωρούσης δὲ τῆς ἡμέρας ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιπορῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρὸς τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ συνεχόμενοι.

rum que inopia magnam exercitus partem, ac præcipue jumenta exstincta esse. Hæc enim ob altitudinem arenæ et calorem (ardenti enim similis erat), plurima vero etiam siti interiisse. Incidisse enim in altos colles quos arena accumulata effecerat, in quibus alia atque alia supergradientia, perinde ac cœno aut potius nivi nondum calcatæ infixa hærebant. (5) Simul etiam in ascensu ac descensu equi pariter et muli ob inæqualitatem viæ, et quidem illius non firmæ, vehementer affligebantur. Longa etiam stationum intervalla exercitum magnopere angebant, siquidem summa aquæ inopia iter accelerare cogebat. (6) Ac noctu quidem via, quam confici oportebat, peragrata, si mane ad aliquam aquam venirent, non usque adeo vehementer gravabantur. Procedente vero die si adhuc præ longitudine viæ in itinere hærebant, tum ingenti æstu et immensa siti conficiebantur.

ΚΕΦ. ΚΕ'.

Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλείποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο, καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον. (2) Καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν. Οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν εὐμαρῶς ἀπορίᾳ τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι, καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι. (3) Καὶ οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῷ δίψει οὐκ ἀντέχοντες, καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ μένοντες θεραπεύσοντες· σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ στόλος, καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύναμις ἔτι ἦν κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἑρμαρτήσαντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες τῇ ψάμμῳ ἀπώλοντο.

4. Ξυννενέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. Ἔστι γὰρ ἡ Γαδρωσίων γῆ ὑπ' ἀνέ-

CAP. XXV.

Multa etiam jumenta milites ipsi sua sponte interficiebant. Quum enim frumentum ipsos deficeret, concursu facto equos plerosque trucidantes et mulorum carnibus vescentes æstu atque labore defecisse vel siti exstinctos esse dicebant. Neque quisquam erat qui de rei veritate serio inquireret, quum et molestum esset et omnes in eadem culpa versarentur. (2) Et Alexander quidem factum non ignorabat, sed præsentis rerum status remedium potius in simulatione ignorationis, quam facti abs se cogniti permissione consistere judicabat. Jamque ne ægri quidem nec qui præ defatigatione in via relicti erant vehi amplius poterant, partim jumentorum inopia, partim quod currus confregissent ipsi: quippe qui ob altitudinem arenæ duci non possent, quodque propter currus in primis stationibus non brevissima itinera, sed quæ curribus ducendis erant accommodatiora persequi coacti fuissent. (3) Atque ita alii præ morbo, alii præ nimia defatigatione, æstu ac siti in itinere relicti sunt. Neque qui eos vellerent, aut remanentes curare ægros vellent, ulli erant: quippe agmen raptim agebatur, et præ communis salutis studio singulorum cura necessario negligebatur. Si quos autem nocturni itineris longitudine defatigatos somnus oppresserat, ii postea excitati, si modo vires suppetebant, per vestigia agmen sequentes pauci e multis incolumes pervenerunt. Plerique in arenas tanquam vastum pelagus delati perierunt.

4. Accessit et alia exercitui calamitas, quæ vel præcipue ipsos pariter atque equos et jumenta afflixit. Gadrosorum enim regio, flantibus Etesiis, imbribus obnoxia est, quem-

μων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. (5) Ὡς δὲ ἠύλίσθη ἡ στρατιὰ πρὸς χειμάῤῥῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χείμαῤῥος ὁ ταύτῃ ῥέων, ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων, τοσούτῳ ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων ὅσα ἀπελείπετο, αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι. (6) Οἱ πολλοὶ δὲ καὶ πίνοντες, ὁπότε ἐκ καύματός τε καὶ δίψους ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλοντο, καὶ τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

admodum et Indorum regio, non quidem in planis Gadrosorum locis, sed montanis, ubi nubes a ventis coguntur ac refunduntur, montium cacumina non excedentes. (5) Quumque exercitus prope torrentem quendam aquæ causa consedisset, circiter vigiliam noctis secundam torrens imbribus improvisis auctus (neque enim exercitus pluviam senserat) tanto impetu exundavit, ut plerasque fœminas et pueros agmen sequentes omnemque apparatum regium et jumenta quæ reliqua erant secum rapuerit, atque ipsi milites ægre cum armis, ac ne iis quidem omnibus, evaserint. (6) Multi ardore sitique pressi, aquarum copiam nacti immodico potu interierunt. Qua de causa Alexander deinceps nequaquam castra prope torrentem locavit, sed xx minimum stadiis remota, ne confertim ad aquam proruentes ipsi simul et jumenta exstinguerentur, neve qui vehementiore siti premebantur fontes aut rivos pedibus ingressi aquam reliquo exercitui turbidam inutilemque efficerent.

ΚΕΦ. ΚΣ'.

Ἔνθα δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. Ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι· τὸ δὲ ἦν πρόσω τῆς ὁδοῦ· καὶ αὐτόν τε Ἀλέξανδρον δίψει κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὥστε καὶ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε, κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. (2) Ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο θυλάκῳ συλλέξαντας σπουδῇ ἰέναι παρ' Ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ. (3) Τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κομίσαντας· λαβόντα δὲ ἐν ὄψει πάντων ἐχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιῤῥωσθῆναι τὴν στρατιὰν ξύμπασαν ὥστε εἰκάσαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκχυθέν. Τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον εἰς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ Ἀλεξάνδρου.

CAP. XXVI.

Eo loci egregium quoddam facinus, si quod aliud, ab Alexandro editum nequaquam silentio prætereundum putavi, sive id in hac solitudine sive antea apud Parapamisadas, ut alii scribunt, factum fuerit. Id hujusmodi fuit: quum exercitus per arenas solis ardore jam flagrantes iter faceret, quod quidem ad aquæ locum, qui longe aberat, conficiendum erat, Alexandrum ipsum siti pressum, quamvis ægre atque difficulter, peditum agmen duxisse, ut reliqui milites, quemadmodum in ejusmodi rerum statu fieri solet, ob æqualitatem ærumnarum labores facilius ferrent. (2) Interea nonnullos levis armaturæ milites ad aquam quærendum ab exercitu digressos, in torrentis cujusdam alveo non profundo exiguum quendam fontem neque purum illum invenisse, collectaque folliculo aqua confestim ad Alexandrum accurrisse, veluti magnum aliquod bonum regi adferentes. Quumque propius ad Alexandrum venissent, aquam galeæ infusam regi obtulisse. (3) Atque illum quidem accepisse, laudatis qui attulerant, eam vero protinus in conspectu omnium in terram profudisse. Eoque facto ita militum animos confirmatos fuisse, perinde ac si illius aquæ ab Alexandro effusæ potu totus exercitus refocillatus fuisset. Quod certe Alexandri factum, si quod aliud, cum ob tolerantiam, tum ob præclarum boni imperatoris exemplum laudo.

4. Ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. Οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδόν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος· καὶ

4. Ad hæc mala hoc etiam exercitui accidit: duces, delelis a vento viæ vestigiis, postremo viæ sese non amplius meminisse dicebant. Neque enim in arena quæ densa æquaque omni ex parte viam obduxerat eam cognosci posse,

οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ τε καὶ ὁμοίᾳ πάντη νενημένῃ ὅτῳ τεκμηριώσονται τὴν ὁδόν, οὔτ' οὖν δένδρα ξυνήθη παρ' αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα· οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαί σφισι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων τὴν μὲν Φοίνιξι, τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις, τὴν μείζονα. (5) Ἔνθα δὴ Ἀλέξανδρον ξυνέντα ὅτι ἐν ἀριστερᾷ [δεῖ] ἀποκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἱ ἱππέας [προεχωρηκέναι]· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλούς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι, καὶ εὑρεῖν τὴν θάλασσαν· διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ, καὶ οὕτω μετελθεῖν τὴν στρατιὰν πᾶσαν· καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν, ὑδρευομένους ἐκ τῆς ἠϊόνος. Ἔνθεν δέ, ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας, ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

quod neque arbores juxta viam positæ essent, neque firmus aliquis certusque collis exstaret : neque ex astris noctu, aut ex sole interdiu itineris rationem observare soliti essent : quemadmodum nautæ ex Ursis, Phœnices quidem ex minore, reliqui vero mortales ex majore. (5) Ibi Alexandrum conjectura assequutum, ad sinistram deflectendum esse, paucis equitibus assumptis processisse. Quorum equis nimio æstu defatigatis, multos in itinere relictos : ipsum cum quinque in universum equis evasisse et mare invenisse sabuloque in littore effosso aquam dulcem ac puram, atque ita universum exercitum eo traductum, eumque septem ferme dies propter mare ivisse aquam petentes ex litore. Tum duces itineris viam agnovisse, et ad interiorem regionem duxisse.

ΚΕΦ. ΚΖ'.

Ὡς δὲ ἀφίκετο ἐς τῶν Γαδρωσίων τὰ βασίλεια, ἀναπαύει ἐνταῦθα τὴν στρατιάν. Καὶ Ἀπολλοφάνην μὲν παύει τῆς σατραπείας, ὅτι οὐδενὸς ἔγνω ἐπιμεληθέντα τῶν προεπηγγελμένων· Θόαντα δὲ σατραπεύειν τῶν ταύτῃ ἔταξε· τούτου δὲ νόσῳ τελευτήσαντος Σιβύρτιος τὴν σατραπείαν ἐκδέχεται· ὁ αὐτὸς δὲ καὶ Καρμανίας σατράπης ἦν νεωστὶ ἐξ Ἀλεξάνδρου ταχθείς· τότε δὲ τούτῳ μὲν Ἀραχωτῶν τε καὶ τῶν Γαδρωσίων ἄρχειν ἐδόθη· Καρμανίαν δὲ ἔσχε Τληπόλεμος ὁ Πυθοφάνους. (2) Ἤδη τε ἐπὶ Καρμανίας προὐχώρει ὁ βασιλεὺς καὶ ἀγγέλλεται αὐτῷ Φίλιππον τὸν σατράπην τῆς Ἰνδῶν γῆς ἐπιβουλευθέντα πρὸς τῶν μισθοφόρων δόλῳ ἀποθανεῖν, τοὺς δὲ ἀποκτείναντας ὅτι οἱ σωματοφύλακες τοῦ Φιλίππου οἱ Μακεδόνες τοὺς μὲν ἐν αὐτῷ τῷ ἔργῳ, τοὺς δὲ καὶ ὕστερον λαβόντες ἀπέκτειναν. Ταῦτα δὲ ὡς ἔγνω, ἐκπέμπει γράμματα ἐς Ἰνδοὺς παρὰ Εὔδαμόν τε καὶ Ταξίλην ἐπιμελεῖσθαι τῆς χώρας τῆς πρόσθεν ὑπὸ Φιλίππῳ τεταγμένης ἔστ' ἂν αὐτὸς σατράπην ἐκπέμψῃ ἐπ' αὐτῆς.

3. Ἤδη δ' ἐς Καρμανίαν ἥκοντος Ἀλεξάνδρου Κρατερος ἀφικνεῖται, τήν τε ἄλλην στρατιὰν ἅμα οἱ ἄγων καὶ τοὺς ἐλέφαντας καὶ Ὀρδάνην τὸν ἀποστάντα καὶ νεωτερίσαντα συνειληφώς. Ἐνταῦθα δὲ [καὶ] Στασάνωρ τε ὁ Ἀρείων καὶ ὁ Ζαράγγων σατράπης ἦκε καὶ ξὺν αὐτοῖς Φαρισμάνης ὁ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίων σατράπου παῖς. Ἦκον δὲ καὶ οἱ στρατηγοὶ οἱ ὑπολειφθέντες ἅμα Παρμενίωνι ἐπὶ τῆς στρατιᾶς τῆς ἐν Μηδίᾳ, Κλέανδρός τε καὶ Σιτάλκης καὶ Ἡράκων, τὴν πολλὴν τῆς στρατιᾶς καὶ οὗτοι ἄγοντες. (4) Τοὺς μὲν δὴ ἀμφὶ Κλέανδρόν τε καὶ Σιτάλκην πολλὰ ἐπικαλούντων αὐτοῖς τῶν τε ἐγχωρίων καὶ τῆς στρατιᾶς αὐτῆς, ὡς

CAP. XXVII.

Postquam vero in Gadrosorum regiam pervenit, militibus ibi quietem dedit. Apollophanem, quod nihil eorum quæ imperata ei fuerant perfecisset, satrapatu deponit, Thoante in ejus locum suffecto : qui quum ex morbo decessisset, Sibyrtius ei successor est datus. Hic ipse Carmaniæ satrapa erat, nuper admodum id muneris ab Alexandro consequutus : tum vero Arachotorum et Gadrosorum imperium illi collatum est. Carmaniam vero Tlepolemus Pythophanis filius tenuit. (2) Jamque Carmaniam versus processerat rex, quum ei nuntiatur Philippum Indorum satrapam mercenariorum fraude ex insidiis interemtum. Ac percussores quidem a Macedonibus, qui Philippo corporis custodes erant, partim in ipsa cæde, partim post perpetratum facinus captos, interfectos esse. Quo cognito, Eudemo et Taxili per literas jubet, ut regionis quæ antea Philippo subdita fuerat curam administrationemque suscipiant, tantisper dum ipse satrapam aliquem eo mittat.

3. Alexandro jam Carmaniam ingresso, Craterus ad eum venit, reliquum exercitum et elephantos secum ducens unaque Ordanem, quem quod defectionem molitus esset ceperat. Eodem etiam Stasanor Ariorum et Zarangum satrapes venit et cum his Pharismanes Phrataphernis Parthorum et Hyrcanorum satrapæ filius. Venerunt etiam duces copiarum, quas cum Parmenione in Media reliquerat, Cleander, Sitalces et Heracon, magnam et ipsi exercitus partem ducentes. (4) E quibus Cleander et Sitalces accusati sunt ab indigenis pariter atque exercitu ipso, quod templa spoliassent, veteraque monimenta movissent mul-

ἱερά τε πρὸς αὐτῶν σεσυλημένα καὶ θήκας παλαιὰς κεκινημένας καὶ ἄλλα ἄδικα ἔργα ἐς τοὺς ὑπηκόους τετολμημένα καὶ ἀτάσθαλα, ταῦτα ὡς ἐξηγγέλθη, τοὺς μὲν ἀπέκτεινεν, ὡς καὶ τοῖς ἄλλοις δέος εἶναι ὅσοι σατράπαι ἢ ὕπαρχοι ἢ νομάρχαι ἀπολείποιντο, τὰ ἴσα ἐκείνοις πλημμελοῦντας πείσεσθαι. (5) (Καὶ τοῦτο, εἴπερ τι ἄλλο, κατέσχεν ἐν κόσμῳ τὰ ἔθνη τὰ ἐξ Ἀλεξάνδρου ὁρμηθέντα ἢ ἑκόντα προσχωρήσαντα, τοσαῦτα μὲν πλήθει ὄντα, τόσον δὲ ἀλλήλων ἀφεστηκότα, ὅτι οὐκ ἐξῆν ὑπὸ τῇ Ἀλεξάνδρου βασιλείᾳ ἀδικεῖσθαι τοὺς ἀρχομένους ὑπὸ τῶν ἀρχόντων.) Ἡράκων δὲ τότε μὲν ἀφείθη τῆς αἰτίας· ὀλίγον δὲ ὕστερον ἐξελεγχθεὶς πρὸς ἀνδρῶν Σουσίων σεσυληκέναι τὸ ἐν Σούσοις ἱερὸν καὶ οὗτος ἔδωκε δίκην. (6) Οἱ δὲ ξὺν Στασάνορι καὶ Φραταφέρνῃ πλῆθός τε ὑποζυγίων παρ' Ἀλέξανδρον ἄγοντες ἦλθον καὶ καμήλους πολλάς, ὡς ἔμαθον ὅτι τὴν ἐπὶ Γαδρωσίων ἄγει, εἰκάσαντες ὅτι (τὰ) αὐτὰ ἐκεῖνα πείσεται αὐτῷ ἡ στρατιὰ ἃ δὴ ἔπαθε. Καὶ οὖν καὶ ἐν καιρῷ μὲν καὶ οὗτοι ἀφίκοντο, ἐν καιρῷ δὲ οἱ κάμηλοί τε καὶ τὰ ὑποζύγια· διένειμε γὰρ ξύμπαντα Ἀλέξανδρος τοῖς μὲν ἡγεμόσι κατ' ἄνδρα, τοῖς δὲ κατ' ἴλας τε καὶ ἑκατοστύας, τοῖς δὲ κατὰ λόχους, ὅπως τὸ πλῆθος τῶν ὑποζυγίων τε καὶ καμήλων αὐτῷ ξυνέβαινεν.

taque alia in subditos improbe atque avare perpetrassent. Quæ ut nuntiata sunt, necari eos jussit, ut et reliqui satrapæ aut principes qui iis locis constituerentur, metuerent si officium non fecissent sese eodem supplicio affectum iri. (5) Quod certe, si quid aliud, gentes quæ ab Alexandro vi subactæ erant, vel sua sponte deditionem fecerant, quarum tanta erat multitudo, quique tanto locorum intervallo inter se disjungebantur, in officio continuit. Neque enim licebat sub Alexandri imperio cuiquam præfecto subditos injuria afficere. Heracon quidem tum temporis criminationem subterfugerat : cæterum paulo post a Susiis convictus, quod eorum templum diripuisset, etiam ipse pœnas dedit. (6) Stasanor vero et Phrataphernes magnam jumentorum atque camelorum copiam ad Alexandrum duxerunt, simulac eum in Gadrosios exercitum ducere intellexerunt, existimantes exercitum eadem illa incommoda quæ passus fuerat subiturum. Et quidem peropportune cum ipsi, tum cameli et jumenta advenerunt : omniaque partim in singulos præfectos, partim per turmas et centurias et cohortes pro numero jumentorum et camelorum partitus est.

ΚΕΦ. ΚΒ'.

Ἤδη δέ τινες καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοὶ λέγοντες, ὡς συζεύξας δύο ἁρμαμάξας κατακείμενος ξὺν τοῖς ἑταίροις καταυλούμενος τὴν διὰ Καρμανίας ἦγεν, ἡ στρατιὰ δὲ αὐτῷ ἐστεφανωμένη τε καὶ παίζουσα εἵπετο, προὔκειτο δὲ αὐτῇ σῖτά τε καὶ ὅσα ἄλλα ἐς τρυφὴν παρὰ τὰς ὁδοὺς συγκεκομισμένα πρὸς τῶν Καρμανίων, καὶ ταῦτα πρὸς μίμησιν τῆς Διονύσου Βακχείας ἀπεικάσθη Ἀλεξάνδρῳ, (2) ὅτι καὶ ὑπὲρ ἐκείνου λόγος ἐλέγετο καταστρεψάμενον Ἰνδοὺς Διόνυσον οὕτω τὴν πολλὴν τῆς Ἀσίας ἐπελθεῖν, καὶ Θριαμβόν τε αὐτὸν ἐπικληθῆναι τὸν Διόνυσον καὶ τὰς ἐπὶ ταῖς νίκαις ταῖς ἐκ πολέμου πομπὰς ἐπὶ τῷ αὐτῷ τούτῳ θριάμβους. Ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν οὐδέ τις ἄλλος ὅντινα ἱκανὸν ἂν τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε. Καί μοι ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσαν. (3) Ἀλλ' ἐκεῖνα ἤδη Ἀριστοβούλῳ ἑπόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίᾳ Ἀλέξανδρον χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης καὶ ὑπὲρ τῆς στρατιᾶς, ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖναι μουσικόν τε καὶ γυμνικόν· κατατάξαι δὲ καὶ Πευκέσταν ἐς τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σατράπην καταστῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς σατραπείας μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι, ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ· (4) εἶναι δὲ αὐτῷ ἑπτὰ εἰς τότε σωματοφύλακας, Λεοννάτον Ἀντέου, Ἡφαιστίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀρι-

CAP. XXVIII.

Sunt etiam nonnulli qui scribant, quod quidem mihi verisimile non videtur, Alexandrum duobus curribus junctis, inter amicos musicis modulationibus aures ejus demulcentes stratum per Carmaniam exercitum duxisse : milites coronatos ludentesque sequutos, frumentum aliasque res quæ ad voluptatem pertinent ad viam Carmaniis apponentibus. Atque hæc quidem æmulatione quadam Dionysiacæ bacchationis ab Alexandro facta esse. (2) Fama enim tenebat Bacchum, Indis devictis, hoc etiam pacto magnam Asiæ partem peragrasse : et Bacchum ipsum Triumphum vocatum esse, et pompas quæ ob bellicas victorias fiunt ea de causa triumphos dici. Cæterum hæc neque Ptolemæus Lagi neque Aristobulus Aristobuli filius neque alius quispiam auctor, cui hac in parte fides haberi possit, memoriæ prodidit : sufficeritque hæc a me tanquam indigna fide relata esse. (3) Illa vero Aristobulum sequutus scribo, nempe Alexandrum in Carmania gratias diis agentem sacrum fecisse ob victoriam de Indis partam et ob exercitum ex Gadrosiis servatum : ludos etiam musicos et gymnicos edidisse : præterea Pencestam in corporis sui custodes adscripsisse, quem quidem jam Persidis satrapam constituere decreverat, sed antequam illi satrapatum deferret, ne hoc quidem honore fideique testimonio carere eum voluit, ob eximiam ejus operam apud Mallos præstitam. (4) Fuisse autem illi tum temporis septem corporis custodes Leonnatum Antei, Hephæstionem Amyntoris, Lysimachum Agathoclis, Aristo-

στόνουν Πεισαίου, τούτους μὲν Πελλαίους, Περδίκκαν δὲ Ὀρόντου ἐκ τῆς Ὀρεστίδος, Πτολεμαῖον δὲ τὸν Λάγου καὶ Πείθωνα Κρατεᾶ Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέσταν τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα.

5. Ἐν τούτῳ δὲ καὶ Νέαρχος περιπλεύσας τὴν Ὠρων τε καὶ Γαδρωσίων γῆν καὶ τὴν Ἰχθυοφάγων κατῆρεν ἐς τῆς Καρμανίας τὰ πρὸς θάλασσαν ὡκισμένα· ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις Ἀλεξάνδρῳ ἀπήγγειλε τὰ ἀμφὶ τὸν περίπλουν τὸν γενόμενον αὐτῷ κατὰ τὴν ἔξω θάλασσαν. (6) Τοῦτον μὲν δὴ καταπέμπει αὖθις, ἐκπεριπλεύσοντα ἔστε ἐπὶ τὴν Σουσιανῶν τε γῆν καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς· ὅπως δὲ ἐπλεύσθη αὐτῷ τὰ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν θάλασσαν τὴν Περσικὴν καὶ τὸ στόμα τοῦ Τίγρητος, ταῦτα ἰδίᾳ ἀναγράψω αὐτῷ Νεάρχῳ ἑπόμενος, ὡς καὶ τήνδε εἶναι ὑπὲρ Ἀλεξάνδρου Ἑλληνικὴν ξυγγραφήν. Ταῦτα μὲν δὴ ἐν ὑστέρῳ ἔσται τυχὸν εἰσότε θυμός τέ με καὶ ὁ δαίμων ταύτῃ ἄγῃ.

7. Ἀλέξανδρος δὲ Ἡφαιστίωνα μὲν σύν τε τῇ πλείστῃ μοίρᾳ τῆς στρατιᾶς καὶ τοῖς ὑποζυγίοις, καὶ τοὺς ἐλέφαντας ἅμα οἳ ἔχοντα τὴν παρὰ θάλασσαν ἀπὸ [τῆς] Καρμανίας ὡς ἐπὶ τὴν Περσίδα ἄγειν ἐκέλευσεν, ὅτι χειμῶνος ὥρᾳ γιγνομένου αὐτῷ τοῦ στόλου τὰ πρὸς τῇ θαλάσσῃ τῇ Περσίδος ἀλεινά τε ἦν, καὶ τῶν ἐπιτηδείων ἀφθόνως ἔχοντα.

ΚΕΦ. ΚΘ'.

Αὐτὸς δὲ ξὺν τοῖς κουφοτάτοις τῶν πεζῶν καὶ ξὺν τοῖς ἑταίροις τῶν ἱππέων καὶ μέρει τινὶ τῶν τοξοτῶν ἦει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος· Στασάνορα δὲ καταπέμπει ἐπὶ τὴν χώραν τὴν ἑαυτοῦ. (2) Ὡς δὲ ἐπὶ τοῖς ὅροις ἦν τῆς Περσίδος, Φρασαόρτην μὲν οὐ κατέλαβε σατραπεύοντα ἔτι (νόσῳ γὰρ τετελευτηκὼς ἐτύγχανεν ἐν Ἰνδοῖς ἔτι Ἀλεξάνδρου ὄντος), Ὀρξίνης δὲ ἐπεμέλετο τῆς Περσίδος, οὐ πρὸς Ἀλεξάνδρου κατασταθείς, ἀλλ' ὅτι οὐκ ἀπηξίωσεν αὐτὸν ἐν κόσμῳ Πέρσας διαφυλάξαι Ἀλεξάνδρῳ, οὐκ ὄντος ἄλλου ἄρχοντος. (3) Ἦλθε δὲ ἐς Πασαργάδας καὶ Ἀτροπάτης ὁ Μηδίας σατράπης, ἄγων Βαρυάξην ἄνδρα Μῆδον συνειλημμένον, ὅτι ὀρθὴν τὴν κίδαριν περιθέμενος βασιλέα προσεῖπεν αὐτὸν Περσῶν τε καὶ Μήδων, καὶ ξὺν τούτῳ τοὺς μετασχόντας αὐτῷ τοῦ νεωτερισμοῦ τε καὶ τῆς ἀποστάσεως. Τούτους μὲν δὴ ἀπέκτεινεν Ἀλέξανδρος.

4. Ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος. Εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον, καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων, καὶ ὕδατι εἶναι κατάρρυτον καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι· (5) αὐτὸν δὲ τὸν τάφον τὰ μὲν κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ οἴκημα

num Pisæi filium : et hos quidem Pellæos : porro Perdiccam Orontis ex Orestide, Ptolemæum Lagi et Pithonem Crateæ filium. Eordenses : octavum vero iis accessisse Peucestam qui Alexandrum scuto suo protexerat.

5. Inter hæc Nearchus, quum jam Oreorum et Gadrosorum atque Ichthyophagorum regionem circumnavigasset, ad maritimam Carmaniæ oram appulit. Inde cum paucis ad Alexandrum profectus, omnia quæ per navigationem suam in maris extero viderat ei refert. (6) Hunc mox ad classem remittit, ut ad Susianorum regionem et Tigridis fluminis ostia naviget. Quomodo autem ab Indo flumine ad mare Persicum et Tigridis ostia enavigarit, seorsim conscribam, Nearchum sequens, ut etiam hæc Græca exstet de rebus Alexandri historia. Quod quidem fortassis posthac a me præstabitur, si me animus et deus eo ducat.

7. Alexander Hephæstionem cum majore exercitus parte cumque jumentis et elephantis secus mare ex Carmania in Persidem mittit; quod quum per hiemis tempus expeditionem faceret, maritima Persidis essent calida et omnium rerum copia abundarent.

CAP. XXIX.

Ipse cum expeditissimis peditum cumque amicorum equitatu et aliqua sagittariorum parte versus Pasargadas Persidis profectus est : Stasanorem vero in suam provinciam mittit. (2) Quumque ad Persidis fines venisset, Phrasaortem ibi satrapatu fungentem non reperit (qui, Alexandro adhuc apud Indos res gerente, morbo decesserat), Orxines vero præsidem agebat, non quidem ab Alexandro constitutus, sed quod non indignum censuerat Persas Alexandro in officio continere, quamdiu nemo esset qui ejus provinciæ curam gereret. (3) Accessit quoque ad eum in Pasargadas Atropates Mediæ satrapa, isque Baryaxem Medum captum adducebat, quod recta cidari capiti imposita Persarum ac Medorum regem se appellasset, et cum eo omnes novarum rerum et defectionis socios : quos Alexander necari jussit.

4. Ægerrime vero ferebat scelus in Cyri Cambysis filii sepulcrum admissum. Quod quidem perfractum spoliatumque reperit, ut auctor est Aristobulus. Esse enim apud Pasargadas in hortis regiis Cyri illius sepulcrum, et circum id lucum omnis generis arboribus consitum aquisque irriguum atque alto gramine hortum ipsum refertum esse : (5) sepulcrum ipsum ab ima parte saxo quadrato structum quadrangularem formam præ se ferre. In editiore parte ædiculam esse lapideo fornice contectam, portulamque habere

ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν εἴσω στενήν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. Ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα ἐπιβλημάτων Βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς ὑποστρώματα. (6) Ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας. Καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς λέγει ὅτι ἔκειντο, αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητά, καὶ τράπεζα ἔκειτο. Ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα. (7) Εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον, ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν φυλακήν. Καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. Ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι· (8) καὶ ἐδήλου Περσιστὶ τάδε· ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας. Μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

9. Ἀλέξανδρος δέ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο, ἀφελόντες τὸ πῶμα τῆς πυέλου, καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκόν σφισι ποιήσασθαι καὶ ταύτῃ εὔφορον τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. Ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. (10) Καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον· καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν καταθεῖναι ἐς τὴν πύελον καὶ τὸ πῶμα ἐπιθεῖναι· ὅσα δὲ λελώβητο αὐτῆς κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἆλλα ὅσα ἐς κόσμον ἔκειτο κατ' ἀριθμόν τε καὶ τοῖς πάλαι ὅμοια ἀποθεῖναι, καὶ τὴν θυρίδα δὲ ἀφανίσαι τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα· καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν. (11) Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς Μάγους τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας· οἱ δὲ οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ξυνηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

quæ in eam ducat, ita angustam ut ægerrime unus aliquis, neque is magnæ staturæ, ingredi possit. In ædicula solium aureum esse positum, in quo Cyri corpus conditum servatur : lecticam solio adstare, cujus pedes ex solido auro fabricati sint. (6) Hanc tapetis Babyloniis stratam, stragulis purpureis substratis : lecticæ candyn regiam aliasque vestes Babylonii operis impositas esse. Femoralia etiam Medica ; stolas quoque hyacinthino colore tinctas ibi positas fuisse ; atque has quidem purpurei, alias varii coloris ; torques quoque ac gladios et inaures auro et gemmis ligatos ; mensa præterea ibi posita erat. In media vero lectica solium corpus Cyri continens. (7) Esse præterea intra ambitum in ipso ad sepulcrum ascensu exiguam quandam ædiculam, Magis exstructam, qui quidem sepulcrum custodiebant, jam inde a Cambyse Cyri filio custodiæ munere a patribus in filios transmisso. Atque his quidem ovis in singulos dies ab rege dabatur, vinique et farinæ certus modus : singulis etiam mensibus equus unus quem Cyro sacrificarent. (8) Titulus sepulcri Persicis literis inscriptus, hoc significabat, O MORTALIS, CYRUS EGO SUM CAMBYSIS F. QUI PERSIS REGNUM CONSTITUI ASLEQUE IMPERAVI. ITAQUE NE MEO MONUMENTO INVIDEAS.

9. Alexander (incesserat enim eum cupido, quando Persas vicisset, adeundi istius sepulcri) reliqua omnia furto sublata præter solium et lectum reperit. Nonnulli ne ipsius quidem corpori pepercerant. Sublato enim solii operculo corpus ejecerant : ipsum vero solium imminuere conati fuerant, ut commodius auferri posset : partim præscindentes, partim contundentes atque confringentes : quumque opus non succederet ex sententia, relicto tandem solio abierunt. (10) Aristobulus ab Alexandro designatum se fuisse ait, qui sepulcrum de integro instauraret corporisque partes quæ superarent in solio conderet, operculoque tegeret : quæque rupta essent reficeret, lectum taeniis intenderet pristinoque ornatu restitueret, et alia quæcunque ad ornatum posita fuerant, secundum numerum pristinis paria reponeret. Ad hæc ædiculæ portam lapide et calce obstrueret, regio signo illi impresso. (11) Post hæc Alexander Magos sepulcri custodes comprehensos in quæstionem dari jubet, uti auctores facinoris indicent. Qui quidem torti neque de se neque de aliis quicquam confessi sunt, neque alio ullo modo rei conscii esse sunt deprehensi. Quapropter ab Alexandro dimissi.

ΚΕΦ. Α'.

Ἔνθεν δὲ ἐς τὰ βασίλεια ᾖει τὰ Περσῶν, ἃ δὴ πρόσθεν κατέφλεξεν αὐτός, ὥς μοι λέλεκται ὅτε οὐκ ἐπῄνουν τὸ ἔργον· ἀλλ' οὐδ' αὐτὸς Ἀλέξανδρος ἐπανελθὼν ἐπῄνει. Καὶ μὲν δὴ καὶ κατὰ Ὀρξίνου πολλοὶ λόγοι ἐλέχθησαν πρὸς Περσῶν, ὃς ἦρξε Περσῶν ἐπειδὴ Φρασαόρτης ἐτελεύτησε. (2) Καὶ ἐξηλέγχθη Ὀρξίνης ἱερά τε ὅτι σεσυλήκει καὶ τάφους βασιλικούς, καὶ Περσῶν πολλοὺς ὅτι οὐ ξὺν δίκῃ ἀπέκτεινε. Τοῦτον μὲν δὴ οἷς ἐτάχθη ὑπὸ Ἀλεξάνδρου ἐκρέμασαν. Σατράπην δὲ Πέρσαις ἔταξε Πευκέσταν τὸν σωματοφύλακα, πιστόν τέ οἱ ἐς τὰ μάλιστα τιθέμενος, τά τε ἄλλα καὶ ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ, ἵνα προεκινδύνευσέ τε καὶ συνεξέσωσεν Ἀλέξανδρον, καὶ ἄλλως τῷ βαρβαρικῷ τρόπῳ τῆς διαίτης οὐκ ἀξύμφορον· (3) ἐδήλωσε δὲ ἐσθῆτά τε εὐθὺς ὡς κατεστάθη σατραπεύειν Περσῶν μόνος τῶν ἄλλων Μακεδόνων μεταλαβὼν τὴν Μηδικὴν καὶ φωνὴν τὴν Περσικὴν ἐκμαθὼν καὶ τἆλλα ξύμπαντα ἐς τρόπον τὸν Περσικὸν κατασκευασάμενος. Ἐφ' οἷς Ἀλέξανδρός γε ἐπῄνει αὐτὸν καὶ οἱ Πέρσαι ὡς τὰ παρὰ σφίσι πρὸ τῶν πατρίων πρεσβεύοντι ἔχαιρον.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦ. Α'.

Ὡς δὲ ἐς Πασαργάδας τε καὶ ἐς Περσέπολιν ἀφίκετο Ἀλέξανδρος, πόθος καταλαμβάνει αὐτὸν καταπλεῦσαι κατὰ τὸν Εὐφράτην τε καὶ κατὰ τὸν Τίγρητα ἐπὶ τὴν θάλασσαν τὴν Περσικὴν καὶ τῶν τε ποταμῶν ἰδεῖν τὰς ἐκβολὰς τὰς ἐς τὸν πόντον, καθάπερ τοῦ Ἰνδοῦ, καὶ τὴν ταύτῃ θάλασσαν. (2) Οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει Ἀλέξανδρος περιπλεῦσαι τήν τε Ἀραβίαν τὴν πολλὴν καὶ τὴν Αἰθιόπων γῆν καὶ τὴν Λιβύην τε καὶ τοὺς Νομάδας τοὺς ὑπὲρ τὸν Ἄτλαντα τὸ ὄρος ὡς ἐπὶ Γάδειρα εἶσω ἐς τὴν ἡμετέραν θάλασσαν· καὶ τὴν Λιβύην τε καταστρεψάμενος καὶ Καρχηδόνα οὕτω δὴ τῆς Ἀσίας πάσης δικαίως ἂν βασιλεὺς καλεῖσθαι· (3) τοὺς γάρ τοι Περσῶν καὶ Μήδων βασιλέας, οὐδὲ τοῦ πολλοστοῦ μέρους τῆς Ἀσίας ἐπάρχοντας, οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας. Ἔνθεν δὲ οἱ μὲν [λέγουσιν] ὅτι ἐς τὸν πόντον τὸν Εὔξεινον ἐσπλεῖν ἐπενόει ἐς Σκύθας τε καὶ τὴν Μαιῶτιν λίμνην, οἱ δέ, ὅτι ἐς Σικελίαν τε καὶ ἄκραν Ἰαπυγίαν· ἤδη γὰρ καὶ ὑποκινεῖν αὐτὸν τὸ Ῥωμαίων ὄνομα προχωροῦν ἐπὶ μέγα.

4. Ἐγὼ δὲ ὁποῖα μὲν ἦν Ἀλεξάνδρου τὰ ἐνθυμήματα οὔτε ἔχω ἀτρεκῶς ξυμβαλεῖν οὔτε μέλει ἔμοιγε εἰ-

CAP. XXX.

Inde in regiam Persarum profectus est, quam ipse antea concremarat. Quod quidem factum neque ego probavi, neque Alexander ipse reversus laudavit. Ibi multa Orxini (qui Persas post Phrasaortis obitum rexerat) crimina objecta sunt : (2) quod templa et sepulcra regia spoliasset, multosque Persarum injuste peremisset. Atque hunc quidem jussu Alexandri in crucem sustulerunt. Deinde Peucesten corporis custodem, quod fidem ejus egregiam cum aliis in rebus tum apud Mallos expertus esset, ubi magno suo periculo Alexandrum servarat, Persis satrapam constituit, qui quidem barbarica morum ratione ab illorum ingeniis minime alienus erat. (3) Quod quidem declaravit, quum statim atque satrapatum apud Persas gerere cœpit, solus ex omnibus Macedonibus veste Medica recepta, linguam Persicam didicit, reliquaque omnia ad Persicum modum accommodavit. Quo quidem nomine Alexander eum collaudavit : et Persæ, quod Persicum cultum patrio prætulisset, gavisi sunt.

LIBER SEPTIMUS.

CAP. I.

Postquam Alexander Pasargadas ac Persepolim venit, cupido eum cepit navigandi per Euphratem ac Tigrim in Persicum mare, fluminumque in mare exitus visendi, quemadmodum Indi ostia et quod ex ea parte est viderat mare. (2) Sunt etiam qui tradant Alexandrum in animo habuisse magnam Arabiæ partem circumnavigare et Æthiopum regionem Libyamque et Numidas, atque ita superato Atlante monte ad Gades in nostrum mare, Africa Carthagineque subacta, penetrare. Ita enim merito totius Asiæ [?] regem vocari posse. (3) Persarum enim ac Medorum reges, quum ne millesimam quidem Asiæ partem tenerent, inique sese magnos reges vocasse. (4) Hinc sunt qui dicant eum per Euxinum pontum navigare voluisse in Scythas et Mæotim paludem : alii, in Siciliam et Iapygium promontorium. Jam tum enim Romanorum nomen late diffusum animum ejus commovisse.

4. Ego vero quid in animo suo agitarit neque certo affirmare possum, neque curæ mihi est id conjecturis assequi.

χάζειν· ἐκεῖνο δὲ καὶ αὐτὸς ἂν μοι δοκῶ ἰσχυρίσασθαι, οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν Ἀλέξανδρον οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ' οὐδενὶ τῶν ἤδη κεκτημένων, οὐδὲ εἰ τὴν Εὐρώπην τῇ Ἀσίᾳ προσέθηκεν, οὐδ' εἰ τὰς Βρεττανῶν νήσους τῇ Εὐρώπῃ, ἀλλὰ ἔτι ἂν ἐπ' ἐκεῖνα ζητεῖν τι τῶν ἠγνοημένων, εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὐτῷ ἐρίζοντα. (5) Καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ' Ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατρίβαι ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ τοῖς ποσὶ τὴν γῆν ἐφ' ἧς βεβηκότες ἦσαν. Ὡς δὲ ἤρετο Ἀλέξανδρος δι' ἑρμηνέων ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον, τοὺς δὲ ἀποκρίνασθαι ὧδε· (6) Ὦ βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει ὅσονπερ τοῦτό ἐστιν ἐφ' ὅτῳ βεβήκαμεν· σὺ δὲ ἄνθρωπος ὢν παραπλήσιος τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος, ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ πράγματα ἔχων τε καὶ παρέχων ἄλλοις. Καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανὼν τοσοῦτον καθέξεις τῆς γῆς ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι.

Illud certe mihi asseverare posse videor, illum nihil humile aut exigui momenti animo volvisse, neque quantumlibet terrarum suo imperio adjecisset, conquieturum fuisse: non si Europam Asiae aut Britannicas insulas Europae conjunxisset, sed ulterius semper aliquid a notitia hominum remotum quaesiturum: et si cum alio nemine, cum suo ipsius animo perpetuam ei contentionem futuram fuisse. (5) Quo quidem nomine Indorum sapientes laudo, quorum nonnullos quum aliquando in horto, in quem commentandi causa convenire solent, sub dio ambulantes offendisset, eos ad Alexandri atque exercitus conspectum nihil aliud fecisse, quam pedibus terram quam calcabant pulsasse. Alexandro autem causam ejus facti per interpretes interrogante, ita responderunt, (6) Quoniam, o rex Alexander, unusquisque mortalium tantum terrae possidet, quantum hoc est quod calcamus: tu vero homo reliquis similis es, praeterquam quod curiosus atque iniquus tam procul a domo tua discesseris, tibi pariter atque aliis negotium facessens. Quum alioqui exiguo ab hinc tempore moriturus, non plus terrae sis possessurus, quam corpori tuo sepeliendo sufficiat.

ΚΕΦ. Β'.

Κἀνταῦθα ἐπῄνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους αὐτοὺς καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα καὶ τἀναντία οἷς ἐπῄνεσεν. Ἐπεὶ καὶ Διογένην τὸν ἐκ Σινώπης θαυμάσαι λέγεται, ἐν Ἰσθμῷ ἐντυχὼν τῷ Διογένει κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς ξὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις καὶ ἐρόμενος εἴ του δέοιτο· ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός, ἀπὸ τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. (2) Οὕτω τοι οὐ πάντῃ ἕξω ἦν τοῦ ἐπινοεῖν τὰ κρείττω Ἀλέξανδρος, ἀλλ' ἐκ δόξης γὰρ δεινῶς ἐκράτειτο. Ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῷ ἀφικομένῳ καὶ ἰδόντι τῶν σοφιστῶν Ἰνδῶν τοὺς γυμνοὺς πόθος ἐγένετο ξυνεῖναί τινά οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν αὐτῶν ἐθαύμασε· καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφιστῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς ἔφη παρ' Ἀλέξανδρον ἥξειν οὔτε τοὺς ἄλλους εἴα. (3) Ἀλλ' ἀποκρίνασθαι γὰρ λέγεται ὡς Διὸς υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος, καὶ ὅτι οὔτε δέοιτό του τῶν παρ' Ἀλεξάνδρου, ἔχειν γὰρ οἱ εὖ τὰ παρόντα, καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ' ἀγαθῷ οὐδενί, μηδὲ πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν, οὔτ' οὖν ποθεῖν τι αὐτὸς ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτ' αὖ δεδιέναι, ὅτου κρατοίη ἐκεῖνος, ἔστιν οὗ εἴργεσθαι· (4) ζῶντι μὲν γάρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν, φέρουσαν τὰ ὡραῖα· ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. Οὔκουν οὐδὲ Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι, γνόντα ἐλεύθερον ὄντα τὸν ἄνδρα· ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν

CAP. II.

Atque Alexander quidem sapientum sententiam laudavit: non destitit tamen alia, et quidem iis quae laudarat contraria, persequi. Siquidem et Diogenem Sinopensem in Isthmo admiratus fuisse dicitur, quum illum ad solem stratum apricantemque offendisset, cum scutatorum et pelitum amicorum manu propius accessisse, rogasseque num aliqua re indigeret: cui Diogenes nulla se re egere respondit, simulque Alexandrum cum suo comitatu recedere jussit, ne objectu corporum solis calorem interciperent. (2) Ita non plane alienus erat ab optimarum rerum consideratione, sed gloriae cupiditas transversum eum rapiebat. Nam et quum ad Taxila urbem venisset, Indorum sapientes nudos conspicatus, aliquem eorum sibi adjungi optabat, incredibilem in eis laborum tolerantiam admiratus. At qui inter illos sapientes erat natu maximus, cujus reliqui sectatores erant, Dandamis nomine, respondit, neque se ad Alexandrum venturum, neque aliis ut irent permissurum. Se enim etiam Jovis filium esse, perinde atque Alexandrum, neque ulla re ab Alexandro egere: iis enim quae haberet contentum esse. Addidit praeterea videre se, iis qui una cum eo tantum terrarum ac maris pervagati essent, nihil boni propositum esse, neque ullum erroribus eorum finem statui. Nihil itaque se expetere eorum quae Alexander largiri posset: neque contra quidquam timere cujus ille potestatem habeat impediendi. (4) Quamdiu enim viveret, Indorum regionem tempestivos statis anni partibus fructus ferentem ipsi sufficere: quum vero mori contingeret, se a corpore ut socio non satis aequo discessurum. Quae quum audisset Alexander, noluit invitum cogere, quod liberum hominem esse intelligeret;

ταύτῃ σοφιστῶν, ὄντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα Μεγασθένης ἀνέγραψεν αὐτοὺς τοὺς σοφιστὰς λέγειν, κακίζοντας τὸν Κάλανον ὅτι ἀπολιπὼν τὴν παρὰ σοφίσιν εὐδαιμονίαν, ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν θεὸν ἐθεράπευε.

ΚΕΦ. Γ'.

Ταῦτα ἐγὼ ἀνέγραψα, ὅτι καὶ ὑπὲρ Καλάνου ἐχρῆν εἰπεῖν ἐν τῇ περὶ Ἀλεξάνδρου ξυγγραφῇ· μαλακισθῆναι γάρ τι τῷ σώματι τὸν Κάλανον ἐν τῇ Περσίδι γῇ, οὔπω πρόσθεν νοσήσαντα· οὔκουν οὐδὲ δίαιταν διαιτᾶσθαι ἐθέλειν ἀῤῥώστου ἀνδρός, ἀλλὰ εἰπεῖν γὰρ πρὸς Ἀλέξανδρον, καλῶς αὐτῷ ἔχειν ἐν τῷ τοιῷδε καταστρέψαι, πρίν τινος ἐς πεῖραν ἐλθεῖν παθήματος ὅτιπερ ἐξαναγκάσει αὐτὸν μεταβάλλειν τὴν πρόσθεν δίαιταν. (2) Καὶ Ἀλέξανδρον ἀντειπεῖν μὲν αὐτῷ ἐπὶ πολύ· ὡς δ' οὐχ ἡττησόμενον ἑώρα, ἀλλὰ ἄλλως ἂν ἀπαλλαγέντα, εἰ μή τις ταύτῃ ὑπεικάθοι, οὕτω δὴ ὅπῃ ἐπήγγελλεν αὐτός, κελεῦσαι νησθῆναι αὐτῷ πυράν, καὶ ταύτης ἐπιμεληθῆναι Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα. Οἱ δὲ καὶ πομπήν τινα προπομπεῦσαι αὐτοῦ λέγουσιν ἵππους τε καὶ ἄνδρας, τοὺς μὲν ὡπλισμένους, τοὺς δὲ θυμιάματα παντοῖα τῇ πυρᾷ ἐπιφέροντας· οἱ δὲ καὶ ἐκπώματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἐσθῆτα βασιλικὴν λέγουσιν ὅτι ἐφερον. (3) Αὐτῷ δὲ παρασκευασθῆναι μὲν ἵππον, ὅτι βαδίσαι ἀδυνάτως εἶχεν ὑπὸ τῆς νόσου· οὐ μὴν δυνηθῆναί γε οὐδὲ τοῦ ἵππου ἐπιβῆναι, ἀλλὰ ἐπὶ κλίνης γὰρ κομισθῆναι φερόμενον, ἐστεφανωμένον τε τῷ Ἰνδῶν νόμῳ καὶ ᾄδοντα τῇ Ἰνδῶν γλώσσῃ. Οἱ δὲ Ἰνδοὶ λέγουσιν ὅτι ὕμνοι θεῶν ἦσαν καὶ αὐτῶν ἔπαινοι. (4) Καὶ τὸν μὲν ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι ἔμελλε, βασιλικὸν ὄντα τῶν Νυσαίων, πρὶν ἀναβῆναι ἐπὶ τὴν πυρὰν Λυσιμάχῳ χαρίσασθαι, τῶν τινι θεραπευόντων αὐτὸν ἐπὶ σοφίᾳ· τῶν δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων ὅσα ἐμβληθῆναι ἐς τὴν πυρὰν κόσμου αὐτῷ τετάχει Ἀλέξανδρος, ἄλλα ἄλλοις δοῦναι τῶν ἀμφ' αὐτόν. (5) Οὕτω δὴ ἐπιβάντα τῇ πυρᾷ κατακλιθῆναι μὲν ἐν κόσμῳ, ὁρᾶσθαι δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης. Ἀλεξάνδρῳ δὲ οὐκ ἐπιεικὲς φανῆναι τὸ θέαμα ἐπὶ φίλῳ ἀνδρὶ γιγνόμενον· ἀλλὰ τοῖς γὰρ ἄλλοις θαῦμα παρασχέσθαι οὐδέν τι παρακινήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος. (6) Ὡς δὲ τὸ πῦρ ἐς τὴν πυρὰν ἐνέβαλον οἷς προστεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγξασθαι λέγει Νέαρχος, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον, καὶ τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν ὁποῖόν τι καὶ ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαζε, καὶ τοὺς ἐλέφαντας συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τιμῶντας Κάλανον. Ταῦτα καὶ τοιαῦτα ὑπὲρ Καλάνου τοῦ Ἰνδοῦ ἱκανοὶ ἀναγεγράφασιν, οὐκ ἀχρεῖα πάντη ἐς ἀνθρώπους, ὅτῳ γνῶναι ἐπιμελές, ὅτι ὡς καρτερόν τε ἐστι καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη ὅτιπερ ἐθέλει ἐξεργάσασθαι.

Calano tamen persuasisse, uni ex sapientum numero : quem quidem incontinentem fuisse Megasthenes scribit : reliquosque sapientes judicasse perperam id a Calano factum fuisse, quod relicta felicitate quam sese consecutos censebant, alium dominum quam deum coleret.

CAP. III.

Atque hæc quidem commemoravi, quoniam et Calani mentionem fieri oportebat in historia Alexandri. Is namque quum in Perside corpore esset imbecillo, qui nunquam antea æger fuerat, non patiebatur se ad ægrotantium regulam ac diætam curari : quin potius Alexandro dicebat, præclare secum agi, quod in eo statu mori sibi contingeret, priusquam aliquod incommodum experiretur, quod pristinam vivendi rationem immutare cogeret : (2) Alexander contra ejus sententiæ acriter reluctabatur. Quum vero ab instituto deduci eum non posse cerneret, sed aliud genus mortis quæsiturum, nisi istud ei concederetur, crederet, rogum ei, ut petierat, accendi jussit : ejusque rei negotium dat Ptolemæo Lagi F. corporis custodi. Sunt qui asserant pompam etiam ab Alexandro præmissam fuisse, equosque et viros, alios quidem armatos, alios varii generis odoramenta ad rogum afferentes : alii etiam pocula aurea et argentea, atque adeo vestem regiam illatam aiunt. (3) Ipsi vero, quum præ morbo incedere non posset, equum adductum fuisse. Quumque ne equum quidem conscendere posset, lectica vectum atque Indico more coronatum fuisse, hymnos patria lingua canentem : quos quidem Indi laudes deorum et ipsorum continere dicebant. (4) Porro equum quem fuerat inscensurus (erat autem regius, ex genere Nysæorum) priusquam in rogum se immitteret, Lysimacho, uni ex iis qui eum sapientiæ nomine observarant ac colluerant, dedit. Pocula vero et stragula quæ Alexander ornandi ejus causa in rogum conjici jusserat, aliis atque aliis qui ei aderant distributa sunt. (5) Dehinc conscenso rogo decore se reclinasse in conspectu totius exercitus. Alexander indecorum censuit spectaculo interesse, quod amicus esset : reliquis summæ admirationi fuit, in mediis flammis corpus non movens. (6) Simulac vero ii quibus id negotii datum erat ignem rogo immiserunt, tubas clanxisse Nearchus tradit, (ita enim ab Alexandro imperatum erat) universumque exercitum clamores sustulisse, perinde atque quum prælium inire consuevit : elephantos etiam ingentem quendam bellicumque fremitum edidisse, Calanum cohonestantes. Hæc aliaque hujusmodi auctores fide digni de Calano conscripsere, non inutilia prorsus hominibus quibus curæ est intelligere, quam fortis atque invictus sit humanus animus, si aliquid sibi firmiter proponat.

ΚΕΦ. Δ'.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος Ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ σατραπείαν ἐκπέμπει παρελθὼν ἐς Σοῦσα· Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα Ὀξάθρην, ὅτι κακῶς ἐπεμελεῖτο τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινε. (2) Πολλὰ μὲν δὴ πεπλημμέλητο ἐκ τῶν κατεχόντων τὰς χώρας ὅσαι δορύκτητοι πρὸς Ἀλεξάνδρου ἐγένοντο ἔς τε τὰ ἱερὰ καὶ τάφους καὶ αὐτοὺς τοὺς ὑπηκόους, ὅτι χρόνιος ὁ εἰς Ἰνδοὺς στόλος ἐγεγένητο τῷ βασιλεῖ καὶ οὐ πιστὸν ἐφαίνετο ἀπονοστήσειν αὐτὸν ἐκ τοσῶνδε ἐθνῶν καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τόν τε Ἰνδὸν καὶ Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ Ὕφασιν φθειρόμενον. (3) Καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι ἔτι μᾶλλον ἐπῆραν τοὺς ταύτῃ σατραπεύοντας καταφρονῆσαι αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως. Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε ἐς τὸ πιστεῦσαί τε τοῖς ἐπικαλουμένοις, ὡς πιθανοῖς δὴ ἐν παντὶ οὖσι, καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως τοὺς καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ τὰ μεγάλα ἂν ἐδόκουν αὐτῷ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι.

4. Ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις αὐτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τὴν πρεσβυτάτην Βαρσίνην ἠγάγετο, ὡς δὲ λέγει Ἀριστόβουλος, καὶ ἄλλην πρὸς ταύτῃ, τῶν Ὤχου θυγατέρων τὴν νεωτάτην Παρύσατιν. Ἦδη δὲ ἦν αὐτῷ ἠγγμένη καὶ ἡ Ὀξυάρτου τοῦ Βακτρίου παῖς Ῥωξάνη. (5) Δρύπετιν δὲ Ἡφαιστίωνι δίδωσι, Δαρείου παῖδα καὶ ταύτην, ἀδελφὴν τῆς αὐτοῦ γυναικός, ἐθέλειν γὰρ οἱ ἀνεψιοὺς τῶν παίδων γενέσθαι τοὺς Ἡφαιστίωνος παῖδας· Κρατέρῳ δὲ Ἀμαστρίνην τὴν Ὀξυάρτου τοῦ Δαρείου ἀδελφοῦ παῖδα· Περδίκκᾳ δὲ τὴν Ἀτροπάτου τοῦ Μηδίας σατράπου παῖδα ἔδωκε· (6) Πτολεμαίῳ δὲ τῷ σωματοφύλακι καὶ Εὐμένει τῷ γραμματεῖ τῷ βασιλικῷ τὰς Ἀρταβάζου παῖδας τῷ μὲν Ἀρτακαμᾶν, τῷ δὲ Ἄρτωνιν· Νεάρχῳ δὲ τὴν Βαρσίνης τε καὶ Μέντορος παῖδα· Σελεύκῳ δὲ τὴν Σπιταμένους τοῦ Βακτρίου παῖδα· ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις τὰς δοκιμωτάτας Περσῶν τε καὶ Μήδων παῖδας ἐς ὀγδοήκοντα. (7) Οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ Περσικῷ· θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφεξῆς καὶ μετὰ τὸν πότον ἦκον αἱ γαμούμεναι καὶ παρεκαθέζοντο ἑκάστη τῷ ἑαυτῆς· οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς καὶ ἐφίλησαν· πρῶτος δὲ ὁ βασιλεὺς ἦρξεν· ἐν τῷ αὐτῷ γὰρ πάντων ἐγίγνοντο οἱ γάμοι. Καὶ τοῦτο, εἴπερ τι ἄλλο, ἔδοξε δημοτικόν τε καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρον. (8) Οἱ δὲ παραλαβόντες ἀπῆγον τὴν ἑαυτοῦ ἕκαστος· προῖκας δὲ ξυμπάσαις ἐπέδωκεν Ἀλέξανδρος. Καὶ ὅσοι δὲ ἄλλοι ἡγμένοι ἦσαν Μακεδόνες τῶν Ἀσιανῶν τινας γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα, καὶ ἐγένοντο ὑπὲρ τοὺς μυρίους, καὶ τούτοις δωρεαὶ Ἀλεξάνδρου ἐδόθησαν ἐπὶ τοῖς γάμοις.

CAP. IV.

Post hæc Alexander Atropatem in satrapatum suum mittit, ipse Susa proficiscitur. Abulitem ejusque filium Oxathrem, quod res Susiorum non recte administrarant, comprehensos necavit. (2) Multa porro flagitia admissa erant ab iis, qui regiones ab Alexandro debellatas administrabant, cum in templa et sepulcra, tum in subditos ipsos. Diuturna enim regis in Indos expeditio fuerat, neque verisimile eis fiebat eum ex tot gentibus totque elephantis sospitem rediturum, sed trans Indum, Hydaspem, Acesinem atque Hyphasim interiturum. (3) Calamitas etiam illa quæ exercitui apud Gadrosios acciderat, satrapas illius regionis magis exstimularat, ut de ipsius reditu omnem cogitationem deponerent. Porro Alexander pronior jam ad fidem delationibus adhibendam factus erat atrocibusque suppliciis leviter etiam delinquentes afficiebat, quippe quos item majora delicta animo agitare cogitabat.

4. Posthæc ad nuptias et suas et amicorum Susis celebrandas animum convertit : atque ipse quidem Barsinem ex Darii filiabus natu maximam uxorem duxit, et præter hanc aliam, ut Aristobulus tradit, Parysatin, ex filiabus Ochi natu minimam : sed et antea Roxanem Oxyartis Bactrii filiam duxerat. (5) Drypetim, Darii filiam, uxorisque suæ sororem Hephæstioni dat. Volebat enim Hephæstionis liberos suis consobrinos esse. Cratero Amastrinen Oxyartis Darii fratris filiam : Perdiccæ Atropatis Medorum satrapæ filiam : (6) Ptolemæo corporis custodi atque Eumeni scribæ regio Artabazi filias : illi quidem Artacamam, huic vero Artonim : Nearcho Spitamenis Bactrii filiam dedit, atque ita reliquis etiam amicis Persarum ac Medorum illustrium filias LXXX. matrimonio copulavit. (7) Nuptiæ Persico more celebratæ sunt. Sedilia ex ordine iis posita erant qui uxores ducturi erant, et post convivium sponsæ adductæ singulæ suis sponsis assederunt, qui mox dextris datis osculo eas exceperunt, initio a rege facto. Cunctorum enim nuptiæ simul agebantur. Quod quidem, siquid aliud, populariter atque amice ab Alexandro factum esse judicabatur. (8) Sponsi sua quisque sponsa accepta recesserunt : Alexander dotes omnibus contulit. Nomina præterea reliquorum Macedonum qui Asiaticas uxores duxissent conscribi jussit. Numerus supra decem millia fuit : et his etiam sponsalia munera ab Alexandro data sunt.

ΚΕΦ. Ε'.

Καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς ὅσοις χρέα ἦν ἐν καιρῷ οἱ ἔδοξε, καὶ κελεύει ἀπογράφεσθαι ὁπόσον ὀφείλει ἕκαστος, ὡς ληψομένους. Καὶ τὰ μὲν πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα, δεδιότες ἐξ Ἀλεξάνδρου μὴ πεῖρα αὕτη εἴη καθειμένη, ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι καὶ ὅτῳ πολυτελὴς ἡ δίαιτα. (2) Ὡς δὲ ἐξήγγελτο ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ πολλοί, ἀλλ' ἐπικρύπτουσιν ὅτῳ τι εἴη συμβόλαιον, τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν· οὐ γὰρ χρῆναι οὔτ' οὖν τὸν βασιλέα ἄλλο τι ἢ ἀληθεύειν πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινὰ ἄλλο τι ἢ ἀληθεύειν δοκεῖν τὸν βασιλέα. (3) Καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ καὶ ἐπὶ τούτων χρυσίον, (καὶ) τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις ὅστις συμβόλαιον ἐπεδείκνυτο ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. Καὶ οὕτω δὴ ἐπίστευσάν τε ἀληθεύειν Ἀλέξανδρον καὶ σὺν χάριτι μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι ἢ τὸ παύσασθαι ὀφείλοντας. Λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια.

4. Ἔδωκε δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ' ἀξίωσιν ἐτιμᾶτο ἢ κατ' ἀρετὴν εἴ τις ἐπιφανὴς ἐγεγόνει ἐν τοῖς κινδύνοις. Καὶ ἐστεφάνωσε χρυσοῖς στεφάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας, (5) πρῶτον μὲν Πευκέστην τὸν ὑπερασπίσαντα, ἔπειτα Λεοννάτον, καὶ τοῦτον ὑπερασπίσαντα, καὶ διὰ τοὺς ἐν Ἰνδοῖς κινδύνους καὶ τὴν ἐν Ὠροις νίκην γενομένην, ὅτι παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ τῶν πλησίον τούτων ὡκισμένων τῇ τε μάχῃ ἐκράτησε καὶ τἆλλα καλῶς ἔδοξε τὰ ἐν Ὠροις κοσμῆσαι. (6) Ἐπὶ τούτοις δὲ Νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς Ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν ἐστεφάνωσε· καὶ γὰρ καὶ οὗτος ἀφιγμένος ἤδη ἐς Σοῦσα ἦν· ἐπὶ τούτοις δὲ Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς· ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους σωματοφύλακας.

ΚΕΦ. Ϛ'.

Ἦκον δὲ αὐτῷ καὶ οἱ σατράπαι οἱ ἐκ τῶν πόλεών τε τῶν νεοκτίστων καὶ τῆς ἄλλης γῆς τῆς ὁρυαλώτου, παῖδας ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες, τὴν αὐτὴν ἡλικίαν γεγονότας, οὓς ἐπιγόνους ἐκάλει Ἀλέξανδρος, κεκοσμημένους Μακεδονικοῖς ὅπλοις καὶ τὰ πολέμια ἐς τὸν τρόπον τὸν Μακεδονικὸν ἠσκημένους. (2) Καὶ οὗτοι ἀφικόμενοι λέγονται ἀνιᾶσαι Μακεδόνας, ὡς πάντα δὴ μηχανωμένου Ἀλεξάνδρου ὑπὲρ τοῦ μηκέτι ὡσαύτως δεῖσθαι Μακεδόνων· εἶναι γὰρ οὖν καὶ τὴν Μηδικὴν τὴν Ἀλεξάνδρου στολὴν ἄλγος οὐ σμικρὸν Μακεδόσιν ὁρωμένην, καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ Περσικῷ ποιηθέντας οὐ πρὸς θυμοῦ γενέσθαι τοῖς πολ-

CAP. V.

Ad hæc opportunum ei visum est quidquid æris alieni milites conflaverant dissolvere. Quumque quantum quisque deberet ad se referri jussisset, ut pecuniam acciperent, initio quidem pauci nomina sua conscribi passi sunt, veriti ne Alexander id eo consilii faceret, ut exploraret quibus militibus ob immoderatos sumptus quos facerent stipendium non sufficeret : (2) posteaquam vero renunciatum ei est plerosque nomina dare nolle, sed suas unumquemque rationes et contractus occultare, militum diffidentiam reprehendit dicens non debere regem erga subditos suos alium quam veracem esse, neque quenquam subditorum aliter affectum esse debere, quam ut regem veracem esse credat. (3) Deinde mensis per castra dispositis pecuniaque iis imposita, et constitutis qui largitionem illam administrarent, omnium qui rationes contractusque suos adferrent nomina dissolvi jussit, ne nominibus quidem debitorum conscriptis : ac tum demum veracem Alexandrum crediderunt, gratiusque eis accidit ignorari nomina, quam debito liberari. Ea largitio exercitui facta xx m talentum fuisse dicitur.

4. Ad hæc alia aliis pro uniuscujusque dignitate dona dedit aut pro virtute qua quis in prœliis eminuisset. Eos vero qui præclarum aliquod facinus edidissent aureis coronis donavit. (5) Ac primum quidem Peucestam qui scuto eum protexerat : deinde Leonnatum, qui etiam eum propugnarat, et ob pericula apud Indos adita et ob victoriam apud Oros partam, quodque cum copiis suis in aciem progressus Oritarum iisque finitimorum populorum motus defectionemque compescuisset et prælio superasset, multaque alia apud Oros præclare gessisset. (6) Dehinc Nearchum, quod classem ex Indorum regione per Oceanum duxisset, coronavit. Nam et hic jam Susa pervenerat. Post hunc Onesicritum gubernatorem navis regiæ : deinde Hephæstionem aliosque corporis custodes.

CAP. VI.

Post hæc satrapæ novarum urbium abs se conditarum aliarumque provinciarum quas debellarat ad Alexandrum venerunt, xxx m. adolescentum pubescentium et æqualium ducentes, quos Alexander Epigonos, *sive posteros suos*, vocabat, omnes Macedonicis armis instructos et ad militiam Macedonico more exercitatos. (2) Horum adventum Macedones ægre tulisse dicuntur, utpote machinante omnibus modis Alexandro, ne in posterum perinde Macedonibus egeret. Improbatum etiam eis vehementer, quod stola Medica Alexandrum indutum cernerent : quodque nuptiæ Persico more celebratæ essent, multis etiam eorum qui uxores duxerant displicuisse : tamesti æqualitate ac societate

λοῖς αὐτῶν, οὐδὲ τῶν γημάντων ἔστιν οἷς, καίτοι τῇ ἰσότητι τῇ ἐς τὸν βασιλέα μεγάλως τετιμημένοις. (3) Πευκέστας τε ὁ Περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ φωνῇ περσίζων ἐλύπει αὐτούς, ὅτι τῷ βαρβαρισμῷ αὐτοῦ ἔχαιρεν Ἀλέξανδρος, καὶ οἱ Βακτρίων δὲ καὶ οἱ Σογδιανῶν καὶ Ἀραχώτων ἱππεῖς, καὶ Ζαράγγων δὲ καὶ Ἀρείων καὶ Παρθυαίων καὶ ἐκ Περσῶν οἱ Εὐάκαι καλούμενοι ἱππεῖς καταλογισθέντες ἐς τὴν ἵππον τὴν ἑταιρικὴν ὅσοι αὐτῶν κατ' ἀξίωσιν καὶ κάλλει τοῦ σώματος ἢ τῇ ἄλλῃ ἀρετῇ ὑπερφέροντες ἐῤῥαίνοντο, (4) καὶ πέμπτη ἐπὶ τούτοις ἵππαρχία προσγενομένη, οὐ βαρβαρικὴ ἡ πᾶσα, ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς ἱππικοῦ κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων, τῷ τε ἀγήματι προσκαταλεγέντες Κωφήν τε ὁ Ἀρταβάζου καὶ Ὑδάρνης καὶ Ἀρτιβόλης οἱ Μαζαίου, καὶ Σισίνης καὶ Φραδασμένης οἱ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίας σατράπου παῖδες, καὶ Ἱστάνης Ὀξυάρτου μὲν παῖς, Ῥωξάνης δὲ τῆς γυναικὸς Ἀλεξάνδρου ἀδελφός. (5) Καὶ Αὐτοβάρης καὶ ὁ τούτου ἀδελφὸς Μιθροβαῖος, καὶ ἡγεμὼν ἐπὶ τούτοις ἐπισταθεὶς Ὑστάσπης ὁ Βάκτριος, καὶ τούτοις δόρατα Μακεδονικὰ ἀντὶ τῶν βαρβαρικῶν μεσαγκύλων δοθέντα, ταῦτα πάντα ἐλύπει τοὺς Μακεδόνας, ὡς πάντη δὴ βαρβαρίζοντος τῇ γνώμῃ Ἀλεξάνδρου, τὰ δὲ Μακεδονικὰ νόμιμά τε καὶ αὐτοὺς Μακεδόνας ἐν ἀτίμῳ χώρᾳ ἄγοντος.

regiarum nuptiarum vehementer cohonestati fuissent. (3) Male etiam eos habebat, quod Peucestas Persarum satrapa cultu ipso atque sermone persizaret, quodque Alexander barbarica illa affectatione delectaretur. Præterea quod Bactriani, Sogdiani, Arachoti, Zarangi, Arii, Parthi, et qui ex Persis Euacæ vocantur equites, amicorum equitatui accensi permistique essent, quotquot dignitate aut corporis præstantia aut virtute aliqua præditi judicarentur. (4) Adhæc quod quinta equitum præfectura accessisset, non quidem tota solis barbaris constans, sed quod universo equitatu aucto nonnulli barbari in eam admissi essent, atque agemati quidem accensi fuissent Cophen Artabazi F., Hydarnes et Artiboles, Mazæi filii : et Sisines et Phradasmenes, Phrataphernis Parthorum atque Hyrcaniæ satrapæ filii : Histanes Oxyartis filius, et Roxanes Alexandri uxoris frater : (5) Autobares ejusque frater Mithrobæus : quodque horum dux esset Hystaspes Bactrianus, et quod his Macedonicæ hastæ loco barbaricorum jaculorum datæ essent : hæc omnia Macedones periniquo animo ferebant, quod Alexander in barbaricos plane mores abire videretur, Macedonum vero instituta ipsosque adeo Macedones despectui haberet.

ΚΕΦ. Ζ'.

Ἀλέξανδρος δὲ τῆς μὲν πεζῆς στρατιᾶς τὴν πολλὴν Ἡφαιστίωνα ἄγειν κέλευει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Περσικήν. Αὐτὸς δὲ ἀναπλεύσαντος αὐτῷ τοῦ ναυτικοῦ ἐς τὴν Σουσίαν γῆν ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι καὶ τῶν ἱππέων τῶν ἑταίρων ἀναβιβασάμενος οὐ πολλοὺς κατέπλει κατὰ τὸν Εὐλαῖον ποταμὸν ὡς ἐπὶ θάλασσαν. (2) Ἤδη δὲ πλησίον ὢν τῆς ἐκβολῆς τῆς ἐς τὸν πόντον τὰς μὲν πλείονάς τε καὶ πεπονηκυίας τῶν νεῶν καταλείπει αὐτοῦ· αὐτὸς δὲ ταῖς μάλιστα ταχυναυτούσαις παρέπλει ἀπὸ τοῦ Εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν ὡς ἐπὶ τὰς ἐκβολὰς τοῦ Τίγρητος· αἱ δὲ ἄλλαι αὐτῷ νῆες ἀναχομισθεῖσαι κατὰ τὸν Εὐλαῖον ἔστε ἐπὶ τὴν διώρυχα ἣ τέτμηται ἐκ τοῦ Τίγρητος ἐς τὸν Εὐλαῖον, ταύτῃ διεκομίσθησαν ἐς τὸν Τίγρητα.

3. Τῶν γὰρ δὴ ποταμῶν τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος, οἳ τὴν μέσην σφῶν Συρίαν ἀπείργουσιν, ὅθεν καὶ τὸ ὄνομα Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται, ὁ μὲν Τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ Εὐφράτου διώρυχάς τε πολλὰς ἐκ τοῦ Εὐφράτου ἐς αὑτὸν δέχεται καὶ πολλοὺς ἄλλους ποταμοὺς παραλαβὼν καὶ ἐξ αὐτῶν αὐξηθεὶς ἐσβάλλει ἐς τὸν πόντον τὸν Περσικόν, (4) μέγας τε καὶ οὐδαμοῦ διαβατὸς ἔστε ἐπὶ τὴν ἐκβολήν, καθότι οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν. Ἔστι γὰρ μετεωροτέρα ἡ ταύτῃ γῆ τοῦ

CAP. VII.

Post hæc Alexander pedestris exercitus majorem partem Hephæstioni ad Persicum mare ducendam committit. Ipse vero classe in Susiorum regionem appulsa, conscensis navibus cum scutatis et agemate ac parte equitum amicorum, per Eulæum amnem ad mare navigavit. (2) Quumque jam non procul ab ostio quo in mare fertur abesset, plerisque navibus atque iis quæ quassatæ erant ibi relictis, ipse cum velocioribus ab Eulæo amne per mare ad Tigridis ostia contendit. Reliquæ naves per Eulæum revectæ in alveum qui ex Tigride in Eulæum amnem ducitur, in Tigrim transvectæ sunt.

3. Nam ex duobus fluviis, Euphrate nimirum et Tigri, qui Assyriam interjectam terminant, unde et Mesopotamia ab indigenis vocata est, Tigris quidem Euphrate multo humilior multos alveos ex Euphrate in se recipit : multos etiam alios fluvios admittens et ex eis auctus in pontum Persicum fertur : (4) magnus ipse, neque usquam ad ostium maris usque vado transmeabilis, quandoquidem nihil ex eo flumine in terram diffunditur quod ejus profunditatem imminuat. Est enim ea parte terra altior quam aqua. Neque hic fluvius in alios alveos aut alia flumina diffunditur,

ὕδατος, οὐδὲ ἐκδίδωσιν οὗτος κατὰ τὰς διώρυχας οὐδὲ ἐς ἄλλον ποταμόν, ἀλλὰ δέχεται γὰρ ἐκείνους μᾶλλον· ἄρδεσθαί τε ἀπὸ οὗ τὴν χώραν οὐδαμῆ παρέχει. (5) Ὁ δὲ Εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχείλης παντὸς τοῦ τῇ γῇ, καὶ διώρυχές τε πολλαὶ ἀπ' αὐτοῦ πεποίηνται, αἱ μὲν ἀέναοι, ἀφ' ὧν ὑδρεύονται οἱ παρ' ἑκάτερα ᾠκισμένοι· τὰς δὲ καὶ πρὸς καιρὸν ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς ἔχοι, ἐς τὸ ἐπάρδειν τὴν χώραν· οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὐτη ἐξ οὐρανοῦ· καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ Εὐφράτης τελευτῶν καὶ τεναγῶδες τοῦτο, οὕτως ἀποπαύεται.

6. Ἀλέξανδρος δὲ περιπλεύσας κατὰ τὴν θάλασσαν ὅσον μεταξὺ τοῦ τε Εὐλαίου ποταμοῦ καὶ τοῦ Τίγρητος ἐπεῖχεν ὁ αἰγιαλὸς τοῦ κόλπου τοῦ Περσικοῦ, ἀνέπλει κατὰ τὸν Τίγρητα ἔστε ἐπὶ τὸ στρατόπεδον ἵνα Ἡφαιστίων αὐτῷ τὴν δύναμιν πᾶσαν ἔχων ἐστρατοπεδεύκει. Ἐκεῖθεν δὲ αὖθις ἔπλει ἐς Ὦπιν, πόλιν ἐπὶ τοῦ Τίγρητος ᾠκισμένην. (7) Ἐν δὲ τῷ ἀνάπλῳ τοὺς καταῤῥάκτας τοὺς κατὰ τὸν ποταμὸν ἀφανίζων ὁμαλὸν πάντη ἐποίει τὸν ῥοῦν, οἳ δὴ ἐκ Περσῶν πεποιημένοι ἦσαν, τοῦ μή τινα ἀπὸ θαλάσσης ἀναπλεῦσαι εἰς τὴν χώραν αὐτῶν νηίτῃ στόλῳ κρατήσαντα. Ταῦτα δὲ μεμηχάνητο ἅτε δὴ οὐ ναυτικοῖς τοῖς Πέρσαις· οὕτω δὴ συνεχεῖς οἱ καταῤῥάκται πεποιημένοι ἄπορον τὸν ἀνάπλουν ἐποίουν τὸν κατὰ τὸν Τίγρητα. Ἀλέξανδρος δὲ οὐκ ἔφη τῶν κρατούντων τοῖς ὅπλοις εἶναι τὰ τοιαῦτα σοφίσματα· οὐκουν πρὸς αὐτοῦ ἐποιεῖτο ταύτην τὴν ἀσφάλειαν, ἥντινα ἔργῳ οὐδὲ λόγου ἀξίαν ἀπέφηνεν, οὐ χαλεπῶς διακόψας τῶν Περσῶν τὰ σπουδάσματα.

sed potius in se recipit : terram vero ipse non irrigat. (5) At Euphrates altus fluit, et passim suis aquis terræ quam alluit altitudinem exæquat, multique ex eo alvei derivantur : alii quidem perennes, ex quibus utriusque ripæ accolæ aquam petunt, alii certo tempore fiunt, quum aquæ ad irrigandam terram inopia premuntur; raro enim iis in locis imbres e cœlo cadunt : quo fit ut in aquam non omnino magnam et vadosam alioqui Euphrates desinat.

6. Alexander circumvectus mari, quidquid spatii inter Eulæum amnem et Tigrim Persici sinus littus continet, per Tigrim ad castra navigavit, ubi Hephæstion cum omnibus copiis consederat. Inde rursus Opim, urbem ad Tigrim sitam profectus est, (7) atque inter navigandum cataractas omnes tolli amnemque exæquari jubet. Quas quidem cataractas Persæ confecerant, ne quis e mari navali classe in eorum regionem penetraret. Atque ita confectæ erant a Persis, quod rei nauticæ periti non erant, et cataractarum frequentia difficilem admodum per Tigrim navigationem faciebat. Alexander hujusmodi inventa esse dicebat hominum qui armis parum valerent. Neque igitur sibi utilem futuram eam munitionem putavit, quam revera nullius momenti esse ostendit, quum Persarum molitiones parvo negotio deleret.

ΚΕΦ. Η'.

Ὡς δὲ ἐς τὴν Ὦπιν ἀφίκετο, ξυναγαγὼν τοὺς Μακεδόνας προεῖπεν ὅτι τοὺς ὑπὸ γήρως ἢ πηρώσεως τοῦ σώματος ἀχρείους ἐς τὰ πολέμια ὄντας παραλύει μὲν τῆς στρατιᾶς, ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη· ἐπιδώσει δὲ ἀπιοῦσιν ὅσα αὐτούς τε ζηλωτοτέρους ποιήσει τοῖς οἴκοι καὶ τοὺς ἄλλους Μακεδόνας ἐξορμήσει ἐς τὸ ἐθέλειν τῶν αὐτῶν κινδύνων τε καὶ πόνων μετέχειν. (2) Ἀλέξανδρος μὲν ὡς χαριούμενος δῆθεν τοῖς Μακεδόσι ταῦτα ἔλεγεν· οἱ δὲ ὡς ὑπερορώμενοί τε ἤδη πρὸς Ἀλεξάνδρου καὶ ἀχρεῖοι πάντη ἐς τὰ πολέμια νομιζόμενοι οὐκ ἀλόγως αὖ τῷ λόγῳ ἠχθέσθησαν τῷ πρὸς Ἀλεξάνδρου λεχθέντι, κατὰ τὴν στρατιὰν ταύτην πᾶσαν πολλοῖς καὶ ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις ἤδη ἐλύπει αὐτοὺς ἥ τε ἐσθὴς ἡ Περσικὴ ἐς τοῦτο φέρουσα καὶ τῶν Ἐπιγόνων τῶν βαρβάρων ἡ ἐς τὰ Μακεδονικὰ ἤθη κόσμησις καὶ ἀνάμιξις τῶν ἀλλοφύλων ἱππέων ἐς τὰς τῶν ἑταίρων τάξεις. (3) Οὔκουν σιγῇ ἔχοντες ἐκαρτέρησαν, ἀλλὰ πάντας γὰρ ἀπαλλάττειν τῆς στρατιᾶς ἐκέλευον, αὐτὸν δὲ μετὰ τοῦ πατρὸς στρατεύεσθαι, τὸν Ἄμμωνα δὴ τῷ λόγῳ ἐπικερτομοῦντες. Ταῦτα ἀκούσας Ἀλέξανδρος (ἦν γὰρ δὴ ὀξύτερός τε ἐν τῷ τότε

CAP. VIII.

Opim quum venit, convocatis Macedonibus pronunciavit, se omnes eos qui vel ætate vel membrorum mutilatione inutiles ad pugnam facti essent missos ab exercitu facere, et in domos suas redeundi potestatem dare : qui vero abirent, tantum se largiturum, ut merito iis qui domi desideant, invidiosi sint futuri aliosque Macedonas excitaturi ut libenter eadem pericula ac labores subeant. (2) Atque hæc quidem Alexander animo gratificandi Macedonibus dicebat : ipsi, ita interpretati ac si ab Alexandro despicerentur inutilesque ad res bellicas judicarentur, vehementer ea oratione commoti sunt, qua Alexander usus fuerat, postquam per totam hanc expeditionem aliæ indignationis causæ accesserunt, quod jam sæpenumero eos offenderat Persica vestis eodem pertinens, et ornatus Macedonicus barbaris adolescentibus, quos Posteros suos vocabat, concessus, deinde peregrini equites amicorum cohortibus accensi et permisti. (3) Non igitur jam amplius silentium tenuerunt, sed omnes militiæ sacramento absolvi petierunt, adjicientes, ut cum patre suo bellum gereret, Ammonem iis verbis sugillantes. Quæ quum audisset Alexander (erat enim jam magis solito ad iram

καὶ ἀπὸ τῆς βαρβαρικῆς θεραπείας οὐκέτι ὡς πάλαι ἐπιεικὴς ἐς τοὺς Μακεδόνας), καταπηδήσας σὺν τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν ἀπὸ τοῦ βήματος ξυλλαβεῖν τοὺς ἐπιφανεστάτους τῶν ταραξάντων τὸ πλῆθος κελεύει, αὐτὸς τῇ χειρὶ ἐπιδεικνύων τοῖς ὑπασπισταῖς οὕστινας χρὴ συλλαμβάνειν· καὶ ἐγένοντο οὗτοι ἐς τρεῖς καὶ δέκα. Τούτους μὲν δὴ ἀπάγειν κελεύει τὴν ἐπὶ θανάτῳ. Ὡς δὲ κατεσιώπησαν οἱ ἄλλοι ἐκπλαγέντες, ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα ἔλεξεν ὧδε.

ΚΕΦ. Θ'.

« Οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν τὴν οἴκαδε ὁρμήν, ὦ Μακεδόνες, λεχθήσεταί μοι δδε ὁ λόγος, ἔξεστι γὰρ ὑμῖν ἀπιέναι ὅποι βούλεσθε ἐμοῦ γε ἕνεκα, ἀλλ' ὡς γνῶναι ὑμᾶς πρὸς ὁποίους τινὰς ἡμᾶς ὄντας ὁποῖοί τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσεσθε. (2) Καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πατρός, ἥπερ καὶ εἰκός, τοῦ λόγου ἄρξομαι. Φίλιππος γὰρ παραλαβὼν ὑμᾶς πλανήτας καὶ ἀπόρους, ἐν διφθέραις τοὺς πολλοὺς νέμοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα καὶ ὑπὲρ τούτων κακῶς μαχομένους Ἰλλυριοῖς τε καὶ Τριβαλλοῖς καὶ τοῖς ὁμόροις Θρᾳξί, χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθερῶν φορεῖν ἔδωκε, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ πεδία, ἀξιομάχους καταστήσας τοῖς προσχώροις τῶν βαρβάρων, ὡς μὴ χωρίων ἔτι ὀχυρότητι πιστεύοντας μᾶλλον ἢ τῇ οἰκείᾳ ἀρετῇ σώζεσθαι· πολεών τε οἰκήτορας ἀπέφηνε καὶ νόμοις καὶ ἔθεσι χρηστοῖς ἐκόσμησεν. (3) Αὐτῶν δὲ ἐκείνων τῶν βαρβάρων, ὑφ' ὧν πρόσθεν ἤγεσθε καὶ ἐφέρεσθε αὐτοί τε καὶ τὰ ὑμέτερα, ἡγεμόνας κατέστησεν ἐκ δούλων καὶ ὑπηκόων, καὶ τῆς Θρᾴκης τὰ πολλὰ τῇ Μακεδονίᾳ προσέθηκε, καὶ τῶν ἐπὶ θαλάττῃ χωρίων τὰ ἐπικαιρότατα καταλαβόμενος τὴν ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτασε, καὶ τῶν μετάλλων τὴν ἐργασίαν ἀσφαλῆ παρέσχε· (4) Θεσσαλῶν δὲ ἄρχοντας, οὓς πάλαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε, καὶ τὸ Φωκέων ἔθνος ταπεινώσας τὴν ἐς τὴν Ἑλλάδα πάροδον πλατεῖαν καὶ εὔπορον ἀντὶ στενῆς τε καὶ ἀπόρου ὑμῖν ἐποίησεν· Ἀθηναίους τε καὶ Θηβαίους, ἐφεδρεύοντας ἀεὶ τῇ Μακεδονίᾳ, ἐς τοσόνδε ἐταπείνωσεν, ἤδη ταῦτά γε καὶ ἡμῶν αὐτῷ ξυμπονούντων, ὡς ἀντὶ τοῦ φόρους τελεῖν Ἀθηναίοις καὶ ὑπακούειν Θηβαίων, παρ' ἡμῶν ἐν τῷ μέρει ἐκείνους τὴν ἀσφάλειαν σφισι πορίζεσθαι. (5) Ἐς Πελοπόννησον δὲ παρελθὼν τὰ ἐκεῖ αὖ ἐκόσμησε· καὶ ἡγεμὼν αὐτοκράτωρ συμπάσης τῆς ἄλλης Ἑλλάδος ἀποδειχθεὶς τῆς ἐπὶ τὸν Πέρσην στρατείας οὐχ ἑαυτῷ μᾶλλόν τι τὴν δόξαν τήνδε ἢ τῷ κοινῷ τῶν Μακεδόνων προσέθηκε.

6. Ταῦτα μὲν τὰ ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐς ὑμᾶς ὑπηργμένα, ὡς μὲν αὐτὰ ἐφ' ἑαυτῶν σκέψασθαι μεγάλα, μικρὰ δὲ ὥς γε δὴ πρὸς τὰ ἡμέτερα ξυμβαλεῖν· ὃς παραλαβὼν παρὰ τοῦ πατρὸς χρυσᾶ μὲν καὶ ἀργυρᾶ ἐκπώματα ὀλίγα, τάλαντα δὲ οὐδὲ ἑξήκοντα ἐν τοῖς θη-

CAP. IX.

proclivus, atque ob barbaricum comitatum non ita atque olim erga Macedones facilis atque humanus) confestim cum ducibus qui eum circumstabant de tribunali desiliens, praecipuos eorum qui multitudinem ad seditionem concitabant comprehendi jubet, scutatis manu designans quosnam capi vellet : tredecim hi fuere. Quos statim ad supplicium rapi jubet. Quo facto quum reliqui attoniti silentium fecissent, conscenso rursus tribunali, in hunc modum disseruit.

« Non sum facturus verba, Macedones, ut vos ab ista domum redeundi cupiditate demoveam, siquidem per me integrum vobis est quo libuerit abire, sed ut intelligatis, quid ego vobis praestiterim, et qualem vos mihi vicem rependentes discedatis. (2) Ac primum a Philippo patre, ut par est, ordiar. Philippus enim vos incertis sedibus errantes atque inopes, et plerosque sub pellibus degentes exiguosque ovium greges in montibus pascentes ac pro iis parum feliciter adversus Illyrios, Triballos et finitimos Thraces bellum gerentes accipiens, pro pellibus chlamydes gestandas dedit, ex montibus in planitiem deduxit, paresque hostibus ad pugnandum effecit, ut non tam in locorum munitione deinceps, quam in vestra virtute salutem collocaretis : urbes vobis habitandas dedit, optimisque legibus atque institutis ornavit. (3) Idem vobis in eos ipsos barbaros qui vos assiduis populationibus lacessebant, imperium acquisivit, et dominos e servis effecit : magnam Thraciae partem Macedoniae adjecit, oppidisque ad maritimam oram peropportunis in potestatem suam redactis, commerciorum facultatem aperuit, et tutas metallorum fodinas suppeditavit. (4) Thessalos praeterea, quorum metu olim exanimati eratis, vestro imperio subjecit : gente Phocensium afflicta aditum in Graeciam amplum et expeditum pro angusto et difficili vobis patefecit. Athenienses vero et Thebanos, qui vobis insidiabantur, sic afflixit, nobis jam una cum eo militantibus, ut quum antea vectigal Atheniensibus penderemus, Thebanis pareremus, jam vice versa utramque illam civitatem in fide ac tutela nostra habeamus. (5) In Peloponnesum etiam ingressus, res illic constituit. Imperator denique totius Graeciae designatus, ut bellum adversus Persas susciperet, gloriam ejus rei non sibi magis quam genti et nomini Macedonum adjecit.

6. Atque haec sunt patris mei erga vos beneficia, magna illa quidem, si cum aliis non comparentur : parva, si cum nostris conferantur. Nam ego patri succedens, aurea quaedam pauca argenteaque pocula nactus in patriis thesauris, talenta vero ne sexaginta quidem : quanquam aere alieno

σαυροῖς, χρεῶν δὲ ὀφειλόμενα ὑπὸ Φιλίππου ἐς πεντακόσια τάλαντα, δανεισάμενος ἐπὶ τούτοις αὐτὸς ἄλλα ὀκτακόσια ὁρμηθεὶς ἐκ τῆς χώρας τῆς γε οὐδὲ ὑμᾶς αὐτοὺς βοσκούσης καλῶς εὐθὺς μὲν τοῦ Ἑλλησπόντου ὑμῖν τὸν πόρον θαλασσοκρατούντων ἐν τῷ τότε Περσῶν ἀνεπέτασα· (7) κρατήσας δὲ τῇ ἵππῳ τοὺς σατράπας τοῦ Δαρείου τήν τε Ἰωνίαν πᾶσαν τῇ ὑμετέρᾳ ἀρχῇ προσέθηκα καὶ τὴν Αἰολίδα πᾶσαν καὶ Φρύγας ἀμφοτέρους καὶ Λυδούς, καὶ Μίλητον εἷλον πολιορκίᾳ· τὰ δὲ ἄλλα πάντα ἑκόντα προσχωρήσαντα λαβὼν ὑμῖν χαρποῦσθαι ἔδωκα· (8) καὶ τὰ ἐξ Αἰγύπτου καὶ Κυρήνης ἀγαθά, ὅσα ἁμαχεὶ ἐκτησάμην, ὑμῖν ἔρχεται· ἥ τε κοίλη Συρία καὶ ἡ Παλαιστίνη καὶ ἡ μέση τῶν ποταμῶν ὑμέτερον κτῆμά εἰσι· καὶ Βαβυλὼν καὶ Βάκτρα καὶ Σοῦσα ὑμέτερα· καὶ ὁ Λυδῶν πλοῦτος καὶ οἱ Περσῶν θησαυροὶ καὶ τὰ Ἰνδῶν ἀγαθὰ καὶ ἡ ἔξω θάλασσα ὑμέτερα· ὑμεῖς σατράπαι, ὑμεῖς στρατηγοί, ὑμεῖς ταξιάρχαι. (9) Ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀπὸ τούτων τῶν πόνων ὅτι μὴ αὕτη ἡ πορφύρα καὶ τὸ διάδημα τοῦτο; κέκτημαι δὲ ἰδίᾳ οὐδέν, οὐδὲ ἔχει τις ἀποδεῖξαι θησαυροὺς ἐμοὺς ὅτι μὴ ταῦτα ὑμέτερα κτήματα ἢ ὅσα ἕνεκα ὑμῶν φυλάττεται. Ἐπεὶ οὐδὲ ἔστιν ἰδίᾳ μοι ἐς ὅ τι φυλάξω αὐτούς, σιτουμένῳ τε τὰ αὐτὰ ὑμῖν σιτία καὶ ὕπνον τὸν αὐτὸν αἱρουμένῳ· καίτοι οὐδὲ σιτία ἐμοὶ δοκῶ τὰ αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖσθαι· προαγρυπνῶν δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχητε ὑμεῖς.

pressus, quod mihi pater ad quingenta circiter talenta reliquerat, tamen contracto novo ære alieno talentûm octingentorum, ex Macedonia, quæ vos vix alere poterat, castra movi: ac protinus fretum Hellesponti vobis patefeci, Persis, qui tum imperium maris tenebant, superatis: (7) devictis deinde Darii ducibus equestri prælio totam Ioniam, Æoliam, utramque Phrygiam, Lydiam quoque imperio Macedonum adjeci, Miletum obsidione cepi: ceteras gentes et nationes, quæ voluntariam fecerunt deditionem, vobis subjeci, stipendiariasque feci. (8) Ægypti Cyrenesque opes, quibus potiti sumus sine vi, eæ quoque ad vos accesserunt: Cœlesyria, Palæstina, Mesopotamia possessiones vestræ sunt: Babylon, Bactra, Susa, in vestra potestate sunt: opes Lydorum vestræ sunt, thesauri Persarum, opes Indorum, vester denique Oceanus est: vos satrapæ, vos duces, vos ordinum principes et ductores. (9) Nam mihi ipsi ex tot laboribus quid aliud superest quam ista purpura, et istud diadema? privatim enim nihil habeo: neque est qui meos demonstrare possit thesauros, præter ea quæ vos tenetis, vel quæ servantur vestri causa. Quandoquidem non habeo ad quid eos reservem in privatum usum, quippe qui iisdem utar cibis atque vos, et æque somnum capiam atque vos. Quin vilioribus etiam cibis utor quam vos, quicunque vivitis deliciosius: ac ante vos vigilare me certo scio, ut ipsi nimirum placide quieteque dormiatis.

ΚΕΦ. Ι'.

« Ἀλλὰ ταῦτα γὰρ ὑμῶν πονούντων καὶ ταλαιπωρουμένων ἐκτησάμην αὐτὸς ἀπόνως καὶ ἀταλαιπώρως ἐξηγούμενος. Καὶ τίς ὑμῶν πονήσας οἶδεν ἐμοῦ μᾶλλον ἢ ἐγὼ ὑπὲρ ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ τραύματα ὑμῶν ἐστι γυμνώσας αὐτὰ ἐπιδειξάτω καὶ ἐγὼ τὰ ἐμὰ ἐπιδείξω ἐν μέρει· (2) ὡς ἔμοιγε οὐκ ἔστιν ὅ τι τοῦ σώματος τῶν γε δὴ ἔμπροσθεν μερῶν ἄτρωτον ὑπολέλειπται, οὐδὲ ὅπλον τι ἔστιν ἢ ἐκ χειρὸς ἢ τῶν ἀφιεμένων οὗ γε οὐκ ἴχνη ἐν ἐμαυτῷ φέρω· ἀλλὰ καὶ ξίφει ἐκ χειρὸς τέτρωμαι καὶ τετόξευμαι ἥδη καὶ ἀπὸ μηχανῆς βέβλημαι καὶ λίθοις πολλαχῇ καὶ ξύλοις παιόμενος ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας δόξης καὶ τοῦ ὑμετέρου πλούτου, νικῶντας ὑμᾶς ἄγω διὰ πάσης γῆς καὶ θαλάσσης καὶ πάντων ποταμῶν καὶ ὀρῶν καὶ πεδίων πάντων. (3) Γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμηκα καὶ πολλῶν ὑμῶν οἱ παῖδες συγγενεῖς ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς. Ἔτι δὲ ᾧ χρέα ἦν, οὐ πολυπραγμονήσας ἐφ' ὅτῳ ἐγένετο, τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα δὲ ἁρπαζόντων, ὁπόθεν ἐκ πολιορκίας ἁρπαγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα. Στέφανοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσὶ μνημεῖα τῆς τε ἀρετῆς τῆς ὑμετέρας καὶ τῆς ἐξ ἐμοῦ τιμῆς ἀθάνατα. (4) Ὅστις δὲ δὴ καὶ ἀπέθανεν, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ ἐγένετο, περιφανὴς δὲ ὁ

CAP. X.

« Sed fortasse hæc omnia, vobis labores et pericula subeuntibus, ipse vester imperator laborum et periculorum omnium immunis adeptus sum. Et quisnam vestrûm ausit dicere se plures labores quam me pro ipso subiisse? Age etiam quicunque vestrum habet vulnera, denudet corpus, ostendat cicatrices: ostendam ipse quoque vicissim meas. (2) Nam nulla est adversa corporis pars quæ cicatrice careat: neque ullum sane teli genus est, quod cominus tractetur, vel eminus jaciatur, cujus in meo corpore aliqua vestigia non exstent: sed et gladio cominus sauciatus sum, et sagittis vulneratus, et catapultis male habitus et lapidibus et lignis passim pro vobis vestraque gloria et opibus appetitus vos duco victores per omnes terras, omniaque maria, per flumina, per montes, per loca plana. (3) Nuptias etiam perinde atque vos celebravi, ut liberi bonæ partis vestrum futuri sint cognati meis liberis. Præterea æs alienum, quo quis vestrum premebatur, non curiosius exquirens qua de re fuerit contractum, ipse dissolvi: quamvis et stipendium militare ingens persolverem, et vos ex urbium direptione quæstus ingentes faceretis. Adde quod plerosque vestrum coronis aureis donavi, quæ vestræ virtutis et honorum quos vobis tribui æterna monumenta futuræ essent. (4) Quod si cui fortiter pugnanti contigit occumbere, is præter mortis honestatem et gloriam quam adeptus est,

τάφος· χαλκαῖ δὲ αἱ εἰκόνες τῶν πλείστων οἴκοι ἑστᾶσιν, οἱ γονεῖς δ' ἔντιμοί εἰσι, λειτουργίας τε ξυμπάσης καὶ εἰσφορᾶς ἀπηλλαγμένοι· οὐ γάρ τίς γε φεύγων ὑμῶν ἐτελεύτα ἐμοῦ ἄγοντος.

5. « Καὶ νῦν τοὺς ἀπολείμους ὑμῶν ζηλωτοὺς τοῖς οἴκοι ἀποπέμψειν ἔμελλον· ἀλλ' ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε, ἅπιτε πάντες, καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλατε ὅτι τὸν βασιλέα ὑμῶν Ἀλέξανδρον, νικῶντα μὲν Πέρσας καὶ Μήδους καὶ Βακτρίους καὶ Σάκας, (6) καταστρεψάμενον δὲ Οὐξίους τε καὶ Ἀραχώτους καὶ Δράγγας, κεκτημένον δὲ καὶ Παρθυαίους καὶ Χωρασμίους καὶ Ὑρκανίους ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Κασπίαν, ὑπερβάντα δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας, καὶ περάσαντα Ὦξόν τε ποταμὸν καὶ Τάναϊν, ἔτι δὲ τὸν Ἰνδὸν ποταμόν, οὐδενὶ ἄλλῳ ὅτι μὴ Διονύσῳ περαθέντα, καὶ τὸν Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ τὸν Ὑδραώτην, (7) καὶ τὸν Ὕφασιν διαπεράσαντα ἄν, εἰ μὴ ὑμεῖς ἀπωκνήσατε, καὶ εἰς τὴν μεγάλην θάλασσαν κατ' ἀμφότερα τοῦ Ἰνδοῦ τὰ στόματα ἐμβαλόντα, καὶ διὰ τῆς Γαδρωσίας τῆς ἐρήμου ἐλθόντα, ἣ οὐδείς πω πρόσθεν ξὺν στρατιᾷ ἦλθε, καὶ Καρμανίαν ἐν παρόδῳ προσκτησάμενον καὶ τὴν Ὠρειτῶν γῆν, περιπεπλευκότος δὲ ἤδη αὐτῷ τοῦ ναυτικοῦ τὴν ἀπ' Ἰνδῶν γῆς εἰς Πέρσας θάλασσαν, ὡς εἰς Σοῦσα ἐπανηγάγετε, ἀπολιπόντες οἴχεσθε, παραδόντες φυλάσσειν τοῖς νενικημένοις βαρβάροις. Ταῦτα ὑμῖν καὶ πρὸς ἀνθρώπων ἴσως εὐκλεᾶ καὶ πρὸς θεῶν ὅσια ὅπου ἔστι ἀπαγγελθέντα. Ἅπιτε. »

ΚΕΦ. ΙΑ'.

Ταῦτα εἰπὼν κατεπήδησέ τε ἀπὸ τοῦ βήματος ὀξέως καὶ ἐς τὰ βασίλεια παρελθὼν οὔτε ἐθεράπευσε τὸ σῶμα οὔτε τῳ ὤφθη τῶν ἑταίρων· ἀλλ' οὐδὲ ἐς τὴν ὑστεραίαν ὤφθη. Τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν Περσῶν τοὺς ἐπιλέκτους, τάς τε ἡγεμονίας αὐτοῖς τῶν τάξεων διένειμε καὶ ὅσους συγγενεῖς ἀπέφηνε, τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις. (2) Οἱ δὲ Μακεδόνες ἔν τε τῷ παραυτίκα ἀκούσαντες τῶν λόγων ἐκπεπληγμένοι σιγῇ ἕμενον αὐτοῦ πρὸς τῷ βήματι, οὐδέ τις ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ ὅτι μὴ οἱ ἀμφ' αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματοφύλακες· οἱ δὲ πολλοὶ οὔτε μένοντες δ τι πράττουσιν ἢ λέγουσιν εἶχον, οὔτε ἀπαλλάσσεσθαι ἤθελον. (3) Ὡς δὲ τὰ Περσῶν τε καὶ Μήδων αὐτοῖς ἐξηγγέλλετο, αἵ τε ἡγεμονίαι Πέρσαις διδόμεναι καὶ ἡ στρατιὰ ἡ βαρβαρικὴ ἐς λόχους τε καταλεγομένη καὶ τὰ Μακεδονικὰ ὀνόματα ἄγημά τι Περσικὸν καλούμενον, καὶ πεζέταιροι Πέρσαι καὶ πεζέταιροι ἄλλοι καὶ ἀργυρασπίδων τάξις Περσικὴ καὶ ἡ τῶν ἑταίρων ἵππος, καὶ ταύτης ἄλλο ἄγημα βασιλικόν, οὐκέτι καρτεροὶ σφῶν ἦσαν· (4) ἀλλὰ ξυνδραμόντες ὡς πρὸς τὰ βασίλεια τὰ μὲν ὅπλα αὐτοῦ πρὸ τῶν θυρῶν ἐρρίπτουν, ἱκετηρίας ταύτας τῷ βασιλεῖ· αὐτοὶ δ' ἐβόων πρὸ τῶν

monumento insigni decoratus est. Plerisque domi æneæ statuæ sunt erectæ : parentibus eorum honores tributi sunt et immunitas a publicis muneribus atque tributis concessa. Nam nemo adhuc vestrum sub meis auspiciis fugiens cecidit.

5. Jamque mecum constitueram domum remittere quicunque vestrum militiæ oneribus sustinendis pares non sunt, honoribus et præmiis ita decoratos ut sui cives eos fortunatos et beatos essent existimaturi. Sed posteaquam idem abeundi animus omnibus est, abite omnes, ac domum renuntiate vos regem vestrum Alexandrum, qui Persas, Medos, Bactrianos, Sacas vicit, (6) qui Uxios, Arachotos et Drangas subegit, qui tenet Parthos, Chorasmios, Hyrcanos, ad mare usque Caspium : qui Caucasum montem superavit portasque Caspias, qui Oxum flumen Tanainque transmisit, Indum etiam a nullo antea nisi a Baccho superatum : qui etiam Hydaspen, Acesinem et Hydraoten transmisit, (7) Hyphasinque trajecisset, ni per vos stetisset, qui eum sequi noluistis : qui denique in Oceanum per utrumque Indi ostium ingressus, per solitudines et fines Gadrosiorum, quo nemo ante eum cum exercitu venit, iter habuit, et Carmaniam ex itinere atque Oritas subegit : quem, classe jam ejus circumvecta ex finibus Indorum in mare Persicum, victorem Susa reduxistis : eum (inquam) civibus vestris renuntiate vos deseruisse, atque discessisse, et fidei barbarorum qui ab eo sunt devicti, commisisse. Hæc scilicet renuntiata gloriam apud homines, opinionem pietatis apud deos sunt vobis adjunctura. Jam itaque abite. »

CAP. XI.

Hæc loquutus desiliit celeriter de tribunali, regiamque ingressus neque corpus curavit, neque amicorum quenquam eo die admisit; sed ne postridie quidem. Tertio autem die vocatis ad se Persarum principibus ducatus agminum inter eos partitus est, et quotquot cognatos effecerat, iis solis ut deosculari ipsum liceret sanxit. (2) At Macedones regis oratione commoti, attonitis similes apud tribunal taciti consistebant. Neque quisquam regem discedentem comitatus est, præterquam qui circa eum erant amici et custodes corporis. Plerique vero neque manentes quid dicerent, neque quid facerent sciebant : neque discedere volebant. (3) Postquam vero quid de Medis ac Persis statuisset cognoverunt, ducatus nimirum Persis datos esse, barbarosque per varios ordines distributos, et Macedonico nomine Persicum agema vocari, et peditum amicorum agmen ex Persis constitutum, aliosque pedites amicos, argyraspidum etiam agmen Persicum et amicorum equitatum, aliudque agema regium, non amplius sese continere potuerunt : (4) sed concursu ad regiam facto, arma ante januam projecerunt, quæ regi supplicationis loco

θυρῶν ἑστηκότες δεόμενοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν τῷ τότε ταραχῆς καὶ τοὺς ἄρξαντας τῆς βοῆς ἐκδιδόναι ἐθέλειν· οὔκουν ἀπαλλαγήσεσθαι τῶν θυρῶν οὔτε ἡμέρας οὔτε νυκτός, εἰ μή τινα οἶκτον σφῶν ἕξει Ἀλέξανδρος.

5. Ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, ὁ δὲ σπουδῇ ἐξέρχεται, καὶ ἰδών τε ταπεινῶς διακειμένους καὶ ἀκούσας σὺν οἰμωγῇ τῶν πολλῶν βοώντων, καὶ αὐτῷ προχεῖται δάκρυα. Καὶ ὁ μὲν ἀνήγετο ὥς τι ἐρῶν· οἱ δὲ ἔμενον λιπαροῦντες. (6) Καί τις αὐτῶν καθ' ἡλικίαν τε καὶ ἱππαρχίαν τῆς ἵππου τῆς ἑταιρικῆς οὐκ ἀφανής, Καλλίνης ὄνομα, τοιαῦτα εἶπεν· Ὦ βασιλεῦ, τὰ λυποῦντά ἐστι Μακεδόνας ὅτι σὺ Περσῶν μέν τινας ἤδη πεποίησαι σαυτῷ συγγενεῖς, καὶ καλοῦνται Πέρσαι συγγενεῖς Ἀλεξάνδρου καὶ φιλοῦσί σε· Μακεδόνων δὲ οὔπω τις γέγευται ταύτης τῆς τιμῆς. (7) Ἔνθα δὴ ὑπολαβὼν Ἀλέξανδρος, Ἀλλ' ὑμᾶς γε, ἔφη, ξύμπαντας ἐμαυτῷ τίθεμαι συγγενεῖς καὶ τό γε ἀπὸ τούτου οὕτω καλέσω. Ταῦτα εἰπόντα προσελθὼν ὁ Καλλίνης τε ἐρίλησεν καὶ ὅστις ἄλλος φιλῆσαι ἤθελε. Καὶ οὕτω δὴ ἀναλαβόντες τὰ ὅπλα βοῶντές τε καὶ παιανίζοντες ἐς τὸ στρατόπεδον ἀπῆσαν. (8) Ἀλέξανδρος δὲ ἐπὶ τούτοις θυσίαν τε θύει τοῖς θεοῖς οἷς αὐτῷ νόμος καὶ θοίνην δημοτελῆ ἐποίησε, καθήμενός τε αὐτὸς καὶ πάντων καθημένων ἀμφ' αὐτὸν μὲν Μακεδόνων, ἐν δὲ τῷ ἑφεξῆς τούτων Περσῶν, ἐπὶ δὲ τούτοις τῶν ἄλλων ἐθνῶν ὅσοι κατ' ἀξίωσιν ἤ τινα ἄλλην ἀρετὴν πρεσβευόμενοι, καὶ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἀρυόμενοι ἔσπενδον τὰς αὐτὰς σπονδάς, καταρχομένων τῶν τε Ἑλλήνων μάντεων καὶ τῶν Μάγων. (9) Εὔχετο δὲ τά τε ἄλλα ἀγαθὰ καὶ ὁμόνοιάν τε καὶ κοινωνίαν τῆς ἀρχῆς [τοῖς τε] Μακεδόσι καὶ Πέρσαις. Εἶναι δὲ κατέχει λόγος τοὺς μετασχόντας τῆς θοίνης ἐς ἐννακισχιλίους, καὶ τούτους πάντας μίαν τε σπονδὴν σπεῖσαι καὶ ἐπ' αὐτῇ παιανίσαι.

essent. Ipsi pro foribus stantes clamorem tollebant, intromitti postulantes, auctores tumultus quique clamandi initium fecerant dedituri: neque a janua interdiu vel noctu discessuri, nisi Alexander eorum commiseratione tangeretur.

5. Quæ ut Alexandro nuntiata sunt, confestim ad eos egreditur, humilesque ac demissos conspicatus, et communi omnium mœrore atque ejulatu commotus, collacrimatus est. Quumque aliquantum veluti aliquid dicturus constitisset, ipsi supplices permanserunt. (6) Tum Callines quidam et ætate et præfectura in amicorum equitatu non obscurus, ita loquutus est: Hoc est, o rex, quod Macedonum animos male habet, quod jam nonnullos Persarum tibi cognatos effecisti, quodque Persæ cognati Alexandri appellantur. Hos te deosculari sinis, Macedonibus ab hujuscemodi honore exclusis. (7) Tum Alexander ejus orationem interrumpens, Omnes vos, inquit, cognatos mihi facio, ac deinceps ita vocabo. His dictis Callines progressus cum deosculatus est, aliique quibus id cordi fuit. Atque ita receptis armis clamantes et pæana canentes ad castra redierunt. (8) Post hæc Alexander sacrificium diis quibus consueverat fecit, epulumque publicum curavit, accumbente ipso pariter, omnibusque circa eum Macedonibus, deinde Persis ac deinceps reliquis gentibus, prout quisque aut dignitate aut virtute bellica illustris esset. Tum ex eodem cratere et rex et qui una accumbebant libarunt, Græcis vatibus et Magis vota nuncupantibus: (9) et Macedonibus Persisque cum alia fausta ac prospera, tum concordiam imperiique societatem precatus est. Novem millia convivarum huic epulo adfuisse memorant, eosque omnes eandem libationem fecisse, et post hoc pæanem cecinisse.

ΚΕΦ. ΙΒ'.

Ἔνθα δὴ ἐθελονταὶ ἤδη αὐτῷ ἀπῆσαν τῶν Μακεδόνων ὅσοι διὰ γῆρας ἤ τινα ἄλλην ξυμφορὰν ἀπόλεμοι ἦσαν· καὶ οὗτοι αὐτῷ ἐγένοντο ἐς τοὺς μυρίους. Τούτοις δὲ τήν τε μισθοφορὰν οὐ τοῦ ἐξήκοντος ἤδη χρόνου ἔδωκεν Ἀλέξανδρος μόνον, ἀλλὰ καὶ τοῦ ἐς τὴν ἀπονόστησιν τὴν οἴκαδε ξυμβαίνοντος. (2) Ἐπέδωκε δὲ καὶ τάλαντον ἑκάστῳ ὑπὲρ τὴν μισθοφοράν· παῖδες δὲ εἴ τῳ ἦσαν ἐκ τῶν Ἀσιανῶν γυναικῶν, παρὰ οἷ καταλιπεῖν ἐκέλευσε μηδὲ στάσιν κατάγειν ἐς Μακεδονίαν ἀλλοφύλους τε καὶ ἐκ τῶν βαρβάρων γυναικῶν παῖδας τοῖς οἴκοι ὑπολελειμμένοις παισί τε καὶ μητράσιν αὐτῶν· αὐτὸς δὲ ἐπιμελήσεσθαι ὡς ἐκτρέφοιντο Μακεδονικῶς, τά τε ἄλλα καὶ ἐς τὰ πολέμια κοσμούμενοι· γενομένους δὲ ἄνδρας ἄξειν αὐτὸς ἐς Μακεδονίαν καὶ παραδώσειν τοῖς πατράσι. (3) Ταῦτά τε ἀπαλλαττο-

CAP. XII.

Dehinc Macedones voluntarii ab eo dimissi sunt, qui aut per ætatem aut aliquam membrorum mutilationem inutiles bello erant: decem circiter millia fuere. Quibus quidem non exacti tantum temporis stipendia persolvit, sed etiam temporis in reditionem domum incidentis. (2) Singulis etiam talentum ultra stipendium numeravit. Si quibus autem filii ex Asiaticis mulieribus essent, apud se relinqui jussit, ne seditionem aliquam in Macedonia excitarent barbararum mulierum liberi pueris domi relictis matribusque permisti: Macedonicis eos moribus imbui bellicaque disciplina instrui curaturus: quumque jam viri facti essent, parentibus redditurus. (3) Atque hæc qui-

μένοις ἀστάθμητα καὶ ἀτέκμαρτα ἀπηγγέλλετο καὶ ὅπως ἔχει φιλίας τε καὶ πόθου ἐς αὐτοὺς τὸ ἀτρεκέστατον τεκμήριον ἐκεῖνο ποιεῖσθαι ἠξίου, ὅτι τὸν πιστότατόν τε αὐτῷ καὶ ὄντινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει, Κράτερον ξυμπέμπει αὐτοῖς φύλακά τε καὶ ἡγούμενον τοῦ στόλου. Οὕτω δὴ ἀσπασάμενος ξύμπαντας αὐτός τε δακρύων καὶ δακρύοντας ἐκείνους ἀπὸ οὗ ἀπήλλαξε. (4) Κρατέρῳ δὲ τούτους τε ἄγειν ἐκέλευε καὶ ἀπαγαγόντι Μακεδονίας τε καὶ Θρᾴκης καὶ Θετταλῶν ἐξηγεῖσθαι καὶ τῶν Ἑλλήνων τῆς ἐλευθερίας· Ἀντίπατρον δὲ διαδόχους τοῖς ἀποπεμπομένοις ἄγειν Μακεδόνας τῶν ἀκμαζόντων ἐκέλευσεν. Ἔστειλε δὲ καὶ Πολυσπέρχοντα ὁμοῦ τῷ Κρατέρῳ, δεύτερον δὲ ἀπὸ Κρατέρου ἡγεμόνα, ὡς εἴ τι κατὰ τὴν πορείαν Κρατέρῳ ξυμπίπτοι, ὅτι καὶ μαλακῶς τὸ σῶμα ἔχοντα ἀπέπεμπεν αὐτόν, μὴ ποθῆσαι στρατηγὸν τοὺς ἰόντας.

5. Λόγος δέ τις καὶ οὗτος ἐφοίτα ἀφανὴς παρὰ τοῖς τὰ βασιλικὰ πράγματα, ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγουμένοις, καὶ τὸ πιστὸν ἐς τὸ χεῖρον μᾶλλον, ἢ τὸ εἰκός τε καὶ ἡ αὐτῶν μοχθηρία ἄγει, ἢ πρὸς τὸ ἀληθὲς ἐκτρέπουσιν, ἐξηττώμενον Ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν τῶν ἐς Ἀντίπατρον, ἀπαλλάξαι ἐθέλειν ἐκ Μακεδονίας Ἀντίπατρον. (6) Καὶ τυχὸν οὐκ ἐς ἀτιμίαν τὴν Ἀντιπάτρου ἡ μετάπεμψις αὐτοῦ ἔφερεν, ἀλλ' ὡς μή τι ἐκ τῆς διαφορᾶς αὐτοῖς γένοιτο ἄχαρι ἐς ἀλλήλους καὶ οὐδὲ αὐτῷ ἰάσιμον. Ἐπεὶ οὐδὲν ἐπαύοντο Ἀλεξάνδρῳ γράφοντες ὁ μὲν τὴν αὐθάδειάν τε τῆς Ὀλυμπιάδος καὶ ὀξύτητα καὶ πολυπραγμοσύνην, ἥκιστα δὴ τῇ Ἀλεξάνδρου μητρὶ εὐσχήμονα, ὥστε καὶ λόγος τις τοιόσδε ἐφέρετο Ἀλεξάνδρου ἐφ' οἷς ὑπὲρ τῆς μητρὸς αὐτῷ ἐξηγγέλλετο, βαρὺ δὴ τὸ ἐνοίκιον τῶν δέκα μηνῶν εἰσπράττεσθαι αὐτὸν τὴν μητέρα· (7) ἡ δέ, ὑπέρογκον εἶναι τῇ τε ἀξιώσει καὶ τῇ ἄλλῃ θεραπείᾳ Ἀντίπατρον οὐδὲ μεμνῆσθαι τοῦ καταστήσαντος ἔτι, ἀλλ' αὐτὸν γὰρ ἀξιοῦν τὰ πρῶτα φέρεσθαι ἐν τοῖς ἄλλοις Μακεδόσι τε καὶ Ἕλλησι. Καὶ ταῦτα μᾶλλόν τι ἰσχύειν παρ' Ἀλεξάνδρῳ ἐφαίνετο, ὅσα ἐς τοῦ Ἀντιπάτρου τὴν διαβολὴν φέροντα ἦν, οἷα δὴ καὶ φοβερώτερα ἐν βασιλείᾳ ὄντα. Οὐ μέντοι καταφανές γέ τι ἢ ἔργον ἢ λόγος ἐξηγγέλλετο Ἀλεξάνδρου ἐφ' ὅτου ἄν τις συνέθηκεν οὐχ ὡσαύτως εἶναι αὐτῷ πρὸς θυμοῦ Ἀντίπατρον. * * * * Ἡφαιστίων.

ΚΕΦ. Ιʹ.

Τούτῳ τῷ λόγῳ ὑπείξαντα Ἡφαιστίωνα συναλλαγῆναι Εὐμένει, οὐχ ἑκόντα ἑκόντι. Ἐν ταύτῃ τῇ ὁδῷ καὶ τὸ πεδίον λέγεται ἰδεῖν Ἀλέξανδρον τὸ ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς, αὐτό τε πεδίον Νυσαῖον καλούμενον καὶ αἱ ἵπποι ὅτι Νυσαῖαι κληίζονται λέγει Ἡρόδοτος εἶναι δὲ πάλαι μὲν ἐς πεντεκαίδεκα μυριάδας τῶν ἵππων· τότε δὲ Ἀλέξανδρον οὐ πολὺ πλείονας τῶν πέντε καταλαβεῖν· πρὸς λῃστῶν γὰρ διαρπαγῆναι τὰς πολλὰς αὐτῶν.

dem discedentibus incerta inexploratagque promisit : illud vero certissimum amoris benevolentiæque erga eos suæ documentum edere voluit, quod Craterum, quem fidelissimum sibi habebat, et æque ac caput suum amabat, custodem et ducem itineris eis adjunxit. Ita tandem salutatos omnes, lacrimans lacrimantes etiam ipsos dimisit, Craterumque eos ducere, deinde Macedoniæ, Thraciæ et Thessaliæ ac libertati Græcorum præesse jubet. Antipatrum vero in eorum qui dimissi essent locum alios Macedones ætate ac viribus florentes adducere jubet. Polysperchontem etiam cum Cratero misit, qui secundus a Cratero dux esset, ne, siquid humani Cratero in itinere accideret, quippe qui quum mitteretur corpore erat parum firmo, ducem itineris desiderarent.

5. Porro obscurus quidam rumor spargebatur ab iis qui regum negotia, quo magis occultantur, eo magis evulgare concupiscunt, fidemque semper in deteriorem partem potius quam in saniorem scelerate inclinant, Alexandrum jam tum matris suæ calumniis quibus Antipatrum onerarat victum, Antipatrum e Macedonia amovere voluisse. (6) Sed fortasse hæc Antipatri evocatio nequaquam ad ejus ignominiam spectabat, sed potius ne quid ex illorum dissensione mali oriretur, cui ne ipse quidem mederi posset. Frequentes enim literæ ad Alexandrum adferebantur, quibus hic Olympiadis arrogantiam, acerbitatem curiositatemque incusabat, quæ Alexandri matrem parum decerent : adeo ut hujusmodi quid ab Alexandro dictum fuisse narrent, Grave decem mensium habitationis pretium a matre exigi. (7) Olympias vero Antipatrum ut insolentem ex imperio et popularium observantia, neque jam amplius meminisse ejus a quo tantam potestatem accepisset : sed dignum se judicare qui inter Macedones et Græcos primas obtineat. Atqui Alexandri fides magis in eam partem inclinabat quæ ad Antipatri calumniam pertinebat, utpote quod regno magis extimescendum erat. Nullum tamen Alexander vel dictum vel factum edidit, e quo quispiam suspicari posset, eum alieniore ab Antipatro animo esse. **** Hephæstio.

CAP. XIII.

Hoc sermone deterritum Hephæstionem non libenter Eumeni, ejus rei cupido, reconciliatum fuisse. In hoc ipso itinere fertur Alexander vidisse campum in quo equæ regiæ pasci solent, quem quidem campum Herodotus Nysæum, equasque Nysæas vocatas fuisse ait : fuisseque olim in his campis equarum circiter C L millia : tunc vero Alexandrum non multo plures quinquaginta millibus reperisse : plerasque enim a prædonibus furto sublatas.

2. Ἐνταῦθα λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδίας σατράπης γυναῖκας ἑκατὸν αὐτῷ ἔδωκε, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων, καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας, πλήν γε δὴ ὅτι πελέκεις ἀντὶ δοράτων ἐφόρουν καὶ ἀντὶ ἀσπίδων πέλτας· οἱ δὲ καὶ τὸν μαστὸν λέγουσιν ὅτι μείονα εἶχον τὸν δεξιόν, ὃν δὴ καὶ ἔξω εἶχον ἐν ταῖς μάχαις. (3) Ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς Ἀλέξανδρον, μή τι νεωτερισθείη κατ' αὐτὰς ἐς ὕβριν πρὸς τῶν Μακεδόνων ἢ βαρβάρων· κελεῦσαι δὲ ἀπαγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν ὅτι αὐτὸς ἥξει πρὸς αὐτὴν παιδοποιησόμενος. Ταῦτα δὲ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος οὔτε τις ἄλλος ἀνέγραψεν ὅστις ἱκανὸς ὑπὲρ τῶν τοιούτων τεκμηριῶσαι. (4) Οὐδὲ δοκεῖ μοι ἐν τῷ τότε σώζεσθαι τὸ γένος τῶν Ἀμαζόνων, οὐδ' ἔτι πρὸ Ἀλεξάνδρου Ξενοφῶν ἀνεμνήσθη αὐτῶν, Φασιανῶν τε μνησθεὶς καὶ Κόλχων καὶ ὅσα ἄλλα ἀπὸ Τραπεζοῦντος ὁρμώμενοι ἢ πρὶν ἐς Τραπεζοῦντα κατελθεῖν οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά, ἴναπερ καὶ ταῖς Ἀμαζόσιν ἂν ἐντετυχήκεσαν, εἴπερ οὖν ἔτι ἦσαν Ἀμαζόνες. (5) Μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν οὐ πιστὸν δοκεῖ ἔμοιγε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν. Ὡς Ἡρακλέα τε ἐπ' αὐτὰς λόγος κατέχει ὅτι ἐστάλη καὶ ζωστῆρά τινα Ἱππολύτης τῆς βασιλίσσης αὐτῶν ὅτι ἐς τὴν Ἑλλάδα ἐκόμισε, καὶ οἱ ξὺν Θησεῖ Ἀθηναῖοι ὅτι ἐπιούσας τὰς γυναῖκας ταύτας τὴν Εὐρώπην πρῶτοι μάχῃ νικήσαντες ἀνέστειλαν· καὶ γέγραπται ἡ Ἀθηναίων καὶ Ἀμαζόνων μάχη πρὸς Κίμωνος οὐ μεῖον ἢ περ ἡ Ἀθηναίων καὶ Περσῶν. (6) Καὶ Ἡροδότῳ πολλάκις περὶ τῶν γυναικῶν τούτων πεποίηται, καὶ ὅσοι Ἀθηναίων τοὺς ἐν πολέμῳ τελευτήσαντας λόγῳ ἐκόσμησαν, καὶ τοῦ πρὸς Ἀμαζόνας ἔργου Ἀθηναίων ἐν τοῖς μάλιστα μνήμην ἐποιήσαντο. Εἰ δὲ ἱππικάς δή τινας γυναῖκας Ἀτροπάτης ἐδείξεν Ἀλεξάνδρῳ, βαρβάρους τινὰς ἄλλας γυναῖκας ἱππεύειν ἠσκημένας δοκῶ ὅτι ἔδειξεν ἐς τὸν λεγόμενον δὴ τῶν Ἀμαζόνων κόσμον ἐσταλμένας.

2. Eo loci Atropates Mediæ satrapa centum ei mulieres dedit, quas Amazones esse dicebat, habitu virorum equitum ornatas, præterquam quod secures pro lanceis gestabant, et peltas pro scutis. Sunt qui dicant eas etiam dextras mammas minores habuisse, easque in præliis exseruisse. (3) Has Alexander ab exercitu remisit, nequid a Macedonibus aut barbaris probri paterentur. Jussit autem ut reginæ nuntiarent, se ad eam generandæ prolis causa profecturum. Verum hæc neque Aristobulus neque alius quispiam fide dignus auctor tradidit. (4) Mihi vero non videtur Amazonum gens ea tempestate superfuisse, nec ante Alexandri tempora Xenophon earum meminit, qui tamen et Colchorum et Phasiorum mentionem fecit, cæterarumque barbararum gentium, quas Græci Trapezunte profecti, aut etiam priusquam Trapezunta venirent, percurrerunt, quibus in locis etiam in Amazones incidissent, siqua adhuc iis temporibus earum soboles exstitisset. (5) Neque enim mihi credibile videtur, hoc mulierum genus nunquam exstitisse: quum sint a tam multis et claris autoribus celebratæ. Quandoquidem et Herculem in eas missum fuisse fama est atque Hippolytes reginæ balteum in Græciam reportasse, et Athenienses primo Theseo duce has mulieres Europam invadentes prælio superatas repulisse. Picta etiam est a Cimone Atheniensium cum Amazonibus pugna, non minus accurate quam Atheniensium et Persarum. (6) Præterea et Herodotus frequenter harum mulierum mentionem facit, et quotquot Athenienses scriptores eos qui in bello mortui sunt scriptis ornarunt, bellum ab Atheniensibus adversus Amazonas gestum in primis celebrarunt. Si vero equestres quasdam mulieres Atropates Alexandro exhibuit, aliud quoddam barbararum mulierum genus fuisse crediderim, quæ equitandi peritæ, et eo quem diximus Amazonum more armatæ fuerint.

ΚΕΦ. ΙΔ'.

Ἐν Ἐκβατάνοις δὲ θυσίαν τε ἔθυσεν Ἀλέξανδρος, ὥσπερ αὐτῷ ἐπὶ ξυμφοραῖς ἀγαθαῖς νόμος καὶ ἀγῶνα ἐπετέλει γυμνικόν τε καὶ μουσικόν, καὶ πότοι αὐτῷ ἐγίγνοντο παρὰ τοῖς ἑταίροις. Καὶ ἐν τούτῳ Ἡφαιστίων ἔκαμε τὸ σῶμα· ἑβδόμη τε ἡμέρα ἦδη ἦν αὐτῷ τῆς νόσου καὶ λέγουσι τὸ μὲν στάδιον πλῆρες εἶναι· παίδων γὰρ ἀγὼν ἦν ἐκείνῃ τῇ ἡμέρᾳ γυμνικός· ἐπεὶ δὲ ἐξηγγέλλετο Ἀλεξάνδρῳ ὅτι κακῶς ἔχει Ἡφαιστίων, ὁ δὲ παρ' αὐτὸν ἐλθὼν σπουδῇ οὐκέτι ζῶντα κατέλαβεν.

2. Ἔνθα δὴ καὶ ἄλλοι ἄλλα ἀνέγραψαν ὑπὲρ τοῦ πένθους τοῦ Ἀλεξάνδρου· μέγα μὲν γενέσθαι αὐτῷ τὸ πένθος, πάντες τοῦτο ἀνέγραψαν, τὰ δὲ πραχθέντα ἐπ' αὐτῷ ἄλλοι ἄλλα, ὡς ἕκαστος ἢ εὐνοίας πρὸς Ἡφαιστίωνα ἢ

CAP. XIV.

Ecbatanis Alexander, ut in felici successu rerum ei moris erat, sacrificium fecit, ludosque gymnicos et musicos edidit, conviviaque cum amicis curavit. Inter hæc Hephæstion in morbum incidit: eratque is dies ab initio morbi septimus. Atque Alexander quidem statim ac nuntiatum esset pessime jam habere Hephæstionem, stadio (habebantur enim eo die a pueris certamina gymnica) excessisse dicitur. quumque magna celeritate ad eum se contulisset, jamjam mortuum reperit.

2. Hic alii alia de Alexandri luctu scripserunt: omnes tamen in eo consentiunt, incredibili cum mœrore affectum fuisse. Quibus autem rebus dolorem suum testatus sit, alii aliter narrant, prout cujusque animus aut benevolentia aut

φθόνου εἶχεν ἢ καὶ πρὸς αὐτὸν Ἀλέξανδρον. (3) Ὧν οἱ τὰ ἀτάσθαλα ἀναγράψαντες οἱ μὲν ἐς κόσμον φέρειν μοι δοκοῦσιν οἰηθῆναι Ἀλεξάνδρῳ ὅσα ὑπεραλγήσας ἔδρασεν ἢ εἶπεν ἐπὶ τῷ πάντων δὴ ἀνθρώπων φιλτάτῳ· οἱ δὲ ἐς αἰσχύνην μᾶλλόν τι ὡς οὐ πρέποντα οὔτ' οὖν βασιλεῖ οὔτε Ἀλεξάνδρῳ, οἱ μέν, τὸ πολὺ μέρος τῆς ἡμέρας ἐκείνης ἐρριμμένον ἐπὶ τοῦ σώματος τοῦ ἑταίρου ὀδύρεσθαι οὐδ' ἐθέλειν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων· (4) οἱ δέ, τήν τε ἡμέραν ὅλην καὶ τὴν νύκτα ὅλην ἐρρῖφθαι ἐπὶ τῷ σώματι· οἱ δὲ καί, τὸν ἰατρὸν Γλαυκίαν ὅτι ἐκρέμασε, καὶ τοῦτον ὡς ἐπὶ φαρμάκῳ κακῶς δοθέντι, οἱ δέ, ὅτι οἴνου περιεῖδεν ἐμπλησθέντα θεωρῶν αὐτός· καὶ κείρασθαι Ἀλέξανδρον ἐπὶ τῷ νεκρῷ τὴν κόμην, τά τε ἄλλα οὐκ ἀπεικότα τιθέμαι καὶ κατὰ ζῆλον τὸν Ἀχιλλέως, πρὸς ὄντινα ἐκ παιδὸς φιλοτιμία ἦν αὐτῷ· (5) οἱ δὲ καί, τὸ ἅρμα ἐφ' ὅτῳ τὸ σῶμα ἐφέρετο αὐτὸς ἔστιν ὅτε ἡνιόχει, τοῦτο οὐδαμῇ πιστὸν ἐμοιγε λέγοντες· ἄλλοι δέ, ὅτι καὶ τοῦ Ἀσκληπιοῦ τὸ ἕδος ἐν Ἐκβατάνοις κατασκάψαι ἐκέλευσε, βαρβαρικὸν τοῦτό γε, καὶ οὐδαμῇ Ἀλεξάνδρῳ πρόσφορον, ἀλλὰ τῇ Ξέρξου μᾶλλόν τι ἀτασθαλίᾳ τῇ ἐς τὸ θεῖον καὶ ταῖς πέδαις ἃς λέγουσιν ἐς τὸν Ἑλλήσποντον καθεῖναι Ξέρξην, τιμωρούμενον ὅθεν τὸν Ἑλλήσποντον. (6) Ἀλλὰ καὶ ἐκεῖνο οὐ πάντη ἔξω τοῦ εἰκότος ἀναγεγράφθαι μοι δοκεῖ, ὡς ἐπὶ Βαβυλῶνος ἦει Ἀλέξανδρος, ἐντυχεῖν αὐτῷ κατὰ τὴν ὁδὸν πολλὰς πρεσβείας ἀπὸ τῆς Ἑλλάδος, εἶναι δὲ δὴ ἐν τούτοις καὶ Ἐπιδαυρίων πρέσβεις· καὶ τούτους ὧν τε ἐδέοντο ἐξ Ἀλεξάνδρου τυχεῖν καὶ ἀνάθημα δοῦναι αὐτοῖς Ἀλέξανδρον κομίζειν τῷ Ἀσκληπιῷ, ἐπειπόντα ὅτι Καίπερ οὐκ ἐπιεικῶς κέχρηταί μοι ὁ Ἀσκληπιός, οὐ σώσας μοι τὸν ἑταῖρον ὄντινα ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον. (7) Ἐναγίζειν τε ὅτι ἀεὶ ὡς ἥρωϊ ἐκέλευεν Ἡφαιστίωνι, τοῦτο μὲν πρὸς τῶν πλείστων ἀναγέγραπται· οἱ δὲ λέγουσιν ὅτι καὶ εἰς Ἄμμωνος ἔπεμψεν ἐρησομένους τὸν θεὸν εἰ καὶ ὡς θεῷ θύειν συγχωρεῖ Ἡφαιστίωνι· τὸν δὲ οὐ ξυγχωρῆσαι.

8. Ἐκεῖνα δὲ πρὸς πάντων ξυμφωνούμενα, ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ Ἡφαιστίωνος ἡμέραν μήτε σίτου γεύσασθαι Ἀλέξανδρον μήτε τινὰ θεραπείαν ἄλλην θεραπεῦσαι τὸ σῶμα, ἀλλὰ κεῖσθαι γὰρ ἢ ὀδυρόμενον ἢ πενθικῶς σιγῶντα· καὶ πυρὰν κελεῦσαι αὐτῷ ἑτοιμάζεσθαι ἐν Βαβυλῶνι ἀπὸ ταλάντων μυρίων, οἱ δὲ καὶ πλειόνων ἀνέγραψαν· (9) καὶ ὅτι πένθος ποιεῖσθαι περιηγγέλη κατὰ πᾶσαν τὴν χώραν τὴν βάρβαρον· καὶ ὅτι πολλοὶ τῶν ἑταίρων τῶν Ἀλεξάνδρου ἐς θεραπείαν τὴν ἐκείνου σφᾶς τε αὐτοὺς καὶ τὰ ὅπλα Ἡφαιστίωνι ἀνέθεσαν ἀποθανόντι· πρῶτον δὲ Εὐμένη ἄρξαι τοῦ σοφίσματος, ὄντινα ὀλίγῳ πρόσθεν ἔφαμεν ὅτι διηνέχθη πρὸς Ἡφαιστίωνα· καὶ τοῦτο δὲ δρᾶσαι, τῷ Ἀλεξάνδρῳ ὡς μὴ ἐφήδεσθαι δοκοίη τελευτήσαντι Ἡφαιστίωνι. (10) Οὐκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν ἀντὶ Ἡφαιστίωνος χιλίαρχον ἐπὶ τῇ ἵππῳ τῇ ἑταιρικῇ Ἀλέξανδρος, ὡς μὴ ἀπόλοιτο τὸ ὄνομα τοῦ Ἡφαιστίωνος ἐκ

invidia erga Hephæstionem, aut erga Alexandrum ipsum occupatus erat : (3)quorum qui indecentiora scripserunt, alii videntur mihi censuisse ad Alexandri laudem referenda esse, quæcunque ex ingenti mœrore ob amici, quem præ reliquis mortalibus carum habebat, mortem vel dixerit vel fecerit : alii potius vitio vertebant immoderatum luctum tanquam et regi et Alexandro parum decorum. Alii Alexandrum magna diei parte ejulantem super amici corpus procubuisse narrant, neque recedere voluisse, donec ab amicis avelleretur : (4) alii diem integrum noctemque integram corpori exanimi incubuisse aiunt : alii Glauciam medicum ob potionem non recte datam in crucem tolli jussisse ; alii quod quum eum immoderatius bibisse cerneret, curam ejus omisisset. Præcidisse autem Alexandrum in mortui honorem comam, cum ob alias causas non incredibile judico, tum propter studium Achillis, quem a puero æmulabatur. (5) Alii currus quo corpus Hephæstionis vehebatur ipsummet rectorem aurigamque fuisse : quod quidem mihi nequaquam verisimile videtur : alii eum Ecbatanis ædem Æsculapio sacram subverti jussisse. Sed et hoc barbarum est, neque Alexandro ulla ratione conveniens : sed Xerxis potius in deos impietate dignum, et compedibus quas illum in Hellespontum vindictæ causa demisisse ferunt. (6) Cæterum hoc non dissentaneum vero judicaverim, quod a nonnullis memoriæ traditum est : eunti versus Babylonem Alexandro multas Græcorum legationes in itinere obviam venisse, inter quos etiam Epidauriorum legati erant. Quibus quum postulata concessisset, donarium dedisse quod Æsculapio suffigerent, his verbis adjectis : « Quamquam Æsculapius parum mihi æquus fuit, qui amicum, quem ego tanquam caput meum amabam, non servarit. » (7) Hephæstioni etiam semper ut heroi parentari jussisse a plerisque scriptum est. Alii addunt misisse illum ad Ammonis templum qui deum consulerent, an Hephæstioni ut deo sacrificari permitteret. Idque Jovem negasse.

8. In his vero scriptores omnes inter se conveniunt, Alexandrum totum triduum ab Hephæstionis obitu neque cibum degustasse, neque ullam aliam corporis curam tenuisse, sed aut lamentantem, aut tacite dolorem prementem jacuisse, mandasseque illi rogum parari Babylone x. m talentûm : alii plura adscribunt. (9) Eumque per universam barbarorum regionem publicum luctum indixisse ; ad hæc multos ex amicis Alexandri ad levandum dolorem et se et arma Hephæstioni devovisse : ac primum quidem omnium Eumenem illius consilii auctorem fuisse, quem paulo ante simultatem cum Hephæstione gessisse diximus. Is id officii mortuo præstabat, ne Alexander illum lætitiam ex Hephæstionis obitu percepisse suspicaretur. (10) Præter hæc Alexander neminem chiliarcham in Hephæstionis locum, qui equitatui amicorum præesset, suffecit, ne Hephæstionis nomen ex agmine interiret, sed Hephæstionis chiliarchiam vocari vo-

θυρῶν ἑστηκότες δεόμενοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν τῷ τότε ταραχῆς καὶ τοὺς ἄρξαντας τῆς βοῆς ἐκδιδόναι ἐθέλειν· οὔκουν ἀπαλλαγήσεσθαι τῶν θυρῶν οὔτε ἡμέρας οὔτε νυκτός, εἰ μή τινα οἶκτον σφῶν ἕξει Ἀλέξανδρος.

5. Ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, ὁ δὲ σπουδῇ ἐξέρχεται, καὶ ἰδών τε ταπεινῶς διακειμένους καὶ ἀκούσας σὺν οἰμωγῇ τῶν πολλῶν βοώντων, καὶ αὐτῷ προχεῖται δάκρυα. Καὶ ὁ μὲν ἀνήγετο ὥς τι ἐρῶν· οἱ δὲ ἔμενον λιπαροῦντες. (6) Καί τις αὐτῶν καθ' ἡλικίαν τε καὶ ἱππαρχίαν τῆς ἵππου τῆς ἑταιρικῆς οὐκ ἀφανής, Καλλίνης ὄνομα, τοιαῦτα εἶπεν· Ὦ βασιλεῦ, τὰ λυποῦντά ἐστι Μακεδόνας ὅτι σὺ Περσῶν μέν τινας ἤδη πεποίησαι σαυτῷ συγγενεῖς, καὶ καλοῦνται Πέρσαι συγγενεῖς Ἀλεξάνδρου καὶ φιλοῦσί σε· Μακεδόνων δὲ οὔπω τις γέγευται ταύτης τῆς τιμῆς. (7) Ἔνθα δὴ ὑπολαβὼν Ἀλέξανδρος, Ἀλλ' ὑμᾶς γε, ἔφη, ξύμπαντας ἐμαυτῷ τίθεμαι συγγενεῖς καὶ τό γε ἀπὸ τούτου οὕτω καλέσω. Ταῦτα εἰπόντα προσελθὼν ὁ Καλλίνης τε ἐφίλησεν καὶ ὅστις ἄλλος φιλῆσαι ἤθελε. Καὶ οὕτω δὴ ἀναλαβόντες τὰ ὅπλα βοῶντές τε καὶ παιανίζοντες ἐς τὸ στρατόπεδον ἀπῆσαν. (8) Ἀλέξανδρος δὲ ἐπὶ τούτοις θυσίαν τε θύει τοῖς θεοῖς οἷς αὐτῷ νόμος καὶ θοίνην δημοτελῆ ἐποίησε, καθήμενός τε αὐτὸς καὶ πάντων καθημένων ἀμφ' αὐτὸν μὲν Μακεδόνων, ἐν δὲ τῷ ἑφεξῆς τούτων Περσῶν, ἐπὶ δὲ τούτοις τῶν ἄλλων ἐθνῶν ὅσοι κατ' ἀξίωσιν ἤ τινα ἄλλην ἀρετὴν πρεσβευόμενοι, καὶ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἀρυόμενοι ἔσπενδον τὰς αὐτὰς σπονδάς, καταρχομένων τῶν τε Ἑλλήνων μάντεων καὶ τῶν Μάγων. (9) Εὔχετο δὲ τά τε ἄλλα ἀγαθὰ καὶ ὁμόνοιάν τε καὶ κοινωνίαν τῆς ἀρχῆς [τοῖς τε] Μακεδόσι καὶ Πέρσαις. Εἶναι δὲ κατέχει λόγος τοὺς μετασχόντας τῆς θοίνης ἐς ἐννακισχιλίους, καὶ τούτους πάντας μίαν τε σπονδὴν σπεῖσαι καὶ ἐπ' αὐτῇ παιανίσαι.

essent. Ipsi pro foribus stantes clamorem tollebant, intromitti postulantes, auctores tumultus quique clamandi initium fecerant dedituri: neque a janua interdiu vel noctu discessuri, nisi Alexander eorum commiseratione tangeretur.

5. Quæ ut Alexandro nuntiata sunt, confestim ad eos egreditur, humilesque ac demissos conspicatus, et communi omnium mœrore atque ejulatu commotus, collacrimatus est. Quumque aliquantum veluti aliquid dicturus constitisset, ipsi supplices permanserunt. (6) Tum Callines quidam et ætate et præfectura in amicorum equitatu non obscurus, ita loquutus est: Hoc est, o rex, quod Macedonum animos male habet, quod jam nonnullos Persarum tibi cognatos effecisti, quodque Persæ cognati Alexandri appellantur. Hos te deosculari sinis, Macedonibus ab hujuscemodi honore exclusis. (7) Tum Alexander ejus orationem interrumpens, Omnes vos, inquit, cognatos mihi facio, ac deinceps ita vocabo. His dictis Callines progressus cum deosculatus est, aliique quibus id cordi fuit. Atque ita receptis armis clamantes et pæana canentes ad castra redierunt. (8) Post hæc Alexander sacrificium diis quibus consueverat fecit, epulumque publicum curavit, accumbente ipso pariter, omnibusque circa eum Macedonibus, deinde Persis ac deinceps reliquis gentibus, prout quisque aut dignitate aut virtute bellica illustris esset. Tum ex eodem cratere et rex et qui una accumbebant libarunt, Græcis vatibus et Magis vota nuncupantibus: (9) et Macedonibus Persisque cum alia fausta ac prospera, tum concordiam imperiique societatem precatus est. Novem millia convivarum huic epulo adfuisse memorant, eosque omnes eandem libationem fecisse, et post hoc pæanem cecinisse.

ΚΕΦ. ΙΒ'.

Ἔνθα δὴ ἐθελονταὶ ἤδη αὐτῷ ἀπῆσαν τῶν Μακεδόνων ὅσοι διὰ γῆρας ἤ τινα ἄλλην ξυμφορὰν ἀπόλεμοι ἦσαν· καὶ οὗτοι αὐτῷ ἐγένοντο ἐς τοὺς μυρίους. Τούτοις δὲ τήν τε μισθοφορὰν οὐ τοῦ ἐξήκοντος ἤδη χρόνου ἔδωκεν Ἀλέξανδρος μόνον, ἀλλὰ καὶ τοῦ ἐς τὴν ἀπονόστησιν τὴν οἴκαδε ξυμβαίνοντος. (2) Ἐπέδωκε δὲ καὶ τάλαντον ἑκάστῳ ὑπὲρ τὴν μισθοφοράν· παῖδες δὲ εἴ τῳ ἦσαν ἐκ τῶν Ἀσιανῶν γυναικῶν, παρὰ οἷ καταλιπεῖν ἐκέλευσε μηδὲ στάσιν κατάγειν ἐς Μακεδονίαν ἀλλοφύλους τε καὶ ἐκ τῶν βαρβάρων γυναικῶν παῖδας τοῖς οἴκοι ὑπολελειμμένοις παισί τε καὶ μητράσιν αὐτῶν· αὐτὸς δὲ ἐπιμελήσεσθαι ὡς ἐκτρέφοιντο Μακεδονικῶς, τά τε ἄλλα καὶ ἐς τὰ πολέμια κοσμούμενοι· γενομένους δὲ ἄνδρας ἄξειν αὐτὸς ἐς Μακεδονίαν καὶ παραδώσειν τοῖς πατράσι. (3) Ταῦτά τε ἀπαλλαττο-

CAP. XII.

Dehinc Macedones voluntarii ab eo dimissi sunt, qui aut per ætatem aut aliquam membrorum mutilationem inutiles bello erant: decem circiter millia fuere. Quibus quidem non exacti tantum temporis stipendia persolvit, sed etiam temporis in reditionem domum incidentis. (2) Singulis etiam talentum ultra stipendium numeravit. Si quibus autem filii ex Asiaticis mulieribus essent, apud se relinqui jussit, ne seditionem aliquam in Macedonia excitarent barbararum mulierum liberi pueris domi relictis matribusque permisti: Macedonicis eos moribus imbui bellicaque disciplina instrui curaturus: quumque jam viri facti essent, parentibus redditurus. (3) Atque hæc qui-

μένοις ἀστάθμητα καὶ ἀτέκμαρτα ἀπηγγέλλετο καὶ ὅπως ἔχει φιλίας τε καὶ πόθου ἐς αὐτοὺς τὸ ἀτρεκέστατον τεκμήριον ἐκεῖνο ποιεῖσθαι ἠξίου, ὅτι τὸν πιστότατόν τε αὐτῷ καὶ ὄντινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει, Κράτερον ξυμπέμπει αὐτοῖς φύλακά τε καὶ ἡγούμενον τοῦ στόλου. Οὕτω δὴ ἀσπασάμενος ξύμπαντας αὐτός τε δακρύων καὶ δακρύοντας ἐκείνους ἀπὸ οὗ ἀπήλλαξε. (6) Κρατέρῳ δὲ τούτους τε ἄγειν ἐκέλευε καὶ ἀπαγαγόντι Μακεδονίας τε καὶ Θράκης καὶ Θετταλῶν ἐξηγεῖσθαι καὶ τῶν Ἑλλήνων τῆς ἐλευθερίας· Ἀντίπατρον δὲ διαδόχους τοῖς ἀποπεμπομένοις ἄγειν Μακεδόνας τῶν ἀκμαζόντων ἐκέλευσεν. Ἔστειλε δὲ καὶ Πολυσπέρχοντα ὁμοῦ τῷ Κρατέρῳ, δεύτερον δὲ ἀπὸ Κρατέρου ἡγεμόνα, ὡς εἴ τι κατὰ τὴν πορείαν Κρατέρῳ ξυμπίπτοι, ὅτι καὶ μαλακῶς τὸ σῶμα ἔχοντα ἀπέπεμπεν αὐτόν, μὴ ποθῆσαι στρατηγὸν τοὺς ἰόντας.

5. Λόγος δέ τις καὶ οὗτος ἐφοίτα ἀφανὴς παρὰ τοῖς τὰ βασιλικὰ πράγματα, ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγουμένοις, καὶ τὸ πιστὸν ἐς τὸ χεῖρον μᾶλλον, ἢ τὸ εἰκός τε καὶ ἡ αὐτῶν μοχθηρία ἄγει, ἢ πρὸς τὸ ἀληθὲς ἐκτρέπουσιν, ἐξηττώμενον Ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν τῶν ἐς Ἀντίπατρον, ἀπαλλάξαι ἐθέλειν ἐκ Μακεδονίας Ἀντίπατρον. (6) Καὶ τυχὸν οὐκ ἐς ἀτιμίαν τὴν Ἀντιπάτρου ἡ μετάπεμψις αὐτοῦ ἔφερεν, ἀλλ' ὡς μή τι ἐκ τῆς διαφορᾶς αὐτοῖς γένοιτο ἄχαρι ἐς ἀλλήλους καὶ οὐδὲ αὐτῷ ἰάσιμον. Ἐπεὶ οὐδὲν ἐπαύοντο Ἀλεξάνδρῳ γράφοντες ὁ μὲν τὴν αὐθάδειάν τε τῆς Ὀλυμπιάδος καὶ ὀξύτητα καὶ πολυπραγμοσύνην, ἥκιστα δὴ τῇ Ἀλεξάνδρου μητρὶ εὐσχήμονα, ὥστε καὶ λόγος τις τοιόσδε ἐφέρετο Ἀλεξάνδρου ἐφ' οἷς ὑπὲρ τῆς μητρὸς αὐτῷ ἐξηγγέλλετο, βαρὺ δὴ τὸ ἐνοίκιον τῶν δέκα μηνῶν εἰσπράττεσθαι αὐτὸν τὴν μητέρα· (7) ἡ δέ, ὑπέρογκον εἶναι τῇ τε ἀξιώσει καὶ τῇ ἄλλῃ θεραπείᾳ Ἀντίπατρον οὐδὲ μεμνῆσθαι τοῦ καταστήσαντος ἔτι, ἀλλ' αὐτὸν γὰρ ἀξιοῦν τὰ πρῶτα φέρεσθαι ἐν τοῖς ἄλλοις Μακεδόσι τε καὶ Ἕλλησι. Καὶ ταῦτα μᾶλλόν τι ἰσχύειν παρ' Ἀλεξάνδρῳ ἐφαίνετο, ὅσα ἐς τοῦ Ἀντιπάτρου τὴν διαβολὴν φέροντα ἦν, οἷα δὴ καὶ φοβερώτερα ἐν βασιλείᾳ ὄντα. Οὐ μέντοι καταφανές γέ τι ἢ ἔργον ἢ λόγος ἐξηγγέλλετο Ἀλεξάνδρου ἐφ' ὅτου ἄν τις συνέθηκεν οὐχ ὡσαύτως εἶναι αὐτῷ πρὸς θυμοῦ Ἀντίπατρον. * * * * Ἡφαιστίων.

ΚΕΦ. Ιʹ.

Τούτῳ τῷ λόγῳ ὑπείξαντα Ἡφαιστίωνα συναλλαγῆναι Εὐμένει, οὐχ ἑκόντα ἑκόντι. Ἐν ταύτῃ τῇ ὁδῷ καὶ τὸ πεδίον λέγεται ἰδεῖν Ἀλέξανδρον τὸ ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς, αὐτό τε πεδίον Νυσαῖον καλούμενον καὶ αἱ ἵπποι ὅτι Νυσαῖαι κληίζονται λέγει Ἡρόδοτος εἶναι δὲ πάλαι μὲν ἐς πεντεκαίδεκα μυριάδας τῶν ἵππων· τότε δὲ Ἀλέξανδρον οὐ πολὺ πλείονας τῶν πέντε καταλαβεῖν· πρὸς λῃστῶν γὰρ διαρπαγῆναι τὰς πολλὰς αὐτῶν.

dem discedentibus incerta inexploratagque promisit : illud vero certissimum amoris benevolentiæque erga eos suæ documentum edere voluit, quod Craterum, quem fidelissimum sibi habebat, et æque ac caput suum amabat, custodem et ducem itineris eis adjunxit. Ita tandem salutatos omnes, lacrimans lacrimantes etiam ipsos dimisit, Craterumque eos ducere, deinde Macedoniæ, Thraciæ et Thessaliæ ac libertati Græcorum præesse jubet. Antipatrum vero in eorum qui dimissi essent locum alios Macedones ætate ac viribus florentes adducere jubet. Polysperchontem etiam cum Cratero misit, qui secundus a Cratero dux esset, ne, siquid humani Cratero in itinere accideret, quippe qui quum mitteretur corpore erat parum firmo, ducem itineris desiderarent.

5. Porro obscurus quidam rumor spargebatur ab iis qui regum negotia, quo magis occultantur, eo magis evulgare concupiscunt, fidemque semper in deteriorem partem potius quam in saniorem scelerate inclinant, Alexandrum jam tum matris suæ calumniis quibus Antipatrum onerarat victum, Antipatrum e Macedonia amovere voluisse. (6) Sed fortasse hæc Antipatri evocatio nequaquam ad ejus ignominiam spectabat, sed potius ne quid ex illorum dissensione mali oriretur, cui ne ipse quidem mederi posset. Frequentes enim literæ ad Alexandrum adferebantur, quibus hic Olympiadis arrogantiam, acerbitatem curiositatemque incusabat, quæ Alexandri matrem parum decerent : adeo ut hujusmodi quid ab Alexandro dictum fuisse narrent, Grave decem mensium habitationis pretium a matre exigi. (7) Olympias vero Antipatrum ut insolentem ex imperio et popularium observantia, neque jam amplius meminisse ejus a quo tantam potestatem accepisset : sed dignum se judicare qui inter Macedones et Græcos primas obtineat. Atqui Alexandri fides magis in eam partem inclinabat quæ ad Antipatri calumniam pertinebat, utpote quod regno magis extimescendum erat. Nullum tamen Alexander vel dictum vel factum edidit, e quo quispiam suspicari posset, eum alieniore ab Antipatro animo esse. **** Hephæstio.

CAP. XIII.

Hoc sermone deterritum Hephæstionem non libenter Eumeni, ejus rei cupido, reconciliatum fuisse. In hoc ipso itinere fertur Alexander vidisse campum in quo equæ regiæ pasci solent, quem quidem campum Herodotus Nysæum, equasque Nysæas vocatas fuisse ait : fuisseque olim in his campis equarum circiter c l millia : tunc vero Alexandrum non multo plures quinquaginta millibus reperisse : plerasque enim a prædonibus furto sublatas.

2. Ἐνταῦθα λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδίας σατράπης γυναῖκας ἑκατὸν αὐτῷ ἔδωκε, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων, καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας, πλήν γε ὅτι πελέκεις ἀντὶ δοράτων ἐφόρουν καὶ ἀντὶ ἀσπίδων πέλτας· οἱ δὲ καὶ τὸν μαστὸν λέγουσιν ὅτι μείονα εἶχον τὸν δεξιόν, ὃν δὴ καὶ ἔξω εἶχον ἐν ταῖς μάχαις. (3) Ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς Ἀλέξανδρον, μή τι νεωτερισθείη κατ' αὐτὰς ἐς ὕβριν πρὸς τῶν Μακεδόνων ἢ βαρβάρων· κελεῦσαι δὲ ἀπαγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν ὅτι αὐτὸς ἥξει πρὸς αὐτὴν παιδοποιησόμενος. Ταῦτα δὲ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος οὔτε τις ἄλλος ἀνέγραψεν ὅστις ἱκανὸς ὑπὲρ τῶν τοιούτων τεκμηριῶσαι. (4) Οὐδέ μοι δοκεῖ ἐν τῷ τότε σώζεσθαι τὸ γένος τῶν Ἀμαζόνων, οὐδ' ἔτι πρὸ Ἀλεξάνδρου Ξενοφῶν ἀνεμνήσθη αὐτῶν, Φασιανῶν τε μνησθεὶς καὶ Κόλχων καὶ ὅσα ἄλλα ἀπὸ Τραπεζοῦντος ὁρμώμενοι ἢ πρὶν ἐς Τραπεζοῦντα κατελθεῖν οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά, ἵναπερ καὶ ταῖς Ἀμαζόσιν ἂν ἐντετυχήκεσαν, εἴπερ οὖν ἔτι ἦσαν Ἀμαζόνες. (5) Μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν οὐ πιστὸν δοκεῖ ἔμοιγε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν. Ὡς Ἡρακλέα τε ἐπ' αὐτὰς λόγος κατέχει ὅτι ἐστάλη καὶ ζωστῆρά τινα Ἱππολύτης τῆς βασιλίσσης αὐτῶν ὅτι ἐς τὴν Ἑλλάδα ἐκόμισε, καὶ οἱ ξὺν Θησεῖ Ἀθηναῖοι ὅτι ἐπιούσας τὰς γυναῖκας ταύτας τὴν Εὐρώπην πρῶτοι μάχῃ νικήσαντες ἀνέστειλαν· καὶ γέγραπται ἡ Ἀθηναίων καὶ Ἀμαζόνων μάχη πρὸς Κίμωνος οὐ μεῖον ἢ περ ἡ Ἀθηναίων καὶ Περσῶν. (6) Καὶ Ἡροδότῳ πολλάκις περὶ τῶν γυναικῶν τούτων πεποίηται, καὶ ὅσοι Ἀθηναίων τοὺς ἐν πολέμῳ τελευτήσαντας λόγῳ ἐκόσμησαν, καὶ τοῦ πρὸς Ἀμαζόνας ἔργου Ἀθηναίων ἐν τοῖς μάλιστα μνήμην ἐποιήσαντο. Εἰ δὲ ἱππικάς δή τινας γυναῖκας Ἀτροπάτης ἔδειξεν Ἀλεξάνδρῳ, βαρβάρους τινὰς ἄλλας γυναῖκας ἱππεύειν ἡσκημένας δοκῶ ὅτι ἔδειξεν ἐς τὸν λεγόμενον δὴ τῶν Ἀμαζόνων κόσμον ἐσταλμένας.

2. Eo loci Atropates Mediæ satrapa centum ei mulieres dedit, quas Amazones esse dicebat, habitu virorum equitum ornatas, præterquam quod secures pro lanceis gestabant, et peltas pro scutis. Sunt qui dicant eas etiam dextras mammas minores habuisse, easque in præliis exseruisse. (3) Has Alexander ab exercitu remisit, nequid a Macedonibus aut barbaris probri paterentur. Jussit autem ut reginæ nuntiarent, se ad eam generandæ prolis causa profecturum. Verum hæc neque Aristobulus neque alius quispiam fide dignus auctor tradidit. (4) Mihi vero non videtur Amazonum gens ea tempestate superfuisse, nec ante Alexandri tempora Xenophon earum meminit, qui tamen et Colchorum et Phasiorum mentionem fecit, cæterarumque barbararum gentium, quas Græci Trapezunte profecti, aut etiam priusquam Trapezunta venirent, percurrerunt, quibus in locis etiam in Amazones incidissent, siqua adhuc iis temporibus earum soboles exstitisset. (5) Neque enim mihi credibile videtur, hoc mulierum genus nunquam exstitisse: quum sint a tam multis et claris autoribus celebratæ. Quandoquidem et Herculem in eas missum fuisse fama est atque Hippolytes reginæ balteum in Græciam reportasse, et Athenienses primo Theseo duce has mulieres Europam invadentes prælio superatas repulisse. Picta etiam est a Cimone Atheniensium cum Amazonibus pugna, non minus accurate quam Atheniensium et Persarum. (6) Præterea et Herodotus frequenter harum mulierum mentionem facit, et quotquot Athenienses scriptores eos qui in bello mortui sunt scriptis ornarunt, bellum ab Atheniensibus adversus Amazonas gestum in primis celebrarunt. Si vero equestres quasdam mulieres Atropates Alexandro exhibuit, aliud quoddam barbararum mulierum genus fuisse crediderim, quæ equitandi peritæ, et eo quem diximus Amazonum more armatæ fuerint.

ΚΕΦ. ΙΔ'.

Ἐν Ἐκβατάνοις δὲ θυσίαν τε ἔθυσεν Ἀλέξανδρος, ὥσπερ αὐτῷ ἐπὶ ξυμφοραῖς ἀγαθαῖς νόμος καὶ ἀγῶνα ἐπετέλει γυμνικόν τε καὶ μουσικόν, καὶ πότοι αὐτῷ ἐγίγνοντο παρὰ τοῖς ἑταίροις. Καὶ ἐν τούτῳ Ἡφαιστίων ἔκαμε τὸ σῶμα· ἑβδόμη τε ἡμέρα ἤδη ἦν αὐτῷ τῆς νόσου καὶ λέγουσι τὸ μὲν στάδιον πλῆρες εἶναι· παίδων γὰρ ἀγὼν ἦν ἐκείνῃ τῇ ἡμέρᾳ γυμνικός· ἐπεὶ δὲ ἐξηγγέλλετο Ἀλεξάνδρῳ ὅτι κακῶς ἔχει Ἡφαιστίων, ὁ δὲ παρ' αὐτὸν ἐλθὼν σπουδῇ οὐκέτι ζῶντα κατέλαβεν.

2. Ἔνθα δὴ καὶ ἄλλοι ἄλλα ἀνέγραψαν ὑπὲρ τοῦ πένθους τοῦ Ἀλεξάνδρου· μέγα μὲν γενέσθαι αὐτῷ τὸ πένθος, πάντες τοῦτο ἀνέγραψαν, τὰ δὲ πραχθέντα ἐπ' αὐτῷ ἄλλοι ἄλλα, ὡς ἕκαστος ἢ εὐνοίας πρὸς Ἡφαιστίωνα ἢ

CAP. XIV.

Ecbatanis Alexander, ut in felici successu rerum ei moris erat, sacrificium fecit, ludosque gymnicos et musicos edidit, conviviaque cum amicis curavit. Inter hæc Hephæstion in morbum incidit: eratque is dies ab initio morbi septimus. Atque Alexander quidem statim ac nuntiatum esset pessime jam habere Hephæstionem, stadio (habebantur enim eo die a pueris certamina gymnica) excessisse dicitur. quumque magna celeritate ad eum se contulisset, jamjam mortuum reperit.

2. Hic alii alia de Alexandri luctu scripserunt: omnes tamen in eo consentiunt, incredibili cum mœrore affectum fuisse. Quibus autem rebus dolorem suum testatus sit, alii aliter narrant, prout cujusque animus aut benevolentia aut

ρθόνου εἶχεν ἢ καὶ πρὸς αὐτὸν Ἀλέξανδρον. (3) Ὧν οἱ τὰ ἀτάσθαλα ἀναγράψαντες οἱ μὲν ἐς κόσμον φέρειν μοι δοκοῦσιν οἰηθῆναι Ἀλεξάνδρῳ ὅσα ὑπεραλγήσας ἐδάρσεν ἢ εἶπεν ἐπὶ τῷ πάντων δὴ ἀνθρώπων φιλτάτῳ· οἱ δὲ ἐς αἰσχύνην μᾶλλόν τι ὡς οὐ πρέποντα οὔτ' οὖν βασιλεῖ οὔτε Ἀλεξάνδρῳ, οἱ μέν, τὸ πολὺ μέρος τῆς ἡμέρας ἐκείνης ἐρριμμένον ἐπὶ τοῦ σώματος τοῦ ἑταίρου ὀδύρεσθαι οὐδ' ἐθέλειν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων· (4) οἱ δέ, τήν τε ἡμέραν ὅλην καὶ τὴν νύκτα ὅλην ἐρρῖφθαι ἐπὶ τῷ σώματι· οἱ δὲ καί, τὸν ἰατρὸν Γλαυκίαν ὅτι ἐκρέμασε, καὶ τοῦτον ὡς ἐπὶ φαρμάκῳ κακῶς δοθέντι, οἱ δέ, ὅτι οἴνου περιεῖδεν ἐμπλησθέντα θεωρῶν αὐτός· καὶ κείρασθαι Ἀλέξανδρον ἐπὶ τῷ νεκρῷ τὴν κόμην, τά τε ἄλλα οὐκ ἀπεικότα τίθεμαι καὶ κατὰ ζῆλον τὸν Ἀχιλλέως, πρὸς ὄντινα ἐκ παιδὸς φιλοτιμία ἦν αὐτῷ· (5) οἱ δὲ καί, τὸ ἅρμα ἐφ' ὅτῳ τὸ σῶμα ἐφέρετο αὐτὸς ἔστιν ὅτε ἡνιόχει, τοῦτο οὐδαμῇ πιστὸν ἐμοιγε λέγοντες· ἄλλοι δέ, ὅτι καὶ τοῦ Ἀσκληπιοῦ τὸ ἕδος ἐν Ἐκβατάνοις κατασκάψαι ἐκέλευσε, βαρβαρικὸν τοῦτό γε, καὶ οὐδαμῇ Ἀλεξάνδρῳ πρόσφορον, ἀλλὰ τῇ Ξέρξου μᾶλλόν τι ἀτασθαλίᾳ τῇ ἐς τὸ θεῖον καὶ ταῖς πέδαις ἃς λέγουσιν ἐς τὸν Ἑλλήσποντον καθεῖναι Ξέρξην, τιμωρούμενον δῆθεν τὸν Ἑλλήσποντον. (6) Ἀλλὰ καὶ ἐκεῖνο οὐ πάντῃ ἔξω τοῦ εἰκότος ἀναγεγράφθαι μοι δοκεῖ, ὡς ἐπὶ Βαβυλῶνος ἦει Ἀλέξανδρος, ἐντυχεῖν αὐτῷ κατὰ τὴν ὁδὸν πολλὰς πρεσβείας ἀπὸ τῆς Ἑλλάδος, εἶναι δὲ δὴ ἐν τούτοις καὶ Ἐπιδαυρίων πρέσβεις· καὶ τούτους ὧν τε ἐδέοντο ἐξ Ἀλεξάνδρου τυχεῖν καὶ ἀνάθημα δοῦναι αὐτοῖς Ἀλέξανδρον κομίζειν τῷ Ἀσκληπιῷ, ἐπειπόντα ὅτι Καίπερ οὐκ ἐπιεικῶς κέχρηταί μοι ὁ Ἀσκληπιός, οὐ σώσας μοι τὸν ἑταῖρον ὄντινα ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον. (7) Ἐναγίζειν τε ὅτι ἀεὶ ὡς ἥρωϊ ἐκέλευεν Ἡφαιστίωνι, τοῦτο μὲν πρὸς τῶν πλείστων ἀναγέγραπται· οἱ δὲ λέγουσιν ὅτι καὶ εἰς Ἄμμωνος ἔπεμψεν ἐρησομένους τὸν θεὸν εἰ καὶ ὡς θεῷ θύειν συγχωρεῖ Ἡφαιστίωνι· τὸν δὲ οὐ ξυγχωρῆσαι.

8. Ἐκεῖνα δὲ πρὸς πάντων ξυμφωνούμενα, ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ Ἡφαιστίωνος ἡμέραν μήτε σίτου γεύσασθαι Ἀλέξανδρον μήτε τινὰ θεραπείαν ἄλλην θεραπεῦσαι τὸ σῶμα, ἀλλὰ κεῖσθαι γὰρ ἢ ὀδυρόμενον ἢ πενθικῶς σιγῶντα· καὶ πυρὰν κελεῦσαι αὐτῷ ἑτοιμάζεσθαι ἐν Βαβυλῶνι ἀπὸ ταλάντων μυρίων, οἱ δὲ καὶ πλειόνων ἀνέγραψαν· (9) καὶ ὅτι πένθος ποιεῖσθαι περιηγγέλη κατὰ πᾶσαν τὴν χώραν τὴν βάρβαρον· καὶ ὅτι πολλοὶ τῶν ἑταίρων τῶν Ἀλεξάνδρου ἐς θεραπείαν τὴν ἐκείνου σφᾶς τε αὐτοὺς καὶ τὰ ὅπλα Ἡφαιστίωνι ἀνέθεσαν ἀποθανόντι· πρῶτον δὲ Εὐμένη ἄρξαι τοῦ σοφίσματος, ὄντινα ὀλίγῳ πρόσθεν ἔφαμεν ὅτι διηνέχθη πρὸς Ἡφαιστίωνα· καὶ τοῦτο δὲ δρᾶσαι, τῷ Ἀλεξάνδρῳ ὡς μὴ ἐῤῥᾴδεσθαι δοκοίη τελευτήσαντι Ἡφαιστίωνι. (10) Οὐκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν ἀντὶ Ἡφαιστίωνος χιλίαρχον ἐπὶ τῇ ἵππῳ τῇ ἑταιρικῇ Ἀλέξανδρος, ὡς μὴ ἀπόλοιτο τὸ ὄνομα τοῦ Ἡφαιστίωνος ἐκ

invidia erga Hephæstionem, aut erga Alexandrum ipsum occupatus erat: (3) quorum qui indecentiora scripserunt, alii videntur mihi censuisse ad Alexandri laudem referenda esse, quæcunque ex ingenti mœrore ob amici, quem præ reliquis mortalibus carum habebat, mortem vel dixerit vel fecerit: alii potius vitio vertebant immoderatum luctum tanquam et regi et Alexandro parum decorum. Alii Alexandrum magna diei parte ejulantem super amici corpus procubuisse narrant, neque recedere voluisse, donec ab amicis avelleretur: (4) alii diem integrum noctemque integram corpori exanimi incubuisse aiunt: alii Glauciam medicum ob potionem non recte datam in crucem tolli jussisse; alii quod quum eum immoderatius bibisse cerneret, curam ejus omisisset. Præcidisse autem Alexandrum in mortui honorem comam, cum ob alias causas non incredibile judico, tum propter studium Achillis, quem a puero æmulabatur. (5) Alii currus quo corpus Hephæstionis vehebatur ipsummet rectorem auriganque fuisse: quod quidem mihi nequaquam verisimile videtur: alii cum Ecbatanis ædem Æsculapio sacram subverti jussisse. Sed et hoc barbarum est, neque Alexandro ulla ratione conveniens: sed Xerxis potius in deos impietate dignum, et compedibus quas illum in Hellespontum vindictæ causa demisisse ferunt. (6) Cæterum hoc non dissentaneum vero judicaverim, quod a nonnullis memoriæ traditum est: eunti versus Babylonem Alexandro multas Græcorum legationes in itinere obviam venisse, inter quos etiam Epidauriorum legati erant. Quibus quum postulata concessisset, donarium dedisse quod Æsculapio suffigerent, his verbis adjectis: « Quamquam Æsculapius parum mihi æquus fuit, qui amicum, quem ego tanquam caput meum amabam, non servarit. » (7) Hephæstioni etiam semper ut heroi parentari jussisse a plerisque scriptum est. Alii addunt misisse illum ad Ammonis templum qui deum consulerent, an Hephæstioni ut deo sacrificari permitteret. Idque Jovem negasse.

8. In his vero scriptores omnes inter se conveniunt, Alexandrum totum triduum ab Hephæstionis obitu neque cibum degustasse, neque ullam aliam corporis curam tenuisse, sed aut lamentantem, aut tacite dolorem prementem jacuisse, mandasseque illi rogum parari Babylone x. M talentûm: alii plura adscribunt. (9) Eumque per universam barbarorum regionem publicum luctum indixisse; ad hæc multos ex amicis Alexandri ad levandum dolorem et se et arma Hephæstioni devovisse: ac primum quidem omnium Eumenem illius consilii auctorem fuisse, quem paulo ante simultatem cum Hephæstione gessisse diximus. Is id officii mortuo præstabat, ne Alexander illum lætitiam ex Hephæstionis obitu percepisse suspicaretur. (10) Præter hæc Alexander neminem chiliarcham in Hephæstionis locum, qui equitatui amicorum præesset, suffecit, ne Hephæstionis nomen ex agmine interiret, sed Hephæstionis chiliarchiam vocari vo-

τῆς τάξεως· ἀλλὰ Ἡφαιστίωνός τε ἡ χιλιαρχία ἐκαλεῖτο καὶ τὸ σημεῖον αὐτῆς ἡγεῖτο ἐξ Ἡφαιστίωνος πεποιημένον. Ἀγῶνά τε ἐπενόει ποιῆσαι γυμνικόν τε καὶ μουσικὸν πλήθει τε τῶν ἀγωνιζομένων καὶ τῇ εἰς αὐτὸν χορηγίᾳ πολύ τι τῶν ἄλλων τῶν πρόσθεν ἀριδηλότερον· τρισχιλίους γὰρ ἀγωνιστὰς τοὺς ξύμπαντας παρεσκεύασε. Καὶ οὗτοι ὀλίγον ὕστερον ἐπ' Ἀλεξάνδρου τῷ τάφῳ λέγουσιν ὅτι ἠγωνίσαντο.

ΚΕΦ. ΙΕ'.

Χρόνος τε ἦν συχνὸς τῷ πένθει καὶ αὐτός τε αὐτὸν ἤδη μετεκάλει ἀπ' αὐτοῦ καὶ οἱ ἑταῖροι μᾶλλόν τι ἐν τῷ τοιῷδε ἤνυτον. Ἔνθα δὴ ἐξέλασιν ποιεῖται ἐπὶ Κοσσαίους, ἔθνος πολεμικόν, ὅμορον τῷ Οὐξίων. (2) Εἰσὶ δὲ ὄρειοι οἱ Κοσσαῖοι καὶ χωρία ὀχυρὰ κατὰ κώμας νέμονται, καὶ ὁπότε προσάγοι δύναμις ἐς τὰ ἄκρα τῶν ὀρῶν, ἀποχωροῦντες ἀθρόοι ἢ ὅπως ἂν προχωρῇ ἑκάστοις οὕτω διαφεύγουσιν, ἐς ἀπορίαν βάλλοντες τοὺς ξὺν δυνάμει σφίσιν ἐπιχειροῦντας· ἀπελθόντων δὲ αὖθις εἰς τὸ λῃστεύειν τρεπόμενοι ἀπὸ τούτου τὸν βίον ποιοῦνται. (3) Ἀλέξανδρος δὲ ἐξεῖλεν αὐτῶν τὸ ἔθνος, καίπερ χειμῶνος στρατεύσας. Ἀλλ' οὔτε χειμὼν ἐγένετο ἐμποδὼν αὐτῷ οὔτε αἱ δυσχωρίαι, οὔτε αὐτῷ οὔτε Πτολεμαίῳ τῷ Λάγου, ὃς μέρος τῆς στρατιᾶς ἐπ' αὐτοὺς ἦγεν. Οὕτως οὐδὲν ἄπορον Ἀλεξάνδρῳ τῶν πολεμικῶν ἦν ἐς ὅ τι ὁρμήσειε.

4. Κατιόντι δὲ αὐτῷ εἰς Βαβυλῶνα Λιβύων τε πρεσβεῖαι ἐνετύγχανον ἐπαινούντων τε καὶ στεφανούντων ἐπὶ τῇ βασιλείᾳ τῆς Ἀσίας, καὶ ἐξ Ἰταλίας Βρέττιοί τε καὶ Λευκανοὶ καὶ Τυρρηνοὶ ἐπὶ τοῖς αὐτοῖς ἐπρέσβευον. Καὶ Καρχηδονίους τότε πρεσβεῦσαι λέγεται καὶ ἀπὸ Αἰθιόπων πρέσβεις ἐλθεῖν καὶ Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης, καὶ Κελτοὺς καὶ Ἴβηρας, ὑπὲρ φιλίας δεησομένους· ὧν τά τε ὀνόματα καὶ τὰς σκευὰς τότε πρῶτον ὀφθῆναι πρὸς Ἑλλήνων τε καὶ Μακεδόνων. (5) Τοὺς δὲ καὶ ὑπὲρ τῶν εἰς ἀλλήλους διαφορῶν λέγουσιν ὅτι Ἀλεξάνδρῳ διακρῖναι ἐπέτρεπον· καὶ τότε μάλιστα αὐτόν τε αὐτῷ Ἀλέξανδρον καὶ τοῖς ἀμφ' αὐτὸν φανῆναι γῆς τε ἁπάσης καὶ θαλάσσης κύριον. Ἄριστος δὲ καὶ Ἀσκληπιάδης τῶν τὰ Ἀλεξάνδρου ἀναγραψάντων καὶ Ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν· καὶ ἐντυχόντα ταῖς πρεσβείαις Ἀλέξανδρον ὑπὲρ Ῥωμαίων τι τῆς ἐσομένης ἐς τὸ ἔπειτα δυνάμεως μαντεύσασθαι, τόν τε κόσμον τῶν ἀνδρῶν ἰδόντα καὶ τὸ φιλόπονόν τε καὶ ἐλευθέριον καὶ περὶ τοῦ πολιτεύματος ἅμα διαπυθανόμενον. (6) Καὶ τοῦτο οὔτε ὡς ἀτρεκὲς οὔτε ὡς ἄπιστον πάντη ἀνέγραψα· πλήν γε δὴ οὔτε τις Ῥωμαίων ὑπὲρ τῆς πρεσβείας ταύτης ὡς παρὰ Ἀλέξανδρον σταλείσης μνήμην ἐποιήσατό τινα, οὐδὲ τῶν τὰ Ἀλεξάνδρου γραψάντων οἵστισι μᾶλλον ἐγὼ ξυμφέρομαι, Πτολεμαῖός θ Λάγου καὶ Ἀριστόβουλος· οὐδὲ τῷ Ῥωμαίων πολιτεύματι ἐοικὸς ἦν, ἐλευθέρῳ δὴ τότε

luit: signumque ei præferri in agmine et prælio quod Hephæstion confecerat. Ludos præterea gymnicos et musicos, cum certantium multitudine, tum sumptuum præmiorumque magnitudine longe prioribus omnibus illustriores instituit. Tria namque certantium millia in id præparaverat, quos quidem non multo post ad ipsius tumulum certasse ferunt.

CAP. XV.

Et jam multo tempore luctus continuatus erat, ipseque se a mœrore revocare coeperat, multumque eam ad rem amicorum consolationes juvabant: quum rursum expeditionem in Cossæos gentem bellicosam, Uxiis finitimam, suscipit. (2) Sunt hi montani populi, oppidaque munita inhabitant: ubi se valido aliquo exercitu peti vident in montium cacumina confertim sese recipiunt, aut qua cuique integrum est diffugiunt in loca quæ ab exercitu adiri non possint: deinde discedentibus hostibus rursus ad latrocinia conversi, vitam hoc pacto tuentur. (3) Alexander nihilominus illos, quantumvis hiems esset, sedibus suis ejecit. Cæterum neque bruma, neque difficultas locorum aut ipsi aut Ptolemæo Lagi, qui partem exercitus ducebat, impedimento fuit: adeo nihil ejus virtuti bellicæ inaccessum erat.

4. Dehinc Babyloniam petenti Alexandro Afrorum legati occurrerunt gratulantes, Asiæ coronam illi deferentes. Ex Italia quoque Brutii, Lucani ac Tusci eadem de causa legatos miserunt. Idem et Carthaginienses fecisse dicuntur: ab Æthiopibus quoque venerunt, et a Scythis Europam incolentibus: a Celtis etiam et Iberis, omnes amicitiam petentes: quorum nomina ac cultum tum primum Græci et Macedones cognoverunt. (5) Nonnullos etiam ut controversias quæ inter eos incidissent dirimeret, venisse ferunt. Ac tum maxime Alexandrum sibi ipsi et iis qui cum eo erant universæ terræ ac maris dominum visum esse. Aristus autem et Asclepiades, ex iis qui de Alexandri rebus gestis scripserunt, dicunt Romanos etiam legatos misisse: et Alexandrum, audita eorum legatione, jam tum de futura Romanorum potentia aliquid auguratum esse, quum et illorum modestiam et diligentiam ac generositatem animadvertisset, eorumque mores atque instituta cognovisset. (6) Ceterum hoc, ut neque omnino certum, neque prorsus incredibile, commemoravi: tametsi nullus Romanarum rerum scriptor hujus legationis ad Alexandrum missæ mentionem fecit: neque ex iis qui Alexandri res gestas conscripserunt, quos quidem eo præcipue sequor, Ptolemæus Lagi et Aristobulus. Neque vero Romanæ reipublicæ conveniens videtur, quæ

ἐς τὰ μάλιστα ὄντι, παρὰ βασιλέα ἀλλόφυλον, ἄλλως τε καὶ ἐς τοσόνδε ἀπὸ τῆς οἰκείας πρεσβεῦσαι, οὔτε φόβου ἐξαναγκάζοντος οὔτε κατ' ἐλπίδα ὠφελείας, μίσει τε, εἴπερ τινὰς ἄλλους, τοῦ τυραννικοῦ γένους τε καὶ ὀνόματος κατεχομένους.

ΚΕΦ. ΙϚ'.

Ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαίου ἐκπέμπει ἐς Ὑρκανίαν ναυπηγοὺς ἅμα οἳ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν Ὑρκανίων ναυπηγεῖσθαι ναῦς μακρὰς ἀῤῥάκτους τε καὶ πεφραγμένας ἐς τὸν κόσμον τὸν Ἑλληνικόν. (2) Πόθος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν τὴν Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην ποίᾳ τινὶ ξυμβάλλει θαλάσσῃ, πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ' Ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα ἀναχεῖται εἰς κόλπον τὸν Ὑρκάνιον, καθάπερ οὖν καὶ τὸν Περσικὸν ἐξεῦρε, τὴν Ἐρυθρὰν δὴ καλουμένην θάλασσαν, κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης. (3) Οὐ γάρ πω ἐξεύρηντο αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν περιοικούντων οὐκ ὀλίγων καὶ ποταμῶν πλοίμων ἐμβαλλόντων ἐς αὐτήν· ἐκ Βάκτρων μὲν Ὦξος ποταμός, μέγιστος τῶν Ἀσιανῶν ποταμῶν, πλήν γε δὴ τῶν Ἰνδῶν, ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν, διὰ Σκυθῶν δὲ Ἰαξάρτης· καὶ τὸν Ἀράξην δὲ τὸν ἐξ Ἀρμενίας ῥέοντα ἐς ταύτην ἐσβάλλειν ὁ πλείων λόγος κατέχει. (4) Μέγιστοι μὲν οὗτοι· πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἔς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξιᾶσιν, οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἁμφ' Ἀλέξανδρον ἐπελθόντων τὰ ἔθνη ταῦτα, οἱ δὲ κατὰ τὰ ἐπ' ἐκεῖνα τοῦ κόλπου, ὡς εἰκός, κατὰ τοὺς Σκύθας τοὺς Νομάδας, ὃ δὴ ἄγνωστον πάντη ἐστίν.

5. Ἀλέξανδρος δὲ ὡς τὸν Τίγρητα ποταμὸν ξὺν τῇ στρατιᾷ διέβη ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ Χαλδαίων οἱ λόγιοι, καὶ ἀπαγαγόντες ἀπὸ τῶν ἑταίρων ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν· λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ τοῦ θεοῦ τοῦ Βήλου μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷ τότε. (6) Τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγον τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος, ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε·

Μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.

Σὺ δέ, ὦ βασιλεῦ, ἔφασαν οἱ Χαλδαῖοι, μὴ πρὸς δυσμὰς ἀφορῶν αὐτὸς μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελθεῖν, ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον. (7) Τῷ δὲ οὐδὲ τοῦτο εὐμαρὲς διὰ δυσχωρίαν ξυνέβη· ἀλλὰ ἦγε γὰρ αὐτὸν ταύτῃ τὸ δαιμόνιον ἢ παρελθόντα ἐχρῆν ἤδη τελευτῆσαι. Καί που τυχὸν καὶ ἄμεινον αὐτῷ ἦν ἐν ἀκμῇ τῆς τε ἄλλης δόξης καὶ τοῦ πόθου τοῦ παρ' ἀνθρώπων ἁπηλλάχθαι, πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφορὰν ἀνθρωπίνην, ἧς ἕνεκα καὶ Σόλωνα Κροίσῳ παliberrima tum temporis erat, ad regem exterum, quique alioqui tam procul domo aberat, legatos misisse, præsertim quum neque ulla utilitatis spes eos moveret, quumque, si qui alii, odio tyrannicum et genus et nomen prosequerentur.

CAP. XVI.

Post hæc Alexander Heraclidem Argæi filium cum navium architectis in Hyrcaniam mittit, qui excisa e montibus Hyrcaniæ materia naves oblongas conficiat: partim tectas, partim apertas, Græcarum navium instar. (2) Cupiebat enim etiam illud mare, quod Caspium simul et Hyrcanium appellatur, cui mari committatur cognoscere: utrum ponto Euxino an ab oriente Indicus Oceanus circumductus in sinum Hyrcanium refundatur, quemadmodum etiam Persicum, rubrum mare alii vocant, sinum Oceani esse compererat. (3) Neque enim adhuc inventa erant Caspii maris initia, quamvis multæ gentes circum ipsum incolerent, multique amnes navigabiles in illud mare ferrentur. Nam ex Bactris Oxus maximus Asiæ fluminum, Indicis exceptis, in Caspium mare fluit: per Scythas Iaxartes. Araxem quoque, qui ab Armeniis fluit, in hoc mare ferri plerique tradunt: (4) atque hi quidem maximi amnes sunt; multi vero præterea alii in hos fluvios illabentes et ipsi seorsum in istud mare exeunt: partim ab iis qui cum Alexandro gentes illas obierunt cogniti, partim ultra sinum, ut verisimile est, in Scytharum Nomadum regionibus labentes; quæ quidem prorsus incognita sunt.

5. Alexander quum per Tigrim flumen exercitum trajecisset, Babylonem proficiscens Chaldæos vates obvios habuit, qui eum ab amicis sevocatum rogarunt ut profectione Babylonica supersederet. Oraculo enim sese Beli dei monitos, ingressum in Babylonem nequaquam ei tum temporis faustum ac felicem fore. (6) Ipse Euripidis versum eis objiciebat, qui ita habet:

Qui conjicit bene, augur est is optimus.

Tum illi: Atqui, o rex, ne occidentem versus respicias, neque exercitum hac ducens ingrediare, sed potius circumactum agmen in orientem ducito. (7) Sed ob difficultatem viæ id præstare non potuit: fortuna sive fato eum in viam propellente, cujus transitus ipsi exitio futurus erat. Et fortasse satius ei fuit, in summo felicitatis fastigio summoque hominum desiderio vitam cum morte commutare, priusquam ei calamitas aliqua humano more accideret. Cujus rei causa Solonem Cræso suasisse verisimile est ut longæ vitæ exitum

ρανίσαι εἰκὸς τέλος ὁρᾶν μακροῦ βίου μηδὲ πρόσθεν τινὰ ἀνθρώπων ἀποφαίνειν εὐδαίμονα. (8) Ἐπεὶ καὶ αὐτῷ Ἀλεξάνδρῳ ἡ Ἡφαιστίωνος τελευτὴ οὐ σμικρὰ ξυμφορὰ γεγένητο, ἧς καὶ αὐτὸς Ἀλέξανδρος προαπελθεῖν ἂν ὀχεῖ μοι ἐθελῆσαι μᾶλλον ἢ ζῶν πειραθῆναι, οὐ μεῖον ἢ καὶ Ἀχιλλέα ὀχῶ ἂν ἑλέσθαι προαποθανεῖν Πατρόκλου μᾶλλον ἢ τοῦ θανάτου αὐτοῦ τιμωρὸν γενέσθαι.

ΚΕΦ. ΙΖ'.

Ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς Χαλδαίους, ὡς οὐ κατὰ μαντείαν τι μᾶλλον ἢ ἐς ὠφέλειαν τὴν αὐτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς Ἀλεξάνδρου ἐς Βαβυλῶνα ἐν τῷ τότε ἐλάσεως. Ὁ γὰρ τοῦ Βήλου νεὼς ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλωνίων, μεγέθει τε μέγιστος καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀσφάλτῳ ἡρμοσμένης. (2) Τοῦτον τὸν νεών, ὥσπερ καὶ τὰ ἄλλα ἱερὰ τὰ Βαβυλωνίων, Ξέρξης κατέσκαψεν, ὅτε ἐκ τῆς Ἑλλάδος ὀπίσω ἀπενόστησεν· Ἀλέξανδρος δὲ ἐν νῷ εἶχεν ἀνοικοδομεῖν, οἱ μὲν λέγουσιν ὅτι ἐπὶ τοῖς θεμελίοις τοῖς πρόσθεν, καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκφέρειν ἐκέλευε τοὺς Βαβυλωνίους· οἱ δέ, ὅτι καὶ μείζονα ἔτι τοῦ πάλαι ὄντος. (3) Ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλθακῶς ἀνθήψαντο τοῦ ἔργου οἷς ταῦτα ἐπετέτραπτο, ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι. Εἶναι δὲ τῷ θεῷ τῷ Βήλῳ πολλὴν μὲν τὴν χώραν ἀνειμένην ἐκ τῶν Ἀσσυρίων βασιλέων, πολὺν δὲ χρυσόν. (4) Καὶ ἀπὸ τοῦ πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι καὶ τὰς θυσίας τῷ θεῷ θύεσθαι· τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ νέμεσθαι, οὐκ ὄντος ἐς ὅ τι ἀναλωθήσεται τὰ περιγιγνόμενα. Τούτων δὴ εἵνεκα ὕποπτοι Ἀλεξάνδρῳ ἦσαν οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέξανδρον, ὡς μὴ ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας. (5) Ὅμως δὲ τά γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν εἴσοδον τὴν ἐς τὴν πόλιν ἐθελῆσαι αὐτοῖς πεισθῆναι λέγει Ἀριστόβουλος, καὶ τῇ πρώτῃ μὲν παρὰ τὸν ποταμὸν τὸν Εὐφράτην καταστρατοπεδεῦσαι, ἐς δὲ τὴν ὑστεραίαν ἐν δεξιᾷ ἔχοντα τὸν ποταμὸν παρ' αὐτὸν πορεύεσθαι, ἐθέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ μέρος τὸ ἐς ὀσμὰς τετραμμένον, ὡς ταύτῃ ἐπιστρέψαντα πρὸς ἕω ἄγειν· (6) ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ δυσχωρίας οὕτως ἐλάσαι ξὺν τῇ στρατιᾷ, ὅτι τὰ ἀπὸ ὀσμῶν τῆς πόλεως εἰσιόντι, εἰ ταύτῃ πρὸς ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τεναγώδη ἦν. Καὶ οὕτω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι τῷ θεῷ.

ΚΕΦ. ΙΗ'.

Ἐπεὶ καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν· Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην τῶν ἑταίρων τῶν Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς ἣν παρὰ

spectaret, neque prius quemquam mortalium felicem judicaret. (8) Quandoquidem et Hephæstionis obitus non exigui infortunii loco Alexandro accidisse videtur, quem mea sententia prævenire ipse quam vivus experiri maluisset: non secus atque Achilli jucundius fuisset Patrocli mortem sua ipsius morte antevertisse, quam necis ejus ultor relinqui.

CAP. XVII

Inciderat autem Alexandro suspicio quædam de Chaldæis, quod se non tam oraculi quam privatæ ipsorum utilitatis causa per id tempus ab ingressu Babylonis deterrerent. Nam Beli templum in media Babyloniorum urbe situm erat, magnitudine præclarum, atque ex laterculo coctili, bitumine interlito, coagmentatum. (2) Quod templum, quem admodum et cætera Babyloniorum loca sacra Xerxes subverterat, quum ex Græcia reverteretur. Alexander vero in animo habebat templum instaurare, atque, ut quidam scribunt, e veteribus fundamentis exædificare: eamque ob causam rudera exportare Babylonios jusserat: ut vero alii, augustius quam antea fuerat efficere statuerat. (3) Quumque ipso absente segnius quam vellet operi instarent, ipse cum universo exercitu opus aggredi cogitabat. Erat autem Belo multum agri ab Assyriis regibus consecratum, multum etiam aurum: (4) Et ex eo olim quidem templum reficiebatur et sacrificia deo offerenda comparabantur; tunc vero quum in nullos usus conferrentur annui reditus, Chaldæis id omne quod Belo sacrum erat cedebat. Quamobrem suspicari cœpit Alexander nolle eos ipsum Babylonem ingredi, ne parvo temporis spatio exædificato templo ipsi tantis pecuniarum commodis privarentur. (5) Aristobulus tamen auctor est, Alexandrum Chaldæorum consilio de circumagendo itinere in urbem acquiescere voluisse, ac primo quidem die ad Euphratem fluvium castra posuisse: postridie vero quum flumen ei ad dextram esset, juxta ipsum processisse, cupientem prætergredi eam urbis partem quæ occasum spectabat, ut inde orientem versus se converteret: (6) sed ob difficultatem locorum ita cum exercitu ingredi non potuisse: quod nimirum quum ab occidentali urbis parte in orientalem sese convertere vellet, paludosis limosisque locis impediretur: atque ita partim volentem partim nolentem Beli oraculo non paruisse.

CAP. XVIII.

Porro Aristobulus aliud quippiam hujuscemodi narrat: Apollodorum Amphipolitam, ex amicis Alexandri, prætorem exercitus quem Alexander Mazæo Babyloniorum sa-

Μαζαίῳ τῷ Βαβυλῶνος σατράπῃ ἀπέλιπεν Ἀλέξανδρος, ἐπειδὴ συνέμιξεν ἐπανιόντι αὐτῷ ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας ὅσοι ἐπ' ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόρᾳ τῷ ἀδελφῷ, μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν τῆς ἀπὸ σπλάγχνων μαντείας, μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας. (2) Ἀντεπιστεῖλαι δὲ αὐτῷ Πειθαγόραν πυνθανόμενον τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇ μαντείᾳ. Τὸν δὲ γράψαι αὖθις ὅτι τόν τε βασιλέα αὐτὸν καὶ Ἡφαιστίωνα. Θύεσθαι δὴ τὸν Πειθαγόραν πρῶτα μὲν ἐπὶ τῷ Ἡφαιστίωνι· ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον πέμψαι παρὰ τὸν Ἀπολλόδωρον ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα, δηλοῦντα μηδέν τι δεδιέναι Ἡφαιστίωνα· ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρόνου ἐκποδών. (3) Καὶ ταύτην τὴν ἐπιστολὴν λέγει Ἀριστόβουλος κομίσασθαι Ἀπολλόδωρον μιᾷ πρόσθεν ἡμέρᾳ ἢ τελευτῆσαι Ἡφαιστίωνα. Αὖθις δὲ θύεσθαι τὸν Πειθαγόραν ἐπὶ τῷ Ἀλεξάνδρῳ καὶ γενέσθαι καὶ ἐπ' Ἀλεξάνδρῳ ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου. Καὶ Πειθαγόραν τὰ αὐτὰ καὶ ὑπὲρ Ἀλεξάνδρου γράψαι Ἀπολλοδώρῳ. Ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ φράσαι γὰρ πρὸς Ἀλέξανδρον τὰ ἐπεσταλμένα, ὡς εὔνοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῷ βασιλεῖ, εἰ φυλάττεσθαι παραινέσειε μή τις αὐτῷ κίνδυνος ἐν τῷ τότε ξυμπέσοι. (4) Καὶ Ἀπολλόδωρόν τε λέγει ὅτι Ἀλέξανδρος ἐπῄνεσε καὶ τὸν Πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς Βαβυλῶνα, ἤρετο ὅτου γενομένου αὐτῷ σημείου ταῦτα ἐπέστειλε πρὸς τὸν ἀδελφόν· τὸν δὲ εἰπεῖν ὅτι ἄλοβόν οἱ τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου· ἐρομένου δὲ ὅ τι νοοῖ τὸ σημεῖον μέγα εἰπεῖν εἶναι χαλεπόν. Ἀλέξανδρον δὲ τοσούτου δεῆσαι χαλεπῆναι τῷ Πειθαγόρᾳ, ὡς καὶ δι' ἐπιμελείας ἔχειν αὐτὸν πλείονος, ὅτι ἀδόλως τὴν ἀλήθειάν οἱ ἔφρασε. (5) Ταῦτα αὐτὸς Ἀριστόβουλος λέγει παρὰ Πειθαγόρου πυθέσθαι· καὶ Περδίκκᾳ δὲ μαντεύσασθαι αὐτὸν λέγει καὶ Ἀντιγόνῳ χρόνῳ ὕστερον· καὶ τοῦ αὐτοῦ σημείου ἀμφοῖν γενομένου Περδίκκαν τε ἐπὶ Πτολεμαῖον στρατεύσαντα ἀποθανεῖν καὶ Ἀντίγονον ἐν τῇ μάχῃ τῇ πρὸς Σέλευκον καὶ Λυσίμαχον τῇ ἐν Ἰψῷ γενομένῃ. (6) Καὶ μὲν δὴ καὶ ὑπὲρ Καλάνου τοῦ σοφιστοῦ τοῦ Ἰνδοῦ τοιόσδε τις ἀναγέγραπται λόγος, ὁπότε ἐπὶ τὴν πυρὰν ἴοι ἀποθανούμενος, τότε τοὺς μὲν ἄλλους ἑταίρους ἀσπάζεσθαι αὐτόν, Ἀλεξάνδρῳ δὲ οὐκ ἐθελῆσαι προσελθεῖν ἀσπασόμενον, ἀλλὰ φάναι γὰρ ὅτι ἐν Βαβυλῶνι αὐτῷ ἐντυχὼν ἀσπάσεται. Καὶ τοῦτον τὸν λόγον ἐν μὲν τῷ τότε ἀμεληθῆναι· ὕστερον δέ, ἐπειδὴ ἐτελεύτησεν ἐν Βαβυλῶνι Ἀλέξανδρος, ἐς μνήμην ἐλθεῖν τῶν ἀκουσάντων, ὅτι ἐπὶ τῇ τελευτῇ ἄρα τῇ Ἀλεξάνδρου ἐθειάσθη.

trapæ reliquerat, quum ad Alexandrum ex Indis reversum convenisset, vidisseque eum in satrapas qui aliis atque aliis provinciis præfuerant, severius animadvertentem, Pithagoræ fratri suo scripsisse (vatem enim fuisse Pithagoram ex eorum genere qui exta consulunt) et de salute sua eum consuluisse : (2) Pithagoram ejus literis respondisse, rogasseque cujus potissimum metu vaticinio uti vellet : qui quum respondisset, se ab Alexandro et Hephæstione sibi metuere, Pithagoram primum pro Hephæstione exta inspexisse. Quumque jecinori fibræ deessent, literas rursum scripsisse, easque obsignatas ad Apollodorum ex Babylone in Ecbatana misisse, quibus monebat ne quicquam ab Hephæstione metueret. Propediem enim e vivis sublatum iri. (3) Quam quidem epistolam ait Aristobulus Apollodorum accepisse pridie quam Hephæstio exiret e vita. Tum Pithagoram quum rursus pro Alexandro exta consuluisset, fibrasque etiam pro Alexandro jecinori deesse reperisset, idem fratri suo de Alexandro scripsisse. Apollodorum vero id non subticuisse, sed Alexandro quæ acceperat indicasse, ut benevolo erga regem animo esse videretur, monens ut imminens periculum caveret. (4) Atque Alexandrum quidem Apollodorum collaudasse narrat : quumque Babylonem venisset, percontatum esse Pithagoram quo signo edoctus fratri suo talia de se scripsisset : qui quum respondisset, quod hostiæ jecinora absque fibris inventa essent, Alexandrum rursus interrogasse quid hoc portenderet : et Pithagoram, magnum malum portendi dixisse. Alexandrum vero tantum abfuisse ut Pithagoræ succensuerit, ut eum deinceps cariorem habuerit, quod citra dolum simpliciter ei rem ipsam dixisset. (5) Hæc Aristobulus se a Pithagora audisse testatur : ac postea Perdiccæ atque Antigono eundem vaticinatum esse. Eodemque utrique prodigio edito Perdiccam adversus Ptolemæum bellantem mortuum esse : Antigonum vero in pugna adversus Seleucum et Lysimachum ad Ipsum commissa. (6) Atqui de Calano sophista Indo etiam hujuscemodi quippiam scriptum est : Quum moriturus ad rogum iret, reliquos quidem amicos osculatum fuisse : ad Alexandrum vero deosculandi illum causa accedere noluisse, sed dixisse Babylone se illum reperturum ibique osculum daturum esse. Quæ quidem verba tum temporis neglecta parumque animadversa fuisse : postea vero mortuo Babylone Alexandro memoria repetita Alexandri mortem vaticinatum fuisse compererunt.

ΚΕΦ. ΙΘ'.

Παρελθόντι δ' αὐτῷ ἐς Βαβυλῶνα πρεσβεῖαι παρὰ τῶν Ἑλλήνων ἐνέτυχον, ὑπὲρ ὅτων μὲν ἕκαστοι πρεσβευόμενοι οὐκ ἀναγέγραπται· δοκεῖν δ' ἔμοιγε αἱ πολλαὶ στεφανούντων τε αὐτὸν ἦσαν καὶ ἐπαινούντων ἐπὶ ταῖς νίκαις ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς Ἰνδικαῖς, καὶ ὅτι σῶος ἐξ Ἰνδῶν ἐπανήκει χαίρειν φασκόντων. Καὶ τούτους δεξιωσάμενός τε καὶ τὰ εἰκότα τιμήσας ἀποπέμψαι ὀπίσω λέγεται. (2) Ὅσους δὲ ἀνδριάντας ἢ ὅσα ἀγάλματα ἢ εἰ δή τι ἄλλο ἀνάθημα ἐκ τῆς Ἑλλάδος Ξέρξης ἀνεκόμισεν ἐς Βαβυλῶνα ἢ ἐς Πασαργάδας ἢ ἐς Σοῦσα ἢ ὅπη ἄλλῃ τῆς Ἀσίας, ταῦτα δοῦναι ἄγειν τοῖς πρέσβεσι, καὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τὰς χαλκᾶς οὕτω λέγεται ἀπενεχθῆναι ὀπίσω ἐς Ἀθήνας καὶ τῆς Ἀρτέμιδος τῆς Κελκαίας τὸ ἕδος.

3. Κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος, καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς Περσικῆς, ὃ τιπερ σὺν Νεάρχῳ ἦν· τὸ δὲ ἐκ Φοινίκης ἀνακεκομισμένον, πεντήρεις μὲν δύο τῶν ἐκ Φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα· ταύτας ξυντμηθείσας κομισθῆναι ἐπὶ τὸν Εὐφράτην ποταμὸν ἐκ Φοινίκης ἐς Θάψακον πόλιν, ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις καταπλεῦσαι ἐς Βαβυλῶνα. (4) Λέγει δὲ ὅτι καὶ ἄλλος αὐτῷ ἐναυπηγεῖτο στόλος τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῇ Βαβυλωνίᾳ· τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων, τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν ἀπόρως ἔχειν τὴν γῆν ταύτην· πληρώματα δὲ ἐς τὰς ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας πορφυρέων τε πλῆθος καὶ τῶν ἄλλων ὅσοι ἐργάται τῆς θαλάσσης ἀφῖχθαι αὐτῷ ἐκ Φοινίκης τε καὶ τῆς ἄλλης παραλίας· λιμένα τε ὅτι πρὸς Βαβυλῶνι ἐποίει ὀρυκτὸν ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος. (5) Καὶ Μίκκαλος ὁ Κλαζομένιος μετὰ πεντακοσίων ταλάντων ἐπὶ Φοινίκης τε καὶ Συρίας ἐστέλλετο, τοὺς μὲν μισθῷ πείσων, τοὺς δὲ καὶ ὠνησόμενος ὅσοι θαλάττιοι ἄνθρωποι. Τήν τε γὰρ παραλίαν τὴν πρὸς τῷ κόλπῳ τῷ Περσικῷ κατοικίζειν ἐπενόει καὶ τὰς νήσους τὰς ταύτῃ. Ἐδόκει γὰρ αὐτῷ οὐ μεῖον ἂν Φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι. (6) Ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, πρόφασιν μέν, ὅτι μόνοι τῶν ταύτῃ βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇ ἐπέπρακτο Ἄραψιν ἐς αὐτόν· τὸ δὲ ἀληθές, ὡς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ Ἀλέξανδρος.

CAP. XIX.

Alexandro Babylonem ingresso legationes Græcorum obviam venerunt. Quibus vero de rebus singulæ missæ fuerint non constat. Mea vero sententia, pleræque eo spectabant ut eum coronarent, utque eum ob alias victorias, tum ob Indicas ei congratularentur, lætitiamque publicam ob felicem ex Indis reditum testarentur. Quos quidem humaniter exceptos debitisque honoribus ornatos domum remisisse dicitur. (2) Quotquot autem clarorum virorum statuas aut deorum simulacra aut aliud quidvis deis consecratum Xerxes Babylonem vel Pasargadas vel Susas aut in quamvis aliam Asiæ partem ex Græcia deportaverat, ea legatis reportanda dedit. Atque ita Harmodii et Aristogitonis æneas statuas Athenas remisisse dicitur, simulque Dianæ Celcææ simulacrum.

3. Recepit autem apud Babylonios, ut Aristobulus ait, classem navalem, quæ partim per Euphratem fluvium e Persico mari subvecta erat, Nearcho duce, partim ex Phœnicia appulerat; Phœnicum quidem quinqueremes duas, quadriremes tres, triremes XII, triginta remorum naves XXX. Hæ in partes dissectæ ex Phœnicia ad Euphratem in Thapsacum urbem vectæ sunt, ibique rursus compaginatæ Babylonem navigarunt. (4) Dicit idem Alexandrum aliam quoque classem construxisse cæsis in Babylonia cupressis. Harum enim arborum tantummodo in Assyria copiam esse, reliquarum quæ conficiendis navibus aptæ sint inopia laborare. Supplementa etiam in naves aliaque ministeria, et purpuras piscantium aliorumque marinorum operariorum multitudinem ex Phœnicia atque universa maritima ora ad eum venisse. Portum præterea apud Babylonios effodi curavit, qui mille naves oblongas caperet: navalia etiam portui adjunxit. (5) Misitque Miccalum Clazomenium cum quingentis talentis in Phœniciam et Syriam, qui quoscunque maritimos posset mercede conduceret, alios vero etiam emeret. Siquidem in maritimam Persici sinus oram ejusque insulas colonias deducere statuerat. Æque enim opulenta sibi ea regio atque Phœnicia fore videbatur. (6) Classem vero in Arabas populosam gentem parabat, ea de causa quod soli ex barbaris illius regionis neque legationes ad eum misissent, neque quidquam officii aut honoris sibi detulissent: sed revera, ut mihi quidem videtur, quod nulla eum conquirendi ditiones satietas capiebat.

ΚΕΦ. Κ'.

Λόγος δὲ κατέχει ὅτι ἤκουεν Ἄραβας δύο μόνον τιμᾶν θεούς, τὸν Οὐρανόν τε καὶ τὸν Διόνυσον, τὸν μὲν Οὐρανόν τε αὐτὸν ὁρώμενον καὶ τὰ ἄστρα ἐν οἷ

CAP. XX.

Fama autem tenuit, id causæ fuisse quod audisset Arabas duos tantum deos colere, Cœlum scilicet et Bacchum. Cœlum quidem, quod et ipsum conspiceretur et in

ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον, ἀφ' ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπινα· Διόνυσον δὲ κατὰ δόξαν τῆς ἐς Ἰνδοὺς στρατιᾶς. Οὔκουν ἀπαξιοῦν καὶ αὐτὸν τρίτον ἂν νομισθῆναι πρὸς Ἀράβων θεόν, οὐ φαυλότερα ἔργα Διονύσου ἀποδειξάμενον, εἴπερ οὖν καὶ Ἀράβων κρατήσας, ἐπιτρέψειεν αὐτοῖς, καθάπερ Ἰνδοῖς, πολιτεύειν κατὰ τὰ σφῶν νόμιμα. (2) Τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτόν, ὅτι ἤκουεν ἐκ μὲν τῶν λιμνῶν τὴν κασίαν γίγνεσθαι αὐτοῖς, ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρναν τε καὶ τὸν λιβανωτόν, ἐκ δὲ τῶν θαμνίσκων τὸ κινάμωμον τέμνεσθαι, οἱ λειμῶνες δὲ ὅτι νάρδον αὐτόματοι ἐκφέρουσι· τό τε μέγεθος τῆς χώρας, ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς Ἀραβίας ἥπερ ἡ τῆς Ἰνδικῆς αὐτῷ ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι πολλαί, καὶ λιμένες πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἷοι παρασχεῖν μὲν ὅρμους τῷ ναυτικῷ, παρασχεῖν δὲ καὶ πόλεις ἐνοικισθῆναι καὶ ταύτας γενέσθαι εὐδαίμονας.

3. Δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ Εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῷ, ἡ μὲν πρώτη οὐ πρόσω τῶν ἐκβολῶν τοῦ Εὐφράτου, ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα δὲ αὕτη καὶ δασεῖα ὕλῃ παντοίᾳ· εἶναι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος, καὶ τοὺς οἰκήτορας αὐτοὺς ἀμφὶ τὸ ἱερὸν τὰ τῆς θηραίτης ποιεῖσθαι· (4) νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ ταύτας ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι, οὐδὲ εἶναι θέμις θήραν ποιεῖσθαι ἀπ' αὐτῶν ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλοντα· ἐπὶ τῷδε θηρᾶν μόνον· ἐπὶ τῷδε γὰρ οὐκ εἶναι ἀθέμιτον. Καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος ἐπὶ τῆς νήσου τῆς Ἰκάρου τῆς ἐν τῷ Αἰγαίῳ πόντῳ, (5) ἐς ἥντινα Ἴκαρον τὸν Δαιδάλου ταχέντος τοῦ κηροῦ ὅτῳ προσήρτητο τὰ πτερὰ πεσεῖν ὁ λόγος κατέχει, ὅτι οὐ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ μετέωρος γὰρ ὑπὸ ἀνοίας πετόμενος παρέσχε τῷ ἡλίῳ θάλψαι τε καὶ ἀνεῖναι τὸν κηρόν, καὶ ἀπὸ ἑαυτοῦ τὸν Ἴκαρον τῇ τε νήσῳ καὶ τῷ πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν τὴν μὲν Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον. (6) Ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ' οὖρον θεούσῃ νηΐ· Τύλος δὲ αὐτῇ εἶναι ὄνομα· μεγάλη δὲ εἶναι καὶ οὔτε τραχεῖα ἡ πολλὴ οὔτε ὑλώδης, ἀλλ' οἷα καρπούς τε ἡμέρους ἐκφέρειν καὶ πάντα ὡραῖα.

7. Ταυτὶ ἀπηγγέλθη Ἀλεξάνδρῳ τὰ μὲν πρὸς Ἀρχίου, ὃς ξὺν τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκοπῇ τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς Ἄραβας μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθεν, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησεν· Ἀνδροσθένης δὲ ξὺν ἄλλῃ τριακοντόρῳ σταλεὶς καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσε· μακροτάτω δὲ τῶν ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν καὶ οὗτος παρ' Ἀλεξάνδρου τριακόντορον. (8) Ἦν μὲν γὰρ αὐτῷ προστεταγμένον περιπλεῦσαι τὴν χερρόνησον τὴν Ἀρά-

se contineret sidera tum alia tum solem, a quo quamplurima manifestissimaque ad omnes humanos usus commoda manarent : Bacchum vero ob famam ducti in Indos exercitus. Quapropter non indignum censebat se, qui pro tertio deo apud Arabes haberetur (quippe qui rebus gestis Baccho nequaquam inferior esset), siquidem devictis Arabibus suis legibus vivendi potestatem, ut Indis, faceret. (2) Invitabat eum præterea opulentia regionis, quum audisset casiam palustribus locis apud eos nasci, ex arboribus myrrham et thura legi : ex fruticibus cinamomum rescindi : prata sua sponte nardum gignere. Quodque ad magnitudinem regionis attinet, Arabiam maritimam India minorem non esse acceperat, multasque ei insulas adjacere : frequentes præterea portus esse, qui et stationes receptui classis idoneas præbeant et urbes ad habitandum commodas opulentasque.

3. Duæ vero insulæ in mari sitæ ad Euphratis ostia nuntiabantur : quarum altera non procul inde ubi Euphrates in mare exit, CXX stadiis a littore fluviique faucibus distabat. Atque hanc quidem minorem et sylvis densam esse, ac Dianæ templum habere : atque ipsos indigenas templi ministeriis fungi : (4) et capras feras et cervos eam pascere, eaque animalia Dianæ sacra relinqui, neque fas esse ea capere, nisi ad sacrificium deæ faciendum. In hunc enim usum occidi nefas non esse. Hanc insulam ait Aristobulus Icarum ab Alexandro vocari jussam, ab insula Icaro in Ægæo mari sita, (5) in quam Icarum, Dædali filium, liquata cera qua alas sibi affixerat procidisse aiunt, quod non, prout pater ei imperarat, vicinus terræ volasset, sed stolide sublimem aeris regionem petens, liquata a solis radiis cera, nomen insulæ et mari a suo nomine dedisset; illam enim Icarum, mare vero Icarium dictum fuisse. (6) Altera insula ab Euphratis ostio unius diei ac noctis navigatione distare dicitur, secundo vento puppim afflante. Tylus insulæ nomen est. Quæ et magna, neque omnino aspera silvosaque est, sed mitibus maturisque fructibus gignendis idonea.

7. Hæc per Archiam Alexandro nuntiata sunt : qui cum nave triginta remorum ad explorandam navigationem in Arabiam emissus ad Tylum insulam usque pervenit : ulterius procedere non ausus. Androsthenes vero cum alia nave XXX remorum missus, etiam aliquam chersonesi Arabum partem præterlegit. Omnium autem qui emissi sunt longissime processit Hieron Solensis, gubernator, (8) cui data nave XXX remorum mandarat Alexander ut universam Arabiæ chersonesum circumnavigaret, donec ad Arabicum

θων πᾶσαν ἔστε ἐπὶ τὸν κόλπον τὸν πρὸς Αἰγύπτῳ τὸν Ἀράβιον τὸν καθ' Ἡρώων πόλιν· οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω ἐλθεῖν, καίτοι ἐπὶ τὸ πολὺ παραπλεύσας τὴν Ἀράβων γῆν· ἀλλ' ἀναστρέψας γὰρ παρ' Ἀλέξανδρον ἐξήγγειλε τὸ μέγεθός τε τῆς χερρονήσου θαυμαστόν τι εἶναι καὶ ὅσον οὐ πολὺ ἀποδέον τῆς Ἰνδῶν γῆς, ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης· (9) ἦν δὴ καὶ τοὺς ξὺν Νεάρχῳ ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν Περσικόν, οὐ πόρρω ἀνατείνουσαν ἰδεῖν τε καὶ παρ' ὀλίγον ἑλθεῖν διαβαλεῖν ἐς αὐτήν, καὶ Ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ δοκοῦν· ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι ἀπαγγεῖλαι Ἀλεξάνδρῳ ἐφ' οἵστισι πρὸς αὐτοῦ ἐστάλη· (10) οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ' ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ θαλάσσῃ καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇ καὶ ὕδατα καὶ τὰ νόμαια τῶν ἀνδρῶν καὶ εἴ τις ἀγαθὴ καρποὺς ἐκφέρειν ἢ εἴ τις κακή· καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι Ἀλεξάνδρου τὸν στρατόν· οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας ὑπὲρ τῆς Ἀραβίας τὰ ἔρημα, ἐφ' ὅτῳ ὁ Ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται.

sinum Ægypto vicinum ad urbem Heroum pervenisset. Sed neque is ulterius progredi ausus est, quum alioqui multam fere Arabum regionem præternavigasset. Nam ad Alexandrum reversus, ingentem chersonesi magnitudinem esse nuntiavit, neque India multo minorem : ejusque promontorium esse longe in Oceanum porrectum. (9) Quod et ii qui cum Nearcho ex India navigabant, priusquam in sinum Persicum flecterent, non procul abs se remotum viderant : parumque abfuerat quin eo appellerent. Ita enim Onesicrito gubernatori visum fuerat. At Nearchus scribit se id prohibuisse, ut enavigato per circuitum sinu Persico, ea quorum gratia ab Alexandro missus erat renuntiare posset. (10) Neque enim ad navigandum Oceanum missum esse, sed ut regionem mari adjacentem cognosceret, et qui homines ea loca inhabitarent, quique in ea portus et aquæ essent, utque incolarum mores atque instituta exploraret : et quæ terra bonos, quæ malos fructus gignat. Quam quidem rem exercitui saluti fuisse asserit. Neque enim incolumes fuisse reversuros, si ultra desertam Arabiæ oram navigassent. Qua de causa Hieron quoque retro cursum flexisse fertur.

ΚΕΦ. ΚΑ'.

Ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λιμὴν δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος κατὰ τὸν Εὐφράτην ὡς ἐπὶ τὸν Παλλακόπαν [καλούμενον] ποταμόν. Ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον ὀκτακοσίους, καὶ ἔστι διώρυξ αὕτη ὁ Παλλακόπας ἐκ τοῦ Εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός. (2) Ὁ γὰρ Εὐφράτης ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων ὀρῶν χειμῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας, οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος· ἦρος δὲ ὑποφαίνοντος καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπὰς ἄστινας τοῦ θέρους ὁ ἥλιος ἐπιστρέφει μέγας τε ἐπέρχεται καὶ ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Ἀσσυρίαν. (3) Τηνικαῦτα γὰρ αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς Ἀρμενίοις κατατηκόμεναι αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα, ὅτι δὲ ἐπιπολῆς ἐστιν αὐτῷ καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει ἐς τὴν χώραν, εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Παλλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε καὶ τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος ἔστε ἐπὶ τὴν ξυνεχῆ τῇ τῶν Ἀράβων γῇ καὶ ἔνθεν μὲν ἐς τέναγος ἐπὶ πολύ, ἐκ δὲ τοῦ ἐς θάλασσαν κατὰ πολλά τε καὶ ἀφανῆ στόματα ἐκδιδοῦσι. (4) Τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν ὀλίγος τε ὁ Εὐφράτης ῥέει καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐτοῦ κατὰ τὸν Παλλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας. Εἰ δή τις μὴ ἀποφράξειε τὸν Παλλακόπαν αὖθις, ὡς κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ τὸν πόρον, ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὑτόν, ὡς μηδ' ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν. (5) Ἀλλ' ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν Παλλα-

CAP. XXI.

Interea vero dum triremes parantur portusque apud Babylonem effoditur, Alexander ad Pallacopam amnem per Euphratem devectus est. Distat is a Babylone stadiis ferme DCCC. Est vero canalis hic Pallacopas ex Euphrate fossus, nec vero ex fonte oriens fluvius. (2) Euphrates enim ex montibus Armeniis oriens hiberno tempore intra ripas labitur, utpote non multum aquæ trahens : ineunte autem vere, multoque magis sub solstitium æstivum grandis exit, ripisque superatis Assyriorum campos inundat. (3) Tunc enim nives in Armeniis montibus liquatæ aquas ejus mirum in modum augent. Atque ita in magnam altitudinem elatus circumjectam regionem obruat, nisi quis nonnihil diducens per Pallacopam in paludes ac stagna eum exoneret. Quæ quidem paludes ab hoc alveo initio facto usque ad regionem Arabiæ proximam et inde quidem longe per vadosa loca ac tandem per multos et occultos meatus in mare feruntur. (4) Resolutis vero nivibus, præcipue circa Vergiliarum occasum, Euphrates minor labitur : at nihilominus magna ejus pars per Pallacopam in lacus derivatur. Nisi vero quis rursus Pallacopæ alveum obstruat, ita ut juxta ripas repulsa manet aqua per alveum, Euphratem sane in eum evacuet, adeo ut Assyriorum campi ab eo irrigari nequeant. (5) Quapropter Babyloniorum satrapa magno labore Euphratis in Palla-

χόπαν τοῦ Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας πολλῷ πόνῳ, καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι, ὅτι ἰλυώδης τε ἡ ταύτῃ γῆ καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἷα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ μὴ εὐμαρῆ τὴν ἀποστροφὴν αὐτοῦ παρέχειν· ἀλλὰ καὶ ἐς τρίτον μῆνα Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῷδε τῷ πόνῳ ξυνείχοντο.

6. Ταῦτα ἀπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον ὠφελῆσαί τι τὴν χώραν τῶν Ἀσσυρίων. Ἔνθεν μὲν δὴ ἐς τὸν Παλλακόπαν ἐτρέπετο τοῦ Εὐφράτου ὁ ῥοῦς, ταύτῃ δὲ ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν· προελθόντι δὲ ὅσον σταδίους τριάκοντα ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἷα διακοπεῖσα, εἰ ξυναφὴς γένοιτο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν Παλλακόπαν, οὐτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ μὴ χαλεπῶς γίγνεσθαι. (7) Τούτων ἕνεκα ἐπί τε τὸν Παλλακόπαν ἔπλευσε καὶ κατ' αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας ὡς ἐπὶ τὴν Ἀράβων γῆν. Ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδὼν πόλιν ἐξῳκοδόμησέ τε καὶ ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν Ἑλλήνων τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἑκόντες καὶ ὅσοι ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν.

ΚΕΦ. ΚΒ'.

Αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων τὴν μαντείαν, ὅτι οὐδὲν πεπονθὼς εἴη ἐν Βαβυλῶνι ἄχαρι, καθάπερ ἐκεῖνοι ἐμαντεύσαντο, ἀλλ' ἔφθη γὰρ ἐλάσας ἔξω Βαβυλῶνος πρίν τι παθεῖν, ἀνέπλει αὖθις κατὰ τὰ ἕλη θαῤῥῶν, ἐν ἀριστερᾷ ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ καὶ ἐπλανήθη αὐτῷ μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίᾳ ἡγεμόνος, πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον. (2) Λόγος δὲ λέγεται τοιόσδε. Τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι δεδομημένους. Ὡς δὲ ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη, κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν τριήρη, πνεύματος μεγάλου ἐμπεσόντος αὐτῷ ἐς τὴν καυσίαν καὶ τὸ διάδημα αὐτῇ συνεχόμενον, τὴν μὲν δὴ οἷα βαρυτέραν πεσεῖν ἐς τὸ ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν πρὸς τῆς πνοῆς σχεθῆναι ἐν καλάμῳ· τὸν κάλαμον δὲ τῶν ἐπιπεφυκότων εἶναι τάφῳ τινὶ τῶν πάλαι βασιλέων. (3) Τοῦτό τε οὖν αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι καὶ ὅτι τῶν τις ναυτῶν ἐκνηξάμενος ὡς ἐπὶ τὸ διάδημα ἀφελὼν τοῦ καλάμου αὐτὸ μετὰ χεῖρας μὲν οὐκ ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο, περιθεὶς δὲ τῇ κεφαλῇ τῇ αὐτοῦ οὕτω διήνεγκε. (4) Καὶ οἱ μὲν πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξάνδρου λέγουσιν ὅτι τάλαντον μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος τῆς προθυμίας εἵνεκα, ἀποτεμεῖν δὲ [ὅτι] ἐκέλευσε τὴν κεφαλήν, τῶν μάντεων ταύτῃ ἐξηγησαμένων, μὴ περιιδεῖν σώαν ἐκείνην τὴν κεφαλὴν ἥτις τὸ διάδημα ἐφόρησε τὸ βα-

copam exitus obstruit (quamvis non magna cum difficultate aperiantur), quod limosa iis in partibus terra et pleraque sit cœnum, quippe quæ quum fluminis aqua perluatur, minime facilem aquæ retorsionem admittat: adeo ut ultra decem millia Assyriorum tres integros menses in hoc opere consumpserint.

6. Quæ Alexandro enarrata incitarunt eum ut aliquid in utilitatem Assyriæ meditaretur. Itaque qua in Pallacopam Euphratis fluxus derivatur, ejus exitum firmius obstruere instituit. Quumque ad stadia triginta progressus esset, petrosam terram reperit, quæ discissa si committeretur veteri fossæ Pallacopæ, non concessura esset diffundi aquam propter firmitatem soli, atque aversionem ejus certo tempore non difficulter fieri. (7) Idcirco Alexander per Pallacopam vectus, navigando per lacus descendit in Arabum regionem: ibi commodum quendam locum contemplatus, urbem ædificavit mœnibusque cinxit, et coloniam eo deduxit ex Græcis mercenariis voluntariis et qui aut senectute aut casu aliquo inepti bello facti erant.

CAP. XXII.

Ipse, quasi refutato sibi Chaldæorum oraculo, quod nihil adversi, quemadmodum vaticinati erant, evenisset; jam enim Babylone excesserat nullo infortunio accepto: fiducia plenus rursum per paludes navigat, Babylonem a sinistra habens. Quumque in iis angustiis pars classis inopia ducis erraret, misso duce qui viam monstraret, in alveum eos reduxit. (2) Hujuscemodi vero quiddam narrant: Multa esse Assyriorum regum sepulcra in iis paludibus ac stagnis exstructa. Quumque Alexander navigando pergeret (ipsum enim suæ triremis gubernatorem fuisse aiunt) obortum ingentem ventum causiam et diadema ei alligatum abripuisse, atque illud quidem utpote gravius, in aquam procidisse: istud vero vento abreptum arundini ad monimentum quoddam veterum regum natæ adhæsisse. (3) Idque et ipsum futuri casus prodigium habitum, et nautam quendam enatasse, qui diadema ab arundine avelleret, idque receptum non manu gestasse, ne natans madefaceret, sed capiti impositum attulisse. (4) Atqui plerique eorum qui res Alexandri scripserunt eum diligentiæ suæ causa talento donatum ab Alexandro: deinde capite plecti jussum aiunt: vatibus monentibus, ne caput illud quod diadema regium gestasset, salvum relinqui

σίλειον· Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβε λέγει αὐτόν, ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήματος. (5) Ἀριστόβουλος μὲν δὴ τῶν τινα Φοινίκων τῶν ναυτῶν λέγει ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν· εἰσὶ δὲ οἳ Σέλευκον λέγουσι. Καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ σημῆναι τὴν τελευτὴν καὶ τῷ Σελεύκῳ τὴν βασιλείαν τὴν μεγάλην. Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον διαδεξαμένων τὴν ἀρχὴν βασιλέα γενέσθαι τήν τε γνώμην βασιλικώτατον καὶ πλείστης γῆς ἐπάρξαι μετά γε αὐτὸν Ἀλέξανδρον οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.

ΚΕΦ. ΚΓ'.

Ἐπανελθὼν δὲ ἐς Βαβυλῶνα καταλαμβάνει Πευκέσταν ἥκοντα ἐκ Περσῶν, ἄγοντα στρατιὰν Περσῶν ἐς δισμυρίους· ἦγε δὲ καὶ Κοσσαίων καὶ Ταπούρων οὐκ ὀλίγους, ὅτι καὶ ταῦτα ἔθνη τῶν προσχώρων τῇ Περσίδι μαχιμώτατα εἶναι ἐξηγγέλλετο. Ἦκε δὲ αὐτῷ καὶ Φιλόξενος στρατιὰν ἄγων ἀπὸ Καρίας καὶ Μένανδρος ἐκ Λυδίας ἄλλους καὶ Μενίδας τοὺς ἱππέας ἄγων τοὺς αὐτῷ ξυνταχθέντας. (2) Καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ τῆς Ἑλλάδος ἦκον, καὶ τούτων οἱ πρέσβεις αὐτοί τε ἐστεφανωμένοι Ἀλεξάνδρῳ προσῆλθον καὶ ἐστεφάνουν αὐτὸν στεφάνοις χρυσοῖς, ὡς θεωροὶ ὄντες ἐς τιμὴν θεοῦ ἀφιγμένοι. Τῷ δὲ οὐ πόρρω ἄρα ἡ τελευτὴ ἦν.

3. Ἔνθα δὴ τούς τε Πέρσας ἐπαινέσας τῆς προθυμίας, ὅτι πάντα Πευκέστᾳ ἐπείθοντο, καὶ αὐτὸν Πευκέσταν τῆς ἐν κόσμῳ αὐτῶν ἐξηγήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς Μακεδονικὰς τάξεις, δεκαδάρχην μὲν τῆς δεκάδος ἡγεῖσθαι Μακεδόνα καὶ ἐπὶ τούτῳ διμοιρίτην Μακεδόνα καὶ δεκαστάτηρον, οὕτως ὀνομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς, ἥντινα μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν· (4) ἐπὶ τούτοις δὲ δώδεκα Πέρσας καὶ τελευταῖον τῆς δεκάδος Μακεδόνα, δεκαστάτηρον καὶ τοῦτον· ὥστε ἐν τῇ δεκάδι τέσσαρας μὲν εἶναι Μακεδόνας, τοὺς μὲν τρεῖς τῇ μισθοφορᾷ προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκάδος, δώδεκα δὲ Πέρσας, τοὺς μὲν Μακεδόνας τὴν πάτριον ὅπλισιν ὡπλισμένους, τοὺς δὲ Πέρσας τοὺς μὲν τοξότας, τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας.

5. Ἐν τούτῳ δὲ πολλάκις μὲν τοῦ ναυτικοῦ ἀπεπειρᾶτο, πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν τριηρῶν καὶ ὅσαι τετρήρεις κατὰ τὸν ποταμὸν ἐγίγνοντο, καὶ ἀγῶνες τῶν τε ἐρετῶν καὶ τῶν κυβερνητῶν καὶ στέφανοι τῶν νικώντων.

6. Ἦκον δὲ καὶ παρὰ Ἄμμωνος οἱ θεωροὶ οὕστινας ἐσταλκει ἐρησομένους ὅπως θέμις αὐτῷ τιμᾶν Ἡφαιστίωνα· οἱ δὲ ὡς ἥρωϊ ἔφησαν ὅτι θύειν θέμις ὁ Ἄμμων λέγει. Ὁ δὲ ἐχαιρέ τε τῇ μαντείᾳ καὶ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε. Καὶ Κλεομένει, ἀνδρὶ κακῷ καὶ πολλὰ ἀδικήματα ἀδικήσαντι ἐν Αἰγύπτῳ, ἐπιστέλλει

sineret. Aristobulus vero refert quidem eum talentum accepisse, sed plagis affectum, quod diadema capiti imposuisset. (5) Eum autem quendam ex Phœnicibus nautis fuisse ait, qui Alexandro diadema retulit : nonnulli Seleucum fuisse affirmant : idque Alexandro interitum, Seleuco magnum imperium portendisse. Seleucum enim maximum post Alexandrum suscepto imperio regem fuisse, animoque maxime regio præditum, et plurimis regionibus post ipsum Alexandrum imperasse, minime dubium mihi videtur.

CAP. XXIII.

Alexander Babylonem reversus Peucestam cum xx. ✱ Persarum reversum e Perside reperit. Is magnam quoque Cossæorum manum et Tapurorum non paucos adduxerat : quod et hæ gentes Persidi finitimæ in primis bellicosæ esse dicebantur. Venerat item Philoxenus, e Caria exercitum ducens, et Menander e Lydia, Menidas quoque cum equestribus copiis. (2) Inter hæc legati e Græcia venerunt, iique ipsi coronati Alexandrum accesserunt eumque coronis aureis coronavere, qui nimirum ut eum tanquam deum colerent venerant. Non longe interim ipse ab interitu aberat.

3. Tum Persarum studio collaudato, quod Peucestæ per omnia paruissent, simulque Peucesta ipso qui moderate sapienterque gubernasset, Macedonicis ordinibus eos accensuit. Decurionem quidem Macedonem singulis decuriis præfecit, adhæc duplarium Macedonem et decastaterem, ita vocatum a stipendio, quod quidem minus accipiebat quam duplarius, majus vero quam gregarii milites; (4) secundum hos duodecim Persas, ita tamen ut extremus decastater Macedo etiam esset. Singulæ itaque decuriæ quatuor Macedones habebant, e quibus tres ampliora quam reliqui stipendia accipiebant : quartus vero imperio reliquis præstaret; Persæ vero xii erant. Et Macedones quidem patria armatura utebantur : Persæ partim sagittis, partim amentatis jaculis.

5. Interea Alexander classem crebro ad remum exercebat. Magna erat inter triremes et quadriremes, quæ in fluvio erant, contentio, acre remigum et gubernatorum certamen. Victoribus coronæ dabantur.

6. Per hos dies venerunt etiam ab Ammone ii quos sciscitatum miserat, quosnam honores Hephæstioni tribuere fas esset. Qui quidem Ammonem respondisse nuntiabant, fas esse ut heroi sacrificare. Quo oraculo lætatus, deinceps eum ut heroem coluit. Post hæc Cleomeni homini improbo, qui Ægyptios multis injuriis affecerat, epistolam

ἐπιστολήν· καὶ ταύτην τῆς μὲν ἐς Ἡφαιστίωνα καὶ ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης οὐ μέμφομαι ἔγωγε· ἄλλων δὲ πολλῶν ἕνεκα μέμφομαι. (7) Ἔλεγε γὰρ ἡ ἐπιστολὴ κατασκευασθῆναι Ἡφαιστίωνι ἡρῷον ἐν Ἀλεξανδρείᾳ τῇ Αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ καὶ ἐν τῇ νήσῳ τῇ Φάρῳ, ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ νήσῳ, μεγέθει τε μέγιστον καὶ πολυτελείᾳ ἐκπρεπέστατον· καὶ ὅπως ἐπικρατήσῃ καλεῖσθαι ἀπὸ Ἡφαιστίωνος, καὶ τοῖς συμβολαίοις καθ' ὅσα οἱ ἔμποροι ἀλλήλοις ξυμβάλλουσιν ἐγγράφεσθαι τὸ ὄνομα Ἡφαιστίωνος. (8) Ταῦτα μὲν οὐκ ἔχω μέμψασθαι, πλήν γε δὴ ὅτι οὐκ ἐπὶ μεγάλοις μεγάλως διεσπουδάζετο· ἐκεῖνα δὲ καὶ πάνυ μέμφομαι. « Ἢν γὰρ καταλάβω ἐγώ, ἔλεγε τὰ γράμματα, τὰ ἱερὰ τὰ ἐν Αἰγύπτῳ καλῶς κατεσκευασμένα καὶ τὰ ἡρῷα τὰ Ἡφαιστίωνος, εἴ τε τι πρότερον ἡμάρτηκας, ἀφήσω σε τούτων, καὶ τὸ λοιπόν, ὁπηλίκον ἂν ἁμάρτῃς, οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι. » Τοῦτο ἀνδρὶ ἄρχοντι πολλῆς μὲν χώρας, πολλῶν δὲ ἀνθρώπων ἐκ βασιλέως μεγάλου ἐπεσταλμένον, ἄλλως τε καὶ κακῷ ἀνδρί, οὐκ ἔχω ἐπαινέσαι.

ΚΕΦ. ΚΔ'.

Ἀλλὰ γὰρ αὐτῷ ἤδη Ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. Καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων σημῆναι λέγει Ἀριστόβουλος· καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν ξὺν Πευκέστᾳ τε ἐκ Περσῶν καὶ ἀπὸ θαλάσσης ξὺν Φιλοξένῳ καὶ Μενάνδρῳ ἥκουσαν ἐς τὰς Μακεδονικὰς τάξεις· διῳκῆσαντα δὲ ἀποχωρῆσαι ἐκ τῆς ἕδρας καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον. (2) Εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ' ὧν οἱ ἀμφ' αὐτὸν ἑταῖροι ἐκάθηντο. Τῶν τινα οὖν ἡμελημένων ἀνθρώπων, οἱ δὲ καὶ τῶν ἐν φυλακῇ ἀδέσμῳ ὄντα λέγουσιν, ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῷ θρόνῳ δὲ ἑστηκότας τοὺς εὐνούχους, καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι, διελθόντα διὰ τῶν εὐνούχων ἀναβῆναί τε ἐπὶ τὸν θρόνον καὶ καθέζεσθαι. (3) Τοὺς δὲ οὐκ ἀναστῆσαι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ δή τινα νόμον Περσικόν, περιῤῥηξαμένους δὲ τύπτεσθαι τά τε στήθη καὶ τὰ πρόσωπα ὡς ἐπὶ μεγάλῳ κακῷ. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε γνῶναι ἐθέλοντα. Τὸν δὲ οὐδὲν ἄλλο ἐξειπεῖν ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι· ἦ δὴ καὶ μᾶλλον ἐπ' οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο.

4. Ἡμέραι τε οὐ πολλαὶ ἐπὶ τούτῳ ἐγένοντο καὶ τεθυκὼς τοῖς θεοῖς τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς καί τινας καὶ ἐκ μαντείας εὐωχεῖτο ἅμα τοῖς φίλοις καὶ ἔπινε πόῤῥω τῶν νυκτῶν. Δοῦναι δὲ λέγεται καὶ τῇ στρατιᾷ ἱερεῖα καὶ οἶνον κατὰ λόχους καὶ ἑκατοστύας. Ἀπὸ δὲ τοῦ πότου αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνι εἰσὶν οἱ ἀνέγραψαν·

scripsit. Quam quidem, memoriæ benevolentiæque erga Hephæstionem mortuum causa haud reprehenderim : multis vero aliis de causis non probo. (7) Jubebat enim ea epistola templum Hephæstioni exædificari in Alexandria Ægyptiaca, cum in ipsa urbe, tum in insula Pharo, ubi turris erat, et magnitudine et sumptu operis excellens : et hoc juris obtineret ut insula de Hephæstionis nomine appellaretur ; adhæc tabulis contractuum, quoscunque negotiatores inter se conficerent, Hephæstionis nomen inscriberetur. (8) Atque hæc quidem eo tantum nomine reprehendo, quod in rebus non magnis nimis magnam operam posuit : illa vero quam maxime damno : « Si enim ego (ita scribebat) in Ægyptum veniens templa et fana rite abs te Hephæstioni exstructa invenero, non solum si quid antehac commisisti, ignoscam, sed quantumcunque deinceps deliqueris, nihil incommodi tibi a me accidet. » Hoc certe ad hominem improbum, multis et terris et viris imperantem, a magno rege scriptum nulla ratione probare possum.

CAP. XXIV.

Sed jam Alexandri interitus imminebat, quem vel hoc maxime prodigio significatum fuisse Aristobulus scribit, Copias enim quæ cum Peucesta ex Perside, et a mari cum Philoxeno et Menandro venerant, in Macedonicos ordines distribuisse, quumque sitim sentiret, nonnihil a sella recessisse, regiumque solium vacuum reliquisse. (2) Fuisse porro ab utraque solii parte lectos argenteis pedibus innixos, quibus amici circa eum insidebant. Quendam vero obscurum hominem (sunt qui aliquem qui in custodia citra vincula habebatur, fuisse dicant) quum regiam sellam lectosque vacuos videret, et eunuchos utrinque thronum circumstantes (nam et amici regem discedentem comitati erant), per medios eunuchos transisse, soliumque conscendisse et in eo consedisse. (3) Eos vero e solio eum detrahere non ausos, Persica quadam lege prohibitos : sed laceratis vestibus pectora faciemque contudisse, magnum aliquod malum ominatos. Quæ ubi Alexandro nuntiata sunt, eum qui solio insederat in quæstionem dari jussisse, num forte ex compositis insidiis id fecisset exploraturum : nihil vero confessum, præterquam quod levitate quadam animi impulsus id fecisset : tantoque majus malum vates inde portendisse.

4. Paucis post diebus quum diis consuetas sibi pro felicibus successibus hostias sacrificasset, nonnullasque ex vatum monitu adjecisset, cum amicis epulatus est, conviviumque in multam noctem produxit. Hostias etiam exercitui dedisse, vinumque per decurias et centurias distribuisse dicitur. A convivio sunt qui scribant eum in cubiculum concedere voluisse : sed Medium, unum ex amicis

Μήδιον δὲ αὐτῷ ἐντυχόντα, τῶν ἑταίρων ἐν τῷ τότε τὸν πιθανώτατον, δεηθῆναι κωμάσαι παρὰ οἷ· γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον.

ΚΕΦ. ΚΕ'.

Καὶ αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσι· πίνειν παρὰ Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ καὶ αὖθις πίνειν πόρρω τῶν νυκτῶν· ἀπαλλαχθέντα δὲ τοῦ πότου λούσασθαι· καὶ λουσάμενον ὀλίγον τι ἐμφαγεῖν καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν. (2) Ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι ὡς νόμος ἐφ' ἑκάστῃ ἡμέρᾳ, καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι ἐν τῷ ἀνδρῶνι ἕστε ἐπὶ κνέφας. Ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν ὡς πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς δὲ ἅμα οἷ πλέοντας ὡς εἰς πέμπτην πλευσομένους. (3) Ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ τῆς κλίνης ὡς ἐπὶ τὸν ποταμόν, καὶ πλοίου ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον, κἀκεῖ αὖθις λουσάμενον ἀναπαύεσθαι. Ἐς δὲ τὴν ὑστεραίαν λούσασθαί τε αὖθις καὶ θῦσαι τὰ νομιζόμενα· καὶ εἰς τὴν καμάραν εἰσελθόντα κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον· παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἔωθεν. (4) Ταῦτα πράξαντα δειπνῆσαι ὀλίγον· κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν πυρέσσειν ἤδη ξυνεχῶς τὴν νυκτα ὅλην· τῇ δὲ ὑστεραίᾳ λούσασθαι καὶ λουσάμενον θῦσαι. Νεάρχῳ δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν ὅπως ἔσται ἐς τρίτην ἡμέραν. Τῇ δὲ ὑστεραίᾳ λούσασθαι αὖθις καὶ θῦσαι τὰ τεταγμένα, καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἑλινύειν πυρέσσοντα. Ἀλλὰ καὶ ὡς τοὺς ἡγεμόνας εἰσκαλέσαντα παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῷ ἔσται ἕτοιμα· λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον ἔχειν ἤδη καλῶς. (5) Τῇ δὲ ὑστεραίᾳ μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇ κολυμβήθρᾳ καὶ θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα δὲ πονήρως ὅμως ἐσκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιροτάτους καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν. Τῇ δὲ ἐπιούσῃ μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. (6) Ἐς δὲ τὴν ὑστεραίαν κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ τεταγμένα. Παραγγεῖλαι δὲ τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν αὐλήν, χιλιάρχας δὲ καὶ πενταχοσιάρχας πρὸ τῶν θυρῶν. Ἤδη δὲ παντάπασι πονήρως ἔχοντα διακομισθῆναι ἐκ τοῦ παραδείσου ἐς τὰ βασίλεια. Εἰσελθόντων δὲ τῶν ἡγεμόνων γνῶναι μὲν αὐτούς, φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλ' εἶναι, ἄναυδον· καὶ τὴν νύκτα πυρέσσειν κακῶς καὶ τὴν ἡμέραν, καὶ τὴν ἄλλην νύκτα καὶ τὴν ἡμέραν.

tum temporis ei maxime carum, obviam factum rogasse ut secum comessatum veniret : fore enim jucundam comessationem.

CAP. XXV.

Et quidem diaria regis ita habent : ipsum apud Medium comessatum bibisse : deinde quum surrexisset seque abluiset, dormisse : rursumque edisse apud Medium et in multam noctem bibisse, quumque e convivio discessisset, lavisse, lotum nonnihil mandisse, ibique cubuisse, quod jam febricitaret : (2) deinde lectica ad sacrificia delatum sacrificasse uti consueverat per singulos dies. Sacrificiisque peractis in androne jacuisse in vesperum usque. Inter hæc iter navigationemque ducibus pronuntiasse, et quidem eos qui pedites profecturi erant, in quartum diem : qui vero secum navigaturi essent, ut in quintum diem parati essent jussisse. (3) Post hæc lectica delatum flumen versus, conscensaque nave flumen trajecisse in hortum amœnissimum : ibique rursus lotum requievisse. Postridie denuo lotum consueta sacrificia diis fecisse. Ingressumque cubiculum jacuisse cum Medio colloquentem, imperasseque ducibus ut mane adessent. (4) His peractis cœnasse modice, rursusque in cubiculum delatum continue per totam noctem febricitasse : postridie lavisse, lotumque sacrificasse, et Nearcho reliquisque ducibus navigationem in tertium diem indixisse : postero quoque die lotum consueta sacrificia diis fecisse. Sacrificiisque factis febrim non cessasse. Nihilominus tamen convocatis ducibus præcepisse ut omnia ad navigationem parata essent. Lotumque sub vesperum pejus habuisse. (5) Sequenti luce in ædes balneis vicinas translatum esse, consuetaque sacrificia peregisse. Quumque jam vis morbi invaluisset, primarios tamen duces evocasse, deque navigatione rursus mandata dedisse. Altero die difficulter admodum ad sacrificia delatum sacrificasse, nihiloque secius navigationem imperasse. (6) Postridie, quum jam pessime haberet, tamen a consuetis sacrificiis non destitisse. Jussisse vero ut duces circa aulam versarentur : et eos qui mille, quique quingentis militibus præfecti essent pro foribus custodiam agerent. Quumque jam plane langueret, ex horto in regiam translatum. Ingressisque ad eum ducibus, agnovisse quidem eos, alloqui tamen non potuisse, nullamque vocem edidisse, et tota illa nocte ac sequenti die gravissima febri correptum fuisse.

ΚΕΦ. ΚΣ'.

Οὕτως ἐν ταῖς ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται, καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν, οἱ μέν, ὡς ζῶντα ἔτι ἴδοιεν· οἱ δέ, ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ· τοὺς πολλοὺς δὲ ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. Τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς· δεξιοῦσθαι δὲ καὶ ὡς ἑκάστους τήν τε κεφαλὴν ἐπαίροντα μόγις καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. (2) Λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειοι ἐν τοῦ Σαράπιδος τῷ ἱερῷ Πείθωνά τε ἐγκοιμηθέντα καὶ Ἄτταλον καὶ Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ Μενίδαν καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῷον καὶ ἄμεινον Ἀλεξάνδρῳ εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ μὴ κομίζεσθαι εἰς τὸ ἱερόν, ἀλλ' αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον. (3) Ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους καὶ Ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο ἄρα ἦδη ὂν τὸ ἄμεινον. Οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται. Οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτὸν ὅτῳ τὴν βασιλείαν ἀπολείπει, τὸν δὲ ἀποκρίνασθαι ὅτι τῷ κρατίστῳ· οἱ δέ, προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ ὅτι μέγαν ἐπιτάφιον ἀγῶνα ὁρᾷ ἐφ' αὑτῷ ἐσόμενον.

ΚΕΦ. ΚΖ'.

Πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς Ἀλεξάνδρου τελευτῆς, καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ Ἀντιπάτρου Ἀλεξάνδρῳ καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανε· καὶ τὸ φάρμακον ὅτι Ἀριστοτέλης μὲν Ἀντιπάτρῳ ἐξεῦρε, δεδοικὼς ἦδη Ἀλέξανδρον Καλλισθένους ἕνεκα, Κάσανδρος δὲ ὁ Ἀντιπάτρου ἐκόμισεν· οἱ δὲ καὶ ὅτι ἐν ἡμιόνου ὁπλῇ ἐκόμισε καὶ τοῦτο ἀνέγραψαν. (2) Δοῦναι δὲ αὐτὸ Ἴόλλαν τὸν ἀδελφὸν τοῦ Κασάνδρου τὸν νεώτερον· εἶναι γὰρ οἰνοχόον βασιλικὸν τὸν Ἴόλλαν καί τι καὶ λελυπῆσθαι πρὸς Ἀλέξανδρον ὀλίγῳ πρόσθεν τῆς τελευτῆς· οἱ δὲ καὶ Μήδιον μετασχεῖν τοῦ ἔργου, ἐραστὴν ὄντα τοῦ Ἴόλλα· καὶ αὐτὸν γὰρ εἶναι τὸν εἰσηγητὴν γενόμενον Ἀλεξάνδρῳ τοῦ κώμου· ὀδύνην τε αὐτῷ ἐπὶ τῇ κύλικι γενέσθαι ὀξεῖαν, καὶ ἐπὶ τῇ ὀδύνῃ ἀπαλλαγῆναι ἐκ τοῦ πότου. (3) Ἤδη δέ τις οὐκ ἠσχύνθη ἀναγράψαι ὅτι αἰσθόμενος οὐ βιώσιμον ὄντα αὐτὸν Ἀλέξανδρος ἐς τὸν Εὐφράτην ποταμὸν ᾖει ἐμβαλῶν, ὡς ἀφανὴς ἐξ ἀνθρώπων γενόμενος πιστοτέραν τὴν δόξαν παρὰ τοῖς ἔπειτα ἐγκαταλείποι ὅτι ἐκ θεοῦ τε αὐτῷ ἡ γένεσις ξυνέβη καὶ παρὰ θεοὺς ἡ ἀποχώρησις. Ῥωξάνην δὲ τὴν γυναῖκα οὐ λαθεῖν ἐξιόντα, ἀλλὰ εἰργόμενον γὰρ πρὸς αὐτῆς ἐποιμώξαντα

CAP. XXVI.

Ita in diariis regiis scriptum legitur, dein vero milites desiderio ejus videndi captos esse. Et nonnullis vivum cernere cupientibus : nonnullis, quod jam mortuus esse diceretur, mortemque ejus a custodibus corporis celari, (mea sententia) suspicantibus, plerosque præ dolore ac desiderio regis, vi ad illum videndum irrupisse. Sed jam regem ingrediente exercitu vocem defecisse : capite tantum ægre sublevato atque oculis indicium aliquod animi facientibus, singulis dextram præbuisse. (2) Iisdem diariis regiis continetur, in Serapidis æde pernoctasse Pithonem, Attalum, Demophontem et Peucestam; et præter hos Cleomenem et Menidam ac Seleucum. Et percontantibus deum, an melius satiusque esset Alexandrum in templum suum, ut a se curaretur, deferri, oraculum redditum, Non oportere eo deferri : sed melius ei si ibi maneat fore. (3) Idque amicos Alexandro renuntiasse, neque multo post Alexandrum decessisse quasi id magis in rem ipsius esset. Ptolemæus et Aristobulus præterea nihil afferunt. Sunt autem qui hoc etiam addant : interrogatum ab amicis, cuinam regnum relinqueret, respondisse, Optimo. Alii adjecisse eum ad hæc verba aiunt, ingens certamen inter eos de se futurum.

CAP. XXVII.

Neque vero me præterit multa alia præter hæc de Alexandri obitu scripta esse : veluti venenum ei ab Antipatro missum esse, quo interiit. Aristotelemque id Antipatro confecisse, Alexandrum ob Callisthenis necem metuentem : idque a Casandro Antipatri filio allatum. Alii in mulæ ungula allatum scribunt : (2) et per Iollam minorem Casandri fratrem regi traditum. Fuisse enim Iollam regi a poculis, eique ab Alexandro paulo ante ejus mortem acerbi aliquid accidisse. Alii Medium, quod Iollæ amator esset, sceleris conscium fuisse scribunt. Nam et hunc Alexandro auctorem comessationis fuisse, statimque post haustum poculum vehementem dolorem sensisse, ita ut convivio excedere sit coactus. (3) Quidam etiam scribere non erubuit, Alexandrum quum jam de salute desperaret, ad Euphratem se contulisse conjiciendi se in flumen animo, uti sublatus ex hominum oculis, certiorem apud posteros fidem faceret, se ex deorum genere ortum ad deos rediisse. Roxanem vero conjugem, consilio ejus intellecto, inhibuisse, plo-

εἰπεῖν ὅτι ἐφθόνησεν ἄρα αὐτῷ δόξης τῆς ἐς ἅπαν, ὡς θεῷ δὴ γεγενημένῳ. Καὶ ταῦτα ἐμοὶ ὡς μὴ ἀγνοεῖν δόξαιμι μᾶλλον ὅτι λεγόμενά ἐστιν ἢ ὡς πιστὰ ἐς ἀφήγησιν ἀναγεγράφθω.

ΚΕΦ. ΚΗ'.

Ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ Ὀλυμπιάδι ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος· ἐβασίλευσε δὲ δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ τούτους μῆνας, τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος τὴν γνώμην γενόμενος καὶ ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος· (2) ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὐτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. (3) Καὶ οὖν καὶ ὅσα ἐν τῷ ἀφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν· ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα ἢ ὁμολογηθέντα φυλάξαι βεβαιότατος, πρὸς δὲ τῶν ἐξαπατώντων μὴ ἁλῶναι ἀσφαλέστατος· χρημάτων δὲ ἐς μὲν ἡδονὰς τὰς αὐτοῦ φειδωλότατος, ἐς δὲ εὐποιίαν τῶν πελας ἀφθονώτατος.

ΚΕΦ. ΚΘ'.

Εἰ δέ τι ἐπλημμελήθη Ἀλεξάνδρῳ δι' ὀξύτητα ἢ ὑπ' ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι, οὐ μεγάλα τίθεμαι ἔγωγε, εἴ τὴν νεότητά τέ τις τὴν Ἀλεξάνδρου μὴ ἀνεπιεικῶς ἐνθυμηθείη καὶ τὸ διηνεκὲς τῆς εὐτυχίας καὶ τοὺς πρὸς ἡδονὴν οὐκ ἐπὶ τῷ βελτίστῳ τοῖς βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομένους· ἀλλὰ μεταγνῶναί γε ἐφ' οἷς ἐπλημμέλησε μόνῳ οἶδα τῶν πάλαι βασιλέων Ἀλεξάνδρῳ ὑπάρξαι ὑπὸ γενναιότητος. (2) Οἱ δὲ πολλοί, εἰ καί τι ἔγνωσαν πλημμελήσαντες, οἱ δὲ τῷ προηγορεῖν αὐτοῦ, ὡς καλῶς δὴ πραχθέντος, ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γιγνώσκοντες. Μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας ὁμολογεῖν τε ἁμαρτόντα καὶ ὄῆλον εἶναι ἐπ' αὐτῷ μεταγινώσκοντα, ὡς τοῖς παθοῦσί τι ἄχαρι οὐ πάντη χαλεπὰ τὰ παθήματα φαινόμενα, εἰ ὁ ὁράσας αὐτὰ ξυγχωροίη ὅτι οὐ καλὰ ἔδρασεν, αὐτῷ τέ τινι ἐς τὸ μέλλον ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μὴ

rantemque ipsum dixisse : invidere illam sibi divinitatis partæ gloriam. Quæ quidem ideo potius a me commemorantur, ne ignorasse videar ea tum sparsa fuisse, quam quod fide digna existimem.

CAP. XXVIII.

Decessit autem Alexander Olympiade cxiiii, archonte Athenis Hegesia. Vixit annos xxxii, menses viii, ut autor est Aristobulus. Regnavit annos xii, menses viii. Statura corporis pulcherrima fuit, laboris summa patientia, summo mentis acumine, magna animi fortitudine præditus, honoris et gloriæ appetentissimus, periculorum amantissimus, divini cultus observantissimus : (2) corporis voluptatum moderatissimus : quæ ad animum pertinent, sola laude inexplebilis, summa consilii dexteritate quid in rebus obscuris facto esset opus cernebat : et ex verisimilibus felicissime eventus rerum conjectabat : ordinandi exercitus, armandi gubernandique peritissimus. Idem ad militum animos excitandos et bona spe replendos, et metum periculorum privati periculi contemptione profligandum eximius. (3) Res dubias summa audacia aggrediebatur : ad anticipandos hostes eosque corripiendos, priusquam quod eventurum erat timerent, solertissimus, promissi pactique religiosissimus observator : neve aliorum fraudibus caperetur, instructissimus : pecunias in privatas voluptates parcissime convertebat : in amicos summa cum liberalitate erogabat.

CAP. XXIX.

Si quid vero ab Alexandro iræ vehementia rapiditateque commissum est, aut si insolentius barbarorum fastum imitatus est, equidem non tanti faciendum censuerim, siquis juvenilem Alexandri ætatem non inique æstimet, si perpetuum felicitatis cursum, si assentatores, qui voluptatis causa cum regibus magno eorum malo versantur et versabuntur, animadvertat. Cæterum delicti pœnitentia duci, id ego soli ipsi inter veteres reges tanquam eximium ac genuinum quiddam adscribo. (2) Plerique enim, tametsi alicujus delicti conscii sibi sint, tuentes id ut recte factum obtegere se culpam suam putant, inique statuentes. Unicam enim peccati medicinam esse censeo peccati agnitionem et confessionem, manifestumque pœnitentiæ documentum edere. Nam qui injuriam accepit, non ita graviter læsum sese judicat, si is qui læsit perperam sese fecisse fateatur : et bona alicui spes fit, se non amplius

ποτε ἂν παραπλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος φαίνοιτο. (3) Ὅτι δὲ ἐς θεὸν τὴν γένεσιν τὴν αὐτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ δοκεῖ μέγα εἶναι αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυχὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα. Οὔκουν δοκεῖ ἔμοιγε ἢ Μίνωος γενέσθαι βασιλεὺς ἀφανέστερος ἢ Αἰακοῦ ἢ Ῥαδαμάνθυος· οἷς δὴ ἐς Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων οὐδεμιᾷ αὐτῶν ὕβρει προστίθεται· οὐδὲ Θησέως τοῦ Ποσειδῶνος οὐδὲ Ἴωνος τοῦ Ἀπόλλωνος. (4) Ὡς ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα δοκεῖ εἶναι πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντη ἀλλότριον αὐτῶν φαίνεσθαι τὸν βασιλέα, καὶ πρὸς τοὺς Μακεδόνας, ὡς ἀποστροφήν τινα εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε καὶ ὕβρεως τῆς Μακεδονικῆς· ἐφ' ὅτῳ δὴ καὶ ἐγκαταμῖξαί μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας τοὺς μηλοφόρους καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. Καὶ οἱ πότοι δέ, ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο, οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον, ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους.

injuria affectum iri, si is qui affecit pœnitentiam facti sui præ se ferat. (3) Quod vero ad deum generis sui originem referebat, ne hoc quidem atrox delictum fuisse censuerim: quippe qui nihil aliud fortassis sibi propositum habuerit quam ut eo figmento majorem auctoritatem apud suliditos sibi conciliaret. Neque vero mihi videtur Alexander fuisse Minoe aut Æaco aut Rhadamantho inferior, quorum genus ad Jovem a veteribus relatum nulli ipsis vitio aut contumeliæ versum fuit: quemadmodum nec Thesei ortus ad Neptunum, neque Ionis ad Apollinem relatus. (4) Verum et Persicus habitus arte quadam mihi a rege assumtus videtur, ne prorsus alienus ab eis rex esse videretur: utque refugium quoddam adversus Macedonum insolentiam superbiamque haberet. Qua etiam de causa cum Macedonum ordinibus Persas melophoros immiscuisse arbitror, et agematis, qui pari cum eis honore essent, accensuisse. Longas etiam potationes, ut ait Aristobulus, non vini causa amabat; neque enim multum vini potabat, sed ut benevolentiam cum amicis foveret.

ΚΕΦ. Λ'.

Ὅστις δὲ κακίζει Ἀλέξανδρον, μὴ μόνον ὅσα ἄξια κακίζεσθαί ἐστι προσφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα Ἀλεξάνδρου εἰς ἓν χωρίον ξυναγαγών, οὕτω δὴ ἐκλογιζέσθω, ὅστις τε ὢν αὐτὸς καὶ ὁποίᾳ τύχῃ κεχρημένος ὁντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας τῆς ἀνθρωπίνης ἐλθόντα, βασιλέα τε ἀμφοῖν ταῖν ἠπείροιν ἀναμφιλογώτατα γενόμενον καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ αὐτοῦ ὀνόματι, κακίζει σμικρότερός γε ὢν αὐτὸς καὶ ἐπὶ σμικροῖς πονούμενος καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος. (2) Ὡς ἔγωγε δοκῶ ὅτι οὔτε τι ἔθνος ἀνθρώπων οὔτε τις πόλις ἐν τῷ τότε ἦν οὔτε τις εἷς ἄνθρωπος, εἰς ὃν οὐ πεφοιτήκει τὸ Ἀλεξάνδρου ὄνομα. Οὔκουν οὐδ' ἐμοὶ ἔξω τοῦ θείου φῦναι ἂν δοκεῖ ἀνὴρ οὐδενὶ ἄλλῳ ἀνθρώπων ἐοικώς. Καὶ ταῦτα χρησμοί τε ἐπισημῆναι ἐπὶ τῇ τελευτῇ τοῦ Ἀλεξάνδρου λέγονται καὶ φάσματα ἄλλα ἄλλοις γενόμενα καὶ ἐνύπνια φανέντα ἄλλα ἄλλοις, καὶ ἡ ἐς τοῦτο ἐξ ἀνθρώπων τιμή τε αὐτοῦ καὶ μνήμη οὐκ ἀνθρωπίνη οὖσα, καὶ νῦν δὲ διὰ τοσούτου ἄλλοι χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ ἔθνει τῶν Μακεδόνων χρησθέντες. (3) Ἐπεὶ καὶ αὐτὸς ἐμεμψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ τῶν Ἀλεξάνδρου ἔργων, ἀλλ' αὐτόν γε Ἀλέξανδρον οὐκ αἰσχύνομαι θαυμάζων· τὰ δὲ ἔργα ἐκεῖνα ἐκάκισα ἀληθείας τε ἕνεκα τῆς ἐμῆς καὶ ἅμα ὠφελείας τῆς ἐς ἀνθρώπους· ἐφ' ὅτῳ ὡρμήθην οὐδὲ αὐτὸς ἄνευ θεοῦ ἐς τήνδε τὴν ξυγγραφήν.

Τέλος τῆς ξυγγραφῆς τῶν Ἀλεξάνδρου ἔργων.

CAP. XXX.

Quapropter quisquis Alexandrum incusat ac vituperat, is non ea solum quæ vituperatione digna sunt afferens vituperet, sed omnia ejus facta in unum cumulum congerens, ita demum secum reputet, quis ipse et quali fortuna usus ad cujus ac quanti principis accusationem accelat, qui ad tantum humanæ felicitatis fastigium evasit, ut utriusque continentis rex citra ullam controversiam fuerit nomenque suum per universum terrarum orbem propagarit: cogitetque iste quisquis est accusator, quam exilis ipse sit, quamque in exilibus parvique momenti rebus laboret, ac ne illas quidem ipsas decore conficiat. (2) Ita enim sentio, nullam ea tempestate, gentem, nullam urbem, nullum denique hominem fuisse, ad quem non Alexandri nomen pervenerit. Quo circa non absque numine ejuscemodi hominem terris datum existimaverim, cui nemo omnium mortalium par fuit. Quod quidem etiam oracula in Alexandri morte testata sunt, diversaque aliis atque aliis hominibus spectra et insomnia oblata, et continuata in hunc usque diem inter homines memoria et gloria, major quam quæ in hominem cadat, tum denique alia post tantum temporis spatium oracula Macedonum genti de ejus honore edita. (3) Ego vero, tametsi nonnulla Alexandri facta in historia rerum ab ipso gestarum reprehendi, Alexandri tamen ipsius admiratorem esse meipsum citra pudorem profiteor. Facta vero nonnulla improbavi, et veritatis meæ et publicæ utilitatis causa: in cujus gratiam hujus historiæ scriptionem non absque numine etiam aggressus sum.

FINIS OPERIS, QUOD EST DE ALEXANDRI REBUS GESTIS.

ΑΡΡΙΑΝΟΥ ΙΝΔΙΚΗ.

ΚΕΦ. Α'.

Τὰ ἔξω Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν ποταμὸν Κωφῆνα Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα Ἰνδικά, ἐποικέουσιν. (2) Ἀλλ' οὔτε μεγάλοι τὰ σώματα, κατάπερ οἱ ἐντὸς τοῦ Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν θυμόν, οὐδὲ μέλανες ὡσαύτως τοῖσι πολλοῖσιν Ἰνδοῖσιν. (3) Οὗτοι πάλαι μὲν Ἀσσυρίοισιν ὑπήκοοι ἦσαν· ἐπὶ δὲ Μήδοισι Περσέων ἦκουον, καὶ φόρους ἀπέφερον Κύρῳ τῷ Καμβύσεω ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε Κῦρος. (4) Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τῶν Ἰνδῶν· τυχὸν μὲν καὶ Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖσι πολέμοισιν οὕστινας πρὸς Ἰνδοὺς Διόνυσος ἐπολέμησε· (5) τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας τοῖσιν Ἕλλησι συνῴκισε τήν τε χώρην Νυσαίην ὠνόμασεν ἀπὸ τοῦ ὄρεος τῆς Νύσης Διόνυσος, καὶ τὴν πόλιν αὐτὴν Νῦσαν. (6) Καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλι, ὅτου ἐν τῇσιν ὑπωρείῃσιν ᾠκίσται ἡ Νῦσα, Μηρὸς κληίζεται ἐπὶ τῇ συμφορῇ ἧτινι ἐχρήσατο εὐθὺς γενόμενος. (7) Ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν· καὶ ἐξηγείσθων αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων. (8) Ἐν Ἀσσακηνοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἴναπερ καὶ τὸ κράτος τῆς γῆς ἐστι τῆς Ἀσσακίης· καὶ ἄλλη πόλις Πευκέλα, μεγάλη καὶ αὐτή, οὐ μακρὰν τοῦ Ἰνδοῦ. Ταῦτα μὲν ἔξω τοῦ Ἰνδοῦ ποταμοῦ ᾠκισται πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν Κωφῆνα.

ΚΕΦ. Β'.

Τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, τοῦτό μοι ἔστω ἡ τῶν Ἰνδῶν γῆ, καὶ Ἰνδοὶ οὗτοι ἔστωσαν. Ὅροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν βορέαο ἀνέμου ὁ Ταῦρος τὸ ὄρος. (2) Καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ· ἀλλ' ἄρχεται ὁ Ταῦρος ἀπὸ θαλάσσης τῆς κατὰ Παμφύλους τε καὶ Λυκίην καὶ Κίλικας· παρατείνει τε ἔστε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν· (3) ἄλλῃ δὲ ἄλλο καλέεται τὸ ὄρος, τῇ μὲν Παραπαμισὸς, τῇ δὲ Ἠμωδός· ἄλλῃ δὲ Ἴμαον κληίζεται, καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει οὐνόματα· (4) Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον· ἄλλον τοῦτον Καύκασον, οὐ τὸν Σκυθικόν· ὡς καὶ τὰ ἐπέκεινα τοῦ Καυκάσου λόγον κατέχειν ὅτι ἦλθεν Ἀλέξανδρος. (5) Τὰ πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείργει ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἴναπερ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα,

ARRIANI HISTORIA INDICA.

CAP. I.

Quæ extra Indum amnem Occidentem versus sunt regiones ad Cophenem fluvium usque Astaceni atque Assaceni, Indicæ gentes, incolunt. (2) Sunt vero hi Indis intra Indum amnem habitantibus et corporum magnitudine et animorum præstantia inferiores : neque tam nigri quam plerique Indi. (3) Hi olim Assyriis parebant ; deinde Medis subjecti in Persarum potestatem venerunt et tributa Cyro, Cambysis filio, ex suis regionibus pependerunt, quæ Cyrus imperavit. (4) Nysæi vero Indorum gens non sunt, sed ex iis originem ducunt, qui olim cum Libero patre in Indiam venerant e Græcis fortasse, qui in bellis, quæ Liber cum Indis gessit, inutiles bello facti fuerant ; (5) fortassis autem etiam indigenas voluntarios in eandem cum Græcis coloniam deduxit, regionemque Nysæam a monte Nysa vocavit Liber, urbemque ipsam Nysam. (6) Mons vero urbi vicinus, ad cujus radices sita est Nysa, Merus (i. e. *femur*) vocatus est propter casum illum, quo usus fuit Bacchus simul ac natus erat. Atque hæc quidem poetæ de Libero finxerunt : eademque quotquot vel apud Græcos vel apud barbaros fabulosarum historiarum scriptores sunt, narrent. (8) Apud Assacenos est Massaca, magna urbs, ubi et summa potestas est regionis Assaciæ ; et alia urbs Peucela, magna etiam hæc, non procul ab Indo. Hæc extra Indum amnem habitantur Occidentem versus usque ad Cophenem fluvium.

CAP. II.

Quæ vero regio ab Indo orientem versus est, eam ego Indiam appello, quique eas partes incolunt, Indos. Terminatur autem India a septentrione Tauro monte : (2) qui quidem non amplius in ea regione nomen hoc retinet. Incipit vero Taurus a mari circa Pamphyliam et Lyciam ac Ciliciam, tenditque perpetuo dorso ad orientalem oceanum, totam Asiam intersecans. (3) Alibi vero aliam appellationem accipit hic mons. Quibusdam enim in locis Parapamisus, aliis Emodus, aliis Imaus dicitur. Fieri autem potest, ut alias etiam alias appellationes habeat. (4) Macedones vero, qui cum Alexandro militarunt, Caucasum eum vocarunt, diversum ab eo qui in Scythia est : ut fama obtineret, Alexandrum etiam Caucasum transcendisse. (5) Occidentem versus Indiæ terminus est Indus amnis ad magnum oceanum usque, ubi ipse per duo ostia in eum fertur, neque ea quidem inter se propinqua, quemadmodum quinque Istri

κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα· (6) ἀλλ' ὡς τὰ τοῦ Νείλου, ὑπὸ τῶν τὸ Δέλτα ποιέεται τὸ Αἰγύπτιον, ὧδέ τι καὶ [τὸ] τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς ποταμὸς, οὐ μεῖον τοῦ Αἰγυπτίου· καὶ τοῦτο Πάτταλα τῇ Ἰνδῶν γλώσσῃ καλέεται. (7) Τὸ δὲ πρὸς νότου γε ἀνέμου καὶ μεσημβρίης αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω αὐτὴ ἡ θάλασσα ἀπείργει. (8) Τὰ μὲν πρὸς μεσημβρίης κατὰ Πάτταλά τε καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε Ἀλεξάνδρου καὶ Μακεδόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω, Ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε τάδε πρόσω ποταμοῦ Ὑφάσιος. (9) Ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω καὶ ἵνα τοῦ Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμβοθρα μεγίστη Ἰνδῶν πρὸς τῷ Γάγγῃ.

ostia; (6) sed sicut ista Nili, a quibus Delta Ægyptium efficitur: hoc pacto etiam Indus amnis partem Indiæ Delta facit, neque id minus Ægyptio, quod quidem Indorum lingua Pattala vocatur. (7) Qua vero ad austrum et meridiem vergit India, ipso magno oceano clauditur: orientales etiam ejus partes idem oceanus terminat. (8) Atque in meridionali quidem tractu quæ sunt circa Pattala Indique fluminis ostia, ab Alexandro et Macedonibus ac multis Græcis perlustrata sunt: partes autem versus Orientem non adiit Alexander eas, quæ sunt ultra Hyphasin amnem. (9) Pauci vero scripserunt de iis quæ usque ad Gangem sunt; aut ubi Gangis ostia, maximaque ad Gangem Indorum urbs Palimbothra.

ΚΕΦ. Γ'.

Ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι γῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένεϊ. (2) Οὗτος ἀπὸ τοῦ ὄρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαὶ, παρ' αὐτὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς μυρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν. (3) Ταυτησὶ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην, ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω εἰς τὸ πέλαγος, ἐς τρισχιλίους σταδίους μάλιστα ἀνατείνουσαν τὴν ἄκρην· εἴη ἂν ὧν αὐτῷ ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω μυρίους καὶ ἑξακισχιλίους σταδίους ἐπέχουσα· τοῦτο μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει. (4) Μῆκος δὲ τὸ ἀφ' ἑσπέρης ἐπὶ ἕω ἔστε μὲν ἐπὶ τὴν πόλιν Παλίμβοθρα, μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν· καὶ εἶναι γὰρ ὁδὸν βασιληίην· τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους· τὰ δὲ ἐπέκεινα οὐκέτι ὡσαύτως ἀτρεκέα. (5) Φήμας δὲ ὅσοι ἀνέγραψαν, ξὺν τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος ἐς μυρίους σταδίους μάλιστα ἐπέχειν λέγουσιν· εἶναι δὲ ἄνω τὸ μῆκος τῆς Ἰνδῶν γῆς σταδίων μάλιστα δισμυρίων. (6) Κτησίης δὲ ὁ Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς· Νέαρχος δὲ μηνῶν τεσσάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ πεδίου τῆς Ἰνδῶν γῆς. (7) Μεγασθένεϊ δὲ τὸ ἀπὸ ἀνατολέων ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς, ὅ, τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵναπερ τὸ βραχύτατον αὐτοῦ. (8) Τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους καὶ δισμυρίους, ἵναπερ τὸ στεινότατον αὐτοῦ. (9) Ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι οὐδὲ ἐν τῇ πάσῃ Ἀσίῃ· μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰνδὸς, ὅτου καὶ ἡ γῆ ἐπώνυμος· ἄμφω τοῦ τε Νείλου τοῦ Αἰγυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς ταυτὸ

CAP. III.

Mihi Eratosthenes Cyrenæus majore fide dignus esto, quoniam illi geographia curæ erat. (2) Is a monte Tauro, ubi Indi fontes sunt, secus Indum amnem usque ad magnum oceanum et Indi ostia Indiæ latus stadia XIII M continere ait. (3) Latus vero huic oppositum statuit ab eodem monte præter mare orientale, non amplius huic lateri æquale, sed longo tractu promontorium circiter ad III M stadiorum in mare protendi: ut igitur ei æstimetur hoc Indiæ latus orientale obtinere XVI M stadiorum. Atque hæc quidem est illi Indiæ latitudo. (4) Longitudinem vero ab occidente in orientem usque ad urbem Palimbothra, dicit schœnis dimensam se scribere, esse enim viam regiam eamque esse stadiorum X M. Ulteriora non amplius æque certa esse. (5) Quotquot vero famam in scribendo secuti sunt, cum promontorio in mare porrecto, (Indiam) circiter X M stadiorum continere dicunt: superius, esse longitudinem stadiorum circiter XX M. (6) Ctesias Cnidius Indiam reliquæ Asiæ æqualem esse magnitudine affirmat, sed errat, sicut etiam Onesicritus, qui eam tertiam partem terrarum esse perhibet. Nearchus quattuor mensium iter per ipsum campum Indiæ esse dicit. (7) Megasthenes vero ab oriente in occidentem latitudinem Indiæ esse vult, quam alii longitudinem faciunt, eamque Megasthenes auctor est, ubi brevissimum ejus spatium sit, XVI M stadiorum continere. (8) A septentrione autem versus meridiem, ea illi quidem est longitudo, et extenditur ad XXII M et CCC stadia, ubi angustissima est. (9) Flumina sunt in India tantæ magnitudinis, quantæ nullum est in universa Asia; maxima sunt Ganges et Indus, a quo et regio nomen accepit: uterque et Nilo Ægyptio et Istro Scy-

συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες· (10) δοκέειν δ' ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νείλου, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν Ὑδραώτεα καὶ τὸν Ὑφασιν ἐμβάλλει ἐς τὸν Ἰνδὸν, ὡς καὶ τριήκοντα αὐτῷ στάδια τὸ πλάτος ταύτῃ εἶναι· καὶ τυχὸν καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ ῥέουσιν.

thico, etiamsi in unum alveum confluerent, major est: (10) at mea sententia vel Acesines Nilum et Istrum magnitudine superat, ubi Hydaspe, Hydraote et Hyphasi in suum alveum receptis in Indum fertur tantus, ut ejus latitudo ibi triginta stadia efficiat. Fortassis autem etiam alia multa majora flumina Indiam secant.

ΚΕΦ. Δ'.

Ἀλλὰ οὔ μοι ἀτρεκὲς ὑπὲρ τῶν ἐπέκεινα Ὑφάσιος ποταμοῦ ἰσχυρίσασθαι, ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος ἦλθεν Ἀλέξανδρος. (2) Αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθεϊ πολύ τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψε, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν· (3) αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέκεσθαί τε ἐς αὐτὸν τόν τε Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσόανον, πάντας πλωτούς· ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ Σιττόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς. (4) Ἐπὶ δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν καὶ Ὠμαλιν· ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμενάσης τε μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικοῦ τοῦ Μανδιαδινῶν ῥέων· (5) καὶ ἐπὶ τούτοισιν Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύμαγις ἐπὶ Παζάλαισι καλεομένοισι, καὶ Ἐρρένυσις ἐν Μάθαισιν, ἔθνεϊ Ἰνδικῷ, ξυμβάλλει τῷ Γάγγῃ. (6) Τούτων λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. (7) Εἶναι ὧν τὸ εὖρος τῷ Γάγγῃ, ἔνθα περ αὐτὸς ἑωυτοῦ στεινότατος, εἰς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ ἐστι καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. (8) Τῷ δὲ Ἰνδῷ ἐς ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοισι παρειληφὼς τόν τε Ὑφασινὲν Ἀστρύβαισι καὶ τὸν Σαράγγην ἐκ Κηκέων καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν, ἐς Ἀκεσίνην ἐμβάλλουσιν. (9) Ὑδάσπης δὲ ἐν Ὀξυδράκαισιν ἄγων ἅμα οἱ τὸν Σίναρον ἐν Ἀρίσπαισιν ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ καὶ οὗτος. (10) Ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ. Τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῇ ἐπικλήσι ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη οὐνόματι ἐσβάλλει ἐς τὸν Ἰνδόν· (11) Κωφὴν δὲ ἐν Πευκελαιήτιδι, ἅμα οἱ ἄγων Μάλαντόν τε καὶ Σόαστον καὶ Γαρρόαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. (12) Κατύπερθε δὲ τούτων Πάρενος καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ, ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων, ἔρημος ἄλλου ποταμοῦ, ἐκδιδοῖ ἐς αὐτόν. Καὶ τούτων τοὺς πολλοὺς Μεγασθένης λέγει, ὅτι πλωτοί εἰσιν. (13) Οὔκουν ἀπιστίην χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω, μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ τοῦ Νείλου τὸ ὕδωρ. (14) Ἐς μέν γε τὸν Νείλον οὐδένα

CAP. IV.

Sed ultra Hyphasin amnem nihil explorati habeo, quod affirmare possim; quia ultra Hyphasin progressus non est Alexander. (2) Ex his vero duobus maximis fluviis Gange atque Indo, Megasthenes Gangem Indo longe majorem esse scribit, et alii omnes qui Gangis mentionem faciunt. (3) Nam et grandem jam inde ab ipsis fontibus oriri, atque in se recipere Cainam, Erannoboam, Cossoanum, omnes navigabiles, deinde Sonum, Sittocatim et Solomatim, et hos navigabiles. (4) Post hos Condochatem, Sambum, Magonem, Agoranim et Omalim. Feruntur etiam in eum Commenases grandis fluvius et Cacuthis atque Andomatis ex Mandiadinis Indica gente fluens: (5) ad hæc, Amystis juxta urbem Catadupam, et Oxymagis apud Pazalas, quos vocant, et Errhenysis apud Mathas, Indiæ gentem, in Gangem fluunt. (6) Horum omnium fluviorum Megasthenes nullum Mæandro minorem, qua navigabilis Mæander est, esse asseverat. (7) Jam Gangem patere, qua maxime angustus est, ad centum stadia; multis vero in locis stagnare, ita ut ulterior terra conspici non possit, qua parte humilis est nullosque colles habet. (8) Indo autem idem accidit. Hydraotes quidem in Cambistholis, receptis in se et Hyphasi in Astrybis, et Sarange ex Cecis, et Neudro ex Attacenis, in Acesinem fluit. (9) Hydaspes vero in Oxydracis Sinarum in se recipiens in Arispis etiam in Acesinem fertur. (10) Acesines apud Mallos cum Indo committitur: etiam Tutapus magnus fluvius in Acesinem exit. Quibus amnibus Acesines grandior factus suumque victor nomen retinens in Indum fertur. (11) Cophen in Peucelaetide, ducens secum Malantum, Soastum et Garroam amnes, Indo se miscet. (12) Supra hos Parenus et Saparnus, non multum inter se distantes, in Indum fluunt. Soanus ex montanis Abissareensium alisque alterius fluvii societate in eundem se ingerit. Horum quoque plerosque Megasthenes navigabiles esse affirmat. (13) Non igitur incredibile esse debet, Istrum et Nilum ratione aquarum cum Indo et Gange ne comparari quidem posse. (14) Nam in

ποταμὸν ἐκδιδόντα ἴδμεν, ἀλλ' ἀπ' αὐτοῦ διώρυχας τετμημένας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην. (15) Ὁ δέ γε Ἴστρος ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων, δέκεται δὲ πολλοὺς ποταμούς, ἀλλ' οὔτε πλήθεϊ ἴσους τοῖσιν Ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγεα ἐκδιδοῦσι· πλωτοὺς δὲ δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τόν τ' Ἔνον καὶ τὸν Σάον. (16) Ἔνος μὲν ἐν μεθορίῳ τῆς Νωρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος κατὰ Παίονας. Ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ ποταμοί, Ταυροῦνος καλέεται. Ὅστις δὲ καὶ ἄλλον οἶδε ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ πολλούς που οἶδε.

ΚΕΦ. Ε'.

Τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. (2) Ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον· ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοί, ναυσίποροι πάντες. (3) Ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. Συγγενέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ τῶν Ἰνδῶν καὶ Πώρῳ, ἔτι τούτου μέζονι. (4) Οὗτος ὦν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους· (5) ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψάμενον τὴν πολλήν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ ἐλάσαντα, ὀπίσω ἀπονοστῆσαι· (6) Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· (7) Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι ἐς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν· ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. (8) Καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδούς, καὶ καταστρεψαμένου Ἰνδούς· Ἡρακλέος δὲ πέρι οὐ πολλός. (9) Διονύσου μέν γε καὶ Νῦσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρεϊ τούτῳ φύεται· καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθῆς αὐτοῖσι κατάστικτος ἐοῦσα, καθάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· (10) Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. Ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλὴς οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, Μακεδονικὸν δοκέει μοί τι κόμπασμα, κατάπερ ὧν καὶ τὸν Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ. (11) Καί τι καὶ

Nilum nullum flumen illabi sciunus, sed ex ipso fossas per Ægyptum duci. (15) Ister vero exiguus a fontibus oritur: et multos quidem fluvios in se recipit, sed et multitudine Indicis fluminibus, quæ in Indum et Gangem feruntur, non pares; et navigabiles modo perpaucos, ex quibus ipse Enum vidi ac Saum. (16) Atque Enus quidem in confinio Noricorum et Rhætorum Istro se immiscet: Saus autem apud Pæonas. Locus vero ubi hæc flumina inter se committuntur Taurunus vocatur. (17) Si quis vero et alium fluvium navigabilem fluentem in Istrum norit, multos tamen eos non esse novit.

CAP. V.

Quisquis autem causam multitudinis et magnitudinis Indiæ fluminum explicare velit, illi per me hoc integrum sit. Ego enim ea quoque quæ de his rebus scripsi majorem fidem non habere censeo, quam quæ fama sparsa sunt. (2) Præterea etiam aliorum multorum fluminum nomina Megasthenes commemorat, quæ extra Gangem atque Indum feruntur in orientale et meridiale externum mare; ita ut LVIII in universum sint Indiæ fluvii, omnes navigabiles. (3) Sed nec ipse Megasthenes mihi videtur multum Indiæ peragrasse: plus tamen certe quam qui cum Alexandro Philippi F. militarunt. Sandracotto enim se adfuisse scribit, maximo Indorum regi, et Poro, qui vel Sandracotto potentior fuit. (4) Scribit itaque hic Megasthenes, neque Indos cum ullis hominibus bellum gessisse, neque ullos externos Indis bellum intulisse. (5) Sesostrim enim Ægyptium, magna Asiæ parte subacta, postquam in Europam usque cum exercitu processerat, retrocessisse; (6) Indathyrsim autem Scytham ex Scythia profectum multas Asiæ gentes debellasse: Ægyptum etiam victorem adiisse; (7) ac Semiramidem quidem Assyriam tentasse exercitum in Indos ducere, sed mortem ejus consilia conatusque fregisse. Solum vero Alexandrum in Indos expeditionem fecisse. (8) Atqui ante Alexandrum fama tenet Liberum contra Indos expeditionem suscepisse, eosque subegisse: de Hercule infirmior fama est. (9) At vero expeditionis a Libero factæ non leve documentum est Nyssa urbs et Meros mons, quodque hedera in hoc monte nascitur: quod præterea Indi ipsi tympana ac cymbala pulsantes pugnas adeunt, itemque veste distincta maculis, Libero patri bacchantium more, utuntur. (10) Herculis autem non multa monimenta exstant. Quod enim Aornum petram, quam Alexander vi cepit, Hercules expugnare non potuerit, Macedonica quædam jactantia mihi videtur: quemadmodum et Parapamisum montem Causasum vocarunt Macedones, nihil ad Caucasum pertinentem. (11) Antrum

ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδαισι, τοῦτο ἔφρασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέος τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. (12) Καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένει, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς Σίβας, ἀπὸ τῆς Ἡρακλέος στρατηλασίης ἔφασκον τοὺς ὑπολειφθέντας εἶναι τοὺς Σίβας· καὶ γὰρ καὶ σκυτάλην φορέουσί τε οἱ Σίβαι, καὶ τοῖσι βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται· καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπάλου τοῦ Ἡρακλέος. (13) Εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος, ἢ ὁ Τύριος οὗτος, ἢ ὁ Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην οὐ πόρρω τῆς Ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς.

quoque aliquod quum apud Parapamisadas esse accepissent, Promethei Titanis esse dixerunt, in quo ille ob ignem furto sublatum in crucem actus fuerit. (12) Apud Sibas quoque, Indicam gentem, quod eos pellibus amictos conspexerant, ab Herculis expeditione relictos esse Sibas disserebant. Siquidem et clavam gestant Sibæ, et bubus clavæ notam inurunt: quod item ad memoriam clavæ Herculis retulerunt. (13) Si cui vero hæc credibilia videntur, alius certe hic Hercules fuerit, non Thebanus, sed aut Tyrius, aut Ægyptius, aut aliquis etiam ex superiori regione non procul ab India habitata magnus rex.

ΚΕΦ. Ϛ'.

Ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου εἰς τὸ μὴ πιστὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος ποταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· ἔστε γὰρ ἐπὶ τὸν Ὕφασιν οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες οὐ πάντη ἄπιστοί εἰσιν. (2) Ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τῷ ποταμῷ διὰ τῆς χώρης τῆς Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης· (3) τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε· οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον. (4) Ὕεται δὲ ἡ Ἰνδῶν γῆ τὸ θέρος, μάλιστα μὲν τὰ ὄρεα, Παραπαμισός τε καὶ ὁ Ἠμωδὸς καὶ τὸ Ἰμαϊκὸν ὄρος, καὶ ἀπὸ τούτων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν. (5) Ὕεται δὲ τοῦ θέρεος καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε λιμνάζειν τὰ πολλὰ αὐτῶν· καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερβαλόντος τοῦ ὕδατος ἐς τὰ πεδία· (6) ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι καὶ τοῦ Νείλου τὸ πάθημα τοῦτο ὅτι εἰκὸς εἶναι ὕεσθαι τὰ Αἰθιόπων ὄρεα τοῦ θέρεος, καὶ ἀπ' ἐκείνων ἐμπιπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Αἰγυπτίην· (7) θολερὸς ὢν καὶ οὗτος ῥέει ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ἔῤῥεεν, οὔτε εἰ πρὸς τῶν ὥρῃ θέρεος πνεόντων ἐτησίων ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ· ἄλλως τε οὐδὲ χιονόβατα εἴη ἂν τὰ Αἰθιόπων ὄρεα ὑπὸ καύματος. (8) Ὕεσθαι δὲ κατάπερ τὰ Ἰνδῶν οὐκ ἔχω ἐστὶ τοῦ εἰκότος, ἐπεὶ καὶ τἄλλα ἡ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης, καὶ οἱ ποταμοὶ οἱ Ἰνδοὶ ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπείῳ τε καὶ Αἰγυπτίῳ χροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἱ αὐτῶν καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος, πλὴν ἵππου τοῦ ποταμίου· Ὀνησίκριτος δὲ καὶ τοὺς ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι. (9) Τῶν τε ἀνθρώπων αἱ ἰδέαι οὐ πάντῃ ἀπᾴδουσιν αἱ Ἰνδῶν τε καὶ Αἰθιόπων· οἱ μὲν πρὸς

CAP. VI.

Atque hæc quidem per digressionem dicta sint, ne fide digna videantur, quæ de iis qui ultra Hyphasin degunt Indis nonnulli conscripserunt: nam ad Hyphasin amnem usque non sunt prorsus indigni fide, qui expeditioni Alexandri interfuerunt. (2) Siquidem etiam hoc Megasthenes de flumine quodam Indico commemorat: Silam ei nomen esse, fluere ex fonte ejusdem cum flumine nominis per regionem Sileorum, qui etiam eandem, quam fons et fluvius, appellationem habeant. (3) Ejus aquam ejusmodi esse, ut nihil omnino sustinere possit, neque quicquam ei innatare neque supernavigare, sed omnia in fundum demergi. Ita præ reliquis omnibus hanc aquam tenuem atque magis aeriam esse. (4) India autem per æstatem pluvia madet: præcipue vero Parapamisus et Emodus atque Imaus montes, et ab his magni ac turbulenti amnes fluunt. (5) Perfunduntur æstate pluvia etiam campi Indiæ, ita ut plerique stagnent; fugitque aliquando Alexandri exercitus ab Acesine fluvio, quum media æstate ejus aqua campos obrueret. (6) Ex quibus licet certa conjectura etiam Nili inundationem explicare, quum verisimile sit Æthiopum montes æstate complui, atque iis pluviis impletum Nilum superatis ripis Ægyptum inundare: (7) turbidus igitur etiam hic fluvius hac anni parte fluit, sicut neque a nive liquata fluere potest, neque si ab etesiis æstate spirantibus inhiberetur ipsi aqua: præsertim quum ne nive quidem tecti sint fortasse Æthiopum montes præ calore. (8) Pluvias vero pati quemadmodum India, nequaquam dissentaneum rationi existimaverim: nam et ceteris in rebus India haud dissimilis Æthiopiæ est et fluvii Indici perinde ac Nilus Æthiopicus et Ægyptius crocodilos alunt, nonnulli et pisces ac balænas ejusdem generis ut Nilus, excepto equo fluviatili: sed hos quoque in iis esse Onesicritus tradit. (9) At ne facie quidem ac vultu multum inter se differunt Indi et Æthiopes. Certe qui ad austrum

νότου ἀνέμου Ἰνδοὶ τοῖς Αἰθίοψι μᾶλλόν τι ἐοίκασι, μέλανές τε ἰδέσθαι εἰσὶ, καὶ ἡ κόμη αὐτοῖσι μέλαινα· πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως οὐδὲ οὐλόκρανοι ὡς Αἰθίοπες· οἱ δὲ βορειότεροι τούτων κατ' Αἰγυπτίους μάλιστα ἂν εἶεν τὰ σώματα.

ΚΕΦ. Ζ'.

Ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ ἅπαντα λέγει Μεγασθένης, δυοῖν δέοντα. Καὶ πολλὰ μὲν εἶναι ἔθνεα Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένεϊ, τὸ δὲ ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους. (2) Πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδοὺς, καπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἳ ἐπὶ τῆσιν ἁμάξῃσι πλανώμενοι ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες οὔτε ἱερὰ θεῶν σέβοντες· (3) οὕτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι μηδὲ ἱερὰ θεῶν δεδομημένα· ἀλλ' ἀμπίσχεσθαι μὲν δορὰς θηρείους ὅσων κατακτάνοιεν, σιτέεσθαι δὲ τῶν δένδρεων τὸν φλοιόν· καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ Τάλα, καὶ φύεσθαι ἐπ' αὐτῶν, κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. (4) Σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας, πρὶν δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. (5) Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πολιάς τε οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλισιν, οἴνου τε δοτῆρα Ἰνδοῖσι γενέσθαι, κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν, διδόντα αὐτὸν σπέρματα, (6) ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματα σφίσιν ἔδωκε καρποῦ τοῦ ἡμέρου· (7) βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς, καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηίοισι. (8) Καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ διδάξαι τὴν σατυρικὴν, τὸν κόρδακα παρ' Ἕλλησι καλεόμενον· (9) καὶ κομᾶν Ἰνδοὺς τῷ θεῷ, μιτρηφορέειν τε ἀναδεῖξαι, καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ ἐς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ κατίσταντο.

ΚΕΦ. Η'.

Ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὡς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα, τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα· (2) καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν, τὸν πατέρα, τὸν δὲ παῖδα,

ventum vergunt Indi Æthiopibus magis similes sunt, nigra facie et nigra coma, sed non æque simi neque ita crispo capillitio ut Æthiopes: qui vero magis ad septentrionem incolunt, Ægyptios potius corporis forma referunt.

CAP. VII.

Gentes Indicas centum duodeviginti in universum statuit Megasthenes. Ego vero multas quidem Indiæ gentes esse, cum Megasthene senserim: unde autem certi aliquid cognoverit, conjectura assequi non possum, quum exiguam quandam Indiæ partem peragrarit, neque omnes ejus gentes commercia inter se agitent. (2) Olim quidem Indos nomades fuisse (dicit Megasthenes), quemadmodum et Scythas, qui arationem non exercent, sed in plaustris degentes incertis sedibus vagantur, neque urbes incolunt, neque templa deorum colunt: (3) ita neque Indis urbes fuisse neque templa diis exstructa, sed ferarum quas occiderint exuviis se vestivisse: arborum corticibus vesci solitos fuisse; vocari autem eorum lingua eas arbores Tala et innasci iis, quemadmodum in verticibus palmarum, veluti glomos lanarum carptarum. (4) Vesci etiam solitos fuisse feris quas venatu ceperint crudis, priusquam Liber ad Indos venisset. (5) Quem postquam venisset eosque devicisset, urbes Indorum condidisse, iisque leges sanxisse: vini etiam usum Indis dedisse, ut et Græcis, dato etiam semine rationem serendi eos docuisse: (6) sive quod Triptolemus, quum a Cerere ad conserendam universam terram missus fuisset, ad eam regionem non pervenerit; sive quod ante Triptolemum hic Liber, quisquis sit, ad Indos profectus frugum mitium semina iis dederit. (7) Primum etiam Liberum boves aratro junxisse, et plerosque Indorum ex erronibus aratores fecisse, martiisque armis armavisse: (8) et cultum cum aliorum deorum tum sui maxime ipsius docuisse, quem cymbalorum et tympanorum pulsu fieri jusserit. Saltationem etiam satyricam induxisse, quam Græci cordacen vocant. (9) Ad hæc comam deo nutrire, mitram gerere unguentisque ostendisse Bacchum: adeo ut ad Alexandri usque tempora cum cymbalis et tympanis prælia Indi inierint.

CAP. VIII.

Discedentem vero ex India Liberum rebus ita constitutis regem Indis præfecisse Spatembam, unum ex amicis, rerum Bacchicarum peritissimum. Quo mortuo ad Budyam ejus filium regnum transiisse. (2) Et Spatembam quidem annos LII Indis regnavisse: Budyam ejus filium XX. Hujus

εἴκοσιν ἔτεα· καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν· (3) καὶ τὸ ἀπὸ τοῦδε τὸ πολλὸν μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληίην, παῖδα παρὰ πατρὸς ἐκδεκόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην κατίστασθαι Ἰνδοῖσι βασιλέας. (4) Ἡρακλέα δὲ, ὅντινα ἐς Ἰνδοὺς ἀπικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. (5) Τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόλιες μεγάλαι, Μέθορά τε καὶ Κλεισόβορα, καὶ ποταμὸς Ἰωβάρης πλωτὸς διαῤῥέει τὴν χώρην αὐτῶν. (6) Τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται· καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ· πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα· θυγατέρα δὲ μουνογενέην· (7) οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην καὶ τὴν χώρην ἵνα τε ἐγένετο καὶ ἥστινος ἐπέτρεψεν αὐτὴν ἄρχειν Ἡρακλέης Πανδαίην, τῆς παιδὸς ἐπώνυμον· καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. (8) Καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέος λέγουσιν· ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν, καὶ καθήραντα δ', τι περ κακὸν κίναδος, ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμον γυναικήιον· (9) ὅντινα καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι, καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες, μέζονι ἔτι σπουδῇ ὠνέονται τὸν μαργαρίτην ὃν τὸν θαλάσσιον, οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεόμενον· (10) τὸν γὰρ Ἡρακλέα, ὡς καλὸν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην ὃν τοῦτον, τῇ θυγατρὶ τῇ ἑωυτοῦ εἶναι κόσμον. (11) Καὶ λέγει Μεγασθένης, θηρεύεσθαι αὐτοῦ τὴν κόγχην δικτύοισι, νέμεσθαι δ' ἐν τῇ θαλάσσῃ κατ' αὐτὸ πολλὰς κόγχας, κατάπερ τὰς μελίσσας· καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα ἢ βασίλισσαν, ὡς τῇσι μελισσίῃσι. (12) Καὶ ὅστις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτέων· εἰ δὲ διαφύγοι σφᾶς ὁ βασιλεὺς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους· τοὺς ἁλόντας δὲ περιορᾶν κατασαπῆναι σφίσι τὴν σάρκα, τῷ δὲ ὀστέῳ ἐς κόσμον χρᾶσθαι. (13) Καὶ εἶναι γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν γῇ ὀρυσσόμενον.

filium Cradeuam in regnum successisse; (3) atque exinde plerumque successione regnum a patribus in filios per manus esse traditum. Si vero regem absque liberis decedere contingeret, optimos quosque ab Indis reges creatos esse. (4) Herculem porro, quem ad Indos pervenisse fama est, terrigenam ipsos Indos vocasse. (5) Atque hunc a Surasenis Indica genta præcipue coli, qui quidem duas magnas urbes habent, Methora et Clisoboram. Iobares fluvius navigabilis per eorum regionem fluit. (6) Hic Hercules; ut auctor est Megasthenes, eodem cultu corporis quo Thebanus Hercules utebatur, quod Indi ipsi narrant; multosque admodum ei liberos mares in India fuisse dicit: multas enim uxores habuisse etiam hunc Herculem: filiam vero unicam, nomine Pandæam: (7) regionem quoque in qua nata est, et cujus imperio eam præfecit Hercules, Pandæam a filiæ nomine appellatam: eamque possedisse ab patre elephantos D, equites ad IIII M, pedites circiter C XXX M. (8) Sunt et Indi, qui hoc etiam de Hercule narrent. Quum universam terram ac mare peragrasset, et quidquid erat malarum bestiarum sustulisset, ornatum quendam muliebrem, (*margaritam*) in mari reperisse. (9) Quem etiam in hunc diem qui merces ex India ad nos adferunt, magno studio ementes exportant: atque quotquot apud Græcos olim apud Romanos ditiores sunt, majore adhuc studio emunt et nunc margaritam marinam, ita Indorum lingua dictam. (10) Herculem enim, quum hic ornatus pulchi rei videretur, margaritas hujus generis ex universo mari in Indiam collegisse, quibus filia ejus ornaretur. (11) Megasthenes concham hujus margaritæ retibus capi scribit; versari autem in mari eodem loco agmen multarum concharum, veluti apum examen. Regem enim suum etiam aut reginam margaritas habere, ut apes: (12) ac si forte contingat regem capi, reliquum etiam margaritarum examen facile ab eodem circumcingi: si vero rex piscatores evadat, ne reliquas quidem conchas capi posse. Earum carnes Indos ubi eas ceperint putrescere sinere: osse ad ornatum uti. (13) Esse autem etiam apud Indos margaritas ter tanto auri solidi, quod etiam in India effoditur, pondere æstimatas.

ΚΕΦ. Θ'.

Ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεας ἐούσας ἐς ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι. (2) Καὶ ὑπὲρ τούτου λεγόμε-

CAP. IX.

Ad hæc in his regionibus quibus Herculis filia imperitavit, feminas ubi ad septimum ætatis annum pervenerint viro maturas nubere: viros XL summum annos vivere. (2) Atque hac de re hujuscemodi sermonem apud Indos jacta-

νον λόγον εἶναι παρ' Ἰνδοῖσιν· Ἡρακλέα, ὀψιγόνου οἱ γενομένης τῆς παιδὸς, ἐπείτε δὴ ἐγγὺς ἔμαθεν ἑωυτῷ ἐοῦσαν τὴν τελευτὴν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν βασιλέας. (3) Ποιῆσαι ὧν αὐτὴν Ἡρακλέα ὡραίην γάμου· καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη ἐπῆρξε, ταὐτὸν τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέος. (4) Ἐμοὶ δὲ δοκέει, εἴπερ ὧν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός τε ἦν ἐξεργάζεσθαι, καὶ αὐτὸν ἀποφῆναι μακροβιώτερον, ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. (5) Ἀλλὰ γὰρ εἰ ταῦτα ὑπὲρ τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστὶν, ἐς ταὐτὸν φέρειν δοκέει ἔμοιγε ἐς ὅ, τι περ καὶ ὑπὲρ τῶν ἀνδρῶν τῆς ἡλικίης ὅτι τεσσαρακοντούτεες ἀποθνήσκουσιν οἱ πρεσβύτατοι αὐτῶν. (6) Οἷς γὰρ τό τε γῆρας τοσῷδε ταχύτερον ἐπέρχεται καὶ ὁ θάνατος ὁμοῦ τῷ γήρᾳ, πάντως που καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει· (7) ὥστε τριακοντούτεες μὲν ὡμογέροντες ἄν που εἶεν αὐτοῖσιν οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ ἔξω ἥβης νεηνίσκοι· ἡ δὲ ἀκροτάτη ἥβη ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα· καὶ τῇσι γυναιξὶν ὥρη τοῦ γάμου κατὰ λόγον ἂν οὕτω ἐς τὰ ἑπτὰ ἔτεα συμβαίνοι. (8) Καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον μὲν τῆς ἄλλης, αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψε, καὶ φθίνειν ταχύτερον. (9) Ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς Σανδράκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν, ἔτεα δὲ, δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην * * τὴν δὲ καὶ ἐς τριηκόσια· τὴν δὲ εἴκοσί τε ἐτέων καὶ ἑκατόν· (10) πρεσβύτερόν τε Διόνυσον Ἡρακλέος ὀέκα καὶ πέντε γενεῇσιν Ἰνδοὶ λέγουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμῳ, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα καὶ τἆλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίην βασιλέων γενόμενον τὸν Κῦρον· (11) ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι πάντων τοῖσιν ὅπλοισιν, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. (12) Οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινὰ ἔξω τῆς οἰκηίης σταλῆναι ἐπὶ πολέμῳ διὰ δικαιότητα.

ri: Quum Herculi jam seni hæc filia nata esset, neque procul abesse vitæ suæ finem suspicaretur, nec inveniret virum tali sponsa dignum, ipsum cum filia septem annos nata coiisse, ut sobolem ex se et illa relinqueret reges Indiæ. (3) Herculem itaque illam nubilem fecisse. Atque exinde universam eam gentem cui Pandæa imperavit idipsum beneficii ab Hercule accepisse. (4) Mea vero sententia est: si Hercules par erat rei adeo absurdæ perpetrandæ, diuturnioris etiam se ipsum vitæ facere potuisset, ut cum filia matura rem habere posset. (5) Quod si tamen hæc de puellarum istius loci maturitate vera sunt, eodem mihi spectare videntur, quo etiam spectat illud de virorum ætate, quod qui quam longissime vivant quadragesimum annum non excedant. (6) Quibus enim senectus tanto celerius advenit atque simul cum senectute mors, iis omnino et vigor ætatis, proportione quadam ad finem vitæ habita, citius accedat necesse est, (7) ita ut viri triginta annos nati jam ad primam illam viridem senectam pervenisse dicendi sint: et qui xx, juvenes quidem sint, sed qui pubertatis ætatem excesserint: qui circiter xv, summis pubertatis viribus floreant; et fœminis eadem ratione maturitas ad nuptias septimo anno contingat: (8) quippe et fructus in ea regione citius quam in alia ulla maturescere, citiusque interire idem Megasthenes scribit. (9) A Baccho quidem ad Sandracottum Indi reges numerabant CLIII, annos vero VI M XLII. In his vero ter summam rerum in libertatem * deinde adeo per annos CCC, denique per annos CXX. (10) Bacchum etiam Indi Hercule antiquiorem esse dicunt XV ætatibus: nullumque alium belli inferendi causa fines suos ingressum: neque Cyrum Cambysis filium, quamvis is adversus Scythas exercitum duxerit et alioqui plurima molitus sit inter reges Asiæ. (11) Alexandrum vero in eas regiones venisse, omnesque armis subegisse ad quas pervenerit: ac ceteros omnes subacturum fuisse, nisi exercitus ulterius progredi recusasset. Sed neque Indorum quemquam extra patriam profectum esse ad bellum, propter justitiam.

ΚΕΦ. Ι'.

Λέγεται δὲ καὶ τάδε, μνημήϊα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται. (2) Πολίων δὲ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος· ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· (3) οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιπλᾶσι τοῦ ὕδατος

CAP. X.

Feruntur etiam hæc: non condere Indos monimenta mortuis; virtutes enim virorum ad perpetuandam post mortem memoriam sufficere existimant, et carmina quæ in eorum honorem canuntur. (2) Urbium vero Indicarum numerum præ multitudine compertum non esse: eas vero quæ juxta flumina aut mare sitæ sint, ex lignea materia constructas esse; (3) neque enim, si ex latere confectæ essent, longo tempore duraturas, tum propter imbres, tum quod amnes superatis ripis plana loca aqua repleat. (4)

τὰ πεδία. (4) Ὅσαι δὲ ἐν ὑπερδεξίοισί τε καὶ μετεώροισι τόποισι, καὶ τούτοισιν ὑψηλοῖσιν, ὠχισμέναι εἰσὶ, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι· (5) μεγίστην δὲ πόλιν ἐν Ἰνδοῖσιν εἶναι Παλίμβοθρα καλεομένην, ἐν τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐρανναβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ Ἐρανναβόας τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλῃ καὶ οὗτος· ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλλῃ ἐς αὐτὸν τὸ ὕδωρ. (6) Καὶ λέγει Μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν πολιν κατ' ἑκατέρην τὴν πλευρὴν ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ὠχισται ἐς ὀγδοήκοντα σταδίους· τὸ δὲ πλάτος ἐς πεντεκαίδεκα· (7) τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλι τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πήχεων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἐπέχειν τὸ τεῖχος καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. (8) Εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. Τοῦτο μὲν Λακεδαιμονίοισιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι· (9) Λακεδαιμονίοισι μέν γε οἱ εἵλωτες δοῦλοί εἰσι καὶ τὰ δούλων ἐργάζονται· Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτι γε Ἰνδῶν τις.

Quæ vero in superioribus et sublimioribus altisque locis positæ sint, ex lateribus et cæmento factas esse. (5) Maximam autem apud Indos urbem esse Palimbothra in Prasiorum finibus, ad Erannoboæ et Gangis fluminum confluentem: ac Gangis quidem maximi omnium fluminum. Erannoboas autem tertius fortasse fuerit Indiæ fluminum, major tamen hic quoque aliarum terrarum fluviis, sed Gangi cedit, quum in eum aquam suam immisit. (6) Ait porro Megasthenes longitudinem urbis esse ab utroque latere, qua longissime habitatur, stadiorum LXXX, latitudinem XV; (7) fossamque urbi circumductam, latitudine sex jugerum, altitudine cubitorum XXX, murum turres habere DLXX, portas LXIV. (8) Hoc etiam esse memorabile in India, omnes Indos liberos esse, neque ullum omnino Indum servum esse. Qua quidem in re Indis cum Lacedæmoniis convenit. (9) Lacedæmoniis tamen Helotes servi sunt, serviliaque munia obeunt; Indis vero neque alius servus est, nedum Indorum quisquam.

ΚΕΦ. ΙΑ'.

Νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γενεάς· ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθεϊ μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι. (2) Οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφὶν προσκέεται, οὔτε τι ἀποφέρειν ἀπ' ὅτου πονέουσιν ἐς τὸ κοινόν· οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖσι σοφιστῇσιν, ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ τῶν Ἰνδῶν· (3) καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίης τῶν τις σοφιστέων τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖσι θεοῖσι θύσαντας. (4) Εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι ὅτι μὴ σοφῷ ἀνδρί. (5) Μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὡρέων τοῦ ἔτεος καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει· τὰ δὲ ἴδια ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι, ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ σμικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. (6) Ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίνεσθαι οὐδὲν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ καταχέχριται. (7) Οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταὶ, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν· ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώπους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. (8) Σιτέονται δὲ ὡραῖα καὶ τὸν φλοιὸν τῶν δένδρεων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον οὐ

CAP. XI.

Distinguuntur autem Indi omnes in septem potissimum genera hominum: quorum qui sophistæ sive sapientes appellantur, numero quidem reliquis inferiores sunt, sed honore et gloria præstantissimi. (2) Neque enim ad ulla opera quæ corpore præstantur adigi possunt: neque quicquam conferunt ad publicum usum ex iis quæ labore parant; neque, ut summatim dicam, ullius plane operis necessitas sophistis imposita est, nisi ut diis pro communi salute sacrificia faciant. (3) Et siquis privatim sacrificat, aliquis ex his sophistis interpres sacrificiorum ei adjungitur; tanquam aliter accepta diis sacrificia futura non sint. (4) Sunt vero etiam hi soli inter Indos divinandi periti: neque cuiquam divinatio permittitur nisi sapienti viro. (5) Vaticinantur autem de temporibus anni, aut si quæ publica calamitas immineat. De rebus privatis non vaticinantur, sive quod divinandi rationem ad res minores pertinere non putant: sive quod indignum credunt circa minutiora hæc laborare. (6) Quicunque autem ter divinando a vero aberrarit, huic nihil aliud pœnæ loco infligitur, quam quod ei deinceps silentium agere necesse est: neque est, qui cogat virum hunc, vocem mittere, cui silentium imperatum fuerit. (7) Hi sophistæ nudi degunt. Heime sub dio apricantur: æstate quum sol fervet in pratis et palustribus locis sub ingentibus arboribus. Quarum umbram Nearchus scribit ad quinque jugera in circuitu extendi, facileque dena hominum millia sub unius arboris umbra delitescere; tantæ magnitudinis esse eas arbores. (8) Fructibus vero maturis vescuntur corticibusque arborum, quæ et dulces sunt et multi nutrimenti, perinde

μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων. (9) Δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν, οὗτοι πλήθει πλεῖστοι Ἰνδῶν ἐόντες· καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήϊα οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται· καὶ τοὺς φόρους τοῖσί τε βασιλεῦσι καὶ τῇσι πόλισιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι· (10) καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσι τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφὶν ἅπτεσθαι, οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν· ἀλλὰ οἱ μὲν πολεμέουσι καὶ καταχαίνουσιν ἀλλήλους ὅπως τύχοιεν, οἱ δὲ πλησίον αὐτῶν κατ' ἡσυχίην ἀροῦσιν ἢ τρυγῶσιν ἢ χλαδοῦσιν ἢ θερίζουσιν. (11) Τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι, καὶ οὗτοι οὔτε κατὰ πόλιας οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι. Νομάδες τέ εἰσι καὶ ἀνὰ τὰ οὔρεα βιοτεύουσι φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι· καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

ΚΕΦ. ΙΒ'.

Τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. Καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλὴν γε δὴ ὅσοι τὰ ἀρήϊα ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. Ἐν δὲ τούτῳ τῷ γένεϊ οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦται εἰσίν, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι. (2) Πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί, πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον· καὶ οὗτοι ἀσκηταὶ μούνων τῶν πολεμικῶν ἔργων εἰσί. (3) Τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖσι ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι· καὶ διακονέουσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἱ τούς τε ἵππους αὐτοῖσι θεραπεύουσι καὶ τὰ ὅπλα ἐκκαθαίρουσι καὶ τοὺς ἐλέφαντας ἄγουσι καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. (4) Αὐτοὶ δὲ, ἔστ' ἂν μὲν πολεμέειν δέῃ, πολεμέουσιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως. (5) Ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. Οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ τὰς πόλιας· καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵναπερ βασιλεύονται Ἰνδοί, ἢ τοῖσι τέλεσιν, ἵναπερ αὐτόνομοι εἰσί· καὶ τούτοισιν οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν· οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι. (6) Ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ, ἢ κατὰ τὰς πόλιας ὅσαι αὐτόνομοι σὺν τῇσιν ἀρχῇσι. (7) Πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον· ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. (8) Γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἐμπαλιν· οὐδὲ

atque palmarum fructus. (9) Secundum genus hominum post sophistas sunt agricolæ, qui quidem numero reliquas Indorum tribus longe superant. Hi neque arma habent, quibus in bello utantur, neque bellicas res curant: sed agros colunt, et regibus liberisque urbibus tributa pendunt; (10) et si intestina inter Indos bella incidant, nec licet militibus manus injicere agricolis, neque ipsum agrum vastare; sed dum alii inter se bellum gerunt seséque mutuo interficiunt prout res dat, hi juxta illos tranquille aut arant, aut fruges colligunt, aut poma ab arboribus decutiunt, aut messi vacant. (11) Tertium genus Indorum sunt pastores, sive opiliones sive bubulci, et hi neque urbes neque pagos inhabitant, sed vagabundi in montibus degunt, tributum vero et hi ex armentis et pecore pendunt, avesque et agrestes feras venantur.

CAP. XII.

Quartum genus est opificum et negotiatorum. Et hi corpore laborant, atque ex operibus suis tributa persolvunt, iis exceptis qui arma bellica fabricantur. Ii enim etiam ex publico mercedem accipiunt. In hoc genere sunt fabri navales et nautæ quotquot flumina navigant. (2) Quintum genus est militantium: multitudine quidem secundum post agricolas, sed maxime liberum atque alacre. Hi solas bellicas res exercent. (3) Arma alii ipsis conficiunt, et equos alii suppeditant, serviuntque his apud castra alii, qui et equos curant atque arma extergent, et elephantos ducunt, et currus instruunt ac gubernant. (4) Ipsi vero, quum bellandum est, bellant: constituta autem pace jucundam atque alacrem vitam degunt, tantumque stipendij eis ex publico datur, ut ex eo etiam alios commode alere possint. (5) Sextum genus est episcoporum sive inquisitorum, ut vocantur. Hi quid in urbibus, quid in agris agatur inquirunt, eaque regibus, si per reges gubernantur, aut magistratibus, si liberæ civitates sunt, denuntiant. His fas non est falsa pro veris denuntiare: neque Indorum quisquam mendacii unquam accusatus est. (6) Septimum genus est eorum qui de rebus ad commune pertinentibus consultant: idque vel cum rege, vel per urbes quæ liberæ imperium tenent cum magistratibus. (7) Atque hi quidem numero pauci sunt: sed sapientia ac justitia reliquis præstant. Ex hoc genere magistratus et regionum præsides et præfecti et quæstores ac copiarum et classium duces, ac dispensatores et rerum rusticarum exactores deliguntur. (8) Conjugia inter hos ordines promiscua fieri nefas est. Neque enim licet exem-

δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν, οὐδὲ τοῦτο θέμις· οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ νομέος γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. (9) Μοῦνον σφίσιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσιν εἰσὶ τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα.

ΚΕΦ. ΙΓ'.

Θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, κατάπερ καὶ Ἕλληνες· ἡ δὲ τῶν ἐλεφάντων σφὶν θήρη οὐδέν τι ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοισιν ἐπέοικε. (2) Ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. Τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας. (3) Τὸν δὲ χόον ὄντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχρέονται· (4) αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπιχειλέος τοῦ ἔξω τῆς τάφρου σκηνὰς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται· δι' ὧν φῶς τε αὐτοῖσι συνεισέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. (5) Ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χόον τε καὶ ποίην πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον δίσθωσιν. (6) Αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων τῶνὑπὸ τῇ τάφρῳ δεδυκότες. Οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκεομένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντη καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. (7) Ἐπεὰν ὦν τῷ ἕρκεϊ πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῇ ὀδμῇ αἰσθανόμενοι, ὁρόμῳ ἴενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ ταύτην ἐς τὸ ἕρκος ὠθέονται. (8) Οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκεϊ ἔχονται· (9) οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ' ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ δίψεϊ δουλωθῆναι. (10) Εὖτ' ἂν δὲ σφίσι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἁλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς

pli causa agricolæ ex opificum ordine uxorem ducere : nec contra. Neque uni duas artes exercere fas est, neque ex uno genere in aliud transire : veluti agricolam ex pastore, aut pastorem ex opifice fieri. (9) Hoc tantum permittitur, sophistam ex quocunque genere fieri. Neque enim mollis est sophistarum vita, sed omnium laboriosissima.

CAP. XIII.

Venantur autem Indi reliquas feras ut Græci : at elephantorum apud eos venatio nihil prorsus alii venandi modo similis est, siquidem et hæ feræ nullis similes sunt. (2) Deligunt venatores locum planum et apricum, magni exercitus capacem, in cujus circuitu fossam ducunt. Fossæ latitudo ad quinque orgyias habet, altitudo circiter quatuor. (3) Terram, quam fodiendo eruunt, utrimque ad labra fossæ congerunt, eaque pro muro utuntur. (4) Ipsi autem in exterioris labri aggere tentoria sibi fossilia faciunt, et foramina in iis, per quæ lucem admittant, relinquunt : ipsique ex iis feras appropinquantes atque in septum ingredientes prospectant. (5) Tunc tres aut quatuor elephantos fœminei sexus ex mansuetissimis septo includentes, unum per fossam aditum relinquunt, fossa ponte juncta, quem multa terra et multo cespite sternunt, ne conspici a feris pons, et dolus sentiri possit. (6) Venatores autem remoti sese in cavernis pone fossam continent. Nam feri elephanti loca habitata interdiu non adeunt : noctu vero passim errantes gregatim pascuntur, eumque ducem sequuntur qui et maximus est et generosissimus : non aliter ac tauros vaccæ sequi cernuntur. (7) Postquam septis propiores facti fœminarum vocem audierunt, easque per odoratum cognovere, cursu feruntur ad septa, et fossæ labra circumeuntes quum ad pontem pervenerint, per eum in septa ruunt. (8) Venatores ubi ingressos feros elephantos sentiunt, alii continuo pontem subtrahunt, alii proximos pagos petentes elephantos septo inclusos esse nuntiant. (9) Quo cognito populares confestim elephantos animosissimos ac mansuetissimos conscendunt, atque ad septum accedunt. Nec tamen primo statim adventu cum agrestibus elephantis pugnam aggrediuntur, sed illos aliquamdiu fame macerari ac siti domari sinunt : (10) quumque jam languidiores factos vident, rursus immisso ponte septa ingrediuntur. Et primo quidem acre certamen fit inter domitos elephantos et feros captos : tandem superantur,

οἱ ἄγριοι ὑπό τε τῇ ἀθυμίᾳ καὶ τῷ λιμῷ ταλαιπωρεύμενοι. (11) Οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν· ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πλη-
5 γῇσι σφᾶς κολάζειν πολλῇσιν, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι· παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. (12) Τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν
10 τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. (13) Εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ. Οὕτω μὲν
15 ὦν ἀτρέμα ἴσχουσι, καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων.

ut par est, feri, languore et fame pressi. (11) Tum sessores ex elephantis in terram demissi languidis jam feris elephantis summos pedes colligant; dehinc domitis elephantis imperant, ut feros multis plagis castigent, donec verberibus defatigati in terram procidant. Tunc adstantes cervicibus eorum laqueos aptant, et ipsi prostratos inscendunt. (12) Ne vero sessores excutiant, neve aliud damni inferant, colla acuto gladiolo in circuitum proscindunt, vulnusque laqueo circumligant, ut præ ulcere et collum et caput immotum teneant. (13) Si enim pervicaciter reluctentur, fune ulcus teritur. Atque ita tandem quiete se habent, et victos sese agnoscentes ex vinculo ab domitis ducuntur.

ΚΕΦ. ΙΔ'.

Ὅσοι δὲ νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. (2) Ἄγοντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας
20 τοῦ τε χλωροῦ καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν· (3) οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιϊστάμενοι οἱ Ἰνδοὶ ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐποδοντες κατευνάζουσι. (4) Θυμόσοφον γὰρ
25 εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας· καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους, οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν· ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε
30 καὶ ἀθυμίης ἀπέθανεν. (5) Εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον· (6) ὁ δὲ ἐν μέρεϊ τῇ προβοσκίδι
35 ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν· οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρεϊ ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, κατότι ὁ κυμβαλίζων σφίσιν ὑπηγέετο. (7) Βαίνεται δὲ ἐλέφας,
40 ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῆσι θηλείῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσι· κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα· τίκτει δὲ ἕν, κατάπερ ἵππος· καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος ὄγδοον.
45 (8) Ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς διηκόσια· πολλοὶ δὲ νούσῳ προτελευτῶσιν αὐτῶν· γήραϊ δὲ ἐς τόσον ἔρχονται. (9) Καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴημα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νούσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι τὰ

CAP. XIV.

Qui vero eorum immaturæ ætatis aut propter malam corporis constitutionem digni non sunt, qui possideantur, eos abire in loca ipsis consueta permittunt. (2) Cæteros captos in pagos ducunt, ac primum eos gramine et viridibus culmis pascunt. (3) Illi vero præ mœrore prorsus vesci nolunt. Indi autem circumstantes tympanorum ac cymbalorum pulsu cantuque eos exhilarant ac demulcent. (4) Intelligens enim, si quæ alia fera, est elephas. Et quidem nonnulli rectores suos in bello cæsos sublatos ad sepulturam detulerunt: alii jacentes propugnarunt: alii pro sessoribus lapsis neci sese objecerunt; quidam quum per iram rectorem suum occidisset, pœnitentia et mœrore se confecit. (5) Vidi ego aliquando elephantum cymbalum pulsantem aliis saltantibus, duobus cymbalis ad anteriora crura appensis, alioque ad proboscidem alligato. (6) Ipse alternatim proboscide cymbalum in numerum ad utrumque crus pulsabat: reliqui in gyrum choreas ducebant, et sublatis flexisque prioribus cruribus vicissim in numerum etiam procedebant, prout si, qui cymbalum pulsabat, sono præibat. (7) Elephas venerem appetit verno tempore, quemadmodum bos aut equa, quum fœminis spiracula quædam circa tempora adaperta expirant; fertque in utero fœtum minimum XVI menses, summum XVIII. Parit autem elephas unicum, sicut equa: atque hunc lacte suo in octavum usque annum nutrit. (8) Vivunt elephanti, qui plurimum, annos CC; multi vero ante hoc tempus morbo intereunt. Senectute vero ad hanc ætatem pertingunt. (9) Oculorum ægritudini remedium iis est lac bubulum infusum: reliquis morbis vinum nigrum epotum prodest, ulceribus autem

ὕεια κρέα ὀπτώμενα καὶ καταπασσόμενα. Ταῦτα παρ' Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰήματα.

ΚΕΦ. ΙΕ'.

Τοῦ δὲ ἐλέφαντος τὸν τίγριν πολλόν τι ἀλκιμώτερον Ἰνδοὶ ἄγουσι. Τίγριος δὲ ὀρὴν μὲν ἰδεῖν λέγει Νέαρχος, αὐτὸν δὲ τίγριν, οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ ἀπηγέεσθαι, τίγριν εἶναι μέγεθος μὲν ἡλίκον τὸν μέγιστον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ ἄλλῳ εἰκάσαι· (2) τίγριν γὰρ, ἐπεὰν ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπιπηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν εὐπετέως. (3) Ταύτας δὲ ἄστινας καὶ ἡμεῖς ὁρέομεν καὶ τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἢπερ τοὺς ἄλλους θῶας. (4) Ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁποῖον δή τινα μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ, δορὰς δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακομισθείσας τὸ Μακεδονικόν. (5) Μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει, τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ φύσει γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν, ἵνα φωλεύοιεν, κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν· (6) ἐκείνους δὲ, εἶναι γὰρ ἀλωπέκων μέζονας, πρὸς λόγον τοῦ μεγέθεος σῳῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. (7) Ἀλλὰ Μεγασθένης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν μυρμήκων λόγον. (8) Σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι θῶμα ἀπηγέεται ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ, καὶ ὁκοῖος ὄρνις ἐστὶν ὁ σιττακὸς, καὶ ὅπως φωνὴν ἵει ἀνθρωπίνην. (9) Ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλλους ἐπισταμένους οἶδα τὸν ὄρνιθα, οὐδὲν ὡς ἀτόπου ὀνήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ' Ἰνδοῖς πίθηκοί εἰσιν, οὐδὲ ὅκως θηρῶνται ἐρέω. Καὶ γὰρ ταῦτα γνώριμα ἐρέω, πλήν γε δὴ, ὅτι καλοί που πίθηκοί εἰσι. (10) Καὶ ὄφιας δὲ λέγει Νέαρχος θηρευθῆναι αἰόλους μὲν καὶ ταχέας· μέγεθος δὲ, ὃν μὲν λέγει εἶδεῖν Πείθωνα τὸν Ἀντιγένεος, πήχεων ὡς ἑκκαίδεκα· αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ μέζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφιας. (11) Ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρηται ὅστις ὑπὸ ὄφιος δηχθείη Ἰνδικοῦ· ἀλλ' αὐτοὶ γὰρ οἱ Ἰνδοὶ ἴωντο τοὺς πληγέντας· καὶ ἐπὶ τῷδε Νέαρχος λέγει· συλλελεγμένους ἀμφ' αὐτὸν εἶχεν Ἀλέξανδρος Ἰνδῶν ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ κεκήρυκτο ἀνὰ τὸ στρατόπεδον, ὅστις δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν βασιλέος. (12) Οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων ἰητροὶ ἦσαν. Οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται, ὅτι αἱ

carnes suillæ tostæ atque intritæ vulneribus. Hæc apud Indos morbis eorum remedia sunt.

CAP. XV.

Tigrim vero Indi elephanto multo fortiorem esse censent. Ejus pellem se vidisse scribit Nearchus, feram ipsam nequaquam: Indos tamen narrare magnitudine esse maximi equi; tanta vero velocitate et robore, ut nulli alii feræ comparari possit. (2) Quando cum elephanto congrediatur, in caput ejus insilire, facileque strangulare. (3) Cæterum eas quas nos videmus et tigres vocamus, thoes esse maculosas, majores quam sint reliquæ thoes. (4) De formicis etiam scribit Nearchus, se quidem eas non vidisse, cujusmodi nonnulli tradant in India nasci; pelles tamen earum non paucas abs se visas, in castra Macedonum allatas. (5) Megasthenes certa veraque esse quæ de formicis scribuntur dicit: eas nimirum esse quæ aurum e terra effodiant, non quidem auri ipsius causa, sed ut sibi antra in quibus delitescant parent: quemadmodum nostræ etiam formicæ exiguæ quum sint, nonnihil terræ eruant; (6) illas vero, quippe quæ sint vulpibus majores, pro ratione magnitudinis quoque terram fodere, quæ aurum mistum habeat, et ex ea Indis aurum fieri. (7) Sed Megasthenes auditum narrat, ego vero quum nihil habeam certius quod ea de re scribere possim, libenter hunc de formicis sermonem missum faciam. (8) Psittacos autem Nearchus narrat, tanquam rem miram, apud Indos nasci: et cujusmodi avis sit psittacus describit, ac vocem humanam exprimere ait. (9) Ego quoniam multas ipse ejus generis aves vidi et alios scio nosse hanc avem, nihil de ea tanquam mirum narrabo, neque de simiarum magnitudine, vel quod pulchræ apud Indos simiæ sint, vel quomodo capiantur, dicam. Nota enim omnibus dixerim: præterquam fortasse quod pulchræ sint. (10) Scribit etiam Nearchus serpentes ibidem capi maculosos magnæque velocitatis, et eum quem Pithon Antigenis F. cepit, fuisse cubitorum circiter XVI: Indos vero affirmare, multo majores his apud se nasci eos qui maximi sint. (11) Neminem autem Græcorum medicorum remedium adversus morsum Indici serpentis invenisse: ipsos tamen Indos eos qui morsi essent curasse. Addit Nearchus Alexandrum Indos quotquot medicinæ peritissimi erant apud se habuisse, et per præconem in castris edictum fuisse, ut quisquis a serpente ictus esset, ad regis tabernaculum veniret. (12) Hi ipsi medici etiam reliquis morbis medebantur. At non multi in India morbi grassantur, quod tempora anni bene temperata iis locis sunt. Si qua vero major vis ingrueret, sophistas

ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι μέζον καταλαμβάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι οὐκ ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ, τι περ ἰήσιμον.

ΚΕΦ. ΙϚ'.

Ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέαρχος, λίνου τοῦ ἀπὸ τῶν δένδρεων, ὑπὲρ ὅτων μοι ἤδη λέλεκται. Τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν ἐστιν ἄλλου λίνου παντὸς, ἢ μέλανες αὐτοὶ ἐόντες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. (2) Ἔστι δὲ κιθὼν λίνεος αὐτοῖς ἔστε ἐπὶ μέσην τὴν κνήμην, εἶμα δὲ τὸ μὲν περὶ τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ δὲ περὶ τῇσι κεφαλῇσιν εἰλιγμένον. (3) Καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος, ὅσοι χάρτα εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι. (4) Τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοὶ, χροιὴν δὴ ἄλλην καὶ ἄλλην· οἱ μὲν, ὡς λευκοὺς φαίνεσθαι, οἵους λευκοτάτους, οἱ δὲ κυανέους· τοὺς δὲ φοινικέους εἶναι, τοὺς δὲ καὶ πορφυρέους, ἄλλους πρασοειδέας. (5) Καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι οὐκ ἠμεληκότες Ἰνδῶν. Ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περισσῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνεα τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλὰ, τοῦ μέζονας φαίνεσθαι. (6) Ὁπλίσιος δὲ τῆς Ἰνδῶν οὐκ ὠυτὸς εἷς τρόπος, ἀλλ' οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν, ἰσόμηκες τῷ φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐντοξεύουσι, τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες· (7) ὁ γὰρ ὀϊστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ τι ἀντέξει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς οὔτε θώρηξ οὔτε εἴ τι καρτερὸν ἐγένετο. (8) Ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόϊνοι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκεϊ δὲ οὐ πολλὸν ἀποδέουσαι. Τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. (9) Μάχαιραν δὲ πάντες φορέουσι, πλατέην δὲ καὶ τὸ μῆκος οὐ μέζω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ αὐτοῖσιν ἡ μάχη (τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίνεται) ἀμφοῖν ταῖν χεροῖν καταφέρουσιν ἐς τὴν πληγήν, τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. (10) Οἱ δὲ ἱππέες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, εἶκα τὰ σαύνια ἀκόντια, καὶ πέλτην σμικροτέρην τῶν πεζῶν. Οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσὶν, οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφερέως, (11) ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ ἔχουσι δέρμα ὠμοβόϊνον ραπτὸν περιηρτημένον· καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν· ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ ὀβελὸν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες· (12) ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς

consulebant, iique non sine numine, quicquid medicabile esset, curare videbantur.

CAP. XVI.

Linea veste utuntur Indi, ut ait Nearchus, lino ex arboribus facto, de quibus mihi jam dictum est: et hoc quidem linum aut reliquis omnibus linis candidius est, aut nigri ipsi quum sint, faciunt ut candidius id quam est esse videatur. (2) Est autem ipsis subucula linea crure medio tenus: amiculum autem partim humeris circumjectum, partim capiti involutum. (3) Inaures etiam Indi gestant ex ebore, qui admodum locupletes sunt; neque enim vulgus iis utitur. (4) Barbas quoque variis coloribus fucare Indos Nearchus scribit: ut aliis quam maxime alba appareat, aliis fusca, aliis purpurea, aliis viridis. (5) Umbracula quoque præ se gestare æstate eos qui alicujus nominis sint. Calceos ex corio albo gestant, eosque accurate atque eleganter confectos; solcæ calceorum apud eos variis coloribus distinctæ sunt, et calcibus altioribus, quo proceriores esse videantur. (6) Armaturæ autem Indicæ non unus atque idem est modus. Pedites enim Indi arcum habent, ejusdem cum eo qui eum gestat longitudinis: atque hunc quidem ad terram obfirmantes sinistroque pede contranitentes, nervum longe retro adducunt, et sic sagittant. (7) Sagittis enim utuntur trium paulo minus cubitorum: nihilque est quod Indici sagittarii telum non penetret: non scutum, non thorax, aut aliud armaturæ genus quantumvis validum. (8) In sinistra peltas ex crudo corio bubulo, angustiores quam ii qui eas gestant, longitudine propemodum æquales. Quibusdam vero jacula sunt loco arcuum. (9) Ensem omnes gestant, et latum, et trium cubitorum, non ultra, longitudine. Hunc, quum cominus pugna miscetur, (quam quidem non facile Indi inter se ineunt) utraque manu demittunt, quo majorem plagam inferant. (10) Equites duobus jaculis utuntur, quæ verutis sunt similia: pelta minore quam pedites. Equi neque sellis insternuntur, neque frenis quæ Græcanicis aut Celticis similia sint cohibentur: (11) sed extremam faucium equi partem loro, quod ex crudo corio bubulo consutum est, circumvinciunt: ad hujus lori interiorem partem claviculos æneos aut ferreos non admodum acutos affigunt: locupletiores eburneis utuntur. In ipsis equorum faucibus ferrum est, instar veru, cui habenæ alligantur. (12) Quando igitur adducunt ha-

κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.

ΚΕΦ. ΙΖ'.

Τὰ δὲ σώματα ἰσχνοί τε εἰσὶν οἱ Ἰνδοὶ καὶ εὐμήχεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. Ὀχήματα δὲ τοῖσι μὲν πολλοῖσιν Ἰνδῶν κάμηλοί εἰσι καὶ ἵπποι καὶ ὄνοι, τοῖσι δὲ εὐδαίμοσιν ἐλέφαντες. (2) Βασιλικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ' Ἰνδοῖσίν ἐστι· δεύτερον δὲ τιμῇ ἐπὶ τούτῳ τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι· τὸ δὲ ἐπ' ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον. (3) Αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν, ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῷ δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοῖ ἄγουσι τὸ ἐπὶ ἐλέφαντι μιγῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξίν, ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. (4) Γαμέουσι δὲ οὔτε τι διδόντες οὔτε λαμβάνοντες, ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς κατιστᾶσιν ἐκλέξασθαι τῷ νικήσαντι πάλην ἢ πὺξ ἢ δρόμον, ἢ κατ' ἄλλην τινὰ ἀνδρίην προκριθέντι. (5) Σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται. (6) Ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην· (7) ἐπεὶ δὲ οὐδὲ ἡ ὑπόθεσίς μοι τῇσδε τῆς ξυγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ παρεκομίσθη Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος, ταῦτα δή μοι ἐκβολὴ ἔστω τοῦ λόγου.

benas, veru equum cohibet, claviculique illi appensi pungentes habenis morem gerere cogunt.

CAP. XVII.

Indi corporibus sunt graciles, proceri, multoque cæteris mortalibus leviores atque expeditiores. Vehuntur plerique camelis, equis et asinis : ditiores, elephantis. (2) Regium enim apud Indos est elephanto vehi : proximus huic honor, quadrigis : tertius, camelis vehi. Uno equo vehi, vile est. (3) Mulieres apud eos, quæ castæ admodum sunt, non sane ulla mercede alia, quam elephanti, corrumpi se patiuntur. Elephantum danti copiam sui faciunt. Neque hoc turpitudini vertitur, si elephanti mercede adducta mulier consuetudinem cum quoquam habeat : quin potius honorificum sibi ducunt, formæ suæ pulchritudinem elephanto dignam haberi. (4) Uxores ducunt nihil vel dantes vel accipientes : sed quotquot jam maturæ viro fuerint, adducuntur a parentibus in publicum, ut is qui lucta vicerit aut pugillatu aut cursu, vel alia quapiam virtute reliquis antecelluerit, eam sibi quam volet deligat. (5) Plerique vero Indi arationem exercent et frumento vescuntur, exceptis montanis qui ferinas carnes edunt. (6) Atque hæc quidem mihi de Indis exposuisse sufficiat, quæ tanquam præcipua Nearchus et Megasthenes viri graves de iis conscripserunt. (7) Quum enim mihi hoc opere propositum non fuerit Indorum mores atque instituta describere, sed quo pacto Alexandro ex Indis in Persas classis prætervexerit, hæc mihi sint loco excursus in narrando.

ΚΕΦ. ΙΗ'.

Ἀλέξανδρος γὰρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι τε Φοινίκων καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος, ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες. (2) Ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ, οἷσι ταῦτα ἔμελε, καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι. (3) Τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν, ἐκ Μακεδόνων μὲν Ἡφαιστίων τε Ἀμύντορος, καὶ Λεοννάτος ὁ Εὔνου, καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους, καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου, καὶ Ἄρχων ὁ Κλεινίου, καὶ Δημόνικος ὁ Ἀθηναίου, καὶ Ἀρχίας ὁ Ἀναξιδότου, καὶ Ὀφέλλας Σειληνοῦ, καὶ Τιμάνθης Παντιάδου· οὗτοι μὲν Πελλαῖοι. (4) Ἐξ Ἀμφιπόλεως ἦγον οἵδε· Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παράπλῳ ἀνέγραψε· καὶ Λαομέδων ὁ Λαρίχου, καὶ Ἀνδροσθένης Καλλιστράτου· (5) ἐκ δὲ Ὀρεστίδος Κράτερός τε ὁ Ἀλεξάνδρου, καὶ Περδίκκας ὁ Ὀρόντεω. Ἐορδαῖοί τε

CAP. XVIII.

Alexander enim parata jam ad Hydaspis ripas classe, collectis omnibus Phœnicibus et Cypriis aut Ægyptiis qui in expeditione versus orientem secuti fuerant, ex iis naves implevit; delectis ministris ac remigibus, qui rerum navalium peritissimi essent. (2) Erant vero etiam in exercitu insulares non pauci iis in rebus bene versati, Ionesque ac Hellespontii. (3) Trierarchos vero constituit : ex Macedonibus quidem Hephæstionem Amyntoris filium, Leonnatum Eunoi, Lysimachum Agathoclis, Asclepiodorum Timandri, Archontem Cliniæ, Demonicum Athenæi, Archiam Anaxidoti, Ophellam Sileni, Timanthem Pantiadæ; hi Pellæi erant. (4) Ex Amphipoli hi duces fuerunt : Nearchus Androtimi filius, qui Paraplum conscripsit, Laomedon Larichi F., Androsthenes Callistrati. F. (5) Ex Orestide Craterus Alexandri filius, et Perdiccas Orontis. Eordæi Ptolemæus Lagi F. et Aristonus Pisææ. Ex Pydna Metron Epicharmi F.

Πτολεμαῖός τε ὁ Λάγου καὶ Ἀριστόνους ὁ Πεισαίου. Ἐκ Πύδνης τε Μήτρων τε ὁ Ἐπιχάρμου, καὶ Νικαρχίδης ὁ Σίμου. (6) Ἐπὶ δὲ Ἄτταλός τε ὁ Ἀνδρομένεω, Στυμφαῖος, καὶ Πευκέστας Ἀλεξάνδρου, Μιεζεύς, καὶ Πείθων Κρατεύα, Ἀλκομενεύς, καὶ Λεοννάτος Ἀντιπάτρου, Αἰγαῖος, καὶ Πάνταυχος Νικολάου, Ἀλωρίτης, καὶ Μυλλέας Ζωίλου, Βεροιαῖος· οὗτοι μὲν οἱ ξύμπαντες Μακεδόνες. (7) Ἑλλήνων δὲ Μήδιος μὲν Ὀξυνθέμιδος, Λαρισσαῖος, Εὐμένης δὲ Ἱερωνύμου, ἐκ Καρδίης, Κριτόβουλος δὲ Πλάτωνος, Κῶος, καὶ Θόας Μηνοδώρου, καὶ Μαίανδρος Μανδρογένεος, Μάγνητες. (8) Ἄνδρων δὲ Καβήλεω, Τήϊος, Κυπρίων δὲ Νικοκλέης Πασικράτεος, Σάλιος, καὶ Νιθάφων Πνυταγόρεω, Σαλαμίνιος. Ἦν δὲ δὴ καὶ Πέρσης αὐτῷ τριήραρχος, Βαγώας ὁ Φαρνουχέως· (9) τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὸς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς· γραμματεὺς δὲ τοῦ στόλου παντὸς Εὐαγόρας Εὐκλέωνος, Κορίνθιος. (10) Ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη Νέαρχος Ἀνδροτίμου, τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ᾤκεε δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι. (11) Ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖσι θεοῖσιν ὅσοι τε πάτριοι ἦ μαντευτοὶ αὐτῷ, καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηΐσι καὶ αὐτῷ τῷ Ὠκεανῷ, καὶ τῷ Ὑδάσπῃ ποταμῷ, ἀπὸ τοῦ ὁρμᾶτο, καὶ τῷ Ἀκεσίνῃ, ἐς ὅντινα ἐκδιδοῖ Ὑδάσπης, καὶ τῷ Ἰνδῷ, ἐς ὅντινα ἄμφω ἐκδιδοῦσιν· (12) ἀγῶνές τε αὐτῷ μουσικοὶ καὶ γυμνικοὶ ἐποιεῦντο, καὶ ἱερήϊα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο.

et Nicarchides Simi. (6) Præterea Attalus Andromenis F. Stymphæus : et Peucestas Alexandri, Miezeus : Pithon Crateuæ, Alcomeneus : et Leonnatus Antipatri, Ægæus : et Pantauchus Nicolai, Alorites : et Mylleas Zoili, Beroœensis : hi quidem omnes Macedones. (7) Ex Græcis vero Medius Oxynthemidis F. Larissæus : Eumenes Hieronymi, Cardianus : Critobulus Platonis, Cous : Thoas Menodori F. et Mæander Mandrogenis, Magnesii : (8) Androu Cabelei, Teius : ex Cyprliis, Nicocles Pasicratis F. Solius : et Nithaphon Pnytagoræ, Salaminius. Erat autem etiam Persa quidam triremi præfectus Bagoas Pharnuchæ F. (9) Ipsius vero Alexandri triremis gubernator erat Onesicritus Astypalæensis. Scriba totius classis Euagoras Eucleonis F., Corinthius. (10) Navarchum eis constituit Nearchum Androtimi F. Erat hic Nearchus Cres genere : habitabat autem Amphipoli quæ ad Strymonem fluvium sita est. (11) His rebus ita constitutis Alexander diis patriis, et quibus vates monebant, sacrum fecit : Neptuno etiam, et Amphitritæ, ac Nereidibus, ipsique Oceano; Hydaspi quoque, unde solvebat : Acesini præterea, in quem Hydaspes influit : Indo, in quem uterque fertur. (12) Certamina quoque musica et gymnica agebantur, et victimæ per singula agmina et turmas distribuebantur.

ΚΕΦ. ΙΘ'.

Ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ εἰς ἀναγωγήν, Κράτερον μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἰέναι σὺν τῇ στρατιῇ ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα δὲ Ἡφαιστίων αὐτῷ παρεπορεύετο, σὺν ἄλλῃ στρατιῇ πλείονι ἔτι τῆς τῷ Κράτερῳ συντεταγμένης. Καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διηκοσίους. (2) Αὐτὸς δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἱ ἦγε, καὶ τοὺς τοξότας πάντας, καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομένους· τοὺς πάντας ἐς ὀκτακισχιλίους. (3) Τοῖσι μὲν δὴ ἀμφὶ Κράτερον καὶ Ἡφαιστίωνα ἐτέτακτο, ἵνα προπορευθέντες ὑπομένοιεν τὸν στόλον. (4) Φίλιππον δὲ, ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ καὶ τοῦτον· (5) ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο σὺν οἷς ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε καὶ αὖθις οἱ ἐπὶ συλλογὴν αὐτῷ στρατιῆς πεμφθέντες ἦκον ἔχοντες, παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἱ ἄγοντι, καὶ πᾶσαν ἰδέην ὡπλισμένα. (6) Αὐτὸς δὲ ἄρας ταῖσι νηυσὶ κατέπλει κατὰ τὸν Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβολάς. (7) Νέες δὲ αἱ σύμπασαι αὐτῷ χίλιαι καὶ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ καὶ

CAP. XIX.

Omnibus itaque rebus ad navigandum paratis, Craterum ad alteram Hydaspis ripam cum exercitu equestri ac pedestri iter facere jubet; ab altera vero parte Hephæstion cum alio majore adhuc quam Craterus exercitu procedebat. Elephantos etiam ducebat Hephæstion, numero cc. (2) Ipse scutatos dictos secum ducebat, et sagittarios omnes et equites, quos amicos vocant; omnes erant ad viii millia. (3) Atqui Cratero et Hephæstioni assignatum erat, ubi profecti classem præstolarentur. (4) Philippum vero, quem in ea regione præsidem constituerat, ad Acesinis fluvii ripas mittit, magnas etiam hunc copias ducentem. (5) Jam enim cxx m. militum eum sequebantur cum iis quos ex maritimis oris ipse adduxerat, et quod ii adduxerant, qui ad colligendum exercitum missi fuerant, barbaras omnis generis nationes secum ducentem, easque cujusvis generis armis instructas. (6) Ipse navibus solvens per Hydaspem ad Acesinis et Hydaspis confluentes navigavit. (7) Erant ei in universum naves mdccc, simul longæ, simul onerariæ,

ὅσα στρογγύλα πλοῖα καὶ ἄλλα ἱππαγωγὰ καὶ σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι. (8) Ὅκως μὲν δὴ κατὰ τοὺς ποταμοὺς διέπλωσεν αὐτῷ ὁ στόλος, καὶ ὅσα ἐν τῷ παράπλῳ ἔθνεα κατεστρέψατο, καὶ ὅκως διὰ κινδύνου αὐτὸς ἐν Μαλλοῖσιν ἦκε, καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖσι, καὶ Πευκέστας τε καὶ Λεοννάτος ὅκως ὑπερήσπισαν αὐτὸν πεσόντα, πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ τῇ Ἀττικῇ ξυγγραφῇ. (9) Ὁ δὲ λόγος ὅδε τοῦ παράπλου μοι ἀπήγησίς ἐστιν, ὃν Νέαρχος σὺν τῷ στόλῳ παρέπλωσεν ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς κατὰ τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν, ἣν δὴ Ἐρυθρὴν θάλασσαν μετιξέτεροι καλέουσι.

aliæque vehendis equis et commeatui exercitus idoneæ. (8) Quonam vero pacto per flumina navigarit, et quot in ea navigatione gentes subjugarit, quodque periculum in Mallis incurrerit, et quomodo ibidem vulnus acceperit, quomodo etiam Peucestas et Leonnatus eum prostratum scutis suis protexerint : omnia hæc a nobis in alia historia, quam Attica lingua conscripsimus, commemorata sunt. (9) In hoc autem libro id tantum narro, quomodo Nearchus ab Indi ostiis solvens per oceanum magnum in sinum Persicum navigarit, quem quidem nonnulli mare Rubrum appellant.

ΚΕΦ. Κ'.

Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος· πόθον μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν, (2) ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλόου τὸ μῆκος καὶ μή τινι ἄρα χώρῃ ἐρήμῳ ἐγκύρσαντες ἢ ὅρμων ἀπόρῳ ἢ οὐ ξυμμέτρως ἐχούσῃ τῶν ὡραίων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος, καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖσιν ἔργοισιν αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην αὐτῷ ἀφανίσοι· ἀλλὰ ἐνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. (3) Ἀπόρως δὲ ἔχειν, ὁντινα οὐκ ἀδύνατόν τε ἐς τὰ ἐπινοεύμενα ἐπιλέξαιτο, καὶ ἅμα τῶν ἐν νηῒ ἀνδρῶν, ὡς καὶ τῶν τοιοῦτον στόλον στελλομένων ἀφελεῖν τὸ δεῖμα τοῦ δὴ ἠμελημένως αὐτοὺς ἐς προῦπτον κίνδυνον ἐκπέμπεσθαι. (4) Λέγει δὴ ὁ Νέαρχος, ἑωυτῷ ξυνοῦσθαι τὸν Ἀλέξανδρον, ὁντινα προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου· ὡς δὲ ἄλλου καὶ ἄλλου εἰς μνήμην ἰόντα τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυμὸν, τοὺς δὲ ὡς πόθῳ τῆς οἰκηίης κατεχομένους, τοῖσι δὲ ἄλλο καὶ ἄλλο ἐπικαλέοντα· (5) τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν, ὅτι Ὦ βασιλεῦ, ἐγώ τοι ὑποδέκομαι ἐξηγήσασθαι τοῦ στόλου, καὶ τὰ ἀπὸ τοῦ θεοῦ ξυνεπιλαμβάνοι· περιάξω τοι σώας τὰς νέας καὶ τοὺς ἀνθρώπους ἔστε ἐπὶ τὴν Περσίδα γῆν, εἰ δὴ πλωτός τε ἐστὶν ὁ ταύτῃ πόντος καὶ τὸ ἔργον οὐκ ἄπορον γνώμῃ ἀνθρωπίνῃ. (6) Ἀλέξανδρον δὲ λόγῳ μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε ταλαιπωρίην καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑωυτοῦ φίλων ἐμβάλλειν, αὐτὸν δὲ ταύτῃ δὴ καὶ μᾶλλον οὐκ ἀνιέναι, ἀλλὰ λιπαρέειν. (7) Οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός· (8) καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅ, τι περ ἐπὶ τῷ παράπλῳ τῷδε ἐτάσσετο καὶ τὰς ὑπηρεσίας ἵλεω ἔχειν τὴν γνώμην, ὅτι δὴ Νέαρχόν γε οὔποτε ἂν Ἀλέξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ μή σφι σωθήσεσθαι ἔμελλον· (9) λαμπρότης τε πολλὴ τῇ παρασκευῇ ἑπεοῦσα καὶ κόσμος τῶν νεῶν, καὶ σπουδαὶ

CAP. XX.

Nearchus de hac re ita scribit : Alexandro desiderium fuisse mare, quod ab Indis in Persiam usque patet, enavigare : (2) ceterum illum navigationis longinquitate deterritum fuisse, simulque veritum, ne in aliquam desertam regionem aut portus difficiles frugibusque carentes delatam classem amitteret, ingensque hæc macula rebus præclare abs se gestis offusa omnem felicitatis gloriam obliteraret : vicisse tamen inusitatæ alicujus ac magnæ rei gerendæ cupiditatem. (3) Dubitasse autem quem perficiendis consiliis suis parem deligeret : simulque classiariorum causa, ut iis tam longinquam expeditionem facturis metum adimeret, sese neglectos in manifestum periculum mitti. (4) Nearchus auctor est Alexandrum secum communicasse, quem potissimum classis ducem ac præfectum designaret : quumque diversorum meminisset, alios tanquam pro se periclitari nolentes, alios præ mollitie animi, alios tanquam patriæ desiderio occupatos recusasse, in aliis vero aliud reprehendisse. (5) Tum se operam suam pollicitum dixisse : Ego, O rex, classis gubernationem suscipiam, et deus cœpta secundet! classem simul et militem sospites in Persidem ducam, si omnino ea regione mare navigabile fuerit, aut si id ulla ratione ab humano ingenio præstari possit. (6) Alexandrum vero verbo negasse velle se in tantos labores tantaque pericula aliquem amicorum suorum conjicere : se vero eo etiam magis non remisisse, sed obnixe orasse ; (7) ac tum demum Alexandrum Nearchi animum adeo promptum atque alacrem libenter amplexum esse, eumque universæ classi præfecisse : (8) ac tunc quidem magis jam exercitum qui ad hanc navigationem destinatus erat et nautas quieto animo fuisse, quod persuasum haberent Alexandrum nulla ratione ad manifesta pericula Nearchum missurum, nisi ipsi servandi essent. (9) Summa vero apparatus magnificentia, et navium ornatus studiaque trierarchorum

τῶν τριηράρχων ἀμφὶ τὰς ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρεπέες καὶ τοὺς πάντη δὴ πάλαι κατοκνέοντας ἐς ῥώμην ἅμα καὶ ἐλπίδας χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου ἐπηρκότα ἦν· (10) πολλὸν δὲ δὴ συνεπιλαβέσθαι ἐς εὐθυμίην τῇ στρατιῇ τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ Ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόντον, σφάγιά τε τῷ Ποσειδῶνι ἐντεμεῖν καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι, καὶ δῶρα μεγαλοπρεπέα τῇ θαλάσσῃ χαρίσασθαι· (11) τῇ τε ἄλλῃ τῇ Ἀλεξάνδρου παραλόγῳ εὐτυχίῃ πεποιθότας οὐδὲν ὅ, τι οὐ τολμητόν τε ἐκείνῳ καὶ ἐρκτὸν ἐξηγέεσθαι.

ΚΕΦ. ΚΑ'.

Ὡς δὲ τὰ ἐτήσια πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος τὴν ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα ἐπὶ τὴν γῆν, καὶ ταύτῃ ἄπορον τὸν πλόον ποιέοντα, τότε δὴ ὥρμηντο ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου, εἰκάδι τοῦ Βοηδρομιῶνος μηνὸς, κατότι Ἀθηναῖοι ἄγουσιν· ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον, ** τὸ ἑνδέκατον βασιλεύοντος Ἀλεξάνδρου. (2) Θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διὶ Σωτῆρι, καὶ ἀγῶνα ποιέει καὶ οὗτος γυμνικόν. Ἄραντες δὲ ἀπὸ τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρῃ κατὰ τὸν Ἰνδὸν ὁρμίζονται ποταμὸν πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας· Στοῦρα δὲ ἦν οὔνομα τῷ χώρῳ· στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν. (3) Τῇ τρίτῃ δὲ ἄραντες ἔπλωον ἔστε ἐπὶ διώρυχα ἄλλην σταδίους τριήκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα· ἀνήει γὰρ ἡ θάλασσα ἐς αὐτὴν, μάλιστα μὲν ἐν τῇσι πλημμυρίῃσιν, ὑπέμενε δὲ καὶ ἐν τῇσιν ἀμπώτεσι τὸ ὕδωρ μεμιγμένον τῷ ποταμῷ· Καύμαρα δὲ ἦν οὔνομα τῷ χώρῳ. (4) Ἔνθεν δὲ εἴκοσι σταδίους καταπλώσαντες ἐς Κορέεστιν ὁρμίζονται ἔτι κατὰ τὸν ποταμόν. (5) Ἔνθεν δὲ ὁρμηθέντες ἔπλωον οὐκ ἐπὶ πολλόν· ἔρμα γὰρ ἐράνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ τοῦ Ἰνδοῦ, καὶ τὰ κύματα ἐρρόχθεε πρὸς τῇ ἠϊόνι, καὶ ἡ ἠϊὼν αὕτη τραχέα ἦν. (6) Ἀλλὰ ἵναπερ μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας, ἐπειδὴ ἡ πλήμμυρα ἐπῆλθεν ἡ ἐκ τοῦ πόντου. (7) Ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν ὁρμίζονται ἐς Κρώκαλα νῆσον ἀμμώδεα, καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέρην· (8) προσοικέει δὲ ταύτῃ ἔθνος Ἰνδικὸν, οἱ Ἀράβιες καλεόμενοι, ὧν καὶ ἐν τῇ μέζονι ξυγγραφῇ μνήμην ἔσχον· καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην καὶ τῶν Ὠρειτέων. (9) Ἐκ δὲ Κρωκάλων ἐν δεξιῇ μὲν ἔχοντες ὄρος τὸ καλεόμενον αὐτοῖσιν Εἶρον, ἐν ἀριστερῇ δὲ νῆσον ἀλιτενέα ἔπλωον· ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠϊόνι κόλπον στεινὸν ποιέει. (10) Διεκπλώσαντες δὲ ταύτην ὁρμίζονται ἐν λιμένι εὐόρμῳ

egregia circa ministeria et socios navales vel eorum qui antea præ metu quam maxime cunctati erant, animos ad robur melioremque spem de omni conatu attollebant. (10) Multum præterea de metu ipsorum adimebat, quod Alexander ipse per utraque Indi ostia in mare nāvigasset: quod Neptuno cæterisque diis marinis hostias mactasset, eximiaque dona mari dedisset. (11) Cetera quoque et inusitata Alexandri felicitate confisi nihil esse dicebant, quod illi non sit audendum et perficiendum.

CAP. XXI.

Quo igitur tempore etesiæ spirare desierant, qui quidem per integram æstatem ex mari in terram flantes navigationem impediunt, naves solverunt, archonte Athenis Cephisodoro, XX die Boedromionis, quemadmodum Athenienses computant: ut vero Macedones et Asiani **, undecimo ex quo Alexander regnabat anno. (2) Sacrificavit autem et Nearchus antequam navigationem susciperet Jovi Servatori, ludosque gymnicos etiam is edidit. Primo itaque die quum e statione solvissent, in Indo fluvio ad amplum quendam alveum appulerunt, loco Stura nomen est, distantem a statione stadiis circiter C, biduoque ibi commorati sunt. (3) Tertio die inde moventes ad alium alveum XXX stadiis inde remotum pervenerunt, cujus aqua jam salsedinem maris referebat: mare enim in eam accedente æstu se ingerit, aquaque flumini permista etiam recedente æstu manebat. Caumara is locus dicitur. (4) Inde XX stadia provecti ad Coreestim etiamnum in flumine pervenerunt. (5) Hinc rursum moventes non multum navigarunt, scopulum conspicati ea parte qua Indus illic in mare fertur, et fluctus littori illidebantur cum truci et immani strepitu, littusque ipsum asperum erat. (6) Cæterum qua scopulus mollior videbatur, fossa quinque stadiorum perducta, naves traduxerunt æstu marino accelente. (7) Inde stadia CL circumnavigando emensi in Crocala arenosam insulam pervenerunt, ibique alterum diem commorati sunt. (8) Vicina huic insulæ loca incolunt Arabies Indica gens, quorum etiam in majori opere mentionem feci: eosque id nominis a fluvio Arabi accepisse, qui per ipsorum regionem fluens in mare fertur, eorumque fines ab Oritarum finibus dividit. (9) Ex Crocalis, ad dextram habentes montem Irum ab ii vocatum; ad sinistram vero insulam vadosam, ulterius navigarunt: hæc insula ad littus extenta angustum sinum efficit. (10) Hunc emensi in portu commodam navibus stationem præbentem appellunt. Qui quod amplus

μῳ· ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμὴν Νεάρχῳ ἔδοξεν, ἐπονομάζει αὐτὸν Ἀλεξάνδρου λιμένα. (11) Νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος ὅσον σταδίους δύο ἀπέχουσα· Βίβακτα οὔνομα τῇ νήσῳ· ὁ δὲ χῶρος ἅπας Σάγγαδα· ἡ δὲ νῆσος καὶ τὸν λιμένα, προκειμένη πρὸ τοῦ πελάγους, αὐτὴ ἐποίεεν. (12) Ἐνταῦθα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ συνεχέα, καὶ Νέαρχος δείσας τῶν βαρβάρων μή τινες συνταχθέντες ἐπ' ἀρπαγὴν τοῦ στρατοπέδου τραποίατο, ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχει. (13) Τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο· καὶ λέγει ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ ὄστρεα δὲ καὶ τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρῃ θαλάσσῃ συμβαλέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο.

ΚΕΦ. ΚΒ'.

Ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἱ ἀνήγοντο· καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς αἰγιαλῷ ψαμμώδεϊ· νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη. (2) Ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν· Δόμαι οὔνομα τῇ νήσῳ· ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους ἐπιτυγχάνουσιν ὕδατι καλῷ. (3) Τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐτοῖσιν ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριηκοσίους, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους. (4) Ἔνθεν δὲ πλώσαντες ὁρμίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ· καὶ διεκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοισι πελάζοντας, ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, καθορμίζονται ἐν Μοροντοβάροισι, σταδίους διελθόντες ἐς τριηκοσίους· (5) ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος καὶ βαθὺς καὶ ἄκλυστος· ὁ δὲ ἔσπλους ἐς αὐτὸν στεινός· τοῦτον τῇ γλώσσῃ τῇ ἐπιχωρίῃ Γυναικῶν λιμένα ἐκάλεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. (6) Ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλωον, κύμασί τε μεγάλοισιν ἐνέκυρσαν καὶ τῇ θαλάσσῃ ῥωδέϊ· ἀλλὰ ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον ἐφαίνετο. (7) Ἐς δὲ τὴν ὑστεραίην ἔπλωον νῆσον ἐς ἀριστερὰ ἔχοντες πρὸ τοῦ πελάγεος, οὕτω τι τῷ αἰγιαλῷ συναφέα, ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου· καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ ὀασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. (8) Ὑπὸ δὲ τὴν ἕω ἔπλωον ἔξω τῆς νήσου κατὰ ῥηχίην στεινήν· ἔτι γὰρ ἀνάπωτις κατεῖχε. Πλώσαντες δὲ ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ὁρμίζονται ἐν τῷ στόματι τοῦ Ἀράβιος ποταμοῦ· καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι· ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν· (9) ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω προχωρήσαντες λάκκῳ ἐπιτυγχάνουσι, καὶ

simul et pulcher Nearcho videbatur, Alexandri portum eum appellavit. (11) In portus faucibus insula adjacet, circiter duo inde stadia distans, cui Bibacta nomen est : omnis vero adjacens regio Sangada dicitur. Haec insula mari opposita suapte natura portum efficit. (12) Hic ingentes continuique venti a mari spirabant. Nearchus veritus ne qua barbarorum manus collecta castra diriperet, lapideo muro locum cingit; (13) XXIIII dies ibi moratus est : dicitque milites per id tempus myes marinos cepisse et ostrea et solenes, qui vocantur, inusitatæ magnitudinis, si cum nostri maris testaceis conferantur. Aquam etiam salsam potasse narrat.

CAP. XXII.

Sedato autem vento, vela fecerunt, ac stadia circiter LX progressi in sabulosum littus appulerunt. Insula adjacebat littori deserta. (2) Hac autem pro munumento usi substiterunt. Domæ nomen insulæ erat. Quumque in littore aquam non haberent, loca mediterranea versus ad viginti circiter stadia progressi dulcem aquam repererunt. (3) Postridie quum ad noctem usque navigassent, Sarangis, CCC inde stadia, ad littus appulerunt. Ibi aqua octo ferme a littore stadia aberat. (4) Illinc repetita navigatione ad Sacala locum desertum appulsi sunt. Inde superatis duobus scopulis adeo inter se propinquis ut palmulæ remorum utrinque cautes stringerent, emensi stadia CCC in Morontobaris constiterunt. (5) Ibi portus est amplissimus, undique septus ac profundus minimeque procellosus. Ceterum fauces ejus angustæ; hunc patria lingua Portum fœminarum vocabant : quod mulier quædam prima illi loco imperarit. (6) Trajectis scopulis magnis fluctibus incideruntet mari fluctuoso, et scopulos transisse res magna videbatur. (7) Postero vero die navigarunt, insulam quandam a sinistra pelago objectam habentes, quæ quidem ita propinqua littori erat, ut medius alveus inter insulam et littus esse effossus videretur; LXX in universum stadiorum ea navigatio fuerat. Multæ erant densæque in littore arbores, insulaque ipsa variis silvis umbrosa. (8) Sub lucem per angustum et æstuosum locum extra insulam navigarunt; adhuc enim recessus maris obtinebat : continuataque navigatione ad CXX stadia, apud fauces Arabis amnis constiterunt : et portum quidem ibi amplum et commodum nacti sunt : aquam vero potui ineptam, quod per Arabis ostia mare se ingerit. (9) Itaque XL stadia adverso amne profecti ad lacum devenerunt : atque inde assumta aqua re-

ἔνθεν ὑδρευσάμενοι ὀπίσω ἀπενόστησαν. (10) Νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ καὶ ἔρημος· καὶ περὶ ταύτην ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν θήρη. Μέχρι μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν ταύτῃ ᾠκισμένοι, τὰ δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον.

ΚΕΦ. ΚΓ'.

Ὁρμηθέντες δὲ ἐκ τῆς ἐκβολῆς τοῦ Ἀράβιος παρέπλωον τῶν Ὠρειτέων τὴν χώρην· καὶ ὁρμίζονται ἐν Παγάλοισι, πλώσαντες σταδίους ἐς διηκοσίους, πρὸς ῥηχίῃ· ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. Τὰ μὲν ὧν πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν· οἱ δὲ ἐπ' ὕδωρ ἐκβάντες ὑδρεύοντο. (2) Τῇ δ' ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ καὶ πλώσαντες σταδίους ἐς τριήκοντα καὶ τετρακοσίους κατάγονται ἐσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ· καὶ ἐνταῦθα ῥηχίη τραχέα ἦν, καὶ ἐπὶ τῷδε μετεώρους τὰς νέας ὡρμίσαντο. (3) Κατὰ τοῦτον τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόντου, καὶ νέες δύο μακραὶ διαρθείρονται ἐν τῷ πλόῳ, καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σώζονται ἀπονηξάμενοι, ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο. (4) Ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλώουσιν ἔστε ἐπὶ Κώκαλα, ἃ τοῦ αἰγιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε σταδίους διηκοσίους· καὶ αἱ μὲν νέες σαλεύουσαι ὥρμεον, τὰ πληρώματα δὲ ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ ἀναπαύσασθαι ἐπόθεον· στρατόπεδον δὲ περιεβάλλετο τῶν βαρβάρων τῆς φυλακῆς ἕνεκα. (5) Ἐν τούτῳ τῷ χώρῳ Λεοννάτος, ὅτῳ τὰ Ὠρειτέων ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ Ὠρείτας τε καὶ ὅσοι Ὠρείτῃσι συνεπέλαβον τοῦ ἔργου· καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας· τῶν δὲ σὺν Λεοννάτῳ ἱππέες μὲν ἀποθνήσκουσι πεντεκαίδεκα, τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολλοφάνης ὁ Γαδρωσίων σατράπης. (6) Ταῦτα μὲν δὴ ἐν τῇ ἄλλῃ ξυγγραφῇ ἀναγέγραπται, καὶ ὅκως Λεοννάτος ἐπὶ τῷδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσέῳ στεφάνῳ ἐν Μακεδόσιν. (7) Ἐνταῦθα σῖτος ἦν νενεμημένος κατὰ πρόσταγμα Ἀλεξάνδρου ἐς ἐπισιτισμὸν τῷ στρατῷ· καὶ ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας· (8) καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε ἐπεσκεύασαν· καὶ τῶν ναυτέων ὅσοι ἐν τῷ ἔργῳ βλακεύειν ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν Λεοννάτῳ ἔδωκεν· αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτῳ στρατιωτέων συμπληροῖ τὸ ναυτικόν.

versi sunt. (10) Insula apud portum est eminens ac deserta; circa hanc ostreorum atque omnis generis piscium piscatus erat. Huc usque pertinent Arabies, ultimi Indorum hac in parte habitantium; ulteriora Oritæ tenent.

CAP. XXIII.

Ab ostio itaque Arabis digressi, Oritarum regionem præternavigantes, ad Pagala CC circiter stadia emensi stationem habuere, ad locum æstuosum quidem, sed ancoris jaciendis idoneum. Remiges igitur in navibus manebant; quidam vero aquatum egressi aquam attulerunt. (2) Postridie inde cum luce digressi, et circiter CCCCXXX stadia emensi sub vesperum in Cabana perveniunt, classemque ad littus desertum locant; ibi æstus maris violentus erat, quam ob rem in alto naves stationem tenuerunt. (3) In hac navigatione quum ingens ventorum vis classi a mari incumberet, duæ naves longæ et cercurus perierunt: viri natatu evaserunt; quia navigatio non procul a terra fiebat. (4) Sub mediam vero noctem provecti navigant usque ad Cocala, quæ a littore, unde digressi erant, ducentis stadiis aberant; ac naves quidem in salo ancoris nitebantur. Nearchus autem sociis navalibus in terram expositis ibi castra posuit: siquidem multo navigationis labore defatigati refici desiderabant. Castra vallo adversus barbarorum incursum munit. (5) Hoc in loco Leonnatus, cui Oritarum res Alexander commiserat, magno prælio Oritas vicit, et quotquot sese Oritis conjunxerant: cæsis VI M, ducibusque eorum omnibus; a Leonnati partibus, equitibus XV, peditibus non multis, et Apollophane Gadrosiorum satrapa desideratis. (6) Sed hæc in altera historia a nobis conscripta sunt; eaque de causa Leonnatum aurea corona ab Alexandro inter Macedones coronatum fuisse. (7) Eo etiam loci frumentum ab Alexandro in commeatum exercitus procuratum erat. In decem itaque dies frumentum in naves invehunt. (8) Naves in navigatione huc usque quassatas reficiunt; ex nautis qui segniores Nearcho in opere esse videbantur, hos quidem terrestri itinere ducendos Leonnato dedit; ipse vero milites in nautarum supplementum ex Leonnati copiis delegit.

ΚΕΦ. ΚΔ'.

Ἐνθένδε ὁρμηθέντες ἔπλωον ἀκραεί· καὶ διελθόντες σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῷ χειμάρρῳ· Τόμηρος οὔνομα ἦν τῷ ποταμῷ. (2) Καὶ λίμνη ἦν ἐπὶ τῇσιν ἐκβολῇσι τοῦ ποταμοῦ· τὰ δὲ βραχέα τὰ πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβῃσι πυγμῇσι· καὶ οὗτοι ὡς προσπλώοντας εἶδον, ἐθάμβησάν τε καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν ἐτάχθησαν ὡς ἀπομαχούμενοι πρὸς τοὺς ἐκβαίνοντας· (3) λόγχας δὲ ἐφόρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας· ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτῇσι πεπυρακτωμένον τὸ αὐτὸ ἐποίεε· πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι· (4) καὶ τούτους Νέαρχος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλεος, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ' αὐτῶν ἐξικνέεσθαι· αἱ γὰρ τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι ἀγχέμαχοι μέν, ἄφοβοι δὲ ἐς τὸ ἀκοντίζεσθαι ἦσαν. (5) Αὐτὸς δὲ τῶν στρατιωτέων ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα ὡπλισμένοι τοῦ τε νέειν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ ξυνθήματος· (6) πρόσταγμα δὲ σφίσιν ἦν, ὅκως τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἑσόμενον· μηδ' ἐμβάλλειν πρόσθεν πρὸς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα· τότε δὲ ὁρόμῳ ἤδη ἰέναι ἐπαλαλάξαντας. (7) Ἅμα δὲ ἐρρίπτεον ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως, καὶ ἵσταντο ἐν κόσμῳ, καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι ὁρόμῳ ἐπῆσαν αὐτοί τε ἀλαλάζοντες τῷ Ἐνυαλίῳ, καὶ οἱ ἐπὶ τῶν νεῶν ξυνεπηχέοντες, τοξεύματά τε καὶ ἀπὸ μηχανέων βέλεα ἐφέροντο ἐς τοὺς βαρβάρους· (8) οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ τῆς ἐφόδου τὴν ὀξύτητα, καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων βελέων βαλλόμενοι οἷα δὴ ἡμίγυμνοι ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι· καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἱ δὲ καὶ ἁλίσκονται· ἔστι δὲ οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. (9) Ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα σώματα δασέες καὶ τὰς κεφαλὰς, καὶ τοὺς ὄνυχας θηριώδεες· τοῖς γὰρ δὴ ὄνυξιν ὅσα σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο, καὶ τοὺς ἰχθύας τούτοισι παρασχίζοντες κατεργάζεσθαι, καὶ τῶν ξύλων ὅσα μαλακώτερα· τὰ δὲ ἄλλα τοῖσι λίθοισι τοῖσιν ὀξέσιν ἐκοπτον· σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. Ἐσθῆτα δὲ ἐφόρεον δέρματα θήρεια· οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ παχέα.

ΚΕΦ. ΚΕ'.

Ἐνταῦθα νεωλκέουσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι αὐτέων ἐπισκευάζουσι. Τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο, καὶ πλώσαντες σταδίους ἐς τριηκοσίους ἀπικνέονται ἐς

CAP. XXIV.

Inde secundo vento delati per quingenta stadia ad fluvium quendam torrentem pervenerunt: Tomerus fluvio nomen est. (2) Ad ejus exitum stagnum erat, et circa vada littori propinqua homines angusta quædam tuguria incolebant; qui ut classem appellentem viderunt, attoniti sese ad littus extenderunt, et aciem instruebant, veluti pugnam cum exscensuris commissuri. (3) Lanceas gerebant crassas, VI cubitos longas. Cuspis ferrea non erat, sed igne tosta atque acuta eandem vim et efficaciam exserebat. Erant hi circiter DC: (4) quos ut Nearchus subsistere instructa acie vidit, classem intra teli jactum in alto stare imperat, ita ut tela e navibus in terram pervenire possent. Crassæ enim barbarorum lanceæ ad pugnam cominus conserendam aptæ erant, eminus vero parum metuendæ videbantur. (5) Tum ex militibus qui expeditissimi levissimeque armati essent et nandi peritissimi, signo dato enatare jubet: mandatis additis, ut, prout quisque enatarit, in aqua subsistens socium exspectet: neque prius in hostem impetum faciant, quam triplici ordine acies instructa sit; tum cursim, clamoreque sublato in eos ferantur. (7) Confestim itaque qui ad hoc designati erant, sese e navibus in mare conjiciunt, celeriterque enatant. Deinde in ordinem redacti, instructa phalange, magnis clamoribus editis cursim barbaros petunt, et qui in navibus erant etiam acclamabant, telaque et e machinis jacula mittebant. (8) Barbari armorum splendore et insultus celeritate attoniti quum sagittis aliisque telis undique peterentur, utpote seminudi, confestim non exspectato conflictu in fugam vertuntur. Alii in ea fuga cæsi, alii capti: nonnulli in montes fugerunt. (9) Erant vero captivi tum reliquo corpore, tum etiam capite hirti; unguibus autem quasi ferinis: siquidem unguibus loco ferri uti dicebantur, piscesque iis discindentes interficere; ligna etiam molliora iis secabant: ad duriora saxis acutis utebantur: ferrum enim apud eos non erat. Ferarum, et quidam etiam crassioribus grandium piscium pellibus sese vestiebant.

CAP. XXV.

Nearchus hic naves in littus subduci, quassatasque refici jubet. Sexto die navigationem repetunt: trecentisque stadiis emensis in locum quendam perveniunt, qui Oritarum

χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτέων γῆς· Μάλανα τῷ χώρῳ οὔνομα. (2) Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν, ἐσταλμένοι μὲν κατάπερ οἱ Ἰνδοί εἰσι, καὶ τὰ ἐς πόλεμον ὡσαύτως παρατέονται· γλῶσσα δὲ ἄλλη αὐτοῖσι καὶ ἄλλα νόμαια. (3) Μῆκος τοῦ παράπλου παρὰ μὲν χώρην τὴν Ἀραβίων ἐς χιλίους μάλιστα σταδίους, ἔνθενπερ ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτέων γῆν ἑξακόσιοι καὶ χίλιοι. (4) Παραπλωόντων δὲ τὴν Ἰνδῶν γῆν (τὸ ἐντεῦθεν γὰρ οὐκέτι Ἰνδοί εἰσι) λέγει Νέαρχος ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· (5) ἀλλὰ ὅκου μὲν ἐπὶ πολλὸν τοῦ πόντου ὡς πρὸς μεσημβρίην προχωρήσειαν, αἵδε καὶ αὐταὶ αἱ σκιαὶ πρὸς μεσημβρίην τετραμμέναι ἐφαίνοντο, ὁκότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπίοι ὁ ἥλιος, ἤδη δὲ καὶ ἔρημα σκιῆς πάντα ὦρθη αὐτοῖσι, (6) τῶν τε ἀστέρων ὅσους πρόσθεν μετεώρους κατεώρων, οἱ μὲν ἀφανέες πάντη ἦσαν, οἱ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαίνοντο, καταδύνοντές τε καὶ αὖτίκα ἀνατέλλοντες οἱ πάλαι ἀειφανέες ἐόντες. (7) Καὶ ταῦτα οὐκ ἀπεικότα δοκέει μοι ἀναγράψαι Νέαρχος, ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπεὰν τροπὰς ἄγῃ θέρεος ὥρης ὁ ἥλιος, φρέαρ ἀποδεδειγμένον ἐστὶ, καὶ τοῦτο ἄσκιον ἐν μεσημβρίῃ φαίνεται· ἐν Μερόῃ δὲ πάντα ἄσκια τῇ αὐτῇ ὥρῃ· (8) εἰκὸς ὦν καὶ ἐν Ἰνδοῖσιν, ἅτε πρὸς μεσημβρίην ᾠκισμένοισι, τὰ αὐτὰ δὴ πάθεα ἐπέχειν, καὶ μάλιστα δὴ κατὰ τὸν πόντον τὸν Ἰνδικὸν, ὅσῳ μᾶλλον αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσημβρίην κέκλιται. Ταῦτα μὲν δὴ ὧδε ἐχέτω.

ΚΕΦ. ΚϚ'.

Ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖχον· ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ ξύμπαντα τῆς συμπάσης στρατηλασίης· ταῦτά μοι ἐν τῇ μέζονι ξυγγραφῇ ἀναγέγραπται. (2) Κάτω δὲ Γαδρωσίων παρὰ τὴν θάλασσαν αὐτὴν οἱ Ἰχθυοφάγοι καλεόμενοι οἰκέουσι· παρὰ τούτων τὴν γῆν ἔπλωον· τῇ μὲν πρώτῃ ἡμέρῃ περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες καταίρουσιν εἰς Βαγίσαρα· στάδιοι τοῦ παράπλου ἑξακόσιοι. (3) Λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους· καὶ οἱ πρόσοικοι αὐτῆς Πασιρέες. (4) Ἐς δὲ τὴν ὑστεραίην πρωϊαίτερον τῆς ὥρης ἀναχθέντες περιπλώουσιν ἄκρην ἐπὶ πολύ τε ἀνέχουσαν ἐς τὸν πόντον καὶ αὐτὴν ὑψηλὴν καὶ χρημνώδεα· (5) φρέατα δὲ ὀρύξαντες, ὕδωρ οὐκ ὀλίγον καίπερ πονηρὸν ἀρυσάμενοι ταύτῃ μὲν τῇ ἡμέρῃ ἐπὶ ἀγκυρέων ὥρμων, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν. (6) Ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες διηκοσίους. Ἔνθεν δὲ ἕωθεν πλώσαντες σταδίους ἑξακοσίους ἐν Καλύβοισιν ὁρμίζονται· κώμη πρὸς τῷ αἰγιαλῷ, φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι πεφύκεσαν, καὶ βάλανοι ἐπ' αὐτοῖσι χλωραὶ ἐπῆσαν· καὶ νῆσος ὡς ἑκατὸν σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη οὔνομα. (7) Ἐνταῦθα ξείνια Νεάρχῳ

regionis est ultimus : Malana eum locum vocant. (2) Atqui Oritæ qui mediterranea loca incolunt, eodem habitu quo Indi utuntur, eodemque modo armantur : lingua tamen atque institutis differunt. (3) Longitudo hujus navigationis præter Arabium oram est stadiorum mille ab eo loco unde solverant : secus Oritarum regionem MDC. (4) Præternavigantibus iis Indorum regionem (ab hoc enim loco non amplius Indi sunt) Nearcho auctore umbræ non eodem modo fiebant : (5) sed ubi longe in mare meridiem versus procedebant, ibi ipsæ etiam umbræ in meridiem vergebant : quum vero sol medium diei spatium occupabat, nullæ iis in locis umbræ conspiciebantur. (6) Astra quoque, quæ antea sublimia cernebantur, aut jam plane non apparebant, aut depressa ad terram conspiciebantur; occidebant et rursus oriebantur, quæ antea semper conspicua fuerant. (7) Et quidem hæc non dissentanea vero mihi videntur, quæ Nearchus scripsit. Siquidem in Syene Aegyptia tempore solstitii æstivi puteus quidam ostenditur, qui meridie nullam umbram facit. In Meroe autem eodem anni tempore nullæ omnino umbræ fiunt. (8) Consentaneum igitur est, etiam Indis quia meridianam partem habitabant idem accidere : præcipue vero in mari Indico, quo magis id mare ad meridiem vergit. Atque hæc quidem hactenus.

CAP. XXVI.

Post Oritas versus mediterraneam regionem Gadrosii habitant : quorum fines difficulter cum exercitu Alexander transiit, pluraque incommoda et damna accepit, quam in tota reliqua expeditione. Ea in majori opere a me conscripta sunt. (2) Infra Gadrosios loca maritima accolunt ii quos Ichthyophagos vocant; eorum oras præternavigarunt; quumque primo die ad secundam vigiliam solvissent, DC inde stadiis ad Bagisara delati sunt. (3) Portus iis in locis erat ad receptum classis commodus, pagusque Pasira, LX stadiis a mari distans : accolæ ejus Pasireenses. (4) Postridie quum maturius solvissent, promontorium aliquod longe in mare prominens altumque ac præruptum circumnavigant : (5) defossisque puteis aquam quidem multam sed pravam nacti illum quidem diem in ancoris substiterunt, quod littus æstuosum erat. (6) Postridie vero in Colta venerunt, CC stadiis emensis. Inde rursum sub lucem mota classe DC stadia progressi ad Calyba appellunt : pagus in littore erat, et circa eum paucæ palmæ, in quibus fructus erant virides. Erat ibi etiam insula centum a littore stadiis distans, Carnine dicta. (7) Ibi Nearcho pagi illius incolæ

προσφέρουσιν οἱ κωμῆται πρόβατα καὶ ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν ἰχθυώδεα, ἴσα τοῖσι τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ ἰχθύων σιτέεται· ποίη γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ. (8) Ἀλλὰ τῇ ὑστεραίῃ πλώσαντες ἐς σταδίους διηκοσίους ὁρμίζονται πρὸς αἰγιαλῷ καὶ κώμῃ ἀπὸ θαλάσσης ἐς σταδίους τριήκοντα ἀπεχούσῃ· ἡ μὲν κώμη Κίσσα ἐκαλέετο· Καρβὶς δὲ τῷ αἰγιαλῷ οὔνομα ἦν. (9) Ἐνταῦθα πλοίοισιν ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων εἶναι πλοῖα οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν· ἀλλ' ἔφυγον γὰρ καθορμιζομένας κατιδόντες τὰς νέας. Σῖτός τε αὐτόθι οὐκ ἐνῆν, καὶ ὑπολελοίπει τὴν στρατιὴν ὁ πολλός· ἀλλὰ αἶγας ἐμβαλλόμενοι ἐς τὰς νέας, οὕτω δὴ ἀπέπλωον. (10) Καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον πεντήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον, κατάγονται ἐν λιμένι ἀκλύστῳ· καὶ ὕδωρ αὐτόθι ἦν, καὶ ἁλιέες ᾤκεον· Μοσαρνὰ οὔνομα ἦν τῷ λιμένι.

hospitalitia munera offerunt oves et pisces. Ovium illarum carnes ait piscosas fuisse, quemadmodum sunt avium marinarum, quum et ipsæ oves piscibus alerentur. Gramen enim ea regio non habet. (8) At postridie cc stadia emensi ad littus appulerunt, pagumque repererunt xxx stadiis a mari distantem; pago Cissa nomen erat: littori Carbis. (9) Hoc loco parvulæ quædam cymbæ repertæ sunt, quales esse solent piscatorum minime opulentorum; piscatores ipsos non repererunt; fugerant enim simulac naves appellentes viderant. Frumentum ibi nullum erat, et jam deficere exercitum cœpit annonæ copia. Igitur capris in naves abductis recesserunt. (10) Inde promontorium quoddam altum ad cl stadia in mare porrectum circumvecti in portum minime procellosum venerunt. Ibi et aqua erat, et piscatores habitabant: Mosarna portui nomen erat.

ΚΕΦ. ΚΖ'.

Ἔνθεν δὲ καὶ ἡγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι συνέπλωσεν αὐτοῖσιν, Ὑδράκης οὔνομα, Γαδρώσιος· ὑπέστη δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμανίης. Τὰ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν τι ὀνομαζόμενα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν. (2) Ἐκ δὲ Μοσαρνῶν νυκτὸς ἐπάραντες πλώουσι σταδίους ἑπτακοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἔνθεν δὲ ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές τε πολλοὶ ἐνῆσαν καὶ κῆπος· καὶ ἐν τῷ κήπῳ μύρσιναι ἐπεφύκεσαν, καὶ ἄλλα ἄνθεα, ἀπ' ὅτων στεφανώματα τοῖσι κωμήτῃσιν ἐπλέκοντο· ἐνταῦθα πρῶτον δένδρεά τε εἶδον ἥμερα, καὶ ἀνθρώπους οὐ πάντη θηριώδεας ἐποικέοντας. (3) Ἐνθένδε ἐς διηκοσίους σταδίους περιπλώσαντες καταίρουσιν ἐς Δενδρώβοσα, καὶ αἱ νέες ἐπ' ἀγκυρέων ἐσάλευσαν. (4) Ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα λιμένα ἀπίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκπλώσαντες· (5) ἐνταῦθα ἁλιέες τε ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν ἦν σμικρὰ καὶ πονηρά· καὶ τῇσι κώπῃσιν οὐ κατὰ σκαλμὸν ἤρεσσον ὡς ὁ Ἑλλήνων νόμος, ἀλλ' ὥσπερ ἐν ποταμῷ τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκάπτοντες τὴν γῆν· ὕδωρ δὲ πολλόν τε ἦν ἐν τῷ λιμένι καὶ καθαρόν. (6) Περὶ δὲ πρώτην φυλακὴν ἄραντες καταίρουσιν ἐς Κύϊζα, ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες· ἵνα αἰγιαλός τε ἔρημος ἦν καὶ ῥηχίη. Αὐτοὶ ὦν ἐπ' ἀγκυρέων ὥρμεον, κατὰ νέα τε δεῖπνον ἐποιέοντο. (7) Ἐνθένδε διεκπλώσαντες σταδίους πεντακοσίους ἀπίκοντο ἔς τινα πόλιν σμικρὴν, οἰκεομένην ἐπὶ γηλόφου οὐ πόρρω τοῦ αἰγιαλοῦ. (8) Καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώρην εἰκὸς, λέγει πρὸς Ἀρχίην (ὃς ἦν Ἀναξιδότου μὲν παῖς, Πελλαῖος, συνέπλωε δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ ἰὼν Μακεδόνων) πρὸς τοῦτον λέγει, ὅτι καταληπτέον σφίσιν εἴη τὸ χωρίον·

CAP. XXVII.

Hinc scribit Nearchus ducem navigationis, Hydracem nomine, Gadrosium, una cum ipsis navigasse: pollicitumque esse se illos usque ad Carmaniam delaturum. Omnis abhinc ad sinum Persicum tractus non ita difficilis navigatu est: sed multo priore celebrior. (2) Mota ex Mosarnis per noctem classe, dccl stadia emensi ad Balomum littus delati sunt: atque inde in Barna vicum, stadiis abinde cccc, in quo frequentes palmæ erant, et hortus. In horto myrti nascebantur, variique flores, e quibus corollas texebant pagani. Hoc primum in loco arbores cultas, hominesque non omnino feros repererunt. (3) Inde cc stadia provecti ad Dendrobosa appulerunt; naves ibi in salo substiterunt. (4) Hinc sub mediam noctem solventes in Cophanta portum pervenerunt, cccc circiter stadia emensi. (5) Hic et piscatores degebant, parvisque et vilibus navigiis utebantur, et remis non per scalmos dispositis, ut Græcorum mos est, remigabant: sed hinc atque hinc, sicut in flumine, aquam undis injicientes, sicut qui terram fodiunt. In hoc portu aquam et multam et puram invenerunt. (6) Inde ad primam noctis vigiliam solventes ad Cyiza pervenerunt, dccc stadia emensi: quumque littus desertum ac æstuosum esset, jactis in salo ancoris substiterunt, atque in navibus corpora curarunt. (7) Inde provecti ad quingenta stadia, in parvum quoddam oppidum venerunt, in colle non procul a littore situm. (8) Nearchus verisimile ratus eam regionem cultam esse, Archiæ Anaxidoti filio, Pellæo, qui inter Macedones celebris cum Nearcho navigabat, ait, videri sibi oppidum occupandum esse.

(9) ἐκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιᾷ σιτία, βίᾳ τε οὐκ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ τριβῆς δεήσειν· σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία· ὅτι δὲ ἡ γῆ σιτοφόρος, τῇ καλάμῃ τεκμηριοῦσθαι, ἥντινα οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεώρων βαθέην. (10) Ταῦτα ἐπεὶ σφίσιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον· καὶ ὁ Ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν πλόον· αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὸς ἐπὶ θέαν δῆθεν τῆς πόλιος ἦει.

ΚΕΦ. ΚΗ'.

Προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως ξείνια ἔφερον ἐκ τῆς πόλιος θύννους τε ἐν χριβάνοισιν ὀπτούς (οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι αὐτοῖσιν ὤφθησαν οὐκ ὠμοφαγέοντες) καὶ πέμματα ὀλίγα καὶ βαλάνους τῶν φοινίκων. (2) Ὁ δὲ ταῦτα μὲν ἀσμένως δέχεσθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν· οἱ δὲ εἴων παρελθεῖν. (3) Ὡς δὲ εἴσω πυλῶν παρῆλθε, δύο μὲν τῶν τοξοτέων κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ μετὰ δύο ἄλλων καὶ τοῦ ἑρμηνέος ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ ἀνελθὼν ἐσήμηνε τοῖσιν ἀμφὶ τὸν Ἀρχίην ὅπως συνέκειτο, τὸν μὲν ὧν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον. (4) Ἰδόντες δὲ τὸ σημῆιον οἱ Μακεδόνες ἐπώκελλόν τε κατὰ τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῇ ἐς τὴν θάλασσαν· οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖσι γινομένοισιν ἐπὶ τὰ ὅπλα ἔθεον· (5) ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχῳ ἐκήρυσσε σῖτον διδόναι τῇ στρατιῇ, εἰ σώην ἐθέλωσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνέοντο εἶναι σφίσι, καὶ ἅμα προσέβαλον τῷ τείχεῖ· ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. (6) Ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὲ δὴ ἐδέοντο τοῦ Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. (7) Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας καὶ τὸ κατ' αὐτὰς τεῖχος· αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν σῖτον, εἰ ἀδόλως δεικνύουσιν. (8) Οἱ δὲ τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας· καὶ γὰρ καὶ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψῳ διαχρεόμενοι. (9) Ὡς δὲ τὰ ἐόντα ἐπεδείκνυον, οὕτω δὴ ἐκ τῶν παρεόντων ἐπισταμένοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην, ἥντινα οἱ ἐπιχώριοι ἱρὴν ἡλίου ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγεια.

ΚΕΦ. ΚΘ'.

Ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι σταδίους ἐς χιλίους ἐς Τάλμενα λιμένα εὔορμον· ἐνθένδε ἐς Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακοσίους,

(9) Oppidanos enim sua sponte frumenta exercitui daturos se non putare : vi autem capi non posse, sed diuturna obsidione opus fore. Se vero jam frumentis destitui. Frugiferam autem regionem esse inde colligi, quod densos culmos non procul a littore vidissent. (10) Quum itaque id consilium eis probaretur, reliquas quidem naves veluti ad navigationem instrui jubet, et Archiæ ejus rei negotio dato ipse cum una nave ad speculandum oppidum processit.

CAP. XXVIII.

Quumque ad muros appelleret, amice oppidani hospitalitatis ipsi dona, thynnos nimirum in clibanis tostos (hi enim extremi Ichthyophagorum primi visi sunt, qui crudis piscibus non vescerentur) atque placentulas paucas et palmarum caricas adferebant. (2) Quæ quidem Nearchus se libenter accipere dixit; cupere vero urbem visere : quod quum illi non recusarent, quum jam portas ingressus esset, duos sagittarios ut occupatam teneant portulam, jubet. Ipse cum aliis duobus et interprete in murum qui ab ea parte erat conscendens Archiæ signum dat, quemadmodum inter eos convenerat : et simulac hic quidem signum ederet, ille statim intellecta re id quod statutum erat faciebat. (4) Macedones conspecto signo confestim naves applicant, summaque celeritate in mare prosiliunt. Barbari hisce rebus perculsi ad arma confugiunt. (5) Interpres vero, qui Nearcho aderat, proclamabat, ut frumentum exercitui darent, si salvam urbem vellent. Negabant illi primo sibi frumentum esse, simulque in murum impetum faciebant. At a sagittariis, qui Nearcho aderant, telis ex edito loco in eos missis facile repulsi sunt. (6) Postquam vero captam jam esse urbem senserunt, ac direptioni proximam, tum demum Nearcho supplices facti, ut frumento quod in urbe esset accepto discedat oppidoque parcat, orant. (7) Nearchus Archiam portas et murum circa eas occupare jubet : ipse alios per urbem una cum incolis mittit qui explorent, an citra fraudem quicquid frumenti haberent ostenderent. (8) Atque illi quidem multam farinam ex tostis piscibus molitam ostenderunt : frumenti vero atque hordei parum. Siquidem farina piscium pro frumento, panibus vero pro opsonio utebantur. (9) Postquam vero omne frumentum ostenderunt, ex præsentia quantum poterant frumento convecto solvebant, et ad promontorium appellebant, quod indigenæ Soli sacram opinabantur. Nomen ei erat Bagia.

CAP. XXIX.

Inde sub mediam noctem solventes mille stadia emensi in Talmena tutum a ventis portum venerunt. Hinc in Canasida urbem desertam cccc stadiis inde distantem; ubi

ἵνα τινὶ φοίατι ὀρυκτῷ ἐπιτυγχάνουσι, καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν· τούτων τοὺς ἐγκεφάλους κόπτοντες ἐσιτέοντο· (2) σῖτος γὰρ ἐπιλελοίπει τὴν στρατιήν· καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλωον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. (3) Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπολείποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῷδε μετεώρους ἔσχε τὰς νέας ἐπ' ἀγκυρέων. (4) Ἐνθένδε ἀναχθέντες ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. Ἔστι δὲ καὶ αἰγιαλὸς ἐν αὐτῷ καὶ διώρυχες βραχέαι. (5) Ἐνθενδὲ σταδίους ὀκτακοσίους πλώσαντες ἐν Τροῖσιν ὁρμίζονται· κῶμαι δὲ σμικραὶ καὶ πονηραὶ ἐπῆσαν· καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκήια, αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοισιν ἐκ φοινίκων· καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελείφθησαν κατακόψαντες, ἀπὸ τουτέων τὰ κρέα ἐσιτέοντο. (6) Ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριηκοσίους πλώουσι, καὶ κατορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ᾤκεον. (7) Ἔνθεν δὲ ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην οὐδέν τι ἐλινύοντες ἔπλωον· ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ ταύτῃ παθόντες ἀπορίῃ τῶν ἀναγκαίων. (8) Ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ· βηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα, ἀλλὰ μετέωροι ἐπ' ἀγκυρέων· μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγῳ πλεῦνες στάδιοι καὶ μύριοι. (9) Οὗτοι δὲ οἱ Ἰχθυοφάγοι σιτέονται, κατότι περ καὶ κληίζονται, ἰχθύας· ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας· ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων, τὸ πολλὸν δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. (10) Οἱ δὲ καὶ δίκτυα ἐπὶ τῷδε πεποίηνται, μέγεθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν· πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον· (11) ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ, καὶ γῇ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ πολλόν ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστίν, ὑπολείπεταί τι τοῦ ὕδατος, καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες· οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζονες· τούτοισι περιβάλλοντες τὰ δίκτυα αἱρέουσι. (12) Σιτέονται δὲ ὠμοὺς μὲν, ὅκως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληροτέρους ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν ἀφαυανθῶσι, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται καὶ ἄρτους· οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. (13) Καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέονται· ἡ γὰρ χώρη ἔρημος λειμώνων, οὐδὲ ποίην φέρει. (14) Θηρεύουσι δὲ καὶ καράβους πολλαχῇ καὶ ὄστρεα καὶ τὰ κογχύλια· ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ· * * ἀπὸ τούτων ἔλαιον ποιέουσιν. (15) Οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν, ἀδενδρόν τε τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα πεποίηται· ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, καὶ τούτῳ κατάπερ ὄψῳ χρέονται

puteum quendam effossum repererunt, cui palmæ agrestes adnatæ erant; harum capita præcisa ederunt: (2) jam enim frumentum exercitui deerat. Urgente itaque fame totum illum diem et noctem navigarunt, et ad littus desertum appelluntur. (3) Nearchus veritus ne si in terram descenderent, præ desperatione naves desererent, eam ob rem in salo ancoras jaci jubet. (4) Inde solventes in Canaten venerunt, stadia DCCL emensi. Est ibi et littus vadosum, et fossæ exiguæ. (5) Inde digressi DCCC stadiis confectis ad Troa appulerunt. Ad littus pagi quidam erant exigui atque inopes. Incolæ domos suas deseruerant. Paueulum ibi frumenti et caricarum ex palmis nacti sunt. Camelis septem qui relicti fuerant cæsis, carnes eorum vorarunt. (6) Sub lucem repetita navigatione, stadia CCC emensi in Dagasira pervenerunt; quem locum quidam vagi homines incolebant. (7) Inde solventes integram noctem et diem nulla interposita mora navigarunt: stadiisque MC peractis fines Ichthyophagorum enavigarunt, magna rerum necessariarum penuria pressi. (8) Neque vero ad terram appulerunt; erant enim longo spatio æstus, sed jactis in salo ancoris substiterunt. Longitudo oræ Ichthyophagorum hac navigatione prætervecta, est paulo plus stadiorum XM. (9) Ichthyophagi vero hi piscibus vescuntur, unde etiam nomen traxerunt. Pauci vero ex iis piscatui student; pauci enim navigia ad eam rem habent, aut artem piscandi norunt: sed maximam partem recedente æstu marino captant. (10) Nonnulli etiam retia ad eam rem confecerunt, plurima tantæ magnitudinis ut ad duo stadia pertineant. Ea ex palmarum libris texunt, torquentes librum instar lini. (11) Quum vero mare recedit, terramque deserit, ubi illa sicca relinquitur, vacua plerumque piscibus est: sed ubi terra profundiori aliquo sinu aquam retinet, ibi magnam piscium copiam reperiunt. Ex his plerique parvi, alii etiam majores sunt: hos circumjectis retibus capiunt. (12) Et quidem teneriores, ut protrahunt eos ex aqua, crudos edunt: majores vero durioresque ad solem torrentes, simulac penitus tosti fuerint molentes in farinam redigunt, panemque ex ea conficiunt. Sunt qui polentam ex hisce farinis coquant. (13) Pecori etiam piscium farinam pabuli loco dant. Omnis enim illa regio pratis carens nullam herbam gignit. (14) Magnam etiam in his locis cancrorum, ostreorum et conchyliorum vim capiunt. Gignit quoque ea regio suapte natura salem, ** ex quibus oleum conficiunt. (15) Qui vero eorum loca deserta incolunt, et regionem nec arborum nec fructuum feracem, hi ex piscibus tantum vivunt; pauci serunt aliquantulum agri, atque ii panem opsonii

πρὸς τοὺς ἰχθύας· ὁ γὰρ σῖτος αὐτοῖσιν εἰσὶν ἰχθύες. (16) Οἰκία δὲ πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν, ὅσα κήτεα ἐκβάλλει ἡ θάλασσα, τούτων τὰ ὀστέα ἐπιλεγόμενοι, καὶ τούτοισιν ἀντὶ ξύλων χρεόμενοι· καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ἁλίσκεται ἀπὸ τούτων ποιέονται· τοῖσι δὲ πολλοῖσι καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθέων τῶν ἰχθύων τὰ οἰκία ποιέεται.

ΚΕΦ. Λ'.

Κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ ἰχθύες πολλῷ μέζονες ἢ ἐν τῇδε τῇ εἴσω· (2) καὶ λέγει Νέαρχος, ὁκότε ἀπὸ Κυίζων παρέπλωον, ὑπὸ τὴν ἕω ὀρθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης, οἷά περ ἐκ πρηστήρων βίᾳ ἀναφερόμενον· (3) ἐκπλαγέντας δὲ σφᾶς πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου ὅ τι εἴη καὶ ἀπὸ τοῦ τοῦτο τὸ πάθημα· τοὺς δὲ ἀποκρίνασθαι ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν τόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ· καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν· (4) αὐτὸς δὲ ἐπιὼν παρακαλέειν τε καὶ θαρσύνειν, καὶ κατ' οὔστινας παραπλώων ἐγένετο, ἐς μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυμαχίῃ τὰς νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ πυκνήν τε καὶ ξὺν κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι· (5) οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλώειν ἀπὸ ξυνθήματος· ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν δόσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι· τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν· (6) οὕτω δὴ ὁρώμενα ἤδη κατὰ τὰς πρῴρας τῶν νεῶν τὰ κήτεα ἐς βυσσὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν, (7) καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα· ἔνθεν χρότους τε ἐπὶ τῇ παραλόγῳ σωτηρίῃ γενέσθαι τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον τῆς τε τόλμης καὶ τῆς σοφίης. (8) Τούτων μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπειδὰν ἀνάπωτις κατάσχῃ ἐν τοῖσι βραχέσιν ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν γέρσον ἐξωθέεσθαι καὶ οὕτω δὴ κατασηπόμενα ἀπόλλυσθαί τε καὶ τὰς σάρκας αὐτοῖσι περιῤῥεούσας ὑπολείπειν τὰ ὀστέα χρᾶσθαι τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία· (9) εἶναι ὧν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν ὀστέα δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα, τὰ δὲ σμικρότερα, στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ εἶναι τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος.

loco cum piscibus edunt; pisces enim ipsis loco frumenti sunt. (16) Domos in hunc modum ædificant. Qui ditissimi eorum sunt, balænarum quotquot mare ejicit ossa sumentes, iis loco tignorum utuntur: et ex grandioribus ossibus portas conficiunt. Plerique vero tenuioris fortunæ ex spinis piscium domos construunt.

CAP. XXX.

Cete vero ingentis magnitudinis in exteriore mari nascuntur, piscesque multo majores quam in hoc interiore. (2) Scribit etiam Nearchus quum ex Cyizis navigarent, sub auroram vidisse se aquam sursum e mari efflari, et tanquam turbinibus violenter in altum efferri, (3) perculsosque nautas percontatos esse ex ducibus navigationis quidnam esset et a quo fieret hæc res, eosque respondisse, cete esse, quæ in mari voluntantia aquam sursum efflent: nautisque attonitis remos e manibus excidisse. (4) Se vero adeuntem eos hortatum esse atque animasse, et ad quosounque præternavigans accessisset jussisse, ut naves adversis proris veluti ad navalem pugnam instructis in eas dirigerent: utque denso agmine et magno strepitu remigantes una cum ipso remorum sonitu ingentes etiam clamores ederent. (5) Ita revocatis animis simul omnes signo dato remigationi incubuisse; quumque jam propiores belluis facti essent, quantum capita ferre poterant, acclamasse, tubasque clanxisse, et remorum pulsum latissime sonitum edidisse; (6) atque ita cete, quæ jam ad proras navium videbantur, exterrita in profundum sese abdidisse: neque multo post ad puppes emersisse, (7) rursumque magnam undarum vim sursum efflasse. Tum incredibilem nautarum ob inopinatam salutem applausum factum fuisse, Nearchi audaciam et prudentiam laudantium. (8) Nonnullæ vero harum balænarum interdum variis locis ad littus appelluntur, quæ recedente æstu in vadis hærent; aliæ a vehementibus tempestatibus in terram ejiciuntur, et sic putrefactæ ipsæ pereunt, et carnes earum decidentes ossa relinquunt hominibus ad domos exstruendas adhibenda. (9) Et laterum quidem ossa quæcunque majora in trabes ædium deliguntur; minora vero in tabulas: quæ in maxillis sunt ad januas accipiuntur; multæ siquidem balænæ magnitudine sunt circiter centum cubitorum.

ΚΕΦ. ΛΑ'.

Εὖτ' ἂν δὲ παρέπλωον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου τινός, ἣ κέεται μὲν ἀπέχουσα τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ ἐστιν οἰκητόρων. (2) Ταύτην ἱρὴν ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δ' ἂν ἀπειρίῃ προσχῇ, γίνεσθαι ἀφανέα. (3) Ἀλλὰ λέγει Νέαρχος, κέρκουρόν σφιν ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου διισχυρίζεσθαι, ὅτι ἄρα καταράντες ὑπ' ἀγνοίης εἰς τὴν νῆσον γένοιντο ἀφανέες. (4) Νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον, κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοὺς ἀνθρώπους, ὡς μάλιστα ἐν χρῷ παραπλώοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα· (5) ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὲ αὐτὸς λέγει πλῶσαι ἐς τὴν νῆσον, καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας· καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα τὸν περὶ τῇ νήσῳ λόγον· (6) ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα οὐ λέγεσθαι τῆς Νηρηίδος· ταύτῃ δὲ ὅστις πελάσειε τῇ νήσῳ, τούτῳ συγγίνεσθαι μὲν, ἰχθὺν δὲ ἐξ ἀνθρώπου ποιέουσαν αὐτὸν ἐμβάλλειν ἐς τὸν πόντον· (7) Ἥλιον δὲ ἀχθεσθέντα τῇ Νηρηίδι, κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου· τὴν δὲ ὁμολογέειν μὲν ὅτι ἐξοικισθήσεται, δέεσθαι δέ οἱ τὸ πάθημα [παυθῆναι]· καὶ τὸν Ἥλιον ὑποδέξασθαι· (8) τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας ἂν ἰχθύας ἐξ ἀνθρώπων πεποίηκε κατελεήσαντα, ἀνθρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι· καὶ ἀπὸ τούτων τῶν Ἰχθυοφάγων τὸ γένος καὶ εἰς Ἀλέξανδρον κατελθεῖν. (9) Καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινέω αὐτὸν ἔγωγε τῆς σοφίης τε καὶ σοφίης, οὔτε χάρτα χαλεπὰ ἐξελεγχθῆναι ἐόντα, ταλαίπωρόν τ' ἐὸν γινώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ἐόντας ψευδέας.

CAP. XXXI.

Quum Nearchus Ichthyophagorum regionem praternavigaret, cognovit insulam quandam in eo mari esse centum fere stadiis a continente remotam, quæ habitatoribus vacua esset. (2) Hanc indigenæ Soli sacram esse dicebant, Nosalaque vocari, neque quemquam mortalium ad eam appellere velle. Si quis vero imprudens eo deferatur, eum non amplius cerni. (3) Nearchus cercurum unum Ægyptiis nautis instructum non procul ab hac insula evanuisse scribit, navigationisque duces ea de re affirmasse ignorantes in eam insulam delatos ex oculis hominum sublatos esse. (4) Idem navim triginta remorum in circuitum insulæ mittit, mandatis additis ut descensu quidem in insulam abstinerent: sed proxime ad insulæ oram adnavigantes hominibus acclamarent, et gubernatorem nominarent, aut cujuscunque alius non obscurum nomen. (5) Quumque nemo audiret, tum semet eo navigasse dicit, ac nautas compulisse vel invitos navem appellere; quumque in insulam descendisset, vanam atque inanem fabulam docuisse quæ de insula illa spargebatur. (6) Audiisse vero se etiam alium de hac insula sermonem ait: habitasse hanc insulam unam Nereidum, nomen vero Nereidis non dici; eam cum omnibus qui eo appellerent commisceri solitam, eosque in pisces conversos in mare projicere. (7) Qua de causa iratum Nereidi Solem jussisse ut ex ea insula migraret; atque hanc quidem pollicitam esse se migraturam: rogasse autem ut sibi malum sanetur. (8) Et solem pollicitum esse; hominum autem quoscunque pisces ex hominibus fecerat illa, misertum homines rursus ex piscibus fecisse. Ex iis Ichthyophagorum genus ad Alexandrum usque pervenisse. (9) Ego vero Nearchum eo nomine non laudo, quod otio et sapientia in re non admodum difficili refellenda abusus fuerit; miserabile censens veteres mendacesque fabulas recensentem refutare.

ΚΕΦ. ΛΒ'.

Ὑπὲρ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα· ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἡ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθε καὶ αὐτὸς Ἀλέξανδρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. (2) Ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατὸς, ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ' ἀγκυρέων ἐσάλευσαν, ὅτι βηχίη παρετέτατο ἐς τὸ πέλαγος τρηχέα. (3) Ἐνθένδε δὲ ὡσαύτως οὐκέτι πρὸς ἡλίου δυομένου ἔπλωον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου οὕτω μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον· (4) καὶ οὕτω ἡ Καρ-

CAP. XXXII.

Supra Ichthyophagos Gadrosii in mediterraneis locis terram sterilem atque arenosam colunt: ubi et Alexandri exercitus et Alexander ipse multa incommoda perpessus est; quemadmodum jam in altero opere narravi. (2) Postquam vero ex Ichthyophagis in Carmaniam perventum est a classe, eo loco, ubi primum ad Carmaniam mansionem habuit, ancoris in salo jactis constiterunt, quod longe in mare æstus violentus porrectus erat. (3) Exinde non amplius ita directe ad occasum navigarunt, sed inter occidentem et septentrionem magis cursum tenuerunt; (4) atque

μανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν Ὠρειτέων εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ, καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. (5) Ὁρμίζονται δὲ ἐν Βάδει χώρῳ τῆς Καρμανίης οἰκεομένῳ, δένδρεά τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθὰς, καὶ σιτοφόρῳ. (6) Ἔνθενδὲ ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους, πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ, καὶ κατορῶσιν ἄκρην μακρὴν ἐξανέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος· ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης. (7) Καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλεγον τὴν ἀνίσχουσαν ταύτην ἄκρην, καλέεσθαι δὲ Μάκετα· ἔνθεν τὰ κινάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους ἀγινέεσθαι· (8) καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵναπερ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταντικρὺ ἀπεώρων ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος (ἐμοί τε δοκέει καὶ Νεάρχῳ ὡσαύτως ἐδόκεεν) ἐς τὸ εἴσω ἀναχέεται, ὅπερ εἰκὸς ἡ Ἐρυθρὴ θάλασσα. (9) Ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ' αὐτὴν πλώειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρεύοντας ταλαιπωρέεσθαι. (10) Νέαρχος δὲ ἀποκρίνεται νήπιον εἶναι Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ' ὅτῳ ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος· (11) οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ διασωθῆναι πάντα αὐτῷ τὸν στρατὸν, ἐπὶ τῷδε ἄρα ἐκπέμψαι τὰς νέας, ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατασκέψασθαι καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅστις κόλπος ἐσέχοι, ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ, καὶ εἴ τις ἐρήμη. (12) Σφᾶς ὧν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρως ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλῳ ἔχοντας· δεδιέναι τε, ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ ψλογώδεϊ ἐγκύρσειαν. (13) Ταῦτα ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κατέχει, καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.

ita Carmania arboribus fœcundior magisque frugifera est quam Ichthyophagorum aut Oritarum regio, magis etiam herbosa aquisque abundans. (5) Quum in Badin cultum Carmaniæ locum appulissent, multas arbores pomiferas exceptis oleis repererunt. Erat et ea regio vitium et frumenti ferax. (6) Inde ad DCCC stadia progressi ad littus desertum appellunt. Ex eo loco promontorium ingens longe in mare porrectum conspiciunt, quod unius diei navigatione inde abesse videbatur. (7) Periti locorum Arabiæ promontorium id esse dicebant, vocarique Maceta. Inde cinnamomum et alia ejuscemodi aromata in Assyrios vehi. (8) Ab eo littore ubi classis ancoris in salo jactis constiterat, et promontorio, quod ex adverso in mare porrectum conspexerant, sinus meo judicio, ut et Nearcho visum est, introrsum refunditur, sicut probabile est, mare Rubrum. (9) Id promontorium ubi conspicati sunt, Onesicritus classem eo dirigi jubebat, ne per sinum navigantes calamitatibus adficerentur. (10) Nearchus parum prudentem esse Onesicritum respondit, si nesciret quam ad rem Alexander classem misisset. (11) Neque enim quia pedestri itinere totum exercitum traducere salvum non posset, eam ob causam naves emissas : sed quod vellet omnia littora portusque et insulas in præternavigatione perlustrari, omnes etiam sinus pernavigari, et urbes quæ ad mare sitæ essent : quæve regio fertilis, quæ deserta sit inquiri. (12) Non debere itaque sese totum negotium pervertere, quum jam ad finem laborum pervenissent, præcipue quum res omnes ad navigationem necessariæ non deficerent : vereri etiam se, quod promontorium illud in meridiem vergeret, ne in desertam et siticulosam torridamque regionem inciderent. (13) Nearchi sententia vicit : et mihi quidem Nearchus manifesto hoc consilio classem universam servasse videtur. Promontorium enim illud omnemque regionem illi circumjectam desertam esse fama est, summaque aquarum penuria laborare.

ΚΕΦ. ΑΓ'.

Ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇ γῇ προσεχέες· καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα οὔνομα τῷ αἰγιαλῷ. (2) Καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλώσαντες σταδίους ἑκατὸν ὁρμίζονται κατὰ τὸν ποταμὸν Ἀναμιν· ὁ δὲ χῶρος Ἁρμόζεια ἐκαλέετο. Φίλια δὲ ἤδη καὶ πάμφορα ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐ πεφύκεσαν. (3) Ἐνταῦθα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασσαν πεπονθότες ἦσαν, καὶ πρὸς τῇ γῇ τῶν Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους ὄχως θηριώδεες, καὶ τὰς σφῶν ἀπο-

CAP. XXIII.

Mota igitur classe proxime terram navigantes, DCC stadia emensi ad aliud littus, cui Neoptana nomen erat, appellunt; rursusque sub auroram inde solvunt, et centum stadiis enavigatis ad fluvium Anamin perveniunt. (2) Locus ipse Harmozia vocabatur. Amicam jam ibi omniumque rerum feracem regionem nacti sunt : oleas tantum non ferebat. (3) Hic navibus egressi, cupide a tot tantisque laboribus conquierunt cum jucunda tot malorum, quæ mari perpessi fuerant, et apud regionem Ichthyophagorum, recordatione; desertas regiones, efferatos homines, summam rerum

ρίας ἐπιλεγόμενοι. (4) Καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀποσχεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. (5) Ἐνταῦθα ἄνθρωπος σφίσιν ὤφθη χλαμύδα τε φορέων Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ φωνὴν Ἑλλάδα ἐφώνει. Τοῦτον οἱ πρῶτοι ἰδόντες δακρῦσαι ἔλεγον· οὕτω τι παράλογον σφίσι φανῆναι ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι· (6) ἐπηρώτων τε ὁκόθεν ἥκοι, καὶ ὅστις ἐών· ὁ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάνδρου ἀποσχεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατόπεδον καὶ αὐτὸν Ἀλέξανδρον· τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον· καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης· (8) τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχῳ, καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται, ὅκως ἀναβήσεται πρὸς βασιλέα. (9) Τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθον· ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἐνεώλκεεν, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτέων κατὰ τὸν πλόον πεπονήκεσαν, καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν· (10) χάρακά τε ὧν περιβάλλεται διπλόον ἐπὶ τῷ ναυστάθμῳ, καὶ τεῖχος γήινον καὶ τάφρον βαθέην, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος, ἔστε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν.

omnium inopiam memoria recolentes. (4) Quidam vero interius remotiusque a mari progressi et ab exercitu sejuncti sunt, alius aliud quærentes. (5) Repertus hic est ab eis quidam Græcanica chlamyde reliquoque habitu Græco indutus, linguam etiam Græcam sonans, ad cujus primum conspectum collacrimatos ferunt : adeo novum atque insolens iis videbatur post tot mala hominem Græcum cernere et Græcam vocem audire. (6) Interrogarunt itaque, unde veniret, et quis esset. Ille se ab exercitu Alexandri sejunctum esse respondit, castraque atque adeo ipsum Alexandrum non procul abesse. (7) Hunc hominem ipsi confestim gaudio exultantes ad Nearchum adducunt : qui rem omnem ei retulit, castraque et regem quinque dierum itinere a mari abesse. (8) Præsidem etiam illius regionis Nearcho ostensurum se dixit et ostendit ; tum Nearchus cum eo consilium capit, quo pacto ad regem adscendere possit. (9) Tunc quidem ad classem sese recipiunt. Postridie vero sub lucem subduci naves jubet, partim ut quæ ista navigatione quassatæ erant, reficerentur : partim quod magnam exercitus partem ibi relinquere statuerat. (10) Duplici itaque vallo et aggere terreo navale cingit, fossamque profundam a ripa fluminis ad eam littoris partem, in quam naves subductæ erant, ducit.

ΚΕΦ. ΛΔ'.

Ἐν ᾧ δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος ὅκως ἐν μεγάλῃ φροντίδι ἔχοι Ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἐξ Ἀλεξάνδρου ἀγαθὸν ἂν ἔγνω πείσεσθαι, εἰ πρῶτός οἱ ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τοῦ Νεάρχου, ὅτι οὐ πολλῷ ὕστερον ἀπίξεται ἐς ὄψιν τὴν βασιλέος. (2) Οὕτω δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρῳ, ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. Τότε μὲν δὴ καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος, ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ. (3) Ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον οὐκέτι πιστὰ τὰ ἐξηγγελμένα ἐφαίνετο, (4) πεμπόμενοί τε ἄλλοι ἐπ' ἄλλοισιν ὡς ἐπὶ κομιδῇ τοῦ Νεάρχου, οἱ μέν τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες κενοὶ ἐπανήεσαν οὐδενὶ ἐγκύρσαντες· οἱ δὲ καὶ πορρωτέρω ἐλθόντες, καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν Νέαρχον, οὐδὲ αὐτοὶ ἐπανήεσαν, ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς κενά τε ἀγγείλαντα καὶ λυπηρότερά οἱ τὰ πρήγματα ποιήσαντα τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει Ἀλέξανδρος· αὐτὸς δὲ τῇ τε ὄψι καὶ τῇ γνώμῃ ὅλος ἦν μεγάλῳ ἄχεϊ βεβλημένος. (5) Ἐν τούτῳ δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου ἐσταλμένων ἵππους τε ἐπὶ κομιδῇ αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν

CAP. XXXIV.

Interea dum hæc a Nearcho parantur, præses regionis, quum audisset Alexandrum vehementer de classe hac solicitum esse, magnum aliquod munus se ab Alexandro accepturum arbitratus, si primus nuntiaret exercitum salvum esse, et Nearchum propediem in conspectum regis venturum : (2) compendio viæ inito, renuntiabat Alexandro, Nearchum a navibus venire. Alexander tametsi fidem ejus verbis non haberet, magnam tamen, ut par est, ex eo nuncio lætitiam cepit. (3) Quum vero alius ex alio dies traheretur, et tempus, ex quo nuncium allatum fuerat, conferenti non jam amplius credibilia viderentur nunciata ; (4) quumque alii atque alii, qui Nearchum adveherent, missi, partim quidem paululum viæ progressi vacui redirent, quum nulli occurrissent ; partim vero progressi ulterius et Nearchum non offendentes, ne ipsi quidem reverterentur, (5) tum Alexander hominem illum tanquam mendacis nuntii auctorem, quique suum mœrorem vano illo gaudio duplicarat, comprehendi jubet : ingentemque dolorem et vultu et animo præ se ferebat. (6) Interea nonnulli qui cum equis et vehiculis ad quærendum adducendumque Nearchum missi fuerant, in ipso itinere Nearcho et Archiæ

αὐτῷ τε Νεάρχῳ καὶ τῷ Ἀρχίῃ, καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσι· μετὰ τοσούτων γὰρ ἀνῄει. (7) Καὶ ἐντυχόντες οὔτε αὐτὸν ἐγνώρισαν οὔτε τὸν Ἀρχίην· οὕτω τοι κάρτα ἀλλοῖοι ἐφάνησαν, κομόωντές τε καὶ ῥυπόωντες καὶ μεστοὶ ἅλμης, καὶ ῥικνοὶ τὰ σώματα, καὶ ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης. (8) Ἀλλὰ ἐρομένοισι γὰρ αὐτοῖσιν ἵναπερ εἴη Ἀλέξανδρος, ἀποκρινάμενοι τὸν χῶρον οἵδε παρήλαυνον. (9) Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς Νέαρχον, Ὦ Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι' ἐρημίης ἐλαύνειν τὴν αὐτὴν ἡμῖν ὁδὸν οὐκ ἐπ' ἄλλῳ τινὶ συντίθημι, ἢ ὅτι μὴ κατὰ ζήτησιν τὴν ἡμετέρην ἀπεσταλμένους· (10) ὅτι δὲ οὐ γινώσκουσιν ἡμέας, οὐκ ἐν θώματι ποιέομαι· οὕτω γάρ τι ἔχομεν κακῶς, ὡς ἄγνωστοι εἶναι· φράσωμεν αὐτοῖσιν οἵτινες εἶμεν· καὶ τοὺς ἐρώμεθα καθ' ὅ τι ταύτην ἐλαύνουσιν. (11) Ἔδοξε τῷ Νεάρχῳ ἐναίσιμα λέγειν· καὶ ἤροντο, ὅκοι ἐλαύνουσιν· οἱ δὲ ἀποκρίνονται, ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυτικοῦ. (12) Ὁ δὲ, Οὗτος, ἔφη, ἐγὼ Νέαρχος, καὶ Ἀρχίης οὗτος· ἀλλ' ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρῳ ἀπηγησόμεθα.

obvii facti sunt : qui quidem aliis quinque aut sex viris comitati veniebant. (7) Neque tamen vel Nearchum vel Archiam agnoverunt : adeo immutati atque ab se ipsis diversi erant, hirsuti et sordidi, salsugineque repleti, atque macilenti, et ex multis vigiliis laboribusque pallidi. (8) Interrogantibus enim illis, ubinam esset Alexander, significato loco, iter suum persecuti sunt. (9) Tum Archias animadversa re ad Nearchum conversus ait, *Homines istos, Nearche, eadem qua nos via per deserta contendere non aliam ob causam judico, quam quod nos quæsitum missi sint.* (10) *Quod vero nos non agnoscunt, equidem non miror : ita enim male comparati sumus, ut agnosci non possimus. Significemus igitur eis, quinam simus, eosque percontemur, quam ad rem hoc itinere proficiscantur.* (11) Nearcho Archiæ consilium perquam opportunum est visum. Rogarunt itaque, quonam proficiscerentur? qui respondent Nearchum se et navalem exercitum quæsitum ire : (12) statimque Nearchum respondisse, *Hic ego sum Nearchus, et hic Archias : at vos nobis duces itineris estote, nos Alexandro de classe referemus.*

ΚΕΦ. ΛΕ'.

Ἀναλαβόντες δὲ αὐτοὺς ἐπὶ τὰς ἁπήνας, ὀπίσω ἤλαυνον· καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ, ὅτι Οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε ἄλλοι κομίζονται παρὰ σέ· ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνασθαι. (2) Τοῦτο ἐκεῖνο συνθεὶς ὁ Ἀλέξανδρος τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ Νεάρχου τε καὶ τοῦ Ἀρχίεω τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον ἐλύπεεν αὐτὸν ἀπολομένη ἡ στρατιὴ πᾶσα. (3) Οὔπω πάντα ταῦτα εἴρητο, καὶ ὁ Νέαρχός τε καὶ ὁ Ἀρχίης προσῆγον. Τοὺς δὲ μόγις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος· ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους κατεώρα, ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνετο. (4) Ὁ δὲ τὴν δεξιὴν τῷ Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγαγὼν μοῦνον αὐτὸν ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπιστέων, πολλὸν ἐπὶ χρόνον ἐδάκρυεν· (5) ὀψὲ δὲ ἀνενεγκών, Ἀλλὰ σύγε ἡμῖν ὅτι ἐπανήκεις σῶος, ἔφη, καὶ Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν; (6) Ὁ δὲ ὑπολαβών, Ὦ βασιλεῦ, ἔφη, καὶ αἱ νέες τοι σῶαι εἰσὶ καὶ ὁ στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίης αὐτῶν ἥκομεν. (7) Ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέξανδρος, κατότι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο· καὶ ὅκου ὁρμέουσιν αἱ νέες ἀνηρώτα· ὁ δὲ, Αὖται, ἔφη, ἐν τῷ στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται. (8) Ἀλέξανδρος δὲ τόν τε Δία τὸν Ἑλλήνων καὶ τὸν Ἄμμωνα τὸν Λιβύων

CAP. XXXV.

Illis itaque in vehicula exceptis, ad regem revertuntur. Nonnulli horum, nuntium celeritate prævertere cupientes, præcurrentes Alexandro nuntiarunt Nearchum ipsum et cum eo Archiam ac quinque alios adventare : de exercitu vero universo nihil poterant respondere. (2) Ex hoc ipso nuntio colligebat Alexander, Nearchum quidem et Archiam præter opinionem et fortuito servatos esse, exercitum vero universum periisse. Neque tantum gaudii ex Nearchi et Archiæ salute percepit, quantum ex amissa classe mœroris. (3) Necdum hæc omnia dicta erant, quum Nearchus et Archias adveniunt, quos Alexander difficulter admodum agnoscere potuit; quodque ita hirsutos maleque comparatos cernebat : tanto magis ejus dolor ob amissum exercitum navalem confirmabatur. Injecta tamen Nearcho dextra, eoque seorsum ab amicis et scutatis abducto, multo tempore collacrimatus est. (5) Tandem quum se collegisset ex lacrimis, Enimvero, quod tu, inquit, Nearche et Archias, sospites ac salvi redieritis, moderatius universæ classis jacturam fero : at vero naves et exercitus quonam pacto perierunt? (6) Tum Nearchus regis sermonem excipiens, *Salvæ sunt*, inquit, *tibi, rex, et naves et exercitus : nos vero ipsi hujus salutis nuntii venimus.* (7) Tum uberiores Alexandro lacrimæ manarunt, quod præter omnem exspectationem ei exercitus salvus esset : simulque ubi portum ceperint rogat. Nearchus eas ad fauces Anamidis fluvii consistere ait, atque in terram subductas refici. (8) Post hæc Alexander per Jovem Græcorum et Ammonem Lybicum jurans affirmavit,

ἐπόμνυσιν, ἢ μὴν μέζον ὡς ἐπὶ τῇδε τῇ ἀγγελίῃ χαίρειν, ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔρχεται· καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπὶ τῇ ἀπωλείῃ τῆς στρατιῆς ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ.

ΚΕΦ. ΛΣ'.

Ὁ δὲ ὕπαρχος τῆς χώρης, ὄντινα συνειλήφει Ἀλέξανδρος ἐπὶ τῇς ἀγγελίης τῇ ματαιότητι, παρεόντα κατιδὼν τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γόνατα, (2) καὶ, Οὗτός τοι, ἔφη, ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλεξάνδρῳ ὅτι σῶοι ἥκετε· ὁρᾷς ὅκως διάκειμαι. Οὕτω δὴ δέεται Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται. (3) Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ Σωτῆρι καὶ Ἡρακλεῖ καὶ Ἀπόλλωνι Ἀλεξικάκῳ καὶ Ποσειδῶνί τε καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι· καὶ ἀγῶνα ἐποίεε γυμνικόν τε καὶ μουσικὸν, καὶ πομπὴν ἔπεμπε· καὶ Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε, ταινίῃσί τε καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος. (4) Ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον, Ἐγώ σε, ὦ Νέαρχε, οὐκέτι ἐθέλω τὸ πρόσω οὔτ' ἀνακινδυνεύειν, οὔτε ταλαιπωρέεσθαι· ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται τὸ ἀπὸ τοῦδε, ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα. (5) Νέαρχος δὲ ὑπολαβὼν λέγει, Ὦ βασιλεῦ, ἐγὼ μέντοι πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοι ἐστίν· ἀλλὰ εἴ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλεις, μὴ ποιήσῃς ὧδε· ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστε σοι σώας καταστήσω ἐς Σοῦσα τὰς νέας· (6) μηδὲ τὰ μὲν χαλεπά τε αὐτοῦ καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέους ἤδη ἑτοίμου ἐχόμενα, ταῦτα δὲ ἀπαιρεθέντα ἄλλῳ ἐς χεῖρας διδόσθω. (7) Ἔτι λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσωμολόγεεν εἰδέναι· οὕτω δὴ καταπέμπει αὐτὸν, στρατιὴν δοὺς ἐς παραπομπὴν ὡς διὰ φιλίης ἰόντι ὀλίγην. (8) Τῷ δὲ οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο· ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τε τελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου· ὁ δὲ νεωστὶ κατεστηκὼς Τληπόλεμος οὔπω βέβαιον τὸ κράτος εἶχε. (9) Καὶ δὶς ὧν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤεσαν· καὶ οὕτως οὐδέν τι ἐλινύσαντες μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. Ἐνταῦθα θύει Νέαρχος Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιέει γυμνικόν.

ΚΕΦ. ΛΖ'.

Ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνήγοντο. Παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τρηχέην ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκεομένῃ, πλώσαντες σταδίους τριηκοσίους, ἔνθενπερ

gratius sibi jucundiusque id nuntii accidisse, quam quod universam Asiam subjugasset : dolorem enim ob amissum exercitum universæ felicitati suæ parem fuisse.

CAP. XXXVI.

Præses vero provinciæ, quem ob nuntii vanitatem Alexander comprehendi jusserat, Nearchum præsentem conspicatus, ei ad genua provolutus, (2) Ego, inquit, is sum qui Alexandro nuntiavi vos salvos rediisse. Vides quo pacto exceptus sim. Tum rogatu Nearchi Alexander eum dimitti jubet. (3) Alexander ob servatum exercitum Jovi Servatori atque Herculi et Apollini Alexicaco (*sive infortuniorum propulsatori*), et Neptuno reliquisque diis marinis sacrum fecit, ludos etiam gymnicos et musicos edidit, pompamque induxit : inter pompæ duces Nearchus erat, sertis ac floribus ab omni exercitu petitus. (4) His rebus peractis Alexander ita Nearchum alloquitur, *Ego te, Nearche, nulla posthac pericula aut labores iterum adire volo. Sed alius posthac classi præfectus eam in Susa ducet.* (5) Nearchus regis sermonem excipiens, *Equidem, o rex,* inquit, *tibi per omnia morem gerere et cupio et debeo. Cæterum si qua in re mihi gratificari volueris, hoc ne feceris : quin potius me in universum classi præfectum esse patiare, donec tibi naves salvas in Susa perduxerim;* (6) *neve quum res arduæ atque difficiles mihi abs te commissæ fuerint, faciles, quarum gloria jam in promptu est, mihi ademptas aliis in manus dederis.* (7) Adhuc loquentem interpellat Alexander, gratiam se illi habere insuper professus : atque ita eum dimittit, exiguo exercitu comitatum, quippe cui per amicam regionem eundum esset. (8) Cæterum neque ipsa ad mare profectio Nearcho expers laboris fuit. Collecti enim undequaque barbari tuta munitaque Carmaniæ loca occuparant. Nam satrapa eorum jussu Alexandri curam muneris sui finierat. Tlepolemus autem, qui recens satrapatum inierat, nondum firmum imperium nactus erat. (9) Bis itaque ac ter uno atque eodem die diversis in eum barbaris irruentibus pugnandum fuit. Atque ita nihil morantes æstre tandem ac difficulter ad mare salvi pervenerunt. Ibi Nearchus Jovi Servatori sacrum facit gymnicosque ludos edidit.

CAP. XXXVII.

Rebus itaque divinis rite peractis, oram solvit : hinc insulam desertam atque asperam præter vecti ad aliam insulam, grandem atque habitatam, appellunt, ccc stadia emensi ab loco, unde digressi erant. (2) Deserta illa insula Organa

ὡρμήθησαν. (2) Καὶ ἡ μὲν ἐρήμη νῆσος Ὄργανα ἐκαλέετο, ἐς ἣν δὲ ὡρμήθησαν Ὀάρακτα· ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν καὶ φοίνικες, καὶ σιτοφόρος· τὸ δὲ μῆκος [ἦν] τῆς νήσου, σταδίοι ὀκτακόσιοι. Καὶ ὁ ὕπαρχος τῆς νήσου Μαζήνης συνέπλωεν αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου. (3) Ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτως δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον· οὔνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι, ἀπ' ὅ του καὶ τὴν ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι, Ἐρυθρὴν καλέεσθαι. (4) Ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλωον· καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διηκοσίους σταδίους, ὁρμίζονται ἐν αὐτῇ αὖθις, καὶ κατορῶσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους· Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι, καὶ ἄβατος. (5) Ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο, καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν· αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας ἐς τὰ βάθεα διαπεσώθησαν· (6) αἱ δὲ ἐποκείλασαι τῆς πλημμυρίδος ἐπιγενομένης αὖθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς στόλος. (7) Ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους. (8) Ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλωον, νῆσον ἐρήμην ἐν ἀριστερῇ παραμείβοντες· οὔνομα δὲ τῇ νήσῳ Πύλωρα· καὶ ὁρμίζονται πρὸς Σισιδώνῃ, πολιχνίῳ σμικρῷ καὶ πάντων ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων· ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ' ἀναγκαίης ἦσαν, ὅτι πονηρὴν γῆν νέμονται. (9) Ἐνθένδε ὑδρευσάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριηκοσίους. (10) Ἔνθεν ἐς Καταίην, νῆσον ἐρήμην, ἁλιτενέα· αὕτη ἱρὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριηκόσιοι· (11) ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες, ἱρὰ τῷ Ἑρμῇ καὶ τῇ Ἀφροδίτῃ· καὶ ταῦτα ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης.

ΚΕΦ. ΑΗ'.

Μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι ἔχουσι· μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι· ζώουσι δὲ κατάπερ Πέρσαι, ὅτι καὶ ὅμοροί εἰσι Πέρσῃσι· καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως κοσμέονται. (2) Ἐνθένδε ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλωον· καὶ κατάγονται ἐς Ἶλαν χῶρον, ἵνα λιμὴν πρὸς νήσου σμικρῆς καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Κέκανδρος· ὁ δὲ πλόος στάδια τετρακόσια. (3) Ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλώσαντες ὁρμίζονται οἰκεομένην· ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος, κατάπερ ἐν τῇ Ἰνδῶν θαλάσσῃ. Ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν· (4) ἐνθένδε πρὸς ὄρεϊ ὁρμίζονται ὑψηλῷ (Ὄχος

vocabatur: ubi vero constiterunt Oaracta. Erat hæc vitium, palmarum et frumenti ferax. Longitudo insulæ DCCC stadia efficiebat. Præses ejus loci Mazenes sua sponte se Nearcho et comitem et ducem navigationis Susa usque adjunxit. (3) In hac insula aiebant sepulcrum ejus extare qui primus imperium regionis tenuisset, nomenque ei fuisse Erythræ, atque inde mare illud Erythræum appellatum. (4) Ex eo loco ad CC stadia Nearchus cum classe profectus, rursus in eadem insula portum cepit. Inde aliam insulam prospiciunt, XL circiter stadiis a magna illa distantem, quæ Neptuno sacra et inaccessa esse dicebatur. (5) Sub auroram solvunt, et tam vehemens maris recessus eos occupat, ut tres naves impactæ in vado sicco hærerent, et reliquæ difficulter e brevibus enavigantes in altum evadere potuerint. (6) At vero, quæ impactæ erant accedente rursus æstu et ipsæ deductæ postero die ad reliquam classem appulerunt. (7) Hinc simul CCCC stadia emensi ad aliam insulam, CCC stadiis a continente distantem, stationem ceperunt. (8) Inde sub auroram solventes, insula quadam deserta, quæ ad lævam erat, (Pylora ei nomen erat) præterita, ad Sisidonem urbem exiguam omniumque rerum inopem, præterquam aquæ et piscium, pervenerunt. Nam hos quoque ichthyophagos esse, necessitas facit; sterilem enim terram incolunt. (9) Aqua inde tantum sumta in Tarsian promontorium longe in mare porrectum deferuntur, CCC stadia emensi. (10) Inde in Cataean, insulam desertam ac vadosam. Ea Mercurio et Veneri sacra esse dicebatur. Navigatio CCC stadiorum fuerat. (11) In hanc insulam singulis annis a finitimis oves et capræ mittuntur, Mercurio et Veneri sacræ. Has temporis longinquitate ac solitudine efferatas videre erat.

CAP. XXXVIII.

Ad hunc usque locum Carmania pertinet: citeriora Persæ tenent. Longitudo navigationis ad Carmaniæ oram est stadiorum III M. et DCC. Vivunt Carmani Persarum more; nam et Persis finitimi sunt: eodem etiam armorum et bellandi genere utuntur. (2) Soluta inde classe, Persidis oram circumvecti in locum quendam Ilan dictum appulerunt, ubi portus ab insula parva ac deserta efficitur. Nomen insulæ Cecandrus est. Navigatio est stadiorum CCCC. (3) Sub auroram in aliam insulam habitatam delati sunt, in qua perinde atque in mari Indico margaritam capi Nearchus scribit. Hujus insulæ promontorio prætervavigato, stadia XL emensi, constiterunt. (4) Inde ad montem excelsum, Ochum dictum, appulerunt in portu a ventis tuto, et pi-

οὔνομα τῷ ὄρει) ἐνλιμένι εὐόρμῳ· καὶ ἁλιέες αὐτοῦ ὤχεον. (5) Καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ πεντήκοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι: καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμεε, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. (6) Νυκτὸς δὲ ἐπάραντες ἔνθεν ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι· στάδιοι τοῦ πλόου τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείην· ταύτῃ φοίνικές τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῇ Ἑλλάδι γῇ φύεται. (7) Ἔνθεν ἄραντες ἐς Γώγανα παραπλώουσι σταδίους μάλιστα ἐς ἑξακοσίους, ἐς χώρην οἰκεομένην· ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου, ὄνομα δὲ Ἀρεών, ἐν τῇσιν ἐκβολῇσιν· ἐνταῦθα χαλεπῶς ὁρμίζονται· στεινὸς γὰρ ἦν ὁ ἔσπλους κατὰ τὸ στόμα, ὅτι βραχέα τὰ κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε. (8) Καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς οὔνομα τῷ ποταμῷ ἦν· οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται· καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα βραχέα τε ἦσαν καὶ ῥηχίαι καὶ τενάγεα. (9) Ἐνταῦθα σῖτον καταλαμβάνουσι πολλὸν ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέος, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι· ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι, καὶ τὰς νέας ἀνειρυσάμενοι ὅσαι μὲν πεπονήκεσαν, ἐπεσκεύαζον· τὰς δὲ ἄλλας ἐθεράπευον.

scatores ea loca habitantes repererunt. (5) Inde rursum solventes, CCCCL stadiis peractis, ad Apostana appulerunt. Complura ibi navigia in statione erant : et pagus adjacebat LX stadiis a mari remotus. (6) Hinc repetita per noctem navigatione in sinum quendam frequentibus pagis celebrem delati sunt, CCCC stadia emensi : ibi classe ad radicem montis collocata substiterunt. Loca illa palmas aliasque pomiferas arbores quotquot in Græcia nascuntur ferebant. (7) Inde solventes in Gogana, regionem habitatam, DC circiter stadia emensi, navigant ; classemque ad fauces fluvii cujusdam qui torrens erat (Areon ei erat nomen) collocavit, idque iniquo satis loco : quod aditus faucium angustus erat ob vada quæ æstus marini recessus in orbem fecerat. (8) Inde rursus ad alterius fluminis, cui Sitaco nomen est, fauces appulerunt, DCCC stadia emensi. Sed ne ibi quidem commodam stationem nacti sunt : universa hæc ad Persidis oram navigatio plurima vadosa et petricosa palustriaque loca habet. (9) Eo loci Nearchus multum frumenti quod rex ad frumentandum exercitum convehi curarat, accepit. Ibi XXI dies in universum commorati naves quæ salo quassatæ erant in terram subductas refecerunt : reliquas autem curando renovarunt.

ΚΕΦ. ΛΘ'.

Ἐνθένδε ὁρμηθέντες εἰς Ἱέρατιν πόλιν ἀπίκοντο, ἐς χῶρον οἰκεόμενον· ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος· ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένῃ ἐς θάλασσαν, ἣ οὔνομα ἦν Ἡράτεμις. (2) Ἅμα δὲ ἠλίῳ ἀνίσχοντι παραπλώουσιν ἐς ποταμὸν χειμάρρουν, οὔνομα Πάδαγρον, ὁδὲ χῶρος χερρόνησος ἅπας· καὶ ἐν αὐτῷ κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· οὔνομα τῷ χώρῳ Μεσαμβρίη. (3) Ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διηκοσίους, ἐς Ταόκην ὁρμίζονται ἐπὶ ποταμῷ Γράνιδι· καὶ ἀπὸ τούτου ἐς τὸ ἄνω Περσέων βασίλεια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διηκοσίους. (4) Κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέαρχος ὀρθῆναι κῆτος ἐκβεβλημένον εἰς τὴν ἠϊόνα· καὶ τοῦτο προσπλώσαντας τινὰς τῶν ναυτέων ἐκμετρῆσαι καὶ φάναι εἶναι πήχεων ἐνενήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολιδωτὸν, οὕτω τε ἐς βάθος ἦκον, ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν, ὄστρεά τε καὶ λοπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα· καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτεϊ, καὶ τοὺς δελφῖνας τῶν ἐν τῇ εἴσω θαλάσσῃ μέζονας. (6) Ἔνθεν δὲ ὁρμηθέντες κατάγονται ἐς Ῥώγωνιν ποταμὸν χειμάρρουν ἐν λιμένι εὐόρμῳ· μῆκος τοῦ παράπλου στάδιοι διηκόσιοι. (7) Ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες αὐλίζονται ἐν ποταμῷ χειμάρρῳ Βρίζανα τῷ ποταμῷ οὔνομα· ἐνταῦθα χαλεπῶς

CAP. XXXIX.

Inde rursum solventes ad Hieratin oppidum habitatum, DCCL stadia emensi, appulsi sunt, classemque in fossa ex flumine illac in mare deducta, cui nomen Heratemis erat, collocarunt. (2) Postero die sub auroram ad torrentem amnem, Padagrum nomine, appellunt. Totus is tractus peninsula est. In eo hortos quamplurimos arboresque pomiferas omnis generis repererunt. (3) Nomen illi tractui est Mesambria. Ex Mesambria digressi, et stadia circiter CC emensi in Taocen ad Granidem fluvium pervenerunt. Ab hujus fluminis ostio CC fere introrsum stadia Persarum regia est. (4) In hac navigatione Nearchus balænam abs se visam esse scribit, quæ in littus ejecta erat : nautasque nonnullos isthuc adnavigantes eam mensos retulisse nonaginta cubitorum esse. (5) Pellem ejus corticatam fuisse, adeoque altam, ut quibusdam locis cubiti unius crassitudine, multa etiam ostrea et lopades multaque alga annata ei esset : delphines quoque circa belluam visos multos, majores quam internum mare ferat. (6) Inde profecti ad Rhogonim fluvium torrentem, in tutum portum se recipiunt, CC stadia emensi. Ab hoc flumine CCCC stadia progressi ad alium similem amnem, Brizana dictum, devenerunt. (7) Ibi

ὡρμίσαντο, ὅτι ῥηχίη ἦν καὶ βραχέα, καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον· (8) ἀλλ' ὅτε ἡ πλήμμυρα ἐπῄει, τότε ὡρμίσαντο· ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηρῷ ὑπελείφθησαν αἱ νέες· ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· (9) οὔνομα δὲ τῷ ποταμῷ Ὀροάτις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον.

difficili statione sunt usi, quum mare æstuosum et frequentia vada et scopuli ad mare essent. (8) Accedente itaque æstu portum ceperunt : recedente, in vado hærebant. Mox reciprocante æstu statis vicibus enavigantes ad Oroatin fluvium constiterunt. (9) Maximum hunc fluvium Nearchus esse scribit omnium, qui per hanc navigationem in exterius mare influunt.

ΚΕΦ. Μ'.

Μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τούτων Σούσιοι. Σουσίων δὲ ἄλλο γένος αὐτόνομον κατύπερθε προσοικέει· Οὔξιοι καλέονται· ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ ἄλλῃ ξυγγραφῇ, ὅτι λῃσταί εἰσι. Μῆκος τοῦ παράπλου τῆς Περσίδος χώρης, στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι. (2) Τὴν δὲ Περσίδα γῆν τριχῇ νενεμῆσθαι τῶν ὡρέων λόγος κατέχει. Τὸ μὲν αὐτῆς πρὸς τῇ Ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον ἀμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος· (3) τὸ δὲ ἐπιτηδέως πρὸς ἄρκτον τε καὶ Βορέην ἄνεμον ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων· καὶ τὴν χώρην ποιώδεά τε εἶναι, καὶ λειμῶνας ὑδρηλοὺς καὶ ἄμπελον πολλὴν φέρειν, καὶ ὅσοι ἄλλοι καρποί, πλὴν ἐλαίης· (4) παραδείσοισί τε παντοίοισι τεθηλέναι, καὶ ποταμοῖσι καθαροῖσι διαῤῥέεσθαι, καὶ λίμνῃσι, καὶ ὄρνισιν ὁκόσοισιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα, ἵπποισί τε ἀγαθὴν εἶναι, καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι νέμεσθαι, καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθηρον· (5) τὴν δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων χειμερίην τε καὶ νιφετώδεα· ** ὥστε πρέσβεας τινὰς ἐκ τοῦ Εὐξείνου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας ἐντυχεῖν κατ' ὁδὸν ἰόντι τῆς Περσίδος καὶ θῶμα γενέσθαι Ἀλεξάνδρῳ, καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύτητα. (6) Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν οἱ Οὔξιοι, λέλεκταί μοι· κατάπερ Μάρδοι μὲν Πέρσῃσι προσεχέες οἰκέουσι, λῃσταὶ καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισι. (7) Καὶ ταῦτα πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγον· (8) καὶ πόλιας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι, ἀλλ' ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσωνται. Ἐνθένδε τὴν Σουσίων γῆν παρήμειβεν ὁ στρατός. (9) Καὶ ταῦτα οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει Νέαρχος ὅτι ἐστὶν οἱ ἐκφράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου· (10) τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐπέχουσαν, καὶ ταύτην σφαλερὴν ἐγκατορμίζεσθαι· πελαγίοισιν ὧν σφίσι τὴν κομιδὴν τὸ πολλὸν γενέσθαι· (11) ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵναπερ ηὐλίσθησαν, ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος· ὕδωρ δὲ ἐμβάλλεσθαι πέντε ἡμερέων· οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ κατηγεμόνες τοῦ πλόου.

CAP. XL.

Ad hunc amnem usque Persæ habitant : ulterius Susii incolunt. Supra Susios autem gens alia libera habitat, Uxii, quos in superiori opere latrocinia exercere diximus. Universa Persidis ora stadia mi ɯ, cccc efficit. (3) Porro totius Persicæ regionis temperaturam tripliciter dividi fama est. Nam quæ pars ejus ad mare rubrum sita est, arenosam ac sterilem ob æstum esse. (2) Quæ vero aliquatenus ad septentrionem et borealem plagam jacet, constitutionem cœli temperatam habere, regionemque ipsam herbosam, multa irrigua prata multasque vites habere, atque adeo omne genus fructuum, excepta olea. (4) Hortis enim amœnissimis florere, fluviisque limpidissimis irrigari, ac lacubus omnique genere avium, quæ circa flumina aut lacus versari solent, abundare : equis etiam aliisque jumentis pascendis ideneam esse, silvosam præterea multis locis esse venatuique aptissimam. (5) Eam autem, quæ adhuc magis in septentrionem vergit, frigidam ac nivalem esse : ** Nearchus legatos quosdam ab Euxino ponto brevissimo itinere profectos Alexandro Persidem transeunti obviam venisse scribit. Idque Alexandro permirum visum fuisse, brevitate viæ ex ipsis cognita. (6) Quod vero Susiis finitimi sint Uxii, antea a nobis dictum est. Quemadmodum et Mardi latrones etiam ipsi Persas, Cossæi Medos accolunt. (7) Quas quidem gentes omnes Alexander domuit, hyeme eas adortus, quando regionem suam adiri nulla ratione posse putabant. Urbes quoque iis condidit, ne jam amplius vagarentur, sed aratores agricolæque essent, utque quum pro quibus metuerent haberent, ab injuria ac vi alter alteri inferenda abstinerent. Inde Susiorum regionem prætervectus est exercitus. (9) De hac navigatione Nearchus se non ita certa narrare posse scribit, præterquam portus, et longitudinem navigationis. (10) Nam illum maris tractum maximam partem esse vadosum et brevia longe in mare pertinere : neque citra periculum portum e mari capi posse. Quare ipsis cursum in alto ut plurimum fuisse· (11) Solvisse vero se ex faucibus amnis, ubi ad fines Persidis consederant, et aquam in quinque dies recepisse, quia duces navigationis monuerant, aquam in iis partibus non reperiri.

ΚΕΦ. ΜΑ'.

Σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ἧ οὔνομα Κατάδερβις· καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔνομα. (2) Ἐνθένδε δὲ ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βραχέα ἐκομίζοντο ἐπὶ μιᾶς νεός· πασσάλοισι δὲ ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βραχέα, κατάπερ ἐν τῷ μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης ἀποδέδεικται σημήια τοῖσι ναυτιλλομένοισι τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βραχέσι τὰς νέας· (3) ἀλλὰ τὰ μὲν κατὰ Λευκάδα, ψαμμώδεα ἐόντα, καὶ τοῖσιν ἐποκείλασι ταχέην τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ πηλός ἐστιν ἐπ' ἑκάτερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης, ὥστε οὐδεμιῇ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. (4) Οἵ τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοὶ οὐδέν τι ἐπωφέλεον, ἀνθρώπῳ τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεόμενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ τοῦ πηλοῦ ἕστε ἐπὶ τὰ στήθεα. (5) Οὕτω δὴ χαλεπῶς διεκπλώσαντες ἐς σταδίους ἑξακοσίους κατὰ νέα ἕκαστοι ὁρμισθέντες, ἐνταῦθα δείπνου ἐμνήσθησαν· (6) τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλωον, καὶ τὴν ἐπεξῆς ἡμέρην ἕστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐννακοσίους· καὶ κατωρμίσθησαν ἐπὶ τῷ στόματι τοῦ Εὐφράτου πρὸς κώμῃ τινὶ τῆς Βαβυλωνίης χώρης· οὔνομα δὲ αὐτῇ Διριδώτις· (7) ἵνα λιβανωτόν τε ἀπὸ τῆς ἐμπορίης γῆς οἱ ἔμποροι ἀγινέουσι, καὶ τἆλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει. (8) Ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἐστὲ ἐς Βαβυλῶνα πλόον λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριηκοσίους.

CAP. XLI.

Quumque ad quingenta stadia provecti essent, ad fauces piscosi cujusdam lacus, qui Cataderbis dicebatur, constiterunt. Exigua ad hujus lacus fauces insula adjacebat, quam Margastanam vocant. (2) Inde sub auroram solventes, per vada navigarunt singulis navibus. Pali hinc inde fixi vada ostendebant, perinde atque apud isthmum inter Leucadem insulam atque Acarnaniam signa quædam navigantibus exposita sunt, ne naves in vada impingant. (3) Ceterum vada apud Leucadem sabulosa sunt, ideoque etiam impactis facilem recessum concedunt. Verum hic limus est ab utraque parte loci, in quo navigatur, profundus et tenax, adeo ut naves impactæ nullo artificio evelli possint. (4) Contis enim in limo subsidentibus nihil proficiebatur. Neque nautæ navibus egredi ad eas vadis evellendas poterant, quod limus vestigiis cedens eos pectore tenus absorbebat. (5) Atque ita difficillima navigatione per DC stadia usi, singulis subsistentes navibus, corpora curarunt. (6) Noctu vero per profundum jam navigarunt, totum etiam diem posterum in vesperum usque, et DCCCC stadiis confectis, ad Euphratis ostia appulerunt, et ad pagum quendam Babylonicæ regionis, cui Diridotis nomen est, pervenerunt: (7) quo mercatores et thus ex mercatorum terra et alia aromata, quæ fert Arabia, adferunt. (8) Ab ostiis Euphratis Babylonem usque Nearchus stadiorum III M CCC statuit.

ΚΕΦ. ΜΒ'.

Ἐνταῦθα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι· ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλωον, ὡς κατὰ τὸν Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμίξαι Ἀλεξάνδρῳ. (2) Ἔπλωον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερῇ τὴν γῆν τὴν Σουσίδα ἔχοντες· καὶ παραπλώουσι λίμνην, ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός· (3) ὃς ῥέων ἐξ Ἀρμενίων παρὰ πόλιν Νίνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ, ἣν Μεσοποταμίην ἐπὶ τῷδε κληίζεσθαι, ποιέει· (4) ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλους σταδίοι ἑξακόσιοι, ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν· αὕτη δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους· μῆκος τοῦ παράπλου τῆς Σουσίων γῆς ἐστὲ ἐπὶ στόμα τοῦ Πασιτίγριδος ποταμοῦ σταδίοι δισχίλιοι. (5) Ἐνθένδε κατὰ τὸν Πασιτίγριν ἄνω ἀνέπλωον διὰ χώρης οἰκεομένης καὶ εὐδαίμονος. Ἀναπλώσαντες δὲ σταδίους ἐς πεντήκοντα καὶ ἑκατὸν αὐτοῦ ὁρμίζονται, προσμένοντες οὔστινας ἐστάλκει Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. (6) Αὐτὸς δὲ ἔθυε θεοῖσι τοῖσι σω-

CAP. XLII.

Eo loci de Alexandri ad Susa profectione nuntium acceperunt. Quare ipsi etiam inde retrorsum navigarunt, ut per Pasitigrim fluvium mediterranea petentes cum Alexandro jungerentur. (2) Retro igitur navigantes a læva Susios habebant, lacumque prætervehuntur, in quem Tigris fluvius decurrit: (3) qui ex Armenia fluens juxta Ninum, magnam olim et opulentam urbem, regionem efficit quæ inter se et Euphratem media est, ideoque Mesopotamia dicitur. (4) A lacu in ipsum flumen navigatio est stadiorum DC, ubi et pagus quidam Susiorum est, quem Aginim vocant. Is a Susis distat stadiis quingentis. Longitudo navigationis præter regionem Susiorum usque ad Pasitigris ostium II M stadiorum erat. (5) Inde per Pasitigrim adverso flumine per regionem bene habitatam atque opulentam vecti sunt: confectisque stadiis CL ibi constiterunt, exspectantes reditum eorum quos Nearchus miserat sciscitaturos ubinam locorum rex esset. Ipse diis servatoribus

τῆρσι, καὶ ἀγῶνα ἐποίεε, καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμιῇσιν ἦν. (7) Ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλωον ἤδη αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐπ' ἣ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα. (8) Ἐνταῦθα ἀνεμίχθη ὁ στρατὸς, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀνθρώπων τῇ σωτηρίῃ, καὶ ἀγῶνες ἐποιεόντο· καὶ Νέαρχος ὅκοι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο· (9) ἔνθα καὶ χρυσέῳ στεφάνῳ στεφανοῦνται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεοννάτος, Νέαρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ, Λεοννάτος δὲ ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείτῃσι προσοικέοντας βαρβάρους. (10) Οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.

sacrum fecit, ludosque edidit, universo exercitu navali in lætitiam effuso. (7) Postquam vero nuntiatum est Alexandrum appropinquare, rursus adverso flumine nitentes ad pontem recens factum, per quem Alexander exercitum in Susa traducturus erat, consistunt. (8) Eo loci exercitus conjuncti sunt : Alexander pro navibus simul et milite salvis sacrificia fecit, ludosque edidit. Nearchus quoquoversus per castra ibat, floribus ac sertis petebatur. (9) Post hæc Alexander Nearchum et Leonnatum aureis coronis donavit : Nearchum, ob classem servatam : Leonnatum, ob victoriam, quam de Oritis aliisque barbaris Oritarum vicinis reportarat. (10) In hunc modum exercitus ex Indi amnis ostiis profectus salvus Alexandro reductus est.

ΚΕΦ. ΜΓ'.

Τὰ δὲ ἐν δεξιῇ τῆς Ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βαβυλωνίην Ἀραβίη ἡ πολλή ἐστι, καὶ ταύτης τὰ μὲν κατήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ τὴν Παλαιστίνην Συρίην· πρὸς δυομένου δὲ ἡλίου ὡς ἐπὶ τὴν εἴσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμορέουσι. (2) Κατὰ δὲ Αἴγυπτον ἐσέχων ἐκ τῆς μεγάλης θαλάσσης κόλπος ὄῆλον ποιέει ὅτι ἕνεκά γε τοῦ σύρροον εἶναι τὴν ἔξω θάλασσαν περίπλους ἂν ἦν ἐκ Βαβυλῶνος ἐς τὸν κόλπον τοῦτον ἐσέχοντα ὡς ἐπ' Αἴγυπτον. (3) Ἀλλὰ γὰρ οὔ τις παρέπλωσε ταύτῃ οὐδαμῶν ἀνθρώπων ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι νομιζόμενοι. (4) Ἀλλὰ οἱ ἀπ' Αἰγύπτου γὰρ ἐς Σοῦσα ἀποσωθέντες τῆς στρατιῆς τῆς Καμβύσεω καὶ οἱ παρὰ Πτολεμαίου τοῦ Λάγου παρὰ Σέλευκον τὸν Νικάτορα σταλέντες ἐς Βαβυλῶνα διὰ τῆς Ἀραβίης χώρης (5) ἰσθμόν τινα διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ τῇσι πάσῃσιν ἄνυδρον καὶ ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες, ὕδωρ τέ σφιν ἐπὶ τῶν καμήλων φέροντες, καὶ νυκτοπορέοντες· τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα ἀδύνατοι ἦσαν. (6) Τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς χώρης, ἥντινα ἰσθμὸν ἀποφαίνομεν ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν Ἐρυθρὴν θάλασσαν, οἰκεόμενα εἶναι, ὁκότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. (7) Ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ' Αἴγυπτον ὁρμηθέντες ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα παραπλώσαντες τῆς Ἀραβίης, ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω ἀπενόστησαν. (8) Ἐκ Βαβυλῶνός τε οὕστινας ἔστειλεν Ἀλέξανδρος, ὡς ἐπὶ μήκιστον πλώοντας ἐν δεξιῇ τῆς Ἐρυθρῆς θαλάσσης γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νήσους μέν τινας κατεσκέψαντο ἐν τῷ παράπλῳ κειμένας, καί που

CAP. XLIII.

Quæ vero ad dextram maris rubri partem ultra Babyloniam sita est regio, Arabia magna est : atque hujus quidem pars quædam pertinet ad mare Phœniciæ ac Syriæ Palæstinæ ; ad occidentem vero usque ad mare Mediterraneum Ægyptii Arabiæ contermini sunt. (2) Sinus autem, qui ad Ægyptum ex Oceano magno infunditur, manifesto indicat, ratione concursus cum exteriore mari, navigari posse ex Babylone in eum sinum, qui ad Ægyptum pertendit. (3) Cæterum nemo mortalium ea loca prætervavigavit propter ardorem solis et solitudines, nisi quidam in alto vecti. (4) Nam qui de exercitu Cambysis ex Ægypto in Susa salvi pervenerunt, quique a Ptolemæo Lagi filio ad Seleucum Nicatorem Babyloniam missi fuerunt per Arabiam, (5) isthmum quendam transgressi per octo integros dies per regionem desertam et aquarum inopem iter fecerunt : idque camelis celeriter vecti aquamque super iis portantes et noctu proficiscentes. Interdiu enim sub dio esse ob ardorem solis non poterant. (6) Tantum abest ut regio sita ultra isthmum illum, quem diximus, ex sinu Arabico in mare Rubrum pertinens habitabilis sit : quum ea quæ magis ad septentrionem vergit, deserta sit atque arenosa. (7) Nam nonnulli ex Arabico sinu, qui ad Ægyptum spectat, profecti, ut magnam Arabiam circumnavigantes ad mare quod ad Susa et Persiam pertinet pervenirent, tam diu præter Arabiam navigarunt, quam aqua navibus imposita eos non deficeret. Postea retro conversi sunt. (8) Ii vero, quos Alexander ex Babylone misit, ut longissima ad dextram maris Rubri partem navigatione facta loca illius regionis explorarent ; insulas quidem nonnullas viderunt, in quibus navigarunt locis sitas, et interdum ad Arabiæ continentem

καὶ τῆς ἠπείρου τῆς Ἀραβίης προσέσχον· (9) τὴν δὲ ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβαλὼν ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. (10) Δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ, ὑπ' Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλωτά τε καὶ βαδιστὰ ἐόντα. (11) Ἄννων δὲ ὁ Λίβυς ἐκ Καρχηδόνος ὁρμηθεὶς ὑπὲρ μὲν Ἡρακλείας στήλας ἐξέπλωσεν ἔξω ἐς τὸν πόντον, ἐν ἀριστερῇ τὴν Λιβύην γῆν ἔχων· καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγένετο τὰς πάσας πέντε καὶ τριήκοντα ἡμέρας· (12) ὡς δὲ δὴ ἐς μεσημβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν ἐνετύγχανεν ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. (13) Ἀλλ' ἡ Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖσι ἐρημοτέροισιν πεπολισμένη ποιώδης τέ ἐστι καὶ μαλθακὴ καὶ εὔυδρος, καὶ ἄλσεα καὶ λειμῶνες καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμφορος ἔστε ἐπὶ τοῦ σιλφίου τὰς ἐκφύσιας· ὑπὲρ δὲ τὸ σίλφιον τὰ ἄνω αὐτῆς ἔρημα καὶ ψαμμώδεα.

14. Οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.

appulerunt : (9) at promontorium illud, quod ex adverso Carmaniæ oppositum visum ab se fuisse Nearchus scribit, nemo unquam navigatione in alteram ejus partem superare potuit. (10) Et mea quidem sententia, si navigabilis is tractus esset, aut adiri ulla ratione posset, Alexandri certe curiositas comprobasset utrumque. (11) Hanno autem Afer Carthagine profectus trans Herculeas columnas in Oceanum enavigavit, Libyam ad lævam relinquens, et navigavit quidem, quam diu navigationis suæ cursum orientem versus tenuit, in universum per XXXV dies. (12) Postquam vero ad meridiem conversus est, in multas difficultates incidit, cum in summam aquarum inopiam summamque æstus flagrantiam, tum in rivos igneos in mare effluentes. (13) Cyrenæ, Libyæ urbs, quanquam desertioribus in locis sitæ sunt, herbosæ fertilesque et irriguæ sunt : saltus etiam frequentiaque prata habent, omnisque generis fructus et jumenta ferunt, ad ea loca usque, quibus silphium gignitur. Ulteriora vero ejus loca deserta altisque arenis obruta sunt.

14. Atque hic quidem liber a me conscriptus sit, etiam ipse ad Alexandrum Philippi filium Macedonem pertinens.

ΤΑ ΜΕΤΑ ΑΛΕΞΑΝΔΡΟΝ

ΕΝ ΛΟΓΟΙΣ ΔΕΚΑ.

ΒΙΒΛ. Α′—Ε′.

Photius Bibl. cod. 92 : Συνεγράφη δὲ αὐτῷ (Ἀρριανῷ) καὶ τὰ μετὰ Ἀλέξανδρον ἐν λόγοις δέκα, ἐν οἷς διαλαμβάνει τήν τε στάσιν τῆς στρατιᾶς καὶ τὴν ἀνάρρησιν Ἀρριδαίου, ὃς ἐκ Φιλίννης τῆς Θεσσαλῆς Φιλίππῳ τῷ Ἀλεξάνδρου πατρὶ ἐγεγέννητο, ἐφ' ᾧ καὶ Ἀλέξανδρον, ὃν ἔμελλεν ἐξ Ἀλεξάνδρου τίκτειν Ῥωξάνη, συμβασιλεύειν αὐτῷ· ὃ καὶ γέγονεν εἰς φῶς ἀχθέντος τοῦ παιδός. Τὸν Ἀρριδαῖον δὲ ἀνειπόντες μετωνόμασαν Φίλιππον. (2) Διεφέρετο δὲ ἐς ἀλλήλους τὸ πεζὸν καὶ τὸ ἱππικόν, ὧν οἱ μέγιστοι τῶν ἱππέων καὶ τῶν ἡγεμόνων Περδίκκας ὁ Ὀρόντου καὶ Λεοννάτος ὁ Ἄντους (Ἀντέου) καὶ Πτολεμαῖος ὁ Λάγου, τῶν δὲ μετ' ἐκείνους Λυσίμαχός τε ὁ Ἀγαθοκλέους καὶ Ἀριστόνους ὁ Πεισαίου καὶ Πίθων ὁ τοῦ Κρατεύα καὶ Σέλευκος ὁ Ἀντιόχου καὶ Εὐμένης ὁ Καρδιανός. Οὗτοι μὲν ἡγεμόνες τῶν ἱππέων, Μελέαγρος δὲ τῶν πεζῶν. (3) Εἶτα διαπρεσβεύονται πρὸς ἀλλήλους πολλάκις, καὶ τέλος συμβαίνουσιν οἵ τε τὸν βασιλέα ἀνειπόντες πεζοὶ καὶ οἱ τῶν ἱππέων ἡγεμόνες, ἐφ' ᾧ Ἀντίπατρον μὲν στρατηγὸν εἶναι τῶν κατὰ τὴν Εὐρώπην, Κρατερὸν δὲ προστάτην τῆς Ἀρριδαίου βασιλείας, Περδίκκαν δὲ χιλιαρχεῖν χιλιαρχίας ἧς ἦρχεν Ἡφαιστίων (τὸ δὲ ἦν ἐπιτροπὴ τῆς ξυμπάσης βασιλείας), Μελέαγρον δὲ ὕπαρχον Περδίκκου. (4) Περδίκκας δὲ τὸν στρατὸν καθᾶραι σκηψάμενος τοὺς ἐπιφανεστάτους τῆς γενομένης συνέλαβε στάσεως, καὶ συλλαβὼν ὡς ἐκ προστάξεως Ἀρριδαίου αὐτοῦ παρόντας ἀνεῖλε, δέος ἐμποιήσας τῷ λοιπῷ πλήθει. Ἀναιρεῖ δὲ οὐ πολλῷ ὕστερον καὶ Μελέαγρον. (5) Ἐξ ὧν Περδίκκας ὕποπτος ἐς πάντας ἦν καὶ αὐτὸς ὑπώπτευεν. Ὅμως ἐς σατραπείας ἀνειπεῖν οὓς ὑπώπτευεν, ὡς Ἀρριδαίου κελεύοντος, ἔγνω. Καὶ δὴ Πτολεμαῖος μὲν ὁ Λάγου Αἰγύπτου καὶ Λιβύης, καὶ ὅσα τῆς Ἀράβων γῆς ξύνορα Αἰγύπτῳ, ἄρχειν ἐπετάχθη, Κλεομένης δὲ ὁ ἐξ Ἀλεξάνδρου τῆς σατραπείας ταύτης ἄρχειν τεταγμένος Πτολεμαίῳ ὕπαρχος εἶναι· τῆς δὲ ἐπὶ ταύτῃ Συρίας Λαομέδων, Φιλώτας δὲ Κιλικίας καὶ Πίθων Μηδίας, Εὐμένης δὲ ὁ Καρδιανὸς Καππαδοκίας καὶ Παφλαγονίας, καὶ ὅσα τοῦ Πόντου τοῦ Εὐξείνου σύνορα ἔστε ἐπὶ πόλιν Ἑλλάδα Τραπεζοῦντα, Σινωπέων ἄποικον· (6) Παμφύλων δὲ καὶ Λυκίων καὶ Φρυγίας τῆς μεγάλης Ἀντίγονος, Καρῶν δὲ Κάσανδρος, Λυδῶν δὲ Μένανδρος, τῆς δὲ ἐφ' Ἑλλησπόντῳ Φρυγίας Λεοννάτος, ἣν ἐξ Ἀλεξάνδρου μὲν Κάλας ὄνομα κατέχει, ἔπειτα Δήμαρχος ἐπετέ-

DE REBUS SUCCESSORUM ALEXANDRI

LIBRI DECEM.

LIB. I—V.

Scripsit idem (Arrianus) Res post Alexandrum gestas libris decem, quibus militarem exercitus seditionem complectitur, electionemque ea conditione factam Arridæi (quem Philippo patri Alexandri peperit Philine mulier Thessala) ut simul etiam Alexander, quem Roxane Alexandro paritura erat, regnaret : quod etiam evenit, edito in lucem infante. Igitur Arridæum regem renunciantes, Philippum cognominarunt. (2) Tumultuati vero sunt, et invicem dissenserunt pedites equitesque. In quibus et equitum et ducum principes erant, Perdiccas Orontı filius et Leonnatus Anteæ et Ptolemæus Lagi filius; post hos Lysimachus Agathoclis filius et Aristonus Pisæi filius et Pithon Crateuæ filius et Seleucus Antiochi filius et Eumenes Cardianus, qui quidem equitum ductores fuere : peditum vero Meleager. (3) Missæ dehinc variæ utrimque legationes : tandemque convenit inter pedites, qui jam antea regem nominarant, et equitum duces, ut Antipater in Europa belli imperator esset, Craterus regni Arridæi præfectus, Perdiccas vero legionis, quam Hephæstion duxerat, chiliarchus (quod quidem regni totius erat procurationem illi tutelamque committere), Meleager denique Perdiccæ vicarium præfectum ageret. (4) Deinde exercitum lustrare Perdiccas simulans, seditionis auctores præcipuos comprehendit, comprehensosque, tanquam jubente Arridæo, qui ipse præsens aderat, occidit. Quo ex facto terror reliquos pervasit. Paulo post Meleagrum quoque interfecit. (5) Hinc suspectus omnibus Perdiccas, ceteros quoque ipse suspectos habere cœpit : quos tamen ad præfecturas nihilo secius, tanquam Arridæo jubente, provehere statuit. Et Ptolemæus quidem Lagi filius Ægypto et Libyæ omnique illi Arabiæ parti quæ Ægypto adjacet, imperare jussus est; Cleomenes autem, qui ab Alexandro satrapa ibi constitutus fuerat, Ptolemæi vicarius præfectus fit; Syriæ deinde quæ huic satrapiæ subjacet, Laomedon impositus; Philotas Ciliciæ præfectus est, ut Pithon Mediæ; Eumenes vero Cardianus Cappadociam et Paphlagoniam quæque Ponto adjacent Euxino suscepit adusque Trapezuntem Græcam Sinopensium coloniam; (6) Pamphylis et Lyciis magnaque Phrygiæ Antigonus datus; Cares Cassandro obvenerunt; Lydi Menandro; Leonnato illa Phrygia, quæ pertinet ad Hellespontum, quam ab ipso Alexandro Calas quidam nomine obtinuerat, post quem Demarcho commissa erat.

τραπτο. Τὰ μὲν οὖν κατὰ τὴν Ἀσίαν ὧδε ἐνεμήθη. (7) Τῶν δὲ κατὰ τὴν Εὐρώπην, Θρᾴκης μὲν καὶ Χερρονήσου, καὶ ὅσα Θραξὶ σύνορα ἔθνη, ἔστε ἐπὶ θάλασσαν τὴν ἐπὶ Σαλμυδησσὸν τοῦ Εὐξείνου Πόντου καθήκοντα, Λυσιμάχῳ ἡ ἀρχὴ ἐπετράπη· τὰ δὲ ἐπέκεινα τῆς Θρᾴκης ὡς ἐπὶ Ἰλλυριοὺς καὶ Τριβαλλοὺς καὶ Ἀγριᾶνας καὶ αὐτὴ Μακεδονία καὶ ἡ Ἤπειρος ὡς ἐπὶ τὰ ὄρη τὰ Κεραύνια ἀνήκουσα καὶ οἱ Ἕλληνες σύμπαντες Κρατερῷ καὶ Ἀντιπάτρῳ ἐνεμήθη. (8) Καὶ ἡ μὲν νέμησις οὕτως· πολλὰ δὲ καὶ ἀδιανέμητα ἔμεινεν ὑπὸ τῶν ἐγχωρίων ἀρχόντων, ὡς ἐτάχθησαν ὑπὸ Ἀλεξάνδρου ἐχόμενα. (9) Ἐν τούτῳ Ῥωξάνη κύει καὶ τίκτει, καὶ εἰς βασιλέα τὸ τεχθὲν ἀνεῖπε τὸ πλῆθος. Στάσεων δὲ μετὰ τὸν Ἀλεξάνδρου θάνατον πάντα ἐπληροῦτο. Καὶ πολεμεῖ Ἀντίπατρος πρός τε Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας, Λεωσθένους αὐτοῖς στρατηγοῦντος. Καὶ τὰ πρῶτα ἡττώμενος καὶ εἰς ἀπορίαν συγκλειόμενος, ὕστερον ἐκράτει. Ἀλλὰ πίπτει καὶ Λεοννάτος ἐπιβοηθεῖν δοκῶν Ἀντιπάτρῳ. (10) Καὶ Λυσίμαχος δὲ Σεύθῃ τῷ Θρᾳκὶ πολεμῶν ὑπὲρ τῆς ἀρχῆς παραβόλως (σὺν ὀλίγοις γάρ) καὶ εὐδοκιμῶν ὅμως ἀνῃρέθη. (11) Πολεμεῖ δὲ καὶ Περδίκκας Ἀριαράθῃ τῷ Καππαδοκίας, ὅτι Εὐμένει ἄρχειν ἐπιτεταγμένῳ τῆς ἀρχῆς οὐκ ἐξίστατο· καὶ δυσὶ νικήσας μάχαις καὶ συλλαβὼν ἐκρέμασεν, Εὐμένει τὴν ἀρχὴν ἀποκαταστήσας. (12) Κρατερὸς δὲ συμμαχῶν Ἀντιπάτρῳ κατὰ τῶν Ἑλλήνων αἴτιος τῆς νίκης, ἧς ἐνίκησαν αὐτούς, γέγονεν· ἐξ οὗ καὶ ἅπαντα, ἅπερ ἂν αὐτοῖς Κρατερὸς ἐπέταττε καὶ Ἀντίπατρος, ἀπροφασίστως ἐπράττετο. Καὶ ταῦτα μέχρι τοῦ πέμπτου βιβλίου.

Atque Asia quidem hocce modo est distributa. (7) Per Europam vero, Thraciæ quidem et Cherroneso gentibusque Thraciæ finitimis usque ad mare quod Salmydessum Ponti Euxini urbem attingit, Lysimachus præfectus datus. At quæ ultra Thraciam usque ad Illyrios et Triballos et Agrianos pertinent, ipsaque Macedonia et Epirus ad Ceraunios usque montes pertingens cum Græcia universa Cratero et Antipatro obvenerunt. (8) Ita hæc divisio facta: permulta autem loca, ut ab Alexandro constitutum erat, indigenis parentia præfectis indivisa permanserunt. (9) Interea Roxane prægnans parit filium, quem mox regem militaris turba renunciavit. Seditionibus post Alexandri mortem omnia replebantur. Etenim Antipater cum Atheniensibus ceteraque Græcia, quam Leosthenes imperator defendebat, bellum gessit: primumque victus et in angustias adductus, superior tandem evasit, amisso tamen Leonnato, qui suppetias Antipatro attulerat. (10) Lysimachus quoque cum Seutha Thrace nimis audacter conflixit pro imperio. Cum paucis enim pugnans, etsi strenue se gerebat, tamen confectus est. (11) Perdiccas item cum Ariarathe Cappadociæ præfecto bellum conseruit, quod Eumeni ibi imperare jusso non cessisset. Uno itaque hic et altero prœlio superior, captum illum suspendit, Eumenemque in regnum restituit. (12) Craterus vero Antipatro portans adversus Græciam auxiliares copias, victoriæ illius auctor, qua victi Græci, exstitit. Quamobrem utrique dicto audientes, imperata deinceps absque tergiversatione fecerunt. Et hæc quidem libris quinque comprehenduntur.

ΒΙΒΛ. Ϛ′—Θ′.

13. Ἐν δὲ τῷ ἕκτῳ διαλαμβάνει ὅπως ἐξ Ἀθηνῶν οἱ ἀμφὶ Δημοσθένην καὶ Ὑπερείδην ἔφυγον, Ἀριστόνικός τε ὁ Μαραθώνιος καὶ Ἱμεραῖος ὁ Δημητρίου τοῦ Φαληρέως ἀδελφός, τὰ μὲν πρῶτα εἰς Αἴγιναν· ἐκεῖ δὲ διαγόντων θάνατον αὐτῶν κατέγνω τὸ Ἀθηναίων πλῆθος, εἰπόντος Δημάδου, καὶ Ἀντίπατρος εἰς ἔργον ἤγαγε τὸ ψήφισμα. (14) Καὶ ὡς Ἀρχίας ὁ Θούριος εἰς τὸν θάνατον αὐτῶν ὑπουργήσας, ἐν ἰσχάτῃ πενίᾳ καὶ ἀτιμίᾳ κατατρίψας ἐτελεύτησε τὸν βίον. Καὶ ὡς Δημάδης οὐ πολλῷ ὕστερον ἐς Μακεδονίαν ἀχθεὶς ὑπὸ Κασάνδρου ἐσφάγη, τοῦ παιδὸς ἐν τοῖς κόλποις προαποσφαγέντος· αἰτίαν δ' ἐπῆγε Κάσανδρος, ὅτι τὸν αὐτοῦ πατέρα ἐξυβρίσειεν ἐν οἷς ἔγραψε Περδίκκα σώζειν τοὺς Ἕλληνας ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος ἠρτημένους, οὕτω τὸν Ἀντίπατρον ἐπιχλευάζων. (15) Δείναρχος δὲ ὁ Κορίνθιος ὁ κατήγορος ἦν. Ἀλλ' ὅ γε Δημάδης τῆς αὐτοῦ δωροδοκίας καὶ προδοσίας καὶ ἐς πάντα ἀπιστίας τὴν ἀξίαν ἀπέτισε δίκην.

16. Διαλαμβάνει δὲ καὶ ὡς Θίβρων ὁ Λακεδαιμόνιος Ἅρπαλον τὸν τὰ Ἀλεξάνδρου χρήματα ζῶντος ἐκείνου

LIB. VI—IX.

13. Sextus refert Demosthenem et Hyperidem Athenis aufugisse, Aristonicum item Marathonium et Himeræum Demetrii Phalerei fratrem, Æginamque primum venisse, ubi dum versarentur, accusante Demade, capitis sententia ab Atheniensibus esse damnatos; quod decretum Antipater perficiendum curarit. (14) Deinde ut Archias Thurius, qui eorum necem perpetrarat, ad extremam redactus inopiam atque infamiam, vita decesserit: utque Demades non ita multo post in Macedoniam delatus, a Casandro interfectus sit, primum filio ejus in sinu et oculis parentis jugulato. Causam vero cædis Casandrum allegasse, quod parentem suum Demades olim injuria affecisset, quum Perdiccæ scripsisset, ut Græcos e putri ac vetere filo pendentes servare vellet, Antipatrum nimirum his verbis irridendo. (15) Dinarchum Corinthium horum indicium fecisse, atque ita Demadem aliquando corruptionis ac proditionis et in re quaque perfidiæ meritas dedisse pœnas.

16. Refert etiam hæc. Thibro Lacedæmonius Harpalum (qui superstite etiamnum Alexandro opes ejus furatus,

ἁρπάσαντα καὶ φυγόντα πρὸς τὰς Ἀθήνας, τοῦτον ἐκεῖνος ἀποκτείνας, καὶ ὅσα ὑπελείπετο λαβὼν χρήματα, πρῶτα μὲν ἐπὶ Κυδωνίας τῆς ἐς Κρήτην ἐστάλη, ἔνθεν δὲ ἐς Κυρήνην διέβαλε μετὰ στρατιᾶς εἰς ἑξακισχιλίους συντελούσης· ἐπῆγον δὲ αὐτὸν τῶν ἐκ Κυρήνης καὶ Βαρκέων οἱ φυγάδες. (17) Ἐν οἷς πολλαῖς μὲν μάχαις πολλαῖς δὲ ἐπιβουλαῖς ἄλλοτε μὲν κρατῶν ἐνίοτε δὲ ἡττώμενος, τέλος φεύγων ὑπὸ Λιβύων τινῶν συνωρίδας ἀγόντων συνελήφθη, καὶ παρ' Ἐπικύδην ἄγεται τὸν Ὀλύνθιον εἰς Τεύχειρα, ᾧ τὴν πόλιν ἐκείνην Ὀφελλᾶς ἐπετετρόφει, ἀνὴρ Μακεδών, ὃς ὑπὸ Πτολεμαίου τοῦ Λάγου ἐπὶ βοηθείᾳ τῶν Κυρηναίων ἐτύγχανε σταλείς. (18) Οἱ δὲ Τευχειρῖται, Ὀφελλᾶ τὴν ἐξουσίαν δόντος, ἡκίσαντό τε τὸν Θίβρωνα καὶ εἰς τὸν τῶν Κυρηναίων ἔπεμψαν χρεμασθῆναι λιμένα. (19) Ἔτι δὲ τῶν περὶ Κυρήνην στασιαζόντων, Πτολεμαῖος ἐπελθὼν καὶ πάντα καταστησάμενος ὀπίσω ἀπέπλευσε.

20. Περδίκκας δὲ Ἀντιγόνῳ ἐπιβουλεύων εἰς δικαστήριον ἐκάλει· ὁ δὲ εἰδὼς ἐπιβουλεύεσθαι οὔτε ὑπήκουσε, καὶ εἰς ἔχθραν ἀλλήλοις κατέστησαν. (21) Ἐν τούτῳ δὲ παρὰ τὸν Περδίκκαν ἐκ Μακεδονίας ἦκον Ἰόλλας τε καὶ Ἀρχίας, ἄγοντες αὐτῷ τὴν Ἀντιπάτρου παῖδα Νίκαιαν εἰς γυναῖκα. Ἀλλά γε καὶ Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου μήτηρ ἔπεμπε παρ' αὐτὸν κατεγγυωμένη τὴν θυγατέρα Κλεοπάτραν. Καὶ ὁ μὲν Εὐμένης ὁ Καρδιανὸς συνεβούλευεν ἄγειν Κλεοπάτραν, Ἀλκέτᾳ δὲ τῷ ἀδελφῷ εἰς Νίκαιαν ἔτεινεν ἡ συμβουλή· καὶ νικᾷ τὸ Νίκαιαν μᾶλλον ἀγαγεῖν. (22) Οὐ πολὺ δὲ ὕστερον καὶ τὸ περὶ Κυνάνην πάθος συνηνέχθη, ὁ Περδίκκας τε καὶ ὁ ἀδελφὸς Ἀλκέτας διεπράξαντο. Ἡ δὲ Κυνάνη Φίλιππον μὲν εἶχε πατέρα, ὃν καὶ Ἀλέξανδρος, ἐκ δὲ μητρὸς Εὐρυδίκης ἦν, γυνὴ δὲ Ἀμύντου, ὃν ἔφθη Ἀλέξανδρος κτεῖναι, ὁπότε εἰς τὴν Ἀσίαν διέβαινεν. Οὗτος δὲ Περδίκκου παῖς ἦν, ἀδελφὸς δὲ Φιλίππου Περδίκκας· ὡς εἶναι Ἀμύνταν τὸν ἀνῃρημένον Ἀλεξάνδρου ἀνεψιόν. (23) Ἦγε δὲ ἡ Κυνάνη Ἀδέαν τὴν αὐτῆς θυγατέρα, ἥτις ὕστερον Εὐρυδίκη μετωνομάσθη, τῷ Ἀρριδαίῳ εἰς γυναῖκα· ἦν καὶ ὕστερον ἠγάγετο Περδίκκα διαπραξαμένου, ἐφ' ᾧ παῦσαι τὴν Μακεδόνων στάσιν, ἥτις ἐπὶ τῷ Κυνάνης πάθει ἀναῤῥιῖσα ἐπὶ μέγα κακὸν προεχώρει. (24) Ἀντίγονος δὲ ἐς Μακεδονίαν παρὰ Ἀντίπατρον καὶ Κρατερὸν ἔφυγε, καὶ τὴν εἰς αὐτὸν ἐπιβουλὴν, ἣν Περδίκκας ἐβούλευε, διηγήσατο, καὶ ὡς κατὰ πάντων ἡ αὐτὴ αὐτῷ μελέτη σπουδάζεται· ἀνεδίδαξέ τε καὶ τὸ τῆς Κυνάνης ἐκτραγῳδήσας πάθος. Καὶ ταῦτα διαθέμενος, εἰς πόλεμον αὐτῷ τούτους κατέστησε.

25. Καὶ Ἀρριδαῖος δὲ ὁ τὸ τοῦ Ἀλεξάνδρου σῶμα φυλάσσων, παρὰ γνώμην αὐτὸ Περδίκκου λαβὼν, πρὸς Πτολεμαῖον παραγίνεται τὸν Λάγου, ἀπὸ Βαβυλῶνος διὰ Δαμασκοῦ ἐπ' Αἴγυπτον ἐλαύνων· ὃς πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσοικειουμένου Περδίκκα κωλυθεὶς, ἐνίκησεν ὅμως εἰς τὸ τὴν ἑαυτοῦ γνώμην ἔργῳ ἐξενεγκεῖν.

Athenas se receperat) interemit, et sublato quidquid illi pecuniarum reliquum erat, primum quidem in Cydoniam Cretæ urbem venit : sed deinde in Cyrenen cum exercitu sex millium trajecit, accersitus a Cyrenæorum Barcensiumque exsulibus. (17) Apud quos dum variis pugnis variisque insidiis interdum vincit interdum vincitur, in fuga tandem ab Afris quibusdam bigas agentibus comprehensus, ad Epicydem Olynthium Teuchiram adducitur. Huic enim urbem illam curandam commiserat Ophellas, vir Macedo, qui a Ptolemæo Lagi filio Cyrenæis auxilio missus fuerat. (18) Teuchiritæ ergo, Ophella illis permittente, Thibronem flagellis cæsum, in Cyrenæorum portum de cruce suspendendum mittunt. (19) At quum Cyrenæi nihilominus in rebellione perstarent, ipse denique Ptolemæus accessit, rebusque omnibus compositis, domum renavigavit.

20. Perdiccas insuper Antigonum insidiose in jus vocabat; verum ille, ut peti se insidiis cognovit, parere recusavit : atque hinc ortæ invicem inimicitiæ. (21) Hoc item tempore e Macedonia Iollas et Archias ad Perdiccam venerunt, adducentes ad matrimonium illi Nicæam Antipatri filiam. Verum Olympias quoque Magni Alexandri mater mittit ad eundem despondetque Cleopatram filiam. Ibi Eumenes Cardianus Cleopatram ducere suadebat : Alcetæ vero fratris consilium ad Nicææ magis nuptias inclinabat, ejusque sententia pervicit. (22) Non multo post Cynanes cædes accidit, quam Perdiccas ejusque frater Alcetas intulerunt. Hæc Cynane eundem cum Alexandro patrem Philippum habuit, sed matrem Eurydicen, atque Amyntæ filius uxor fuit, quem Alexander e medio sustulit, quum in Asiam expeditionem facturus erat. Interemptus ille Amyntas, Perdiccæ Philippi fratris filius, Alexandri patruelis erat. (23) Nunc itaque Cynane filiam suam Adeam, quæ post Eurydices cognomen tulit, Arridæo uxorem adducebat, quam revera ille postea duxit, ipso transigente Perdicca, quo per illas nuptias Macedonum sedaretur seditio, quæ ob sublatam Cynanen accensa abibat in deterius. (24) Antigonus interim in Macedoniam ad Antipatrum et Craterum profugit, sibique a Perdicca structas insidias exponit, ac tantumdem cum in omnes summo studio meditari affirmat. Similiter Cynanes quoque infortunium tragice exaggerat. Quibus ita expositis, ab bellum ipsos contra Perdiccam gerendum adduxit.

25. Porro Arridæus Alexandri apud se corpus servans, contra sententiam Perdiccæ, cum eo ad Ptolemæum Lagi filium se confert, a Babylone per Damascum in Ægyptum proficiscens; ac sæpenumero a Polemone Perdiccæ familiari impeditus, pervicit tamen, ut rem ex animi sui sententia gereret.

26. Ἐν τούτῳ καὶ Εὐμένης παρὰ Περδίκκου δῶρα πρὸς Κλεοπάτραν ἐς Σάρδεις ἐκόμισε, καὶ ὅτι ἐγνωσμένον εἴη Περδίκκᾳ Νίκαιαν μὲν ἐκπέμπειν, ἀντ' ἐκείνης δὲ ταύτην ἄγεσθαι. Οὗ μηνυθέντος (Μένανδρος δὲ ὁ Λυδίας σατράπης ἐμήνυσεν Ἀντιγόνῳ) καὶ δι' αὐτοῦ τοῖς περὶ Ἀντίπατρον καὶ Κρατερὸν δημοσιωθέντος, ἐπὶ μᾶλλον αὐτοῖς τὰ πρὸς Περδίκκαν ἐξεπεπολέμωτο. Περαιοῦται δὴ Ἀντίπατρος καὶ Κρατερὸς ἀπὸ τῆς Χερρονήσου τὸν Ἑλλήσποντον, τοὺς τὸν πόρον φυλάσσοντας διὰ πρεσβείας ὑπαγόμενοι. Πρεσβεύονται δὲ καὶ πρὸς Εὐμένη καὶ πρὸς Νεοπτόλεμον, τοὺς ὑπὸ Περδίκκα· καὶ Νεοπτόλεμος μὲν πείθεται, Εὐμένης δὲ οὐκ ἀνέχεται.

27. Ὑποπτεύεται Εὐμένει Νεοπτόλεμος, καὶ συγκροτεῖται πρὸς ἀλλήλους πόλεμος, καὶ νικᾷ κατὰ κράτος Εὐμένης. Φεύγει δὲ Νεοπτόλεμος παρὰ Ἀντίπατρον καὶ Κρατερὸν σὺν ὀλίγοις, καὶ πείθει τούτους ἐπὶ συμμαχίαν κατὰ Εὐμένους ἐλθεῖν αὐτῷ Κρατερόν· καὶ πολεμοῦσιν ἄμφω Εὐμένη. Καὶ πάντα ποιήσας Εὐμένης ὥστε λαθεῖν τοὺς σὺν αὐτῷ Κρατερὸν αὐτῷ πολεμεῖν, ἵνα μὴ τῇ περὶ αὐτὸν ἁλόντες φήμῃ ἢ προσχωρήσωσιν αὐτῷ ἢ καὶ μένοντες ἀτολμότεροι εἶεν, καὶ κρατήσας τοῖς τεχνάσμασι, κρατεῖ καὶ τῷ πολέμῳ· καὶ πίπτει μὲν Νεοπτόλεμος τῇ αὐτοῦ Εὐμένους τοῦ γραμματέως δεξιᾷ, ἀνὴρ στρατιωτικὸς καὶ πολέμοις ἠριστευκώς, Κρατερὸς δὲ ὑπό τινων Παφλαγόνων, ἀφειδῶς πρὸς πάντα μαχόμενος καὶ χωρῶν ὥστε γνωσθῆναι· ἀλλ' ἔρθη πεσὼν μὴ γνωσθείς, καίτοι καὶ τὴν καυσίαν τῆς κεφαλῆς ἀφελών. Ἡ μέντοι πεζὴ στρατιὰ σώα πρὸς Ἀντίπατρον ἐκ τοῦ πολέμου παρεγένετο, ὃ καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούρισε.

28. Παραγίνεται ἀπὸ Δαμασκοῦ Περδίκκας ἐπ' Αἴγυπτον σὺν τοῖς βασιλεῦσι καὶ τῇ δυνάμει Πτολεμαίῳ πολεμῆσαι. Κατηγορήσας δὲ Πτολεμαίου κἀκείνου ἐπὶ τοῦ πλήθους ἀπολυομένου τὰς αἰτίας, καὶ δόξας μὴ δίκαια ἐπικαλεῖν, ὅμως καὶ τοῦ πλήθους οὐχ ἑκόντος πολεμεῖ. Καὶ δὶς ἡττηθείς, καὶ τραχὺς πρὸς τοὺς παρὰ Πτολεμαῖον ἐθέλοντας χωρῆσαι λίαν καταστὰς, καὶ τἆλλα τῇ στρατιᾷ ὑπερογκότερον ἢ κατὰ στρατηγὸν προσφερόμενος, ὑπὸ τοῦ οἰκείου πλήθους τῶν ἱππέων ἀναιρεῖται, μαχόμενος καὶ αὐτός. (29) Πτολεμαῖος δὲ μετὰ τὴν ἀναίρεσιν Περδίκκου πρός τε τοὺς βασιλεῖς ἐπεραιώθη τὸν Νεῖλον, καὶ δώροις φιλοφρονησάμενος καὶ τῇ ἄλλῃ θεραπείᾳ, οὐ μόνον δὲ ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τέλει Μακεδόνων. Ὁ δὲ καὶ τοῖς Περδίκκου φίλοις συναχθόμενός τε ὅλος ἐγένετο, καὶ ὅσοις τι κινδύνου ἔτι ἐκ Μακεδόνων ὑπελείπετο, καὶ τούτους ἀπαλλάξαι τοῦ δέους παντὶ τρόπῳ διεσπούδασεν· ἐφ' οἷς παραυτίκα τε καὶ ἐς τὸ ἔπειτα εὐδοκιμῶν ἐγινώσκετο.

30. Συνεδρίου δὲ κροτηθέντος ἄρχοντες μὲν τῆς πάσης δυνάμεως ἀντὶ Περδίκκου Πίθων καὶ Ἀρριδαῖος ἐν τῷ τέως ἀνερρήθησαν, τῶν δὲ περὶ Εὐμένη τε καὶ Ἀλκέταν ἐς πεντήκοντα κατεγνώσθησαν, μάλιστα ἐπὶ τῇ Κρατεροῦ ἀναιρέσει τῶν Μακεδόνων πρὸς αὐτοὺς ἐκ-

26. Interea Eumenes Perdiccæ munera Sardes ad Cleopatram attulit, nuntians decretum jam esse Perdiccæ, Nicæa repudiata, ejus in locum Cleopatram ducere. Quod ubi innotuit (Menander Lydiæ satrapa Antigono significavit, et per eum Antipatro quoque et Cratero res publicata), eo etiam vehementius illi ad Perdiccam bello persequendum incitati sunt. Antipater itaque et Craterus e Chersoneso Hellespontum trajiciunt, trajectus custodibus clam per legatos subactis. Mittuntur ab iisdem etiam ad Eumenem ac Neoptolemum, Perdiccæ obnoxios, legati : quibus Neoptolemus quidem assentitur, Eumenes vero minime.

27. Hinc Eumeni suspectus esse cœpit Neoptolemus, et bellum inter eos conflatum est, in quo viribus superante Eumene, fugit cum paucis Neoptolemus ad Antipatrum Craterumque, quibus persuadet, ut sibi in bello adversus Eumenem socius Craterus daretur. Ambo igitur bellum Eumeni inferunt. Dedit vero operam omnem Eumenes, ut ignorarent sui Craterum adversus se belligerare : ne fama adducti vel castris suis desertis ad illum transirent, vel etiamsi manerent, minus tamen audaces essent ; qui quum illi dolus atque astus processisset, prœlio quoque victor evasit. Atque Neoptolemus ipsius Eumenis scribæ manu cæsus cecidit, vir militaris et bello strenuus : Craterus autem in obvium quemque intrepide pugnans, atque ita incedens ut cognosci potuerit, nihilo tamen secius a Paphlagonibus quibusdam incognitus occiditur, tametsi ille etiam causiam capite dejecisset. Attamen pedestres copiæ salvæ ad Antipatrum e prœlio redierunt ; quæ res ad sublevandam animi ægritudinem multum contulit.

28. Perdiccas Damasco profectus, adversus Ptolemæum Lagi filium dimicaturus in Ægyptum cum regibus et copiis venit. Etenim Ptolemæum quum accusasset, atque ille objecta crimina coram multitudine ita purgasset, ut injuste accusatus videretur, bellum tamen, repugnante licet militum vulgo, Perdiccas infert. Quo in bello bis victus, iisque asperior factus qui ad Ptolemæum transire volebant, cetera etiam in castris superbior quam imperatorem deceret, a suis ipse equitibus inter pugnandum occiditur. (29) Ptolemæus vero, sublato Perdicca, Nilum transgressus ad reges proficiscitur, donisque allatis, et variis obsequiis tam eos quam ceteros Macedonum proceres amanter complexus est. Immo et ipsorum Perdiccæ amicorum vicem dolere se palam ostendit : et quibuscumque ex Macedonibus periculum adhuc aliquod imminere videretur, eos ille omni ope ac ratione metu liberare studuit. Quo factum est ut jam tum atque in posterum omnium ore laudaretur.

30. Habito dein conventu, Pithon et Arridæus copiis universis Perdiccæ loco præfecti renunciati in præsens sunt, et ex Eumenis atque Alcetæ sectatoribus ad quinquaginta damnati, idque maxime ob Craterum interfectum, quum Macedones inter se mutuis prœliis dissiderent. Antigonus

πολεμωθέντων. Μετεκαλεῖτο δὲ καὶ Ἀντίγονος ἐκ Κύπρου, καὶ Ἀντίπατρος δὲ, ἐπιταχῦναι πρὸς τοὺς βασιλέας. (31) Οὔπω δὲ καταλαβόντων, ἡ Εὐρυδίκη Πίθωνα καὶ Ἀρρίδαῖον μηδὲν ἄνευ αὐτῆς ἠξίου πράττειν. Οἱ δὲ τὰ πρῶτα μὲν οὐκ ἀντεῖπον, ἔπειτα δὲ μηδὲν αὐτὴν ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν· αὑτοῖς γὰρ, ἕως Ἀντίγονος καὶ Ἀντίπατρος παραγένωνται, μελήσειν περὶ πάντων. (32) Ὧν παραγεγονότων, εἰς Ἀντίπατρον ἡ δυναστεία περίσταται. Καὶ ὁ στρατὸς αἰτεῖ τὰ παρὰ Ἀλεξάνδρου ὑποσχεθέντα αὐτοῖς ἐπὶ τῇ συστρατείᾳ χρήματα, καὶ Ἀντίπατρος παραυτίκα μὲν μηδὲν ἔχειν ἀποκρίνεται φράζειν ἀκριβὲς, ἐξετάσας δὲ τούς τε βασιλείους θησαυροὺς καὶ τοὺς ὅσοι ἀλλαχόθι που κείμενοι ὦσι, τηνικαῦτα τὸν δυνατὸν τρόπον μὴ ἂν αὐτοῖς ἐπίμεμπτος νομισθῆναι· ἐφ' ὧν οὐχ ἡδέως ἡ στρατιὰ ἤκουσεν. (33) Εὐρυδίκης δὲ συλλαμβανούσης ταῖς κατὰ Ἀντιπάτρου διαβολαῖς, τῷ ἀπὸ τοῦ πλήθους ἄχθει στάσις γίνεται. Καὶ δημηγορεῖ Εὐρυδίκη κατ' αὐτοῦ, τοῦ γραμματέως Ἀσκληπιοδώρου ὑπηρετησαμένου τῷ λόγῳ· καὶ Ἄτταλος δέ. Καὶ ῥύεται μόλις Ἀντίπατρος τῆς σφαγῆς, Ἀντιγόνου καὶ Σελεύκου τῇ παρακλήσει Ἀντιπάτρου ἀντιδημηγορησάντων ἐν τῷ πλήθει· οἳ καὶ αὐτοὶ διὰ τοῦτο ἐγγὺς ἐγένοντο τοῦ κινδύνου. Ῥυσθεὶς δὲ Ἀντίπατρος τοῦ θανάτου πρὸς τὸ οἰκεῖον ὑπεχώρησε στρατόπεδον. Καὶ οἱ ἵππαρχοι, Ἀντιπάτρου καλοῦντος, πρὸς αὐτὸν ἦκον, καὶ μόλις τῆς στάσεως πεπαυμένης, Ἀντίπατρον πάλιν, ὡς καὶ πρόσθεν, ἄρχειν εἵλοντο.

34. Καὶ ποιεῖται νέμησιν καὶ αὐτὸς τῆς Ἀσίας, τὰ μὲν τῆς προτέρας νεμήσεως ἐπικυρῶν, τὰ δὲ, τοῦ καιροῦ βιαζομένου, νεωτερίζων. Αἴγυπτον μὲν γὰρ καὶ Λιβύην καὶ τὴν ἐπέκεινα ταύτης τὴν πολλὴν, καὶ ὅ τι περ ἂν πρὸς τούτοις δόριον ἐπικτήσηται πρὸς δυομένου ἡλίου, Πτολεμαίου εἶναι· Λαομέδοντι δὲ τῷ Μυτιληναίῳ Συρίαν ἐπιτετράφθαι. Φιλόξενον δὲ ἐπὶ Κιλικίας ἔταξεν, ἣν καὶ πρῶτον εἶχεν. (35) Τῶν δὲ ἄνω σατραπειῶν τὴν μὲν μέσην τῶν ποταμῶν γῆν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχῳ τῷ τοῦ βασιλέως ἀδελφῷ ἔνειμε· Σελεύκῳ δὲ τὴν Βαβυλωνίαν προσέθηκεν. Ἀντιγένει δὲ τῷ πρώτῳ μὲν ἐπιθεμένῳ Περδίκκα, τῶν δὲ ἀργυρασπίδων Μακεδόνων ἡγουμένῳ, τῆς Σουσιανῆς συμπάσης ἄρχειν· Πευκέστα δὲ ἐβεβαίου τὴν Περσίδα. Καρμανίαν δὲ Τληπολέμῳ ἔνειμε, καὶ Μηδίαν Πίθωνι, ἔστ' ἐπὶ πύλας τὰς Κασπίους, Φιλίππῳ δὲ τὴν Παρθυαίων γῆν· (36) Ἀρείων δὲ καὶ τῆς Δραγγηνῶν χώρας Στάσανδρον καθίστη ἡγεμόνα, τῆς δὲ Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον, Ἀραχώτων δὲ Σιβύρτιον· καὶ Παραπαμισάδας Ὀξυάρτῃ τῷ Ῥοξάνης πατρί· τῆς δὲ Ἰνδῶν γῆς τὰ μὲν σύνορα Παραπαμισάδαις Πίθωνι τῷ Ἀγήνορος, τὰς δὲ ἐχομένας σατραπείας, τὴν μὲν παρὰ τὸν Ἰνδὸν ποταμὸν καὶ Πάταλα τῶν ἐκείνῃ Ἰνδῶν πόλεων τὴν μεγίστην Πώρῳ τῷ βασιλεῖ ἐπεχώρησε· τὴν δὲ παρὰ τὸν Ὑδάσπην ποταμὸν Ταξίλῃ, καὶ τούτῳ Ἰνδῷ, ἐπεὶ μηδὲ ῥᾴδιον μετακινῆσαι αὐτοὺς ἐξ Ἀλεξάνδρου

ad hæc e Cypro evocatus, et Antipater ad reges festinare jubentur. (31) Nondum vero adventantibus illis, Eurydice Pithonem et Arrhidæum nihil se inconsulta volebat agere. Qui primo quidem non repugnarunt; post tamen, nihil illi commune cum rerum publicarum administratione esse responderunt: sibi, dum Antigonus et Antipater veniant, summam rerum curæ fore cordique. (32) Illi igitur quum accessissent, Antipatro summum imperium commissum: exercitusque ab Alexandro promissa militiæ præmia poscit. Antipater in præsentia quidem se non posse respondit disertius aliquid de his pronuntiare, verum post exploratos regios thesauros atque reliquos, qui alibi reconditi essent, tum se', quoad ejus fieri posset, curaturum ne reprehendendus ipsis videretur. Quæ quidem oratio parum jucunda fuit exercitui. (33) Quare quum Eurydice quoque criminationes adversus Antipatrum foveret, plebe indignante, seditio cooritur. Quo tempore et ipsa in eum concionatur, Asclepiodoro scriba sermonem ei suppeditante, et præter eam item Attalus. Ac vix cædi ereptus Antipater est, patrocinatis apud plebem Antigono et Seleuco, quorum advocationem Antipater postularat, quique etiam ipsi propterea non parum periclitati sunt. Morti ergo ereptus Antipater, ad suum se recepit exercitum, et equitum præfecti dein evocati eum convenerunt, vixque tandem seditioni fine dato, Antipatrum rursum, ut antea, summæ præesse rei jubent.

34. Ibi ab ipso quoque Asiæ facta divisio est, qua priorem illam partim ratam habuit, partim, ubi temporum necessitas exigeret, innovavit. Nam Ægyptum quidem et Libyam vastamque ultra Africam, et quidquid præterea bello partum ad occidentem solem jacet, Ptolemæi esse pronunciat; Laomedonti vero Mytilenæo Syriam assignat. Philoxenus Ciliciam, quam antea provinciam sortitus erat, retinuit. (35) Inter superiores satrapias, Mesopotamiam et Arbelitin Amphimacho regis fratri attribuit; Seleucus vero Babyloniæ præficitur; Antigeni, qui primus Perdiccam invaserat, et Macedonum argyraspidarum ductor erat, præfectura totius Susianæ data; in Perside Peucestes confirmatur; Carmaniæ Tlepolemus præponitur, ut Mediæ usque ad Caspias portas Pithon; Philippus Parthis; (36) Aris vero et Drangenorum regioni Stasander præfectus venit; Bactrianæ et Sogdianæ Stasanor Soliensis, Arachotarum vero Sibyrtius venit; Oxyartæ, Rhoxanes patri, Parapamisadæ dantur; Indorum autem ea regio, quæ Parapamisadis adjacet, Pithoni Agenoris filio tributa; de proximis deinde satrapiis ea quæ ad Indum flumen est, et Patala urbs, quæ in illa India est maxima, Poro regi cessit: at quæ ad Hydaspen flumen pertinet, Taxilæ item Indo attribuitur, quandoquidem non facile esset ipsos dimovere, qui ab Alexandro

τε ἐπιτετραμμένους τὴν ἀρχὴν καὶ δύναμιν ἱκανὴν ἔχοντας. (37) Τῶν δὲ ἀπὸ τοῦ Ταύρου ὄρους ὡς ἐπὶ τὴν ἄρκτον φερόντων Καππαδόκας μὲν Νικάνορι ἐπέτρεψεν, ἐπὶ δὲ Φρυγίας τῆς μεγάλης καὶ ἐπὶ Λυκάοσί τε καὶ Παμφύλοις καὶ Λυκίοις, ὡς καὶ πρόσθεν, Ἀντίγονον. Καρίαν δὲ Ἀσάνδρῳ ἔνειμε, Λυδία δὲ Κλείτῳ ἐδόθη, καὶ Ἀρριδαίῳ Φρυγία ἡ πρὸς Ἑλλησπόντῳ. (38) Τῇ δὲ κατακομιδῇ τῶν ἐν Σούσοις χρημάτων Ἀντιγένην ἔταξε, καὶ τούτῳ τῶν στασιασάντων Μακεδόνων τοὺς μάλιστα τρισχιλίους παρέδωκε· σωματοφύλακας δὲ τοῦ βασιλέως, Αὐτόλυκόν τε τὸν Ἀγαθοκλέους παῖδα καὶ Ἀμύνταν τὸν Ἀλεξάνδρου παῖδα, Πευκέστου δὲ ἀδελφόν, καὶ Πτολεμαῖον τὸν Πτολεμαίου καὶ Ἀλέξανδρον τὸν Πολυσπέρχοντος, Κάσανδρον δὲ τὸν ἑαυτοῦ παῖδα χιλιάρχην τῆς ἵππου, τῆς δυνάμεως δὲ τῆς πρόσθεν ὑπὸ Περδίκκα τεταγμένης Ἀντίγονον ἡγεμόνα ἀπέφηνε, καὶ τούτῳ τοὺς βασιλέας φρουρεῖν τε καὶ θεραπεύειν προστάξας, τὸν πολεμον ἅμα τὸν πρὸς Εὐμένη διαπολεμῆσαι αὐτῷ αἱρουμένῳ ἐπέτρεπεν. Ἀντίπατρος δὲ αὐτὸς πολλὰ ὑπὸ πάντων ἕνεκα πάντων ἐπαινούμενος ἐπ' οἶκου ἀνεχώρει. Ἐν οἷς καὶ ὁ θ' λόγος.

in imperio constituti, magnam satis potentiam nacti essent. (37) Ad hæc qui a Tauro monte ad Boream vergebant, Cappadoces Nicanori attribuit; Magnam vero Phrygiam, Lycaoniam, Pamphyliam et Lyciam, ut antea, Antigonus retinuit; Cariam Asander accepit; Lydia Clito data, ut Arrhidæo ea quæ ad Hellespontum jacet Phrygia. (38) Pecuniæ Susis colligendæ Antigenes præficitur; eidem e Macedonibus, qui maxime tumultuati fuerant, ad tria millia traditi. Corporis præterea regis custodes ac stipatores nominavit Autolycum Agathoclis, Amyntam Alexandri filium et Peucestæ fratrem, Ptolemæum item Ptolemæi filium et Alexandrum Polysperchontis filium; Casandrum vero suum filium, equitum chiliarcham; iisdemque copiis, quibus antea Perdiccas præfuerat, Antigonum præfectum constituit, cui etiam regum curam custodiamque mandans, bellum cum Eumene gerendum atque conficiendum volenti commisit. Antipater ipse, valde ab omnibus ob res bene gestas laudatus, domum revertit. Atque in his nonus clauditur liber.

ΒΙΒ. Γ.

39. Ὁ δὲ δέκατος διαλαμβάνει, ὡς Εὐμένης τὰ περὶ Περδίκκαν μαθών, ὅτι καὶ πολέμιος ἐψηφίσθη Μακεδόσιν, ἐπὶ πόλεμον παρεσκευάζετο. Καὶ ὡς Ἀλκέτας ὁ Περδίκκου ἀδελφὸς διὰ ταῦτα ἔφυγε. Καὶ Ἀτταλὸς ὁ τῆς κατὰ Ἀντιπάτρου στάσεως οὐδενὸς φέρων τὰ δεύτερα, καὶ αὐτὸς φυγὼν συνέμιξε τοῖς ἄλλοις φυγάσι. Καὶ συνήχθη Ἀτταλῳ στρατὸς, πεζοὶ μὲν μύριοι, ἱππεῖς δὲ ὀκτακόσιοι. Καὶ ὡς Ἀτταλὸς καὶ οἱ σὺν αὐτῷ, ἐπιθέσθαι Κνίδῳ καὶ Καύνῳ καὶ Ῥοδίοις ἐπιχειρήσαντες, ὑπὸ Ῥοδίων καρτερῶς ἀπεκρούσθησαν, Δημαράτου ναυαρχοῦντος αὐτοῖς. (40) Διαλαμβάνει δὲ καὶ ὡς Εὐμένης, Ἀντιπάτρου ἐς Σάρδεις ἰόντος, εἰς χεῖρας ἐλθεῖν ἐγγὺς ἦν, Κλεοπάτρα δὲ ἡ τοῦ Ἀλεξάνδρου ἀδελφὴ, ἵνα μὴ ἐς τὸ τῶν Μακεδόνων πλῆθος ἐν διαβολῇ γένηται ὡς αὐτὴ τὸν πολεμον αὐτοῖς ἐπάγουσα, παραινεῖ καὶ πείθει Εὐμένη ἀποχωρῆσαι τῶν Σάρδεων. Ἀλλ' ὅμως οὐδὲν ἧττον ὁ Ἀντίπατρος παραγενόμενος αὐτὴν ἐπωνείδιζε τῆς ἐς Εὐμένη καὶ Περδίκκαν φιλίας. Ἡ δὲ πρός τε ταῦτα κρεῖσσον ἢ κατὰ γυναῖκα ἀπελογεῖτο, καὶ πολλὰ ἄλλα ἀντεπεκάλει· τέλος δὲ εἰρηνικῶς ἀλλήλων ἀπηλλάγησαν.

41. Ὅτι Εὐμένης ἐπελθὼν ἀπροσδοκήτως τοῖς οὐχ ὑπ' αὐτῷ προσχώροις, καὶ λείαν πολλὴν καὶ χρήματα συλλαβών, τὸν οἰκεῖον στρατὸν κατεπλούτει. Διαπρεσβεύεται δὲ καὶ πρὸς Ἀλκέταν καὶ τοὺς σὺν αὐτῷ ἐς ταὐτὸν τὰς δυνάμεις ἀναγαγεῖν ἀξιῶν, καὶ οὕτω τοῖς κοινοῖς ἐχθροῖς μάχεσθαι· οἱ δὲ, ἄλλων ἄλλα συμβουλευσαμένων, τέλος οὐ πείθονται. Ὅτι Ἀντίπατρος Εὐμένει μὲν πολεμεῖν τέως οὐκ ἐθάρρει, κατὰ δὲ Ἀττάλου

LIB. X.

39. Decimus porro narrat Eumenem, cognito quæ Perdiccæ accidissent, seque hostem a Macedonibus judicatum, quæ ad bellum essent necessaria, comparasse, et Alcetam Perdiccæ fratrem, fuga salutem ob hæc ipsa quæsiisse. Attalum quoque, qui in civili ab Antipatro defectione nemini secundus fuerat, fugientem pariter ceteris sese exulibus miscuisse, exercitumque tandem conflasse peditum decem millium, equitum octingentorum; ac cum his Cnidum, Caunum et Rhodum invadere conantem, a Rhodiis fortiter, Demarato apud eos classis præfecto, repulsum fuisse. (40) Refert etiam parum abfuisse, quum Sardes peteret Antipater, quin ad manus cum eo Eumenes venerit. At Cleopatram Alexandri sororem (ne apud Macedonum vulgus, quasi belli ipsis causa foret, in crimen illa vocaretur) suasisse ac persuasisse Eumeni, Sardibus ut discederet. Antipatrum tamen eam nihilominus, quum advenisset, ob amicitiam societatemque cum Eumene atque Perdicca increpuisse: illamque supra quam ab muliere exspectari poterat, sese defendisse, aliaque plurima vicissim objecisse; ac tandem pacatos eos discessisse.

41. Eumenem necopinato in vicinorum eorum agrum, qui ei non parerent, irrumpentem præda multa et pecunia potitum esse, quibus exercitum suum ditarit. Nuncios insuper ad Alcetam ejusque socios misisse, qui copias omnes in unum adducere, atque ita junctis viribus communem hostem oppugnare rogarent. Illos vero, aliis aliud suadentibus, tandem minime esse assensos. Antipatrum cum Eumene pugnare tum non ausum, misisse tamen Asandrum, qui

καὶ Ἀλκέτα πέμπει πολεμήσοντα Ἀσανδρον· καὶ ἀγχωμάλου τῆς μάχης γεγενημένης, ἡττᾶται Ἀσανδρος.

42. Ὅτι διαφέρεται Κάσανδρος πρὸς Ἀντίγονον, καὶ παύεται Κάσανδρος τῆς κατὰ Ἀντιγόνου ἀταξίας, Ἀντιπάτρου τοῦ πατρὸς διακωλύσαντος. Ὅμως οὖν ὁ Κάσανδρος περὶ Φρυγίαν συμβαλὼν τῷ πατρὶ, ἀναπείθει μήτε πόρρω τῶν βασιλέων ἀποχωρεῖν καὶ Ἀντίγονον δι' ὑπονοίας ἔχειν. Ὁ δὲ τῇ τε μετριοφροσύνῃ καὶ τῇ ἄλλῃ θεραπείᾳ καὶ ἀρετῇ τὸν δυνατὸν τρόπον διέλυε τὴν ὑπόνοιαν. (43) Καὶ Ἀντίπατρος ἐπικλασθεὶς τῆς τε ξυνδιαβάσης αὐτῷ ἐς τὴν Ἀσίαν δυνάμεως πεζοὺς μὲν ἐπιτρέπει αὐτῷ Μακεδόνας ὀκτακισχιλίους καὶ πεντακοσίους, καὶ ἱππέας τῶν ἑτέρων ἴσους, ἐλέφαντας δὲ τῶν πάντων τοὺς ἡμίσεας ο', ὡς ῥᾷον διαπολεμήσειεν τὸν πρὸς Εὐμένη πόλεμον. (44) Καὶ Ἀντίγονος μὲν τοῦ πολέμου ἥπτετο, Ἀντίπατρος δὲ ἀναλαβὼν τοὺς βασιλεῖς καὶ τὴν ἄλλην δύναμιν ἦει ὡς περαιωσόμενος ἐπὶ Μακεδονίαν. Καὶ στασιάζει πάλιν ὁ στρατὸς, αἰτῶν τὰ χρήματα. Ἀντίπατρος δὲ, ἐπειδὰν ἔλθῃ εἰς Ἄβυδον, ὡμολόγησε πορεῖν αὐτὰ, καὶ δώσειν τυχὸν μὲν πάντα, ὅση ἡ δωρεὰ, εἰ δὲ μὴ, τήν γε πλείστην. (45) Καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἀναρτήσας, ἀστασιάστως τὸ λοιπὸν καταλαμβάνει τὴν Ἄβυδον. Ἐκεῖ δὲ τέχνῃ τούτους παρακρουσάμενος, νυκτὸς ἅμα τοῖς βασιλεῦσι περαιοῦται τὸν Ἑλλήσποντον παρὰ Λυσίμαχον. Τῇ δὲ ὑστεραίᾳ καὶ αὐτοὶ ἐπεραιώθησαν, ὑπὲρ τῆς ἀπαιτήσεως τῶν χρημάτων παραυτίκα ἡσυχάσαντες. Ἐν οἷς καὶ τοῦ δεκάτου λόγου τὸ τέλος.

---

46. Ἐστὶ μὲν οὖν ὁ ἀνὴρ οὐδενὸς τῶν ἄριστα συνταξαμένων ἱστορίας δεύτερος. Ἀπαγγελίαί τε γὰρ καὶ μετὰ συντομίας κράτιστος, καὶ παρεκτροπαῖς ἀκαίροις οὐδὲ παρενθήκαις τὸ συνεχὲς τῆς ἱστορίας οὐδαμοῦ λυμαινόμενος, καινοπρεπὴς δὲ συνθήκῃ λόγου μᾶλλον ἢ λέξει, καὶ οὕτως ὥστε μὴ ἂν ἄλλως μήτε σαφέστερον μήτε ἐναργέστερον τὸ διήγημα ὀηλωθῆναι. Εὐσήμῳ δὲ καὶ εὐήχῳ καὶ τῷ τῶν λέξεων ἀποχεχρημένος στρογγύλῳ, καὶ τὸ λεῖον ἔχει τῷ μεγέθει συγκιρνάμενον. Καὶ ἡ καινότης τῶν λέξεων οὐχὶ εἰς τὸ πόρρω νεωτερίζεται, ἀλλ' ἐγγιστά τε καὶ εἰς τὸ ἐμφατικώτατον, ὡς σχηματισμὸν εἶναι λέξεως, ἀλλ' οὐχὶ ἐναλλαγὴν συνήθους ὀνόματος. Διὸ καὶ τὸ σαφὲς συνεφέλκεται οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ κἀν τῇ διασκευῇ καὶ τάξει καὶ καταστάσει μάλιστα τοῦ διηγήματος· ὅπερ ἐστὶ καὶ τῆς σαφηνείας τὸ ἔντεχνον· ἡ γάρ τοι χρῆσις ἡ κατὰ τὰς εὐθείας τῶν περιόδων καὶ τοῖς ἰδιώταις πρόσεστι μάλιστα, καὶ εἰς ὑπτιότητα καὶ ταπεινότητα λίαν καταβιβάζει τὸν λόγον, ἄκρατος μάλιστα γινομένη. Ὅπερ οὗτος, εἰ καὶ τοῦ σαφοῦς εἶναι δοκεῖ, οὐ προσήκατο. Καὶ τῷ ἐλλείποντι δὲ τῶν τρόπων οὕτω κέχρηται, οὐ κατὰ τὰς περιοδικὰς ἐλλείψεις τοῦτο ποιῶν, ἀλλὰ κατά γε τὰς τῶν λέξεων, ὥστε μηδ' ἐλλείπειν διδόναι συναίσθησιν· καὶ

cum Attalo atque Aleeta dimicaret; certatum esse prælio ambiguo, ita tamen, ut inferior Asander discesserit.

42. Casandrum ab Antigono dissensisse, verum destitisse a seditione, Antipatro patre filium inhibente. In Phrygia tamen Casandrum cum parente congressum, ne a regibus longius discederet, sed Antigonum suspectum haberet, hortatum esse. Illum vero quum temperata sua prudentia, tum variis obsequiis atque virtute sua suspicionem pro viribus sustulisse. (43) Mitigatum itaque Antipatrum, de illis copiis, quas in Asiam secum transvexerat, peditum Macedonum Antigono octo millia et quingentos tradidisse, equitum vero externorum parem numerum, elephantorum quoque dimidiam partem, id est septuaginta, quo facilius bellum cum Eumene conficeret. (44) Ita Antigonum bellum hoc administrare exorsum esse; Antipatrum vero, acceptis regibus ceterisque copiis, in Macedoniam trajecturum abiisse. Tum iterum tumultuantes milites pecuniam postulasse, Antipatrumque promisisse, ubi Abydum pervenisset, illam sese curaturum, præbiturumque fortasse donativum universum; sin minus, majorem certe partem accepturos. (45) Hac ergo spe lactatos, absque seditione deinceps Abydum pervenisse; unde ipse noctu, deceptis astu militibus, una cum regibus Hellespontum trajecerit ad Lysimachum se conferens: postridie vero ipsos quoque transiisse, de pecunia poscenda in præsens quiescentes. Atque hoc libri decimi extremum est.

---

46. Est sane scriptor hic nemini eorum qui historiam optime contexuerunt postponendus. Nam et narrationum brevitate præstat, et importunis digressionibus aut crebra parenthesi continentem historiæ tenorem minime ladit. Novitatem habet orationis compositione potius quam verbis, idque ita, ut nullo modo neque clarior neque dilucidior fieri narratio possit. Dum vero significantes sonantesque ac teretes adhibet dictiones, æqualitate non minus quam granditate orationem temperat. Verborum item innovatio non est illi longe, sed e propinquo petita, et quæ lumen orationi vel maximum addat, ut sit dictionis quasi habitus quidam ac gestus potius quam mutatio consuetorum verborum. Quo fit ut et perspicuitas exoriatur, non in hac solum parte, sed etiam in apparatu, ordine et narrationis maxime compositione: quod ipsum est totum perspicuitatis artificium. Nam usus tractatioque simplicium ac rectarum periodorum vel apud indoctos plerumque reperitur, et ad supinum atque humile dicendi genus orationem nimium demittit, si merus ille atque impermistus usus. Quod hic noster (etsi ad perspicuitatem illud facere videatur) non admisit unquam. Tropis item ellipseos non ambitum ipsum verborum concidendo, sed voces singulas supprimendo ita utitur, ut ne percipiendi quidem

εἴ τις τὸ λεῖπον ἐπιχειροίη προσθεῖναι, εἰς τὸ παρέλκον ἂν ξπιτεῖναι δόξαι, ἀλλὰ μὴ τοῦ ἐλλιποῦς ἐξευρεῖν τὴν ἀναπλήρωσιν. Ἄριστα δὲ αὐτοῦ καὶ τὸ πολυσχημάτιστον ἔχει, οὐκ ἀθρόον μεταβαλλόμενον ἀπὸ τῆς αὐτοσχηματίστου χρήσεως, ἀλλ' ἠρέμα καὶ ἐξ ἀρχῆς συμπλεκόμενον, ὡς μήτε τῷ προσκορεῖ ἀνιᾶν, μήτε τῷ ἀθρόῳ ποιεῖν ἐκταράττεσθαι. Καὶ ἁπλῶς, εἴ τις κατ' αὐτὸν ἐπὶ τοὺς ἱστορικοὺς ἀναχθείη λόγους, πολλοὺς καὶ τῶν ἀρχαίων ἴδοι τῆς αὐτοῦ τάξεως ἱσταμένους ταπεινότερον.

defectus vestigium ullum relinquat · idque adeo, ut si quis quod deest addere tentet, supervacaneum potius addidisse, quam defectum supplevisse merito censeatur. Schematum etiam copia optime orationem suam adornat; non enim repente et simul omnium obvium ac nativum usum immutat, sed sensim atque ab initio statim hæc commiscet. Ita neque satietate molestiam affert, neque repentina mutatione turbat. Denique ut semel dicam, si quis ad ceteros historicos accedens Arrianum comparaverit, multos etiam antiquorum humiliores eo deprehendat.

ΠΑΡΘΙΚΑ

ΕΝ ΒΙΒΛ. ΙΖ'.

Photius Bibl. cod. 58 : Ἀνεγνώσθη Ἀρριανοῦ Παρθικὰ ἐν βιβλίοις ιζ'. Οὗτος δὲ συντάττει πάντων ἄμεινον καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, ἔτι δὲ καὶ ἄλλην πραγματείαν, τὰ πάτρια τῆς Βιθυνίας, ἐξ ἧς καὶ αὐτὸς ἦν, ἐπιγράψας τὸ βιβλίον Βιθυνιακά· συγγράφεται δὲ καὶ τὰ κατὰ Ἀλανούς, ἣν ἐπέγραψεν Ἀλανικήν.

2. Διέρχεται δὲ ἐν ταύτῃ τῇ πραγματείᾳ τοὺς πολέμους, οὓς ἐπολέμησαν Ῥωμαῖοι καὶ Πάρθοι, Ῥωμαίων αὐτοκράτορος ὄντος Τραϊανοῦ. Φησὶ δὲ τὸ Πάρθων γένος Σκυθικὸν, ἀποστῆναι δὲ τῆς τῶν Μακεδόνων ἐπικρατείας, ἅμα Περσῶν καταστραφέντων, πάλαι δουλωθὲν, δι' αἰτίαν τοιαύτην. Ἀρσάκης καὶ Τηριδάτης ἦστην ἀδελφὼ Ἀρσακίδαι, τοῦ υἱοῦ Ἀρσάκου τοῦ Φριαπίτου ἀπόγονοι. Οὗτοι Φερεκλέα τὸν ὑπὸ Ἀντιόχου τοῦ βασιλέως (θεὸν αὐτὸν ἐπίκλην ὠνόμαζον) σατράπην αὐτῶν τῆς χώρας καταστάντα, ἐπεὶ τὸν ἕτερον τῶν ἀδελφῶν αἰσχρῶς ἐπείρασε βιασάμενος, οὐκ ἐνεγκόντες τὴν ὕβριν, ἀνεῖλόν τε τὸν ὑβρίσαντα, καὶ ἑτέροις πέντε τὴν πρᾶξιν ἀνακοινωσάμενοι· καὶ τὸ ἔθνος Μακεδόνων ἀπέστησαν, καὶ καθ' ἑαυτοὺς ἦρξαν, καὶ ἐπὶ μέγα δυνάμεως ἦλασαν, ὡς καὶ Ῥωμαίοις ἀντιῤῥόπους μάχας θέσθαι, ἐνίοτε δὲ καὶ μεθ' ἑαυτῶν τὴν νίκην ἔχοντας τοῦ πολέμου ἀπελθεῖν. (3) Πάρθους δέ φησιν ἐπὶ Σεσώστριδος τοῦ Αἰγυπτίων βασιλέως καὶ Ἰανδύσου τοῦ Σκυθῶν ἀπὸ τῆς σφῶν χώρας Σκυθίας εἰς τὴν νῦν μετοικῆσαι. Οὓς ὁ Ῥωμαίων αὐτοκράτωρ Τραϊανὸς κατὰ κράτος ταπεινώσας ὑποσπόνδους ἀφῆκεν, αὐτὸς αὐτοῖς τὸν βασιλέα καταστησάμενος.

4. Οὗτος ὁ Ἀρριανὸς φιλόσοφος μὲν ἦν τὴν ἐπιστήμην, εἷς τῶν ὁμιλητῶν Ἐπικτήτου, κατὰ δὲ τοὺς χρόνους Ἀδριανοῦ καὶ Ἀντωνίνου τοῦ Πίου καὶ Μάρκου τοῦ Ἀντωνίνου ἐγνωρίζετο. Ἐπωνόμαζον δὲ αὐτὸν Ξενοφῶντα νέον. Διὰ δὲ τὸ τῆς παιδείας ἐπίσημον ἄλλας τε πολιτικὰς ἀρχὰς ἐπιστεύθη, καὶ εἰς τὸ τῶν ὑπάτων ἀνέβη τέλος. (5) Ἔγραψε δὲ βιβλία καὶ ἕτερα, τῶν μὲν Διατριβῶν Ἐπικτήτου τοῦ διδασκάλου ὅσα ἴσμεν βιβλία ὀκτὼ,

PARTHICA

LIBRIS XVII.

Lecti sunt Arriani *Parthicorum libri septemdecim*. Hic item omnium optime *res gestas Alexandri* regis Macedonum conscripsit. Aliud item opus de Bithynia patria (hinc enim oriundus est) composuit, *Bithynicorum* titulo. Scripsit etiam res ab Alanis gestas, quem librum *Alanicam* inscripsit.

2. In primo illo opere bella a Parthis et Romanis gesta refert, ductu atque auspiciis Trajani imperatoris. Parthos ait a Scythis originem ducere, Macedonum autem imperium excussisse, Persis una rebellantibus, quum pridem servitutem servissent, hac de causa. Arsaces et Teridates fratres erant, Arsacidæ, filii Arsacis, Phriapitæ nepotes. Hi Phereclem ab Antiocho rege (quem Deum cognomento appellabant) terræ eorum satrapam constitutum, quod altero fratre abuti per vim fede conaretur, contumeliam non ferentes necarunt, consciis etiam aliis quinque. Gentem itaque Macedonum pellentes, imperium ipsi arripuerunt, magnamque sunt potentiam consecuti, adeo ut vel cum Romanis æquo sæpe Marte contenderint, interdum etiam victoria potiti superiores discesserint. (3) Narrat ad hæc Parthos Sesostridis Ægyptiorum regis tempore, et Iandysi Scytharum, ex Scythia in eum, quem nunc tenent, locum demigrasse. Quibus Trajanus Romanorum imperator per vim fractis, fœdere icto, libertatem reliquit regemque ipse constituit.

4. Hic Arrianus professione philosophus, unus ex Epicteti familiaribus, Adriani et Antonini Pii et Marci Antonini Impp. temporibus viguit. Novi Xenophontis tulit cognomen. Ob singularem doctrinam quum alios magistratus gessit, tum ad ipsum quoque consulatum pervenit. (5) Scripsit et alia volumina : *Dissertationum Epicteti* præceptoris, quos novimus, *libros octo : Sermonum* vero ejusdem *Epicteti li-*

τῶν δὲ Ὁμιλιῶν τοῦ αὐτοῦ Ἐπικτήτου βιβλία δώδεκα. Ἰσχνὸς δὲ τὴν φράσιν ἐστὶ, καὶ μιμητὴς ὡς ἀληθῶς Ξενοφῶντος. Φασὶ δὲ αὐτὸν καὶ ἕτερα γράψαι, ἃ οὔπω εἰς ἡμετέραν ἀφίκετο γνῶσιν. Δῆλον δὲ ὡς οὐδὲ ῥητορικῆς σοφίας τε καὶ δυνάμεως ἀπελείπετο.

bros duodecim. Exilis illi dicendi character, et vere Xenophontis imitator est. Alia item scripsisse ferunt, quæ tamen in cognitionem nostram nondum pervenerunt. Certum sane illud, rhetoricæ nequaquam sapientiæ ac facultatis imperitum fuisse.

ΒΙΘΥΝΙΑΚΑ

ΕΝ ΒΙΒΛΙΟΙΣ. Η'.

Photius Bibl. cod. 93 : Ἀνεγνώσθη τοῦ αὐτοῦ τὰ Βιθυνιακὰ, ἐν βιβλίοις ὀκτὼ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἄλλα, ὅσα συνέστη περὶ αὐτὴν, εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι ὥσπερ ἀναφέρων τὰ πάτρια. Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι, καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι. (2) Μέμνηται δὲ ἐν ταύτῃ τῇ συγγραφῇ καὶ ἑτέρων πραγματειῶν. Ὧν ἡ μὲν, ὅσα Τιμολέοντι τῷ Κορινθίῳ κατὰ Σικελίαν ἐπράχθη, διαλαμβάνει· ἡ δὲ τὰ Δίωνι τῷ Συρακουσίῳ ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ προτέρου, ἠλευθέρου, καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. (3) Φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν· μετὰ γὰρ τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα, καὶ Δίωνα [μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας] ἥδε αὐτῷ ἡ συγγραφὴ ἐξεπονήθη, ἐξ ἀρχῆς μὲν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῷ ἐνδεῶς αὐτὸν ἔχειν παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτῳ βραδυτῆτος ἀποδίδωσιν αἰτίαν. (4) Ἄρχεται μὲν οὖν, ὥσπερ εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τελευτῆς τοῦ ἐσχάτου Νικομήδους, ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὔπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.

BITHYNICA

LIBRIS VIII.

Legi *Bithynica* ejusdem *libris octo*, quibus de Bithynia fabulosas narrationes ceteraque ad eam pertinentia accurate perscribit : patriæ nimirum patriam historiam offerens. Nicomedia enim genus se ducere hoc opere ostendit ; eaque in urbe natum, educatum et tum litteris imbutum, sacerdotium Cereris ejusque filiæ Proserpinæ (quibus sacram esse urbem scribit) gessisse. (2) Meminit vero hoc ipso in libro et aliorum operum : quorum alterum quidem *Timoleontis Corinthii res in Sicilia gestas* continet ; alterum vero *res Dionis Syracusani* memoratu dignas refert, quum Syracusas hic omnemque adeo Siciliam a Dionysii secundi, qui primi filius fuit, tyrannide liberavit, insuperque a barbaris, quos ut tyrannidem firmaret, Dionysius eo adduxerat. (3) Apparet vero hoc opus, quo patriam descripsit, post Alexandri Magni, Timoleontis et Dionis rerum gestarum historias, quarto loco confectum esse. Quamquam enim quum primum vires ad scribendum nactus esset, hoc argumentum tractandum sibi proposuisset, serius tamen id absolvisse, quoniam materia necessaria tum nondum congesta esset. Hanc enim ipsemet cessationis causam affert. (4) Incipit igitur, uti jam diximus, a mythicæ historiæ temporibus, descendit vero usque ad finem Nicomedis ultimi, qui moriens Romanis regnum testamento reliquit, qui quidem Romani jam inde a Tarquinii expulsione regibus parere desierant.

ΕΚΤΑΞΙΣ ΚΑΤ' ΑΛΑΝΩΝ.

Ἡγεῖσθαι μὲν τῆς πάσης στρατιᾶς τοὺς κατασκόπους ἱππέας ἐπὶ δυοῖν τεταγμένους σὺν τῷ οἰκείῳ ἡγεμόνι. Ἐπὶ τούτοις δὲ τοὺς ἱπποτοξότας τοὺς Πετραίους, καὶ τούτους ἐπὶ δυοῖν. Ἀγόντων δὲ αὐτοὺς οἱ δεκαδάρχαι. Ἐπὶ δὲ τούτοις ἐπιτεταχθων οἱ ἀπὸ τῆς εἴλης ἧτινι Ἰσαυριανοὶ ὄνομα. Συντετάχθων δὲ αὐτοῖς οἱ τῆς σπείρης τῆς τετάρτης τῶν Ῥαίων [Ῥαιτῶν?] ἧς ἄρχων Δάφνης Κορίνθιος. Ἐπὶ τούτοις δὲ οἱ ἀπὸ τῆς εἴλης, ἧ ὄνομα Κολῶνες [Κολωνεῖς?]. Συντετάχθων δὲ αὐτοῖς Ἰτυραῖοι καὶ Κυρηναῖοι καὶ οἱ ἀπὸ τῆς πρώτης Ῥαιτικῆς. Συμπάντων δὲ τούτων ἀρχέτω Δημήτριος. (2) Ἐπὶ τούτοις δὲ οἱ Κελτοὶ ἱππεῖς, καὶ αὐτοὶ ἐπὶ δυοῖν, καὶ τούτων ἡγείσθω ἑκατόνταρχος, ὥσπερ ἐπὶ στρατοπέδου.

3. Πεζοὶ δὲ ἐπὶ τούτοις τετάχθων, τὰ σημεῖα ἀνατεταμένα πρὸ σφῶν ἔχοντες, οἵ τε Ἰταλοὶ καὶ Κυρηναίων οἱ παρόντες. Πάντων δὲ ἡγείσθω Πούλχερ, ὅσπερ ἄρχει τοῖς Ἰταλοῖς. Βοσπορανοὶ δὲ ἐπὶ τούτοις πεζοὶ ἰόντων, ἡγεμόνα παρεχόμενοι Λαμπροκλέα, καὶ οἱ Νομάδες ἐπὶ τούτοις ὑποτεταγμένοι Βήρῳ τῷ σφετέρῳ ἄρχοντι. (4) Ἡ τάξις δὲ ἔστω εἰς ὁπλίτας τέσσαρας. Αὐτῶν δὲ τούτων ὅσοι τοξόται ἡγείσθων. Τὰς δὲ πλευρὰς τῆς τάξεως φυλαττόντων ἑκατέρωθεν οἱ ἱππεῖς οἱ Ἀκεῖοι [Ἀχαῖοι? Ἀχαιοί?]. Ἐπὶ δὲ τούτοις οἱ ἐπίλεκτοι ἱππεῖς ἴτωσαν, καὶ ἐπὶ τούτοις οἱ ἀπὸ τῆς φάλαγγος ἱππεῖς. Ἔπειτα οἱ καταπέλται. (5) Ἔπειτα τὸ σημεῖον τῆς πεντεκαιδεκάτης φάλαγγος, καὶ ἀμφ' αὐτῷ δὲ ὁ ἡγεμὼν τῆς φάλαγγος Οὐάλης, καὶ ὁ ὕπαρχος καὶ οἱ χιλιάρχαι οἷς τέτακται καὶ ἑκατόνταρχοι [καὶ] οἱ τῆς πρώτης σπείρης ἐπιστάται. Πρὸς δὲ τοῦ σημείου τοῦ τῶν πεζῶν οἱ ἀκοντισταὶ τετάχθων. Αὐτοὺς δὲ τοὺς πεζοὺς ἐπὶ δ' τεταγμένους εἶναι. (6) Ἐπὶ δὲ τῇ ιε' φάλαγγι τετάχθω τὸ σημεῖον τῆς δωδεκάτης φάλαγγος, καὶ χιλιάρχαι ἀμφ' αὐτῷ καὶ ἑκατοντάρχαι. Ἐπὶ δ' ὡσαύτως καὶ ἥδε ἡ φάλαγξ ἴτω τεταγμένη.

7. Ἐπὶ δὲ τῷ ὁπλιτικῷ τετάχθω τὸ συμμαχικὸν, οἵ τε ἀπὸ τῆς μικρᾶς Ἀρμενίας καὶ Τραπεζουντίων οἱ ὁπλῖται καὶ Κόλχοι καὶ Ῥιζιανοὶ οἱ λογχοφόροι. Ἐπιτετάχθων δὲ αὐτοῖς οἱ Ἀπλανοὶ [Ἀλβανοὶ?] πεζοί. Παντὸς δὲ τοῦ συμμαχικοῦ ἡγεμὼν ἔστω Σεκουλῖνος, ὅσπερ τῶν Ἀπλανῶν ἡγεῖται. (8) Ἐπὶ τούτοις δὲ τὰ σκευοφόρα ἑπέσθω. Οὐραγείτω δὲ ἡ εἴλη τῶν Γετῶν καὶ ὁ ταύτης εἰλάρχης. (9) Τὰς πλευρὰς δὲ τοῦ πεζικοῦ κοσμούντων μὲν καὶ ἑκατονταρχαι καὶ [οἱ] ἐπὶ τῷδε τεταγμένοι, φυλακῆς δὲ ἕνεκα, εἴλη ἡ Ἀλλακτικὴ [Καλακτικὴ?] παριππευέτω ἐπὶ ἕνα στοῖχον ἑκατέρωθεν τεταγμένη, καὶ οἱ τῶν Ἰταλῶν ἱππεῖς. Ὁ δὲ εἰλάρχης αὐτῶν ἐπιφοιτάτω ταῖς πλευραῖς. (10) Ὁ δὲ ἡγεμὼν τῆς πάσης

ACIES CONTRA ALANOS.

Præcant universum exercitum equites speculatores, qui bini collocentur suo sub duce. Post hos ponantur sagittarii equites Petræi, bini item, quos ducant decuriones. His subjungatur turma Isaurianorum. Componatur iis manipulus quartus *Rhætorum*, cujus dux Daphnes Corinthius. Post hos turma Colonensium. Adjungantur iis Ituræi et Cyrenæi et primus manipulus Rhæticus. Hisce omnibus imperet Demetrius. (2) Post eos collocentur Celtæ equites, ipsi quoque bini, quos ducat centurio, sicuti in castris.

3. Sequantur pedites, erectis ante se signis, Itali et Cyrenæi, quotquot adsunt. Eos omnes ducat Pulcher, Italorum præfectus. Post hos incedant Bosporiani pedites sub Lamprocle duce et subjuncti iis Numidæ sub Vero præfecto suo. (4) Acies sit hoplitarum quaternorum. Hos ipsos præcedant quotquot sunt sagittariorum. Latera aciei utrimque tueantur equites Acæi. Post hos selecti equites legionis. Deinde catapultæ. (5) Deinde signum legionis decimæ quintæ, et juxta id dux legionis Valens et legatus et chiliarchæ, quibus jussum est, et centuriones et primæ cohortis epistatæ. Ante signum vero peditum jaculatores collocentur. Ipsi pedites ponantur per ordines quaternorum. (6) Post decimam quintam legionem collocetur signum legionis duodecimæ, et juxta id chiliarchæ et centuriones. Quaterni item hujus quoque legionis milites incedant ordinati.

7. Post hunc gravis armaturæ exercitum collocentur socii ex Armenia minori et Trapezuntiorum graviter armati et Colchi et Rhiziani lancearii. Subjungantur iis Aplani (?) pedites. Totius autem sociorum exercitus dux sit Seculinus, qui est Aplanorum præfectus. (8) Deinde sequantur impedimenta. Agmen claudat turma Getarum sub duce suo. (9) Latera exercitus pedestris ordinent centuriones et qui ad hoc constituti. Præsidii gratia turma *Calactica* ad utrumque latus equitet uno versu ordinata, nec non Itali equites. Præfectus eorum lateribus adequitet. (10) Dux vero

στρατιᾶς Ξενοφῶν τὸ πολὺ μὲν πρὸ τῶν σημείων τῶν πεζικῶν ἡγείσθω, ἐπιφοιτάτω δὲ πάσῃ τῇ τάξει, καὶ ἐπισκοπείτω ὅπως τεταγμένοι ἴωσι, καὶ τοὺς μὲν ἀτακτοῦντας εἰς τάξιν ἐπαναγέτω, τοὺς δὲ ἐν κόσμῳ ὄντας ἐπαινείτω.

11. Οὕτω μὲν τεταγμένους ἰέναι. Ἐλθόντας δὲ εἰς τὸ ἀποδεδειγμένον χωρίον, τὴν μὲν ἵππον πᾶσαν περιστῆναι ἐν κύκλῳ εἰς τετράγωνον τάξιν, τοὺς κατασκόπους δὲ πέμψαι εἰς τὰ ὑπερδέξια χωρία, ἀποσκοπῆς ἕνεκα τῶν πολεμίων. Ἐνταῦθα δὲ ἀπὸ σημείου ὁπλίζεσθαι σιγῇ, ὁπλισαμένους δὲ εἰς τάξιν καθίστασθαι. (12) Ἡ τάξις δὲ ἔστω ἥδε. Τὸ μὲν κέρας ἑκάτερον τῶν πεζῶν τὰ ὑπερδέξια ἐχέτω τῶν χωρίων, ὅτι ἐν τοιῷδε ἡ ἔκταξις ἔσται. Ἐπετετάχθων δὲ τῷ κέρατι τῷ μὲν δεξιῷ οἱ ἀμφὶ Οὐασάκην καὶ Ἄρβηλον Ἀρμένιοι, τὸ ὑπερδεξιώτατον τοῦ κέρως ἔχοντες, ὅτι τοξόται εἰσὶν οἱ σύμπαντες. (13) Προτετάχθων δὲ αὐτῶν οἱ τῆς σπείρης τῆς Ἰταλικῆς πεζοί. Πάντων δὲ ἡγείσθω Πούλχερ, ὅστις καὶ τῆς σπείρης τῆς Ἰταλικῆς ἄρχει. Καὶ τούτῳ ἐπιτετράφθω αὐτός τε καὶ ὁ Οὐασάκης καὶ Ἄρβηλος καὶ τὸ ἐκείνων ἱππικόν τε καὶ πεζικόν.

14. Ἐπὶ δὲ τοῦ ἀριστεροῦ τετάχθων καὶ οὗτοι τὸ ὑπερδεξιώτατον τοῦ κέρως ἔχοντες οἵ τε ἀπὸ τῆς μικρᾶς Ἀρμενίας σύμμαχοι καὶ οἱ Τραπεζουντίων γυμνῆτες καὶ οἱ Ῥιζιανοὶ λογχοφόροι. (14) Προτετάχθων δὲ καὶ τούτων οἱ Ἀπλανοὶ οἱ διακόσιοι, καὶ Κυρηναῖοι οἱ ἑκατόν, ὡς προβολὴν μὲν εἶναι πρὸ τῶν ἀκοντιστῶν τοὺς ὁπλίτας, τοὺς δὲ ὑπερακοντίζειν ἐκ τοῦ ὑπερδεξιοῦ. (15) Τὸ δὲ ἐν μέσῳ σύμπαν τὸ μὲν δεξιὸν ἐχέτω ἡ πεζικὴ φάλαγξ ἡ πεντεκαιδεκάτη ὑπὲρ τὸ μέσον τοῦ παντὸς χωρίου, ὅτι πολὺ πλείονες πλήθει οὗτοί εἰσι. Τὸ δὲ ὑπόλοιπον τοῦ ἀριστεροῦ ἐκπληρούντων οἱ τῆς δωδεκάτης φάλαγγος πεζοί ἔστε ἐπὶ τὸ ἄκρον τοῦ κέρως τοῦ ἀριστεροῦ· τετάχθω δὲ ἐπὶ ὀκτὼ, καὶ πυκνὴ αὐτοῖς ἔστω ἡ σύγκλεισις. (16) Καὶ αἱ μὲν πρῶται τέσσαρες τάξεις ἔστωσαν κοντοφόρων, ὧν δὴ κοντοῖς μακρὰ καὶ ἐπιλεπτὰ τὰ σιδήρια προῆπται. Καὶ τούτους οἱ μὲν πρωτοστάται εἰς προβολὴν ἐχόντων, ὡς εἰ πελάζοιεν αὐτοῖς οἱ πολέμιοι, κατὰ τὰ στήθη μάλιστα τῶν ἵππων τίθεσθαι τῶν κόντων τὸν σίδηρον. (17) Οἱ δευτεροστάται δὲ καὶ οἱ τῆς τρίτης καὶ τετάρτης τάξεως, εἰς ἀκοντισμὸν προβεβλήσθων τοὺς κόντους, ὅπου ἂν τύχοιεν καὶ ἵππους τρώσοντες, καὶ ἱππότην καταχανοῦντες, καὶ θυρεῷ καὶ καταφράκτῳ θώρακι ἐμπαγέντος τοῦ κόντου, καὶ διὰ μαλακότητα τοῦ σιδήρου ἐπιχαμφθέντος, ἀχρεῖον τὴν ἀναβάτην ποιήσοντες. (18) Αἱ δὲ ἐφεξῆς τάξεις τῶν λογχοφόρων ἔστωσαν. Ἐνάτη δὲ ἐπὶ τούτοις ἔστω τάξις οἱ πεζοὶ τοξόται, οἱ τῶν Νομάδων καὶ Κυρηναίων καὶ Βοσποριανῶν τε καὶ Ἰτουραίων. (19) Μηχαναὶ δὲ ἑστηκέτωσαν τῷ κέρατι ἑκατέρῳ, ὡς πορρωτάτω προσιόντων τῶν πολεμίων ἐξακοντίζειν, καὶ κατόπιν τῆς πάσης φάλαγγος.

20. Τὸ δὲ ἱππικὸν ξύμπαν κατὰ εἴλας καὶ λόχους ὀκτὼ ξυντεταγμένον ἑφεστάτω τοῖς πεζοῖς, τὸ μὲν τοῖς

universi exercitus Xenophon ut plurimum ante signa peditum se teneat, interdum vero totam aciem percurrens videat ut bene ordinati procedant : qui locum suum deseruerint, eos in ordinem reducat; ordinem uti decet servantes collaudet.

11. Hunc in modum dispositi progrediantur. Quum autem venerint in locum designatum, equitatus universus circumcirca collocetur acie quadrata. Speculatores vero in loca editiora mittantur, qui hostem observent. Tum dato signo arment se silentio, armatique suum quisque locum obtineant. (12) Ordinatio autem aciei hæc sit. Cornu utrumque peditum editiora loca occupet, quandoquidem in ejusmodi regione erit aciei instructio. Ad dextrum cornu collocentur qui sub Vasace et Arbelo sunt Armenii, summamque hujus cornu partem teneant, quum omnes sint sagittarii. (13) Ante eos collocentur pedites cohortis Italicæ. Omnes hos ducat Pulcher, cohortis Italicæ præfectus, eique committantur et sua ipsius manus et qui cum Vasace et Arbelo sunt equites peditesque.

14. In sinistro cornu item summam ejus partem tenentes collocentur ex Armenia minori socii et Trapezuntiorum levis armaturæ milites et Riziani lanceari. Ante hos quoque ponantur Aplani ducenti et Cyrenæi centum, qui gravis armaturæ milites propugnaculi loco sint jaculatoribus supra capita eorum ex editiore tela emittentibus. (15) Spatii intermedii dextrum latus universum obtineat pedestris legio decima quinta, supra medium totius loci se extendens, quippe quæ numero longe superior sit. Quod restat spatium sinistri lateris expleant duodecimæ legionis pedites usque ad extremum cornu sinistrum. Ordines sint octo, iique densi collocentur. Ac priores quidem ordines quattuor contos gestantium sunto, qui longa et tenuia contis ferramenta præfixa habent. (16) Contos protostatæ ante se teneant projectos ita, ut si appropinquarint iis hostes, contra pectora maxime equorum ferrum dirigatur. (17) Qui vero secundi stant et tertii quartique, ad ejaculationem contos paratos teneant, ut, ubicumque possint, et equos vulnerent et equites vel occidant vel in clypeum et loricatum thoracem conto impacto, ubi ferrum propter mollitiem se inflexerit, ad pugnam inutilem sessorem reddant. (18) Sequentes ordines (*quattuor*) hastatorum sunto. Nonus vero post hos ordo sit peditum sagittariorum, Nomadum scilicet et Cyrenæorum et Ituræorum. (19) Porro machinæ ponantur et in cornu utroque, unde quam longissime in hostem accedentem missilia jaciant, et pone omnem phalangem.

20. Equitatus universus in turmas et lochos octo distributus post pedites locum obtineat : atque in cornubus qui-

κέρασιν ἑκατέροις προβολὴν ἔχον τοὺς ὁπλίτας πρὸ σφῶν καὶ τοὺς τοξότας, λόχοι δύο· τὸ δὲ τῇ μέσῃ φάλαγγι, λόχοι ἕξ * μημων [ἐπιστήτω? ἐπιστήτωσαν?]. (21) Τούτων δὲ ὅσοι μὲν ἱπποτοξόται πλησίον τῆς φάλαγγος ἐφεστηκέτωσαν, ὡς ὑπερτοξεύειν ὑπὲρ αὐτῆς· ὅσοι δὲ λογχοφόροι ἢ κοντοφόροι ἢ μαχαιροφόροι ἢ πελεκοφόροι εἰς τὰ πλάγιά τε ἑκατέρωθεν ὁρώντων (ἢ) καὶ τὸ ξύνθημα προσμενόντων. (22) Οἱ δὲ ἐπίλεκτοι ἱππεῖς ἀμφ' αὐτὸν Ξενοφῶντα ἕστωσαν, καὶ τῶν ἀπὸ τῆς φάλαγγος τῶν πεζῶν ὅσον εἰς διακοσίους, οἱ σωματοφύλακες, καὶ ἑκατοντάρχαι, ὅσοι τοῖς ἐπιλέκτοις ξυντεταγμένοι ἢ τῶν σωματοφυλάκων ἡγεμόνες, καὶ δεκάρχαι οἱ τῶν ἐπιλέκτων. (23) Ἑστωσαν δὲ ἀμφ' αὐτὸν * ας [καὶ ἑς?] ἑκατὸν κούφων λογχοφόρων, ὡς πᾶσαν ἐπιφοιτῶν τὴν φάλαγγα ὅπου τι ἐνδεὲς καταμανθάνοι, ἐκεῖνο ἴδοι καὶ θεραπεύοι. (24) Ἡγείσθω δὲ τοῦ μὲν δεξιοῦ κέρως παντὸς ξὺν τῷ ἱππικῷ Οὐάλης, ὅσπερ καὶ τῆς πεντεκαιδεκάτης φάλαγγος ἡγεμών ἐστιν· τοῦ δὲ ἀριστεροῦ οἱ χιλιάρχαι τῆς δωδεκάτης.

25. Οὕτω δὲ ταχθέντων, σιγὴ ἔστω ἐστ' ἂν πελάζωσιν ἐντὸς βέλους οἱ πολέμιοι· πελαζόντων δὲ ἤδη, ὡς μέγιστον καὶ φοβερώτατον ἀλαλάξειν ξύμπαντας τῷ ἐνυαλίῳ. Καὶ βέλη τε ἀπὸ μηχανῶν καὶ λίθους ἀφίεσθαι, καὶ βέλη ἀπὸ τόξων, καὶ λόγχας οἱ λογχοφόροι ἀκοντιζέτωσαν, οἵ τε ψιλοὶ καὶ οἱ θειρασταί [θυρεαφόροι?]. Φερέσθωσαν δὲ καὶ λίθοι εἰς τοὺς πολεμίους ἀπὸ τοῦ ξυμμαχικοῦ ἐκ τῶν ὑπερδεξίων· καὶ τὸ πᾶν ἀκροβολισμὸς ἔστω πανταχόθεν ὡς ἔνι πυκνότατος εἰς τάραξίν τε τῶν ἵππων καὶ ὄλεθρον τῶν πολεμίων ἱππέων. (26) Καὶ ἐλπὶς μὲν ὑπὸ τοῦ ἀδιηγήτου πλήθους τῶν βελῶν μὴ ἐπὶ πλεῖον πελάσειν τῇ πεζικῇ φάλαγγι ἐπελαύνοντας τοὺς Σκύθας· εἰ δὲ δὴ πελάζοιεν, ἐγχρίμψαντας ταῖς ἀσπίσι καὶ τοῖς ὤμοις ἀντερείσαντας δέχεσθαι τὴν προσβολὴν ὡς καρτερώτατα καὶ τῇ συγκλείσει πυκνοτάτῃ τὰς πρώτας τρεῖς τάξεις ξυνερειδούσας σφίσιν ὡς βιαιότατον οἷόν τε· τὴν τετάρτην δὲ ὑπερακοντίζειν τὰς λόγχας· καὶ τὴν τρίτην (?) παίειν ἢ ἀκοντίζειν τοῖς κόντοις ἀφειδῶς, ἔς τε ἵππους καὶ αὐτούς. (27) Ἀπωσθέντων δὲ, εἰ μὲν φυγὴ λαμπρὰ γένηται, διαχωρεῖν δεῖ τὰς πεζικὰς τάξεις καὶ ἐπελαύνειν τοὺς ἱππέας, μὴ πάντας τοὺς λόχους, ἀλλὰ τοὺς ἡμίσεας. Τετάχθαι δὲ πρώτους, οἵτινες καὶ πρῶτοι ἐπελάσουσιν. (28) Τοὺς δὲ ἄλλους ἡμίσεας ἕπεσθαι μὲν τοῖς ἐπελαύνουσιν, ἐν τάξει δὲ καὶ μὴ παντελεῖ τῇ διώξει χρωμένους, ὡς εἰ μὲν φυγὴ καρτερὰ κατέχοι, ἐκδέξασθαι τὴν πρώτην δίωξιν ἀκμήτοις τοῖς ἵπποις, εἰ δέ τις ἐπιστροφὴ καταλαμβάνοι, ἐπιτίθεσθαι τοῖς ἐπιστρέφουσιν· (29) ὁμοῦ δὲ οἵ τε Ἀρμένιοι τοξόται ἐπελαύνοντες τοξευόντων, ὡς μὴ παρασχεῖν ἀναστροφὴν τοῖς φεύγουσι, καὶ οἱ λογχοφόροι οἱ γυμνῆτες ὁρόμῳ ἐπέσθωσαν· μένειν δὲ μηδὲ τὴν πεζικὴν τάξιν ἐν χώρᾳ ἔτι, ἀλλὰ προχωρεῖν θᾶττον ἢ βάδην, ὡς εἴ τι καρτερώτερον ἀπαντοίη ἀπὸ τῶν πολεμίων, αὖθις εἶναι προβολὴν πρὸ τῶν ἱππέων.

dem utrisque propugnaculi loco graviter armatos et sagittarios ante se habentes lochi duo, in media autem phalange lochi sex *collocentur*. (21) Ex his equitibus quicumque sagittarii sunt proxime adstent phalangi, ut supra eam sagittas transmittant; quotquot vero hastas vel contos vel gladios vel secures gestant, in transversum utrimque vultus obvertant signumque exspectent. (22) Selecti autem equites circa ipsum Xenophontem sunto, et ex peditibus phalangis circiter ducenti corporis custodes, atque centuriones qui vel selectis vel corporis custodibus præpositi sunt, nec non decuriones selectorum. (23) Præterea Xenophonti adjungantur etiam centum *circiter* leves lancearii, ut omnem obiens aciem, ubi quid deficere compererit, id inspicere possit et curare. (24) Dextrum cornu totum cum equitatu ducat Valens legioni decimæ quintæ præfectus; sinistrum ducant chiliarchæ legionis duodecimæ.

25. Ordinato hunc in modum exercitu, silentium sit usque dum intra teli jactum hostes accesserint. Ubi vero jamjam in propinquo sunt, tum summum maximeque horrendum cuncti edant clamorem; telaque e machinis lapidesque et ex arcubus sagittæ immittantur, lanceasque jaculentur lancearii atque velites simul et *scutigeri*. Lapides quoque de locis editioribus in hostes sociorum manu conjiciantur; ac omnino undique sit telorum emissio quam potest creberrima in terrorem equorum atque perniciem equitum adversariorum. (26) Ita spes est fore ut propter immanem telorum multitudinem propius accedere ad pedestrem phalangem irruentes Scythæ non audeant. Sin nihilominus hostis appropinquet, tum priores tres ordines objectis clypeis et humeris se fulcientes impetum fortissime, et dense admodum se constipantes summa qua fieri potest vi sustineant; quartus autem supra priores jacula transmittat. Etiam tertius sine intermissione feriat et jaculetur contis in equos ipsosque equites. (27) Repulsus hostis si aperte fugam capessat, tum equites per peditum ordines digressi insequantur, non omnes tamen lochi, sed dimidia tantum pars. Primique eorum ponantur qui primi etiam impetum facturi sunt. (28) Altera pars dimidia sequatur quidem, sed agmine composito et ab insecutione prorsus abstinens, ut, si longior fuga fiat, priorem partem in negotio excipere possit equis integris; sin vertant se hostes, in vertentes impetum faciat. (29) Simul vero Armenii sagittarii incurrentes sagittis hostes appetant, ut nulla fugientibus convertendi se detur potestas. Porro lancearii quoque leves cursu sequantur. Neque ipsa jam pedestris phalanx diutius in loco suo maneat, sed accelerato gressu procedat, ut si fortius aliquid ab hoste agatur, iterum præsidio esse equitibus possit.

30. Τάδε μὲν γίνεσθαι, εἰ ἀπὸ τῆς πρώτης προσβολῆς φυγὴ κατάσχοι τοὺς ἐναντίους· εἰ δὲ ἐπιστραφέντες ἐς κύκλους ὑπὲρ τὰ κέρατα παρελαύνειν ἐθέλοιεν, ἀνατείνεσθαι μὲν [ἐς] τὰ ὑπερδεξιώτερα ἔτι τὰ κέρατα αὐτῆς τῆς ψιλῆς τοξείας· ὡς οὐ δοκιμάζω μήποτε ἀσθενῆ τῇ ἀνατάσει τὰ κέρατα γινόμενα ἰδόντες δι' αὐτῶν ὥσαιντο καὶ διακόψαιεν τὸ πεζικόν. (31) Ὑπερβαλλόντων δὲ τὰ κέρατα ἑκάτερα, ἢ τὸ ἕτερον οὖν, πᾶσα ἤδη ἀνάγκη πλαγίους μὲν αὐτοῖς γίνεσθαι τοὺς ἵππους, πλαγίους δὲ τοὺς κόντους. Ἐνταῦθα δὴ ἐμβαλλόντων ἐς αὐτοὺς οἱ ἱππεῖς, μὴ ἀκοντισμῷ ἔτι, ἀλλὰ ταῖς σπάθαις αὐτῶν συμφερόμενοι, οἱ δὲ ταῖς πελέκεσιν. Οἱ δὲ Σκύθαι γυμνοί τε ὄντες καὶ τοὺς ἵππους γυμνοὺς ἔχοντες * * *

30. Atque hæc quidem fiant, si post primum statim impetum in fugam se hostis dederit. Sin conversione facta circumire cornua tentet, in ulterius adhuc cornua leviter armatorum extendantur. Neque enim probabile mihi videtur hostes cornua extensione ista rare facta videntes perrupturos per ea adeoque discissuros esse exercitum pedestrem. Sin vero superant cornu vel utrumque vel alterutrum, necesse prorsus est ut transversi iis statuantur equites contique. Tum autem irrumpentes equites non jaculis jam, sed gladiis vel etiam securibus eos adoriantur. Scythæ quum corpora nullis tecta armis præbeant, neque equos munitos habeant, ***

ΑΡΡΙΑΝΟΥ ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΤΡΑΙΑΝΟΝ [ΑΔΡΙΑΝΟΝ]

ΕΝ Η ΚΑΙ

ΠΕΡΙΠΛΟΥΣ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ.

ΑΥΤΟΚΡΑΤΟΡΙ ΚΑΙΣΑΡΙ ΤΡΑΙΑΝΩι ΑΔΡΙΑΝΩι ΣΕΒΑΣΤΩι ΑΡΡΙΑΝΟΣ ΧΑΙΡΕΙΝ.

I. Εἰς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει ὁ Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάττῃ ᾠκισμένην, Σινωπέων ἄποικον. Καὶ τὴν μὲν θάλασσαν τὴν τοῦ Εὐξείνου ἄσμενοι κατείδομεν, ὅθενπερ καὶ Ξενοφῶν ἐκεῖνος καὶ σύ. (2) Καὶ οἱ βωμοὶ ἀνεστᾶσιν ἤδη, λίθου μέντοι γε τοῦ τραχέος, καὶ τὰ γράμματα διὰ τοῦτο οὐκ εὐδηλα κεχάρακται· τὸ δὲ Ἑλληνικὸν ἐπίγραμμα καὶ ἡμαρτημένως γέγραπται, οἷα δὴ ὑπὸ βαρβάρων γραφέν. Ἔγνωκα οὖν τούς τε βωμοὺς λίθου λευκοῦ ἀναθεῖναι, καὶ τὰ ἐπιγράμματα ἐγχαράξαι εὐσήμοις τοῖς γράμμασιν. (3) Ὁ μὲν γὰρ ἀνδριὰς ἕστηκεν ὁ σὸς τῷ μὲν σχήματι ἡδέως· ἀποδείκνυσι γὰρ τὴν θάλατταν· τὴν δὲ ἐργασίαν οὔτε ὅμοιός σοι οὔτε ἄλλως καλός· (4) ὥστε πέμψον ἀνδριάντα ἄξιον ἐπονομάζεσθαι σὸν ἐν τῷ αὐτῷ τούτῳ σχήματι· τὸ γὰρ χωρίον ἐπιτηδειότατον εἰς μνήμην αἰώνιον.

II. Πεποίηται δὲ καὶ ὁ νεὼς λίθου τετραγώνου, οὐ φαῦλος· ἀλλὰ τὸ τοῦ Ἑρμοῦ ἄγαλμα οὔτε τοῦ νεὼ ἄξιόν ἐστιν οὔτε αὐτοῦ τοῦ χωρίου. Εἰ δέ σοι δοκεῖ, πέμψον μοι πεντάπουν μάλιστα Ἑρμοῦ ἄγαλμα· τηλικοῦτον γάρ μοι δοκεῖ ἔσεσθαι ὡς γε πρὸς τὸν νεὼν σύμμετρον· καὶ ἄλλο τοῦ Φιλησίου τετράπουν. (2) Οὐ γὰρ ἀπὸ τρόπου δοκεῖ μοι σύνναος καὶ σύμβωμος ἔσεσθαι τῷ προπάτορι. Καὶ ὁ μέν τις τῷ Ἑρμῇ, ὁ δὲ τῷ Φιλησίῳ, ὁ δὲ καὶ ἀμφοῖν θύσει παριών. Χαριοῦνται δὲ καὶ οὗτοι κἀκεῖνοι τῷ τε Ἑρμῇ καὶ τῷ Φιλησίῳ· τῷ μὲν Ἑρμῇ, ὅτι τὸν ἔγγονον αὐτοῦ τιμῶσιν· τῷ δὲ Φιλησίῳ, ὅτι τὸν αὐτοῦ προπάτορα· (3) ὡς ἔγωγε καὶ ἐβουθύτησα ἐνταῦθα, οὐχ ὥσπερ ὁ Ξενοφῶν ἐν Κάλπης λιμένι ὑφ' ἁμάξης βοῦν λαβὼν δι' ἀπορίαν ἱερείων, ἀλλὰ τῶν Τραπεζουντίων αὐτῶν παρασκευασάντων ἱερεῖον οὐκ ἀγεννές· καὶ ἐσπλαγχνευσάμεθα αὐτόθι καὶ ἐπὶ τοῖς σπλάγχνοις ἐπεσπείσαμεν. (4) Ὅτῳ δὲ πρώτῳ τἀγαθὰ ηὐχόμεθα, οὐ λανθάνομέν σε τόν τε τρόπον τὸν ἡμέτερον οὐκ ἀγνοοῦντα καὶ σαυτῷ συνειδότα, ὅτι ἄξιος εἶ ὑπὲρ ὅτου πάντες εὔξαιντο τἀγαθὰ, καὶ ὅσοι ἡμῶν ἔλαττον ὑπὸ σοῦ εὖ πεπόνθασιν.

III. Ἐκ Τραπεζοῦντος δὲ ὁρμηθέντες τῇ μὲν πρώτῃ εἰς Ὕσσου λιμένα κατήραμεν καὶ τοὺς πεζοὺς τοὺς

ARRIANI EPISTOLA

AD TRAJANUM [ADRIANUM]

IN QUA ETIAM

PERIPLUS PONTI EUXINI.

IMPERATORI CÆSARI TRAJANO ADRIANO AUGUSTO ARRIANUS S.

I. Trapezuntem pervenimus, urbem, ut Xenophon noster inquit (*Anab.* 7, 8, 22.), Græcam, maris in ora sitam, Sinopensium coloniam. Atque mare Euxinum summa cum voluptate conspeximus eodem ex loco, unde Xenophon quoque et tu (illud olim fuistis contemplati). (2) Stantque ibi jam aræ erectæ, ex aspero tamen lapide, quo fit ut literæ illis incisæ minus appareant; præterea Græca inscriptio vitiose exarata est, utpote a barbaris delineata. Statui igitur et aras albo lapide dedicare, et inscriptiones perspicuis literis insculpere. (3) Porro signum tuum habitu quidem est jucundo; mare enim monstrat; sed opere neque similis tui neque alias elegans. (4) Quare mittas statuam dignam quæ tuo nomine appelletur, hoc eodem corporis habitu: locus enim ad memoriæ æternitatem valde accommodatus.

II. Templum quoque ibi exstructum est ex quadrato lapide, haud contemnendum opus: at Mercurii statua neque fanum neque locum illum decet. Quocirca, si ita tibi videatur, aliud mihi Mercurii simulacrum mittas, quod quidem quinque fere sit pedum: hujusmodi enim magnitudo mihi videtur templo conveniens fore: atque aliud Philesii, quod quattuor sit pedum. (2) Haud enim mihi a ratione videtur alienum, hunc ejusdem cum progenitore suo templi et aræ esse participem. Sic alius Mercurio, alius Philesio, alius etiam utrique sacra præteriens offeret. Pergrati autem erunt et hi et illi Mercurio simul et Philesio: Mercurio, dum ejus nepotem honore prosequuntur; Philesio, dum progenitorem ejus colunt. (3) Quamobrem ipse etiam bovem illic immolavi, non quidem, ut Xenophon olim ad Calpes portum fecit, bove ex plaustro abrepto ob hostiarum penuriam, sed ipsis Trapezuntiis splendidam hostiam præbentibus. Extis ibidem inspectis, et fusis super exta libaminibus, (4) pro quonam primum vota nuncupaverimus, non te fugit, utpote mores nostros pernoscentem, et tibimet ipsi conscium, te dignum esse pro cujus salute omnes, etiam qui minoribus quam ego a te beneficiis affecti sunt, vota faciant.

III. Ex Trapezunte autem quum solvissemus, primo quidem die in Hyssi portum appulimus, ac pedites, qui ibi

ταύτῃ ἐγυμνάσαμεν· ἡ γὰρ τάξις αὕτη, ὡς οἶσθα, πεζῶν ἐστι καὶ ἱππίας εἴκοσιν ὅσον εἰς διακονίαν ἔχει· ἀλλὰ καὶ τούτους τὰς λόγχας ἀκοντίσαι ἐδέησεν. (2) Ἐνθένδε ἐπλέομεν, τὰ μὲν πρῶτα ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν πνεούσαις ἕωθεν καὶ ἅμα ταῖς κώπαις διαχρώμενοι· ψυχραὶ μὲν γὰρ ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ Ὅμηρος, οὐχ ἱκαναὶ δὲ τοῖς ταχυναυτεῖν βουλομένοις. Εἶτα γαλήνη ἐπέλαβεν, ὥστε καὶ ἡμεῖς τῇ εἰρεσίᾳ μόνῃ ἐχρώμεθα. (3) Ἔπειτα δὲ ἄφνω νεφέλη ἐπαναστᾶσα ἐξερράγη κατ' εὖρον μάλιστα, καὶ ἐπήνεγκεν πνεῦμα ἐξαίσιον καὶ τοῦτο ἀκριβῶς ἐναντίον, ὅπερ καὶ μόνον οὐκ ὤλεσεν ἡμᾶς. Κοίλην μὲν γὰρ δι' ὀλίγου τὴν θάλατταν ἐποίησεν, ὡς μὴ κατὰ τὰς κώπας μόνον, ἀλλὰ καὶ ὑπὲρ τὰς παρεξειρεσίας ἐπεισρεῖν ἡμῖν ἑκατέρωθεν ἀφθόνως τοῦ ὕδατος. (4) Τοῦτο δὴ τὸ τραγικόν·

Καὶ τὸν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει·

ἀλλ' οὐ πλάγιόν γε ἦν τὸ κλυδώνιον· ταύτῃ καὶ ἡνύτομεν μόγις καὶ χαλεπῶς τῇ εἰρεσίᾳ, καὶ μέντοι πολλὰ παθόντες ἥκομεν εἰς τὰς Ἀθήνας.

IV. Ἔστι γάρ τοι καὶ ἐν Πόντῳ τῷ Εὐξείνῳ χωρίον οὕτω καλούμενον· καί τι καὶ Ἀθηνᾶς ἱερόν ἐστιν αὐτόθι Ἑλληνικὸν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τοῦτο τῷ χωρίῳ· καὶ φρούριόν τι ἐστὶν ἠμελημένον. (2) Ὁ δὲ ὅρμος, οἷος ὥρᾳ ἔτους δέχεσθαι οὐ πολλὰς ναῦς καὶ σκέπην ταύταις παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὐτοῦ τοῦ εὔρου· σώζοιτο δ' ἂν καὶ ἀπὸ τοῦ βορρᾶ τὰ ὁρμοῦντα πλοῖα, ἀλλὰ οὐ τοῦ γε ἀπαρκτίου, οὐδὲ τοῦ θρασκίου μὲν ἐν τῷ Πόντῳ, σκίρωνος δὲ ἐν τῇ Ἑλλάδι καλουμένου. (3) Εἰς δὲ τὴν νύκτα βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ κατεῖχον· καὶ πνεῦμα οὐ τὸ αὐτὸ ἔτι, ἀλλὰ εἰς νότον μεθειστήκει, καὶ δι' ὀλίγου ἀπὸ τοῦ νότου εἰς λίβα ἄνεμον, καὶ ταῖς ναυσὶν οὐκ ἔτι ἀσφαλὴς ὁ ὅρμος ἦν. Πρὶν οὖν παντάπασιν ἀγριωθῆναι τὴν θάλασσαν, ὅσας μὲν αὐτὸ τὸ χωρίον, αἱ Ἀθῆναι, δέξασθαι ἠδύναντο, ταύτας αὐτοῦ ἐνεωλκήσαμεν, πλὴν τῆς τριήρους· αὕτη γὰρ πέτρᾳ τινὶ ὑφορμοῦσα ἀσφαλῶς ἐσάλευεν.

V. Τὰς δὲ πολλὰς ἐδόκει πέμπειν εἰς τοὺς αἰγιαλοὺς τοὺς πλησίον νεωλκηθησομένας. Καὶ ἐνεωλκήθησαν ὥστε ἀπαθεῖς διαγενέσθαι πάσας πλὴν μιᾶς, ἥντινα ἐν τῷ ὁρμίζεσθαι πρὸ τοῦ καιροῦ ἐπιστρέψασαν πλαγίαν ὑπολαβὸν τὸ κῦμα ἐξήνεγκεν εἰς τὴν ἠϊόνα καὶ συνέτριψεν. (2) Ἀπεσώθη μέντοι πάντα, οὐ τὰ ἱστία μόνον καὶ τὰ σκεύη τὰ ναυτικὰ καὶ οἱ ἄνθρωποι, ἀλλὰ καὶ οἱ ξύλοι, καὶ ὁ κηρὸς ἀπεξύσθη, ὡς μηδενὸς ἄλλου ἢ ξύλων δεῖσθαι ναυπηγησίμων εἰς τὴν κατασκευήν· ὧν παμπόλλη, ὡς οἶσθα, ἀφθονία ἐστὶ κατὰ τὸν Πόντον. (3) Οὗτος ὁ χειμὼν ἐπὶ δύο ἡμέρας κατεῖχεν, καὶ ἦν ἀνάγκη μένειν. Ἐχρῆν γὰρ ἄρα μηδὲ τὰς ἐν τῷ Πόντῳ Ἀθήνας παραπλεῦσαι ἡμᾶς, ὥσπερ τινὰ ὅρμον ἔρημον καὶ ἀνώνυμον.

VI. Ἐνθένδε ἄραντες ὑπὸ μὲν τὴν ἕω πλαγίου τοῦ

sunt, exercendos curavimus. Cohors enim nasta, ut scis, est peditum, et habet equites viginti ministerii tantum causa: veruntamen hos quoque oportuit hastas jaculari. (2) Inde navigavimus primo quidem auris, quæ matutino tempore e fluminibus spirant, et simul remigio utentes; nam frigidæ quidem erant auræ, ut Homerus (*Od.* 5, 469) quoque ait, sed celeriter navigare volentibus haud sufficiebant. Deinde tranquillitas est subsecuta; ita ut remigio tantum usi simus. (3) Hinc nubes derepente exorta ab Euro potissimum erupit, ventumque violentum et nobis plane adversum excitavit, qui tantum non nos perdidit. Mare siquidem tumidum brevi reddidit, ita ut magna vis aquarum, non per eam tantum partem ubi remi sunt, verum etiam super partes extremas (*circa proram et puppim*) quæ sunt extra remos, in naves utrimque irrumperet. (4) Res plane tragica:

Hanc antlabamus, illa irrumpit denuo.

Quum tamen non transversi essent fluctus, vix tandem atque ægre remigio nos expedivimus, et multa quamvis perpessi Athenas pervenimus.

IV. Est enim in Ponto quoque Euxino locus sic dictus, nec non Minervæ fanum ibi Græcanicum, a quo locus ille nomen suum videtur accepisse; castellum quoque est illic derelictum; (2) porro statio æstiva, haud multarum navium capax, et perfugium eis præbens a Noto et ab ipso Euro tutum; fuerintque naves eo appellentes etiam a Borea tutæ, at non ab Aparctia, neque ab eo vento, qui in Ponto Thrascias, in Græcia Sciron appellatur. (3) Sub noctem tonitrua dira atque fulgura mari incubuere: nec ventus amplius idem, sed in Notum ac paulatim ex Noto in Africum conversus est; nec amplius navibus statio tuta exstitit. Itaque priusquam mare prorsus exasperaretur, quæcumque naves loco ipso, Athenis, excipi poterant, illas eo in aridum traximus, præter triremem: hæc enim postquam scopulum quendam subierat, tuto in ancoris fluctuabat.

V. Plerasque vero naves in vicina litora misimus in arenam trahendas, quæ quidem omnes salvæ permanserunt, una excepta, quam inter appellendum intempestive latus præbentem fluctus abripuit in oram et perfregit. (2) Omnia tamen servata sunt, non vela tantum et armamenta nautica atque homines, verum etiam clavi; ceram quoque abrasimus, ita ut ad constructionem nulla re alia quam lignis ad naves ædificandas aptis opus sit, quorum ingens, uti nosti, in Ponto copia est. (3) Hæc tempestas per biduum duravit, ita ut necessario nobis illic esset manendum. Neque enim videbatur esse conveniens, Athenas in Ponto Euxino sitas, ceu stationem quandam desertam et ignobilem, præternavigare.

VI. Inde quum sub auroram solvissemus, transversis

κλύδωνος ἐπειρώμεθα. Προϊούσης δὲ τῆς ἡμέρας, βορρᾶς ἐπιπνεύσας ὀλίγος κατέστησε τὴν θάλατταν καὶ διατρεμᾶσαι ἐποίησεν. Καὶ ἤλθομεν πρὸ τῆς μεσημβρίας σταδίους πλείονας ἢ πεντακοσίους εἰς Ἄψαρον, ἵναπερ αἱ πέντε σπεῖραί εἰσιν ἱδρυμέναι. (2) Καὶ τὴν μισθοφορὰν τῇ στρατιᾷ ἔδωκα καὶ τὰ ὅπλα εἶδον καὶ τὸ τεῖχος καὶ τὴν τάφρον καὶ τοὺς κάμνοντας καὶ τοῦ σίτου τὴν παρασκευὴν τὴν ἐνοῦσαν. Ἅπαντα δὲ ὑπὲρ αὐτῶν τὴν γνώμην ἔσχον, ἐν τοῖς Ῥωμαϊκοῖς γράμμασιν γέγραπται. (3) Ὁ δὲ Ἄψαρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο πάλαι ποτέ· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μηδείας ἀποθανεῖν· καὶ τάφος Ἀψύρτου δείκνυται. Ἔπειτα διαφθαρῆναι τὸ ὄνομα ὑπὸ τῶν περιοίκων βαρβάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέφθαρται· (4) ὁπότε καὶ τὰ Τύανα τὰ ἐν τοῖς Καππαδόκαις Θόανα λέγουσιν, ὅτι οὕτως ὠνομάζετο ἐπὶ Θόαντι, τῷ βασιλεῖ τῶν Ταύρων, ὃς τοὺς ἀμφὶ Ὀρέστην καὶ Πυλάδην διώκων ἄχρι τῆσδε τῆς χώρας ἐλθεῖν φημίζεται καὶ ἐνταῦθα νόσῳ ἀποθανεῖν.

VII. Ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ παράπλῳ τῷ ἀπὸ Τραπεζοῦντος τόν τε Ὕσσον, ὅτου ἐπώνυμος Ὕσσου λιμήν, ὃς ἀπέχει Τραπεζοῦντος σταδίους ὀγδοήκοντα καὶ ἑκατόν· καὶ τὸν Ὄφιν, ὃς ἀπέχει Ὕσσου λιμένος ἐς ἐνενήκοντα σταδίους μάλιστα, καὶ ὁρίζει τὴν Κόλχων χώραν ἀπὸ τῆς Θιαννικῆς· (2) ἔπειτα τὸν Ψυχρὸν καλούμενον ποταμὸν διέχοντα ὅσον τριάκοντα σταδίους ἀπὸ τοῦ Ὄφεως· ἔπειτα τὸν Καλὸν ποταμόν· καὶ οὗτος τριάκοντα διέχει ἀπὸ τοῦ Ψυχροῦ. Ἐχόμενος δὲ ἐστὶν ὁ Ῥίζιος ποταμός, ἑκατὸν εἴκοσι στάδια διέχων ἀπὸ τοῦ Καλοῦ. (3) Καὶ ἀπὸ τούτου τριάκοντα Ἄσκουρος ἄλλος ποταμός· καὶ Ἀδιηνός τις ἀπὸ τοῦ Ἀσκούρου ἑξήκοντα· ἐνθένδε εἰς Ἀθήνας ὀγδοήκοντα καὶ ἑκατόν. Ταῖς δὲ Ἀθήναις Ζάγατις ποταμὸς ἑπτὰ μάλιστα στάδια ἀπ' αὐτῶν διέχων πρόσκειται. Ἀπὸ δὲ τῶν Ἀθηνῶν ὁρμηθέντες τὸν Πρύτανιν παρημείψαμεν, ἵναπερ καὶ τὰ τοῦ Ἀγχιάλου βασίλεια ἐστιν. Καὶ οὗτος ἀπέχει τεσσαράκοντα στάδια ἀπὸ τῶν Ἀθηνῶν. (4) Τοῦ Πρυτάνεως δὲ ἔχεται ὁ Πυξίτης ποταμός· στάδιοι ἐνενήκοντα ἐν μέσῳ ἀμφοῖν. Καὶ ἀπὸ τοῦ Πυξίτου ἐς Ἀρχαβιν ἄλλοι ἐνενήκοντα· ἀπὸ δὲ Ἀρχάβιος εἰς Ἄψαρον ἑξήκοντα. Ἀπὸ δὲ Ἀψάρου ἄραντες τὸν Ἄκαμψιν παρημείψαμεν νύκτωρ, ἐπὶ πεντεκαίδεκα σταδίους ἀπέχοντα τοῦ Ἀψάρου. (5) Ὁ δὲ Βαθὺς ποταμὸς ἑβδομήκοντα καὶ πέντε ἀπέχει τούτου· καὶ ὁ Ἀκινάσης ἀπὸ τοῦ Βαθέος ἐνενήκοντα· ἐνενήκοντα δὲ καὶ ἀπὸ Ἀκινάσου ὁ Ἶσις. Ναυσίποροι δὲ εἰσὶν ὅ τε Ἄκαμψις καὶ ὁ Ἶσις, καὶ αὔρας τὰς ἑωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν. Ἀπὸ δὲ Ἴσιος τὸν Μῶγρον παρημείψαμεν. Ἐνενήκοντα στάδιοι μεταξὺ τοῦ Μώγρου εἰσὶ καὶ τοῦ Ἴσιος· καὶ οὗτος ναυσίπορος.

VIII. Ἐνθένδε εἰς τὸν Φᾶσιν εἰσεπλεύσαμεν ἐνενήκοντα τοῦ Μώγρου διέχοντα, ποταμῶν ὧν ἐγὼ ἔγνων κουφότατον ὕδωρ παρεχόμενον καὶ τὴν χροιὰν μάλιστα

usi fluctibus mare tentavimus. Procedente autem die, Boreas leniter spirans mare stravit et sedavit; et pervenimus ante meridiem plus quam quingenta stadia emensi Apsarum, ubi quinque cohortes collocatas habemus. (2) Stipendium militibus persolvi, et arma inspexi, propugnaculum, fossam, ægrotos et rei frumentariæ apparatum suppetentem. De quibus omnibus quæ mea sit sententia, Latinis literis perscriptum est. (3) Apsarum autem locum ferunt olim Apsyrtum appellatum; ibi enim Apsyrtum a Medea occisum; et Apsyrti sepulcrum monstratur: nomen illud postea a barbaris accolis vitiatum esse, sicuti etiam alia permulta vitiata sunt, (4) quandoquidem Tyana quoque in Cappadocia olim Thoana appellata fuisse dicunt de Thoante, Taurorum rege, qui Orestem atque Pyladem persequens ad illum usque locum pervenisse ibique morbo interiisse fertur.

VII. Fluvios præteriimus in præternavigatione a Trapezunte hosce: Hyssum, unde cognominis Hyssi portus, qui a Trapezunte stadia distat centum et octoginta; et Ophim, qui ab Hysso portu abest nonaginta circiter stadia, Colchorumque regionem a Thiannica separat; (2) deinde Psychrum (*Frigidum*) fluvium ab Ophi distantem triginta circiter stadia; postea Calum (*Pulchrum*) fluvium, qui triginta item stadiis a Psychro separatur. Vicinus est Rizius fluvius, a Calo centum et viginti stadia distans. (3) Ab hoc triginta stadia Ascurus alius fluvius; deinde Adienus quidam ab Ascuro distans stadia sexaginta. Inde Athenas usque sunt centum et octoginta stadia. Athenis fluvius Zagatis vicinus est, ab eis septem maxime stadiorum intervallo distans. Athenis autem quum solvissemus, Prytanim prætervecti sumus, ubi Anchiali est regia. Fluvius hic ab Athenis quadraginta stadia abest. (4) Prytani vicinus est Pyxites, nonaginta stadiorum spatio interposito. A Pyxite ad Archabin item sunt nonaginta; ab Archabi ad Apsarum sexaginta stadia. Ab Apsaro quum solvissemus, Acampsin quindecim circiter stadia ab Apsaro distantem noctu prætervimus. (5) Ab Acampsi Bathys (*Profundus*) fluvius abest septuaginta quinque, a Bathy Acinases nonaginta; ab Acinase Isis item nonaginta stadia. Acampsis autem et Isis fluvii sunt navigabiles, qui matutino tempore validas admodum auras emittunt. Ab Isi Mogrum prætervimus. Nonaginta stadia Mogrum inter et Isin sunt. Mogrus quoque navigabilis est.

VIII. Inde in Phasin navigavimus, nonaginta stadia a Mogro distantem et inter fluvios mihi cognitos levissimam aquam præbentem et colore maxime singularem. (5) Acle-

ἐξηλλαγμένον· (2) τὴν μὲν γὰρ κουφότητα τῷ τε σταθμῷ τεκμαίροιτο ἄν τις καὶ πρὸ τούτου, ὅτι ἐπέπλει τῇ θαλάσσῃ, οὐχὶ δὲ συμμίγνυται· καθάπερ τῷ Πηνειῷ τὸν Τιταρήσιον λέγει ἐπιρρεῖν Ὅμηρος·

. . . . . καθύπερθεν ἐπιρρέει ἠύτ' ἔλαιον.

(1) Καὶ ἦν κατὰ μὲν τοῦ ἐπιρρέοντος βάψαντα γλυκὺ τὸ ὕδωρ ἀνιμήσασθαι· εἰ δὲ εἰς βάθος τις καθῆκεν τὴν κάλπιν, ἁλμυρόν. Καίτοι ὁ πᾶς Πόντος πολύ τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν ἢπερ ἡ ἔξω θάλασσα· καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες. (4) Τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα [οἱ] προσοικοῦντες τῇ θαλάσσῃ ἐπὶ τὴν θάλασσαν κατάγουσιν καὶ ἀπ' αὐτῆς ποτίζουσιν· τὰ δὲ πίνοντά τε ἡδέως ὁρᾶται, καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς τοῦτο τὸ ποτόν ἐστι τοῦ γλυκέος μᾶλλον. (5) Ἡ δὲ χρόα τῷ Φάσιδι οἵα ἀπὸ μολίβδου ἢ κασσιτέρου βεβαμμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώτατον γίγνεται. Οὐ τοίνυν νενόμισται εἰσκομίσαι ὕδωρ εἰς τὸν Φᾶσιν τοὺς εἰσπλέοντας· ἀλλ' ἐπειδὰν εἰσβαίνωσιν ἤδη εἰς τὸν ῥοῦν, παραγγέλλεται πᾶν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς ναυσίν· εἰ δὲ μή, λόγος κατέχει ὅτι οἱ τούτου ἀμελήσαντες οὐκ εὐπλοοῦσιν. Τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος, πλήν γε δὴ ὅτι εἰς τὸ γλυκύτερον μεταβάλλει.

IX. Εἰσβαλλόντων δὲ εἰς τὸν Φᾶσιν, ἐν ἀριστερᾷ ἵδρυται ἡ Φασιανὴ θεός. Εἴη δ' ἂν ἀπό γε τοῦ σχήματος τεκμαιρομένῳ ἡ Ῥέα· καὶ γὰρ κύμβαλον μετὰ χεῖρας ἔχει, καὶ λέοντας ὑπὸ τῷ θρόνῳ, καὶ κάθηται ὥσπερ ἐν τῷ Μητρῴῳ Ἀθήνησιν ἡ τοῦ Φειδίου. (2) Ἐνταῦθα καὶ ἡ ἄγκυρα δείκνυται τῆς Ἀργοῦς· καὶ ἡ μὲν σιδηρᾶ οὐκ ἔδοξέ μοι εἶναι παλαιά· καίτοι τὸ μέγεθος οὐ κατὰ τὰς νῦν ἀγκύρας ἐστίν, καὶ τὸ σχῆμα ἀμηγέπη ἐξηλλαγμένη· ἀλλὰ νεωτέρα μοι ἐφάνη εἶναι τοῦ χρόνου. Λιθίνης δέ τινος ἄλλης θραύσματα ἐδείκνυτο παλαιά, ὡς ταῦτα μᾶλλον εἰκάσαι ἐκεῖνα εἶναι τὰ λείψανα τῆς ἀγκύρας τῆς Ἀργοῦς. Ἄλλο δὲ οὐδὲν ὑπόμνημα ἦν ἐνταῦθα τῶν μύθων τῶν ἀμφὶ τὸν Ἰάσονα. (3) Τὸ μέντοι φρούριον αὐτό, ἵνα περ κάθηνται τετρακόσιοι στρατιῶται ἐπίλεκτοι, τῇ τε φύσει τοῦ χωρίου ὀχυρώτατον εἶναί μοι ἔδοξεν, καὶ ἐν ἐπιτηδειοτάτῳ κεῖσθαι πρὸς ἀσφάλειαν τῶν ταύτῃ πλεόντων. Καὶ τάφρος διπλῆ περιβέβληται τῷ τείχει, εὐρεῖα ἑκατέρα. (4) Πάλαι μὲν οὖν γήϊνον τὸ τεῖχος ἦν, καὶ οἱ πύργοι ξύλινοι ἐφεστήκεσαν· νῦν δὲ ἐκ πλίνθου ὀπτῆς πεποίηται καὶ αὐτὸ καὶ οἱ πύργοι· καὶ τεθεμελίωται ἀσφαλῶς, καὶ μηχαναὶ ἐφεστᾶσιν, καὶ ἐν ὀλίγῳ, πᾶσιν ἐξήρτυται πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα αὐτῷ τῶν βαρβάρων, μήτιγε δὴ εἰς κίνδυνον καταστῆσαι πολιορκίας τοὺς ἐν αὐτῷ φρουροῦντας. (5) Ἐπειδὴ δὲ καὶ τὸν ὅρμον ἐχρῆν ἀσφαλῆ εἶναι ταῖς ναυσί, καὶ ὅσα ἔξω τοῦ φρουρίου κατῳκεῖτο ὑπό τε τῶν πεπαυμένων τῆς στρα-

vitatem quidem tum statera aliquis probaverit, tum facilius etiam inde, quod mari innatat, nec cum eo commiscetur; sicuti Titaresium Peneo innatare Homerus (*Il.* 2, 754) dicit his verbis:

Super innatat instar olei.

(3) Porro si quis in summum fluctum urnam immergeret, aquam hauriebat dulcem; si contra in profundum demitteret, salsam. Quanquam universus Pontus longe dulcioris est aquæ quam mare externum, propter immensam scilicet fluminum multitudinem magnitudinemque. (4) Dulcedinis autem argumentum (si modo argumentis opus est in iis quæ sensu percipiuntur), quod maris accolæ pecora omnia ad mare ducunt et ex illo aquantur. Illa vero cernuntur lubenter bibere, et fama obtinet dulci salubriorem eis hunc potum esse. (5) Color autem Phasidis similis aquæ plumbo vel stanno infectæ, quæ tamen ubi subsedit, purissima fit. Quamobrem mos obtinuit, ne ingredientes Phasim quicquam aquæ invehant; sed simul ac flumen ingressi fuerint, præcipitur, ut quicquid in navibus sit aquæ, effundatur: sin minus, fama invaluit inobedientibus haud felicem fore navigationem. Aqua Phasidis a putredine est immunis, ac plus quam decem annis incorrupta manet, nisi quod in dulciorem abit.

IX. Intrantibus Phasim a sinistra positum est signum deæ Phasianæ, quam ex forma et habitu argumentum petens Rheam esse dixeris: nam et cymbalum manibus tenet, et leones habet in ima throni parte, sedetque eodem modo atque illa in Metroo Atheniensi, Phidiæ opus. (2) Ibidem etiam ancora Argûs navis ostenditur: quæ tamen quum ferrea sit, non mihi visa est antiqua: quamquam magnitudine recedit ab hodiernis ancoris, et forma aliquid habet singulare: sed nihilominus istis Argonautarum temporibus recentior esse mihi visa est. At alterius cujusdam lapideæ ancoræ fragmenta vetusta ibidem monstrabant, ut has potius conjicias Argûs ancoræ reliquias esse. Nullum præterea ibi eorum, quæ de Iasone fabulis produntur, monumentum exstabat. (3) Ipsum vero castellum, in quo quadringenti electi milites sunt collocati, et loci natura munitissimum mihi visum est, et peropportune situm ad securitatem eo appellentium. Fossa murus cinctus est duplici lataque. (4) Olim terrenus fuit murus, ligneæque stabant turres; at nunc ille pariter atque turres ex latere coctili sunt exstructa: ipse murus probe fundatus est et machinas impositas habet atque uno verbo omnibus rebus ita est instructus, ut nullius barbaris aditus pateat, illiusque custodes ab omni sint oppugnationis periculo tuti. (5) Quoniam autem ipsum quoque portum oportuit navibus tutum esse, et quidquid locorum extra castrum incolitur ab iis qui mi-

τιᾶς καί τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώπων, ἔδοξέ μοι ἀπὸ τῆς διπλῆς τάφρου, ἣ περιβέβληται τῷ τείχει, ἄλλην τάφρον ἐκβαλεῖν ὡς ἐπὶ τὸν ποταμὸν, ἣ τό τε ναύσταθμον περιέξει καὶ τὰς ἔξω τοῦ τείχους οἰκίας.

X. Ἀπὸ δὲ τοῦ Φάσιδος Χαρίεντα ποταμὸν παρημείψαμεν ναυσίπορον· στάδιοι μεταξὺ ἀμφοῖν ἐνενήκοντα· καὶ ἀπὸ τοῦ Χαρίεντος ἐς Χῶβον ποταμὸν εἰσεπλεύσαμεν, ἄλλους ἐνενήκοντα, ἵνα περ καὶ ὡρμίσθημεν. Ὧν δὲ ἕνεκα καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώσει σοι τὰ Ῥωμαϊκὰ γράμματα. (2) Ἀπὸ δὲ Χώβου Σιγγάμην ποταμὸν παρημείψαμεν ναυσίπορον διέχει δὲ τοῦ Χώβου σταδίους ἐς δέκα καὶ διακοσίους μάλιστα. Ἔχεται δὲ τοῦ Σιγγάμου Ταρσούρας ποταμός· στάδιοι εἴκοσι καὶ ἑκατὸν μεταξὺ ἀμφοῖν. Ὁ δὲ Ἵππος ποταμὸς τοῦ Ταρσούρου πεντήκοντα σταδίους καὶ ἑκατὸν διέχει· καὶ τοῦ Ἵππου ὁ Ἀστέλεφος τριάκοντα. (3) Παραμείψαντες δὲ τὸν Ἀστέλεφον εἰς Σεβαστόπολιν ἤχομεν πρὸ μεσημβρίας, ἀπὸ Χώβου ὁρμηθέντες, σταδίους εἴκοσι καὶ ἑκατὸν τοὺς ἀπὸ Ἀστελέφου· ὡς καὶ τὴν μισθοφορὰν τοῖς στρατιώταις δοῦναι τῆς αὐτῆς ἡμέρας καὶ τοὺς ἵππους καὶ τὰ ὅπλα ἰδεῖν καὶ τοὺς ἱππέας ἀναπηδῶντας ἐπὶ τοὺς ἵππους καὶ τοὺς χάμνοντας καὶ τὸν σῖτον, καὶ τὸ τεῖχος περιελθεῖν καὶ τὴν τάφρον. (4) Στάδιοι ἀπὸ μὲν Χώβου εἰς Σεβαστόπολιν τριάκοντα καὶ ἑξακόσιοι· ἀπὸ Τραπεζοῦντος δὲ εἰς Σεβαστόπολιν, ἑξήκοντα καὶ διακόσιοι καὶ δισχίλιοι. Ἡ δὲ Σεβαστόπολις πάλαι Διοσκουριὰς ἐκαλεῖτο, ἄποικος Μιλησίων.

XI. Ἔθνη δὲ παρημείψαμεν τάδε. Τραπεζουντίοις μὲν, καθάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι. Καὶ οὓς λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλλας ὀνομάζει, ἐμοὶ δὲ δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι. Καὶ γὰρ μαχιμώτατοί εἰσιν εἰς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι, καὶ χωρία ὀχυρὰ οἰκοῦσιν, καὶ ἔθνος ἀβασίλευτον. (2) Πάλαι μὲν καὶ φόρου ὑποτελὲς Ῥωμαίοις, ὑπὸ δὲ τοῦ ληστεύειν οὐκ ἀκριβοῦσι τὴν φοράν· ἀλλὰ νῦν γε διδόντος θεοῦ ἀκριβώσουσιν, ἢ ἐξελοῦμεν αὐτούς. Τούτων δὲ ἔχονται Μαχέλονες καὶ Ἡνίοχοι· βασιλεὺς δ' αὐτῶν Ἀγχίαλος. Μαχελόνων δὲ καὶ Ἡνιόχων ἐχόμενοι Ζυδρεῖται· Φαρασμάνου οὗτοι ὑπήκοοι· Ζυδρειτῶν δὲ Λάζαι· βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν βασιλείαν παρὰ σοῦ ἔχει. (3) Λαζῶν δὲ Ἀψίλαι ἔχονται· βασιλεὺς δὲ αὐτῶν Ἰουλιανός· οὗτος ἐκ τοῦ πατρὸς τοῦ σοῦ τὴν βασιλείαν ἔχει. Ἀψίλαις δὲ ὅμοροι Ἀβασκοί· καὶ Ἀβασκῶν βασιλεὺς Ῥησμάγας· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔχει. Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵναπερ καὶ ἡ Σεβαστόπολις ᾤκισται· Σανίγων βασιλεὺς Σπαδάγας ἐκ σοῦ τὴν βασιλείαν ἔχει. (4) Μέχρι μὲν δὴ Ἀψάρου ὡς πρὸς ἥῳ ἐπλέομεν ἐν δεξιᾷ τοῦ Εὐξείνου. Ὁ δὲ Ἀψαρὸς πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγίνετο ἔστε ἐπὶ Χῶβον ποταμὸν, καὶ ὑπὲρ τὸν Χῶβον ἐπὶ τὸν Σιγά-

litia sunt immunes, et ab aliis quibusdam mercaturam exercentibus, decrevi a duplici illa fossa murum cingente alteram ad flumen usque deducere, quæ et ipsam stationem et cetera, quæ sunt extra murum, ædificia complectatur.

X. A Phaside autem Charientem (*Jucundum*) fluvium navigabilem prætervecti sumus : stadia inter utrumque nonaginta : et a Chariente ad Chobum navigavimus, nonaginta pariter stadiis distantem, ubi etiam appulimus : qua autem de causa, quidque illic egerimus, ex Latinis literis cognosces. (2) A Chobo Singamem fluvium navigabilem prætervecti sumus, qui a Chobo ducentis circiter et decem stadiis abest. Singami vicinus est Tarsuras fluvius : stadia inter utrumque centum et viginti. Hippus fluvius a Tarsura centum et quinquaginta stadiis distat; ab Hippo Astelephus triginta stadiis. (3) Astelephum vero prætervecti, Sebastopolim pervenimus ante meridiem, postquam a Chobo solvimus, peractis centum et viginti stadiis ab Astelepho : quamobrem eodem die et militibus stipendia persolvimus, et equos, arma, equites equis insilientes, ægros, annonam visimus, et murum circumivimus fossamque. (4) Stadia a Chobo ad Sebastopolim sexcenta et triginta ; a Trapezunte ad Sebastopolim duo millia ducenta et sexaginta. Sebastopolis autem Dioscurias olim fuit nominata, Milesiorum colonia.

XI. Gentes autem prætervavigavimus hasce. Trapezuntiis, ut Xenophon quoque scribit, finitimi sunt Colchi. Atque quos ille bellicosissimos esse et Trapezuntiis infestissimos ait, ipse quidem Drillas vocat, mihi vero iidem esse Sanni videntur. Hi enim ad hoc usque temporis bellicosissimi ac Trapezuntiis inimicissimi sunt, et loca incolunt munita, regumque imperio gens caret. (2) Tributarii olim fuerunt Romanis, at nunc latrociniis dediti tributorum solutionem negligunt : quæ quidem posthac, deo juvante, accurate persolvent, aut eos exterminabimus. Hos attingunt Machelones et Heniochi, quorum rex est Anchialus. Machelonibus et Heniochis vicini Zydritæ, Pharasmano subjecti. Zydritis vicini Lazæ; rex Lazarum Malassas, qui a te regnum tenet. (3) Lazis finitimi Apsilæ, quibus Julianus imperat : hic a patre tuo regnum accepit. Apsilas excipiunt Abasci : Abascorum rex Rhesmagas; is quoque a te regnum obtinet. Abascis conterminni Sanigæ, ubi Sebastopolis sita : Sanigarum rex Spadagas a te regnum habet. (4) Ad Apsarum usque orientem versus navigavimus in dextra parte maris Euxini. Apsarum autem agnovi terminum esse Ponti secundum ejus longitudinem. Illinc enim jam ad septentrionem fuit nostra navigatio ad Chobum usque

μην. Ἀπὸ δὲ Σιγάμου ἐκάμπτομεν εἰς τὴν λαιὰν πλευρὰν τοῦ Πόντου ἔστε ἐπὶ τὸν Ἵππον ποταμόν. (5) Ἀπὸ δὲ τοῦ Ἵππου ὡς ἐπ' Ἀστέλεφον καὶ Διοσκουριάδα κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς. Καὶ τοῦ Καυκάσου κορυφή τις ἐδείκνυτο, Στρόβιλος τῇ κορυφῇ ὄνομα, ἵναπερ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίστου κατὰ πρόσταξιν Διὸς μυθεύεται.

XII. Τὰ δὲ ἀπὸ Βοσπόρου τοῦ Θρακίου ἔστε ἐπὶ Τραπεζοῦντα πόλιν ὧδε ἔχει. Κατὰ τὸν Θρᾴκιον Βόσπορον καὶ τὸ στόμα τοῦ Εὐξείνου Πόντου ἐν τοῖς δεξιοῖς τῆς Ἀσίας μέρεσιν, ἅπερ ἐστὶ τοῦ Βιθυνῶν ἔθνους, κεῖται χωρίον λεγόμενον Ἱερὸν, ἐν ᾧ ναός ἐστι Διὸς Οὐρίου οὕτω προσαγορευόμενον. Τοῦτο δὲ τὸ χωρίον ἀφετήριόν ἐστι τοῖς εἰς τὸν Πόντον πλέουσιν. (2) Τοῖς πλεύσασι δὲ εἰς τὸν Πόντον [ἐν] δεξιᾷ εἰς [ἔχουσι?] τὴν Ἀσίαν, τὸ λεγόμενον μέρος τοῦ Βιθυνῶν ἔθνους τὸ πρὸς Πόντον κείμενον, ὁ περίπλους οὕτως ἔχει. Τὸ Ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου διέχει ἀπὸ Βυζαντίου σταδίους εἴκοσι καὶ ἑκατόν. Καὶ ἔστι στενότατον ταύτῃ τὸ στόμα τοῦ Πόντου καλούμενον, καθότι εἰσβάλλει εἰς τὴν Προποντίδα. Ταῦτα μὲν εἰδότι σοι λέγω. (3) Ἀπὸ δὲ τοῦ Ἱεροῦ πλέοντι ἐν δεξιᾷ Ῥήβας ποταμός· σταδίους διέχει τοῦ Ἱεροῦ τοῦ Διὸς ἐννενήκοντα. Ἔπειτα Μέλαινα ἄκρα ὧδε καλουμένη, πεντήκοντα καὶ ἑκατόν. Ἀπὸ Μελαίνης ἄκρας ἐς Ἀρτάνην ποταμὸν, ἵνα καὶ ὅρμος ναυσὶ μικραῖς πρὸς ἱερῷ Ἀφροδίτης, πεντήκοντα ἄλλοι καὶ ἑκατόν. (4) Ἀπὸ δὲ Ἀρτάνης εἰς Ψίλιν ποταμὸν πεντήκοντα καὶ ἑκατόν· καὶ πλοῖα μικρὰ ὁρμίζοιτο ἂν πρὸς τῇ πέτρᾳ τῇ ἀνεχούσῃ οὐ πόρρω ἀπὸ τοῦ ποταμοῦ τῶν ἐκβολῶν. Ἐνθένδε εἰς Κάλπης λιμένα δέκα καὶ διακόσιοι στάδιοι. (5) Ὁ δὲ Κάλπης λιμὴν ὁποῖόν τι χωρίον ἐστὶν, καὶ ὁποῖος ὅρμος, καὶ ὅτι πηγὴ ἐν αὐτῷ ψυχροῦ καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὕλαι πρὸς τῇ θαλάσσῃ ξύλων ναυπηγησίμων, καὶ αὖται ἔνθηροι, ταῦτα Ξενοφῶντι τῷ πρεσβυτέρῳ λέλεκται.

XIII. Ἀπὸ Κάλπης λιμένος εἰς Ῥόην στάδιοι εἴκοσι· ὅρμος ναυσὶ μικραῖς. Ἀπὸ Ῥόης εἰς Ἀπολλωνίαν νῆσον μικρὰν, ὀλίγον διέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι. Λιμὴν ὑπὸ τῇ νησίδι. Καὶ ἔνθεν εἰς Χηλὰς στάδιοι εἴκοσιν. Ἀπὸ Χηλῶν ὀγδοήκοντα καὶ ἑκατὸν, ἵνα περ Σαγγάριος ποταμὸς ἐσβάλλει εἰς τὸν Πόντον. (2) Ἐνθένδε εἰς τοῦ Ὑππίου τὰς ἐκβολὰς ἄλλοι ὀγδοήκοντα καὶ ἑκατόν. Εἰς δὲ Λίλλιον ἐμπόριον ἀπὸ τοῦ Ὑππίου στάδιοι ἑκατόν· καὶ ἀπὸ τοῦ Λιλλίου εἰς Ἐλαῖον ἑξήκοντα. Ἐνθένδε ἐς Κάλητα, ἄλλο ἐμπόριον, εἴκοσι καὶ ἑκατόν. (3) Ἀπὸ Κάλητος ἐς Λύκον ποταμὸν, ὀγδοήκοντα· ἀπὸ δὲ Λύκου εἰς Ἡράκλειαν πόλιν Ἑλληνίδα Δωρικὴν, Μεγαρέων ἄποικον, στάδιοι εἴκοσι· ἐν Ἡρακλείᾳ ὅρμος ναυσίν. Ἀπὸ δὲ Ἡρακλείας ἐπὶ μὲν τὸ Μητρῷον καλούμενον, στάδιοι ὀγδοήκοντα. (4) Ἔνθεν δὲ εἰς τὸ Ποσίδειον, τεσσαράκοντα· καὶ ἔνθεν εἰς Τυνδαρίδας, πέντε καὶ

fluvium, indeque ad Sigamen. A Sigame autem defleximus ad sinistrum Ponti latus ad Hippum usque fluvium; (5) ab Hippo ad Astelephum et Dioscuriadem usque vidimus Caucasum montem, altitudine prorsus Alpibus Celticis comparandum; et Caucasi jugum quoddam monstrabatur; Strobilus ei nomen; in quo Prometheum a Vulcano Jovis jussu suspensum fuisse fabulantur.

XII. Locorum autem atque itinerum a Bosporo Thracio usque ad Trapezuntem ratio sic se habet. Ad Thracium Bosporum atque os Euxini Ponti, in dextro latere Asiam adluente, ubi regio est Bithynorum, situs est locus Hieron dictus, ubi templum est Jovis Urii quem vocant. Hic locus est unde solvunt in Pontum navigaturi. (2) Ingressis autem Pontum, ita ut ad dextram habeant Asiæ partem, quæ est Bithynorum gentis Ponto adjacens, navigatio se habet hunc in modum. Hieron Jovis Urii a Byzantio distat centum et viginti stadia; atque est ibi os Ponti angustissimum, per quod in Propontidem labitur. At hæc quidem noscenti tibi dico. (3) Ab Hiero autem navigantibus a dextra occurrit Rhebas fluvius: nonaginta stadia ab Hiero Jovis distat. Ab hoc Acra Melæna (*Promontorium atrum*) quam vocant abest centum et quinquaginta stadia. Ab Acra Melæna ad Artanem fluvium, ubi et statio parvis navibus juxta fanum Veneris, centum pariter et quinquaginta stadia. (4) Ab Artane ad Psilim (*Psillim*) fluvium centum et quinquaginta; et navigia exigua commode appellere possint ad petram haud procul ab istius fluminis ostio imminentem. Inde ad portum Calpes ducenta et decem stadia. (5) Qualis autem locus sit portus Calpes, qualisque statio, et ibi fontem esse frigidæ ac limpidæ aquæ et silvas mari vicinas lignorum ad naves conficiendas illasque feris abundare, hæc Xenophon senior narravit.

XIII. A Calpes portu ad Rhoen, stationem parvis aptam navigiis, sunt viginti stadia. A Rhoe ad Apolloniam, insulam exiguam, non procul a continente remotam, alia viginti. Est portus in hac insula. Hinc ad Chelas viginti stadia. A Chelis usque ad id loci, ubi Sangarius fluvius in Pontum influit, centum et octoginta. (2) Inde ad Hyppii ostia, alia centum et octoginta. Ab Hyppio ad Lillium emporium, centum stadia, et a Lillio ad Elæum, sexaginta. Inde ad Caletem, aliud emporium, centum et viginti. (3) A Calete ad Lycum fluvium, octoginta. A Lyco ad Heracleam, urbem Græcam Doricam, Megarensium coloniam, viginti stadia: in Heraclea statio navium. Ab Heraclea ad Metroum, octoginta stadia. (4) Inde ad Posidium, quadraginta. Inde ad Tyndaridas, quadraginta

τεσσαράκοντα. Πέντε δὲ καὶ δέκα ἔνθεν ἐπὶ τὸ Νυμφαῖον· καὶ ἀπὸ τοῦ Νυμφαίου ἐπὶ τὸν Ὀξείναν ποταμὸν, τριάκοντα. Καὶ ἀπὸ Ὀξείνου εἰς Σανδαράκην, ἐνενήκοντα· Σανδαράκη ὅρμος ναυσὶ μικραῖς. (5) Ἐνθένδε εἰς Κρηνίδας, ἑξήκοντα. Καὶ ἀπὸ Κρηνίδων εἰς Ψύλλαν ἐμπόριον, τριάκοντα. Ἐνθένδε εἰς Τίον, πόλιν Ἑλληνίδα Ἰωνικὴν, ἐπὶ θαλάττῃ οἰκουμένην, Μιλησίων καὶ ταύτην ἄποικον, ἐνενήκοντα. Ἀπὸ δὲ Τίου εἰς Βιλλαῖον ποταμὸν, στάδιοι εἴκοσιν. Ἀπὸ δὲ Βιλλαίου ἐπὶ τὸν Παρθένιον ποταμὸν, στάδιοι ἑκατόν. (6) Μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ νέμονται· ὧν καὶ Ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο, ὅτι μαχιμώτατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν, καὶ τὰ πολλὰ κακὰ ἡ στρατιὰ τῶν Ἑλλήνων ὅτι ἐν τῇδε τῇ χώρᾳ ἔπαθεν, ἐπειδὴ ἀπεχωρίσθησαν οἱ Ἀρκάδες ἀπό τε τῆς Χειρισόφου καὶ τῆς Ξενοφῶντος μερίδος.

XIV. Τὰ δὲ ἀπὸ τοῦδε ἤδη Παφλαγονία. Ἀπὸ Παρθενίου ἐς Ἄμαστριν πόλιν Ἑλληνίδα, στάδιοι ἐνενήκοντα· ὅρμος ναυσίν. Ἔνθεν εἰς Ἐρυθίνους, ἑξήκοντα. Καὶ ἀπὸ Ἐρυθίνων εἰς Κρῶμναν, ἄλλοι ἑξήκοντα. (2) Ἐνθένδε εἰς Κύτωρον ἐνενήκοντα· ὅρμος ναυσὶν ἐν Κυτώρῳ. Καὶ ἀπὸ Κυτώρου εἰς Αἰγιαλοὺς, ἑξήκοντα. Ἐς δὲ Θύμηνα, ἐνενήκοντα. Καὶ εἰς Κάραμβιν, εἴκοσι καὶ ἑκατόν. (3) Ἐνθένδε εἰς Ζεφύριον, ἑξήκοντα. Ἀπὸ δὲ Ζεφυρίου εἰς Ἀβώνου τεῖχος, πόλιν σμικρὰν, πεντήκοντα καὶ ἑκατόν. Ὅρμος ναυσὶν οὐκ ἀσφαλής· ἀλλ' εὔδοιεν [σαλεύοιεν?] ἂν ἀπαθεῖς, εἰ μὴ μέγας χειμὼν κατέχοι. Ἀπὸ δὲ Ἀβώνου τείχους εἰς Αἰγινήτην, ἄλλοι πεντήκοντα καὶ ἑκατόν. Ἐνθένδε εἰς Κίνωλιν ἐμπόριον, ἄλλοι ἑξήκοντα· καὶ ἐν Κινώλει σαλεύοιεν ἂν νῆες ὥρᾳ ἔτους. (4) Ἀπὸ δὲ Κινώλιος ἐς Στεφάνην, ὀγδοήκοντα καὶ ἑκατόν· ὅρμος ναυσὶν ἀσφαλής. Ἀπὸ δὲ Στεφάνης εἰς Ποταμοὺς, πεντήκοντα καὶ ἑκατόν. Ἐνθένδε εἰς Λεπτὴν ἄκραν, ἑκατὸν καὶ εἴκοσι. Ἀπὸ δὲ Λεπτῆς ἄκρας ἐς Ἁρμένην, ἑξήκοντα· λιμὴν αὐτόθι. Καὶ Ξενοφῶν τῆς Ἁρμένης ἐμνημόνευσεν. (5) Καὶ ἔνθεν εἰς Σινώπην, στάδιοι τεσσαράκοντα· Σινωπεῖς, Μιλησίων ἄποικοι. Ἀπὸ δὲ Σινώπης εἰς Κάρουσαν, πεντήκοντα καὶ ἑκατόν· σάλος ναυσίν. Ἐνθένδε εἰς Ζάγωρα, ἄλλοι αὖ πεντήκοντα καὶ ἑκατόν. Ἐνθένδε εἰς τὸν Ἅλυν ποταμὸν, τριακόσιοι.

XV. Οὗτος ὁ ποταμὸς πάλαι μὲν ὅρος ἦν τῆς Κροίσου βασιλείας καὶ τῆς Περσῶν· νῦν δὲ ὑπὸ τῇ Ῥωμαίων ἐπικρατείᾳ ῥέει, οὐκ ἀπὸ μεσημβρίας, ὡς λέγει Ἡρόδοτος, ἀλλὰ ἀπὸ ἀνίσχοντος ἡλίου. Καθότι δὲ εἰσβάλλει εἰς τὸν Πόντον, ὁρίζει τὰ Σινωπέων καὶ Ἀμισηνῶν ἔργα. (2) Ἀπὸ δὲ Ἅλυος ποταμοῦ ἐς Ναύσταθμον, στάδιοι ἐνενήκοντα· ἴναπερ καὶ λίμνη ἐστίν. Ἐνθένδε ἐς Κωνωπεῖον, ἄλλην λίμνην, ἄλλοι αὖ πεντήκοντα. Ἀπὸ δὲ Κωνωπείου ἐς Εὐσήνην, ἑκατὸν καὶ εἴκοσι. (1) Ἐνθένδε εἰς Ἀμισὸν ἑκατὸν καὶ ἑξήκοντα. Ἀμισὸς, πόλις Ἑλληνὶς, Ἀθηναίων ἄποικος, ἐπὶ θαλάττῃ οἰκεῖται. Ἀπὸ δὲ Ἀμισοῦ εἰς Ἀγχῶνα λιμένα ἴνα-

quinque. Inde ad Nymphæum, quindecim; et a Nymphæo ad Oxinam fluvium, triginta. Ab Oxina ad Sandaracam nonaginta stadia: Sandaraca statio est parvis navibus. (5) Inde ad Crenidas saxaginta; et a Crenidibus ad Psyllam emporium, triginta. Inde ad Tium, urbem Græcam Ionicam, in maris ora sitam, Milesiorum coloniam, nonaginta. A Tio ad Billæum fluvium, viginti stadia. A Billæo ad Parthenium fluvium, centum stadia. (6) Hucusque Thraces Bithyni sedem tenent. Quorum Xenophon in sua historia (*Anab.* 6, 3) mentionem fecit, quos omnium Asiæ populorum bellicosissimos esse ait, quorumque in terra exercitum Græcorum multa mala perpessum esse testatur, postquam Arcades a Chirisophi atque Xenophontis partibus defecerant.

XIV. Hinc Paphlagoniæ est initium. A Parthenio ad Amastrim urbem Græcam, ubi navibus statio, nonaginta stadia. Inde ad Erythinos, sexaginta; et ab Erythinis ad Cromnam, sexaginta alia. (2) Hinc ad Cytorum, ubi statio navibus, nonaginta. A Cytoro ad Ægialos, sexaginta. Ad Thymena, nonaginta. Ad Carambin, centum et viginti. (3) Inde ad Zephyrium, sexaginta. A Zephyrio ad Aboni mœnia, urbem exiguam, centum et quinquaginta: statio illic navibus non admodum tuta; ubi tamen, si non magna sit tempestas, a damno immunes commorari queant. Ab Aboni mœnibus ad Æginetam, centum et quinquaginta. Inde ad Cinolim emporium, alia sexaginta, et in Cinoli naves æstate commorari possint. (4) A Cinoli ad Stephanen, ubi statio navibus tuta, centum et octoginta. A Stephane ad Potamos, centum et quinquaginta. Hinc ad Leptem Acram, centum et viginti. A Lepte Acra ad Harmenen, sexaginta: portus illic; Harmenæ Xenophon (*An.* 6, 1, 9) quoque mentionem facit. (5) Inde ad Sinopen, stadia quadraginta: Sinopenses Milesiorum coloni. A Sinope ad Carusam, ubi salum navibus, centum et quinquaginta. Hinc item ad Zagora, centum et quinquaginta. Inde ad Halym fluvium, trecenta.

XV. Hic fluvius olim regni Crœsi et Persarum terminus fuit, nunc sub Romanorum imperio fluit; haud a meridie, ut Herodotus (1, 72) ait, sed ab ortu solis: ubi autem se exonerat in Pontum, Sinopensium et Amisenorum agros separat. (2) Ab Haly fluvio ad Naustathmum, ubi palus, nonaginta stadia. Hinc ad Conopeum, aliam paludem, item quinquaginta. A Conopeo ad Eusenen, centum et viginti. (3) Inde ad Amisum, centum et sexaginta: Amisus autem, urbs Græca, Atheniensium colonia, mari adjacet. Ab Amiso ad Anconem portum, ubi Iris in Pontum exonera-

περ καὶ ὁ Ἶρις εἰσβάλλει εἰς τὸν Πόντον, στάδιοι ἑξήκοντα καὶ ἑκατόν. Ἀπὸ δὲ τοῦ Ἴριος τῶν ἐκβολῶν ἐς Ἡράκλειον, ἑξήκοντα καὶ τριακόσιοι· ὅρμος ναυσίν. Ἐνθένδε ἐπὶ τὸν Θερμώδοντα ποταμὸν, τεσσαράκοντα. Οὗτος ὁ Θερμώδων ἐστὶν, ἵναπερ αἱ Ἀμαζόνες οἰκῆσαι λέγονται.

XVI. Ἀπὸ δὲ Θερμώδοντος εἰς Βῆριν ποταμὸν, στάδιοι ἐνενήκοντα. Ἐνθένδε εἰς Θόαριν ποταμὸν, ἑξήκοντα. Ἀπὸ δὲ Θοάριος ἐς Οἰνόην, τριάκοντα. Ἀπὸ Οἰνόης ἐς Φιγαμοῦντα ποταμὸν, τεσσαράκοντα. Ἐνθένδε εἰς Φαδισάνην φρούριον, πεντήκοντα καὶ ἑκατόν. (2) Ἐνθένδε εἰς Πολεμώνιον πόλιν, στάδιοι δέκα. Ἀπὸ Πολεμωνίου εἰς ἄκραν Ἰασόνιον καλουμένην, στάδιοι τριάκοντα καὶ ἑκατόν. Ἐνθένδε εἰς Κιλίκων νῆσον, πεντεκαίδεκα στάδιοι. (3) Ἀπὸ δὲ Κιλίκων νήσου ἐς Βοῶνα, πέντε καὶ ἑβδομήκοντα· ἐν Βοῶνι ὅρμος ναυσίν. Ἐνθένδε εἰς Κοτύωρα, ἐνενήκοντα. Ταύτης, ὡς πόλεως, Ξενοφῶν ἐμνημόνευσεν, καὶ λέγει Σινωπέων ἄποικον εἶναι· νῦν δὲ κώμη ἐστὶ, καὶ οὐδὲ αὐτὴ μεγάλη. Ἀπὸ Κοτυώρων ἐς Μελάνθιον ποταμὸν, στάδιοι μάλιστα ἑξήκοντα. Ἐνθένδε εἰς Φαρματηνὸν, ἄλλον ποταμὸν, πεντήκοντα καὶ ἑκατόν. Καὶ ἔνθεν εἰς Φαρνακείαν, εἴκοσιν καὶ ἑκατόν. (4) Αὕτη ἡ Φαρνακεία πάλαι Κερασοῦς ἐκαλεῖτο, Σινωπέων καὶ αὕτη ἄποικος. Ἐνθένδε ἐς τὴν Ἀρητιάδα νῆσον, τριάκοντα. Καὶ ἔνθεν ἐς Ζεφύριον, εἴκοσι καὶ ἑκατόν· ὅρμος ναυσίν. Ἀπὸ δὲ Ζεφυρίου εἰς Τρίπολιν, στάδιοι ἐνενήκοντα. Ἐνθένδε ἐς τὰ Ἀργύρια, στάδιοι εἴκοσι. (5) Ἐκ δὲ τῶν Ἀργυρίων εἰς Φιλοκάλειαν, ἐνενήκοντα. Ἐνθένδε ἐς Κόραλλα, ἑκατόν. Ἀπὸ δὲ Κοράλλων εἰς Ἱερὸν ὄρος, πεντήκοντα καὶ ἑκατόν. Ἀπὸ δὲ Ἱεροῦ ὄρους εἰς Κορδύλην, τεσσαράκοντα· ὅρμος ναυσίν. (6) Ἀπὸ δὲ Κορδύλης ἐς Ἑρμώνασσαν, πέντε καὶ τεσσαράκοντα· καὶ δεῦρο ὅρμος. Ἀπὸ δὲ Ἑρμωνάσσης εἰς Τραπεζοῦντα, στάδιοι ἑξήκοντα· ἐνταῦθα σὺ ποιεῖς λιμένα. Πάλαι γὰρ, ὅσον ἀποσαλεύειν ὥρᾳ ἔτους, ὅρμος ἦν.

XVII. Τὰ δὲ ἀπὸ Τραπεζοῦντος διαστήματα μέχρι Διοσκουριάδος, προείρηται διὰ τῶν ποταμῶν ἀναμετρηθέντα. Ἀθροίζοντες δὲ ἀπὸ Τραπεζοῦντος εἰς Διοσκουριάδα, τὴν νῦν Σεβαστόπολιν καλουμένην, στάδιοι δισχίλιοι διακόσιοι ἑξήκοντα. (2) Τάδε μὲν τὰ ἀπὸ Βυζαντίου πλεόντων ἐν δεξιᾷ ὡς ἐπὶ Διοσκουριάδα, ἐς ὅπερ στρατόπεδον τελευτᾷ Ῥωμαίοις ἡ ἐπικράτεια (ἐν δεξιᾷ ἐσπλεόντων εἰς τὸν Πόντον). (3) Ἐπεὶ δὲ ἐπυθόμην Κότυν τετελευτηκέναι, τὸν βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλουμένου, ἐπιμελὲς ἐποιησάμην καὶ τὸν μέχρι τοῦ Βοσπόρου πλοῦν δηλῶσαί σοι· ὡς, εἴ τι βουλεύοιο περὶ τοῦ Βοσπόρου, ὑπάρχοι σοι καὶ τόνδε τὸν πλοῦν μὴ ἀγνοοῦντι βουλεύεσθαι.

XVIII. Ὁρμηθεῖσιν οὖν ἐκ Διοσκουριάδος, πρῶτος ἂν εἴη ὅρμος ἐν Πιτυοῦντι· στάδιοι τριακόσιοι πεντήκοντα. Ἐνθένδε ἐς τὴν Νιτικὴν, στάδιοι πεντήκοντα καὶ ἑκατόν· ἵναπερ πάλαι ᾤκει ἔθνος Σκυθικὸν, οὗ μνήμην ἐποιήσατο Ἡρόδοτος (4, 109)

tur, centum et sexaginta stadia. Ab Iris ostio ad Heracleum portum, trecenta et sexaginta, ubi statio navibus. Hinc ad Thermodontem fluvium, quadraginta: hic est ille fluvius, ubi Amazones sedem habuisse dicuntur.

XVI. A Thermodonte ad Berin fluvium, nonaginta stadia. Inde ad Thoarin fluvium, sexaginta. A Thoari ad Œnoen, triginta. Ab Œnoe ad Phigamuntem fluvium, quadraginta: inde ad Phadisanen castellum, centum et quinquaginta. (2) Inde ad Polemonium urbem, decem stadia. A Polemonio ad promontorium Iasonium vocatum, centum et triginta stadia. Hinc ad Cilicum insulam, quindecim stadia. (3) A Cilicum insula ad Boonem, ubi statio navibus, septuaginta quinque. Inde ad Cotyora, nonaginta: hujus tanquam urbis a Xenophonte (*An.* 5, 5, 3) fit mentio, eamque Sinopensium coloniam dicit; hodie vero pagus est, neque ille quidem magnus. A Cotyoris ad Melanthium fluvium stadia circa sexaginta. Inde ad Pharmatenum, alium fluvium, centum et quinquaginta, et inde ad Pharnaceam centum et viginti. (4) Hæc Pharnacea fuit olim Cerasus dicta, ipsa quoque Sinopensium colonia. Hinc ad Aretiadem insulam, triginta; et inde ad Zephyrium, centum et viginti: ibi statio navibus. A Zephyrio ad Tripolim, stadia nonaginta. Inde ad Argyria, stadia viginti. (5) Ab Argyriis ad Philocaleam, nonaginta. Hinc ad Coralla, centum. A Corallis ad Sacrum montem, centum et quinquaginta. A Sacro monte ad Cordylam, ubi statio navibus, quadraginta. A Cordyla vero ad Hermonassam, quadraginta quinque: et ibi statio. Ab Hermonassa Trapezuntem usque, sexaginta stadia. Hic tu portum curas fieri: nam olim erat statio, in qua æstivo tantum tempore naves in ancoris stare poterant.

XVII. Locorum autem intervalla, a Trapezunte usque ad Dioscuriadem, fluminum intervallis dimensa supra jam attulimus: quæ si colligamus, erunt a Trapezunte ad Dioscuriadem, nunc Sebastopolim dictam, stadia bis mille ducenta et sexaginta. (2) Atque hæc quidem itineris dextri a Byzantio Dioscuriadem usque, quod castrum imperii Romani terminus est (a dextris Pontum ingredientibus), sese offert ratio. (3) Quum vero Cotym, regem Bospori Cimmerii, defunctum cognovissem, operam dedi sedulam, ut hanc tibi etiam ad Bosporum navigationem apertam redderem: ut, si quid forte de Bosporo capere velis consilii, hac tibi navigatione cognita, id agere possis.

XVIII. Solventibus itaque a Dioscuriade prima sese offert statio in Pityunte, trecentis et quinquaginta stadiis distans. Inde ad Niticam, centum et quinquaginta stadia, ubi olim gens Scythica habitabat, cujus Herodotus (4, 109)

μην ποιεῖται ὁ λογοποιὸς Ἡρόδοτος. (2) Καὶ λέγει τούτους εἶναι τοὺς φθειροτρωκτέοντας· καὶ γὰρ εἰς τοῦτο ἔτι ἡ δόξα ἡ αὐτὴ ὑπὲρ αὐτῶν κατέχει. Ἐκ δὲ Νιτικῆς εἰς Ἄβασκον ποταμὸν, στάδιοι ἐνενήκοντα. Ὁ δὲ Βόργυς τοῦ Ἀβάσκου διέχει σταδίους ἑκατὸν καὶ εἴκοσιν· καὶ ὁ Νῆσις τοῦ Βόργυος, ἵναπερ καὶ ἡ Ἡράκλειος ἄκρα ἀνέχει, σταδίους ἑξήκοντα. (3) Ἀπὸ δὲ Νήσιος εἰς Μασαϊτικὴν, στάδιοι ἐνενήκοντα. Ἐνθένδε εἰς Ἀχαιοῦντα, στάδιοι ἑξήκοντα· ὅσπερ ποταμὸς διορίζει Ζιλχοὺς καὶ Σάνιχας. Ζιλχῶν βασιλεὺς Σταχέμφαξ· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔσχεν. Ἀπὸ Ἀχαιοῦντος εἰς Ἡράκλειαν ἄκραν, πεντήκοντα καὶ ἑκατὸν στάδιοι. Ἐνθένδε εἰς ἄκραν, ἵναπερ σκέπη ἐστὶν ἀνέμου Θρασκίου καὶ βορρᾶ, ὀγδοήκοντα καὶ ἑκατόν. (4) Ἐνθένδε εἰς τὴν καλουμένην Παλαιὰν Λαζικὴν, εἴκοσιν καὶ ἑκατὸν στάδιοι. Ἐνθένδε ἐς τὴν παλαιὰν Ἀχαΐαν, πεντήκοντα καὶ ἑκατόν· καὶ ἔνθεν ἐς Πάγρας λιμένα, πεντήκοντα καὶ τριακόσιοι. Ἀπὸ δὲ Πάγρας λιμένος εἰς Ἱερὸν λιμένα, ὀγδοήκοντα καὶ ἑκατόν· Ἐνθένδε εἰς Σινδικὴν, τριακόσιοι.

XIX. Ἀπὸ δὲ Σινδικῆς εἰς Βόσπορον τὸν Κιμμέριον καλούμενον, καὶ πόλιν τοῦ Βοσπόρου Παντικάπαιον, τεσσαράκοντα καὶ πεντακόσιοι. Ἐνθένδε ἐπὶ Τάναΐν ποταμὸν, ἑξήκοντα· ὃς λέγεται ὁρίζειν ἀπὸ τῆς Ἀσίας τὴν Εὐρώπην· καὶ ὁρμᾶται μὲν ἀπὸ λίμνης τῆς Μαιώτιδος, ἐσβάλλει δὲ εἰς θάλασσαν τὴν τοῦ Εὐξείνου Πόντου· (2) καίτοι Αἰσχύλος ἐν Προμηθεῖ Λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. Λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι

Ἥκομεν
τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐσοψόμενοι.

Ἔπειτα καταλέγουσιν, ὅσην χώραν ἐπῆλθον·

Τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.

(3) Τῆς δὲ λίμνης τῆς Μαιώτιδος περίπλους ἐν κύκλῳ λέγεται σταδίων ἀμφὶ τοὺς ἐνακισχιλίους. Ἀπὸ δὲ Παντικαπαίου εἰς κώμην Καζέκα ἐπὶ θαλάττῃ ὡκισμένην, στάδιοι εἴκοσι καὶ τετρακόσιοι. Ἐνθένδε ἐς Θεοδοσίαν, πόλιν ἐρήμην, στάδιοι ὀγδοήκοντα καὶ διακόσιοι. (4) Καὶ αὕτη παλαιὰ ἦν Ἑλλὰς πόλις, Ἰωνικὴ, Μιλησίων ἄποικος· καὶ μνήμη ἐστὶν αὐτῆς ἐν πολλοῖς γράμμασιν. Ἐνθένδε εἰς λιμένα Σκυθοταύρων ἔρημον, στάδιοι διακόσιοι· καὶ ἔνθεν εἰς Λαμπάδα τῆς Ταυρικῆς, στάδιοι ἑξακόσιοι. (5) Ἀπὸ δὲ Λαμπάδος εἰς Συμβόλου λιμένα, Ταυρικὸν καὶ τοῦτον, στάδιοι εἴκοσι καὶ πεντακόσιοι. Καὶ ἔνθεν ἐς Χερρόνησον τῆς Ταυρικῆς, ὀγδοήκοντα καὶ ἑκατόν. Ἀπὸ δὲ Χερρονήσου ἐς Κερκινῖτιν, στάδιοι ἑξακόσιοι, καὶ ἀπὸ Κερκινίτιδος ἐς Καλὸν λιμένα, Σκυθικὸν καὶ τοῦτον, ἄλλοι ἑπτακόσιοι.

XX. Ἐκ δὲ Καλοῦ λιμένος ἐς Ταμυράκην, τριακόσιοι· ἔσω δὲ τῆς Ταμυράκης λίμνη ἐστὶν οὐ μεγάλη. Καὶ

quoque historicus meminit: (2) illos autem tradit pediculis vesci solitos; quæ quidem fama de iis etiamnum obtinet. A Nitica ad Abascum fluvium, nonaginta stadia. Ab Abasco distat Borgys centum et viginti stadia, et a Borgy Nesis, ubi Herculeum promontorium eminet, stadia sexaginta. (3) A Nesi ad Masaiticam stadia nonaginta. Inde ad Achæunta fluvium, qui Zilchos atque Sanichas separat, stadia sexaginta. Zilchorum rex est Stachemphax, qui a te regnum obtinuit. Ab Achæunte ad Herculeum promontorium, stadia centum et quinquaginta. Inde ad promontorium quoddam, ubi tuta adversus Thrasciam et Boream ventos statio, centum et octoginta. (4) Inde ad Veterem Lazicam, quæ vocatur, stadia centum et viginti. Hinc ad Achaiam antiquam, centum et quinquaginta, et inde ad Pagræ portum, trecenta et quinquaginta. A Pagræ portu ad Sacrum portum, centum et octoginta. Inde ad Sindicam, trecenta.

XIX. A Sindica ad Bosporum Cimmerium et Panticapæum urbem Bospori, quingenta et quadraginta. Inde ad Tanaim fluvium, qui Europam ab Asia dicitur disterminare, sexaginta. Hic erumpit ex Mæotide palude, atque influit in mare Ponti Euxini: (2) quamquam Æschylus in Prometheo Soluto Phasim Europæ atque Asiæ terminum facit. Sic enim apud illum Titanes alloquuntur Promethcum:

Venimus
has tuas ærumnas, Prometheu,
vinculorumque hanc calamitatem visuri.

Deinde recensent, quot regiones peragraverint:

Hic quidem duplicem Europæ
et Asiæ magnum terminum, Phasin.

(3) Ipsius vero paludis Mæotidis ambitus fertur esse circiter stadiorum novem millium. A Panticapæo ad vicum Cazeca, mari adjacentem, stadia quadringenta et viginti. Inde ad Theodosiam, urbem desertam, stadia ducenta et octoginta: (4) hæc olim urbs Græcanica fuit, Ionica, Milesiorum colonia, et illius memoria multis literarum monumentis celebratur. Inde ad portum Scythotaurorum desertum, stadia ducenta. Hinc ad Lampada Tauricæ civitatem, stadia sexcenta. (5) A Lampade ad Symboli portum item Tauricum, stadia quingenta et viginti, et inde ad Chersonesum Tauricæ, centum et octoginta. A Chersoneso ad Cercinitim, stadia sexcenta, et a Cernitide ad Calum (*Pulchrum*) portum item Scythicum, alia septingenta.

XX. A Calo portu ad Tamyracam, trecenta. Intra Tamyracam palus est non admodum magna; et inde ad ostia pa-

ἔνθεν εἰς τὰς ἐκροὰς τῆς λίμνης, ἄλλοι τριακόσιοι. Ἐκ δὲ τῶν ἐκροῶν τῆς λίμνης ἐς Ἠόνας, στάδιοι ὀγδοήκοντα καὶ τριακόσιοι· καὶ ἔνθεν ἐς ποταμὸν Βορυσθένην, πεντήκοντα καὶ ἑκατόν. (2) Κατὰ δὲ τὸν Βορυσθένην ἄνω πλέοντι πόλις Ἑλληνὶς, ὄνομα Ὀλβία, πεπόλισται. Ἀπὸ δὲ Βορυσθένους ἐπὶ νῆσον σμικρὰν, ἐρήμην καὶ ἀνώνυμον, στάδιοι ἑξήκοντα· καὶ ἔνθεν εἰς Ὀδησσὸν, ὀγδοήκοντα· ἐν Ὀδησσῷ ὅρμος ναυσίν. Ἀπὸ δὲ Ὀδησσοῦ ἔχεται Ἰστριανῶν λιμήν· στάδιοι ἐς αὐτὸν πεντήκοντα καὶ διακόσιοι. (3) Ἐνθένδε ἔχεται Ἰσιακῶν λιμήν· στάδιοι ἐς αὐτὸν πεντήκοντα. Καὶ ἔνθεν εἰς τὸ Ψιλὸν καλούμενον στόμα τοῦ Ἴστρου, διακόσιοι καὶ χίλιοι· τὰ δὲ ἐν μέσῳ ἔρημα καὶ ἀνώνυμα.

XXI. Κατὰ τοῦτο μάλιστα τὸ στόμα, ἐπ' εὐθὺ πλέοντι ἀνέμῳ ἀπαρκτίᾳ ἰδίως [ὡς?] τὸ πέλαγος, νῆσος πρόσκειται, ἤντινα οἱ μὲν Ἀχιλλέως νῆσον, οἱ δὲ Δρόμον Ἀχιλλέως, οἱ δὲ Λευκὴν ἐπὶ τῆς χροιᾶς ὀνομάζουσιν. Ταύτην λέγεται Θέτις ἀνεῖναι τῷ παιδὶ· καὶ ταύτην οἰκεῖν τὸν Ἀχιλλέα. Καὶ νεώς ἐστιν ἐν αὐτῇ τοῦ Ἀχιλλέως, καὶ ξόανον τῆς παλαιᾶς ἐργασίας. (2) Ἡ δὲ νῆσος ἀνθρώπων μὲν ἐρήμη ἐστὶν, νέμεται δὲ αἰξὶν οὐ πολλαῖς· καὶ ταύτας ἀνατιθέναι λέγονται τῷ Ἀχιλλεῖ ὅσοι προσίσχουσιν. Καὶ ἄλλα πολλὰ ἀναθήματα ἀνάκειται ἐν τῷ νεῷ, φιάλαι καὶ δακτύλιοι καὶ λίθοι τῶν πολυτελεστέρων. Ταῦτα σύμπαντα χαριστήρια τῷ Ἀχιλλεῖ ἀνάκειται, καὶ ἐπιγράμματα, τὰ μὲν ῥωμαϊκῶς, τὰ δὲ ἑλληνικῶς πεποιημένα ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ μέτρῳ, ἔπαινοι τοῦ Ἀχιλλέως. Ἔστι δὲ ἃ καὶ τοῦ Πατρόκλου· (3) καὶ γὰρ καὶ τὸν Πάτροκλον τιμῶσι σὺν τῷ Ἀχιλλεῖ, ὅσοι τῷ Ἀχιλλεῖ χαρίζεσθαι ἐθέλουσιν. Ὄρνιθες δὲ πολλοὶ αὐλίζονται ἐν τῇ νήσῳ, λάροι καὶ αἴθυιαι καὶ κορῶναι αἱ θαλάσσιοι τὸ πλῆθος οὐ σταθμητοί. (4) Οὗτοι οἱ ὄρνιθες θεραπεύουσι τοῦ Ἀχιλλέως τὸν νεών. Ἕωθεν ὁσημέραι καταπέτονται εἰς τὴν θάλασσαν· ἔπειτα ἀπὸ τῆς θαλάσσης βεβρεγμένοι τὰ πτερὰ, σπουδῇ αὖ εἰσπέτονται εἰς τὸν νεών, καὶ ῥαίνουσι τὸν νεών. Ἐπειδὰν δὲ καλῶς ἔχῃ, οἵδε ἐκκαλλύνουσιν αὖ τὸ ἔδαφος τοῖς πτεροῖς.

XXII. Οἱ δὲ καὶ τάδε ἱστοροῦσιν· τῶν προσεσχηκότων τῇ νήσῳ, ἱερεῖα τοὺς μὲν ἐξεπίτηδες πλέοντας ἐς αὐτὴν ἐπὶ ταῖς ναυσὶ κομίζειν, καὶ τούτων τὰ μὲν καταθύειν, τὰ δὲ ἀφιέναι τῷ Ἀχιλλεῖ· (2) τοὺς δέ τινας ὑπὸ χειμῶνος ἐξαναγκασθέντας προσέχειν· καὶ τούτους παρ' αὐτοῦ τοῦ θεοῦ αἰτεῖν ἱερεῖον, χρωμένους ἐπὶ τῶν ἱερείων, εἰ λῷον σφίσιν καὶ ἄμεινον θῦσαι, ὅ τι περ αὐτοὶ τῇ γνώμῃ ἐπιλέξαιντο νεμόμενον, τιμὴν ἅμα καταβάλλοντες τὴν ἀξίαν σφίσιν δοκοῦσαν. (4) Εἰ δὲ ἀπαγορεύοι ὁ χρησμός (εἶναι γὰρ χρησμοὺς ἐν τῷ νεῷ), προσβάλλειν τῇ τιμῇ· εἰ δὲ ἔτι ἀπαγορεύοι, ἔτι προσβάλλειν· συγχωρήσαντος δὲ, γιγνώσκειν ὅτι ἀποχρῶσα ἡ τιμὴ ἐστιν. (4) Τὸ δὲ ἱερεῖον ἵστασθαι ἐπὶ τῷδε αὐτόματον, μηδὲ ἀποφεύγειν ἔτι. Καὶ τοῦτο δὴ πολὺ ἀνακεῖσθαι τὸ ἀργύριον τῷ ἥρῳ τὰς τιμὰς τῶν ἱερείων.

XXIII. Φαίνεσθαι δὲ ἐνύπνιον τὸν Ἀχιλλέα τοῖς

ludis, trecenta alia. Ab ostiis paludis ad Eonas, stadia trecenta et octoginta; atque inde ad Borysthenem fluvium, centum et quinquaginta. (2) Per Borysthenem sursum naviganti urbs Græca, Olbia dicta, condita est. A Borysthene ad parvam quandam, desertam nomineque carentem insulam, stadia sexaginta; et inde ad Odessum, ubi statio navibus, octoginta. Odesso proximus, stadiorum ducentorum et quinquaginta intervallo distans, Istrianorum portus. (3) Huic proximus Isiacorum portus, stadiis quinquaginta distans. Inde ad Psilum (*tenue*) quod vocant os Istri, mille et ducenta. Loca in medio deserta sunt et nomine carent.

XXI. E regione fere omnino hujus ostii, si recta navigaveris versus altum mare secundum aparctiam maxime ventum, sita est insula, quam alii Achillis insulam, alii Dromon (*Cursum*) Achillis, alii Leucam (*Albam*) a colore appellant. Hanc Thetis filio suo e mari excitasse, eamque Achilles inhabitare fertur; in qua templum est Achillis simulacrumque antiquo opere. (2) Deserta est ab hominibus insula, eamque capræ non admodum multæ depascuntur; quas qui illuc appellunt, Achilli offerre dicuntur. Multa præterea alia sacra dona in templo illo reposita cernuntur, ut phialæ, annuli, lapides pretiosiores. Hæc omnia donaria gratias agendi causa Achilli consecrata sunt; et inscriptiones leguntur Græcæ et Latinæ variis metris conceptæ, quæ laudes celebrant Achillis: sunt etiam nonnullæ in Patroclum. (3) Nam Patroclum quoque simul cum Achille colunt qui Achilli placere cupiunt. Porro aves innumerabiles, ut lari, fulicæ, coturnices marinæ, in insula illa degunt. (4) Hæ aves templum Achillis curant: mane singulis diebus ad mare volitant, indeque, alis aqua madefactis, ad templum iterum properantes volant, illudque aspergunt. Ubi autem id satis peractum fuerit, illæ rursus alis pavimentum mundant.

XXII. A nonnullis etiam hæc traduntur: eorum qui ad insulam appellant, alios ex proposito ad illam navigantes secum victimas immolandas in navibus portare, quarum alias mactent, alias vivas in Achillis honorem dimittant: (2) alios autem quosdam tempestate coactos appellere, eosque ab ipso deo victimam petere, oraculum illius interrogantes de victimis, expediatne meliusque sit eam hostiam immolare, quam pascentem ipsi pro arbitrium sua delegerint; simulque eos pretium, quod illis justum videatur, deponere. (3) Quod si oraculum renuat (esse enim oracula in templo), pretio aliquid adjicere: si rursus abnuerit, insuper addere, donec, annuente illo, cognoscant sufficiens pretium esse. (4) Tum vero stare sua sponte victimam, neque amplius aufugere. Atque sic magnam argenti copiam heroi, victimarum pretium, esse consecratam.

XXIII. Apparere autem in somnis Achillem aliis dum ad

μὲν προσχοῦσι τῇ νήσῳ, τοῖς δὲ καὶ πλέουσιν, ἐπειδὰν οὐ πόρρω αὐτῆς ἀπόσχωσιν, καὶ φράζειν ὅπου προσσχεῖν τῆς νήσου ἄμεινον, καὶ ὅπου ὁρμίσασθαι. Οἱ δὲ καὶ ὕπαρ λέγουσιν φανῆναί σφισιν ἐπὶ τοῦ ἱστοῦ ἢ ἐπ' ἄκρῳ τοῦ κέρως τὸν Ἀχιλλέα, καθάπερ τοὺς Διοσκούρους· (2) τοσόνδε μόνον τῶν Διοσκούρων μεῖον ἔχειν τὸν Ἀχιλλέα, ὅσον οἱ μὲν Διόσκουροι τοῖς πανταχοῦ πλωΐζομένοις ἐναργεῖς φαίνονται, καὶ φανέντες σωτῆρες γίνονται· ὁ δὲ τοῖς πελάζουσιν ἤδη τῇ νήσῳ. Οἱ δὲ καὶ τὸν Πάτροκλόν σφισιν ὀρθῆναι ἐνύπνιον λέγουσιν. (3) Τάδε μὲν ὑπὲρ τῆς νήσου τῆς τοῦ Ἀχιλλέως ἀκοὴν ἀνέγραψα τῶν ἢ αὐτῶν προσσχόντων, ἢ ἄλλων πεπυσμένων· καί μοι δοκεῖ οὐκ ἄπιστα εἶναι. (4) Ἀχιλλέα γὰρ ἐγὼ πείθομαι εἴπερ τινὰ καὶ ἄλλον ἥρωα εἶναι, τῇ τε εὐγενείᾳ τεκμαιρόμενος, καὶ τῷ κάλλει καὶ τῇ ῥώμῃ τῆς ψυχῆς καὶ τῷ νέον μεταλλάξαι ἐξ ἀνθρώπων καὶ τῇ Ὁμήρου ἐπ' αὐτῷ ποιήσει καὶ τῷ ἐρωτικὸν γενέσθαι καὶ φιλέταιρον, ὡς καὶ ἐπαποθανεῖν ἐλέσθαι τοῖς παιδικοῖς.'

XXIV. Ἀπὸ δὲ τοῦ Ψίλου καλουμένου στόματος τοῦ Ἴστρου ἐς τὸ δεύτερον στόμα, στάδιοι ἑξήκοντα. Ἐνθένδε ἐπὶ τὸ Καλὸν καλούμενον στόμα, στάδιοι τεσσαράκοντα· καὶ ἀπὸ τοῦ Καλοῦ ἐπὶ τὸ Νάρακον, ὧδε ὀνομαζόμενον, στόμα τέταρτον τοῦ Ἴστρου, στάδιοι ἑξήκοντα. (2) Ἐνθένδε ἐπὶ τὸ πέμπτον, εἴκοσι καὶ ἑκατόν· καὶ ἔνθεν εἰς Ἰστρίαν πόλιν, στάδιοι πεντακόσιοι. Ἐνθένδε εἰς Τομέας πόλιν, στάδιοι τριακόσιοι. (3) Ἀπὸ δὲ Τομέων εἰς Καλλαντίαν πόλιν, ἄλλοι τριακόσιοι· ὅρμος ναυσίν. Ἐνθένδε ἐς Καρῶν λιμένα, ὀγδοήκοντα καὶ ἑκατόν· καὶ ἡ γῆ ἐν κύκλῳ τοῦ λιμένος Καρία κληίζεται. Ἀπὸ δὲ Καρῶν λιμένος ἐς Τετρισιάδα, στάδιοι εἴκοσι καὶ ἑκατόν. Ἐνθένδε εἰς Βίζον, χῶρον ἔρημον, στάδιοι ἑξήκοντα. (4) Ἀπὸ δὲ Βίζου εἰς Διονυσόπολιν, στάδιοι ὀγδοήκοντα. Ἐνθένδε εἰς Ὀδησσόν, διακόσιοι· ὅρμος ναυσίν. Ἐκ δὲ Ὀδησσοῦ ἐς τοῦ Αἵμου τὰς ὑπωρείας, αἳ δὴ εἰς τὸν Πόντον καθήκουσιν, στάδιοι τριακόσιοι ἑξήκοντα· καὶ δεῦρο ὅρμος ναυσίν. (5) Ἐκ δὲ τοῦ Αἵμου εἰς Μεσημβρίαν πόλιν, ἐνενήκοντα· ὅρμος ναυσίν. Καὶ ἐκ Μεσημβρίας εἰς Ἀγχίαλον πόλιν, στάδιοι ἑβδομήκοντα, καὶ ἐξ Ἀγχιάλου εἰς Ἀπολλωνίαν, ὀγδοήκοντα καὶ ἑκατόν. (6) Αὗται πᾶσαι αἱ πόλεις Ἑλληνίδες εἰσίν, ᾠκισμέναι ἐν τῇ Σκυθίᾳ, ἐν ἀριστερᾷ ἐσπλέοντι εἰς τὸν Πόντον. Ἐκ δὲ Ἀπολλωνίας ἐς Χερρόνησον στάδιοι ἑξήκοντα· ὅρμος ναυσίν. Καὶ ἐκ Χερρονήσου ἐς Αὐλαίου τεῖχος πεντήκοντα καὶ διακόσιοι. Ἐνθένδε ἐς Θυνιάδα ἀκτήν, εἴκοσι καὶ ἑκατόν.

XXV. Ἀπὸ δὲ Θυνιάδος εἰς Σαλμυδησσόν, στάδιοι διακόσιοι. Τούτου τοῦ χωρίου μνήμην πεποίηται Ξενοφῶν ὁ πρεσβύτερος, καὶ μέχρι τούτου λέγει τὴν στρατιὰν ἐλθεῖν τῶν Ἑλλήνων, ἧς αὐτὸς ἡγήσατο, ὅτε τὰ τελευταῖα σὺν Σεύθῃ τῷ Θρᾳκὶ ἐστράτευσεν. (2) Καὶ περὶ τῆς ἀλιμενότητος τοῦ χωρίου πολλὰ ἀνέγραψεν, ὅτι ἐνταῦθα ἐκπίπτει τὰ πλοῖα χειμῶνι βιαζόμενα, καὶ οἱ Θρᾷκες οἱ πρόσχωροι ὅτι ὑπὲρ τῶν ναυαγίων ἐν σφίσιν διαμάχονται. (3) Ἀπὸ δὲ Σαλμυδησσοῦ εἰς Φρυ-

insulam appellant, aliis vero etiam in ipsa navigatione, si haud procul ab illa absint, iisque significare in quamnam insulæ partem appellere navesque sistere præstet. Nonnulli etiam vigilantibus dicunt sibi apparuisse Achillem, eodem modo quo Dioscuros, in malo vel in summa antenna. (2) Hoc solo volunt eum Dioscuris cedere, quod Dioscuri ubique navigantibus perspicui appareant, et visi salutem afferant; Achilles vero iis tantum, qui ad insulam ejus propius jam accedant. Nonnulli ipsum quoque Patroclum sibi in somnis visum esse aiunt. (3) Atque hæc quidem de Achillis insula refero audita ab iis, qui vel ipsi illuc appulerunt, vel ab aliis rem compererunt: quæ mihi quidem fide haud indigna videntur. (4) Achillem enim, si quem alium, heroem esse credo ob nobilitatem et pulcritudinem animique robur et propterea quod juvenis e vita decesserit, et ab Homero celebratus sit, denique quod in amoribus atque amicitiis colendis ita fuerit constans, ut post amores suos et ipse mortem oppetere voluerit.

XXIV. Ab ostio Istri Psilo vocato ad secundum ejusdem ostium, stadia sexaginta. Hinc ad Calum appellatum ostium, stadia quadraginta; et a Calo ad Naracum, quartum Istri ostium, stadia sexaginta. (2) Inde ad quintum, centum et viginti, et inde ad Istriam urbem, stadia quingenta. Hinc ad Tomes urbem stadia trecenta. (3) A Tomibus ad Callantiam urbem, ubi statio navibus, alia trecenta. Hinc ad Carum portum, centum et octoginta; et ipsa regio quæ est circum portum illum, Caria appellatur. A Carum portu ad Tetrisiada, stadia centum et viginti. Inde ad Bizum, locum desertum, stadia sexaginta. (4) A Bizo ad Dionysopolim, stadia octoginta. Hinc ad Odessum, ubi statio navibus, ducenta. Ab Odesso usque ad radices Hæmi montis, quæ ad Pontum usque protenduntur, stadia trecenta et sexaginta: ibi etiam statio navibus. (5) Ab Hæmo ad Mesembriam urbem, ubi statio navibus, nonaginta. A Mesembria ad Anchialum urbem, stadia septuaginta, et ab Anchialo ad Apolloniam, centum et octoginta. (6) Hæ omnes sunt urbes Græcæ, in Scythia sitæ, quæ occurrunt a sinistra in Pontum naviganti. Ab Apollonia ad Chersonesum, ubi statio navibus, stadia sexaginta. A Chersoneso ad Aulæi murum, ducenta et quinquaginta. Hinc ad Thyniada litus, centum et viginti.

XXV. A Thyniade ad Salmydessum, stadia ducenta. Hujus regionis Xenophon senior (*Anab.* 7, 5, 7) meminit, et hucusque Græcorum exercitum penetrasse scribit, cui ipse præfuit, quum postremo cum Seutha Thrace militiam egit. (2) Multis quoque idem exponit, quam importuosa sit hæc regio, navesque vi tempestatis eo ejici; atque Thraces accolas de naufragiorum reliquiis inter se digladiari. (3) A Salmydesso ad Phrygiam, stadia trecenta et triginta; inde

γίαν στάδιοι τριάκοντα καὶ τριακόσιοι. Ἐνθένδε ἐπὶ Κυανέας, εἴκοσι καὶ τριακόσιοι. Αὗται δὲ αἱ Κυανέαι εἰσίν, ἃς λέγουσιν οἱ ποιηταὶ πλαγκτὰς πάλαι εἶναι· καὶ διὰ τούτων πρώτην ναῦν περάσαι τὴν Ἀργώ, ἥτις ἐς Κόλχους Ἰάσονα ἤγαγεν. (4) Ἐκ δὲ Κυανέων ἐπὶ τὸ Ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου, ἵναπερ τὸ στόμα τοῦ Πόντου, στάδιοι τεσσαράκοντα. Ἐνθένδε εἰς λιμένα Δάφνης τῆς Μαινομένης καλουμένης, στάδιοι τεσσαράκοντα. Ἀπὸ δὲ Δάφνης εἰς Βυζάντιον ὀγδοήκοντα. Τάδε μὲν καὶ τὰ ἀπὸ τοῦ Βοσπόρου τοῦ Κιμμερίου ἐπὶ Βόσπορον τὸν Θρᾴκιον καὶ πόλιν Βυζάντιον.

ad Cyaneas, trecenta et viginti. Hæ sunt Cyaneæ illæ, quas poetæ olim tradunt vagas fuisse, per easque primam transiisse Argo navem, quæ Iasonem in Colchos perduxerit. (4) A Cyaneis ad Hieron (*templum*) Jovis Urii (*Propitii navigantibus*), ubi os Ponti, stadia quadraginta. Inde ad portum Daphnes, quæ Mænomena (*Furens*) dicitur, stadia quadraginta : a Daphne Byzantium usque, octoginta. Atque hæc quidem sunt a Bosporo Cimmerio ad Bosporum Thracium urbemque Byzantium.

ΤΕΧΝΗ ΤΑΚΤΙΚΗ.

Ι. Ὁ Πύρρου παῖς καὶ Κλέαρχος, οὐχ ὁ τῶν μυρίων Ἑλλήνων ἐπὶ βασιλέα ἡγησάμενος, ἀλλὰ ἄλλος οὗτος Κλέαρχος, καὶ μὴν καὶ Παυσανίου ἐστὶ συγγράμματα ὑπὲρ τούτων· εὕροις δ' ἂν καὶ Εὐαγγέλου, ἀλλὰ καὶ Πολυβίου τοῦ Ἀρκάδος, ὃς καὶ Σκιπίωνι τῷ Ῥωμαίῳ ξυνεγένετο, πολλοὺς καὶ μεγάλους πολέμους διαπολεμοῦντι ἄλλους τε καὶ ἐν ᾧ καὶ Καρχηδόνα τὴν ἐν Λιβύῃ εἶλέν τε καὶ ἠνδραπόδισεν. Συγγέγραπται ἄλλα ὑπὲρ τούτων καὶ Εὐπολέμῳ καὶ Ἰφικράτει, οὐ τῷ Ἀθηναίων στρατηγῷ, ἀλλὰ ἄλλῳ τούτῳ. Ποσειδώνιος δὲ ὁ Ῥόδιος καὶ τέχνην τινὰ τακτικὴν συγγράψας κατέλιπεν. (2) Ἔστι δὲ ξύμπαντα ταῦτα τὰ συγγράμματα ἐκείνῃ μάλιστα οὐκ ὠφέλιμα, ὅτι ὡς πρὸς εἰδότας συγγέγραπται. Καὶ τοίνυν τὰ ὀνόματα τῆς τε ὁπλίσεως ἑκάστης καὶ τῆς τάξεως οἱ μὲν γὰρ ὡς γνώριμα ἀνέγραψαν, τὰ δέ ἐστιν εἰ μὴ ἐξηγήσαιο πάντη ἄγνωστα. (3) Τοῦτο δὲ αὐτὸ ἔδοξέ μοι πρῶτον ἰάσασθαι αὐτῶν τὴν ἀσάφειαν. Ὡς οὖν εὐγνωστότατα ἔσται τοῖς ἐντυγχάνουσι τά τε πράγματα καὶ τὰ ὀνόματα, ἐνθένδε τοῦ λόγου ἄρξομαι.

I. Pyrrhi filius (*Alexander*), et Clearchus, non ille, qui decem Græcorum millia duxit contra regem Persarum, verum alius Clearchus *de arte tactica scripserunt*; porro Pausaniæ quoque scripta de hac materia exstant. Reperias etiam scripta Euangeli, itemque Polybii Arcadis, qui Scipionis Romani fuit comes bella multa maximaque gerentis quum alia tum illud, in quo Carthaginem Libyæ urbem cepit et in servitutem redegit. Alia de hoc argumento conscripserunt Eupolemus et Iphicrates, non ille Atheniensium dux, verum alius. Porro Posidonius Rhodius inter alia etiam Artem quandam tacticam ab ipso conditam reliquit. (2) Sunt autem omnia illa scripta eatenus maxime minus utilia, quatenus in eorum facta sunt usum, qui jam tenent artem; atque ideo vocabula quæ ad singula armaturæ et acierum genera pertinent, velut vulgo nota, commemorare omiserunt, quæ tamen, nisi exponantur, omnino non intelliguntur. (3) Hoc ipsum vero ante omnia necessum esse mihi videbatur, ut obscuritati eorum afferretur remedium. Ergo ut cuilibet in hæc incidenti cognita sint et res et vocabula, inde orationis meæ faciam initium.

ΙΙ. Ὅτι δὴ τῶν παρασκευῶν τῶν εἰς τὸν πόλεμον ἡ μέν τις κατὰ γῆν τυγχάνει οὖσα, ἡ δὲ διὰ θαλάττης· καὶ γὰρ οἱ πολέμιοι πολεμοῦνται οἱ μὲν ἐν γῇ, οἱ δ' ἐν θαλάττῃ. Τῶν δὲ ὁπωσοῦν πολεμούντων, τὸ μέν τί ἐστι μάχιμον, αὐτοὶ οἱ στρατιῶται, τὸ δὲ τοῦ μαχίμου εἵνεκα ἠθροισμένον, ὅσον θητικὸν ἢ ἰατρικὸν ἢ ἐμπορικὸν ἢ καπηλικόν. (2) Τοῦ δὲ αὖ ἐν γῇ μαχίμου ** τὸ δ' ἐπὶ σχήματι ἄλλῳ καὶ ἄλλῳ· καὶ τῆς δευτέρας ἰδέας τὸ μὲν ἱππικόν, ὅπερ ἵπποις χρῆται, τὸ δ' ἐπὶ ἐλεφάντων, καθάπερ τὰ Ἰνδῶν στρατόπεδα καὶ τὰ Αἰθιοπικά, χρόνῳ δ' ὕστερον καὶ Μακεδόνες καὶ Καρχηδόνιοι καί που καὶ Ῥωμαῖοι. (3) Τοῦ δὲ ἀφ' ἵππων μαχητικοῦ τὸ μὲν ἰδίᾳ λεχθείη ἂν ἱππικόν, τὸ δὲ ἐφ' ἁρμάτων. Καὶ τοῦ ἱππικοῦ οἱ μὲν ἱππεῖς, οἱ δὲ ἀμφίπποι· ἱππεῖς μὲν οἱ ἐφ' ἑνὸς ἵππου ὀχούμενοι, ἀμφίπποι δὲ οἱ ἐπὶ δυοῖν ἀστρώτοιν ξυνδεδεμένοιν, ὡς μεταπηδᾶν ἀπ' ἄλλου ἐπ' ἄλλον. (4) Ἡ μὲν δὴ ἀπὸ

II. Omnia quæ ad bellum parantur, vel ad terram pertinent, vel ad mare. Bellantes enim bella gerunt alii terra, alii mari. Eorum autem qui alterutra ratione ad bellum proficiscuntur, alii sunt destinati ad pugnandum, milites scilicet ipsi, alii vero horum causa comparantur, ut operariorum genus, medicorum, mercatorum, cauponum. (2) Eorum autem qui terra militant ** alia aliaque species est. Ac alterius quidem speciei sunt equites, qui utuntur equis, et qui elephantis insident, ut in Indorum exercitibus et Æthiopum, itemque postea apud Macedones et Carthaginienses et interdum etiam apud Romanos. (3) Porro equestrium copiarum genus unum proprie equestre dicitur, alterum vero quod pugnat ex vehiculis. Atque equitum quidem alii equites sunt simpliciter sic dicti, alii amphippi. Simpliciter sic dicti, qui equo utuntur unico; amphippi vero, qui binis non stratis, conjunctis, ut ab altero transiliant in alterum. (4) Pugna vero ex elephantis simplex

τῶν ἐλεφάντων ἁπλῆ ἐστι, πλήν γε δὴ ὅτι καὶ πύργους ἔφερον ἔστιν ὅτε οἱ ἐλέφαντες· τῶν δὲ καὶ οἱ ὀδόντες σιδήρῳ ὀξεῖ ὡπλισμένοι ἦσαν, τοῦ τε τομώτεροι εἶναι καὶ τοῦ μὴ ἀποθραύεσθαι εὐπετῶς. (5) Ἡ δὲ ἀπὸ τῶν ἁρμάτων μάχη πολυειδεστέρα ταύτης· ἦ γὰρ ψιλὰ ἦν τὰ ἅρματα, καθάπερ τὰ Τρωϊκὰ ἦν, ἢ δρεπανηφόρα, ὡς ὕστερον τὰ Περσικὰ, καὶ ἢ πεπραγμένων τῶν ἵππων ἢ ἀπράκτων, καὶ ἢ ἁπλοῦ τοῦ ῥυμοῦ ἢ διπλοῦ· τὰ δὲ καὶ πολύρρυμα.

III. Αἱ δὲ πεζικαί τε καὶ ἱππικαὶ τάξεις καὶ ὁπλίσεις πολυειδεῖς τε καὶ πολύτροποί εἰσιν. Αὐτίκα τῶν πεζῶν ἡ ὅπλισις, ὥς γε ὃ ἐς τὰ ἀνωτάτω τεμεῖν, τριχῇ νενέμηται, ἔς τε τὸ ὁπλιτικὸν καὶ ἐς τὸ ψιλὸν καὶ ἐς τὸ πελταστικόν. (2) Τὸ μὲν δὴ βαρύτατον ὁπλιτικὸν θώρακας ἔχει καὶ ἀσπίδας ἢ θυρεοὺς παραμήκεις καὶ μαχαίρας καὶ δόρατα, ὡς Ἕλληνες, καὶ σαρίσσας, ὡς οἱ Μακεδόνες. (3) Τὸ δὲ ψιλὸν ἐναντιώτατα ἔχει τῷ ὁπλιτικῷ πᾶν, ὅτιπερ ἄνευ θώρακος καὶ ἀσπίδος καὶ κνημῖδος καὶ κράνους ἐκηβόλοις τοῖς ὅπλοις διαχρώμενον τοξεύμασιν ἢ ἀκοντίοις ἢ σφενδόναις ἢ λίθοις ἐκ χειρός. (4) Τὸ πελταστικὸν δὲ κουφότερον μὲν τυγχάνει ὂν τοῦ ὁπλιτικοῦ· ἡ γὰρ πέλτη σμικρότερον τῆς ἀσπίδος καὶ ἐλαφρότερον, καὶ τὰ ἀκόντια τῶν δοράτων καὶ σαρισσῶν λειπόμενα· βαρύτερον δὲ τοῦ ψιλοῦ. (5) Τῷ δὲ ἀκριβεῖ καὶ βαρεῖ ὁπλιτικῷ καὶ κράνη πρόσκειται, ἢ πίλοι Λακωνικοὶ ἢ Ἀρκαδικοὶ καὶ κνημῖδες, ὡς τοῖς πάλαι Ἕλλησιν, ἢ ὡς Ῥωμαίοις κνημὶς μία πρὸ τῆς κνήμης τῆς ἐν ταῖς μάχαις προβαλλομένης, καὶ θώρακες, οἱ μὲν φολιδωτοὶ, οἱ δὲ ἁλύσεσι λεπταῖς ἐπηλλαγμένοι.

IV. Τῆς δὲ ἱππικῆς ὁπλίσεως ἡ μὲν κατάφρακτος τυγχάνει οὖσα, ἡ δὲ ἄφρακτος. Καὶ κατάφρακτος μὲν τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρεχομένη, τοὺς μὲν θώραξι φολιδωτοῖς ἢ λινοῖς ἢ ἐκ κεράτων καὶ περιμηριδίοις, τοὺς ἵππους δὲ παραπλευριδίοις καὶ προμετωπιδίοις. (2) Ἄφρακτος δὲ ἡ ἐναντία· τούτων δὲ οἱ μὲν δορατοφόροι εἰσὶν, ἢ κοντοφόροι ἢ λογχοφόροι, οἱ δὲ ἀκροβολισταὶ μόνον. (3) Δορατοφόροι μὲν οἱ πελάζοντες ταῖς τάξεσι τῶν πολεμίων καὶ δόρασιν ἀπομαχόμενοι ἢ κοντοῖς ἐν τῇ ἐπελάσει ἐξωθοῦντες, ὡς Ἀλανοὶ καὶ Σαυρομάται· ἀκροβολισταὶ δὲ οἱ πόρρωθεν ἀκροβολισμοῖς διαχρώμενοι, καθάπερ Ἀρμένιοι, καὶ Παρθυαίων ὅσοι μὴ κοντοφόροι. (4) Τῆς προτέρας δὲ ἰδέας οἱ μὲν καὶ θυρεοὺς φέρουσιν καὶ καλοῦνται θυρεαφόροι, οἱ δὲ ἄνευ τούτων αὐτὸ μόνον δόρασι καὶ κόντοις μάχονται· οἱ δὴ καὶ δορατοφόροι ἢ κοντοφόροι ὀνομάζονται, ἔστιν δὲ ὑφ' ὧν ξυστοφόροι. (5) Ἀκροβολισταὶ δὲ λεχθεῖεν ἂν οἱ μὴ ἐς χεῖρας ἰόντες, ἀλλὰ πόρρωθεν ἐξακοντίζοντες. Καὶ τούτων οἱ μὲν δορατίοις διαχρῶνται ἐς τὸν ἀκροβολισμὸν, οἱ δὲ τόξοις. Οἱ μὲν δὴ δορατίοις ἀκροβολιζόμενοι Ταραντῖνοι ὀνομάζονται, οἱ δὲ ἕτεροι ἱπποτοξόται. (6) Καὶ αὐτῶν δὲ τῶν Ταραντίνων οἱ μὲν αὐτὸ μόνον πόρρωθεν ἑφιστάμενοι ἢ ἐς κύκλους παριππεύοντες διαest, nisi quod eis turres interdum imponantur, dentes quoque eorum ferro armentur præacuto, quo et vulnera facilius inferre possint, nec ipsi tam prompte præfringantur. (5) At vero pugna, quæ ex vehiculis instituitur, plures habet species. Aut enim nuda erant vehicula, sicut illa ad Trojam, aut falcata, ut postea apud Persas; eaque iterum vel equis cataphractariis, vel nudis, qui rursum vel ad temonem unum sunt juncti, vel ad duos vel etiam ad plures.

III. Exercituum pedestrium equestriumque ordinationes armaque genere et specie multiplicia sunt. Ac peditum quidem armatura, si generatim dividenda, distingui potest in tria genera: in gravis armaturæ unum, et aliud levis armaturæ, et rursum aliud, quod peltastarum est. (2) Gravissimæ armaturæ genus thoracibus instructum est et clypeis sive scutis prælongis, item gladiis et hastis, sicut Græci, et sarissis, sicut Macedones. (3) At vero levis armaturæ genus omnia habet contraria: nam et thorace clypeoque et ocreis et galea destitutum, armis utitur quæ procul jaciuntur, sagittis, jaculis, lapidibus vel funda vel e manu projiciendis. (4) Illud vero quod peltis utitur, levius quidem est quam gravis armaturæ genus; pelta namque levior minorque clypeo, et veruta hastis sarissisque breviora sunt; gravius tamen quam levis armaturæ genus. (5) Militibus autem plane gravis armaturæ sunt etiam galeæ, vel pilei Laconici Arcadicive, et ocreæ, ut apud veteres Græcos, aut, sicuti apud Romanos, ocrea una ad eam scilicet tibiam, quæ in conflictu præponitur; item thoraces e squamis aut annulis parvis consertis.

IV. Equestris autem exercitus aut cataphractis munitus, aut caret cataphractis. Qui cataphractis est munitus, equos pariter ac viros tectos habet armis; hos quidem thoracibus squamatis aut linteis aut ex cornibus, et femoralibus, equos vero munimentis lateralibus et frontalibus. (2) Qui vero nullis cataphractis utitur, aphractus dicitur; ejusque alii hastis utuntur vel contis lanceisve, alii acrobolistæ solummodo sunt. (3) Ac contati quidem acies hostium invadunt, hastisque prœliantur, aut contis, porrigentes eos in incursione, sicut Alani et Sauromatæ; acrobolistæ vero eminus utuntur jaculis, quemadmodum Armenii et Parthorum quotquot non utuntur contis. (4) Prioris autem generis alii etiam scutis utuntur, appellanturque thyreophori (*scutati*); alii absque iis, hastis solis contisve prœliantur, qui propterea doratophori aut contophori (*hastati*), a quibusdam etiam xystophori nuncupantur. (5) Acrobolistæ vero dicuntur, qui haud veniunt ad manus, verum eminus missilia emittunt. Atque horum quidem alii utuntur jaculis, alii sagittis; illi Tarentini, hi hippotoxotæ vocantur. (6) Porro ex ipsis Tarentinis alii stantes eminus, aut circumequitantes jacula emittunt,

χρῶνται τῷ ἀκροβολισμῷ, οἳ δὴ καὶ εἰλικρινεῖς Ταραντῖνοί εἰσιν, οἱ δὲ τὰ πρῶτα ἐξακοντίζοντες, ἔπειτα συμπλέκονται τοῖς πολεμίοις, ἢ δόρυ ἓν ὧν ἔσχον ὑπολειπόμενοι ἢ καὶ σπάθῃ διαχρώμενοι· καὶ οὗτοι καλοῦνται ἐλαφροί. (7) Ῥωμαίοις δὲ οἱ ἱππεῖς οἱ μὲν κοντοὺς φέρουσιν, καὶ ἐπελαύνουσιν εἰς τὸν τρόπον τὸν Ἀλανικὸν καὶ τῶν Σαυροματῶν, οἱ δὲ λόγχας ἔχουσι. (8) Σπάθη δὲ μακρὰ καὶ πλατεῖα ἀπήρτηται αὐτοῖς ἀπὸ τῶν ὤμων, καὶ θυρεοὺς πλατεῖς παραμήκεις φέρουσιν, καὶ κράνος σιδηροῦν καὶ θώρακα τὸν πεπλεγμένον καὶ κνημῖδας μικράς. (9) Λόγχας δὲ ἑς ἀμφότερα φέρουσι, καὶ ἀκοντίσαι μακρόθεν, ὁπότε τούτου δέοι, καὶ ἐγγύθεν ἐκ χειρὸς ἀπομάχεσθαι· συμπλακῆναι δὲ εἰ δεήσοι εἰς χεῖρας ἐλθόντας, ταῖς σπάθαις μάχονται. Οἱ δὲ καὶ πελέκεις μικροὺς φέρουσι, πάντοθεν ἐν κύκλῳ ἀκωκὰς ἔχοντας.

V. Ἑκάστης δὲ τάξεως πεζικῆς τε καὶ ἱππικῆς συστήματά τ' ἐστι καὶ ἡγεμόνες καὶ ἀριθμὸς καὶ ὀνόματα, ὡς δέχεσθαι ὀξέως τὰ παραγγελλόμενα, ὑπὲρ ὧν ἤδη λεκτέον. (2) Πρῶτον μὲν δὴ καὶ μέγιστον τῶν ἐν στρατηγίᾳ ἔργον παραλαβόντα πλῆθος ἀνθρώπων ἀθρόον καὶ ἄτακτον ἐς τάξιν καὶ κόσμον καταστῆσαι· τὸ δ' ἔστιν καταλοχίσαι τε καὶ ξυλλοχίσαι, ἀριθμόν τε ἐπιθεῖναι τῷ πλήθει παντὶ ξύμμετρον καὶ ἐπιτήδειον ἐς τὰς μάχας. (3) Τὸ γὰρ συντεταγμένον στράτευμα ἔν τε τῇ πορείᾳ κουφότερον καὶ ἐν στρατοπεδείᾳ ἀσφαλέστερον καὶ ἐς τὰς μάχας ὠφελιμώτερον, ὥστε ἤδη καὶ μεγάλα στρατόπεδα καὶ εὐοπλοῦντα δι' ἀταξίαν διαφθαρέντα ἴσμεν ὑπὸ ἐλάττονός τε στρατιᾶς καὶ οὐκ ἀκριβῶς ὡπλισμένης, τὰ δὲ ἀσθενέστερα καὶ οὐκ εὐοπλοῦντα κρατήσαντα τοῦ πλήθους τῇ εὐταξίᾳ. (4) Τὸ μὲν δὴ καταλοχίσαι ἐστὶν εἰς λόχους συντάξαι. Ὁ δὲ λόχος ὀνομάζεται ἀριθμὸς ἀνδρῶν ἀπὸ τοῦ ἡγουμένου καὶ τῶν μετὰ τούτου κατόπιν τεταγμένων ἔστ' ἐπὶ τὸν τελευταῖον κατὰ τὸ βάθος, ὃς δὴ οὐραγὸς καλεῖται. (5) Ἀριθμὸν δὲ τοῦ λόχου οἱ μὲν ὀκτὼ ἀνδρῶν ἐποίησαν, οἱ δὲ δέκα, οἱ δὲ δύο ἐπὶ τοὺς δέκα, οἱ δὲ καὶ ἑκκαίδεκα. Ἐκκείσθω δὲ ἡμῖν τὸ βαθύτατον αὐτοῦ ἐς ἑκκαίδεκα. Σύμμετρον γὰρ τοῦτο πρός τε τὴν ἐπὶ μῆκος τάξιν καὶ πρὸς τὴν ἐς βάθος τῆς φάλαγγος καὶ πρὸς τὸ ὑπερτοξεύεσθαί τε καὶ ὑπερακοντίζεσθαι πρὸς τῶν ψιλῶν τῶν ἐφεστηκότων. (6) Καὶ εἴ τε διπλασιάσαι δεήσειεν τὸ βάθος ἐπὶ τριάκοντα δύο ἄνδρας, ἡ τάξις σύμμετρος ἔσται· εἴ τε αὖ μηκῦναι τὸ μέτωπον ἐς ὀκτὼ, ἔσται οὐ πάντη ἀβαθὴς ἡ φάλαγξ· τὴν δὲ εἰς ὀκτὼ εἰ ἐκτεῖναι ἐθελήσειας ἐπὶ τέσσαρας, ἀβαθὴς γίνεται. Χρὴ οὖν τὸν λοχαγὸν ἢ πρῶτον τοῦ λόχου ταττόμενον, τὸν κράτιστον ἐπιλέγεσθαι· ὁ δὲ αὐτὸς καὶ πρωτοστάτης καὶ ἡγεμὼν καλεῖται.

VI. Τὸν δὲ λόχον καὶ στίχον ἤδη τινὲς ὀνομάζουσιν, οἱ δὲ δεκανίαν, τυγὸν οἷς ἐκ δέκα ὁ λόχος ἦν. (2) Ὑπὲρ δὲ τῆς ἐνωμοτίας ἀμφιγνοούμενόν ἐστιν· οἱ μὲν γὰρ ἄλλο ὄνομα τῷ λόχῳ εἶναι τοῦτο, οἱ δὲ τὸ τέταρτον τοῦ λόχου ἐνωμοτίαν καλοῦσιν, καὶ ἐνωμοτάρχην τὸν τούτου ἡγούμενον, τὰς δὲ δύο ἐνωμοτίας διμοιρίαν καὶ τὸν

quales specialiori sensu dicuntur Tarentini, alii primo quidem jacula emittunt, deinde vero cominus congrediuntur cum hoste, vel jaculum unum ex iis, quæ habebant, ad hoc sibi reliquum facientes vel etiam gladio utentes; atque hi quidem appellantur leves. (7) Equitum vero Romanorum alii gestant contos, irruuntque more Alanorum aut Sauromatarum: alii vero habent lanceas. (8) Gladius vero magnus latusque dependet ab ipsorum humeris, et scuta gestant lata et oblonga, et galeam ferream et thoracem sutilem et ocreas parvas. (9) Lanceas autem gestant duplici fine, et ut emittant eminus, si videatur utile, et e propinquo cominus cum eis certent manu; sin propius etiam congressis ipsa manus conserenda est, tum vero gladiis pugnant. Alii et secures parvas gestant undique cuspidibus armatas.

V. Cujuslibet autem exercitus sive pedestris sive equestris certa quædam sunt corpora certique duces ac numeri, eorumque vocabula certa, quo celerius mandata expedire valeant, de quibus nunc dicendum. (2) Primum igitur maximumque omnium in arte militari opus est, multitudinem hominum collectam temere promiscuamque ubi ceperis, eam bene decenterque distribuere in suos ordines, et ordines eos inter se sociare, et singulorum definire numerum, convenientem toti multitudini, et idoneum ad conflictum. (3) Exercitus enim bene ordinatus et in itinere est expeditior et in castris tutior et in prœliis utilior, adeo ut magnos etiam exercitus beneque armatos propterea, quod essent negligentioris ordinis, sciamus profligatos a paucioribus nec bene armatis, et contra viribus inferiores maleque armatos eo quod bene ordinati essent vicisse magnum numerum. (4) Ceterum distribuere in ordines, est conjungere certos quosdam in unum ordinem. Ordo autem nominatur certus numerus virorum a præfecto suo iisque, qui sequuntur ipsum, a tergo constitutorum usque ad postremum, secundum latitudinem, qui uragus dicitur. (5) Numerum autem ordinis alii definiverunt viris octo, alii decem, alii duodecim, alii etiam sedecim. Nobis autem summus latitudinis illius numerus sit virorum sedecim; convenientem enim habet magnitudinem et ad longitudinem et ad latitudinem phalangis, et transmittere jacula velites a tergo stantes poterunt. (6) Et sive duplicetur latitudo, fiatque virorum octo, non tamen latitudine omni phalanx erit destituta; si vero numerus ejus octonarius dividatur in quaternarium, plane latitudo omnis amittetur. Oportet autem præfectum primumve ordinis cujuslibet eligere sibi optimum, qui protostata vel ductor vocatur.

VI. Ordinem autem aliqui et versum vocant, aliqui etiam decuriam, forsan quod ex decem apud eos viris constaret. (2) De Enomotiæ autem vocabulo alia aliaque est sententia. Quidam enim putant aliud hoc ordinis nomen esse, alii quartam partem ordinis enomotiam et præfectum ejus enomotarcham dicunt; duas autem enomotias, dimœriam, cum-

ἡγούμενον τούτου διμοιρίτην. (3) Ξενοφῶν δὲ πόστον μὲν μέρος τοῦ λόχου ἡ ἐνωμοτία ἐστὶν, οὐ διασαφεῖ· ὅτι δὲ μεῖον καὶ πάντως γε τῷ ἡμίσει, δηλοῖ ἐν ᾧ λέγει, ὅτι οἱ λοχαγοὶ κατ' ἐνωμοτίας ἕκαστος ἐποιήσαντο τὸν αὐτοῦ λόχον. (4) Ὁ μὲν δὴ τοῦ λοχαγοῦ κατόπιν ἑστὼς ἐπιστάτης καλεῖται· ὁ δὲ αὖ κατόπιν τούτου, πρωτοστάτης· ὁ δ' ἐπὶ τούτου, ἐπιστάτης· ὡς τὸν πάντα τοῦ λόχου στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν τετάχθαι παραλλὰξ ἱσταμένων. (5) Χρὴ δὲ μὴ μόνον τὸν λοχαγὸν τὸν κράτιστον τοῦ λόχου εἶναι, ἀλλὰ καὶ οὐραγὸν οὐ πολύ τι ἀποδέοντα ἐπιλέγεσθαι· πολλὰ γὰρ καὶ τούτῳ καὶ οὐ τὰ φαυλότατα ἐν τοῖς πολεμικοῖς ἐπιτέτραπται. (6) Εἴη ἂν οὖν ὁ λόχος, στίχος ἐξ ἐπιστατῶν καὶ πρωτοστατῶν, ἐν μέσῳ λοχαγοῦ τε καὶ οὐραγοῦ συντεταγμένος.

VII. Συλλοχισμὸς δ' ἐστὶ παράθεσις λόχου ἑτέρῳ λόχῳ. Γίνεται δὲ εἰ τῷ τοῦ πρώτου στίχου λοχαγῷ ὁ τοῦ δευτέρου λοχαγὸς ἐπισταθείη, τῷ δὲ τούτου ἐπιστάτῃ ὁ τοῦ δευτέρου λόχου ἐπιστάτης, καὶ ἑφεξῆς οὕτως. (2) Παραστάτης δὲ πᾶς ὁ συζυγῶν ὀνομάζεται, λοχαγὸς μὲν ὁ πρῶτος τῷ δευτέρῳ λοχαγῷ, ἐπιστάτης δὲ ὁ πρῶτος τῷ δευτέρῳ ἐπιστάτῃ, καὶ τοῦτο ἑφεξῆς ἔστ' ἐπὶ τοὺς οὐραγοὺς τῶν λόχων. Ἐπειδὰν οὖν πολλοὶ ἑφεξῆς λόχοι ταχθῶσι, συλλοχισμὸς τὸ τοιόνδε καλεῖται.

VIII. Τὸ δὲ σύμπαν σύνταγμα τοῦ πλήθους φάλαγξ ὀνομάζεται· ἧς μῆκος μὲν τὸ πρῶτον ἂν εἴη ἐκ τῶν λοχαγῶν σύνταγμα, ὅπερ καὶ μέτωπον ἤδη τινὲς ὀνομάζουσιν· ἔστιν δὲ οἱ πρόσωπον καὶ ζυγὸν, καὶ στόμα δὲ οἱ ἄλλοι ταὐτὸν τοῦτο, καὶ πρωτολοχίαν ἄλλοι. (2) Τὸ δὲ κατόπιν τοῦ μετώπου ἅπαν, ὅ ἐστιν ἐπὶ τοὺς οὐραγοὺς, βάθος ὀνομάζεται. Καὶ τὸ μὲν κατὰ μῆκος ἐπ' εὐθείας εἶναι τοῖς πρωτοστάταις ἢ τοῖς ἐπιστάταις συζυγεῖν καλοῦσι, στοιχεῖν δὲ τὸ κατὰ βάθος τῷ ἐπ' εὐθείας εἶναι τοῖς οὐραγοῖς καὶ λοχαγοῖς. (3) Τέμνεται δὲ ἡ φάλαγξ εἰς μέρη τὰ μέγιστα δύο, δίχα διαιρουμένου τοῦ παντὸς μετώπου ἔστ' ἐπὶ τὸ πᾶν βάθος. Καὶ τούτου τὸ μὲν ἥμισυ τὸ ἐν δεξιᾷ, δεξιὸν καλεῖται κέρας καὶ κεφαλή· τὸ δ' ἐν ἀριστερᾷ, εὐώνυμον κέρας καὶ οὐρά. (4) Ἵνα δὲ (ὅπου) ἡ διχοτομία γίνεται τοῦ μήκους, ὀμφαλὸς ὀνομάζεται καὶ στόμα καὶ ἀραρός.

IX. Ἐπὶ δὲ τοῖς ὁπλίταις τὸ πολὺ οἱ ψιλοὶ τάττονται, ὡς αὐτοῖς μὲν τὴν σκέπην ἐκ τῶν ὅπλων εἶναι, τοῖς δὲ ὁπλίταις αὖ τὴν ὠφέλειαν ἐκ τῶν κατόπιν ἀκοντισμάτων. (2) Οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλῃ χώρᾳ ἤδη ψιλοὶ ἐτάχθησαν, ὁπότε οὕτω δέοι, ἢ ἐπὶ κέρως ἑκατέρου, ἢ εἰ πρόβλημα εἴη τοῦ ἑτέρου κέρως ποταμὸς ἢ τάφρος ἢ θάλασσα, ἐπὶ τοῦ ἑτέρου μόνον ὑπερδεξίως τοῦ χωρίου τοῦ ἀποκρούεσθαι τῶν πολεμίων τὴν ταύτῃ ἔφοδον, ἢ ἐς κώλυσιν κυκλώσεως· καὶ γὰρ αἱ τῶν ἱππέων τάξεις ἄλλοτε ἄλλῃ καθίστανται, ὅπως ἂν μέλλωσι ταχθέντες ὠφελιμοι ἔσεσθαι. (3) Τὸ μὲν οὖν ἅπαν πλῆθος τῆς στρατιᾶς ὁπόσον χρὴ εἶναι, οὐκ ἐπὶ τῷ στρατηγῷ ἐλέσθαι τὸ δέον· ὅπως δὲ συντάξῃ τε καὶ ἀσκήσῃ καὶ ἐκ τά-

que qui ipsi præest, dimœritam. (3) Xenophon, quanta pars sit ordinis enomotia, non declarat, sed minorem locho esse saltem parte dimidia, apparet ex eo loco, ubi lochagos per enomotias dicit constituisse suum quemque ordinem. (4) Ceterum qui locum suum habet statim post lochagum, epistates dicitur; qui vero post hunc, protostates; et qui post ipsum, iterum epistates, ut totus ordinis versus sit compositus ex protostatis et epistatis per vices. (5) Oportet autem non lochagum solum optimum ordinis totius, sed uragum quoque non multo deteriorem eligi. Multa enim huic quoque, eaque non levia, in prœliis committuntur. (6) Est igitur ordo, versus ex epistatis protostatisque in medio lochagi et uragi constitutus.

VII. Syllochismus vero est conjunctio lochi seu ordinis unius cum altero, fitque quum primi ordinis lochagus lochago secundi adjungitur, ejusdem epistatæ epistates ordinis secundi, atque sic deinceps. (2) Parastates autem appellatur, qui in jugo alii associatur, ut lochagus primus lochago secundo, epistates primus epistatæ secundo, atque sic deinceps usque ad uragos ordinum. Quumque multi ordines sic inter se sunt sociati, syllochismus id vocatur.

VIII. Tota autem omnis multitudinis conjunctio phalanx appellatur. Cujus longitudo est consociatio prima ex lochagis constans, quæ frons a quibusdam dicitur. Sunt qui et faciem et jugum et os hoc ipsum, itemque qui protolochiam seu primum ordinem appellent. (2) Quicquid autem est post frontem ad uragos usque, latitudo dicitur. Qui vero in longitudinem directe inter se sunt conjuncti protostatæ aut epistatæ, dicuntur jugare; qui autem secundum latitudinem directe inter se sunt conjuncti cum uragis et lochagis, versare. (3) Dividitur autem phalanx in partes duas maximas, divisione frontis per totam latitudinem. Et harum quidem partium una dimidia, quæ a dextra est, dextrum appellatur cornu sive caput; quæ vero a sinistra, sinistrum cornu sive cauda. (4) Ubi autem est divisio illa longitudinis, ibi dicitur esse umbilicus et os et compago.

IX. Post graviter armatos plerumque collocantur leves, ut ipsi quidem habeant munimentum ab illorum armis; graviter armati autem commodum ex missilium jaculatione, facta ab iis, qui post ipsos collocati sunt. (2) Quanquam etiam alio in loco, si opus fuerit leviter armati sint collocati, vel ad utrumque cornu, vel si alterum ex his munitum fuit flumine aut fossa aut mari, tantum ad alterum idque ad reprimendum ex superiori loco hostium incursum in illud, aut ad prohibendam ejus circumventionem. Equestres quoque copiæ alias aliter ordinantur, prouti vel hac vel illa ordinatione utiliores sunt futuræ. (3) Jam ut universam exercitus multitudinem tantam habeat, quantam habere debet, imperator, non est penes ipsum: verum ut bene com-

ξεως ἐς τάξιν ἄλλην εὐπετῶς μεταχινήσῃ, τοῦτο ἐπασκητέον. (4) Τόσον δὲ μέντοι συμβουλεύσαιμ' ἂν τῷ στρατηγῷ, ἐκ τοῦ παντὸς πλήθους τῆς στρατιᾶς τοσούτους ἐς τὰς μάχας ἐξαγαγεῖν, ὁπόσοι ἐπιτήδειοι ἔσονται πρὸς τὰς μεταβολάς τε τῶν τάξεων καὶ τὰς μεταχινήσεις, οἷον τοὺς διπλασιασμοὺς καὶ πολυπλασιασμοὺς καὶ ὅσας πτύξεις ἢ ἐξελιγμοὺς ἢ εἰ δή τινες ἄλλαι μεταβολαὶ τάξεων. (5) Ἔνθεν δὴ τούτους μάλιστα τοὺς ἀριθμοὺς ἐπελέξαντο οἱ δεινοὶ ἀμφὶ ταῦτα, ὅσοι ἀριθμοὶ μέχρι μονάδος οἷοί τε δίχα διαιρεῖσθαι, ὁποία ἐστὶν ἡ τῶν μυρίων καὶ ἑξακισχιλίων καὶ τριακοσίων καὶ ἐπὶ τούτοις τεσσάρων καὶ ὀγδοήκοντα τάξις εἰ τύχοι οὖσα ὁπλιτική· ταύτης δὲ ἡμίσειαν τὴν τῶν ψιλῶν, καὶ ταύτης ἔτι ἡμίσειαν τὴν τῶν ἱππέων. Οὗτος γάρ τοι ὁ ἀριθμὸς μέχρι μονάδος δίχα τέμνεται, ὥστε διπλασιάζειν αὐτὸν ἐς τὸ βάθος ξυνάγοντα, καὶ αὖ ἐκτείνειν ἀναπτύσσοντα εὔμαρες καθίστασθαι, ὁπότε τούτου δεήσειεν. (6) Αὐτίκα ἐπεὶ τῷ λόχῳ ἑκκαίδεκα ἀνδρῶν τὸ βάθος ὑπεθέμεθα, τέσσαρες καὶ εἴκοσι ἐπὶ τοῖς χιλίοις ἔσονται οἱ λόχοι ἐν τῷδε τῷ ἀριθμῷ· καὶ οὗτοι μεμερισμένοι ἐς τάγματα, ὧν ἑκάστῳ καὶ ὄνομα οἰκεῖον πρόκειται.

X. Οἱ μέν γε δύο λόχοι διλοχία καλεῖται, ἐξ ἀνδρῶν δύο καὶ τριάκοντα, καὶ διλοχίτης ὁ τούτου ἡγούμενος· ** τετράρχης τεσσάρων καὶ ἑξήκοντα ἀνδρῶν ἔξαρχος. (2) Αἱ δὲ δύο τετραρχίαι τάξις λόχων μὲν ὀκτώ, ἀνδρῶν δὲ ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὁ τούτων ἡγούμενος ταξιάρχης. (3) Ὅπου δὲ ἐξ ἑκατὸν γίνεταί τι σύνταγμα, ἑκατοντάρχης ὁ τούτου αὖ ἡγεμὼν ὀνομάζεται· ** λόχων μὲν ἑκκαίδεκα, ἀνδρῶν δὲ ἐξ καὶ πεντήκοντα καὶ διακοσίων, καὶ ὁ τούτου αὖ ἡγούμενος, συνταγματάρχης. Οἱ δὲ ξεναγίαν τοῦτο ὀνομάζουσι, καὶ ξεναγὸν τὸν τούτου ἡγούμενον. (4) Καθ' ἑκάστην δὲ σύνταξιν τῶν ἐξ καὶ πεντήκοντα καὶ διακοσίων ἐπίλεκτοί εἰσι σημειοφόρος, οὐραγός, σαλπιγκτής, ὑπηρέτης, στρατοκήρυξ· καὶ τὸ πᾶν σύνταγμα ἐς τετράγωνον σχῆμα ταχθὲν ἐς ἑκκαίδεκα ἔχει τὸ μῆκος καὶ τὸ βάθος. (5) Τὰ δὲ δύο συντάγματα γίνεται ἀνδρῶν δώδεκα καὶ πεντακοσίων, λόχων δύο καὶ τριάκοντα, καὶ τούτων ὁ ἡγούμενος πεντακοσιάρχης· ** Αἱ δὲ δύο χιλιαρχίαι μεραρχία, δισχιλίων ἀνδρῶν καὶ ὀκτὼ καὶ τεσσαράκοντα, καὶ ὁ τούτου ἔξαρχος μεράρχης, λόχων ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν. Οἱ δὲ καὶ τέλος τοῦτο ὀνομάζουσιν. (6) Αἱ δὲ δύο μεραρχίαι φαλαγγαρχία, τετρακισχιλίων ἀνδρῶν καὶ ἓξ καὶ ἐνενήκοντα, λόχων ἓξ καὶ πεντήκοντα καὶ διακοσίων· καὶ ὁ τούτου αὖ ἡγούμενος, φαλαγγάρχης. Οἱ δὲ στρατηγίαν τοῦτο ὀνομάζουσι, καὶ τὸν ἡγούμενον στρατηγόν. (7) Αἱ δὲ δύο φαλαγγαρχίαι διφαλαγγαρχία, δύο ἀνδρῶν καὶ ἐνενήκοντα καὶ ἑκατὸν καὶ ὀκτακισχιλίων, λόχων δώδεκα καὶ πενταχοσίων. Ἔστι δὲ τὸ τάγμα τοῦτο καὶ μέρος, καὶ κέρας. (8) Αἱ γάρ τοι δύο διφαλαγγαρχίαι τετραφαλαγγαρχία τε καλεῖται καὶ λόχων γίνεται χιλίων καὶ εἴκοσι καὶ τεττάρων, ἀνδρῶν μυρίων ἑξακισχιλίων τριακοσίων ὀγδοήκοντα ἑπόντων τεσσάρων· (9) ὄντινα τὸν πάντα ἀριθμὸν τῇ πεζικῇ τάξει ὑπεθέμεθα,

ponat eam et exerceat et ex alio in alium ordinem facile transducere possit, hoc ei curandum est. (4) Atque suaserim ego imperatori, ut ex omni exercitûs multitudine tot tantum in pugnam educat, quot idonei futuri sint ad transmutationes acierum variationesque, quales sunt duplicationes et multiplicationes vel coarctationes et dilatationes et si quæ aliæ mutationes acierum. (5) Hinc etiam eos maxime numeros elegerunt viri harum rerum periti, quos ad unitatem usque licet in duo dividere, uti verbi causa sedecim millium et trecentorum, et præterea octoginta quattuor virorum aciem gravis armaturæ; hujus autem dimidium levis armaturæ, et hujus rursum dimidium equitum aciem. Hic enim numerus usque ad unitatem dividi potest, adeo ut duplicare eum in latitudinem coactum et rursus explicare res sit facilis effectu, quando usus ejus veniat. (6) Et quia ordinis versusve cujuslibet latitudinem virorum sedecim constituimus, quattuor et viginti supra mille ordines erunt dicti numeri totius. Hi autem dividuntur in tagmata sua, quorum quodlibet deinde suum proprium habet nomen.

X. Nam ordines duo juncti inter se vocantur dilochia, constans viris triginta duobus, quique præest eis, dilochita; ** tetrarcha vero, qui viris sexaginta quattuor præest. (2) Duæ autem tetrarchiæ appellantur taxis, ordinum quidem octo, virorum vero centum viginti octo, quique præest eis, taxiarcha. (3) Sin ex viris centum corpus fit, is qui præest ei, hecatontarcha nominatur. (*Duæ taxes vocantur syntagma,*) ordinum quidem sedecim, virorum autem ducentorum quinquaginta sex, quique ei præest, syntagmatarcha. Quidam vero corpus hoc xenagiam nominant, quique præest ei, xenagum. (4) In quolibet autem corpore virorum ducentorum quinquaginta sex selecti sunt viri, signifer, uragus, tubicen, minister, præco; totumque quadrata figura dispositum sedecim viros habet in longitudinem, et sedecim in latitudinem. (5) Duo autem syntagmata continent viros quingentos et duodecim, ordines duos et triginta, quique his præest, pentacosiarcha dicitur.* Duæ autem chiliarchiæ, merarchia, quæ continet viros bis mille quadraginta octo, quique præest eis, merarcha dicitur, ordines autem sunt centum viginti octo. Quidam corpus hoc appellant telos. (6) Duæ porro merarchiæ phalangarchia dicuntur, quæ continet viros quater mille nonaginta sex, ordines ducentos quinquaginta sex, quique præest ei, phalangarcha nominatur. Aliqui hoc corpus vocant strategiam, quique præest ei, strategum. (7) Duæ autem phalangarchiæ diphalangarchia, quæ continet viros octies mille centum nonaginta duos, ordines quingentos et duodecim. Dicitur autem hoc corpus a quibusdam etiam pars et cornu. (8) Duæ autem diphalangarchiæ dicuntur tetraphalangarchia, quæ habet ordines mille viginti quattuor, viros decies sexies mille trecentos octoginta quattuor: (9) quem numerum tanquam totius exercitus pedestris posuimus.

καὶ εἶεν ἐν τούτῳ κέρατα μὲν δύο, φαλαγγαρχίαι δὲ τέσσαρες, καὶ μεραρχίαι δὲ ὀκτὼ, χιλιαρχίαι δὲ ἑκκαίδεκα, πενταχοσιαρχίαι δὲ δύο καὶ τριάκοντα, συνταγματαρχίαι δὲ τέσσαρες καὶ ἑξήκοντα, ταξιαρχίαι δὲ [ὀκτὼ] καὶ εἴκοσι καὶ ἑκατὸν, τετραρχίαι δὲ ἓξ καὶ πεντήκοντα καὶ διακόσιαι, διλοχίαι δὲ πεντακόσιαι καὶ δέκα δύο, λόχοι δὲ εἴκοσι καὶ χίλιοι τεσσάρων ἐπόντων.

XI. Τάττεται δὲ ἡ φάλαγξ ἐπὶ μῆκος ὅπου μὲν ἀραιοτέρα, εἰ ἥ τε χώρα παρέχοι καὶ ὠφελιμώτερον εἴη, ὅπου δὲ πυκνοτέρα, εἰ αὐτῇ τῇ πυκνότητι καὶ τῇ ῥώμῃ τοὺς πολεμίους ἐξῶσαι δέοι· (2) καθάπερ Ἐπαμινώνδας ἔν τε Λεύκτροις αὐτοὺς τοὺς Θηβαίους ἔταξε καὶ πρὸς Μαντινείας τοὺς πάντας Βοιωτοὺς, ὥσπερ ἔμβολον ποιήσας, καὶ ἐπάγων τῇ τάξει τῶν Λακεδαιμονίων· ἢ αὖ εἰ δέοι τοὺς ἐπελαύνοντας ἀποκρούσασθαι, καθάπερ πρὸς τοὺς Σαυρομάτας τε καὶ τοὺς Σκύθας χρὴ τάττειν. (3) Καὶ ἔστι πύκνωσις μὲν ἡ ἐκ τοῦ ἀραιοτέρου ἐς τὸ πυκνότερον συναγωγὴ κατὰ παραστάτην τε καὶ ἐπιστάτην, ὅπερ ἐστὶ κατὰ μῆκός τε καὶ βάθος. (4) Συνασπισμὸς δὲ ἐπειδὰν εἰς τοσόνδε πυκνώσῃς τὴν φάλαγγα, ὡς διὰ τὴν συνέχειαν μηδὲ χλίσιν τὴν ἐφ' ἑκάτερα ἔτ' ἐγχωρεῖν τὴν τάξιν. Καὶ ἀπὸ τοῦδε τοῦ συνασπισμοῦ τὴν χελώνην Ῥωμαῖοι ποιοῦνται, τὸ πολὺ μὲν τετράγωνον, ἔστιν δὲ ὅπου καὶ στρογγύλην ἢ ἑτερομήκη ἢ ὅπως ἂν προχωρῇ. (5) Οἱ μὲν ἐν κύκλῳ τοῦ πλινθίου ἢ τοῦ κύκλου ἑστηκότες τοὺς θυρεοὺς προβέβληνται πρὸ σφῶν, οἱ δ' ἐφεστηκότες αὐτοῖς ὑπὲρ τῶν κεφαλῶν ἄλλος ὑπὲρ τοῦ ἄλλου ὑπεραιρήσας προβάλλεται· (6) καὶ τὸ πᾶν οὕτως ἀκριβῶς φράττεται, ὥστε καὶ ἀκοντιστὰς ἄνωθεν καθάπερ ἐπὶ στέγης διαθέοντας δέχεσθαι, καὶ λίθους ἀμαξιαίους μὴ διαλύειν τὴν σύγκλεισιν, ἀλλὰ κατακυλιομένους τῇ ῥύμῃ ὑπερπίπτειν εἰς τὸ ὰπεδον.

XII. Ἀγαθὸν δὲ εἴπερ τι ἄλλο καὶ τὸ τοὺς λοχαγοὺς τοὺς μεγίστους τε καὶ κρατίστους εἶναι, καὶ τῶν κατὰ πόλεμον δαημονεστάτους. (2) Τοῦτο γάρ τοι τὸ ζυγὸν ξυνέχει τὴν πᾶσαν φάλαγγα, καὶ τὸ ἴσον παρέχεται ἐν ταῖς μάχαις ὅτιπερ τὸ στόμωμα τῷ σιδήρῳ· ὁποῖον γὰρ ἦ τοῦτο ἐν ᾧ ἡ τομὴ τοῦ σιδήρου, οὕτω καὶ ὁ πᾶς σίδηρος τὸ αὐτὸ ἐργάζεται· ἡ μέν γε τομὴ αὐτῷ κατὰ τὸ στόμωμα γίγνεται, τὸ δὲ ὑπόλοιπον, καὶ εἰ μαλθακὸν τύχοι ὄν, τῷ βάρει ὅμως ξυνεπερείδει τῷ τέμνοντι· οὕτω καὶ τῆς φάλαγγος στόμωμα μὲν θείη τις ἂν τὸ ἐκ τῶν λοχαγῶν σύνταγμα, ὄγκον δὲ καὶ βάρος τὸ κατόπιν τούτων πλῆθος. (3) Δευτέρους δ' ἐπὶ τούτοις κατ' ἀρετὴν χρὴ εἶναι τοὺς τῶν λοχαγῶν ἐπιστάτας· καὶ γὰρ τὸ τούτων δόρυ ἐξικνεῖται ἔστε ἐπὶ τοὺς πολεμίους, καὶ τοὺς ὠθισμοὺς τοῖς προτεταγμένοις σφῶν ἐγγύθεν συνερείδουσιν. (4) Ἤδη δέ τις καὶ μαχαίρᾳ τοῦ ἐναντίου ἐφικέσθαι ἠδυνήθη, ὑπερενεγκὼν ὑπὲρ τὸν ἔμπροσθεν τεταγμένον τὴν πληγὴν, καὶ πεσόντος ἡγεμόνος ἢ καὶ τρωθέντος ὡς ἀπόμαχον γενέσθαι, προπηδήσας ὁ πρῶτος ἐπιστάτης ἐς λοχαγοῦ τάξιν τε καὶ ἀξίωσιν κατέστη, καὶ ἀῤῥαγῆ τὴν πᾶσαν φάλαγγα παρέσχετο. (5) Τὸ δὲ γ' καὶ δ'

Fuerint ergo in eo cornua quidem duo, phalangarchiæ vero quattuor, merarchiæ octo, chiliarchiæ sedecim, pentacosiarchiæ duæ et triginta, syntagmatarchiæ quattuor et sexaginta, taxiarchiæ centum viginti (*octo*), tetrarchiæ ducentæ quinquaginta sex, dilochiæ quingentæ duodecim, lochi sive ordines mille viginti quattuor.

XI. Collocatur autem phalanx in longitudine quidem aliquando largius, si permittit locus et utile est; aliquando vero densius, quo condensatione tali et robore tutius hostes possint invadi: (2) quemadmodum Epaminondas in pugna Leuctrica ordinavit Thebanos, et ad Mantineam omnes Boeotios, velut cuneum constituens, et ita irruens in aciem Lacedæmoniorum; vel etiam, quo incurrentes possint submoveri; quemadmodum contra Sauromatas et Scythas hoc est utile. (3) Est autem condensatio, acici largius stantis in angustius coarctatio secundum parastatam et epistatam, hoc est, in longitudinem pariter ac latitudinem. (4) Synaspismus vero, quum phalanx condensatur in tantum, ut propter continuitatem in latus nullum amplius vergere ordines possint. Et per hujusmodi synaspismum Romanorum fit testudo, plerumque quadrata, aliquando tamen etiam ovali figura, vel altera parte longior, vel si quam aliam formam res suppeditaverint. (5) Quique in ea vel oblonga vel rotunda circumquaque stant primi, scuta ante se protendunt, qui vero constituti sunt post ipsos, tendunt ea super istorum capita, et alii super horum, (6) atque ita totum corpus undiquaque tegitur, adeo, ut et jaculatores superne velut in tecto percurrentes sustinere queat nec saxa ingentia compagem istam dissolvant, sed super eam devolvantur et sic in humum decidant.

XII. Utile vero, si quid aliud, ut lochagi sint maximi et fortissimi et rerum bellicarum peritissimi. (2) Horum enim jugum continet phalangem totam, idemque in præliis est quod ferro est acies. Nam qualis est ea ferri pars quæ scindit, tale se totum præbet ferrum: scindendi autem facultas ferro est secundum robur aciei, reliqua vero pars, etiamsi mollis fuerit, tamen pondere suo etiam ipsa vim acici adauget. Ad eundem plane modum acies quasi phalangis corpus est ex lochagis constans, moles vero ac pondus, multitudo cetera post ipsos collocata. (3) Proximos a lochagis virtute esse oportet lochagorum epistatas. Nam horum quoque hastæ se extendunt usque ad hostes, ipsique simul cum stantibus ante se ex propinquo impressionem faciunt. (4) Interdum etiam gladio hostem attingere possint ictum inferentes supra protostatam. Porro cadente duce vel etiam vulnerato et inutili facto ad pugnam, procurrens epistata primus in lochagi locum ac munus succedere, atque ita phalangem integram imperturbatamque conservare solet. (5) Tertium

ζυγὸν κατὰ λόγον ἤδη τῆς ἀπὸ τοῦ πρώτου ἀποστάσεως ἐπιλεγομένους ταχτέον. (6) Ταύτῃ τοι ἡ Μακεδονικὴ φοβερὰ τοῖς πολεμίοις οὐκ ἐν τῷ ἔργῳ μόνον, ἀλλὰ καὶ ἐν τῇ ὄψει ἐφαίνετο. Ἀνὴρ γὰρ ὁπλίτης εἱστήκει αὐτοῖς κατὰ πύκνωσιν ἐν δύο πήχεσι μάλιστα· (7) τὸ δὲ μέγεθος τῶν σαρισσῶν πήχεις ἐπεῖχεν ἑκκαίδεκα, καὶ τούτων οἱ μὲν τέσσαρες τὴν χεῖρά τε τοῦ κατέχοντος καὶ τὸ ἄλλο σῶμα ἀπετείνοντο, οἱ δώδεκα δὲ προεῖχον πρὸ τῶν σωμάτων ἑκάστου τῶν πρωτοστατῶν· (8) οἱ δ' ἐν τῷ β' ζυγῷ ὑποβεβηκότες ἐκείνων πήχεσι δυσὶ τὴν σαρίσσαν αὖ εἶχον προβεβλημένην ὑπὲρ τοὺς πρωτοστάτας ἐς δέκα πήχεις· (9) οἱ δ' ἐν τῷ γ' ἔτι καὶ οὗτοι ὑπεραίρουσαν ὑπὲρ τοὺς πρωτοστάτας πήχεις ὀκτώ· καὶ ἔτι οἱ ἐν τῷ τετάρτῳ ἐς ἕξ· καὶ ἔτι οἱ ἐν τῷ πέμπτῳ ἐς τέσσαρας· οἱ δ' ἐν τῷ ἕκτῳ ἐς δύο. (10) Καθ' ἕκαστον οὖν τῶν πρωτοστατῶν ἓξ σαρίσσαι προβεβλημέναι ἦσαν, ἐν κύκλῳ ἐφεξῆς ὑποβαίνουσαι, ὥστε ἕκαστον ὁπλίτην ἓξ σαρίσσαις πεφράχθαι, καὶ ταῖς δυνάμεσιν ἐπερείδειν ὅποι ἐπιβρίσειαν. Καὶ οἱ τῷ ἕκτῳ δὲ ἐφεστηκότες, εἰ μὴ καὶ αὐταῖς ταῖς σαρίσσαις, τῷ δὲ βάρει τῶν σωμάτων ξυνεπέρειδον τοῖς πρὸ σφῶν τεταγμένοις, ὡς τήν τε ἐμβολὴν τὴν ἐς τοὺς πολεμίους τῆς φάλαγγος οὐ φορητὴν γίνεσθαι, καὶ τοῖς πρωτοστάταις αὐτῶν ἄπορον τὴν φυγήν. (11) Τοὺς δὲ οὐραγοὺς οὐ κατ' ἀλκὴν, ὡς κατὰ σύνεσιν καὶ ἐμπειρίαν τῶν πολεμικῶν ἐπιλέκτους χρὴ εἶναι, ὡς ἐπιμελεῖσθαι τοῦ στοιχεῖν τὰ ζυγὰ, καὶ τοῖς ἐθελοκακοῦσι μὴ ἐφιέναι ἀποδιδράσκειν ἔξω τῆς τάξεως· ὅπου τε συνασπισμοῦ δεήσειεν, οὗτός ἐστιν ὁ μάλιστα ἐς πυκνότητα τοὺς πρὸ ἑαυτοῦ τεταγμένους ξυνάγων, ὃς τὴν πᾶσαν ἰσχὺν τῷ συντάγματι τούτῳ παρέχεται.

XIII. Τούς γε μὴν ψιλοὺς ἄλλους ἄλλῃ ταχτέον· ἄλλοτε γὰρ ἄλλῃ καὶ ὠφέλιμοι γίγνονται τεταγμένοι, ὅπως ἂν ἡ τὰ τῆς χώρας ἔχῃ, ἵνα ἡ παράταξις γίγνεται, ἢ τῶν πολεμίων ἡ παρασκευὴ πρὸς οὕστινας ἀντιταττόμεθα· (2) ποτὲ μὲν γὰρ προτετάχθαι δεήσει τῆς φάλαγγος, ἄλλοτε δὲ ἐν τοῖς δεξιοῖς, νῦν δὲ ἐν τοῖς εὐωνύμοις τετάχθαι· τὸ πολὺ δὲ καὶ κατόπιν τῶν ὁπλιτῶν ἱστάμενοι ὠφελοῦσιν· ἤδη δὲ καὶ ἐς λόχους καταχωρισθέντων τῶν πεζῶν, λόχοι ἐνεβλήθησαν ἐναλλὰξ τῶν ψιλῶν.

XIV. Τὸν δὴ ἀριθμὸν τάξεώς τε ἑκάστης καὶ τὰ ὀνόματα αὐτῆς τε καὶ τῶν ἡγουμένων ἤδη λεκτέον. (2) Πρῶτα μὲν δὴ ἐπὶ τῶν πεζῶν ἡμίσεας τοὺς ψιλοὺς φαμὲν χρῆναι ἔχειν, εἰ σύμμετροι ἔσονται πρὸς τὸ ἔργον, καὶ τοὺς λόχους αὐτῶν οὐχὶ ἑκκαίδεκα ἀνδρῶν χρὴ εἶναι, ἀλλὰ ὀκτὼ, ὥστε τοὺς χιλίους καὶ τέσσαρας καὶ εἴκοσι λόχους τὸν ἥμισυν ἀριθμὸν ἐκπιμπλάναι τῆς πεζικῆς φάλαγγος, καὶ εἶναι ἀνδρῶν ὀκτακισχιλίων καὶ ἑκατὸν καὶ δύο ἐπὶ τοῖς ἐνενήκοντα. (3) Ὀνόματα δὲ αὐτῶν καὶ τάξεις αἵδε εἰσίν. Οἱ τέσσαρες λόχοι τῶν ψιλῶν καλοῦνται σύστασις, καὶ εἰσὶν ἐξ ἀνδρῶν δύο καὶ τριάκοντα· αἱ δὲ δύο συστάσεις πεντηκονταρχία, τεσσάρων καὶ ἑξήκοντα ἀνδρῶν· αἱ δὲ δύο πεντηκονταρχίαι

autem et quartum jugum pro ratione qua a primo distant electi viri obtinere debent. (6) Hac ratione phalanx Macedonica terribilis hostibus non opere solum, verum etiam aspectu fuit. Vir enim armatus stabat in condensatione spatium duorum cubitorum summum occupans. (7) Sarissarum autem longitudo cubitorum erat sedecim, quorum quattuor quidem cedunt manibus tenentis corporique, duodecim autem prominent ante corpus cujuslibet ex protostatis. (8) Qui autem substituti sunt in jugo secundo, eorum sarissæ subtractis cubitis duobus ultra protostatas prominent ad cubitos decem; (9) qui vero in tertio, eorum ultra protostatas prominent ad cubitos octo; qui in quarto, ad cubitos sex; qui in quinto, ad cubitos quattuor; qui in sexto denique, ad cubitos duos. (10) Ad quem libet igitur protostatam prominebant sarissæ sex, undiquaque alia post aliam provenientes, ut armatum unumquemque sex tuerentur sarissæ, viribusque suis impetum promoverent ejus. Quique in sexto stabant jugo, si non sarissis, pondere saltem corporum juvabant eos, qui stabant ante ipsos, ut impetum phalangis hostes sustinere non possent, atque protostatis nulla esset fugiendi facultas. (11) Uragos autem non tam ex promptitudine animi, quam usu et experientia rerum bellicarum eligi oportet, ut sciant, quomodo ordines jugare debeant, iisque, qui flagitium aliquod volent committere, obsteut, nec concedant suum ordinem deserere. Porro si quando synaspismo opus est, hic est potissimum, qui in arctum constitutos ante se compellit, unde robur omne agmen nanciscitur.

XIII. At vero levis armaturæ milites alii aliter sunt ordinandi : alias enim aliter ordinati usui sunt futuri, prout sese habet regio, ubi acies est instruenda, vel apparatus hostium, adversus quem instruuntur. (2) Aliquando enim necesse est ut collocentur ante phalangem, aliquando vero a latere dextro, aliquando a sinistro statuantur. Utplurimum autem prodest ut a tergo gravis armaturæ militum collocentur. Interdum etiam in ordines peditum divisos alternatim ordines leviter armatorum interponuntur.

XIV. Numerus autem ordinis cujusque et nomina eorum, illorumque qui ipsis præsunt, nunc sunt indicanda. (2) Primum ergo dimidios respectu peditum leves dicimus adhiberi oportere, ut sint idonei negotio, versusque eorum non virorum sedecim, verum octo fieri, ut mille viginti quattuor versus expleant numerum dimidium phalangis pedestris, contineantque viros octies mille centum et nonaginta duos. (3) Nomina vero ipsorum corporaque hæc sunt. Levis armaturæ militum quattuor ordines nominantur systasis, quæ habet viros triginta duos; duæ autem systases, pentecontarchia, virorum quattuor et sexaginta; duæ autem pentecontarchiæ, hecatontarchia, virorum centum viginti

ἑκατονταρχία ὀκτὼ καὶ εἴκοσι ἀνδρῶν καὶ ἑκατόν. (1) Καθ' ἑκάστην δὲ ἑκατονταρχίαν ἔκτακτοι ἄνδρες τέσσαρες ἕστωσαν, σημειοφόρος καὶ σαλπιγκτὴς καὶ ὑπηρέτης καὶ στρατοκήρυξ. Αἱ δὲ δύο ἑκατονταρχίαι εἰσὶ μὲν ἀνδρῶν ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, καλεῖται δὲ τὸ σύνταγμα ψιλαγία· αἱ δὲ δύο ψιλαγίαι ξεναγία, δώδεκα ἀνδρῶν καὶ πεντακοσίων· (5) αἱ δὲ δύο ξεναγίαι, ἀνδρῶν τεσσάρων καὶ εἴκοσι καὶ χιλίων, σύστρεμμα καλεῖται· τὰ δὲ δύο συστρέμματα ἐπιξεναγία ὀνομάζεται, ὀκτὼ καὶ τεσσαράκοντα ἀνδρῶν καὶ δισχιλίων· αἱ δὲ δύο ἐπιξεναγίαι στῖφος, ἓξ καὶ ἐνενήκοντα ἀνδρῶν καὶ τετρακισχιλίων· τὰ δὲ δὴ δύο στίφη ἐπίταγμα ὀνομάζουσι, λόχων μὲν τεσσάρων καὶ εἴκοσι καὶ χιλίων, ἀνδρῶν δὲ ὀκτακισχιλίων ἑκατὸν ἐνενήκοντα δύο ἐπόντων. (6) Δεῖ δὲ καὶ τούτοις συντετάχθαι ἄνδρας ὀκτὼ ἐπιλέκτους, ὧν τέσσαρες μὲν ἔσονται ἐπιξεναγοί, τέσσαρες δὲ συστρεμματάρχαι.

XV. Ὠφέλιμοι δ' ἐν μάχῃ τοξόται τε καὶ ἀκοντισταὶ καὶ σφενδονῆται καὶ πάντες ὅσοι ἐκηβόλοις ὅπλοις διαχρῶνται πολλαχῇ· (2) καὶ γὰρ ὅπλα συντρίψαι τῶν πολεμίων ἱκανοί, μάλιστα δὲ οἱ τοῖς λίθοις ἀκροβολιζόμενοι, καὶ τραύματα ἐκ μακροῦ ἐμβαλεῖν, εἰ δὲ βιαιοτέρα πληγὴ γένοιτο, καὶ κατακτανεῖν. (3) Χρήσιμοι δ' ἐκκαλέσασθαι ἐκ χωρίου ὀχυροῦ πολεμίους, τῷ διὰ μακροῦ τὰ βέλη ἐφιέντες ἐλπίδα παρέχειν, ὅτι ἐπιόντας οὐκ ἂν δέξαιντο. (4) Χρήσιμοι δὲ καὶ φάλαγγα τεταγμένην διαλῦσαι καὶ ἵππον ἐπιφερομένην ἀναστεῖλαι καὶ χωρία ὑπερδέξια καταλαβέσθαι τῷ τε ταχεῖς εἶναι διὰ κουφότητα, καὶ τῷ εἰ καταλάβοιεν, τῇ συνεχείᾳ τοῦ ἀκροβολισμοῦ μηδένα πελάσαι αὐτοῖς ἄνευ πολλῶν τραυμάτων. (5) Χρήσιμοι δὲ καὶ ἀποκρούσασθαι ἀπὸ χωρίου τοὺς κατειληφότας, οὐχ ὑπομένοντας τὰ τραύματα· ἐπιτήδειοι δὲ καὶ τὰ ὕποπτα χωρία διερευνήσασθαι· ὠφέλιμοι δὲ καὶ ἐς ἐνέδραν ἐγκαθέζεσθαι, ἑνί τελόγῳ καὶ προαγωνίζεσθαι τῶν πεζῶν ἀγαθοί, καὶ συναγωνίζεσθαι ὠφέλιμοι, καὶ ἐπιμαχόμενοι ἱκανοὶ τελέαν τὴν ἧτταν τοῖς πρὸς τοὺς βαρβάρους τῶν πεζῶν τραπεῖσι κατασχῆσαι.

XVI. Τῶν δὲ δὴ ἱππέων ποικίλαι καὶ πολυειδεῖς αἱ τάξεις· αἱ μὲν τεγράγωνοι, αἱ δὲ ἑτερομήκεις, αἱ δὲ ῥομβοειδεῖς, αἱ δὲ ἐς ἐμβολὴν ξυνηγμέναι. (2) Ἀγαθαὶ δὲ ξύμπασαι αὗται αἱ τάξεις ἐν καιρῷ ταττόμεναι, καὶ μίαν οὐκ ἄν τις ἐπιλεξάμενος αὐτῶν προκρίνειεν τῶν ἄλλων, ὅτι ἐν ἄλλῳ χωρίῳ καὶ πρὸς ἄλλους πολεμίους καὶ ἐν καιρῷ ἄλλῳ εὕροι ἂν τῆς προκριθείσης ἄλλην ὠφελιμωτέραν. (3) Τῇ μὲν δὴ ῥομβοειδεῖ τάξει τὸ πολὺ Θεσσαλοὶ ἐχρήσαντο, καὶ Εἰλεών, ὡς λόγος, ὁ Θετταλὸς τὸ σχῆμα τοῦτο πρῶτος ἐξεῦρεν· ἐμοὶ δὲ δοκεῖν, προεξευρημένῳ πολλῷ χρησάμενος ἀπ' αὐτοῦ εὐδοκίμησεν. (4) Καὶ ἔστιν ἐς πᾶσάν τε μεταβολὴν ἁρμοδιώτατον καὶ πρὸς τὸ ἥκιστα κατὰ νώτου ἢ πλαγίων ἁλίσκεσθαι ἀσφαλέστερον. (5) Κατὰ μὲν γὰρ τὰς γωνίας τοῦ ῥόμβου τοὺς ἡγεμόνας τεταγμένους ἔχει, ἐπὶ μὲν τῆς ἔμπροσθεν τὸν ἴλαρχην, ἐπὶ δὲ τῆς

octo. (4) In qualibet autem hecatontarchia viri extraordinarii sunt quattuor, signifer et tubicen et minister et præco. Duæ autem hecatontarchiæ sunt virorum quidem ducentorum quinquaginta sex, corpus autem totum psilagia nominatur; duæ autem psilagiæ sunt xenagia, virorum quingentorum et duodecim; (5) xenagiæ vero duæ virorum mille viginti quattuor, quod vocatur systremma; duo vero systremmata epixenagia nominantur, virorum bis mille quadraginta octo; duæ autem epixenagiæ stiphos, virorum quater mille nonaginta sex; duo vero stiphe epitagma vocantur, ordines quidem habens mille viginti quattuor, viros vero octies mille centum nonaginta duos. (6) Oportet autem hos quoque habere viros selectos octo, quorum quattuor sint epixenagi, et quattuor systremmatarchæ.

XV. Jaculatores autem et sagittarii et funditores omnesque qui missilibus pugnant, in præliis multipliciter sunt utiles. (2) Nam et arma hostium possunt confringere, ii præcipue, qui lapidibus pugnant, et vulnera e longinquo inferre, vel si ictus fuerit validior, etiam occidere. (3) Sunt quoque utiles ad eliciendos ex munitiore loco hostes: quoniam eo quod tela emittunt e longinquo, spem faciunt fore ut si impetus in eos fiat, ipsum minime sustinere valeant. (4) Sunt etiam ad dissolvendum ordinem phalangis idonei, et ad repellendum irruentem equitatum et ad occupandos locos editiores, quum propter celeritatem, quia leves sunt, tum quia si quem locum occupaverint, propter densas jaculationes nemo appropinquare iis possit qui non plurimis vulneribus affligatur. (5) Idonei quoque sunt ad repellendos loco quopiam potitos, quia vulnera sustinere nequeunt, item ad exploranda loca suspecta, et ad subsidendum in insidiis, et ut uno verbo dicam, et ad pugnandum ante pedites, et ut una cum eis prælientur pugnantes post eos, denique etiam ad consummandam cladem apti sunt peditibus contra hostem conversis.

XVI. Equitum autem varii diversique generis sunt acies. Quædam enim sunt quadratæ, quædam oblongæ, aliæ rhombi figura, aliæ in cuneum formatæ. (2) Omnes autem hæ utiles sunt suo tempore, neque unam earum quis dicere possit esse meliorem altera, quoniam alio in loco et adversus alios hostes alioque tempore alia intelligitur utilior aliis, quæ antelatæ fuerunt. (3) Ac acie quidem rhombi figura formata Thessali plerumque usi sunt, quam Ileon Thessalus, uti fama est, primus invenit; ex mea autem sententia longe prius inventam frequentius adhibuit et ex eo nactus est famam. (4) Et est illa ad mutationem omnem valde idonea, difficillimeque vel a tergo vel a lateribus invadi potest. (5) Nam ad angulos quidem rhombi collocatos habet duces, in primo quidem ilarcham, in dextro ac sinistro eos, qui dicuntur plagiophylaces, in postremo

δεξιᾶς καὶ εὐωνύμου τοὺς καλουμένους πλαγιοφύλακας, ἐπὶ δὲ τῆς ὑπολοίπου τὸν οὐραγόν, κατὰ δὲ τὰς πλευρὰς τοῦ ῥόμβου τοὺς ἀρίστους τῶν ἱππέων, ὡς καὶ τούτους ἐν ταῖς μάχαις μεγάλα ἐπωφελεῖν. (6) Ταῖς δὲ δὴ ἐμβολοειδέσι τάξεσι Σκύθας κεχρῆσθαι μάλιστα ἀκούομεν, καὶ Θρᾷκας, ἀπὸ Σκυθῶν μαθόντας. Φίλιππος δὲ ὁ Μακεδὼν καὶ Μακεδόνας ταύτῃ τῇ τάξει χρῆσθαι ἐπήσκησεν. (7) Ὠφέλιμος δὲ καὶ αὕτη δοκεῖ ἡ τάξις, ὅτι ἐν κύκλῳ οἱ ἡγεμόνες τεταγμένοι εἰσί, καὶ τὸ μέτωπον ἐς ὀξὺ ἀπολῆγον εὐπετῶς πᾶσαν τάξιν πολεμίαν διακόπτειν παρέχει, καὶ τὰς ἐπιστροφάς τε καὶ ἀναστροφὰς ὀξείας ποιεῖσθαι δίδωσιν. (8) Αἱ γὰρ τετράγωνοι τάξεις δυσπεριάγωγοί εἰσιν· ἡ δ' εἰς ὀξὺ προηγμένη, εἰ καὶ προϊοῦσα ἐς βάθος προχωρεῖ, ἀλλ' αὐτῇ γε τῇ ἀρχῇ δι' ὀλίγου ἐπιστρέφουσα τὴν πᾶσαν τάξιν εὐμαρῶς ἐξελισσομένην παρέχεται. (9) Ταῖς δὲ δὴ τετραγώνοις τάξεσι Πέρσαι μάλιστα ἐχρήσαντο, καὶ οἱ ἐν Σικελίᾳ βάρβαροι καὶ τῶν Ἑλλήνων οἱ πλεῖστοι καὶ ἱππικώτατοι. (10) Εὐσύντακτός τε γὰρ ἥδε ἡ τάξις ἄλλης μᾶλλον, ἅτε καὶ κατὰ στοῖχον καὶ κατὰ ζυγὸν τεταγμένων, καὶ τὰς ἐπελάσεις καὶ ἀπελάσεις εὐμαρεστέρας παρέχεται, καὶ μόνων τούτων πάντων οἱ ἡγεμόνες ἀθρόοι ἐμπίπτουσι τοῖς πολεμίοις. (11) Ἄριστοι δὲ εἰσὶ διπλασίονα τὸν ἀριθμὸν ἐν τῷ μήκει ἢπερ ἐν τῷ βάθει ἔχουσαι· οἷον εἰ ἐπὶ δέκα κατὰ μέτωπον τεταγμένοι εἶεν, καὶ ἐπὶ πέντε εἰς τὸ βάθος· ἢ ἐπὶ εἴκοσι μὲν κατὰ μέτωπον, ἐπὶ δέκα δ' ἐς βάθος. (12) Αἱ γὰρ τοιαῦται τάξεις τῷ μὲν ἀριθμῷ ἑτερομήκεις εἰσί, τῷ δὲ σχήματι ἐς τετράγωνον καθίστανται. Τὸ γὰρ τοῦ ἵππου μῆκος ἀπὸ κεφαλῆς ἐπ' οὐρὰν ἐκπίμπλησι τοῦ τετραγώνου ὅ τι περ ἐς βάθος τῷ ἀριθμῷ ἐνδέον· ὥστε ἤδη τινὲς καὶ τριπλασίονα τὸν ἀριθμὸν τῶν ἐν τῷ μήκει ταττομένων ἐποίησαν πρὸς τὸ βάθος, οὕτως οἰόμενοι ἐς ἀκριβὲς τετράγωνον καταστήσειν τὸ σχῆμα, ὡς τριπλάσιον τὸ μῆκος τοῦ ἵππου ὑπὲρ τὸ πλάτος τοῦ ἀνθρώπου τὸ κατὰ τοὺς ὤμους ἐπέχον, ὥστε ἐννέα κατὰ μῆκος ἐν τῷ μετώπῳ τάττοντες τρεῖς ἐν τῷ βάθει ἐπέταττον. (13) Ἐπεὶ οὐδ' ἐκεῖνο χρὴ ἀγνοεῖν, ὅτι οἱ ἐς βάθος ἐπιτεταγμένοι ἱππεῖς οὐ τὴν ἴσην ὠφέλειαν παρέχουσιν, ἥνπερ τὸ ἐπὶ τῶν πεζῶν βάθος· οὔτε γὰρ ἐπωθοῦσι τοὺς πρὸ σφῶν, διὰ τὸ μὴ δύνασθαι ἐπερείδειν ἵππῳ, καθάπερ ἐκεῖ κατὰ τοὺς ὤμους καὶ τὰς πλευρὰς αἱ ἐνερείσεις γίνονται τῶν πεζῶν, (14) οὔτε συνεχεῖς γινόμενοι τοῖς πρὸ σφῶν τεταγμένοις, ἔν τι βάρος τοῦ παντὸς πλήθους ἀποτελοῦσιν, ἀλλ' εἰ ξυνερείδοιεν καὶ πυκνοῖντο, ἐκταράσσουσι μᾶλλον ἵππους.

XVII. Ὁ δὲ ῥόμβος ὧδε ἔχει· ὁ μὲν ἰλάρχης πρῶτος τάττεται, οἱ δ' ἑφ' ἑκάτερα αὐτοῦ ἱππεῖς οὐκ ἐξ ἴσου αὐτῷ στοιχοῦσιν, ἀλλὰ ἐς τοσόνδε ὑποβεβληκότες, ὡς τὰς κεφαλὰς κατὰ τοὺς ὤμους μάλιστα τοῦ ἵππου τετάχθαι, ἐφ' ᾧ ἰλάρχης ἐποχεῖται. (2) Καὶ οὕτω τοὺς ἐφεξῆς στίχους πλατύνοντες ἔστε ἐπὶ τὸ ἥμισυ τοῦ παντὸς, ἐνθένδε αὖ κατὰ ταὐτὰ ἐς στενὸν

denique uragum; a lateribus vero rhombi validissimos equitum, quoniam et hi plurimum in præliis conducunt. (6) Acie autem cunei forma instructa Scythas potissimum usos accepimus, atque Thraces, qui eam a Scythis didicerunt. Philippus autem Macedo etiam Macedonas ea acie uti assuefecit. (7) Videtur autem hæc acies utilis esse, propterea quod duces collocantur circumquaque, et frons in acutum desinens totam hostium aciem facile potest perrumpere, conversionesque ac reversiones ut celeriter efficiantur permittit. (8) Acies quadratæ enim difficilius circumaguntur; at quæ formata est in acutum, etsi versus mediam partem sensim in latum progreditur, tamen vel leviter ab initio flexa, reliquam aciem facile habet subsequentem. (9) Ceterum quadratis aciebus Persæ maxime utebantur, Siculique barbari, atque Græcorum plurimi et equitatu præstantissimi. (10) Est enim hæc acies præ aliis bene ordinata propterea, quod per versus jugaque equites dispositos habet, et irruptiones retrocessionesque faciliores præbet, et quod hac tantum ratione dispositorum duces omnes junctim irruunt in hostes. (11) Optimæ vero hujusmodi acies eæ sunt, quæ alterum tantum habent numerum in longitudine; ut si decem collocati sint in fronte, quinque stent in latitudine; aut viginti in fronte, decem vero in latitudine. (12) Tales enim acies numero quidem sunt oblongæ, figura vero quadratæ. Nam longitudo equi a capite ad caudam explet quod in latitudine ad efficiendum quadratum deest numero: adeo ut nonnulli triplum numerum fecerint longitudinis ad latitudinem, quod putarent, ita se consecuturos accurate figuram quadratam, quod sit tripla longitudo equi ad latitudinem viri juxta humeros ejus: itaque novem in longitudine per frontem constitutis, tres collocarunt in latitudine. (13) Sed nec hoc est ignorandum, quod equi collocati in latitudinem non æqualem præstent utilitatem atque pedites sic dispositi. Non enim impellunt eos qui sunt ante ipsos, quia non potest equus equo incumbere, sicut in humeros laterave aliorum pedites incumbere solent. (14) Neque si conjungantur iis qui sunt ante ipsos collocati in latitudine, pondus unum efficit omnis multitudo, verum potius, si constipantur conjunguntur que equi, turbas cient.

XVII. Ceterum rhombi ratio est talis. Primus collocatur ilarcha, equites autem qui utrimque consistunt, non æquale cum eo faciunt jugum, verum distant tanto intervallo, ut capita equorum juxta armos equi, quo ilarcha vehitur, habeant. (2) Atque sic deinceps latiora latioraque faciunt juga, usque ad dimidium totius aciei: inde vero

ξυνάγοντες τὸν ῥόμβον ἐκπληροῦσι. (4) Τὸ δὲ ἥμισυ τοῦ ῥόμβου ἔμβολόν ἐστιν, ὥστ' ἐν ταὐτῷ δεδήλωταί μοι καὶ τοῦ ἐμβόλου τὸ σχῆμα. Ἑτερομήκης δ' ἐστὶ τάξις ἡ τὸ βάθος τοῦ μετώπου μεῖζον ἔχουσα, ἢ τοῦ βάθους τὸ μέτωπον, ἥπερ ἀμείνων τῆς προτέρας εἰς τοὺς ἀγῶνας, εἰ μήπου ἐκπεσεῖν διὰ πολεμίας τάξεως ἐθέλοιμεν· (1) τότε γὰρ ἡ βαθυτάτη καὶ κατὰ μέτωπον στενοτάτη τάξις αὕτη ἂν εἴη ὠφελιμωτάτη· ἢ εἴ ποτε ἀποκρύψαι δέοι τῶν ἱππέων τὸ πλῆθος, ὡς προκαλέσασθαι τοὺς πολεμίους ἐς θάρσος ἀξύμφορον. (5) Ἡ δ' ἐφ' ἕνα ἐπὶ μετώπου ἀβαθὴς τάξις ἐς λεηλασίας ἀνυπόπτους ἐπιτήδειος, ἢ ὅπου καταπατῆσαί τι ἢ ἀφανίσαι ἐθέλοιμεν· ἐς δὲ τοὺς ἀγῶνας τὸ πολὺ ἀξύμφορος.

XVIII. Εἰ τοίνυν ἀριθμὸς εἴη τῶν ἱππέων, ἐς ὅσον ὑπεθέμεθα, ἀποδεόντων τῶν τε ὁπλιτῶν καὶ τῶν ψιλῶν, πλήθους εἴη ἂν ἐς τετρακισχιλίους καὶ ἓξ καὶ ἐνενήκοντα ἱππέας. (2) Ἴλην δὲ ἑκάστην ἐποίουν ἐκ τοσοῦδε ἀριθμοῦ, ἑξήκοντα καὶ τεσσάρων ἱππέων, καὶ ἰλάρχας τοὺς ἐφ' ἑκάστῃ ἴλῃ τεταγμένους· αἱ δὲ δύο ἴλαι ἐπιλαρχία αὐτοῖς ὠνομάζετο, καὶ ἦν ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατὸν ἱππέων· (3) αἱ δὲ δύο ἐπιλαρχίαι ταραντιναρχία, ἓξ καὶ πεντήκοντα ἱππέων ἐπὶ τοῖς διακοσίοις· αἱ δὲ δύο ταραντιναρχίαι ἱππαρχία, δώδεκα καὶ πεντακοσίων ἱππέων, ἥντινα Ῥωμαῖοι ἴλην καλοῦσιν· (4) αἱ δὲ δύο ἱππαρχίαι ἐφιππαρχία, τεσσάρων καὶ εἴκοσι ἀνδρῶν καὶ χιλίων· τέλος δὲ αἱ δύο ἐφιππαρχίαι, ὀκτὼ καὶ τεσσαράκοντα καὶ δισχιλίων· τὰ δὲ δύο τέλη ἐπίταγμα ἤδη ὠνόμαζον, ἓξ καὶ ἐνενήκοντα καὶ τετρακισχιλίων.

XIX. Τὸ δὲ τῶν ἁρμάτων καὶ ἐλεφάντων τάς τε τάξεις καὶ τὰ ὀνόματα τῶν τάξεων καὶ τὰς ἡγεμονίας καὶ τὰ τούτων αὖ ὀνόματα ἐπεξιέναι ματαίου πόνου εἶναί μοι ἔδοξεν, ὅτι ἐκλελειμμένας ἐκ παλαιοῦ ἤδη λέξειν ἔμελλον. (2) Ῥωμαῖοι μὲν γὰρ οὐδὲ ἐπήσκησάν ποτε τὴν ἀπὸ τῶν ἁρμάτων μάχην, οἱ βάρβαροι δὲ οἱ μὲν Εὐρωπαῖοι οὐδὲ αὐτοὶ διεχρήσαντο ἅρμασιν, πλήν γε δὴ οἱ ἐν ταῖς Βρεττανικαῖς καλουμέναις ἔξω τῆς μεγάλης θαλάσσης. (3) Οὗτοι γὰρ συνωρίσιν τὸ πολὺ ἐχρῶντο ἵππων καὶ σμικρῶν καὶ πονηρῶν. Οἱ δίφροι δὲ αὐτοῖς ἐπιτήδειοί εἰσιν ἐς τὸ ἐλαύνεσθαι κατὰ χωρίων παντοίων, καὶ τὰ ἱππάρια ἐς τὸ ταλαιπωρεῖσθαι. (4) Τῶν δὲ Ἀσιανῶν πάλαι μὲν Πέρσαι ἐπήσκησαν τὴν τῶν ὀρεπανηφόρων τε ἁρμάτων καὶ καταφράκτων ἵππων δίφρειαν, ἀπὸ Κύρου ἀρξάμενοι. (5) Ἔτι δὲ πρὸ τούτων οἱ σὺν Ἀγαμέμνονι Ἕλληνες καὶ οἱ σὺν Πριάμῳ Τρῶες τὴν τῶν ἁρμάτων, καὶ Κυρηναῖοι δ' ἐπὶ πολὺ ἀπὸ ἁρμάτων ἐμάχοντο. (6) Ἀλλὰ ξύμπαντα ταῦτα τὰ ἀσκήματα ἐκλέλειπται, καὶ ἡ τῶν ἐλεφάντων δὲ χρεία ἐς τοὺς πολέμους, ὅτι μὴ παρ' Ἰνδοῖς τυχὸν ἢ τοῖς ἄνω Αἰθίοψιν, καὶ αὕτη ἐκλέλειπται.

XX. Νυνὶ δὲ τὰ ὀνόματα ἐπέξιμεν τῶν κινήσεων κατ' ἰδέαν ἄλλου καὶ ἄλλου στρατοπέδου, καὶ τὸν νοῦν ἑκάστου τοῦ ὀνόματος. (2) Καλεῖται δὲ τὸ μέν τι

rursum eodem modo coarctantes ea, rhombum absolvunt. (3) At vero dimidium rhombi est cuneus, ut hoc ipso explicata sit et cunei figura. Acies autem oblonga est, cujus vel latitudo major quam frons, vel frons major quam latitudo. Atque hæc quidem melior est priore ad prœlia, nisi forte perrumpere hostes voluerimus: (4) tunc enim ea quæ est latior et in fronte arctior, altera utilior: vel etiam si forte occultari velis multitudinem equitum, ut hostes ad audaciam haud profuturam ipsis provocentur. (5) Acies autem quæ constituitur fronte simplici absque latitudine, ad depræda tiones subitaneas est idonea, aut quando proculcare ac vastare quidpiam cupimus; ad certamina vero utplurimum inutilis.

XVIII. Si igitur numerus sit equitum, quantum supposuimus absque gravis itemque levis armaturæ militibus, equites erunt quattuor millia et nonaginta sex. (2) Quamlibet autem ilam faciunt equitum sexaginta quattuor, et ilarchas, qui singulis ilis præsunt; duæ autem ilæ epilarchia eis dicitur, continetque equites centum viginti octo; (3) duæ autem epilarchiæ Tarantinarchia, equitum ducentorum quinquaginta sex; duæ vero Tarantinarchiæ hipparchia, equitum quingentorum duodecim, qualem Romani ilam (*alam?*) appellant; (4) duæ autem hipparchiæ ephipparchia, equitum mille viginti quattuor; telos autem duæ ephipparchiæ, equitum bis mille quadraginta octo; tele autem duo, epitagma, equitum quater mille nonaginta sex.

XIX. Curruum autem ac elephantorum ordines ordinumque vocabula et præfecturas earumque nomina explicare frustranei esse laboris mihi videtur, quod quæ usurpari dudum desita sunt nobis dicenda forent. (2) Nam Romani quidem pugnam ex vehiculis non usurparunt, barbari vero Europæi ne ipsi quidem adhibuere vehicula, nisi qui insulas Britannicas habitant, positas extra Magnum mare. (3) Hi enim utplurimum bigis utebantur, quibus equi juncti parvi et miselli. Habent autem currus aptos ad incursiones per regiones quaslibet, et equulos ad sustinendas quasvis molestias. (4) Ex Asiaticis vero quondam Persæ in usu habuerunt currus falcatos equosque cataphractarios, Cyro ejus rei auctore. (5) Quanquam et ante id tempus Græci sub Agamemnone, et Trojani sub Priamo, curribus, quibus nudos equos jungebant, utebantur; Cyrenæi quoque ut plurimum ex curribus pugnabant. (6) Verum totum genus hoc nunc exolevit, sicuti etiam elephantorum usus ad prœlia, nisi forte apud Indos aut superiores Æthiopes adhuc sint in usu.

XX. Nunc igitur vocabula commemorabimus motionum, secundum alias aliasque species exercitus, nominisque cujuslibet significationem. (2) Vocatur autem una quidem

κλίσις, καὶ ταύτης ἰδέαι δίτται, ἡ μὲν ἐπὶ δόρυ, ἡ δ' ἐπ' ἀσπίδα· τὸ δὲ μεταβολή, τὸ δέ τι ἐπιστροφή, καὶ ἀναστροφὴ ἄλλο. Καὶ περισπασμὸς δέ τι ὠνομάζετο, καὶ ἐκπερισπασμὸς ἄλλο, καὶ στοιχεῖν, καὶ ζυγεῖν, καὶ ἐς ὀρθὸν ἀποδοῦναι, καὶ διπλασιάζειν. (3) Λέγεται δὲ τις καὶ ἐπαγωγὴ, καὶ δεξιὰ παραγωγὴ, καὶ ἄλλη εὐώνυμος παραγωγὴ, καὶ πλαγία δὲ φάλαγξ ἐστί τις, καὶ ὀρθία φάλαγξ ἄλλη, καὶ λοξὴ φάλαγξ, καὶ παρεμβολὴ, ἔτι μὴν προστάξεις καὶ ὑποτάξεις.

XXI. Κλίσις μὲν δή ἐστιν ἡ κατ' ἄνδρα κίνησις, καὶ τῆς κλίσεως ἐπὶ δόρυ μὲν καλεῖται ἡ ἐς δεξιὰ, ἥναπερ τὸ δόρυ ἐστὶ τῷ ὁπλίτῃ· ἐπ' ἀσπίδα δὲ, ἡ ἐπὶ τὰ λαιὰ, ἵνα φέρει τὴν ἀσπίδα. (2) Καὶ εἰ μὲν ἁπλῆ κλίσις, ἐς τὰ πλάγια μόνον παράγει τὴν ὄψιν· εἰ δὲ διπλῆ γίνοιτο, ἀποστρέφει τὴν ὄψιν ἐς τὸ κατόπιν τοῦ ὁπλίτου. Τοῦτο δὲ ἤδη ἡ μεταβολὴ καλεῖται. (3) Ἐπιστροφὴ δέ ἐστιν, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην καὶ ἐπιστάτην, καθάπερ ἑνὸς ἀνδρὸς σῶμα ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ παντὸς τοῦ τάγματος περιελιχθέντος, καὶ μεταλαβόντος τόπον μὲν τὸν ἔμπροσθεν, ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάστῳ τῶν τε ἐπιστατῶν καὶ παραστατῶν. (4) Ἀναστροφὴ δέ ἐστιν ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς ἐς τὴν προτέραν χώραν. Περισπασμὸς δὲ καλεῖται ἡ ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὡς μεταλαβεῖν τὸν ὀπίσω τόπον. (5) Ἐκπερισπασμὸς δὲ, ἡ ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν τοῦ παντὸς κίνησις, ὥστε μεταλαμβάνειν, εἰ μὲν ἐπὶ δόρυ γίγνοιτο, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν, εἰ δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

XXII. Στοιχεῖν δὲ λέγεται τὸ ἐπὶ εὐθείας ἰέναι τῷ λοχαγῷ καὶ τῷ οὐραγῷ, σώζοντα τὰ ἴδια διαστήματα· ζυγεῖν δὲ τὸ ἐπ' εὐθείας ἰέναι κατὰ μῆκος ἕκαστον τῶν ἐν τῷ λόχῳ τῷ ζυγοῦντι. (2) Συζυγοῦσι δὲ τῷ μὲν λοχαγῷ οἱ λοχαγοὶ πάντες, τῷ δὲ τούτου ἐπιστάτῃ οἱ τῶν ἄλλων λοχαγῶν ἐπιστάται, καὶ ἑφεξῆς ὡσαύτως. (3) Καὶ μὴν ἐς ὀρθὴν ἀποδοῦναι λέγεται, τὸ εἰς τὴν καθεστῶσαν ἐξ ἀρχῆς ἐπιφάνειαν καταστῆσαι τοὺς ὁπλίτας τὴν ὄψιν, οἷον εἴ τις ἐπὶ τοὺς πολεμίους τετραμμένος κελευσθείη ἐπὶ δόρυ κλῖναι, ἔπειτα αὖ παραγγελθείη αὐτῷ, ἐς ὀρθὸν ἀποκαταστῆσαι, δεήσει πάλιν αὐτὸν ἐπὶ τοὺς πολεμίους τετράφθαι.

XXIII. Ἐξελιγμῶν δὲ δίτται ἰδέαι, ἡ μὲν κατὰ λόχους, ἡ δὲ κατὰ ζυγά· τούτων δὲ αὖ ἑκατέρα τριχῇ νενέμηται. Ὁ μὲν γάρ τις ἐξελιγμὸς Μακεδών, ὁ δὲ Λάκων, ὁ δὲ Κρητικὸς ὀνομάζεται· τὸν αὐτὸν δὲ τοῦτον καλούμενον εὑρίσκω καὶ Περσικὸν καὶ Χόριον. (2) Μακεδὼν μὲν οὖν ἐστιν ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν κατόπιν· (3) Λάκων δὲ ὁ καταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον, καὶ ὡσαύτως ἀντὶ τῆς πρόσθεν ἐπιφανείας τὴν κατόπιν. (4) Ὁ δὲ Κρητικός τε καὶ Περσικὸς ὀνομαζόμενος τὸν αὐτὸν μὲν ἐπέχειν ποιεῖ τόπον τῆς φάλαγγος τὸ πᾶν σύνταγμα, τῶν δ'

clisis, id est inclinatio; ejusque species sunt duæ, una in hastam, altera in clypeum; alia vero metabole, id est transmutatio; ac rursus alia epistrophe, id est conversio, et anastrophe, id est reversio; aliaque perispasmus, id est circumflexio, et ecperispasmus, id est reflexio, et versatio, et jugatio, et in rectum restitutio, et duplicatio; (3) vocatur quoque una epagoge, et paragoge dextra ac paragoge sinistra, et phalanx transversa; est autem et alia recta, et alia obliqua phalanx; parembole quoque, et prostaxis, et hypotaxis.

XXI. Ceterum clisis est motus qui fit a viris singulis, eaque quæ in hastam dicitur fit in dextrum latus, quippe ubi miles hastam tenet; quæ vero in clypeum, fit in sinistrum, ubi gestat clypeum. (2) Ac simplex quando fit clisis, vultus convertitur in latus; quando duplex, vultus militis convertitur ad tergum. Hæc vero species jam vocatur metabole. (3) Epistrophe autem est, quum syntagma totum ad parastatam simul et epistatam condensatum velut unius viri corpus in hastam vel clypeum inclinamus, stante lochago velut centro, totoque agmine circumacto, et capiente locum anteriorem, conspectum vero ad dextram, manente cuilibet epistata suo et parastata. (4) Anastrophe autem est restitutio epistrophes in locum priorem. Perispasmus autem appellatur motus agminis ex duabus epistrophis constans, ita ut priorem locum posteriore permutent. (5) Ecperispasmus vero, ex tribus epistrophis constans motus continuus totius agminis, ita ut si commutatio fiat in hastam, aspectus vertatur in sinistram; si vero in clypeum, vertatur in dextram.

XXII. Versare dicitur, quum recta serie incedunt cum lochago et urago, sua inter se spatia servantes; jugare, quum recto ordine incedit quilibet secundum longitudinem ex iis, qui sunt in versu jugante. (2) Jugant autem cum lochago lochagi omnes, cumque epistata ejus lochagorum reliquorum epistatæ, et sic deinceps ceteri. (3) In rectum dare, est vultum militum in priorem locum vertere, ut si quis in hostes conversus jubeatur inclinare in hastam, deinde dare se in rectum, debebit is rursum convertere se in hostem.

XXIII. Evolutionum autem species sunt duæ, una per versus, alia per juga; utraque iterum in tres species dividitur. Est enim una evolutio exeligmus quæ Macedonica, et alia quæ Laconica, et alia quæ Cretica vocatur, quam ipsam etiam Persicam et Chorium invenio dictam. (2) Macedonica est, quæ (*per ordines*) anteriorem phalangis locum facta mutatione accipit, et a fronte vertitur in tergum; (3) Laconica vero, quæ posteriorem phalangis locum capit, et similiter a fronte vertitur in tergum; (4) Cretica autem, quæ et Persica vocatur, eundem quidem phalangis retinere locum facit agmen totum, singulos autem armatos

ἐν τῷ μέρει ὁπλιτῶν ἕκαστον ἀνθ' οὗ πρότερον ἐπεῖχεν τόπου ἕτερον μεταλαμβάνειν, τὸν μὲν λοχαγὸν τὸν τοῦ οὐραγοῦ, τὸν δὲ οὐραγὸν τὸν τοῦ λοχαγοῦ, καὶ ἀντὶ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν κατόπιν. (5) Οἱ δὲ ὃ δὴ κατὰ ζυγὰ ἐξελιγμοὶ γίγνονται, ἐπειδὰν ἐπὶ τῶν ἀποτομῶν βουληθῇ τις τὰ κέρατα καθιστάναι· τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, καὶ τὸ μέσον τῆς πάσης φάλαγγος ἀποτελέσαι καρτερόν· ὡσαύτως δὲ καὶ τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις καθίστησι, καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς. (6) Εἰ δὲ μὴ παρέχοι κατὰ μείζονα μέρη τῆς φάλαγγος ἐξελιγμοὺς ποιήσασθαι, πελαζόντων ἤδη τῶν πολεμίων, δέοι δὲ ἐξελίξαι τὴν τάξιν, τότε δὴ καὶ τὰ συντάγματα ἐξελίττουσι.

XXIV. Καὶ ὁ μὲν κατὰ στίχους ἐξελιγμὸς Μακεδὼν αὖ καλεῖται, ἐπειδὰν ὁ λοχαγὸς μὲν μεταβάλληται, οἱ δὲ ὀπίσω ἐκ δόρατος παραπορευόμενοι ἐφεξῆς ἀλλήλων ἱστῶνται. (2) Λάκων δ' ἐξελιγμὸς ὀνομάζεται, ἐπειδὰν ὁ λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος ὅλον τὸν λόχον μεταλλάξῃ ἐς ἄλλον ἴσον τῷ πρόσθεν τόπῳ, οἱ δὲ λοιποὶ ἑπόμενοι ἐφεξῆς αὐτῷ τάττονται· * ὁπότ' ἂν ὁ μὲν οὐραγὸς μεταβάλληται, ὁ δὲ ὀπίσω αὐτοῦ τεταγμένος ἐκ δόρατος τοῦ οὐραγοῦ παραπορευόμενος ἔμπροσθεν αὐτοῦ τάττηται, καὶ οἱ λοιποὶ ὡσαύτως, ἄλλος πρὸς ἄλλον ἐπιταχθεὶς τὸν λοχαγὸν αὖ πρωτοστάτην ποιήσωνται. (3) Χόριος δ' ἐξελιγμὸς γίνεται, ἐπειδὰν ὁ λοχαγὸς μεταβαλλόμενος ἐπὶ δόρυ προΐῃ ἐπὶ τοῦ λόχου, ἔστ' ἂν κατάσχῃ τὸν τοῦ οὐραγοῦ τόπον, ὁ δὲ οὐραγὸς τὸν τοῦ λοχαγοῦ. (4) Οὗτοι μὲν οὖν κατὰ λόχους γίνονται· ὡσαύτως δὲ καὶ κατὰ ζυγὰ συντελούμενοι, οὐ χαλεπὸν γνωσθῆναι.

XXV. Διπλασιασμῶν δὲ διττὰ γένη τυγχάνει ὄντα, ἤτοι κατὰ ζυγὰ ἢ κατὰ βάθος. (2) Καὶ τούτων ἕκαστον ἢ τῷ ἀριθμῷ διπλασιάζεται, ἢ τῷ τόπῳ. Ἀριθμῷ μὲν, εἰ ἀντὶ χιλίων εἴκοσι τεσσάρων τὸ μῆκος δισχιλίων τεσσαράκοντα ὀκτὼ ποιήσαιμεν, τὸν τόπον τὸν αὐτὸν ἐπεχούσης τῆς πάσης φάλαγγος. (3) Γίγνεται δὲ τοῦτο, παρεμβαλλόντων ἐς τὰ μεταξὺ τῶν ὁπλιτῶν τοὺς ἐν τῷ βάθει ἐπιστάτας. Καὶ οὕτω πυκνοῦται ἡμῖν τὸ μέτωπον τῆς φάλαγγος. (4) Ἀποκαταστῆσαι δὲ ἐπειδὰν βουληθῶμεν, παραγγελοῦμεν ὧδε· ὁ ἐς τὸ μῆκος ἐπιτεταγμένος, ἐπάνιθι ἐς τάξιν. (5) Εἰ δὲ καὶ τῷ τόπῳ διπλασιάσαι ἐθέλοιμεν τὸ μῆκος, ὡς ἀντὶ σταδίων πέντε ἐς δέκα ἐκτεῖναι τὴν τάξιν, τοὺς ἐκ τοῦ βάθους παρεμβληθέντας ἐς τὸ κατὰ μῆκος μέσον τῶν ὁπλιτῶν διάστημα ἐπὶ τὰ δεξιὰ κελεύσομεν ἐξελίσσεσθαι, τοὺς δὲ λοιποὺς καὶ ἡμίσεας αὐτῶν ἐπὶ τὰ εὐώνυμα, ἀπὸ τῶν πρὸς τοῖς κέρασι δευτέρων λόχων ἀρχόμενοι, καὶ οὕτω διπλάσιον ἐφέξει χωρίον ἡ πᾶσα τάξις· (6) ἀποκαταστῆσαι δὲ ἐπειδὰν βουληθῶμεν, * αὖ ἐξελίσσειν τοὺς κατὰ τὰ κέρατα τεταγμένους ἐς οὕστινας πρότερον ἔχειν τόπους. (7) Οὐ πάνυ δὲ ὠφέλιμοι οἱ διπλασιασμοὶ ἐγγὺς ὄντων πολεμίων, ὅτι ταραχῆς τε τοῦ ἡμετέρου στρατεύματος δόξαν παρέξουσιν ἐκείνοις, καὶ αὐτὸ τὸ στράτευμα ἐν τῇ μετακινήσει ἀσθενέστερον ἅμα καὶ

locum, quem antea tenebant, cum alio ita commutare, ut lochagus uragi, uragus lochagi locum et relicta fronte tergum occupet. (5) Evolutiones autem per juga fiunt, quum quis ad sectiones statuere vult cornua, ad cornua vero sectiones, et hoc modo medium totius phalangis firmare, et similiter ad dextra ponere sinistra, et ad sinistra dextra. (6) Sin per majores phalangis partes evolutiones facere non licet, hoste jam appropinquante, et nihilominus mutari acies debet, tum per singula syntagmata eas faciunt.

XXIV. Evolutio autem quæ fit per versus Macedonica vocatur, quum mutatur lochagus, quique sequuntur, ab hasta se vertentes alii post alios collocantur. (2) Evolutio autem Laconica vocatur, quando lochago vertente se ab hasta versum totum in alium æqualem priori vertit locum, ceteri autem sequentes ordine post eum similiter statuuntur; vel, quando uragus immutatur, ac qui post eum constitutus uragum ab hasta præcedens ante eum collocatur, ceterique similiter alius ante alium statuitur, donec lochagus fiat protostata. (3) Chorius autem exeligmus fit, quum lochagus conversus in hastam procedit in versu, donec venerit ad locum uragi, uragus autem, donec ad lochagi. (4) Atque ita quidem fiunt per versus; ad eundem vero modum et per juga quomodo fiant, non difficile est intelligere.

XXV. Duplicationum vero genera sunt duo; alterum per juga fit, alterum in latitudinem. (2) Atque horum quodlibet aut numero fit, aut loco. Numero quidem, si pro mille viginti quattuor in longitudine faciamus bis mille quadraginta octo, eundemque locum phalanx tota retineat. (3) Fit hoc autem insertis in medio armatorum epistatis, qui sunt in latitudine, atque ita densatur frons phalangis. (4) Quodsi hos restituere volumus figuræ priori, exclamamus hoc: *Qui in longitudine sunt inserti, revertantur in ordinem.* (5) Sin vero duplicare in eodem loco voluerimus longitudinem, ut exempli gratia stadiorum quinque aciem extendere in decem, ex latitudine insertos in longitudinem, medium inter armatos intervallum obtinentem jubebimus ad dextram explicari, reliquos vero sive dimidiam partem ad sinistram, a versibus secundis ad cornua incipientes, atque ita duplex obtinebit spatium universa acies. (6) Quodsi restituere hos volumus priori formæ, explicare eos, qui sunt ad cornua collocati, jubebimus ad loca, quæ prius habebant. (7) Non autem valde utiles sunt hæ duplicationes, si hostes in propinquo sunt, quod tumultus quandam speciem in exercitu nostro præbeant, exercitusque ipse in transmutatione minus ordinate firmiterque collocetur.

ἀταχτότερον καθιστᾶσιν. (8) Ἀλλὰ τοὺς ψιλοὺς ἐπεκτείνειν ἄμεινον, καὶ τοὺς ἱππέας, ὡς τὴν ἐκ τοῦ διπλασιασμοῦ ἔκπληξιν ἄνευ κινήσεως τῆς πεζικῆς φάλαγγος τοῖς πολεμίοις ἐμποιῆσαι. (9) Γίνεται δὲ τὸ διπλασιάζειν ἀναγκαῖον, ἢ ὑπερφαλαγγῆσαι ἡμῶν θελησάντων ὑπὲρ τὸ τῶν πολεμίων κέρας, ἢ κωλῦσαι ὑπερφαλαγγῆσαι ἐκείνους. (10) Τὸ βάθος δὲ διπλασιάζεται, εἰ ὁ δεύτερος λόχος τῷ πρώτῳ ἐπιταχθείη, ὥστε τὸν τοῦ δευτέρου λόχου λοχαγὸν ἐπιστάτην τοῦ πρώτου λοχαγοῦ γενέσθαι, τὸν δ' ἐπιστάτην τὸν πρῶτον τοῦ μὲν ἐκείνου ἐπιστάτου ἐπιστάτην γενέσθαι. (11) Οὕτω γὰρ ὁ μὲν πρόσθεν πρῶτος ἂν τοῦ β' λόχου δεύτερός ἐστι τοῦ πρώτου λόχου, ὁ δὲ δεύτερος ἐν τῷ δευτέρῳ τέταρτος τοῦ α', καὶ ὡσαύτως ἑξῆς, ἕστ' ἂν ἅπας ὁ δεύτερος λόχος κατὰ τὸν πρῶτον ἐπ' εὐθείας ἐναλλὰξ ἐνταχθῇ ἐς βάθος. Οὕτω γάρ τοι καὶ ὁ τέταρτος λόχος τὸν τρίτον βαθυνεῖ, συνταχθεὶς αὐτῷ, καὶ ἁπλῶς οἱ ἄρτιοι εἰς τοὺς περιττοὺς ἐνταχθήσονται. (12) Οὐ χαλεπὸν δὲ γνῶναι, ὅπως καὶ αὐτοῦ τοῦ κατὰ βάθος χωρίου διπλασιασμὸς ἔσται, καὶ ἡ ἀπὸ τοῦδε ἀποκατάστασις.

XXVI. Καὶ μὴν πλαγία μὲν φάλαγξ ἐστὶν ἡ τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον ἔχουσα· ὀρθία δέ, ὅταν ἐπὶ κέρας πορεύηται. Οὕτω δὲ αὖ τὸ βάθος τοῦ μήκους πολλαπλάσιον παρέχεται· (2) ὅλως τε παράμηκες μὲν τάγμα ὀνομάζεται, ὅ τι περ ἂν τὸ μῆκος ἔχῃ ἐπιπλεῖον τοῦ βάθους· ὄρθιον δέ, ὅ τι περ ἂν τὸ βάθος τοῦ μήκους. (3) Λοξὴ δὲ ὀνομάζεται φάλαγξ, ἡ τὸ μὲν ἕτερον κέρας, ὁπότερον ἂν ὁ στρατηγὸς βούληται, τοῖς πολεμίοις πελάζον ἔχουσα, καὶ αὐτῷ μόνῳ ἀγωνιζομένη, τὸ ἕτερον δὲ δι' ὑποστολῆς σώζουσα. (4) Παρεμβολὴν δὲ ὀνομάζουσιν, ἐπειδὰν προτεταγμένων τινῶν κατὰ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων ἐγκαθιστῶνται αὐτοῖς, ἀλλὰ ἐπ' εὐθείας, ὡς ἀναπληρῶσαι τὸ πρόσθεν ἀπολειπόμενον κενὸν τῆς φάλαγγος. (5) Πρόσταξιν δὲ, ὅταν ἢ ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως ἢ ἐκ θατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι κατ' εὐθὺ τοῦ μετώπου τῆς τάξεως. (6) Ἔνταξιν δὲ ὀνομάζουσιν, ἐπειδὰν τοὺς ψιλοὺς ἐς τὰ διαστήματα τῶν πεζῶν ἐντάξωσιν, ἄνδρα παρ' ἄνδρα ἱστάντες· (7) ὑπόταξιν δὲ, ἐπειδὰν τοὺς ψιλοὺς ἐπὶ τὰ πέρατα τῆς φάλαγγος ὑποτάξῃ τις ὡς ἐς ἐπικάμπιον.

XXVII. Χρὴ δὲ τὰ παραγγέλματα ἐθίζεσθαι τὴν στρατιὰν ὀξέως δέχεσθαι, τὰ μὲν φωνῇ, τὰ δὲ ὁρατοῖς σημείοις, τὰ δὲ τῇ σάλπιγγι. (2) Καὶ σαφέστερα μὲν τυγχάνει ὄντα τὰ λέξει δηλούμενα, ὅτι καὶ παντὸς τοῦ νοῦ ἡ δήλωσις οὕτω γίγνεται, οὐχὶ δὲ σύμβολόν τι αὐτοῦ μόνον ὁρᾶται ἢ ἀκούεται. (3) Ἀλλ' ἐπειδὴ πολλὰ τὰ ἐξείργοντά ἐστιν ἐν ταῖς μάχαις πρὸς τὰς διὰ φωνῆς δηλώσεις, ὅ κτύπος τε ὁ ἐκ τῶν ὅπλων καὶ αἱ παρακελεύσεις ἀλλήλοις καὶ οἰμωγαὶ τιτρωσκομένων καὶ παριππασία δυνάμεως ἱππικῆς, ψόφος τε τῶν ὅπλων καὶ χρεμετισμὸς τῶν ἵππων καὶ σκευοφόρων παριόντων, προσεθι-

(8) Verum longe melius, extendere levis armaturæ milites atque equites, ut ex duplicatione absque mutatione phalangis pedestris terror hostibus injiciatur. (9) Est autem duplicatio necessaria, quando circuire cupimus cornu adversariorum, aut cavere, ne ipsi circumeant. (10) Latitudo autem duplicatur, si secundus versus primo adjungitur, ita ut secundi versus lochagus epistata fiat lochagi in primo versu, epistata primi versus, epistatæ secundi versus epistata. (11) Ita namque qui primus erat versus secundi, secundus fiet versus primi, secundus vero versus secundi, quartus primi versus. Atque sic deinceps, donec totus versus secundus recta linea alternatim primo in latitudinem insertus erit. Ita namque et versus quartus tertium dilatat, si ei addatur, et in universum omnes pares si imparibus inserantur. (12) Nec vero, quomodo secundum latitudinem locus duplicari debeat, intellectu est difficile, itemque quomodo acies ex eo restituatur in priorem formam.

XXVI. Transversa phalanx est, quæ longitudinem latitudine multo habet majorem; recta vero, quum fit processus in cornu. Sic vero etiam latitudo major fit longitudine. (2) In universum vero oblongum agmen dicitur, cujus longitudo major est latitudine; rectum autem, cujus latitudo major longitudine. (3) Obliqua phalanx est, quæ cornu alterutrum, quodcumque visum fuerit imperatori, hostibus habet proxime objectum, eoque solo præliatur, alterum vero servat velut in subsidium. (4) Paremboläm sive insertionem vero nominant, quum in spatiis quorundam, qui priori positi sunt loco, intermediis, qui stant in posteriori loco collocantur recta cum eis linea, ut sic impleatur spatium vacuum ante in phalange relictum. (5) Adpositionem dicunt, quum ab utraque agminis parte, vel tantum alterutra ad cornu ponitur globus, qui phalangis fronti recta linea respondeat. (6) Injunctionem vocant, quando leviter armatos in intervalla peditum inserunt, virum viro adjungentes; (7) subjunctionem vero, quando leviter armatos ad extremitates phalangis subjungit aliquis figura inflexa.

XXVII. Oportet autem exercitum assuefieri ad percipienda mandata confestim, quum ea quæ significantur voce, tum ea quæ percipiuntur visu, tum quæ dantur tuba. (2) Videntur autem evidentiora, quæ voce dantur, quandoquidem sic tota declaratur sententia, non vero signum modo ejus editur vel oculis vel auribus percipiendum. (3) Verum quoniam plurima impediunt in pugnis ea quæ fiunt declaratione vocis, velut fragor armorum et adhortationes mutuæ et ejulationes vulneratorum, et prætervectiones copiarum equestrium et armorum strepitus et equorum hinnitus et lixarum turba, ideirco exercitum assuefacere

στέον τὴν στρατιὰν καὶ τοῖς ὁρατοῖς σημείοις. (4) Οὐ μὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἤδη ἄπορά ἐστιν ἃ γίνεται, οἷον ὁμίχλη ἢ κονιορτὸς πολὺς ἄνω αἰρόμενος ἢ ἥλιος κατὰ προσώπου ἀντιλάμπων ἢ νιφετὸς ξυνεχὴς ἢ ὕδωρ λάβρον ἐξ οὐρανοῦ ἢ τόποι σύνδενδροι ἢ γήλοφοι ἀνεστηκότες, ὡς μὴ πάσῃ τῇ φάλαγγι ὁρατὰ γίγνεσθαι τὰ σημεῖα. (5) Ὁπότε μὲν δὴ γήλοφοι διακρίνοιεν τὴν ὄψιν, πλείω τὰ ὁρατὰ σημεῖα ποιητέον· πρὸς δὲ τὰ ἐκ τοῦ ἀέρος ἐμπόδια, ἡ σάλπιγξ ὠφέλιμος.

XXVIII. Ὑπὲρ δὲ τῶν πορειῶν, ὅσας ποιεῖται τὰ στρατόπεδα, ἐκεῖνα χρὴ ἐνθυμεῖσθαι, ὅτι ἡ μέν τις ἐπαγωγὴ ἐν ταῖς πορείαις, ἡ δὲ παραγωγὴ καλεῖται. (2) Καὶ ἐπαγωγὴ μέν ἐστιν, ἐπειδὰν τάγμα τάγματι ἐπ' εὐθὺ ἕπεται, οἷον ἡγουμένης τετραρχίας αἱ λοιπαὶ τετραρχίαι ταύτῃ ἐπιτεταγμέναι πορεύονται, ἢ αὖ ξεναγίας ἡγουμένης αἱ λοιπαὶ ξεναγίαι ἕπονται, ἑνί τε λόγῳ, ἐπειδὰν τοῦ προηγουμένου τάγματος τοῖς οὐραγοῖς οἱ τοῦ ἑφεξῆς τάγματος ἡγεμόνες συνάπτωσιν. (3) Παραγωγὴ δ' ἐστὶν, ἐπειδὰν ἡ φάλαγξ πᾶσα πορεύηται, τοὺς ἡγεμόνας ἤτοι ἐκ τῶν εὐωνύμων ἢ ἐκ τῶν δεξιῶν ποιησαμένη· κἂν μὲν ἐκ τῶν εὐωνύμων ποιήσηται, εὐώνυμος παραγωγὴ καλεῖται· ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιά. (4) Ὅπως δ' ἂν ἡ πορεία γίγνηται, εἴτε κατ' ἐπαγωγὴν εἴτ' ἐν παραγωγῇ, ἤτοι ἐν μονοπλεύρῳ τῷ τάγματι ἡ στρατιὰ βαδιεῖται, ἢ ἐν διπλεύρῳ ἢ ἐν τριπλεύρῳ ἢ ἐν τετραπλεύρῳ. (5) Μονοπλεύρῳ μὲν, ἐπειδὰν ἕνα τόπον ὕποπτον ἔχῃ ὁ στρατηγός· διπλεύρῳ δὲ, ἐπειδὰν δύο· τριπλεύρῳ δὲ, ἐπειδὰν τρεῖς· τετραπλεύρῳ δὲ, ἐπειδὰν πάντοθεν οἱ πολέμιοι ἐπιστήσεσθαι πιθανοὶ δοκῶσι. (6) Καὶ μὴν ποτὲ μὲν μονοφαλαγγία ἡ πορεία γίγνεται, ποτὲ δὲ διφαλαγγία, καὶ οὕτως τριφαλαγγία τε καὶ τετραφαλαγγία. Καὶ ταῦτα οὐ χαλεπὸν ξυμβάλλειν ὑπὸ τῶν πρόσθεν τάξεων.

XXIX. Ἔτι δὲ ἀμφίστομος μὲν φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι. (2) Διφαλαγγία δὲ ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους, τοὺς μὲν ἐν δεξιᾷ, τοὺς δὲ ἐν εὐωνύμῳ, *** τοὺς δὲ οὐραγοὺς ἔξω ἐστραμμένους ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς. (3) Ἑτερόστομος δὲ φάλαγξ ἐστὶν, ἡ τὸ μὲν ἡγούμενον ἥμισυ ἐν τῇ πορείᾳ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ, τουτέστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου, τοῦ δὲ λοιποῦ ἡμίσεος τῆς φάλαγγος τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ. (4) Ὁμοιόστομος δ' ἐν πορείᾳ διφαλαγγία ἐστὶν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν ἔχει τεταγμένους, ἢ ἐκ δεξιῶν ἢ ἐκ τῶν εὐωνύμων ἑκατέρας τῆς φάλαγγος. (5) Ὅταν δὲ ἡ ἀμφίστομος διφαλαγγία τὰ μὲν ἡγούμενα πέρατα ἀλλήλοις συνάψῃ, τὰ δὲ ἑπόμενα διαστήσῃ, τὸ τοιοῦτον ἔμβολον καλεῖται. (6) Ἐπειδὰν δὲ ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα πέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ, τὸ τοιόνδε κοιλέμβολον καλεῖται. (7) Πλαίσιον δὲ ὀνομάζεται ὁπόταν πρὸς

portet etiam ad ea signa observanda, quæ percipiuntur visu. (4) Quanquam et ea interdum observari difficulter possint, ut quum oritur caligo, aut pulvis excitatur, aut sol ferit oculos, aut nix densa aut pluvia vehemens cælo delabitur, aut loci arboribus sint consiti aut collibus distincti, ut a phalange universa signa nequeant conspici. (5) Ac ubi quidem colles visum impediunt, plura signa proponenda, quæ possint conspici. Quæ autem ex aere existunt impedimenta, adversus ea tuba est idonea.

XXVIII. De itineribus autem, quæ facit exercitus, hoc notari debet, quod eorum aliquod dicatur epagoge, aliquod paragoge. (2) Ac epagoge quidem est, quando tagma unum statim alterum subsequitur, ut quum præcedit tetrarchia una, reliquæ tetrarchiæ similiter ordinatæ sequuntur, vel quando xenagia præcedit, sequuntur ceteræ xenagiæ : uno verbo, quando uragis tagmatis præcedentis conjunguntur subsequentis tagmatis duces. (3) Paragoge autem est, quando tota incedit phalanx, duces autem habet vel a dextris vel a sinistris. Et quando a sinistris, paragoge sinistra dicitur, quando vero a dextris, dextra. (4) Quoquo autem modo fiat iter, aut in epagoge aut paragoge, fit aut unilatero tagmate aut bilatero aut trilatero aut quadrilatero. (5) Unilatero quidem, si duci ab uno latere suspicio est hostis; bilatero, si a lateribus duobus; trilatero, si a tribus; quadrilatero vero, si ab omni latere irrupturi hostes videntur. (6) Sed et monophalangia quando iter instituitur, aliquando diphalangia, et triphalangia, et tetraphalangia. Atque hoc quid sit haud difficile est conjicere ex antecedentibus agminis speciebus.

XXIX. Deinde vero et amphistomos phalanx vocatur, quæ dimidiam partem virorum in versibus aversam habet a se mutuo, sic ut terga sibi obvertant. (2) Diphalangia vero amphistomos, quæ in itinere duces habet ab utraque parte in paragogis constitutos, alios in dextra, alios in sinistra, [*uragos vero intus collocatos. Antistomus autem diphalangia duces in medio habet*] uragos autem extra collocatos utrinque in paragogis. (3) Phalanx autem heterostomos est, quæ præfecturam habet dimidiam in itinere in sinistra paragoge, hoc est, præfectos ex sinistra parte, dimidiæ autem partis reliquæ præfectos phalangis in dextra paragoge. (4) Homœostomos autem diphalangia in itinere est, quæ duces alterutrius phalangis ab iisdem partibus habet collocatos, vel a dextris, vel a sinistris alterutrius phalangis. (5) Quando vero phalanx amphistomos duces primores inter se conjungit, eos vero, qui sequuntur, disjungit, cuneus id dicitur. (6) Quando autem antistomos diphalangia eos qui sequuntur conjungit, primos vero disjungit, cœlembolum id appellatur. (7) Plæsium vero di-

πάσας τὰς πλευρὰς παρατάξηταί τις ἐν ἑτερομήκει σχήματι. (8) Πλινθίον δέ, ὅταν ἐν τετραγώνῳ σχήματι αὐτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου πλαίσιον ἰσόπλευρον καλεῖ· (9) ὃ καὶ ὑπερφαλάγγησιν μὲν ὀνομάζουσιν τὴν καθ' ἑκάτερον τὸ πέρας τῆς φάλαγγος ὑπεροχὴν ὑπὲρ τοὺς πολεμίους· ὑπερκέρασιν δέ, τὴν καθ' ἓν ὁπότερον οὖν κέρας. Καὶ τῇ μὲν ὑπερφαλαγγήσει ἡ ὑπερκέρασις ἑπόμενόν ἐστιν, ἀνάπαλιν δὲ οὔ. (10) Οὕτω τοι κέρατι μὲν ὁποτέρῳ οὖν ὑπερέχειν καὶ ἐλάττονας κατὰ πλῆθος δυνατὸν, καὶ ἐν ἴσῳ βάθει φυλάττοντας τὴν πᾶσαν τάξιν· ὑπερφαλαγγῆσαι δὲ ἐν ἴσῳ τῷ πλήθει ἢ καὶ μείονι, μὴ ἐπὶ λεπτὸν ἐπεκτείνοντα, οὐχ οἷόν τε.

XXX. Τῶν δὲ σκευοφόρων ἀγωγαὶ ξὺν ἡγεμόνι γιγνέσθωσαν. Τρόποι δὲ αὐτῶν πέντε· ἢ γὰρ ἡγεῖσθαι αὐτὰ χρὴ τῆς στρατιᾶς, σὺν οἰκείᾳ φυλακῇ, ἢ ἕπεσθαι, ἢ ἐκ πλαγίου ἰέναι· καὶ τοῦτο διττόν· ἢ γὰρ ἐκ δεξιῶν, ἢ ἐξ ἀριστερῶν· ἢ ἐντὸς τῶν ὅπλων ἄγεσθαι. (2) Πρὸ μὲν δὴ τῆς φάλαγγος χρὴ ἄγειν τὰ σκευοφόρα, ἐπειδὰν ἐκ πολεμίας ἀπάγῃς· ἑπόμενα δὲ τῇ φάλαγγι, ἐπειδὰν εἰς πολεμίαν ἐμβάλλῃ· παράγειν δὲ ὁποτέρᾳ οὖν, ἐπειδὰν τὰ πλάγια φοβώμεθα· ἐντὸς δὲ τῆς φάλαγγος, ἐὰν τὰ πανταχόθεν ὕποπτα ᾖ.

XXXI. Τὰ δὲ παραγγέλματα χρὴ συντομώτατά τε ὡς οἷόν τε καὶ σαφέστατα ποιεῖσθαι. Ἔσται δὲ τοῦτο, εἰ ὅσα ἀναμφιβόλως δέξασθαι δυνατοὶ εἶεν οἱ στρατιῶται, ταῦτα φυλαττοίμεθα. (2) Αὐτίκα εἰ κλῖνον λέγοις, ἐφ' ὃ προστιθεὶς, τὸ ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα, οἱ ὀξέως κατακούειν εἰθισμένοι τῶν παραγγελμάτων, ἄλλοι ἄλλο δεξάμενοι ἔπραξαν. Οὐκ οὖν ὧδε χρὴ λέγειν, κλῖνον ἐπὶ δόρυ, ἢ κλῖνον ἐπ' ἀσπίδα· ἀλλ' ἀναστρέψαντα, ἐπὶ δόρυ κλῖνον, ἢ ἐπ' ἀσπίδα κλῖνον. Οὕτω γὰρ ξύμπαντες τὸ αὐτὸ ἀκούσονταί τε καὶ δράσουσιν. (3) Οὐκ οὖν οὐδὲ μεταβαλοῦ, ἢ ἐξέλιξον χρὴ παραγγέλλειν. Ταῦτα γὰρ τοῦ γένους τὴν πρᾶξιν δηλοῦντα, ἐπὶ διάφορα ἔργα ἄξει τοὺς ἀκούοντας. Ἀλλὰ τὰ εἴδη γὰρ προτακτέον πρὸ τῶν γενῶν, οἷον, ἐπὶ δόρυ μεταβαλοῦ, ἢ ἐπ' ἀσπίδα. (4) Καὶ αὖ ὧδε ἐροῦμεν, τὸν Λάκωνα ἐξέλισσε, ἢ τὸν Χόριον, ἢ τὸν Μακεδόνα· εἰ δὲ μὴ προσθεὶς ὄντινα, αὐτὸ μόνον ἐξέλισσε φαίης, ἄλλοι ἐπ' ἄλλον ἐξελιγμὸν ἥξουσιν. (5) Οὐδὲν δὲ ὡσαύτως ἀγαθὸν ἔν τε πορείαις καὶ ἐν μάχαις, ὡς σιγὴ τοῦ παντὸς στρατεύματος. Καὶ τοῦτό γε καὶ Ὅμηρος ἐν τῇ ποιήσει ἐδήλωσεν. Περὶ μὲν γὰρ τῶν ἡγεμόνων τῶν Ἑλλήνων φησὶν ὅτι

Κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων·

περὶ δὲ τῆς στρατιᾶς ὅτι

οἱ δ' ἄλλοι ἀκὴν ἴσαν (οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδὴν)
σιγῇ δειδιότες σημάντορας·

τῶν δὲ δὴ βαρβάρων τὴν ἀταξίαν δηλῶσαι θελήσας, κλαγγῇ καὶ ἐνοπῇ φησὶν ἰέναι τοὺς Τρῶας ἴσα καὶ ὄρνιθας. (6) Καὶ αὖ ἐν ἄλλοις ἔπεσι·

citur, quum ab omnibus lateribus acies instruitur figura oblonga. (8) Plinthium vero, si figura quadrata fiat illud ipsum, quod Xenophon Grylli filius plasium æquilaterum appellat. (9) Hyperphalangesin vero appellant, si ab extremitate phalangis utraque hostes circumdamus; hypercerasin vero, si ab uno tantum, quocunque tandem, cornu: et hyperphalangesin quidem subsequitur hypercerasis, at non vice versa. (10) Atque ita quidem cornu alterutrum superare etiam qui copiis minus sunt instructi possunt, et in eadem latitudine conservare totam aciem. Hyperphalangesin autem adhibere in æquali multitudine vel etiam minore, nisi extenuare nimis aciem velis, haud potes.

XXX. Impedimenta vero duci sub præfecto debent. Sunt autem modi ducendi ea quinque. Vel enim antecedere debent exercitum cum præsidio proprio, vel sequi, vel a latere ire; quod ipsum quoque duplicis est generis, a dextro videlicet, vel a sinistro; vel denique in medio exercitus concludi. (2) Ante phalangem quidem ducere oportet impedimenta, quando abducis ex regione hostili; phalangem vero debent sequi, quando in hostilem regionem irrumpis; a latere alterutro incedere, si ab alterutro est metus; in ipsa autem phalange, quando ubique omnia sunt suspecta.

XXXI. Mandata vero brevissima quam maxime potest via perspicuaque dari oportet. Fit hoc autem, quando, uti absque ambiguitate intelligere possint milites, operam damus. (2) Ut si dicas, *inclina*, addasque *in hastam clypeumve*, qui sueti sunt celeriter obtemperare mandatis, aliter aliterque id accipientes, diversimode facient. Non igitur dicendum *inclina in-hastam*, vel *inclina in clypeum*, sed inverse, *in hastam inclina, in clypeum inclina*. Sic enim universi idem intelligent exsequenturque. (3) Ad eundem ergo modum neque *immuta*, neque *explica* dicendum, quum mandatum datur. Hæc enim generis actionem innuentia, audientes inducunt ad actiones alias aliasque, sed species præponendæ sunt generi, ut, *ad hastam immuta*, vel *ad clypeum*. (4) Exinde quoque potius dicimus, *Laconicam explica*, aut *Choriam*, aut *Macedonicam*. Si vero non præponas qualem, et simpliciter dicas, *explica*, alii aliam explicationem explicabunt. (5) Nihil autem æque utile in itineribus pugnisque, ac silentium exercitus totius. Id quod et Homerus ostendit in poesi sua. Nam de ducibus Græcorum ait (Il. 4, 428):

Imperabat suis unusquisque
ducum;

de exercitu vero:

celeri taciti ibant (neque dixisses
tantas copias sequi habentes in pectoribus vocem)
silentio reveriti ductores.

Barbarorum vero confusionem ostendere cupiens, *cum clangore sonituque*, ait, *ivisse Trojanos, sicut aves*. (6) Et rursum in alio carmine (Il. 2, 459):

Τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν (φησί) ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων

καὶ ἐπεξελθὼν τῶν ὀρνίθων τὸν θόρυβον·

Ὡς Τρώων ἀλαλητὸς (φησίν) ἀνὰ στρατὸν εὐρὺν ὀρώρει,
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς·

ὑπὲρ δὲ τῶν Ἑλλήνων·

Οἱ δ' ἄρ' ἴσαν σιγῇ, φησίν, μένεα πνείοντες Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν·

οὕτω γὰρ οἱ μὲν ἡγεμόνες ὀξέως παραγγελλοῦσιν αὐτὰ, ἡ δὲ στρατιὰ ὀξέως δέξεται τὰ ἐνδιδόμενα.

XXXII. Τὰ παραγγέλματα δὲ ἔστω τοιάδε· Ἄγε εἰς τὰ ὅπλα. Ὁπλοφόρος ἀπίτω ἀπὸ τῆς φάλαγγος. Σίγα, καὶ πρόσεχε τῷ παραγγελλομένῳ. Ἄνω τὰ δόρατα. Κάθες τὰ δόρατα. Ὁ οὐραγὸς τὸν λόχον ἀπευθυνέτω. Τήρει τὰ διαστήματα. Ἐπὶ δόρυ κλῖνον. Ἐπ' ἀσπίδα κλῖνον. Πρόαγε. Ἔχέτω οὕτως. Ἐς ὀρθὸν ἀπόδος. Τὸ βάθος διπλασίαζε, ἀποκατάστησον. Τὸν Λάκωνα ἐξέλιττε, ἀποκατάστησον· ἐπὶ δόρυ ἐκπερίσπα, ἀποκατάστησον. (2) Τάδε μὲν, ὥσπερ ἐν τέχνῃ, δι' ὀλίγων ἐκδηλῶσαι ἱκανὰ, ὑπέρ τε τῶν πάλαι Ἑλληνικῶν καὶ τῶν Μακεδονικῶν τάξεων, ὅστις μηδὲ τούτων ἀπείρως ἐθέλοι ἔχειν. (3) Ἐγὼ δὲ τὰ ἱππικὰ γυμνάσια, ὅσα Ῥωμαῖοι ἱππεῖς γυμνάζονται, ἐν τῷ παρόντι ἐπεξελθὼν, ὅτι τὰ παρ' [Ἕλλησιν] ἔφθην δηλώσας ἐν τῇ συγγραφῇ, ἥντινα ὑπὲρ αὐτοῦ τοῦ βασιλέως συνέγραψα, τόδε μοι ἔσται τέλος τοῦ λόγου τοῦ τακτικοῦ.

XXXIII. Καίτοι οὐκ ἀγνοῶ, χαλεπὴν ἐσομένην τὴν δήλωσιν τῶν ὀνομάτων ἑκάστων, ὅτι οὐδὲ αὐτοῖς Ῥωμαίοις τὰ πολλὰ τῆς πατρίου φωνῆς ἔχεται, ἀλλὰ ἔστιν ἃ τῆς Ἰβήρων ἢ Κελτῶν, ἐπεὶ τὰ πράγματα αὐτὰ Κελτικὰ ὄντα προσέλαβον, εὐδοκιμήσαντος αὐτοῖς ἐν ταῖς μάχαις τοῦ Κελτῶν ἱππικοῦ. (2) Εἰ γάρ τοι ἐπ' ἄλλῳ τῳ, καὶ ἐπὶ τῷδε ἄξιοι ἐπαινεῖσθαι Ῥωμαῖοι, ὅτι οὐ τὰ οἰκεῖα καὶ τὰ πάτρια οὕτως τι ἠγάπησαν, ὡς τὰ παντα χόθεν καλὰ ἐπιλεξάμενοι, οἰκεῖα σφίσιν ἐποιήσαντο. (3) Οὕτω τοι εὕροις ἂν καὶ ὁπλίσεις τινὰς παρ' ἄλλων λαβόντας· καὶ ἤδη Ῥωμαϊκαὶ ὀνομάζονται, ὅτι κράτιστα Ῥωμαῖοι αὐταῖς ἐχρήσαντο· καὶ γυμνάσια στρατιωτικὰ παρ' ἄλλων, καὶ θρόνους τῶν ἀρχόντων, καὶ ἐσθῆτα τὴν περιπόρφυρον. (4) Οἱ δὲ καὶ θεοὺς αὐτοὺς ἄλλους παρ' ἄλλων λαβόντες, ὡς οἰκείους σέβουσιν. Τὰ γοῦν ἐπ' αὐτοῖς ὁρώμενα εἰς τοῦτο ἔτι, τὰ μὲν Ἀχαιῶν νόμῳ ὁρᾶσθαι λέγεται, τὰ δὲ κοινῶς Ἑλλήνων· ὁρᾶται δὲ ἔστιν ἃ καὶ Φρύγια· καὶ γὰρ ἡ Ῥέα αὐτοῖς ἡ Φρυγία τιμᾶται ἐκ Πεσσινοῦντος ἐλθοῦσα, καὶ τὸ πένθος τὸ ἀμφὶ τῷ Ἄττῃ Φρύγιον ἐν Ῥώμῃ πενθεῖται, καὶ τὸ λουτρὸν δὲ ἡ Ῥέα, ἐφ' οὗ τοῦ πένθους λήγει, τῷ Φρυγῶν νόμῳ λοῦται. (5) Καὶ μὴν τῶν νόμων, οὓς ἐν ταῖς δώδεκα δέλτοις τὰ πρῶτα ἐγράψαντο, τοὺς πολλοὺς εὕροις ἂν παρ' Ἀθηναίων λαβόντας. (6) Καὶ ταῦτα πολὺ ἂν ἔργον εἴη ἐπεξιέναι, ὅπως τε ἕκαστα ἔχῃ καὶ παρὰ τίνων προσποιηθέντα. Ἐμοὶ δὲ ὑπὲρ τῶν γυμνασίων τῶν ἱππικῶν ὥρα ἤδη λέγειν.

Horum autem sicut avium volatilium gentes multæ, anserum vel gruum vel cygnorum longa colla habentium;

et persequens avium tumultum:

Sic Trojanorum clamor per exercitum latum exortus est: non enim omnium erat una vociferatio, neque una vox.

At vero de Græcis ait

Hi vero ibant tacite, Martem spirantes Achivi, mutuum in auxilium discrimen adire parati.

Sic enim et duces celeriter imperia proponent, et proposita exercitus celeriter intelliget.

XXXII. Imperia vero ista sunt. Age ad arma. Lixa discedat a phalange. Tace, et attende jussis. Sursum hastas. Deorsum hastas. Uragus versum dirigat. Serva inter valla. Ad hastam inclina. Ad clypeum inclina. Procede. Sic consiste. In rectum restitue. Latitudinem duplica; restitue. Laconicam explica; restitue. In hastam converte; restitue. (2) Atque ista quidem, ceu in arte compendiosa, sufficere videntur, de veteribus Græcorum ac Macedonum aciebus ei, qui ne harum quidem imperitus esse volet. (3) Ego vero exercitationes equestres, quibus equites Romani exercentur, in præsens persecutus (nam de Græcorum exercitationibus equestribus jam dixi in scripto, quod pro Imperatore ipso composui), hic finem faciam libri tactici.

XXXIII. Non ignoro autem, fore difficilem omnium vocabulorum explicationem, quod ne Romani quidem ipsi multa eorum habeant ex sermone proprio, sed ex Iberico aut Celtico, quoniam res ipsas, quæ Celticæ sunt, assumpserunt quum eis in præliis Celtarum equitatus maxime placeret. (2) Si enim ob alia, etiam ob hoc laudandi Romani, quod non sic amarint patria et sua, ut non undique, quæ essent utilia, seligerent, inque suos usus converterent. (3) Sic invenias arma accepisse quædam ab aliis, quæ nunc appellantur Romana, quia iis optime Romani usi sunt; ab aliis etiam exercitationes militares, et sellas magistratuum, et vestem purpura prætextam. (4) Quin et deos ipsos aliunde acceptos colunt, velut suos. Quare multa faciunt in cultu isto, ad hunc diem, quæ dicuntur fieri vel ex instituto Achæorum, vel communi Græcorum omnium. Observant quoque Phrygia instituta nonnulla. Nam et Rheam colunt Phrygiam ex Pessinunte advectam, et luctum ob Attin Phrygium Romæ lugent. Lavacrum quoque, quo lota Rhea a luctu desinit, Phrygio more instituitur. (5) Sed et legum, quas primum in tabulis duodecim habebant conscriptas, plerasque invenies ab Atheniensibus accepisse. (6) Et hæc quidem quomodo se habeant singula, et quæ a quoque ipsis vindicentur, non parvi laboris esset explicare. At nunc tempus est ut de exercitationibus equestribus loquar.

XXXIV. Τὸ μὲν χωρίον, ἵναπερ τὰ γυμνάσια αὐτοῖς τελεῖται, οὐχ ὁμαλὸν ἐπιλέγονται μόνον, ἀλλ' ἐς τοσόνδε προσεξεργάζονται, ὡς σκάπτειν τε τὸ μέσον αὐτοῦ ἐς βάθος ξύμμετρον, καὶ τὰς βώλους ξυγκόπτειν ἐς λεπτότητά τε καὶ μαλακότητα, ἀποτεμνόμενοι τοῦ παντὸς πεδίου τὸ πρὸ τοῦ βήματος ἐς πλαισίου ἰσοπλεύρου σχῆμα. (2) Αὐτοὶ δὲ ὡπλισμένοι παριᾶσι κράνεσι μὲν σιδηροῖς ἢ χαλκοῖς κεχρυσωμένοις, ὅσοι κατ' ἀξίωσιν αὐτῶν διαπρεπεῖς, ἢ καθ' ἱππικὴν διαφέροντες, ὡς καὶ αὐτῷ τούτῳ ἐπάγειν ἐπὶ σφᾶς τῶν θεωμένων τὰς ὄψεις. (3) Τὰ κράνη δὲ ταῦτα, οὐ καθάπερ τὰ εἰς μάχην πεποιημένα, πρὸ τῆς κεφαλῆς καὶ τῶν παρειῶν προβέβληται μόνον, ἀλλὰ ἴσα πάντῃ τοῖς προσώποις ποιεῖται τῶν ἱππέων, ἀνεωγότα κατὰ τοὺς ὀφθαλμούς, ὅσον μὴ ἐπίπροσθεν τῷ ὁρᾶν τὰ γιγνόμενα σκέπην ὁμοῦ παρέχειν τῇ ὄψει. (4) Χαῖται δὲ ἀπήρτηνται αὐτῶν ξανθαί, οὐκ ἐπὶ χρείᾳ μᾶλλόν τι ἢ ἐς κάλλος τοῦ ἔργου· καὶ αὗται ἐν ταῖς ἐπελάσεσιν τῶν ἵππων, εἰ καὶ ὀλίγη πνοὴ τύχοι, καὶ ὑπὸ τῆς ὀλίγης ἡδίους φαίνονται ἀπαιωρούμεναι. (5) Καὶ θυρεοὺς δὲ φέρουσιν, οὐχ ὥσπερ εἰς τὰς μάχας, ἀλλὰ τῷ βάρει κουφοτέρους, ἅτε ἐπ' ὀξύτητι καὶ κάλλει τὰς μελέτας ποιούμενοι, καὶ ἐς ἡδονὴν πεποικιλμένους. (6) Ἀντὶ δὲ τῶν θωράκων, Κιμμερικὰ χιτώνια, ἴσα καὶ ὅμοια τοῖς θώραξιν, τὴν δὲ χροιὰν οἱ μὲν κόκκου, οἱ δὲ ὑακίνθου, οἱ δὲ ἄλλῃ καὶ ἄλλῃ πεποικιλμένα. (7) Ἀναξυρίδας δὲ περὶ τοῖν σκελοῖν, οὐ καθάπερ Παρθυαῖοι καὶ Ἀρμένιοι κεχαλασμένας, ἀλλὰ προσφιγγομένας τοῖν σκελοῖν. (8) Ἵπποι δὲ αὐτοῖς προμετωπιδίοις μὲν εἰς ἀκρίβειαν πεφραγμένοι εἰσὶ, παραπλευριδίων δὲ οὐδὲ δέονται. Ἀσίδηρα γὰρ ὄντα τὰ ἐπὶ τῇ μελέτῃ ἀκόντια, τοὺς μὲν ὀφθαλμοὺς τῶν ἵππων καὶ [ὡς] κακόν τι ἂν ἀπεργάσαιντο· ταῖς πλευραῖς δὲ αὐτῶν, ἄλλως τε καὶ τοῖς ἐφιππίοις τὸ πολὺ μέρος σκεπομέναις, ἀβλαβῶς προστίπτει.

XXXV. Πρῶτον μὲν δὴ ἔλασις αὐτοῖς ἐς τὸ ἀποδεδειγμένον πεδίον γίνεται, ὡς διαπρεπέστατα ἐς κάλλος καὶ λαμπρότητα ἠσκημένη, ὁπόθεν ἂν μάλιστα ἐκ τοῦ ἀφανοῦς ἐξελαύνειν δόξειαν, καὶ μὴ ἁπλῆν, ἀλλ' ὡς ἔνι ποικίλην τὴν ἐκδρομὴν ποιεῖσθαι. (2) Σημείοις δὲ διακεκριμένοις ἀπελαύνουσιν, οὐ τοῖς Ῥωμαϊκοῖς μόνον, ἀλλὰ καὶ τοῖς Σκυθικοῖς, τοῦ ποικιλωτέραν τε καὶ ἅμα φοβερωτέραν γίγνεσθαι τὴν ἔλασιν. (3) Τὰ Σκυθικὰ δὲ σημεῖά ἐστιν ἐπὶ κοντῶν ἐν μήκει ξυμμέτρῳ δράκοντες ἀπαιωρούμενοι. Ποιοῦνται δὲ ξυρραπτοὶ ἐκ ῥακῶν βεβαμμένων, τάς τε κεφαλὰς καὶ τὸ σῶμα πᾶν ἔστε ἐπὶ τὰς οὐρὰς εἰκασμένοι ὄφεσιν, ὡς φοβερώτατα οἷόν τε εἰκασθῆναι καὶ τὰ σοφίσματα ταῦτα· (4) Ἀτρεμούντων μὲν τῶν ἵππων, οὐδὲν πλέον ἢ ῥάκη ἂν ἴδοις πεποικιλμένα ἐς τὸ κάτω ἀποκρεμάμενα· ἐλαυνομένων δὲ ἐμπνεόμενα ἐξογκοῦνται, ὥστε μάλιστα τοῖς θηρίοις ἐπεοικέναι, καί τι καὶ ἐπισυρίζειν πρὸς τὴν ἄγαν κίνησιν ὑπὸ τῆ πνοῆ βιαίᾳ διερχομένῃ. (5) Καὶ ταῦτα τὰ σημεῖα οὐ τῇ ὄψει μόνον ἡδονὴν ἢ ἔκπλη-

XXXIV. Atque campum quidem, in quo exercitationes istas peragant, non æqualem eligunt modo, sed insuper ita præparant, ut medium ejus justa altitudine suffodiant, egestasque glebas discutiant, quo sint omnia mitia molliaque, resecantes ab omni campo locum ante suggestum situm in figuram æquilateram quadratam. (2) Ipsi vero armati instruuntur galeis ferreis aut æreis inauratis, quotquot vel ratione dignitatis eminent, vel rei equestris arte excellunt, ut et hoc ipso in se convertant oculos spectatorum. (3) Eæ galeæ autem, non ut illæ, quæ ad bella parantur, caput solum atque genas protegunt, verum similiter toti equitum faciei obtenduntur, circa oculos tantum apertæ ita, ut visum non impediant, simul tamen ipsis etiam oculis præbeant tutamen. (4) Setæ vero ab ipsis dependent flavæ, non tam ad usum aliquem quam ad pulchritudinem; quæ in cursu equorum vel a levissima, quæ forte spiret, aura agitatæ jucundum præbent spectaculum. (5) Gestant et scuta, non qualia usitata sunt in bello, sed pondere leviora, quandoquidem in celeritate ac venustate omne studium ponunt, et ad voluptatem variegata. (6) Pro thoracibus vero sagula Cimbrica, æqualia similiaque thoracibus, quantum autem ad colorem, coccinea quædam, quædam hyacinthina, alia variis distincta coloribus. (7) Tibialia vero circa crura non Parthorum vel Armeniorum modo larga, sed ad crura adstricta. (8) Equi vero eorum frontalibus probe sunt muniti, sed laterum munimentis haud indigent. Etsi enim ferreis cuspidibus in hoc ludo careant jacula, oculos tamen equorum vel sic lædere possint; sed latera eorum, præsertim quum ephippiis maximam partem tegantur, absque damno ferire licet.

XXXV. Primum autem decursionem instituunt in demonstratum campum, magnificentissime ad pulchritudinem dignitatemque instructam, unde ex improviso maxime procedere videantur, neque simplicem sed variam quammaxime profectionem facere. (2) Signis autem distinctis procedunt, non Romanis solum, verum etiam Scythicis, ut et varia magis et simul formidabilior fiat ista decursio. (3) Scythica autem signa sunt dracones convenienti longitudine pendentes ex contis. Fiunt autem ex pannis inter se consutis diversicoloribus, qui capita et reliqua corpora tota ad caudam usque repræsentant serpentum; adeo ut speciem quammaxime formidabilem etiam commenta hæc præ se ferant. (4) Sane, quando quieti stant equi, nihil amplius quam pannos videas diversicolores ad inferiora dependentes: quando vero currunt, inflati turgescunt, ut ipsas feras specie referant, quendam etiam sibilum edant per vehementem agitationem vento violentiore eos perflante. (5) Atque istæc quidem signa non modo visu sunt ju-

ξιν παρέχει, ἀλλὰ καὶ ἐς διάκρισιν τῆς ἐπελάσεως καὶ τὸ μὴ ἐμπίπτειν ἀλλήλαις τὰς τάξεις ὠφέλιμα γίγνονται. (6) Οἱ μὲν γὰρ φέροντες αὐτὰ, οἱ δαημονέστατοι τῶν ἐξελιγμῶν τε καὶ ἐπιστροφῶν εἰς ἄλλους καὶ ἄλλους κύκλους ἢ ἄλλας καὶ ἄλλας ἐπ' εὐθὺ ἐκδρομὰς ἐπιλέγονται, τὸ δὲ πλῆθος οὐδὲν ἄλλο μεμελέληκεν, ὅτι μὴ ἕπεσθαι τῷ οἰκείῳ ἑκάστοις σημείῳ. (7) Καὶ οὕτως ποικίλαι μὲν αἱ ἐπιστροφαὶ, πολυειδεῖς δὲ οἱ ἔμπαλιν ἐξελιγμοὶ, πολύτροποι δὲ ἄλλῃ καὶ ἄλλῃ αἱ ἐπελάσεις γιγνόμεναι, ἀσυγχύτους ὅμως τὰς τάξεις παρέχονται. Συνενεχθὲν σημείῳ σημεῖον ἢ ἵππος ἵππῳ ἐμπεσὼν ἀναταράξαι ἂν τὴν πᾶσαν τάξιν, καὶ οὐ τὸ κάλλος μόνον, ἀλλὰ καὶ τὴν χρείαν διαφθείραι τοῦ ἔργου.

XXXVI. Ὁμοῦ δὲ ἥ τε ἐπέλασις αὐτοῖς ἀποπαύεται καὶ κατὰ τὰ ἀριστερὰ τοῦ βήματος ὑπομένουσιν ἐπάλληλοι ἱππεῖς, τὰς μὲν κεφαλὰς τῶν ἵππων εἰς τοὐπίσω ἀποστρέψαντες, τοὺς θυρεοὺς δὲ πρὸ τῶν νώτων τῶν σφετέρων καὶ πρὸ τῶν ἱππείων οὕτω προβεβλημένοι. Καὶ ἡ τάξις αὕτη, καθάπερ ὁ ξυνασπισμὸς τῶν πεζῶν, χελώνη ὀνομάζεται. (2) Δύο δὲ ἱππεῖς τοῦδε τοῦ στοίχου διέχοντες, ὅσον ἐκδρομὰς παρέχειν τοῖς φίλοις ἱππεῦσι, προβέβληνται πρὸ τοῦ δεξιοῦ κέρως τῆς χελώνης, τοῦ ἐκδέχεσθαι τοὺς ἐξακοντισμοὺς τῶν ἐς εὐθὺ ἐπελαυνόντων. (3) Οὕτω μὲν οἱ ἡμίσεις τῶν ἱππέων περφραγμένοι ἵστανται ἐς προβολήν· ἐπὰν δὲ σημήνῃ τῇ σάλπιγγι, οἱ ἡμίσεις αὖ ἐπελαύνουσιν, ὡς πλεῖστα καὶ συνεχέστατα ἀκόντια ἐξακοντίζοντες, πρῶτος ὁ πρῶτος κατ' ἀρετὴν (?), καὶ ἐπὶ τούτῳ ὁ δεύτερος, καὶ ἐφεξῆς ὡσαύτως. (4) Τὸ δὲ κάλλος τοῦ ὁρωμένου ἐν τῷδε ἐστὶν, ὅστις ὅτι πλεῖστα καὶ ξυνεχέστατα ἀκόντια, ὀρθῶς ἐπελαύνοντος ἵππου, ἐς τοὺς δύο τοὺς προβεβλημένους πρὸ τοῦ ἀριστεροῦ κέρως τῆς χελώνης, κατὰ αὐτῶν τῶν ὅπλων, ὡς μάλιστα τύχοι, ἀκοντίσαι. (5) Ἐπελάσαντες δὲ ἐπ' εὐθὺ, ἐγκλίνουσιν αὖ ἐς τὰ πλάγια, ὡς ἐς κύκλον ἐπιστρέφοντες. Ἡ κλίσις δὲ αὐτοῖς ἐπὶ τὰ δεξιὰ σφῶν γίγνεται ἐπὶ δόρυ. (6) Οὕτως γὰρ τῷ τε ἀκοντίζ[οντι] οὐδὲν ἐμποδὼν ἵσταται, καὶ οἱ θυρεοὶ προβέβληνται πρὸ τῶν ἀκοντιζόντων ἐν τῇ ἐπελάσει.

XXXVII. Καὶ χρὴ τοσαῦτα φέρειν ἀκόντια, ὡς διὰ πάσης τῆς προβολῆς ἐξακοντίζειν παριππεύοντα. Καὶ τοῦτε ἀκροβολισμοῦ τὸ συνεχὲς καὶ τοῦ κτύπου τὸ ἀνεκλεῖπον ὥσπερ τι ἄλλο ἐκπληκτικὸν φαίνεται. (2) Μεταξὺ δὲ δὴ τοῦ τε δεξιοῦ κέρως τῆς τάξεως καὶ τῆς προβολῆς τοῖν δυοῖν ἱππέοιν ἐκ τοῦ ἀφανοῦς ἱππεῖς ἐκθέουσι, προϊππεύοντες μὲν αὐτοὶ τῆς οἰκείας τάξεως, ἀκοντίζοντες δὲ ἐς τοὺς παριππεύοντας· καὶ τούτοις ἐπ' ἀσπίδα ἡ ἐπίκλισις γίγνεται, καὶ ταύτῃ ἀῤῥακτότεροι παριππεύουσιν. (3) Ἔνθα δὴ καὶ μάλιστα ἀγαθοῦ δεῖ τοῦ ἱππέως, ὡς ὁμοῦ μὲν ἐξακοντίζειν δυνατός τε γίγνηται ἐς τοὺς ἐπελαύνοντας, ὁμοῦ δὲ σκέπειν τὴν δεξιὰν πλευρὰν τῇ προβολῇ τοῦ ὅπλου. (4) Καὶ ἐν μὲν τῇ παρελάσει ὁ κατὰ δεξιὰν ἐπιστροφὴν ἀκοντισμὸς ἀναγκαῖος αὐτῷ γίγνεται· ἐν δὲ τῇ παντελεῖ ἐπιστροφῇ ὁ πέτρινος δὴ

cunda vel terribilia, sed etiam ad decurrentium distinctionem faciunt, neve ordines in se mutuo incurrant. (6) Nam qui ea gestent, peritissimi evolutionum et conversionum in varios circulos variasque in directum decursiones instituendarum eliguntur; cetera vero multitudo nihil curat aliud, quam ut suum quisque sequatur signum. (7) Atque ita quidem variæ conversiones, multiplicesque in contrarium evolutiones, diversæque aliæ ac aliæ decursiones fiunt, et nihilominus non confunduntur ordines. Quod si contingat ut signum unum in alterum, equus in equum incurrat, totus ordo dissolvitur; neque decus modo, sed et usus totius negotii perit.

XXXVI. Simul autem ac finiunt decursionem eam, ad lævam curriculi alii post alios equites consistunt, equorum quidem capita flectentes retro, clypeos autem tergis et ipsorum et equorum projicientes. Eaque acies, quemadmodum quum clypeos inter se jungunt pedites, testudo appellatur. (6) Duo vero equites a versu hoc tantum distantes, quantum sufficiat excursionibus equitum amicorum, collocantur ante cornu dextrum testudinis, ut excipiant ictus eorum, qui recto cursu invehuntur. (3) Atque ita quidem pars dimidia equitum munita stant ad protegendos sese clypeis parati. Quam primum vero signum datur tuba, altera invehitur et quam plurima creberrima tela emittit, primum qui primus est virtute (*ad lævam?*), post eum secundus, ac deinde ceteri. (4) Ars autem rei consistit in eo, ut plurima et creberrima tela, recto cursu pergente equo, in duos ante sinistrum cornu testudinis collocatos conjiciens, ipsa maxime arma eorum feriat. (5) Recta autem sic procurrentes inclinant se deinde in transversum, et in orbem sese convertunt. Faciunt autem inclinationem in dextram suam versus hastam. (6) Ita namque jaculantibus nullum impedimentum offertur, clypeosque projiciunt adversus eos, qui emittunt tela in decursione.

XXXVII. Oportet autem quemlibet ex præterequitantibus tot gestare tela, ut per totam illam clypeorum protensionem possit emittere. Eaque continua telorum emissio, fragorque iste indesinens, si quid aliud, horribilis est aspectu. (2) In medio vero inter cornu dextrum aciei et ante id collocatos duos equites ex improviso excurrunt equites, qui ante aciem suam procequitantes, tela emittunt in præterequitantes, inclinant vero in clypeum, quo ipso minus tuta iis prætervectio est. (3) Ac sane equite ad hoc opus est quammaxime exercitato, qui simul tela emittere in incurrentes possit simulque dextrum objecto scuto tegere latus. (4) Et in prætervectione quidem ad dextram se convertens telum emittat necesse habet; in integra autem conversione, ea jaculatione utendum, quæ *Petrina* dicitur

ὀνομαζόμενος τῇ Κελτῶν φωνῇ, ὅς ἐστι πάντων χαλεπώτατος. (5) Χρὴ γὰρ ἐπιστραφέντα, ὡς ἡ δύναμις μαλακαῖν ταῖν πλευραῖν, ἐς τὸ κατ' οὐρὰν τοῦ ἵππου ὡς ἔνι μάλιστα εὐθὺ ἐς τοὐπίσω ἀκοντίσαι, καὶ τοῦτο ὁράσαντα ὀξέως αὖ ἐπιστρέψαντα κατὰ νώτου λαβεῖν τὸ ὅπλον, ὅτι τὰ γυμνὰ οὕτω γε παραδίδοται τοῖς πολεμίοις, εἰ ἄνευ προβολῆς ἐπιστρέψειεν.

XXXVIII. Ὁμοῦ δὲ ἥ τε ἐπέλασις ἤδη ἀποπαύεται καὶ οἱ πρόσθεν ἐπελάσαντες ἐν τάξει αὖ ἵστανται ἐπὶ δεξιᾷ τοῦ βήματος, καθάπερ οἱ ἄλλοι ἐν ἀριστερᾷ, καὶ οἱ δύο ἱππεῖς διέχοντες ἀπὸ τοῦ κέρως τῆς προβολῆς τὸ ἴσον ἵστανται, καὶ αὐτοὶ οἱ μεταξὺ αὐτοῖν τε τούτοιν καὶ τῆς πάσης τάξεως ἐκθέοντες ἐς τὸν αὐτὸν τρόπον ἐξακοντίζουσιν ἐς τοὺς παριππεύοντας. Ἔνθα δὴ ὅ τι περ κράτιστον τῶν ἱππέων ἐς τὸν ἀκροβολισμὸν ἐπιλέγονται. (2) Οἱ μέν γε ἀπὸ τῶν δεξιῶν τοῦ βήματος ἀρχόμενοι οὐδὲν ἄλλο ἢ " συνεχεῖς τῆς ἀκροβολίσεως, καὶ ἐπ' ἀλλήλου τοῦ κτύπου προσδέχονται ". Οὐδὲ γὰρ ἄλλου τινὸς θέαν παρέχουσι τοῖς ἐπὶ τοῦ βήματος ὁρῶσιν, ἅτε ἀποστρόφου ἀπ' αὐτῶν τῆς δεξιᾶς τῶν ἱππέων ἐν τῇ τοιᾷδε ἐπελάσει γιγνομένης. (3) Ὁπότε δὲ ἐκ τῶν ἀριστερῶν ἐπελαύνοιεν, τότε δὴ πᾶς ὁ ἀκροβολισμὸς ἀρίδηλος γίνεται, καὶ τῶν θυρεῶν ἡ προβολὴ, καὶ ἡ ἐκ τῆς ἀριστερᾶς χειρὸς ἐς τὴν δεξιὰν ὕφεσις τῶν ἀκοντίων ὀξεῖα, καὶ ἡ δεξιὰ ὅπως αὐτὰ ὑπολαβοῦσα καὶ ὑπὲρ τῆς κεφαλῆς περιενεγκοῦσα, ὥσπερ ἐν τροχοῦ περιδινήσει, ὁμοῦ μὲν, τὸ ληφθὲν ἐξηκόντισεν, ὁμοῦ δὲ [ὑπέλαβεν τὸ ληφθὲν, καὶ τοῦτο ἂν ὑπερενεγκοῦσα ἐξηκόντισεν ψ] ἡ καθέδρα ἡ ἐπὶ τοῦ ἵππου αὐτοῦ τοῦ ἱππέως ἀεὶ εὐσχήμων καὶ ὀρθὴ ἐκεῖ τῷ ἀκροβολισμῷ σώζεται, ταύτῃ μᾶλλον, ὅτι ἐπελαυνόντων ὁρᾶται καὶ τῶν ὅπλων ἡ λαμπρότης, καὶ τῶν ἵππων ἡ ὠκύτης τε καὶ τὸ ἐν ταῖς ἐπιστροφαῖς εὐκαμπὲς, καὶ ὅπως ἐν ἴσοις τοῖς διαστήμασιν αἱ ἐπελάσεις γίγνονται τῶν ἱππέων. (4) Αἱ μέν γε ἐπὶ μέγα διαλιποῦσαι αὐτῷ τούτῳ τὸ ξυνεχὲς τοῦ ἀκροβολισμοῦ ἀφανίζουσιν, αἱ δὲ ἅπαν ἐπάλληλοι τῇ ἀκριβείᾳ τῆς θεωρίας ἐμποδὼν ἵστανται τὸ δίκαιον αὐτῆς ἀφαιρούμεναι· τόν τε γὰρ ἀγαθὸν ἱππέα ἐγγὺς αὐτῷ ἐπελαύνων ὁ κακὸς ἤδη ἠφάνισεν, καὶ τοῦ κακοῦ ἄλλος αὖ ἀγαθὸς εὐσχημόνως ἐπιφερόμενος τὴν ἀπρέπειαν συνεσκίασιν. (5) Ἀλλὰ χρὴ τοῦ ξυνεχοῦς σωζομένου τόν τε ἔπαινον τῷ ἀγαθῷ σῶον εἶναι καὶ πρέποντα, καὶ τῷ κακῷ τὸ ὀφειλόμενον ὄνειδος ἀποδίδοσθαι.

XXXIX. Δὶς δὲ ἀμείψαντες τὰς τάξεις τε καὶ τὰς προβολὰς καὶ τοὺς ἀκροβολισμούς τε καὶ ἐπιστροφὰς, ἐπειδὰν τὴν δευτέραν τε καὶ ἀριστερὰν ἐπέλασιν ποιῶνται, οὐχ ἁπλῶς ἐγκλίναντες ἐπὶ δόρυ, καὶ παρὰ τὸ βῆμα παρελάσαντες, τοὺς ἵππους ἀπαλλάττονται, ἀλλὰ οἱ ὀξύτατοι αὐτῶν ἐς τὸ ἔργον ὑπολείπονται σφίσιν ἓν ἕκαστος ἀκόντιον, οἱ δὲ ἄκροι καὶ δύο. (2) Καὶ ἐπειδὰν πελάσωσι τῷ βήματι παριππεύοντες, ἐς κύκλον μὲν ἐπέστρεψαν τὸν ἵππον, ἔτι δὲ ἐν τῇ ἐπιστροφῇ αὐτῶν ἔχοντες, ἐπὶ τὸ πέρας τοῦ πεδίου λοξὸν ἠκόντισαν, καὶ τοῦτοὡς ἐπὶ μήκιστόν τε καὶ ὡς μάλιστα κραδαινόμενον

lingua Celtarum, omniumque est difficillima. (5) Oportet enim convertentem sese, quantum ferre mollia latera possunt, versus caudam equi rectâ quam maxime jaculum emittere retrorsum, eoque facto, confestim iterum se vertere et tergum clypeo tegere, quoniam se alioquin nudum præberet hostibus, si absque scuti objectione se converteret.

XXXVIII. Quamprimum autem hæc decursio finita est, ii qui priores incursionem fecerunt, sua vice ex ordine collocantur ad dextram hematis, quemadmodum reliqui in sinistra, equitesque duo progressi a cornu æqualiter constiterunt, atque ii qui in medio horum et totius aciei procurrunt, ad eundem modum tela sua emittunt in prætervehentes. Ad quam jaculationem optimi equites seliguntur. (2) Ceterum qui a dextra hematis, quod vocant, parte incipiunt, nihil præter continuæ jaculationis strepitum indesinentem spectatoribus exhibent (οὐδὲν ἄλλο ἢ ἀκοὴν συνεχοῦς τῆς ἀκρ. καὶ ἀνεπαλλάκτου τοῦ κτ. παρίχονται). Neque enim aliud spectaculum iis, qui in bemate adspiciunt, præbent propterea, quod dextra pars equitum ab iis aversa est. (3) Quando vero a sinistra incurrunt, tunc et telorum emissio manifesto conspici potest, et scutorum objectio, et telorum ex sinistra manu in dextram translatio celerrima; dextraque quomodo ea arripiat et super caput circumagens perinde ac in rotæ circumactione, arrepta simul emittat simulque eques in equo suo habitum decentem rectumque etiam in jaculatione festina conservet, ideo præcipue, quod procurrentium spectatur et armorum splendor, et equorum pernicitas, et in conversionibus flexionum elegantia et quomodo æqualibus intervallis equitum incursiones fiant. (4) Quædam quidem multum distantes propter hoc ipsum continuitatem jaculationis tollunt; contra aliæ quum ex nimis propinquo sibi succedant, ne accurate ludus fiat impedimento sunt, justamque ejus rationem pessumdant. Bonum namque equitem malus prope eum incursionem faciens non animadverti interdum efficit; contra si malum sequitur bonus uti decet procurrens, is illius ruditatem obtegit. (5) Oportet vero servatæ continuitatis laudem integram justamque esse bono, malum autem eo quod meruit probro affici.

XXXIX. Bis autem mutatis ordinibus scutorumque projectionibus et jaculationibus, et conversionibus, quando secundam sinistramque incursionem faciunt, non simpliciter inclinantes versus hastam, et ad hema flectentes, equos dimittunt, verum qui promptissimi sunt unum quilibet jaculum sibi reliquum faciunt, nonnulli strenuissimi etiam duo. (2) Jam ubi adequitantes bemati appropinquant, in gyrum equum circumagunt, et in ipsa hac conversione versus campi extremitatem obliquo jaculum emittunt, annitentes ut vehementissime vibratum in longissimum projiciatur. (3) Qui vero etiam duo jacula

χρὴ ἐξικέσθαι. (3) Οἱ δὲ καὶ δύο ὑπολειπόμενοι ἐπειδὰν ἐπελαύνωσιν ἤδη τὸ ὑπολειφθὲν ὑπὸ τὸν θυρεὸν ἐγκλίναντες ὀλίγον τὴν κεφαλήν, καὶ τὴν δεξιὰν πλευρὰν, ὡς ἀνυστὸν, περιελίξαντες ἐς τοὐπίσω σφῶν ἐξηκόντισαν.

XL. Ἐν (ἐπί?) τούτῳ δὲ Κανταβρική τις καλουμένη ἐπέλασις γίνεται, ὡς δοκεῖν ἐμοί γε ἀπὸ Καντάβρων Ἰβηρικοῦ γένους ταύτῃ ὀνομασθεῖσα, ὅτι ἐκεῖθεν αὐτὴν προσεποίησαν σφίσι Ῥωμαῖοι. (2) Ἔχει δὲ ὧδε. Ἡ προβολὴ μὲν ἡ τῶν ἱππέων, καθάπερ ἐξ ἀρχῆς, ἐν ἀριστερᾷ τοῦ βήματος πεφραγμένη ἐκτέτακται, πλήν γε δὴ τῶν δύο ἱππέων τῶν ἐκδεχομένων τὰ ἐπ' εὐθὺ ἀκόντια. (3) Ἐπελαύνουσι δὲ ἀπὸ τῶν δεξιῶν ὥσπερ καὶ τὸ πρόσθεν ἐκκλίνοντες ἐπὶ δόρυ. Ἐπελαυνόντων δὲ αὐτῶν, ἐν ἀριστερᾷ τοῦ βήματος ἀρξαμένη ἄλλη ἐπέλασις γίγνεται ἐς κύκλον ἐπιστρέφουσα. (4) Οἱ δὲ ἱππεῖς οὗτοι οὐκ ἀκοντίοις κούφοις διαχρῶνται ἔτι, ἀλλὰ ξυστοῖς δόρασιν, ἀσιδήροις μέν, τῷ βάρει δὲ οὔτε τοῖς ἐξακοντίζουσιν εὐφόροις, οὔτε ἐφ' οὓς ἐκπέμπεται ἀκινδύνοις. (5) Καὶ ἐπὶ τῷδε παραγγέλλεται, μήτε τοῦ κράνους στοχάζεσθαι τῶν παριππευόντων, μήτε ἐς τὸν ἵππον τὸ δόρυ μεθιέναι, ἀλλὰ γὰρ πρὶν ἐγκλῖναι τὸν ἱππέα καὶ παραγυμνῶσαί τι τῆς πλευρᾶς ἢ ἐκφῆναι τοῦ νώτου ἐπιστραφέντα, αὐτοῦ δὴ τοῦ θυρεοῦ στοχαζόμενον ὡς βιαιότατα ἐναράξαι τὸ δόρυ. (6) Καὶ τὸ ἀκριβὲς τοῦδε τοῦ ἔργου ἐν τοῖσδ' ἐστὶν, εἰ ὡς ἐγγυτάτω τοῖς παριππεύουσι πελάσας ὁ ἐς τὸν Κανταβρικὸν τοῦτον κύκλον καθεστηκὼς, ὡς μάλιστα κατὰ μέσου τοῦ θυρεοῦ τὸ δόρυ ἐξακοντίσειεν, τὸ δ' ἐμπεσὸν τῷ θυρεῷ κτυπήσειεν ἢ καὶ διέλθοι δι' αὐτοῦ διαμπάξ, καὶ ὁ δεύτερος ἐπὶ τούτῳ τοῦ δευτέρου ἐξίκοιτο, καὶ ὁ τρίτος ὡσαύτως τοῦ τρίτου, καὶ οἱ ἑφεξῆς τῶν ἑφεξῆς ἐν στοίχῳ κατὰ τὰ αὐτά. (7) Ὅ τε γὰρ κτύπος ἀμέλει ἐκπληκτικὸς, καὶ ὁ ἐξελιγμὸς ἐν τῷ τοιῷδε εὐσχήμων φαίνεται, καὶ τοῖς μὲν εὐστοχίας τε καὶ σφοδρότητος ἐν τῷ ἀκοντισμῷ μελέτη γίγνεται, τοῖς δὲ ἀσφαλείας τε καὶ φυλακῆς πρὸς τοὺς ἐπιόντας. (8) Ἐπὶ τούτοις δὲ τῆς συνεχείας τοῦ ἐξακοντισμοῦ μελέτη τε καὶ ἐπίδειξις ποιεῖται ἐκ τῶν ἱππέων οὐ πάντων, οὐ γὰρ πάντες ἐπιτήδειοι ἐς τήνδε τὴν ὀξύτητα, ἀλλὰ γὰρ ὅσοι αὐτῶν ἄκροι ἐς ἱππικήν. (9) Οὗτοι καθιστᾶσι μὲν τοὺς ἵππους, ἐν δεξιᾷ ἔχοντες ἄκρον τὸ βῆμα· ἐκεῖθεν δὲ ἀτρέμα προϊόντος τοῦ ἵππου ἔστ' ἐπὶ τὴν ὀρρῶν τοῦ ἐσκαμμένου χωρίου, χρὴ ὡς πλεῖστα, καὶ ὡς συνεχέστατα καὶ ὡς ἐπὶ μήκιστόν τε, καὶ ἐς τὸ ἀνώμαλον καὶ ἅμα κραδαινόμενα μεθιέναι τὰ ἀκόντια. (10) Καὶ ἀγαθὸς μὲν, ὅστις πεντεκαίδεκα ἀκόντια μεθίεναι ὡς χρὴ πρὶν ἐκβῆναι τοῦδε τοῦ χωρίου τὸν ἵππον ἐξήνυσεν. (11) Πολὺ δὲ τούτου ἐνδικώτερον ἐπαινοῖτο ἄν, ὅστις καὶ ἐς τὰ εἴκοσι προῦβη· ὡς τόγε ὑπὲρ ταῦτα οὐκ ἔτι τῆς ἀκριβείας ἐχομένων γίγνεται, ἀλλὰ κλεπτόντων τὸ πολὺ κατὰ τὴν στάσιν τοῦ ἵππου ἐπιπλεῖον γιγνομένην, ὡς ἔτι ἑστηκότος φθάσαι δύο ἢ τρία ἀκοντίσαι, ἢ ὑπερβάντος τὴν ὀρρῶν τοῦ ἐσκαμμένου. (12) Ἀλλ' ἔγωγε πολὺ μᾶλλον ἐπαινῶ τὸ ἐννόμως δρώμενον ἤπερ τὸ ἐς ἔκπληξιν τῶν ὁρώντων σοφιζόμενον.

sibi reliqua fecerunt, ii quando ad bema advehuntur, caput sub clypeum paullulum inclinantes, et dextrum latus quantum ejus fieri potest circumflectentes, retro jaculum, quod superest, emittunt.

XL. Præterea fit cursus aliquis, qui dicitur Cantabricus, sicut mihi quidem videtur, sic a Cantabris, gente Iberica, vocatus, quod hinc eum suum fecerint Romani. (2) Habet autem is se ad hunc modum. Testudo quidem equitum, quemadmodum ab initio, a sinistra parte bematis condensata collocatur, exceptis equitibus duobus, qui jacula ab incurrentibus recta in ipsos conjecta excipere debent. (3) Procurrunt vero et a dextris ut antea inclinantes in hastam. Quumque hi procurrunt, in sinistra parte curriculi fit alia procursio, in circulum flexa. (4) Equites autem hi non pugnant telis levibus, verum hastis politis, ferro quidem nullo munitis, propter pondus autem minime facilibus iis qui debent emittere, neque iis in quos emittuntur, plane innoxiis. (5) Quamobrem etiam præcipitur, ne quis præterequitantium galeam petat, aut hastam in equum dirigat, sed priusquam eques se inclinet, et latus suum aperiat, aut tergum nudet convertens sese, in ipsum clypeum dirigat ictum, et hastam quanta potest vi emittat. (6) Summaque hujus rei cura consistit in eo, ut quamproxime ad prætervehentes accedens is, qui in Cantabrico hoc circulo est constitutus, medium maxime clypei feriat emissa hasta, illaque clypeo incidens emittat sonum, vel per eum prorsus penetret, et post eum secundus eodem modo aggrediatur secundum, et tertius similiter tertium, et qui sequuntur deinde ordine reliquos. (7) Fragor namque oritur horribilis ex eo, et conversio in negotio isto pulchram habet speciem. Atque una quidem pars dexteritatem celeritatemque suam exercent in emittendis jaculis, altera vero circumspectionem cautionemque contra ingruentes. (8) Ad hæc operam et ostentationem in eo ponunt, ut continua sit jaculatio, non quidem omnes, neque enim omnes ad celeritatem istam sunt idonei, verum qui sunt summi in arte equestri. Atque hi quidem equos statuunt, ut in dextra parte habeant bematis extremitatem. (9) Hinc lente procedente equo usque ad extremum campi subfossi oportet equitem plurima sine ulla intermissione quam longissime in regionem non complanatam, jacula fortiter vibrata emittere. (10) Proque bono is habetur, qui observatis legibus tela quindecim emiserit, antequam equus campum egrediatur. (11) Multo vero justius laudatur is, qui ad viginti pervenerit, quod supra hunc numerum nemo facile eorum qui observant quod oportet, ascendere valeat, verum dolo, qui fit, quum equus sæpius sistitur, ut inter standum duo triave jacula emittantur, vel quum exceditur extremum campi subfossi. (12) Ego vero multo potius commendo rem legitime institutam, quam quæ ad admirationem spectatorum fraudulenter adornatur.

XLI. Ἐνθένδε ἤδη ὡς ἐς μάχην ὁπλίζονται θώραξί τε σιδηροῖς καὶ κράνεσι καὶ θυρεοῖς οὐ τοῖς κούφοις ἔτι. (2) Καὶ πρῶτα μὲν αἱ τάξεις σπουδῇ ἐπελαύνουσι τοὺς ἵππους· μίαν δὲ λόγχην φέροντας, τήνδε πρὶν πελάσαι τῷ βήματι χρὴ ὡς οἷόν τε κραδαινομένην τε καὶ ἅμα ἐπαναχτυποῦσαν ἐξακοντίσαι τοῦ σκοποῦ στοχαζομένους, ὃς δὴ ἐν ἀριστερᾷ τοῦ βήματος ἐπ' αὐτῷ τούτῳ τῷ ἔργῳ πέπηγεν. (3) Καὶ ὅσοι γε ἀγαθοὶ αὐτῶν καὶ δεύτερον ἐπελαύνουσιν, οὗτοι καὶ τρίτον, οὐ πρὸς ἀνάγκην, ἀλλ' αὐτῷ τῷ τε ἔργῳ καὶ τῷ ἐξ αὐτοῦ ἐπαίνῳ ἀγαλλόμενοι. (4) Ἡ δευτέρα δὲ ἐπέλασις ξὺν δυοῖν λόγχαιν γίγνεται, καὶ ταύτας χρὴ ἐξακοντίσαι ὀρθῶς ἐπελαύνοντα τῷ ἵππῳ ὡς μάλιστα οἷόν τε ἐπίσκοπα.

LXII. Ἐπὰν δὲ ἐκπεριέλθῃ καὶ τοῦδε τοῦ ἀκοντισμοῦ τὸ ἑκούσιον, ἐνταῦθα δὴ ὅσοι ἀγαθοὶ στρατιᾶς ἡγεμόνες ὀνομαστὶ ἀνακαλεῖσθαι κελεύουσι πάντας ἐφεξῆς τοὺς ἱππέας, δεκαδάρχην πρῶτον, καὶ διμοιρίτην ἐπὶ τούτῳ, καὶ ὅστις ἐν ἡμιολίῳ μισθοφορᾷ· ἔπειτα τοὺς ἐφεξῆς τῆς δεκαδαρχίας. Καὶ οὕτως διὰ πασῶν τῶν δεκαδαρχῶν ἡ κλῆσις γίγνεται. (2) Τὸν κληθέντα δὲ χρὴ ὁμοῦ μὲν ὑπακοῦσαι τῷ καλοῦντι μεγάλῃ τῇ βοῇ, ὅτι πάρειμι, ὁμοῦ δ' ἐξελαύνειν τὸν ἵππον τρεῖς λόγχας φέροντα· καὶ τὴν μὲν πρώτην ἀπὸ ἄκρου τοῦ χωρίου τοῦ ἐσκαμμένου ἐξακοντίζειν ὡς ἐπὶ τὸν σκοπόν· τὴν δευτέραν δὲ ἀπὸ αὐτοῦ τοῦ βήματος, καὶ ταύτην ἔτι ὀρθῷ τῷ ἵππῳ· τὴν τρίτην δέ, εἰ τὰ ἔννομα καὶ πρὸς βασιλέως τεταγμένα ὁρᾷ, ἐγκλίνοντος ἐπὶ δεξιὰν τοῦ ἵππου, ἐς τὸν ἄλλον σκοπὸν, ὃν ἐπ' αὐτῷ δὴ τούτῳ κατὰ πρόσταξιν βασιλέως ἐς ἐκδοχὴν τῆς τρίτης λόγχης ἵστασι. (3) Ἥδ' ἔστιν ἡ βολὴ πασῶν χαλεπωτάτη, ὅπως πρὶν πάντῃ ἀποστραφῆναι τὸν ἵππον, ἐν αὐτῇ ἔτι τῇ ἐπικαμπῇ γίγνοιτο. (4) Ἡ γὰρ δὴ ξύνημα τῇ Κελτῶν φωνῇ καλουμένη, τούτῳ δὴ ἄφεσις γίγνεται, ἥπερ οὐδὲ ἀσιδήρῳ ἀκοντίῳ εὐμαρὴς ἀκοντίζεσθαι. Ἤδη δέ τις ὑπὸ ὀξύτητός τε καὶ φιλοτιμίας καὶ τέσσαρας λόγχας ὀρθῷ τῷ ἵππῳ ἐπὶ τὸν πρῶτον σκοπὸν ἐξακοντίσαι ἤνυσεν, τὰς τρεῖς μὲν ὀρθῷ τῷ ἵππῳ, τὴν τετάρτην δὲ ἐπιστρέφοντι, ὡς βασιλεὺς ἔταξεν. (5) Ἔνθα δὴ ὅ τε ἀγαθὸς ἀκοντιστὴς καὶ ὁ κακὸς μάλιστα πάντων διαφαίνεται, ἅτε οὐκ ἐν στοίχῳ ἀδιακρίτῳ, οὐδὲ ἐν θορύβῳ ὁρωμένου τοῦ ἔργου. Καὶ ἥτις * [ἄσκησις?] τοὺς πλείστους παράσχοιτο ἐν τῶν λογχῶν τῇ βολῇ διαπρέποντας, ταύτην ἐγὼ μᾶλλον ἢ τινα ἄλλην ἐπῄνεσα, ὡς πρὸς ἀλήθειαν τῶν πολεμικῶν ἔργων ἠσκημένην.

XLIII. Ἐπὶ τούτῳ μέντοι ἤδη πολύτροποι ἐξακοντισμοὶ γίγνονται ἢ κούφων πελτῶν ἢ καὶ βελῶν, οὐκ ἀπὸ τόξου τούτων γε, ἀλλ' ἀπὸ μηχανῆς ἀφιεμένων, ἢ λίθων ἐκ χειρὸς ἢ ἐκ σφενδόνης ἐπὶ τὸν σκοπὸν, ὃς μέσος τοῖν δυοῖν, ὧν ἤδη μνήμην ἐποιησάμην, ἵσταται. Καὶ ἐνταῦθα αὖ καλὸν, εἰ συντρίψειαν τοῖς λίθοις τὸν σκοπὸν, ὃ δὲ τύχοι οὐκ εὐμαρὴς ξυντριβῆναι. (2) Οὐ μὲν οὐδὲ ἐπὶ τοῖσδε λήγει αὐτοῖς τὰ γυμνάσια, ἀλλὰ κοντοὺς γὰρ τὰ μὲν πρῶτα ὀρθοὺς ὡς εἰς προβολὴν φέροντες ἐπελαύνουσιν, ἔπειτα ὡς πολεμίου φεύγοντος ἐξικόμενοι· οἱ

XLI. Hinc vero tandem velut ad prœlium armantur thoracibus ferreis et galeis, et clypeis non amplius levibus illis. (2) Et primum quidem ordines studiose concitant equos; unam vero gestans hastam quivis priusquam ad bena veniat, vibratam et cum sono commotam ejaculari debet recta dirigens eam in scopum, qui quidem in sinistra bematis parte ad hanc ipsam rem est defixus. (3) Quique ex ipsis sunt præstantes, cursum hunc etiam altera vice conficiunt, aliqui et tertia vice, non quod necesse sit, sed quod ipsa re hoc, et obtenta ex eo laude gaudent. (4) Secundus autem cursus fit cum duabus lanceis, quas recta equum agendo quam maxime fieri potest scopum versus emittere oportet.

XLII. Quando autem finitum etiam id, quod in jaculatione hac sponte aliqui præstare voluerunt, tum duces qui probe munere suo funguntur, jubent nominatim proclamari singulos ex ordine equites, primum decurionem, deinde eum qui duplex stipendium atque eum qui simplex cum dimidio meretur, postremo reliquos decuriæ milites; ac sic omnes deinceps decuriæ recensentur. (2) Is qui proclamatur, debet simul vocanti respondere magna voce, ADSUM, simul vero procurrere equo, ac tres ferre lanceas, primamque ab initio campi effossi emittere ad scopum, secundam ab ipso bemate, eamque recto cursu pergente equo; tertiam autem, si ex lege ab imperatore constituta egerit, quando equus sese flectit in dextrum, in scopum alium, qui ad hoc ipsum ex mandato Imperatoris, ut lanceam tertiam excipiat, stat erectus. (3) Atque hic quidem jactus omnium est difficillimus, ut qui, priusquam penitus vertatur equus, in illa ipsa inflectione debet fieri. (4) Xynema enim Celtarum voce dictus, nunc quidem omittitur, ut qui neque telo absque ferro facile instituitur. Interdum vero fit, ut quis per celeritatem et gloriæ studium quattuor lanceas recto equo ad scopum primum jaculando emiserit, vel tres quidem equo recto, quartam vero in conversione, prout statuit Imperator. (5) In his qui sit jaculator bonus malusve maxime apparet, quum agat nec in versu indistincto, nec tumultuarie procedente negotio. Atque eam exercitationem, quæ plurimos exhibeat lancearum jactu præstantes, ego præ ceteris laudo, utpote quæ seria negotiorum bellicorum accedens instituatur.

XLIII. Præter ista fiunt etiam diversæ jaculationes aut levium peltarum aut telorum non arcu, verum machina emissorum, item lapidum e manu aut funda jactorum ad scopum, qui medius inter duos, quos ante memoravimus, statuitur. In quo rursum egregium, si quis lapidibus scopum confringat, quanquam non facile confringi possit. (2) Sed nec in his exercitatio subsistit, verum contos primo quidem rectos velut in hostium aciem munitam ferentes procurrunt, mox velut hostes fugientes persequerentur, quidam

δὲ, ὡς ἐπ' ἄλλον πολέμιον, ἐν τῇ ἐπιστροφῇ τοῦ ἵππου, τούς τε θυρεοὺς ὑπὲρ τὴν κεφαλὴν αἰωρήσαντες, ἐς τὸ κατόπιν σφῶν μετήνεγκαν, καὶ τοὺς κοντοὺς ὑπερελίξαντες, ὡς ἐπελαύνοντος ἄλλου πολεμίου ἐξίκοντο. Καὶ τὸ ἔργον τοῦτο Κελτιστὶ τολούτεγον καλεῖται. (3) Καὶ ἐπὶ τῷδε αὖ τὰς σπάθας σπασάμενοι, ἄλλοτε ἐς ἄλλην πλαγὴν παραφέρουσιν, ὅπως μάλιστα οἱόντε, ἢ φεύγοντος πολεμίου ἐξικέσθαι, ἢ πεσόντα κατακτανεῖν, ἢ καὶ πρᾶξαί τι ἐκ πλαγίων παραθέοντες. Ἐπὶ τούτοις μέντοι πηδήσεις ἐπὶ τοὺς ἵππους ὡς ἔνι ποικιλωτάτας ποιοῦνται, ὅσαις ἰδέαις καὶ ὅσοις σχήμασιν ἀναβαίνεται ἵππος ὑπὸ ἱππέως· (4) καὶ τελευταῖαν δὴ τὴν ἐνόπλιον πήδησιν ἐπιδεικνύουσι θέοντος τοῦ ἵππου, ἥν τινες ὁδοιπορικὴν ὀνομάζουσιν.

XLIV. Ταῦτα μὲν τοῖς Ῥωμαίων ἱππεῦσιν τὰ ξυνήθη τε καὶ ἐκ παλαιοῦ ἀσκούμενα. Βασιλεὺς δὲ προσεξεῦρεν καὶ τὰ βαρβαρικὰ ἐκμελετᾶν αὐτούς, ὅσα τε ἡ Παρθυαίων ἢ Ἀρμενίων ἱπποτοξόται ἐπασκοῦσι, καὶ ὅσας οἱ Σαυροματῶν ἢ Κελτῶν κοντοφόροι ἐπιστροφάς τε καὶ ἀποστροφὰς τῶν ἱππέων ἐν μέρει ἐπελαυνόντων, καὶ ἀκροβολισμοὺς ἐν τούτῳ πολυειδεῖς καὶ πολυτρόπους ἐς τὰς μάχας ὠφελίμους, καὶ ἀλαλαγμοὺς πατρίους ἑκάστῳ γένει, Κελτικοὺς μὲν τοῖς Κελτοῖς ἱππεῦσι, Γετικοὺς δὲ τοῖς Γέταις, Ῥαιτικοὺς δὲ ὅσοι ἐκ Ῥαιτῶν. (2) Καὶ τάφρον δὲ ἀναπηδᾶν μελετῶσιν αὐτοῖς οἱ ἵπποι, καὶ τεῖχιον ὑπεράλλεσθαι· καὶ ἑνὶ λόγῳ, οὐκ ἔστιν ὅτι Ῥωμαίοις τῶν τε παλαιῶν ἐπιτηδευμάτων, ὅ τι περ ἐκλελειμμένον, οὐκ ἐξ ὑπαρχῆς ἐπασκεῖται, καὶ ὅσα ἤδη προσεξεύρηται ἐκ βασιλέως, τὰ μὲν ἐς κάλλος, τὰ δὲ ἐς ὀξύτητα, τὰ δὲ ἐς ἔκπληξιν, τὰ δὲ ἐς χρείαν τὴν ἐπὶ τῷ ἔργῳ· (3) ὥστε ἐς τήνδε τὴν παροῦσαν βασιλείαν, ἣν Ἁδριανὸς εἰκοστὸν τοῦτ' ἔτος βασιλεύει, πολὺ μᾶλλον ξυμβαίνειν μοι δοκεῖ τὰ ἔπη ταῦτα, ἥπερ ἐς τὴν πάλαι Λακεδαίμονα,

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια,
καὶ δίκα εὐρυάγυια καλῶν ἐπιτάρροθος ἔργων.

vero velut contra alium hostem, in conversione equi scuta efferente super capita, post se protendunt, contosque supra rotantes, velut hostis alius persequeretur ipsos, emittunt. Vocaturque opus hoc Celtice, *Tolutegrum* (*Stolutegum* unus cod.). (3) Deinde stringunt gladium, et aliter aliterque ad plagam circumagunt, prout fieri maxime potest, vel ut fugientem adversarium assequantur, vel cadentem interficiant, vel a latere aggrediantur. Ad hæc saltus in equos faciunt quam maxime varios, quotquot modis rationibusque equus ab equite conscenditur. (4) Postremam exhibent conscensionem armatam, currente equo, quam viatoriam aliqui appellant.

XLIV. Atque istæ quidem Romanorum equitum et ab antiquo usurpatæ sunt exercitationes. Imperator vero adinvenit, ut etiam barbarice se exercerent, prout vel Parthorum vel Armeniorum equites jaculatores se exercent, itemque prout varie Sarmatarum aut Celtarum contati equites per vices incurrentes convertunt avertuntque equos, itemque ut discerent jaculationes, quibus in hoc negotio variis diversisque utuntur idoneis ad pugnam, et clamores patrios cuique genti, Celticos Celtis equitibus receptos, Geticos Getis, Rhæticos iis qui sui sunt ex Rhætia. (2) Etiam fossam aut maceriam transilire equi ipsorum discunt; Atque uno verbo, nihil est apud Romanos studiorum veterum et dudum derelictorum, in quo non, novo capto initio, denuo exerceantur, itemque eorum omnium, quæ excogitata sunt ab Imperatore, alia ad venustatem, alia ad celeritatem, quædam ad usum ipsum in negotio: (3) adeo ut ad præsens imperium, quod Hadrianus vigesimum nunc regit annum, multo magis videantur mihi convenire versus illi, quam ad veteres Lacedæmonios:

Ubi ensis juvenum valet, et musa stridula, [operum.
et justitia latam oblinens viam, pulchrorum auxiliatrix

ΑΡΡΙΑΝΟΥ

ΗΤΟΙ

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΘΗΝΑΙΟΥ ΤΟΥ ΔΕΥΤΕΡΟΥ

ΚΥΝΗΓΕΤΙΚΟΣ.

ΚΕΦ. Α'.

Προοίμιον, ἐν ᾧ καὶ τὰ Ξενοφῶντι παραλειφθέντα εἰπεῖν οὗτος ἐπαγγέλλεται.

Ξενοφῶντι τῷ Γρύλλου λέλεκται ὅσα ἀγαθὰ ἀνθρώποις ἀπὸ κυνηγεσίων γίγνεται, καὶ οἱ παιδευθέντες ὑπὸ Χείρωνι τὴν παίδευσιν ταύτην ὅπως θεοφιλεῖς τε ἦσαν καὶ ἔντιμοι ἀνὰ τὴν Ἑλλάδα· λέλεκται δὲ καὶ καθ' ὅ, τι ἔοικε τῇ πολεμικῇ ἐπιστήμῃ ἡ κυνηγετική, καὶ ἥντινα ἡλικίαν ἔχοντα χρὴ ἐλθεῖν ἐπὶ τὸ ἔργον, καὶ τὸ εἶδος, καὶ τὴν γνώμην ποῖον τινά· καὶ περὶ ἀρκύων δὲ καὶ δικτύων καὶ ἐνοδίων, ὁποῖα χρὴ παρασκευάσασθαι, καὶ πάγας ὅπως ἱστάναι τοῖς θηρίοις, ὅσα πάγῃ ἁλωτά· (2) καὶ περὶ λαγωῶν δὲ λέλεκται, ἥτις ἡ φύσις αὐτῶν, καὶ ὅπως νέμονται, καὶ ὅπου εὐνάζονται, καὶ ὅπως χρὴ μαστεύειν αὐτούς· καὶ περὶ κυνῶν, ὅσαι ἰχνεύειν σοφαὶ, καὶ ὅσαι πονηραί· καὶ ὅπως ἀπό τε τοῦ εἴδους καὶ τῶν ἔργων τεκμαίρεσθαι χρὴ ἑκατέρας. (3) Ἔστι δὲ ἃ καὶ περὶ συῶν θήρας λέλεκται καὶ ἐλάφων καὶ ἄρκτων καὶ λεόντων, ὅπως σοφίᾳ καὶ δόλῳ ἁλωτά. (4) Ὅσα δὲ ἐλλείπειν μοι δοκεῖ ἐν τῷ λόγῳ, οὐχὶ ἀμελείᾳ, ἀλλ' ἀγνοίᾳ τοῦ γένους τῶν κυνῶν τοῦ Κελτικοῦ, καὶ τοῦ γένους τῶν ἵππων τοῦ Σκυθικοῦ τε καὶ Λιβυκοῦ, ταῦτα λέξω, ὁμώνυμός τε ὢν αὐτῷ, καὶ πόλεως τῆς αὐτῆς, καὶ ἀμφὶ ταὐτὰ ἀπὸ νέου ἐσπουδακὼς, κυνηγέσια καὶ στρατηγίαν καὶ σοφίαν· ἐπεὶ καὶ αὐτὸς ἐκεῖνος, ἃ Σίμωνι περὶ ἱππικῆς ἐνδεῶς λελεγμένα ἦν, ᾠήθη δεῖν ἀναγράψαι, οὐχὶ ἔριδι τῇ πρὸς Σίμωνα, ἀλλ' ὅτι ὠφέλιμα ἐπ' ἀνθρώπους ἐγίγνωσκεν.

ΚΕΦ. Β'.

Ὅτι Ξενοφῶν οὐκ ᾔδει τὰς Κελτικὰς κύνας οὐδὲ τὰς ταύταις ὁμοίας.

Ὅτι μὲν δὴ οὐκ ἠπίστατο τὸ γένος τῶν κυνῶν τὸ Κελτικὸν, δοκῶ ἔγωγε ὡς οὐδὲ τεκμηρίων δεῖ πρὸς αὐτό· ἄγνωστα γὰρ ἦν τὰ ἔθνη τῆς Εὐρώπης, ὅσα ταύτῃ ᾤκισται, ὅτι μὴ τῆς Ἰταλίας ὅσα Ἕλληνες κατέσχον, ἢ ὅσοις κατ' ἐμπορίαν διὰ θαλάσσης ἐπεμίγνυον. (2)

ARRIANI

SIVE

XENOPHONTIS

ATHENIENSIS MINORIS

DE VENATIONE LIBELLUS.

CAP. I.

Proœmium quo prætermissa a Xenophonte se dicturum promittit.

Quæ commoda hominibus ex venatione proveniant, Xenophon Grylli filius exposuit, et quam cari diis immortalibus, quamque celebres per omnem Græciam fuerint, qui eam artem a Chirone didicerant. Dictum quoque ab eodem, quæ venationi cum re bellica conveniant, et qua ætate, quo corporis habitu, quove ingenio ad hoc studium accedendum; tum etiam quomodo retia et plagæ et casses paranda sint, qua ratione tendiculæ ponendæ feris quæ tendiculis capi queant. (2) De leporibus quoque eorumque natura dixit; uti pascantur, ubi cubilia sua habeant et quomodo sint pervestigandi: tum de canibus, quinam vestigiis perscrutandis apti, qui inepti sint; et quibus signis, quum ex forma tum ex operibus utrique dignoscendi. (3) Nonnulla etiam de aprorum et cervorum, item de ursorum et leonum venatione attigit, quomodo astu doloque capiantur. (4) Verum quæcumque omisisse mihi videtur, non incuria ille quidem, sed quod Gallicos canes et Scythicum Libycumque equorum genus ignoraret: ea ego persequar, qui et nomen et civitatem cum ipso communem habeo, iisdemque venationum, disciplinæ militaris et sapientiæ studiis a puero incubui; præsertim quum et ipse sibi perscribendum existimavit, quæ minus perfecte a Simone de re equestri fuerant exposita, non contendendi studio adversus Simonem, sed quod hominibus ea usui futura cognosceret.

CAP. II.

Xenophontem canes Gallicos eorumque similes ignorasse.

Et quod Gallicos canes ignoraverit, id nulla probatione indigere existimo: necdum enim cognitæ erant gentes, quæ eam Europæ partem incolunt, præter Italiæ oram quam obtinebant Græci, eosque, quibuscum commercia maritima exercebant. (2) Nec ullum aliud genus canum

Ὡς δὲ οὐδὲ ἄλλο γένος κυνῶν ἐγίγνωσκεν, ὃ ἂν κατὰ ὠκύτητα ἔοικε τῷ Κελτικῷ, τεκμαίρεσθαι ὑπάρχει ἀπὸ τῶνδε· λέγει γὰρ ὡς ὅσοι ἁλίσκονται λαγωοὶ ὑπὸ κυνῶν, παρὰ φύσιν σώματος ἁλίσκονται, ἢ τύχῃ χρησάμενοι. (3) Εἰ δέ γε ἠπίστατο τὰς κύνας τὰς Κελτικὰς, ταὐτὸν τοῦτο δοκεῖ ἄν μοι ἀποφήνασθαι περὶ τῶν κυνῶν, ὡς ὁπόσους λαγωοὺς οὐχ αἱροῦσι κύνες κατὰ πόδας, παρὰ φύσιν σώματος οὐχ αἱροῦσιν, ἢ τύχῃ χρησάμεναι· ὡς ὅσαι γε ἀγαθαὶ τὸ σῶμα καὶ τὸν θυμὸν γενναῖαι, ταύτας δὴ οὐκ ἄν ποτε διαφύγοι λαγὼς, εἰ μή τις δυσχωρία ἐμποδὼν γένοιτο, ἢ ὕλη ἀποκρύψασα, ἢ κατάδυσις τῆς γῆς κοίλη καὶ βαθεῖα ἀφελομένη, ἢ τάφρος διαδραμεῖν ἐν τῷ ἀφανεῖ παρασχοῦσα. (4) Ἔνθεν δὲ, οἶμαι, ὅπως μὲν ἐπὶ τὰς ἄρκυς χρὴ ἐπελαύνειν τὸν λαγὼν, ἐπεξέρχεται τῷ λόγῳ· καὶ, εἰ παραδράμοι τὰς ἄρκυς, ὅπως χρὴ μεταθεῖν αὐτὸν, καὶ ἀνευρίσκειν κατὰ τὸ ἴχνος, ἔστε ἁλῶναι ἀπαγορεύσαντα ὑπὸ καμάτου. (5) Ὅτι δὲ οὐδὲν οὔτε ἀρκύων δεῖ τῷ κύνας ἀγαθὰς κεκτημένῳ, οὔτε τοῦ μαστεύειν διαφυγόντα, οὐδαμοῦ τοῦτο ἐδήλωσεν, ἀλλ' ἢ τὴν θήραν ταύτην μόνην ἐξηγεῖται, ἣν Κάρες τε καὶ Κρῆτες θηρῶσιν.

ΚΕΦ. Γ'.

Περὶ Κελτικῶν κυνῶν, καὶ οἵαι τὴν ἰδέαν αὗται.

Θηρῶσι δὲ καὶ Κελτοὶ ἀφαιροῦντες ἄρκυς, ὅσοι οὐκ ἀπὸ κυνηγεσίων βιοτεύουσιν, ἀλλ' αὐτοῦ τοῦ ἐν θήρᾳ καλοῦ ἕνεκα· ἔστι γὰρ καὶ ταύτῃ κυνῶν γένος ἰχνεῦσαι μὲν οὐ μεῖον σοφὸν, ἢ τὸ Καρικὸν καὶ Κρητικὸν, τὴν δὲ ἰδέαν ἀνιαρὸν καὶ θηριῶδες. (2) Καὶ αὗται ἰχνεύουσι ξὺν κλαγγῇ καὶ ὑλαγμῷ, ὅπως αἱ Καρικαὶ ἐπικλάζουσαι· ἀλλ' αὗταί γε ἔτι μᾶλλον ἔκφρονες γίγνονται, ἐπειδὰν αἴσθωνται ἴχνους. (3) Καὶ ἔστιν ὅτε καὶ ἐφ' ἑώλοις ὑπερλαμπρύνονται, ὥστε ἐμεμψάμην ἔγωγε αὐτῶν τὸ πολὺ τῆς κλαγγῆς, καὶ τὸ ὅμοιον ἐπὶ παντὶ ἴχνει καὶ τῷ δρομαίῳ οὐ μεῖον ἢ τῷ εὐναίῳ. (4) Μεταθεῖν δὲ καὶ ἀνευρίσκειν τὸν ὑποκινήσαντα οὔτε τῶν Καρικῶν φαυλότεραί εἰσιν, οὔτε τῶν Κρητικῶν, ὅτι μὴ κατὰ ὠκύτητα. Ἀγαπητὸν γοῦν εἰ καὶ ἕνα λαγὼν χειμῶνος ὥρᾳ κατακαίνοιεν· τοσαύτην διατριβὴν ἐς τὸ ἀναπαύεσθαι αὐτῷ παρέχουσιν, εἰ μή τι ἄρα ὑπὸ θορυβούντων κυνῶν ἁλύων ἔκφρων γενόμενος. Καλοῦνται δὲ Ἐγουσίαι αἵδε αἱ κύνες, ἀπὸ ἔθνους Κελτικοῦ τὴν ἐπωνυμίαν ἔχουσαι· οὗ πρῶτον, ὥς γέ μοι δοκεῖ, ἔφυσάν τε καὶ εὐδοκίμησαν. (5) Ἀλλ' ὑπὲρ μὲν τούτων, ὅσα ἄν τις τῷ λόγῳ ἐπεξέλθοι, λελεγμένα ἐρεῖ πρὸς Ξενοφῶντος τοῦ πάλαι· οὐδὲν γὰρ ἴδιον οὐδὲ διάφορον ἐν τῷ μαστεύειν ἢ μεταθεῖν ἐπιδεικνύουσι, πλήν γε δὴ εἴ τις ἐθέλοι περὶ τῆς ἰδέας αὐτῶν λέγειν, ὡς ἔμοιγε οὐ δοκεῖ ἄξιον, ὅτι μὴ αὐτὸ τοῦτο εἰπεῖν μόνον, ὡς εἰσι δασεῖαι καὶ πονηραὶ ἰδεῖν· καὶ ὅσαι γενναιόταται αὐτῶν, αὖται αἱ πονηρόταται· ὥστε εὐδοκιμεῖ ἐν Κελτοῖς ὁ ἀπεικάσας

quod Gallicos velocitate æquaret, ipsum cognovisse, id ex eo conjicere licet, quod ait (5, 29) : « Quotquot lepores a canibus capiuntur, præter corporis naturam aut casu fortuito capiuntur. » (3) Nam si Gallicos canes novisset, idem puto affirmasset de his canibus : « Quotquot lepores e vestigio non capiunt canes, eos præter naturam et constitutionem corporis non capiunt, aut casu quodam fortuito : nam qui corpore sunt bene composito animoque generoso, eos nullus unquam lepus effugiat, nisi locorum difficultas sit impedimento, aut silvarum latebræ tegant, vel cava ac profunda terræ caverna oculis subducat, aut fossa occultum refugium præbeat. (4) Qua re factum existimo, ut tam prolixe disserat quomodo in retia lepus compellendus, et si retia transilierit, quomodo persequendus cursu, pressoque vestigio iterum perquirendus, donec fessus victusque labore capiatur. (5) At si quis bonos habeat canes, ei nec retibus esse opus, nec effugientem pervestigandum, id vero nusquam indicavit, sed cum dumtaxat exponit venandi modum, quo Cares et Cretenses utuntur.

CAP. III.

De Gallicis canibus et quali corporis specie sint.

Ceterum Galli etiam absque retium usu venantur, quotquot quidem non victum venando quærunt, sed ipsam honestam voluptatem quam venatio habet conjunctam. Nam et istuc genus canum est vestigiis odorandis non minus aptum quam Caricum et Creticum, sed specie turpe et brutum. (2) Vestigant autem et ipsi cum clangore et latratu, ut Carici, qui clangendo feram insequuntur : sed isti multo vehementiores sunt et minus sui compotes, ubi vestigium suboluerint. (3) Quin etiam pridianis nonnunquam nimis acriter excitantur, adeo ut nimium illorum clangorem, eumque similem ex omni vestigio non minus cursu quam cubitu impresso, aversarer. (4) Verum in persequendo reperiendoque, ubi lepus se loco moverit, nec Caricis nec Creticis sunt inferiores, nisi quod celeritate celant. Quocirca boni consulendum, si vel unum leporem hiberno tempore capiant : tantum ipsi spatii relinquunt ad interquiescendum, nisi forte canum tumultu perturbatus opprimatur. Canes illi Segusii appellantur : quod nomen a gente quadam Gallica obtinent, ubi mea quidem opinione provenerunt principio et in pretio esse cœperunt. (5) At de his nihil dici poterit, quod non a Xenophonte seniore dictum sit prius : nihil enim peculiare aut diversum ab aliis in indagando vel persequendo præ se ferunt, nisi quis de forma eorum loqui velit, quod mihi vix operæ pretium esse videtur; ni forte id unum dicat, eos hirsutos et aspectu turpes esse, et generosissimos quosque turpissimos : adeo ut celebris cujusdam inter Gallos sententia feratur, qui men-

αὐτὰς τοῖς ἀνὰ τὰς ὁδοὺς πτωχεύουσι. Καὶ γὰρ φωνὴ αὐταῖς γοερά τε καὶ ἐλεεινή ἐστι, καὶ οὐχ ὡς θυμούμεναι ἄρα πρὸς τὸ θηρίον ἐπικράζουσιν ἐν τῇ ἰχνείᾳ, ἀλλὰ ὡς οἰκτιζόμεναι καὶ λιπαροῦσαι. (6) Περὶ μὲν δὴ τούτων οὐκ ἄν τις ἀναγράψαι μοι δοκεῖ ὅ τι καὶ λόγου ἄξιον. Αἱ δὲ ποδώκεις κύνες αἱ Κελτικαὶ καλοῦνται μὲν οὐέρτραγοι κύνες φωνῇ τῇ Κελτῶν, οὐκ ἀπὸ ἔθνους οὐδενὸς, καθάπερ αἱ Κρητικαὶ ἢ Καρικαὶ ἢ Λάκαιναι, ἀλλ' ὡς τῶν Κρητικῶν αἱ διάπονοι ἀπὸ τοῦ φιλοπονεῖν, καὶ αἱ ἰταμαὶ ἀπὸ τοῦ ὀξέως, καὶ αἱ μικταὶ ἀπ' ἀμφοῖν· οὕτω δὴ καὶ αὗται ἀπὸ τῆς ὠκύτητος. (7) Τὴν δὲ ἰδέαν, καλόν τι χρῆμά εἰσι, κατά τε τοὺς ὀφθαλμοὺς αἱ γενναιόταται αὐτῶν καὶ κατὰ τὸ σῶμα ἅπαν καὶ τὴν τρίχα καὶ τὴν χρόαν· οὕτω ταῖς τε ποικίλαις ἐπανθεῖ τὸ ποικίλον, καὶ ὅσαις ἁπλῆ ἡ χρόα ἐστίν, ἀποστίλβει καὶ αὕτη, καί ἐστιν ἥδιστον θέαμα ἀνδρὶ θηρευτικῷ.

dicis stipem per vicos mendicantibus illos comparabat: nam vocem flebilem miserabilemque edunt, et vestigia feri non acri et animoso, sed misero et quasi dolore expresso latratu premunt. (6) Atqui de his nemo quidem quidquam relatu dignum scripturus mihi videtur. Ceterum Gallici canes maxima pedum celeritate pollentes, Gallorum lingua *vertragi* vocantur; non ab aliqua gente, uti Cretici, Carici, vel Laconici, sed ut inter Creticos quidam διάπονοι, *hoc est* industrii, a studio laboris et industria; et ἰταμαί, *sive* præcipites, a subita vehementia, et mixti ab utroque genere; itidem isti a celeritate appellantur. (7) Generosissimis autem nihil specie visuque pulchrius est, sive oculos sive corpus universum sive etiam pilum atque colorem spectes: ita in maculosis mira conspicitur varietas, et quibus simplex color est, in iis et ipse enitet, ac jucundissimum venatori spectaculum præbet.

ΚΕΦ. Δ'.

Περὶ σημείων, ἀφ' ὧν δεῖ τὰς ταχείας τεκμαίρεσθαι κύνας, καὶ τὸ ἐναντίον.

Λέξω δὲ καὶ αὐτὸς, ἀφ' οἵων τινῶν χρὴ τεκμαίρεσθαι τὰς ὠκείας τε καὶ γενναίας, καὶ τίσιν αὖ προσέχων τις τὸν νοῦν τὰς ἀγεννεῖς τε καὶ βραδείας ἀποκρίνοι αὐτῶν. (2) Πρῶτα μὲν δὴ μακραὶ ἔστωσαν ἀπὸ κεφαλῆς ἐπ' οὐράν· ἓν γὰρ οὐδὲν οὕτω τεκμήριον ἐς ὠκύτητά τε καὶ γενναιότητα εὕροις ἂν ἐπιλεγόμενος ταὐτὸν ἐπὶ πάσῃ ἰδέᾳ κυνὸς, ὡς τὸ μῆκος· καὶ τοὐναντίον, τὴν βραχύτητα, ἐς τὸ βραδὺ καὶ ἀγενές· ὥστε ἤδη ἔγωγε ἰδὼν πολλὰ ἄλλα κακὰ ἐχούσας κύνας, ὅτι δὲ μακραὶ ἐτύγχανον, ὠκεῖαι ἦσαν καὶ θυμοειδεῖς. (3) Καὶ μὴν καὶ αἱ μείζονες, εἰ τὰ ἄλλα ὅμοιαι τύχοιεν, κατ' αὐτὸ τὸ μέγεθος εὐφυέστεραι τῶν σμικρῶν. Φαῦλαι δὲ τῶν μεγάλων, ὅσαι τὰ μέλη ἀπαγεῖς καὶ ἀξύμμετροι· ὥστε φαυλότεραι ἂν εἶεν οὕτω γε ἔχουσαι τῶν σμικρῶν, εἰ τὰ ἄλλα κακὰ ἴσα προσείη αὐταῖς. (4) Ἐχέτωσαν δὲ τὰς κεφαλὰς ἑλαφρὰς καὶ ἀρθρώδεις· εἰ δὲ γρυπαὶ ἢ σιμαὶ εἶεν, οὐ παρὰ μέγα διοίσει τοῦτο· οὐδ' εἰ τὰ ὑπὸ τοῖς μετώποις ἰνώδη ἔχοιεν, οὐδὲ τοῦτο ἐν μεγάλῳ ποιητέον· ἀλλ' αἱ βαρυκέφαλοι μόνον πονηροὶ, καὶ ὅσαι παχέα τὰ ῥύγχη, καὶ μὴ ἐς ὀξὺ ἀλλὰ ἀθρόως ἀπολήγοντα. Καὶ αὗται οὖν εὐκέφαλοι. (5) Τὰ δὲ ὄμματα ἔστω μεγάλα, μετέωρα, καθαρὰ, λαμπρὰ, ἐκπλήττοντα τὸν θεώμενον· καὶ κράτιστα μὲν τὰ πυρωπὰ καὶ ὑπεραστράπτοντα, οἷα παρδάλεων ἢ λεόντων ἢ λυγκῶν· δεύτερα ἐπὶ τούτοις τὰ μέλανα, εἰ τύχοι ἀναπεπταμένα τε καὶ γοργὰ ἰδεῖν· τρίτα δὲ τὰ χαροπά· οὐδὲ γὰρ οὐδὲ τὰ χαροπὰ φαῦλά ἐστιν, οὐδὲ φαύλων κυνῶν ξύμβολα, εἰ καὶ ταῦτα τύχοι καθαρὰ καὶ γοργὰ ἰδεῖν.

CAP. IV.

De signis, quibus canes veloces dignoscendi et e contra.

Ceterum et ego dicam quibus signis veloces et generosi canes dignoscendi; tum quorum observatione degeneres tardique discernantur. (2) Primum igitur longi sint a capite ad caudam; neque enim ullum aliud velocitatis et generositatis signum æque certum in omni canum genere reperiri potest atque longitudo: ut vice versa brevitas tarditatem et degenerem animum arguit. Equidem canes vidi quibus plurima inerant vitia; verum quod longo essent corpore, veloces erant et animi pleni. (3) Atque majores, ubi cetera paria sint, ab solam magnitudinem minoribus præstant. Ceterum inter magnos canes vitiosi sunt, qui membra male compacta et incongrua inter se habent: iique multo deteriores sunt parvis, si cetera vitia paria iis adsint. (4) Capita habeant levia et nervosa: sed adunci an simi fuerint parum interest; nec id magni faciendum, si fibræ sub vultu emineant: ii dumtaxat mali sunt, quibus caput ponderosum est, et nares obesæ atque illæ non in acumen desinentes, sed obtusæ. Atque hæc quidem capitis species optima. (5) Oculi autem magni sint, clari, puri, lucidi et qui intuentis aciem præstringant; ac potissimi quidem sunt ignei, quique fulguris instar, ut pardorum, leonum vel lyncum oculi, coruscant. Proximi sunt nigri, si quidem aperti fuerint visuque torvi: tertio deinde loco sequuntur cæsii; nam nec cæsii oculi mali sunt, nec malorum canum indicia, modo et ipsi purique torvique aspectu fuerint.

ΚΕΦ. Ε'.

Περὶ τῆς τοῦ συγγραφέως κυνὸς, ὁποία ποτ' ἦν.

Ἐπεί τοι ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν, οἵαν χαροπωτάτην, καὶ αὕτη ὠκεῖά τε ἦν καὶ φιλόπονος καὶ εὔψυχος καὶ εὔπους, ὥστε καὶ τέτταρσιν ἤδη ποτὲ λαγωοῖς ἐφ' ἡλικίας ἀντήρκησεν. (2) Καὶ τὰ ἄλλα δὲ πραοτάτη τέ ἐστιν (ἔτι γάρ μοι ἦν, ὁπότε ταῦτα ἔγραφον) καὶ φιλανθρωποτάτη· καὶ οὔπω πρόσθεν ἄλλη κύων, ὡς αὐτὴ, οὔτε ἐμὲ ἐπόθησεν, οὔτε τὸν ἑταῖρον τὸν ἐμὸν καὶ σύνθηρον τὸν Μέγιλλον· ἐπειδὴ γὰρ τοῦ ὁρόμου ἀπεπαύσατο, οὐκ ἔτι ἡμῶν γε, ἢ θατέρου ἀπαλλάττεται. (3) Ἀλλὰ εἰ μὲν ἐγὼ ἔνδον εἴην, ἅμα ἐμοὶ διατρίβει, καὶ προϊόντα ποι παραπέμπει, καὶ ἐπὶ γυμνάσιον ἰόντι ἑφομαρτεῖ, καὶ γυμναζομένῳ παρακάθηται, καὶ ἐπανιόντος πρόεισι, θαμινὰ ἐπιστρεφομένη, ὡς καταμανθάνειν, μή πη ἄρα ἐξετράπην τῆς ὁδοῦ· ἰδοῦσα δὲ καὶ ἐπιμειδιάσασα, αὖθις αὖ πρόεισιν. (4) Εἰ δὲ ἐπί τι ἔργον πολιτικὸν ἴοιμι, ἥδε τῷ ἑταίρῳ τῷ ἐμῷ ξύνεστι, καὶ πρὸς ἐκεῖνον τὰ αὐτὰ ταῦτα δρᾷ· ὁπότερος δὲ ἡμῶν κάμνοι τὸ σῶμα, ἐκείνου αὖ οὐκ ἀπαλλάττεται· εἰ δὲ καὶ ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέμα, ὥσπερ ἀσπαζομένη, καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται, οἷα φιλοφρονουμένη· καὶ δειπνοῦντι ξυνοῦσα συνάπτεται ἄλλοτε ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα ὅτι καὶ αὐτῇ ἄρα μεταδοτέον εἴη τῶν σιτίων· καὶ μὴν πολύφθογγός ἐστιν, ὡς οὔπω ἐγὼ ἰδεῖν μοι δοκῶ ἄλλην κύνα· καὶ ὅσων δεῖται, τῇ φωνῇ σημαίνει. (5) Καὶ ὅτι σκυλακευομένη μάστιγι ἐκολάζετο, εἴ τις εἰς τοῦτο ἔτι μάστιγα ὀνομάσειε, πρόσεισι τῷ ὀνομάσαντι, καὶ ὑποπτήξασα λιπαρεῖ, καὶ τὸ στόμα ἐφαρμόζει τῷ στόματι ὡς φιλοῦσα, καὶ ἐπιπηδήσασα ἐκκρέμαται τοῦ αὐχένος, καὶ οὐ πρόσθεν ἀνίησι, πρὶν τῆς ἀπειλῆς ἀποπαῦσαι τὸν θυμούμενον. (6) Ὥστε οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τὸ ὄνομα ἀναγράψαι τῆς κυνὸς, ὡς καὶ ἐς ὕστερον ἀπολελεῖφθαι αὐτῆς, ὅτι ἦν ἄρα Ξενοφῶντι τῷ Ἀθηναίῳ κύων, Ὁρμὴ ὄνομα, ὠκυτάτη καὶ σοφωτάτη καὶ ἱεροτάτη. (7) Ὦτα δὲ μεγάλα ἔστω ταῖς κυσὶ καὶ μαλθακὰ, ὥστε ὑπὸ μεγέθους καὶ μαλακότητος ἐπικεκλασμένα φαίνοιτο· οὕτως ἂν εἴη κράτιστα. Οὐ μέντοι ἀλλὰ καὶ εἰ ὀρθὰ φαίνοιτο, οὐ πονηρὸν, εἰ μὴ σμικρά τε εἴη καὶ σκληρά. (8) Τράχηλος δὲ μακρός τε ἔστω, καὶ περιφερὴς, καὶ ὑγρός· ὥστε, εἰ ἀντιτείνοις ἀπὸ τῶν ἱερείων τὰς κύνας ἐς τοὐπίσω, ἐπικλᾶσθαι δοκεῖν τὸν τράχηλον δι' ὑγρότητα καὶ μαλακότητα· στήθη τε πλατέα ἀμείνω τῶν στενῶν. (9) Καὶ τὰς ὠμοπλάτας διεστώσας ἐχέτωσαν, καὶ μὴ ξυμπεπηγυίας, ἀλλ' ὡς οἱόντε λελυμένας ἀπ' ἀλλήλων· σκέλη στρογγύλα, ὀρθὰ, εὐπαγῆ· πλευρὰς γενναίας· ὁσσὺν πλατείαν, ἰσχυρὰν, μὴ σαρκώδη, ἀλλὰ νεύροις πεπηγυῖαν· λαγόνας ἀνειμένας· ἰσχία μὴ συνδεδεμένα· χενεῶνας λαγαρούς· οὐρὰς λεπτὰς, μακρὰς, δασείας τὴν τρίχα, ὑγρὰς, εὐκαμπεῖς, τὸ ἄκρον τῆς οὐρᾶς δασύτερον· ὑποχώλια μακρὰ, εὐπαγῆ. (10)

CAP. V.

De auctoris cane et qualis ille fuerit.

Nam et ipse canem educavi cæsium quantum fieri potest maxime : atque is et velox et industrius et animosus pedibusque optimus erat, adeo ut dum ætas esset integra, solus quattuor leporibus sufficeret. (2) Ceterum mansuetissimus est (supererat enim adhuc quum hæc scriberem) et heri amantissimus; neque ullus mihi antehac canis fuit, qui me et amicum meum et venationis socium Megillum tanto amore prosequeretur : nam dum cursu intermisso quiescit, nusquam a nobis aut saltem alterutro nostrùm divellitur. (3) Sed si ego domi sim, ipse mecum commoratur, et prodeuntem aliquo comitatur, et gymnasium adeuntem assectatur, corpusque exercenti assidet : et redeuntem præcedit subinde respiciens, ut sciat num forte de via deflexerim, et simulac me conspexerit, adblanditus nonnihil rursum præcedit. (4) Ac si publici negotii causa prodeam, adest amico meo, idemque erga eum facit. Sin alterutrum nostrùm corporis morbo detineatur, nusquam ab eo discedit; et si vel exiguo temporis intervallo videat, libere assilit quasi salutans, et lætabundus salutationi testandæ voce blanda eggannit : quumque cœnanti adest, nunc uno nunc altero pede contingens, sibi quoque aliquid cibi tradendum monet : tum vocalis admodum est, ut vix credam me alium unquam vidisse vocaliorem : et quacumque re indigeat, voce significat. (5) Quumque tenellus adhuc flagro subinde cæsus esset, si quis jam eo fine flagrum dumtaxat nominet, illi obviam procedit, precesque submissus admovet, atque os ori tanquam deosculaturus applicat, et subsiliens inhæret collo, nec ante discedit, quam is qui irascitur, minas ponat : (6) adeo ut nec nomen istius canis prodere me pigeat, quo in posterum exstet fuisse aliquando Xenophonti Atheniensi canem nomine Hormen, velocissimum, sapientissimum atque sacerrimum (?) (7) Aures vero magnæ mollesque sint canibus, ut præ magnitudine et mollitie fractæ videantur; illæ enim præstantissimæ sunt : sed nec id malum, si arrectæ appareant, modo ne breves et duræ sint. (8) Sit collum longum, rotundum et flexibile : adeo ut si canes collo ligatos validiori nisu retrahas, id præ nimia flexibilitate et mollitie infractum videatur. Pectora lata angustis præstant. (9) Scapulas disjunctas habeant, non connexas, sed quammaxime a se invicem dissolutas. Crura longa, recta, bene compacta. Latera valida; dorsum latum, firmum, non carnosum, sed nervis innexum. Ventres demissos; coxas non commissas invicem; ilia vacua; caudas exiles, longas, hirsutas, molles et flexibiles : caudam extremam pilis spissioribus obsitam : internodia longa et bene compacta.

Σκέλη δὲ εἰ μὲν τὰ ὀπίσθια ἔχοι μείζω τῶν ἔμπροσθεν, τὰ ὄρθια ἂν μεταθέοι ἄμεινον· εἰ δὲ τὰ ἔμπροσθεν τῶν ὀπισθίων, τὰ κατάντη· εἰ δ' ἴσα εἴη ἄμφω, τὰ πεδία. Ἐπεὶ δὲ χαλεπώτερον ἐν ὀρθίῳ μὴ ἡττηθῆναι λαγὼ, ὅτι καὶ ὁ λαγὼς τὰ ὄρθια θεῖ ἄμεινον, ἐκεῖναι δοκοῦσι γενναιότεραι αἱ κύνες, ὅσαι τὰ ὄπισθεν μείζονα ἔχουσι τῶν ἔμπροσθεν· πόδες δὲ οἱ περιφερεῖς καὶ στερρὸι κράτιστοι.

(10) Si crura posteriora anterioribus longiora habeat, melius acclivia percurret; sin anteriora posterioribus, melius declivia; si utrimque æqualia fuerint, melius planitiem. Verum quum difficilius sit in loco acclivi a lepore non superari, eo quod lepus longe melius per acclivia currit, illi mihi canes præstantiores esse videntur, quibus posteriora crura longiora sunt anterioribus. Pedes autem rotundi et firmi, omnium optimi.

ΚΕΦ. Ϛ'.

Περὶ χρωμάτων, καὶ, ὡς ἂν ἔχωσι ταῦτα, ὅτι ἀδιάφορον.

Τὰ δὲ χρώματα οὐδὲν διοίσει ὁποῖα ἂν ἔχωσιν, οὐδ' εἰ παντελῶς εἶεν μέλαινα ἢ πυρρὰ ἢ λευκαί· καὶ οὐδὲ τὸ ἁπλοῦν χρὴ ὑποπτεύειν τῆς χρόας ὡς θηριῶδες· ἀλλὰ τὰ ὄντα ἔστω στιλπνὰ καὶ καθαρά· καὶ ἡ θρὶξ, εἴτε οὖν τοῦ δασέος γένους, εἴτε τοῦ ψιλοῦ τύχοιεν οἱ κύνες, λεπτὴ ἔστω καὶ πυκνὴ καὶ μαλθακή. (2) Κράτιστοι δὲ ἄῤῥενες μὲν, ὅσοι μεγάλοι τε καὶ εὐπαγεῖς ὄντες, ὑπὸ ὑγρότητος θηλείαις ἐοίκασι· θήλειαι δὲ, ὅσαι διὰ τὸ γενναῖον καὶ μυῶδες τοῦ σώματος ἄῤῥεσι. (3) Τοῦ μὲν δὴ σώματος ταῦτά τις ἂν δοκεῖ μοι ἐπισκοπῶν δὴ ἀποχρῶντα τεκμήρια ποιεῖσθαι εἰς γενναιότητα, καὶ τὰ ἐναντία τοῦ ἐναντίου.

(10) Si crura posteriora anterioribus longiora habeat, melius acclivia percurret; sin anteriora posterioribus, melius declivia; si utrimque æqualia fuerint, melius planitiem. Verum quum difficilius sit in loco acclivi a lepore non superari, eo quod lepus longe melius per acclivia currit, illi mihi canes præstantiores esse videntur, quibus posteriora crura longiora sunt anterioribus. Pedes autem rotundi et firmi, omnium optimi.

CAP. VI.

De coloribus : nec referre qualescumque habeant.

Colores quoscumque tandem obtineant, parum refert, etiam si omnino nigri aut rufi vel albi fuerint. Nec simplicem colorem ut feritatis signum suspectum habeas : sed quicumque demum fuerit color, nitidus purusque esto. Pilus autem canibus, sive hirsuti generis fuerint, sive glabri, tenuis, densus et mollis sit. (2) Omnium vero præstantissimi sunt masculi, qui in magno et bene compacto corporis habitu flexibili quadam mollitie feminis similes videntur : feminæ autem, quæ generoso animo et toroso corpore masculos æquant. (3) Atque hæc quidem corporis signa si quis observet, meo judicio satis superque ex iis animi præstantiam, ex contrariis autem contraria colligere poterit.

ΚΕΦ. Ζ'.

Περὶ τῆς γνώμης τῶν κυνῶν, ὁποῖα ταύτης τὰ σημεῖα.

Οὐ μείονα δὲ καὶ ἡ γνώμη τῶν κυνῶν ἐς ἑκάτερα τεκμηριοῦσθαι παρέξει τῷ ὡς χρὴ ὁρῶντι. Αὐτίκα ὅσαι σκυθρωπαὶ κύνες πρὸς ἅπαντας, οὐ γενναῖαι, εἰ δὲ ἔστιν ἃς εὖροις (ἂν) πρὸς μὲν τοὺς ἀγνῶτας χαλεπὰς, τῷ δὲ ἀνατρέφοντι προσφιλεῖς, καὶ τοῦτο ἀγαθὸν μᾶλλον ἢ κακόν. (2) Ἤδη δὲ ἔγνων κύνα, ἥτις οἴκοι μὲν κατηρὴς ἦν, καὶ οὐδενὶ τῶν πλησιαζόντων ἔχαιρεν· ἐπὶ θήραν δὲ ἐξαγομένη ὑπερευφραίνετο, καὶ παντὶ τῷ προσελθόντι προσμειδιῶσα καὶ προσσαίνουσα διεδήλου, ὅτι ἀνιᾶται οἴκοι μένουσα. Καὶ τοῦτο ἀγαθόν. (3) Κράτισται δὲ αἱ φιλανθρωπόταται, καὶ ὅσαις οὐκ ἔστι ξένον ὄψις ἀνθρώπου οὐδενός· ὅσαι δὲ ἀνθρώπους δείσασι, καὶ ὑπὸ ψόφου ἐκπλήττονται, καὶ θορυβώδεις εἰσὶ, καὶ ἐπὶ πολλὰ καὶ εἰκῇ κινοῦνται, καὶ ταῦτα ἀλόγιστά ἐστι καὶ οὐκ ἔμφρονα· καθάπερ ἄνθρωποι, εἰ δειλοὶ καὶ ἄφρονες, οὕτω δὲ καὶ αἱ κύνες αἱ τοιαῦται οὔποτε ἂν εἶεν γενναῖαι. (4) Κακαὶ δὲ καὶ ὅσαι λυθεῖσαι τοῦ δεσμοῦ ἐν χωρίῳ οὐκ ἐπανίασιν ἐπὶ τὸν ἄγοντα καλούμεναι, ἀλλ' ἀποσκιρτῶσι· καὶ ἢν μὲν πράως μεταχαλῇς, καταφρονοῦσιν· ἢν δὲ σὺν ἀπειλῇ, δειμαίνουσαι οὐ προσίασιν. (5) Ἀλλὰ χρὴ ἀποσκιρτήσασαν τὴν κύνα καὶ περιδραμοῦσαν ἐπανιέναι ἐπὶ τὸν κυναγωγὸν, εἰ καὶ μὴ καλοίη αὐτὸς, σημαίνουσαν ὅτι οἵα τε ὑπακούειν, εἰ ἦδη ἐθέλει· ἔτι δὲ, εἰ μὴ λαμβάνοιτο, πάλιν αὖ ἀποσκιρτάτω, καὶ πάλιν ἐπανίτω.

(4) Sed omnium præstantissimi sunt, quibus plurimum adest humanitatis, et quibus nullius hominis conspectus novus atque insolens accidit. At illi qui homines metuunt et strepitu terrentur et tumultus excitant et sæpius nulla de causa commoventur, bruti sunt parumque animosi : nam ut homines timidi degeneri sunt animo, ita hujusmodi canes nequaquam sunt animosi. (4) Mali quoque sunt qui vinculo soluto in aperto campo vocati non revertuntur ad ductorem, sed resiliunt; et qui blande revocantis vocem contemnunt, minitantem vero præ metu accedere non audent. (5) Sed canem libere vagantem ex cursu ad venatorem etiam non vocantem reverti oportet, ut ostendat sibi non deesse animum obtemperandi : et si venator non comprehendat, tum rursum curriculo abeat, rursumque

(6) Πεπαιδευμέναι δὲ, ὅσαι φθεγξαμένου τοῦ κυναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ φιλοφρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι, καθάπερ οἱ προσκυνοῦντες Μέγαν Βασιλέα· οὐδὲ τὸ ἵστασθαι δὲ ἐν πεδίῳ λυθεῖσαν κύνα ἀγαθὸν, εἰ μὴ πρεσβυτέρα τύχοι· ὄκνον γὰρ σημαίνει. (7) Ταῖς δὲ γενναιοτάταις καὶ ἐπισκύνιον πρόσεστι, καὶ σοβαραὶ φαίνονται, καὶ τὸ βάδισμα κοῦφον καὶ πυκνὸν καὶ ἁβρόν· καὶ μεταβάλλουσι τὰς πλευρὰς, καὶ τὸν τράχηλον ἀνατείνουσι, καθάπερ οἱ ἵπποι, ἐπειδὰν λαμπρύνωσιν.

ΚΕΦ. Η'.

Περὶ τοῦ, πῶς διαγνωστέον ἀπὸ τοῦ ἐσθίειν τὴν ποιότητα τῶν κυνῶν.

Ἐσθίουσι δὲ αἱ μὲν λάβρως, αἱ δὲ κοσμίως· καὶ τὸ κόσμιον γενναιότερον τοῦ ἀκόσμου. (2) Ἀγαθαὶ δὲ, ὅσαι μὴ κακόσιτοι, ἀλλ' ἄρτῳ ἢ μάζῃ χαίρουσι· κράτιστον γὰρ κυσὶ τοῦτο σιτίον· καὶ οὐ δέος, μὴ ὑπερεμπλησθεῖεν ὑπ' αὐτοῦ. Ἄμεινον δὲ εἰ καὶ ξηρᾷ τῇ τροφῇ χαίροιεν· εἰ δὲ καὶ ὕδατι καταβρέχοις, καὶ τούτῳ χαίροιεν, οὐ κακόν. (3) Καμούσῃ δὲ ἐμβάλλειν ἢ ὕδωρ ἀπὸ κρέως λιπαροῦ, ἢ βοὸς ἧπαρ ἐν σποδιᾷ θερμῇ φρύξαντα, ἔπειτα τρίψαντα καθάπερ ἅλφιτα ἐπιπάττειν. (4) Καὶ ταῖς γε σκυλακευομέναις ἀγαθὸν τοῦτο ἐς τὸ πῆξαι τὰ μέλη, ἐπειδὰν ἀποπαύσωνται τοῦ γάλακτος· τὸ γάλα δὲ σκυλακεῦσαι κράτιστον ἐς ἔννατον μῆνα καὶ πορρωτέρω· καὶ καμούσῃ δὲ καὶ μαλακιζομένῃ ἀγαθὸν καὶ πόμα καὶ σιτίον· ἀγαθὸν δὲ καὶ ἡ ἀσιτία καμνούσῃ.

ΚΕΦ. Θ'.

Περὶ τοῦ, μετὰ τίνων καὶ πῶς κοιταστέον τὰς κύνας.

Οὐδὲν δὲ οἷον εὐνὴ μαλθακὴ καὶ ἀλεεινή· κρατίστη δὲ ἡ μετ' ἀνθρώπου, ὅτι καὶ φιλάνθρωποι ἀποτελοῦνται, καὶ τῷ χρωτὶ τῷ ἀνθρωπίνῳ χαίρουσι, καὶ φιλοῦσιν οὐ μεῖον τὸν συγκαθεύδοντα ἢ τὸν τρέφοντα. Καὶ τῶν λυπούντων τὴν κύνα τις αἰσθάνοιτο, ὡς διψώσῃ τε ἐν νυκτὶ ἐπικουρῆσαι, καὶ ἐπειγομένῃ ὑπὸ τοῦ τῶν ἀναγκαίων· γνοίη δ' ἂν καὶ ὅπως ἀνεπαύσατο. Εἰ γὰρ ἀγρυπνήσειεν, ἐξάγειν ἐπὶ θήραν οὐκ ἀσφαλὲς, οὐδ' εἰ ἐπισταίξειε θαμινὰ ἐν τῷ ὕπνῳ, οὐδ' εἴ τι ἀπεμέσειε τῶν σιτίων· ταῦτα δὲ γνοίη ἂν ὁ συναναπαυόμενος. (2) Κακίστη δὲ κοίτη κυνῶν μετὰ κυνῶν· πολὺ πλέον, εἰ καὶ ἐπιψαύουσαι ἀλλήλων ἀναπαύοιντο· ὡς ἄνθρωπος μὲν συγκαθεύδων κυσὶν ἀφαιροῖτο χρωτὸς τὸ ἀνιαρόν· κύνες δὲ ἐν τῷ αὐτῷ ἀναπαυόμεναι, ὅ τι περ πονηρὸν τοῦ χρωτὸς, τῷ πλησιάζειν τε καὶ ἐκθερμαίνειν ἐπάξουσιν· ὥστε ψώρας ἐμπίπλασθαι τὸ πολὺ, ὁπότε ἐν ταὐτῷ ἀναπαύωνται. (3) Τούτου δὲ τὸ αἴτιον καὶ ἡ

redeat. (6) Illi vero bene edocti sunt, qui ad venatoris vocem non metu, sed præ amore atque honore nutricii sui se submittunt, instar illorum qui Magnum Regem adorant. Neque id bonum est canem vinculo exsolutum in campo quietum sistere, nisi senio fuerit confectus : id enim ignaviam ostendit. (7) Ceterum generosis canibus hispidum supercilium est vultuque terribili apparent : incessus quoque levis et creber et mollis; quin et transversis incedunt lateribus, et cervicem ut equi luxuriantes altius erigunt.

CAP. VIII.

Quomodo ex comestione qualitas canum dignoscenda.

Canum alii avide vorant, alii modeste comedunt : sed modestia generosiorem canem arguit quam aviditas. (2) Sunt et illi boni qui malis spurcisque cibis abstinent et pane et maza gaudent : nam hic cibus omnium maxime canibus conducit, nec metuendum ne nimium illo se ingurgitent. Optimum autem signum est, si cibo sicco delectentur; neque id malum, si aqua perfusa gaudeant. (3) Cani ægrotanti jus carnis pinguioris exhibendum, vel jecur bubulum sub cinere calido tostum, tritumque farinæ instar aquæ inspergatur. (4) Idem quoque catulis inprimis prodest ad corroborandos artus, ubi a lacte depelluntur. Sed lac catulis enutriendis omnium optimum est in nonum usque mensem et amplius; ægrotis quoque et infirmioribus in potu ac cibo exhibitum prodest; conducit ægrotis etiam jejunium.

CAP. IX.

Cum quibus et quomodo canes cubare debeant.

Sed nihil æque juvat atque stratum molle et calidum. Optimum tamen si cum homine cubent, quod et humaniores evadant, et hominum cute gaudeant : nec minus ament eum quocum cubent quam qui cibum præbet : sentiet quoque si male habeant, ut sitienti noctu potum præbeat, et si quid necessarium desit, curam gerat : sciet etiam quomodo requiescant; nam si noctem exegerint insomnem, non tutum est eos venatum educere : nec si frequenter inter dormiendum excitentur, vel si quid ciborum evomuerint : quæ omnia facile sciri poterunt, si quis cum iis cubet. (2) Pessimum id est si canes cum canibus cubent : at multo pejus, si inter cubandum se invicem contingant : nam ubi homo cum canibus cubat, tollit vitia cutis : sed quum canes simul cubant, quibuscumque tandem cutis vitiis mutuo contactu et calore se inficiunt, adeo ut scabie ferme semper referti sint, ubi in eodem loco cubant. (3) Rei argumentum vel fœtor est, quem gravem atque acrem sen-

ὁδμὴ, ἐπειδὰν εἰσέλθῃς, οὗ κύνες πολλαὶ ἀναπαύονται· οὕτως χαλεπή τέ ἐστι καὶ ὀριμεῖα.

ΚΕΦ. Ι'.

Ὅτι ἡ τρίψις τοῖς κυσὶν ὠφέλιμος, καὶ πῶς δεῖ ταύτας ἀποτρίβειν.

Μέγα δὲ ὄφελος κυνὶ καὶ τρίψις τοῦ σώματος παντὸς, οὐ μεῖον ἢ ἵππῳ· τά τε γὰρ μέλη πῆξαι καὶ ῥῶσαι ἀγαθὴ, καὶ τὴν τρίχα μαλθακὴν ἐργάζεται καὶ τὴν χρόαν στιλπνὴν, καὶ τοῦ χρωτὸς ἀποκαθαίρει ὅ τι περ πονηρόν. (2) Τρίβειν δὲ τὰ μὲν νῶτα καὶ τὴν ὀσφὺν τῇ δεξιᾷ, ὑποθέντα τὴν ἀριστερὰν τῇ λαγόνι, ὡς μὴ ἐπιθλιβομένην ἄνωθεν τὴν κύνα ὀκλάζουσαν κακοπαθεῖν. (3) Τὰς δὲ πλευρὰς ἑκατέρᾳ τῇ χειρὶ, καὶ τοὺς γλουτοὺς μέχρις ἄκρων ποδῶν, καὶ ὠμοπλάτας ὡσαύτως. (4) Ἐπεὶ δ' ἂν ἱκανῶς φαίνωνται ἔχειν, ἐπαίρειν τῆς οὐρᾶς λαβόμενον, καὶ ἀνατείναντα ἀφιέναι· ἡ δὲ διασείσεταί τε ἀφεθεῖσα, καὶ δήλη ἔσται, ὅτι ἠγάπησε τὸ πραχθέν.

ΚΕΦ. ΙΑ'.

Ὅτι ἄμεινον δεδέσθαι τὰς κύνας, ἢ λελυμένας εἶναι.

Δεδέσθαι δὲ κύνα γενναίαν δι' ἡμέρας, ὥσπερ τι ἄλλο, ἀγαθόν· εἰ δὲ μὴ, ἀναγώγους ἀποτελεῖσθαι ἀνάγκη· καὶ εἴ ποτε ἄρα δεσμοῦ δεηθεῖεν, ἀσχάλλουσι, καὶ κλαυθμυρίζονται, καὶ ἀπεσθίουσι τοὺς ἱμάντας· ὥστε σιδήρου δεῖν ἐπ' αὐταῖς, καθάπερ ἐπὶ ἀνθρώποις τοῖς κακούργοις. (2) Καὶ ἐσθίειν δὲ ἀνάγκη λελυμένην κύνα πᾶν τὸ ἐμπεσόν· καὶ τὸ ἀκμαῖον τοῦ δρόμου ἀφαιρεῖται αὐτῶν ὁ δι' ἡμέρας περίπατος· ἀλλὰ χρὴ τεταγμένα μὲν περιπατεῖν, τὸ πολὺ δὲ ἀναπαύεσθαι.

ΚΕΦ. ΙΒ'.

Περὶ τοῦ, ἐπὶ πόσον τῆς ἡμέρας προακτέον τὰς κύνας· καὶ πόσας, καὶ ποίας ἐν ταὐτῷ λυτέον.

Προάγειν δὲ τὰς κύνας τοὐλάχιστον τετράκις (ἐπὶ) τῇ ἡμέρᾳ ἐς ὁμαλὸν χωρίον καὶ καθαρόν· ἐνταῦθα ἀφιέναι τοῦ δεσμοῦ, τῶν τε ἀναγκαίων ἕνεκα, καὶ ἐς τὸ ἀποσκιρτᾶν καὶ διαθεῖν. (2) Εἰ δὲ ἀργοῦσαι ἀπὸ θήρας τύχοιεν, καὶ πλεονάκις ταὐτὸ τοῦτο ὁρᾶν· καὶ δύο ἐπὶ δυοῖν ἐν τῷ αὐτῷ, ὥστε ἁμιλλωμένας καὶ παίζούσας ὁμοῦ μὲν εὐφραίνεσθαι, ὁμοῦ δὲ γυμνάζεσθαι. (3) Πολλὰς δὲ μὴ λύειν ἐν ταὐτῷ· ἐμπίπτουσαι γὰρ ἀλλήλαις ἔστιν ὅτε μεγάλα κακὰ ἐργάζονται. (4) Ἀλλὰ μηδὲ σκληρὰν κύνα καὶ πεπηγυῖαν ἅμα τῇ σκυλακευομένῃ λυέτω· βαρεῖα γὰρ αὕτη καὶ ἀνιαρὰ συμφέρεσθαι· καὶ διώκουσά τε αἱρεῖ, καὶ ἀποφεύγουσα ἀπολείπει εὐμαρῶς· ὥστε ἀθυμεῖν ἀνάγκη τὸ σκυλάκιον ἐν ἑκατέρῳ μεῖον φερόμενον. (5) Ἀλλὰ μηδὲ ὅσαι

ties, si locum aliquem ingrediaris, ubi multi canes simul quiescunt.

CAP. X.

Frictionem canibus prodesse, et quomodo institui debeat.

Multum quoque canibus frictio totius corporis prodest, non minus quam equo: utilis est enim ad confirmandos et corroborandos artus; tum pilum mollem cutemque nitidam reddit, atque omnia ejus vitia expurgat. (2) Perfricandum autem dorsum et lumbi manu dextra, sinistra interim ventri supposita: ne pressus desuper canis labantibus genubus aliquid mali patiatur. (3) Latera autem et clunes utraque manu ad extremos pedes perducendi; eodem modo et scapulæ. (4) Ubi satis superque perfrictus videbitur, apprehensa cauda tollendus, eaque extensa dimittendus: at ille dimissus concutiet corpus et aperte se ea re delectatum ostendet.

CAP. XI.

Præstare vinctos potius canes esse quam solutos.

Inprimis autem conducit canem generosum interdiu vinctum esse: sin minus, necessum est eos feros indomitosque evadere; et si quando vinculis alligentur, tum ægre ferentes ululant, et numellas corrodunt, adeo ut ferreis vinculis improborum hominum instar coercendi sint. (2) Tum canem solutum omni cibo promiscue vesci necessum est; et diem totum obambulanti currendi vigor perit: sed moderata quidem ambulatio illis permittenda, ut plurimum tamen quiescant.

CAP. XII.

Quoties producendi canes singulis diebus, et quot qualesque simul solvendi.

Singulis autem diebus quater ut minimum in locum planum liberumque producendi sunt; et vinculo exsoluti ibidem dimittendi, quum ad necessitatem naturæ, tum ut saltu cursuque se recreent. (2) Si pigriores post venationem fuerint, sæpius id faciendum; et bini ac bini simul educendi, ut mutuo certamine atque lusu simul sese et oblectent et exerceant. (3) Plures una eademque vice ne solvas; sæpius enim in se invicem irruentes plurimum damni inferunt. (4) Nec robustum et confirmatæ ætatis canem una cum catulo emittas: gravis enim nec sine noxa ejus concursus: nam ubi insequitur, facile præcedentem occupat, et dum fugit, nullo negotio insequentem a tergo relinquit; adeo ut catulo necessario excidat animus, quum utrobique minus valeat. (5) Sed nec infensi sibi invicem

διεχθρεύουσιν ἀλλήλαις, μηδὲ ταύτας λύειν ὁμοῦ, ὡς μὴ λυμαίνοιντο ἀλλήλας· εἰσὶ γάρ τοι κύνες ἐχθραὶ ἀλλήλαις, καὶ ἄλλαι φίλαι, καθάπερ ἄνθρωποι, καὶ μάλιστα δὴ οἵ τε ἄρρενες τοῖς ἄρρεσι, καὶ αἱ θήλειαι ταῖς θηλείαις, τὸ πολὺ ὑπὸ φθόνου· καὶ οὐδὲ τούτων ἀμελῶς χρὴ ἔχειν.

ΚΕΦ. ΙΓ'.

Περὶ τοῦ, ποσάκις δεῖ ἐν χειμῶνι ἢ θέρει σιτεῖσθαι τὰς κύνας.

Καὶ δὴ χειμῶνος μὲν ὥρᾳ ἅπαξ σιτεῖσθαι τὰς κύνας ὀλίγον πρὸ τῆς ἑσπέρας· ἥ τε γὰρ ἡμέρα βραχεῖα, καὶ χρὴ γεγυμνάσθαι αὐτὰς, ὥστε, εἰ δέοι πόρρω τῆς ἡμέρας διαπονεῖσθαι ἐν θήρᾳ, τοῦ λιμοῦ ἀνέχεσθαι. (2) Θέρους δὲ ἀγαθὸν καὶ ἄρτου ὀλίγον δοῦναι ἐμφαγεῖν, ὡς μὴ ἀποκναίεσθαι ὑπὸ μήκους· καὶ γὰρ, εἰ διψήσειαν, ἀλυπότερον ἂν πίνοιεν ἐμφαγοῦσαι. Εἰ δὲ καὶ στέαρ ταριχευόμενον καθείης τῆς κυνὸς, ἀγαθὸν καὶ τοῦτο. (3) Εἰ δὲ μέγα τὸ καῦμα ἐπιφλέγοι, ᾠὸν ἐμβαλόντα εἰς τὴν χεῖρα, καὶ ἀνατείνοντα τῆς κυνὸς τὸ στόμα καθιέναι, ὡς ἀθρόον καταπιεῖν· καὶ τοῦτο σιτίον τε ἱκανὸν ἔσται αὐτῇ, καὶ ἀναψύξει τὸ ἄσθμα, καὶ ἀναπαύσει τὸ δίψος.

ΚΕΦ. ΙΔ'.

Περὶ τοῦ, ποίῳ χρόνῳ ἑξακτέον τὰς κύνας ἐπὶ θήραν.

Ἐξάγειν δὲ ἐπὶ θήραν ἦρος μὲν καὶ φθινοπώρου θαμινά· ἀσφαλέσταται γὰρ αἱ ὧραι αὗται ταῖς κυσίν· (2) θέρους δὲ ὀλιγάκις, καὶ τὸ πολὺ διαλείποντα, εἰ πνῖγος εἴη· οὐ γὰρ ἀνέχονται καύματος αἱ κύνες, ἀλλὰ πολλαὶ ἤδη διώξασαι ἀνὰ κράτος, ἀπεπνίγησαν ὑπὸ τοῦ ἄσθματος. (3) Τούτου δὴ ἕνεκα φέρειν χρὴ ὠὰ τὸν κυνηγέτην, ὥστε, εἰ ὑπερασθμαίνοι ἡ κύων, καθιέναι ἀθρόα· οὐ γάρ ἐστιν ὅ τι μᾶλλον ἀναψύχει τε αὐταῖς τὸ καῦμα, καὶ τὸ ἄσθμα ἀναπαύει. (4) Εἰ δὲ πίοι ἀθρόον ὑπερασθμαίνουσα, καὶ τοῦτο οὐκ ἀσφαλές. Τούτων δὴ ἕνεκα χρὴ φυλάττεσθαι ἐν καύματι ἐξάγειν. (5) Καὶ χειμῶνος δὲ μὴ ἐξάγειν, εἰ τὸ κρύος τύχοι χαλεπὸν, καὶ πολὺ δὴ μάλιστα, εἰ πεπηγυῖα ἡ γῆ τύχοι· ἀποκαίονται γὰρ ἐν τῷ κρυστάλλῳ αἱ κύνες, καὶ τοὺς ὄνυχάς ἐστιν αἳ ἀπολλύουσι, καὶ τὰ νέρθεν τῶν ποδῶν αὐταῖς ῥήγνυνται. (6) Εἰ δὲ εὐψυχότεραι εἶεν, καὶ θραύοιεν ἂν περὶ τῷ κρυστάλλῳ τὰ ὀστᾶ τῶν ποδῶν, ἀφειδῶς θέουσαι· ὁ δὲ λαγὼς κοῦφός τέ ἐστι, καὶ δασεῖς ἔχει τοὺς πόδας καὶ μαλθακοὺς, ὥστε ἀλύπως θεῖν ἐν τῷ πάγῳ.

simul solvendi, ne malo se vicissim afficiant : nam canes quoque mutuas inimicitias et amicitias exercent, sicuti homines, præsertim masculi cum masculis et feminæ cum feminis; quod invidia plerumque laborent; neque id susque deque habendum.

CAP. XIII.

Quoties hieme vel æstate canibus præbendus sit cibus.

Hiberno tempore semel canibus cibus præbeatur, idque paullo ante vesperam : nam et dies contractior est, et exercitio assuefaciendi sunt, ut si per diem fere integrum venationi foret incumbendum, famem perferre valeant. (2) Æstate præstat iis nonnihil panis præberi, ne diei longitudine segniores fiant; tum si sitiant, minori cum damno post sumptum cibum bibunt : sed et illud bonum est, si adipem sale conditum cani immittas. (3) Verum ubi intensior æstus fuerit, præstat ovum manu capere, et diducto canis rictu ita immittere, ut una vice deglutiat; quod et in victum illi sufficiet et halitum refrigerabit et sitim restinguet.

CAP. XIV.

Quo tempore canes ad venationem educendi.

Ad venationem frequentius producendi sunt vere et autumno : quæ anni tempestates canibus omnium sunt tutissimæ : (2) rarius autem æstate, et satis magno temporis spatio interposito, si æstus fuerit : nam canes nullo modo sunt ferendo calori, sed multi dum intentissimis viribus feram persequuntur, suppressa respiratione suffocantur. (3) Quam ob causam venator ova secum deferat, ut si forte respirandi difficultas cani oboriatur, solida immittat : nihil enim æque nimium æstum in canibus refrigerando exstinguit, et respirandi difficultatem sedat. (4) Neque id periculo caret, si dum respiratio difficilior trahitur, nimis avide bibant. Quapropter cavendum ne nimio calore educantur. (5) Nec hiberno tempore producendi, si frigus vehementius fuerit, multo autem maxime, si terra fuerit congelata : nam membra canibus in glacie aduruntur; nonnullis quoque ungues pereunt, et pedum plantæ læduntur. (6) Quodsi animi vehementiores sint, nimio cursu ipsa quoque pedum ossa glacie vulnerantur; sed lepus et levis est et pedes villosos mollesque habet, ut sine ulla noxa per glaciem currat.

ΚΕΦ. ΙΕ'.

Περὶ διαστήματος, ἀφ' ὅτου δεῖ τῷ λαγῷ ἐπιλύειν τὰς κύνας, καὶ πόσας ταύτας.

Χρὴ δέ, ὅστις κύνας ἀγαθὰς ἔχει, μήτε ἐγγύθεν ἐπιλύειν τῷ λαγῷ, μήτε πλείους δυοῖν· καὶ γὰρ, εἰ πάνυ ὠκὺς τύχοι καὶ πολλὰς πολλάκις κύνας διαπεφευγὼς, ἀλλά γε ἐξ εὐνῆς ἀνιστάμενον, καὶ ξὺν βοῇ καὶ κυνῶν ἐπικειμένων ἐκπλαγῆναι ἀνάγκη, καὶ πατάσσειν αὐτῷ τὴν καρδίαν. Καὶ ἐν τούτῳ πολλάκις γενναῖοι λαγωοὶ ἀκλεῶς ἀπώλοντο, μηδὲν μήτε ὁράσαντες μήτε ἐπιδειξάμενοι μνήμης ἄξιον. (2) Ἐᾶν δὲ ὑπεκφυγεῖν ἀπὸ τῆς εὐνῆς, καὶ ἀναθαῤῥῆσαι. Ὁ δέ, εἰ τύχοι ὁρμικὸς, ἐπαρεῖ εὐθὺς τὰ ὦτα, καὶ μεγάλα ἀπὸ τῆς εὐνῆς πηδήσεται· οἱ δὲ καὶ διαῤῥίψαντες τὰ μέλη, καθάπερ οἱ σκιρτῶντες, τότε ἀπευθυνοῦσι τὸν ὁρόμον. Καὶ τότε ἄρα ἐστὶ τὸ θέαμα ἄξιον τῶν πόνων, ὅσους ἐπὶ ταῖς κυσὶ πονεῖν ἀνάγκη.

CAP. XV.

Ex quo intervallo et quot canes simul in leporem immittendi.

Sed quicumque canes egregios habuerit, ne de proximo eos in leporem immittat, neu plures quam duos: nam etiamsi velocissimus sit et multos sæpenumero canes effugerit, nihilominus ubi cum clamore e cubili excitatur, canesque de proximo imminent, exterreri eum necesse est et cum metu percelli: atque in hujusmodi tumultu haud raro generosi lepores sine ullo memorabili facinore inglorii pereunt. (2) Quare permittendum est ut profugiat e cubili et animum recolligat. Ibi ille, si cursu valeat, statim arrigit aures, et magnis passibus sese e cubili proripit: nonnulli etiam magna membrorum volubilitate exsiliunt, quasi saltabundi, et deinde recto et intento cursu pergunt: ibi demum spectaculum dignum tantis laboribus, qui canibus impendendi sunt, exhibetur.

ΚΕΦ. ΙϚ'.

Περὶ λαγωῶν, καὶ τίς ἡ τούτων ἀρετή.

Κράτιστοι δὲ τῶν λαγωῶν οἱ ἐν τοῖς περιφανέσι καὶ ἀναπεπταμένοις τὰς εὐνὰς ἔχοντες· ὑπὸ θάῤῥους γὰρ οὐκ ἀποκρύπτουσι σφᾶς, ἀλλὰ προκαλοῦνται, ἐμοὶ δοκεῖν, τὰς κύνας. (1) Οἱ δὲ αὐτοὶ οὗτοι, ἐπειδὰν διώκωνται, οὐκ ἐπὶ τὰς νάπας φεύγουσιν, οὐδὲ ἐπὶ τὰ ἄλση, εἰ καὶ πάνυ πλησίον τύχοι ὄντα, ὥστε εὐμαρῶς ἀφελέσθαι αὐτοὺς τοῦ κινδύνου· ἀλλὰ ἐς τὰ πεδία βιάζονται, ἐρίζοντες πρὸς τὰς κύνας, καὶ, εἰ μὲν βραδεῖαι κύνες ἕποιντο αὐτοῖς, τοσοῦτον ὅσον διώκονται, θέουσιν· εἰ δὲ ὠκεῖαι, ὅση δύναμις. (3) Πολλάκις δὲ ἤδη ἐς τὰ πεδία ἐκτραπέντες, εἰ αἴσθοιντο ἐρομαρτοῦσαν κύνα ἀγαθὴν, ὡς ἐπισκιάζεσθαι ὑπ' αὐτῆς, θαμινὰ ἐν τοῖς ἐξελιγμοῖς διαῤῥίψαντες αὐτὴν, οἵδε τρέπονται αὖ ἐπὶ τὰς νάπας, ἢ εἴ που κατάδυσιν γιγνώσκοιεν. (4) Καὶ τοῦτο τεκμήριον ποιητέον, ὅτι ἐκράτησεν ἡ κύων τοῦ λαγῶ· οὐ γάρ τοι ἐπὶ τῷ ἁλῶναι τὸ θηρίον ἐξάγουσι τὰς κύνας, ἀλλὰ ἐς ἀγῶνα ὁρόμου καὶ ἅμιλλαν οἵ γε τῇ ἀληθείᾳ κυνηγετικοί· καὶ ἀγαπῶσιν εἰ ἐπιτύχοι ὁ λαγὼς τοῦ διασώσοντος. (5) Καὶ καταφυγόντα ἐς ἀκάνθας ἔστιν ὅτε ὀλίγας οἵδε καὶ ἰδόντες ἐπτηχότα καὶ ἀπαγορεύοντα, ἀνακαλοῦσι τὰς κύνας· μάλιστα δὴ, εἰ καλῶς διαγωνίσαιντο· ὥστε πολλάκις ἤδη ἔγωγε ἐφ' ἵππου ἐρομαρτῶν τῷ ὁρόμῳ, καὶ ἁλόντα ἐπελθὼν ζῶντα ἀφειλόμην· καὶ ἀφελόμενος καὶ δήσας τὴν κύνα, ἀφῆκα διαφυγεῖν τὸν λαγών· καὶ εἰ ὕστερος ἀφικόμην, ἢ ὥστε διασῶσαι, ἔπαισα τὴν κεφαλὴν, ὅτι ἀνταγωνιστὴν ἄρα ἀγαθὸν ἀπώλεσαν αἱ κύνες. (6) Καὶ τούτου μόνου ἕνεκα οὐ ξύμφημι τῷ ἐμαυτοῦ ὁμωνύμῳ, ἀλλὰ εὑρισκόμενον μὲν ὅστις ἴδοι τὸ θηρίον καὶ διωκόμενον καὶ μεταθεόμενον, ζυγχωρῶ, διότι ἐπιλάθοιτο ἂν εἴ του ἐρῴη· ἁλισκόμενον δὲ ἰδεῖν, οὔτε ἡδὺ τὸ θέαμα ἀπο-

CAP. XVI.

De leporibus eorumque præstantia.

Præstantissimi autem lepores sunt ii, qui in apertis ac patentibus locis cubilia sua habent: nam præ virium fiducia semetipsos non abscondunt, sed, ut mihi videtur, provocant canes. (2) Atque hi, ubi canes persequendo instant, non ad saltus silvasque confugiunt, etiamsi in proximo sint, ut nullo negotio se periculo subducere queant; sed vi summa per camporum planitiem cursum intendunt, contendentes cum canibus, et si quidem canes tardiores insequantur, tantum currunt, quantum premuntur: sin velociores instent, fugiunt quantum possunt. (3) Sæpenumero ubi in apertos campos excurrunt, quum canem insequentem cursu prævalere vident, adeo ut umbra ejus jam tegantur, frequentibus conversionibus gyrisque illum eludunt, et cursum iterum ad saltus convertunt, vel si qua forte latibulum aliquod noverint. (4) Atque ex hoc argumento colligendum est canem lepori prævaluisse: nam veri venatores non eo fine canes educunt, ut feram capiant, sed ut cursu cum ea contendant: quin imo gaudent, si quod perfugium lepori obtingat. (5) Et ubi eum ad rubetum aliquod satis rarum et tenue confugisse ibique delitescere et certamen jam detrectare vident, revocant canes, præsertim si egregie certaverint: adeo quidem ut ego ipse eques non semel currentes assecutus, et capto superveniens, vivum leporem subtraxerim, et retracto ligatoque cane effugere illum siverim; et si accederem tardius, quam ut servari jam amplius posset, percussi caput, quod tam egregium et gnavum adversarium interemissent. (6) Et hac una in re nequaquam cognomini Xenophonti (5, 33) assentior: sed id quidem concedo, quisquis hoc animal videat, dum invenitur et cursu a persequentibus premitur, eum cujusvis rei caræ posse oblivisci: ubi autem capitur, id ego spectaculum nec visu jucundum nec admiratione di-

φαίνω οὔτε ἐκπληκτικὸν, ἀλλ' ἀνιαρὸν μᾶλλον, καὶ οὐκ ἂν ἐπί γε τούτῳ ἐπιλαθέσθαι ἄν τινα, εἴ του ἐρᾴη. (7) Ἀλλ' ἐκείνῳ γε τῷ Ξενοφῶντι, οὐκ ἐγνωκότι ὠκείας κύνας, συγγνωστὸν εἰ καὶ ἁλισκόμενος λαγὼς μέγα θέαμα ἐφαίνετο. (8) Ἐρομαρτοῦντα δὲ τῷ δρόμῳ ἐπικλάζειν, εἰ καὶ μὴ παρακελευσαίμην, οἶδα ὅτι πολλὴ ἀνάγκη· ὥστε καὶ ἄναυδόν τινα [ἂν] ῥῆξαι φωνὴν οὐ μεῖον, ἢ, ὡς λόγος, τὸν Κροίσου υἱέα.

ΚΕΦ. ΙΖ'.

Ὅτι τὸ ἀνακαλεῖν ἐν ταῖς θήραις τὰς κύνας, ἀγαθὸν ταύταις.

Καὶ τὴν κύνα δὲ ἀνακαλεῖν ἀγαθόν· χαίρουσι γὰρ τὴν φωνὴν τοῦ δεσπότου γνωρίζουσαι, καὶ παραμυθίαν ἴσχουσι τῶν πόνων τὸ γιγνώσκειν ὅτι θεατὴς αὐταῖς πάρεστι, καὶ ὅτι οὐ λανθάνουσιν ἀγωνιζόμεναι καλῶς. (2) Καὶ δὴ τὸ ἐν πρώτῳ μὲν δρόμῳ, ὁσάκις φίλον, ἀνακαλεῖν οὐ κωλύω· ἐν δευτέρῳ δὲ ἢ τρίτῳ, ὁπότε εἰκὸς διαπεπονῆσθαι τὴν κύνα, κωλῦσαι ἂν μοι δοκῶ θαμινὰ ἀνακαλεῖν αὐτὴν ὀνομαστὶ, μή ποτε ἄρα ὑπὸ μένους καὶ προθυμίας, χαρίζεσθαι τῷ δεσπότῃ θέλουσα, ἐπὶ τὰ παρὰ δύναμιν ἐνταθεῖσα ῥήξειέ τι τῶν ἐντός· πολλαὶ γὰρ ἤδη οὕτω γε κύνες καὶ αἱ γενναιόταται διαφθείρονται· (3) ἀλλὰ τηνικαῦτα ἀφιέναι διαγωνίζεσθαι, ὅπως ἐθέλουσιν· οὐ γάρ τοι οὐδ' ἴσος ὁ ἀγὼν λαγῳῷ καὶ κυνί· ἀλλ' ὁ μὲν, ὅποι βούλεται, θεῖ, ἡ δὲ ἄλλῳ ἐρομαρτεῖ· καὶ ὁ μὲν ἐξελίξας τὸν δρόμον καὶ διαῤῥίψας τὴν κύνα ἵεται τοῦ πρόσω, ἡ δὲ, εἰ διαῤῥιφθείη, πλάζεται· καὶ ἀνάγκη φθάσαντα αὖ μεταθεῖν καὶ ἀναλαβεῖν, ὅσον ἐξηνέχθη τοῦ δρόμου. (4) Καὶ αἱ δυσχωρίαι πρὸς τοῦ λαγῶ μᾶλλόν τί εἰσιν ἢ τῆς κυνός, οἷα τὰ τραχέα καὶ οἱ φελλεῶνες καὶ τὰ σιμὰ καὶ τὰ ἀνώμαλα· ὅτι καὶ κοῦφός τέ ἐστι, καὶ οἱ πόδες αὐτῷ ὑπὸ δασύτητος οὐ ῥήγνυνται ἐν τοῖς τραχέσι, καὶ τὸ περὶ ψυχῆς δὲ θεῖν ἀφαιρεῖται τὴν αἴσθησιν τῶν δυσκόλων.

ΚΕΦ. ΙΗ'.

Ὅτι δεῖ τὴν κύνα καλῶς ἠγωνισμένην καταψῶντα ἐπευφημεῖν.

Ἔχουσαν δὲ τὴν κύνα ἢ καὶ ἄλλως κρατήσασαν τῷ δρόμῳ, καταπηδήσαντα ἀπὸ τοῦ ἵππου καταψᾶν χρὴ ἐπευφημοῦντα, καὶ τὴν κεφαλὴν φιλεῖν, καὶ τὰ ὦτα ἀποτείνειν, καὶ ὀνομαστὶ ἐπιλέγειν, εὖγε ὦ Κιῤῥά, εὖγε ὦ Βόννα, καλῶς γε ὦ Ὁρμή, καὶ, ὅ τι περ ἄλλο ἑκάστῃ ὄνομα, αὖ τοῦτο ἀνακαλοῦντα· χαίρουσι γὰρ ἐπαινούμεναι, καθάπερ τῶν ἀνθρώπων οἱ γενναῖοι. (2) Ἡ δὲ, εἰ μὴ τύχοι ἀπηγορευκυῖα, πρόσεισιν ἐπιμειδιῶσα καὶ φιλοῤῥονουμένη. Ἀγαθὸν δὲ ἐπὶ τούτῳ καὶ καλινδεῖσθαι τὴν κύνα, καθάπερ τοὺς ἵππους ὁρῶμεν· ὄῆλον γὰρ ὅτι μὴ ἀπηγόρευσεν ὑπὸ τοῦ δρόμου, καὶ ἅμα τὸν κάματον παύει αὐτῶν.

gnum esse affirmo, quin potius ingratum, neque tanti, ut cujuscunque tandem rei caræ oblivionem inducat. (7) Verum Xenophonti, qui veloces canes prorsus ignoraverit, ignoscendum si ipsam leporis capturam spectaculum egregium esse duxerit. (8) Id vero maxime necessarium esse scio, ut is qui cursu insequitur, etiam me non cohortante, clamorem edat, adeo ut vel mutus aliquis non secus in vocem prorumperet, quam Crœsi filium fecisse ferunt.

CAP. XVII.

Conducere canibus, ut inter venandum inclamando excitentur.

Expedit etiam canem subinde nomine inclamare; gaudent enim ubi domini vocem agnoscunt, atque id laboris solatium habent, ubi norunt spectatorem sibi adesse, ac conspici se dum strenue gnaviterque certamen cernunt. (2) Nec improbo quin in primo cursu quotiescumque placuerit, voce incites; sed in secundo aut tertio canem jam labore exhaustum eo minus frequenter suo nomine inclamitandum existimo, ne dum animi ardore et propensa domino obsequendi voluntate nimium vires intendit, ramices rumpat; quod multis jam et generosissimis canibus exitio fuit: (3) sed permittendum, tum ut pro suo libito laboret: neque enim æquale certamen est lepori et cani; nam ille quocumque velit cursum dirigit; hic vero aliena vestigia insequitur: ille cursum varians et canem eludens præcedit; hic variato cursu decipitur; et tantum rursus prævertat, reprehendatque necessum est, quantum cursu exerrarat. (4) Ad hæc locorum difficultates multo magis lepori prosunt quam cani: tesqua, inquam, aspera et salebrosa, tum clivosa et iniqua loca, quum et levior sit, nec pedes ob villorum densitatem locorum asperitie lædantur, illud vero omnem ei difficultatum sensum tollat, quod de vita servanda cursu contendit.

CAP. XVIII.

Canem certamine bene peracto, manu verbisque blandioribus demulcendum.

Si canis præda potiatur vel alia ratione cursu prævaluerit, oportet ut ab equo descendens manu eum permulceas verbisque blandiaris, caput deosculeris auresque diducas et proprio nomine appelles: Recte o Cirra! recte o Bonna! pulchre o Horme! atque ita suo quemque nomine: nam hominum generosorum instar laudibus delectantur. (2) Ille vero nisi forte nimis defatigatus sit, adulando atque adblandiendo accedit. Sed bonum est canem sese humi tum volutare, sicuti equos facere videmus: ita enim nec cursu eum defecisse apparet, eademque opera fessas vires instaurat.

ΚΕΦ. ΙΘ'.

[Πῶς Κελτοὶ θηρῶσι, καὶ πότε.]

Θηρῶσι δὲ Κελτοί, ὅσοι μὲν πλουτοῦσιν αὐτῶν καὶ τρυφῶσιν· ἔωθεν ἐκπέμπουσιν ἐς τὰ χωρία τὰ ὕποπτα τοὺς κατοπτεύσοντας, ὅπου τυγχάνει ἀναπαυόμενος λαγώς· καὶ ἔστιν ὁ ἀγγέλλων, εἰ τύχοι ὀφθείς, ἢ ὁπόσοι ἂν τύχωσιν. (2) Ἔπειτα ἀφικόμενοι μεθιᾶσι τὰς κύνας, ἐξεγείραντες τὸ θηρίον· αὐτοὶ δὲ ἐφ' ἵππων ἕπονται.

CAP. XIX.

[Quomodo et quo tempore Galli venentur.]

Deinde vero ait · Alexandrum, ubi ab hoste stadia circiter quadraginta abfuit, copias suas porrecta et æquata fronte in eum duxisse. Quo delirio vix quidem majus aliud queat excogitari. Nam ubi terrarum ejusmodi loca invenias, maxime autem in Cilicia, per quæ loca phalangem, sarissis armatam, stadia viginti in latitudinem porrectam, quadraginta in longitudinem stadia, fronte recta et æquata ducas? Nam si quis acie sic ordinata procedere decreverit, tot se illi impedimenta offerent, ut ne percensere quidem illa facile aliquis valeat. Ad cujus rei faciendam fidem vel illa sufficerint, quæ ab ipso Callisthene dicuntur. Qui quidem ait torrentes fluvios, qui e montibus cadunt, tot locis lúa-

ἀπὸ τῶν ὀρῶν χειμάῤῥους καταφερομένους τοσαῦτά φησι ποιεῖν ἐκρήγματα κατὰ τὸ πεδίον, ὥστε καὶ τῶν Περσῶν κατὰ τὴν φυγὴν διαφθαρῆναι λέγουσι τοὺς πλείστους ἐν τοῖς τοιούτοις κοιλώμασι. Νὴ Δί', ἀλλ' ἕτοιμος ἐβούλετ' εἶναι πρὸς τὴν τῶν πολεμίων ἐπιφάνειαν. Τί δ' ἀνετοιμότερον φάλαγγος ἐν μετώπῳ διαλελυμένης καὶ διεστραμμένης; πόσῳ γὰρ ἐκ πορευτικῆς ἀγωγῆς ἁρμοζούσης παρατάξαι ῥᾴδιον ἢ διαλελυμένην ἐν μετώπῳ καὶ διεσπασμένην δύναμιν ἐπὶ τὴν αὐτὴν εὐθεῖαν ἀναγαγεῖν καὶ συστῆσαι πρὸς μάχην ἐν τόποις ὑλώδεσι καὶ περικεκλασμένοις; Διόπερ οὐδὲ παρὰ μικρὸν ἦν χρεῖττον ἄγειν διφαλαγγίαν ἢ τετραφαλαγγίαν ἁρμόζουσαν, εἰ καὶ τόπον πρὸς πορείαν εὑρεῖν οὐκ ἀδύνατον, καὶ τὸ παρατάξαι ταχέως ῥᾴδιόν γε δυνάμενον διὰ τῶν προδρόμων ἐκ πολλοῦ γινώσκειν τὴν τῶν πολεμίων παρουσίαν. Ὁ δὲ χωρὶς τῶν ἄλλων οὐδὲ τοὺς ἱππεῖς προέθετο μετωπηδὸν ἄγων τὴν δύναμιν ἐν τόποις ἐπιπέδοις, ἀλλ' ἐξ ἴσου ποιεῖ τοῖς πεζοῖς.

(Cap. 21.) Τὸ δὲ δὴ πάντων μέγιστον· ἤδη γὰρ σύνεγγυς ὄντα τοῖς πολεμίοις αὐτὸν εἰς ὀκτὼ ποιῆσαί φησι τὸ βάθος. Ἐξ οὗ δῆλον ὅτι κατ' ἀνάγκην ἐπὶ τετταράκοντα σταδίους ἔδει γενέσθαι τὸ μῆκος τῆς φάλαγγος. Εἰ δ' ὅλως συνήσπισαν κατὰ τὸν ποιητὴν οὕτως ὥστε συνερεῖσαι πρὸς ἀλλήλους, ὅμως εἴκοσι σταδίων ἔδει τὸν τόπον ὑπάρχειν. Αὐτὸς δέ φησι λείπειν τῶν δεκατεσσάρων σταδίων. Καὶ τούτου μέρος μέν τι πρὸς θαλάττῃ** τοὺς ἡμίσεας ἐπὶ τοῦ δεξιοῦ· ἔτι δὲ τὴν ὀθλην τάξιν ἀπὸ τῶν ὀρῶν ἱκανὸν τόπον ἀφεστάναι πρὸς τὸ μὴ τοῖς πολεμίοις ὑποπεπτωκέναι τοῖς κατέχουσι τὰς παρωρείας. Ἴσμεν γὰρ ὃ ποιεῖ πρὸς τούτους ἐπικάμπιον. Ὑπολειπόμεθα καὶ νῦν ἡμεῖς τοὺς μυρίους πεζοὺς πλείους ὄντας τῆς ἐκείνου προθέσεως. Ὥστ' ἐκ τούτων ἕνδεκα σταδίους ἐπὶ τὸ πλεῖον ἀπολείπεσθαι τὸ τῆς φάλαγγος μῆκος κατ' αὐτὸν τὸν Καλλισθένην, ἐν οἷς ἀνάγκη τοὺς τρισμυρίους καὶ δισχιλίους ἐπὶ τριάκοντα τὸ βάθος ὑπάρχειν συνησπικότας. Ὁ δέ φησιν εἰς ὀκτὼ τεταγμένων γενέσθαι τὴν μάχην. Τὰ δὲ τοιαῦτα τῶν ἁμαρτημάτων οὐδ' ἀπολογίαν ἐπιδέχεται· τὸ γὰρ ἀδύνατον ἐν πράγμασιν** αὐτόθεν ἔχει τὴν πίστιν. Διόπερ ὅταν καὶ τὰ κατ' ἄνδρα διαστήματα καὶ τὸ πᾶν τοῦ τόπου μέγεθος ὡρισμένον ὑποθῶσι καὶ τὸν ἀριθμὸν τῶν ἀνδρῶν, ἀναπολόγητον γίγνεται τὸ ψεῦδος.

(Cap. 22.) Τὰ μὲν γὰρ ἅμα τούτοις ἀλογήματα μακρὸν ἂν εἴη λέγειν πάντα πλὴν τελείως ὀλίγων. Φησὶ γὰρ τὸν Ἀλέξανδρον σπουδάζειν κατὰ τὴν τάξιν, ἵνα κατὰ τὸν Δαρεῖον αὐτὸν ποιήσηται τὴν μάχην. Ὁμοίως δὲ κατὰ μὲν ἀρχὰς καὶ τὸν Δαρεῖον αὐτὸν βούλεσθαι κατὰ τὸν Ἀλέξανδρον, ὕστερον δὲ μετανοῆσαι. Πῶς δ' ἐπέγνωσαν ἀλλήλους οὗτοι, ποῦ τῆς ἰδίας δυνάμεως ἔχουσι τὴν τάξιν, ἢ ποῦ μετέβη πάλιν ὁ Δαρεῖος, ἁπλῶς οὐδὲν λέγεται. Πῶς δὲ προσανέβη πρὸς τὴν ὀφρὺν τοῦ ποταμοῦ φαλαγγιτῶν τάξις ἀπότομον οὖσαν καὶ βατώδη; Καὶ γὰρ τοῦτο παρὰ λόγον. Ἀλεξάνδρῳ μὲν οὖν οὐκ ἐποιστέον τὴν τοιαύτην ἀτοπίαν ὁμολο-

---

tus aperire in subjecta planitie, ut pars maxima Persarum fugientium in cavis illis perierit. At, hercules, voluit Alexander, parata suorum ut acies in conspectum hostium veniret. Quasi vero potuerit quidquam esse imparatius ea phalange, cujus frons esset dissoluta et divulsa. Quanto namque facilius erat futurum, ex agmine ad iter composito aciem phalangis instruere, quam interruptas in fronte et divulsas copias ad priorem figuram lineamque rectam revocare, atque in locis silvosis et anfractis apte ad pugnam eos dirigere? Erat igitur profecto longe satius, divisas copias ducere, in duo vel etiam quattuor agmina partitas, quæ se aliud post aliud sequerentur; quandoquidem et viæ ad ita faciendum iter aptæ poterant inveniri, et legitimam repente instruere aciem facile erat futurum; quum præsertim per præcursores sciri multo ante hostis adventus posset. At hic, ut alia taceam absurda, quum per loca plana exercitum fronte æquata duceret, ne equites quidem præeuntes fecit, sed peditibus eos exæquavit.

Omnium vero absurdissimum est, quod ait, Macedonem, quum proxime ab hostibus abesset, altitudinem aciei fecisse octonûm militum. Ex quo consequitur, phalangem illam stadia quadraginta necessario in longitudinem patuisse. Sed demus sic constipatam fuisse aciem, quod ait poeta, ut conferti invicem hærerent, omnino tamen stadiorum viginti locum illum esse oportuit. At ipse ait minorem fuisse stadiis quattuordecim. Et hujus quidem partem aliquam propter mare*** dimidium hujus numeri in dextro cornu; quin etiam scribit idem aciem universam a montibus idoneo spatio fuisse distantem, ne hosti, qui radices montis obtinebat, subjiceretur. Scimus sane dicere illum partem aciei Alexandri retrorsum ad latus fuisse inflexam. Idcirco etiam nos hic relinquimus in eum usum decem peditum millia, qui major est numerus quam ipsius ratio desiderat. Ex istis tandem sequitur, vel ipso auctore Callisthene, pro phalangis longitudine stadia ad summum undecim relinqui: intra quod intervallum necesse est aciem duorum et triginta millium hominum tricenos milites consertis clypeis constipatos in altitudine habuisse. At ille ait altitudinem acici octonûm fuisse hominum, quum est pugnatum. Sunt vero hoc genus peccata ejusmodi, ut excusationem nullam prorsus admittant. Nam quod per rerum naturam fieri non potest,** ipsum per se fidem invenit. Quoties igitur aliquis viritim ponit intervallum, et certam loci mensuram designat, numerum item hominum: hic si mentiatur, nulla ratione potest excusari.

Jam quæ his subjecit absurda alia, commemorare longum sit: pauca tantum afferemus. Ait Alexandrum in ordinanda acie summo studio id operam dedisse, ut cum ea parte hostilis aciei pugnam capesseret, in qua Darius ipse staret: et similiter Darium quoque initio ex adverso Alexandri pugnare voluisse, mox vero sententiam mutasse. At quomodo dignoscere sese invicem reges potuerint, et rescire, in qua parte exercitus sui uterque stationem cepisset, et quo tandem post mutatam sententiam Darius transierit, nihil plane horum dicitur. Præterea, qui potuit phalanx ordinata amnis supercilium præruptum et spinis obsitum ascendere et superare? Nam et hoc quis credat? Hujusmodi igitur manifestæ absurditatis Alexandrum damnare, nefas

γουμένην, παραλαμβάνοντας περὶ αὐτοῦ τὴν ἐν τοῖς πολεμικοῖς ἐμπειρίαν καὶ τριβὴν ἐκ παιδὸς, τῷ δὲ συγγραφεῖ μᾶλλον, ὃς διὰ τὴν ἀπειρίαν οὐδὲ τὸ δυνατὸν ἐν τοῖς τοιούτοις δύναται διευκρινεῖν. Περὶ μὲν οὖν Ἐφόρου καὶ Καλλισθένους ταῦθ' ἡμῖν εἰρήσθω.

34.

Aristotel. Mirab. 132 : Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. Οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθὲς, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν.

Laudatur præterea Callisthenes cum reliquis rerum Alexandri scriptoribus in Elencho auctorum ad Plin. H. N. lib. XII et XIII, ubi de arboribus sermo est. Porro apud Epiphanium Adv. hæres. I, 3, nominatur inter eos, qui de natura atque vi plantarum verba fecerint. Quare singularem quendam Περὶ φυτῶν librum a Callisthene scriptum putat Westermannus, præter necessitatem.

(35.)

Steph. Byz : Χαλκεῖα, πόλις Λιβύης· ὁ Πολυΐστωρ ἐν Λιβυκῶν τρίτῳ, ὡς Δημοσθένης (καὶ Καλλισθένης conj. Westerm.), ᾧ μεμφόμενος Πολύβιος ἐν τῷ δωδεκάτῳ, ὧδε γράφει· Ἀγνοεῖ δὲ μεγάλως καὶ περὶ τῶν Χαλκείων. Οὔτε γὰρ πόλις ἐστὶν, ἀλλὰ χαλκουργεῖα.

De Demosthene, κτίσεων scriptore et Βιθυνιακῶν, cogitavit Schweighæuser.; notiorem historicum sibi postulans sua invexit Westermannus; de Timosthene Rhodio cogitavit Geier.; possis etiam Demostheni substituere Democharem (in Agathoclis historia), de quo dixisse Polybium libro duodecimo constat. Sed hæc omnia arbitraria sunt. Χαλκεῖα ista intelligenda esse τὰ χαλκωρύχια Mauritaniæ quorum Strabo XVII, p. 830 et Ptolemæus IV, 14 meminerunt, censet Schweighæuser.

36.

Plutarch. Alex. c. 27 : Ἐν γοῦν τῇ τότε (εἰς Ἄμμωνος) πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα τῶν ὑστέρων χρησμῶν ἐπιστεύθη μᾶλλον· τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξε. Πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι τόν τε τῆς δίψης φόβον ἔλυσαν καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμου, νοτερᾶς γενομένης καὶ πρὸς αὑτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. Ἔπειτα τῶν ὀρῶν, οἵπερ ἦσαν τοῖς ὁδηγοῖς, συγχυθέντων καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες· ὃ δὲ ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησὶ, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ καὶ κλάζοντες εἰς ὄρθιον καθίστασαν τῆς πορείας. Ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἦκεν εἰς τὸν τόπον, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος ἀπὸ τοῦ θεοῦ χαίρειν, ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δὲ ἐπήρετο, μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς φονέων. Εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυνθάνετο, τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρημένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ δίδωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. Χρήσαντος δὲ τοῦ θεοῦ καὶ τοῦτο διδόναι καὶ Φίλιππον ἀπέχειν ἔκπλεω τὴν δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι λαμπροῖς καὶ χρήμασι τοὺς ἀνθρώπους. Ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν.

Strabo XVII, p. 813 : Τὸ ἐν Ἄμμωνι σχεδόν τι

---

profecto fuerit; quem et disciplina et usu rerum bellicarum a puero imbutum fuisse accepimus : sed scriptorem potius hominem adeo imperitum, ut ne quidem, quid fieri in talibus queat aut nequeat, internoscere potuerit. Ac de Ephoro quidem et Callisthene hæc a nobis dicta sufficiant.

34.

In una ex insulis, quas Æoli nominant, multas nasci palmas, indeque eam Phœnicoden appellari tradunt. Falsum igitur esse videtur quod Callisthenes dicit, a Phœnicibus, qui Syriæ oram incolant, arborem istam nomen habere.

35.

Chalcea, urbs Libyæ; (Alexander) Polyhistor Libycorum tertio, uti etiam Demosthenes (?), quem reprehendens Polybius libro duodecimo sic scribit : De Chalceis quoque errat vehementer; neque enim urbs est Chalcea, sed æris officinæ.

36.

Quas in illo (ad Ammonem) itinere difficultatibus ejus dii opes attulerunt, hæ quam insecuta oracula fidem invenierunt majorem : immo oraculis hæ quodammodo fidem astruxere. Primum enim cœlestes aquæ et largi excussi imbres sitis timorem discusserunt, ariditateque exstincta sabuli irrigati et jam compactiores liquidum aerem reddiderunt et puriorem. Deinde confusis, quibus duces itineris utebantur, notis quum erraret agmen per ignorantiam atque ab itinere deflecteret : corvi oblati duces præbuerunt se. Si agmen sequebatur, incitatis antecedebant pennis : sin incederet lentius et tardius, opperiebantur. Quod vero miraculum superabat omne, ut auctor est Callisthenes, vocibus et crocitu, si qui nocte aberrarent, hos revocabant atque ad vestigium viæ reducebant. Ut emensus solitudinem quo tendebat venit, vates Ammonis eum dei nomine ut parentis salutavit. Ille quæsivit an interfectores parentis sui omnes pœnas dedissent. Cui vates : Dii meliora, respondit, neque enim tuus mortalis parens est. Ita varians rex rogavit, omnesne Philippi punivisset percussores? hinc de imperio, an dominatum sibi omnium gentium concederet. Quum deus ostendisset et hoc annuere se et Philippi peractam plene ultionem : deum magnificis donis, et sacerdotes honoravit pecunia. Hæc de oraculis tradunt plerique.

ἐκλέλειπται χρηστήριον, πρότερον δὲ ἐτετίμητο. Δηλοῦσι δὲ μάλιστα τοῦτο οἱ τὰς Ἀλεξάνδρου πράξεις ἀναγράψαντες, προστιθέντες μὲν πολὺ καὶ τὸ τῆς κολακείας εἶδος, ἐμφαίνοντες δ' ὅ τι καὶ πίστεως ἄξιον. Ὁ γοῦν Καλλισθένης φησὶ τὸν Ἀλέξανδρον φιλοδοξῆσαι μάλιστα, ἀνελθεῖν δὲ ἐπὶ τὸ χρηστήριον, ἐπειδὴ καὶ Περσέα ἤκουσε πρότερον ἀναβῆναι καὶ Ἡρακλέα· ὁρμήσαντα δ' ἐκ Παραιτονίου καίπερ νότων ἐμπεσόντων βιάσασθαι, πλανώμενον δ' ἀπὸ τοῦ κονιορτοῦ σωθῆναι γενομένων ὄμβρων καὶ δυοῖν κοράκων ἡγησαμένων τὴν ὁδὸν, ἤδη τούτων κολακευτικῶς λεγομένων. Τοιαῦτα δὲ καὶ τὰ ἑξῆς· μόνῳ γὰρ δὴ τῷ βασιλεῖ τὸν ἱερέα ἐπιτρέψαι παρελθεῖν εἰς τὸν νεὼν μετὰ τῆς συνήθους στολῆς, τοὺς δ' ἄλλους μετενδῦναι τὴν ἐσθῆτα, ἔξωθέν τε τῆς θεμιστείας ἀκροάσασθαι πάντας πλὴν Ἀλεξάνδρου, τοῦτον δ' ἔνδοθεν εἶναι, οὐχ ὥσπερ ἐν Δελφοῖς καὶ Βραγχίδαις τὰς ἀποθεσπίσεις διὰ λόγων, ἀλλὰ νεύμασι καὶ συμβόλοις τὸ πλέον, ὡς καὶ παρ' Ὁμήρῳ (Il. I, 528)

ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,

τοῦ προφήτου τὸν Δία ὑποχρινομένου· τοῦτο μέντοι ῥητῶς εἰπεῖν τὸν ἄνθρωπον πρὸς τὸν βασιλέα, ὅτι εἴη Διὸς υἱός. Προστραγῳδεῖ δὲ τούτοις ὁ Καλλισθένης, ὅτι τοῦ Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις μαντεῖον ἐκλελοιπότος, ἐξ ὅτου τὸ ἱερὸν ὑπὸ τῶν Βραγχιδῶν σεσύληται ἐπὶ Ξέρξου περσισάντων, ἐκλελοιπυίας δὲ καὶ τῆς κρήνης, τότε ἥ τε κρήνη ἀνάσχοι καὶ μαντεῖα πολλὰ οἱ Μιλησίων πρέσβεις κομισθέντες * εἰς Μέμφιν περὶ τῆς ἐκ Διὸς γενέσεως τοῦ Ἀλεξάνδρου καὶ τῆς ἐσομένης περὶ Ἄρβηλα νίκης καὶ τοῦ Δαρείου θανάτου καὶ τῶν ἐν Λακεδαίμονι νεωτερισμῶν. Περὶ δὲ τῆς εὐγενείας καὶ τὴν Ἐρυθραίαν Ἀθηναΐδα φησὶν ἀνειπεῖν· καὶ γὰρ ταύτην ὁμοίαν γενέσθαι τῇ παλαιᾷ Σιβύλλῃ τῇ Ἐρυθραίᾳ. Τὰ μὲν δὴ τῶν συγγραφέων τοιαῦτα.

De corvis cf. Ptolemæi Lag. fr. 7. De Branchidarum oraculo vide Soldau (*Das Orakel der Branchiden*) in *Zeitschrift. f. Alterthuss.* 1841, nr. 66-67. — ἐπὶ Ξέρξου περσ.] Cf. Strabo XI, p. 518; XIV, p. 634; Plutarch. De ser. num. vindict. c. 12; Suidas v. Βραγχίδαι; Curtius VII, 5. Ceterum pro Xerxe dicendus fuit Darius (v. Herodot. VI, 19).

37.

Plutarch. Alex. 33 de pugna ad Arbela : Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέῤῥωσαν αὐτὸν βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν τῇ δεξιᾷ παρεκάλει τοὺς θεούς, ὡς Καλλισθένης φησίν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας.

Id. ibid. : Non evasurus fuisset Darius, nisi Parmenio Alexandrum retraxisset : Ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον, εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶ, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα.

« Ex priore loco, Geierus ait, satis apparet, data opera Callisthenem ad divinam Alexandri originem respexisse. Etenim revera talia ab Alexandro dicta esse quis crediderit! »

38.

Strabo XI, p. 531 : Οὗτος μὲν οὖν ὁ λόγος περὶ τοῦ Ἀράξου ποταμοῦ ἔχει τι πιθανὸν, ὁ δὲ Ἡροδότειος (lib I, c. 202) οὐ πάνυ. Φησὶ γὰρ ἐκ Ματιηνῶν αὐτὸν ῥέοντα εἰς τετταράκοντα ποταμοὺς σχίζεσθαι,

---

Ammonis oraculum fere desertum est, prius autem in honore fuit. Id inprimis declarant rerum Alexandri scriptores, qui quamquam adulandi gratia non pauca adjecerunt, indicant tamen etiam quæ credenda sint. Callisthenes igitur narrat, Alexandrum ambitione quadam inductum ad id oraculum contendisse, quod audiisset Perseum quoque et Herculem prius eo ascendisse; atque e Parætonio profectum, quamquam austrinis incidentibus flatibus, pertendisse, et quum per pulverem vagaretur, imbrium superventu et duorum corvorum, qui iter commonstrassent, servatum esse : quæ ipsa jam adulatorie dicuntur. Similia sunt quæ sequuntur. Soli scilicet regi a sacerdote concessum, ut in templum ingrederetur habitu consueto : ceteros vestem mutare jussos, et foris oraculum audivisse omnes præter Alexandrum, qui ingressus intro fuerit. Responsa non, ut apud Delphos et Branchidas, verbis, sed magna ex parte nutu et signis, quemadmodum apud Homerum

Dixit cæruleisque superciliis pater almus Annuit,

a vate data Jovem imitante. Hoc tamen expresse eum regi divisse, esse ipsum Jovis filium. His Callisthenes tragice rem exaggerans addit, quum Apollo Branchidarum oraculum deseruisset inde ab eo tempore, quo templum a Branchidis Xerxem (Darium) sequentibus spoliatum fuit, quumque fons defecisset : et hunc tum denuo scaturiisse, et Milesiorum legatos Memphim profectos multa responsa attulisse de nato e Jove Alexandro, de futura apud Arbela victoria, de Darii morte, de rebus Lacedæmone novatis. De generis vero nobilitate etiam Erythræam Athenaidem effatam, quæ antiquæ illi Erythrææ Sibyllæ similis fuisset. Talia sunt quæ a scriptoribus traduntur.

37.

Ibi Thessalos longa oratione adhortatus atque reliquos Græcos, ubi alacres se ostenderunt conclamantes, duceret in Barbaros : trajecta in sinistram lancea deorum opem invocavit, ut auctor est Callisthenes, precatus : si vere satus Jove esset, ut Græcis adessent dexteri et propitii.

Omnino enim Parmenionem insimulant in prœlio isto ad Arbelam segnem se præbuisse et difficilem, sive quod senium jam cœperit audaciam ejus resolvere, sive quod, ut Callisthenes dicit, magnificentiam et tumorem Alexandri potentiæ ægre tulerit et invidiose.

38.

Hæc de Araxe narratio habet aliquid probabilitatis, Herodoti non item. Is enim dicit eum a Matianis fluentem in

μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς. Καὶ Καλλισθένης δὲ ἠκολούθησεν αὐτῷ.

Hæc ad Periplum refert Westermannus, ad Alexandri historiam Geierus, Callistheni statuens pro more suo digrediendi occasionem Araxis fluvii describendi dedisse ejusdem nominis flumen, quod apud Persepolin vidisset. « Attigit vero Araxem, pergit, etiam Medius Thessalus (fr. 1) et Curtius IV, 5, 4 : *transeundum esse Alexandro Euphraten Tigrimque et Araxen et Hydaspen, magna munimenta regni sui* (cf. V, 4, 7; 7, 9; VII, 3, 19). Qui locus sive cum Mützellio de Persico sive cum Cellario de Armenico, sive, id quod nobis quidem maxime probabile videtur, de ipso hoc Bactriano Araxe vel potius Iaxarte intelligitur, satis docet, quam facile Callisthenes in Alexandri rebus conscribendis, etiamsi prius substiterit quam ad illum Bactrianum flumen perventum est, mentionem ejus facere potuerit. Ceterum et Herodotum l. l. c. 202 et Callisthenem, qui eum secutus est, Araxen cum Iaxarte male confudisse, recte animadvertit Bæhrius ad Herodot. l. l. » Plura de Iaxarte variis nominibus appellato et cum aliis fluviis confuso vide ap. Forbiger. *Geogr.* II, p. 77 et ap. eos qui ibi laudantur.

ΠΕΡΙΠΛΟΥΣ.

39.

Schol. Apoll. Rh. II, 672 : Περὶ τῆς Θυνιάδος νήσου προείρηται, ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης. Φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίους ἔχειν τὴν περίμετρον. Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων Θυνίαν (Βιθυνίαν Unger. in *Zeitschrift f. Alterthwiss.* 1844, nr. 30, p. 236.)

40.

Id. ibid. I, 1037, postquam de pugna nocturna, quam Cyziceni cum Argonautis commiserunt, secundum Deiochi (fr. 6) narrationem exposuerat, addit : Καλλισθένης δὲ ἐν τῷ πρώτῳ τοῦ Περίπλου κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις.

Duobus his scholiastæ locis fisus Westermannus tantum non omnia quæ de rebus geographicis ex Callisthene traduntur, ad Peripli libros retulit (fr. 30–43 ap. Westerm.), atque hunc in modum disposuit : *Pontus :* fr. 38, 29 ex nostra dispositione; *Paphlagonia* : fr. 26; *Bithynia :* fr. 28, 39; *Mysia :* fr. 40, 20, *Lydia :* fr. 21 ; *Ionia :* fr. 25; *Caria :* fr. 23; *Lycia :* fr. 24; *Pamphylia :* fr. 26; *Cilicia :* fr. 30, 31.

Itaque quinque tantum vel sex fragmenta Commentariis de rebus Alexandri relinquuntur. Contra hæc Geierus p. 215 : « Miramur quod Westermannus quæcunque vel apud Strabonem vel apud alium veterem auctorem de Asiæ regionibus, quas Alexander peragravit, ex Callisthene afferuntur, libro quidem unde hæc deprompserint non indicato, ad Periplum istum, si diis placet, Callisthenis *Olynthii* referenda opinatus est id genus omnia, quamquam addit : « nonnulla eorum si quis ad *Persica* (i. e. Historiam Alexandri) potius trahere mallet, fortasse non repugnarem. » At nos quidem ne illud quidem largiri possumus viro eruditissimo, quod dicit admodum difficile esse definitu, ad Periplum an ad Persica pertineant, quæ pro natura sua ad utrumque librum putat posse pertinere. Quid multa? Periplum istum neque ab *Olynthio* neque ab *Sybarita* Callisthene proditum esse arbitramur, sed iis adnumerandum esse scriptionibus persuasum habemus, quæ multo post Alexandrum M. Ptolemæorum potissimum posteriorum ætate de insulis et oppidis ad oram maritimam sitis aliisque id genus rebus geographicis concinnatæ celebrioris cujusdam auctoris nomine et Periplorum et Paraplorum titulo inscriptæ pervulgari solebant, qualis erat Jubæ Mauritani (v. fr. 26 Onesicriti) et quales aliæ haud paucæ, de quibus uberius commentatus est Dodwellus (Geogr. Min. tom. 1, De Arriani Nearcho p. 140). Callisthenis autem nomine præ ceteris fictitio abusos esse posterioris ævi scriptores comprobatur etiam fabulis istis de Alexandro M. eundem Pseudo-Callisthenis titulum in fronte gerentibus. A Callisthene autem Olynthio Periplum conscriptum esse negamus atque pernegamus, primum quod ante expeditionem Indicam nulla ab Alexandro, qui ne classe quidem tunc temporis uteretur, navigatio est instituta, quæ a quoquam ejus comitum potuisset enarrari; dein quod etiamsi et ab Alexandro instituta et ab Olynthio enarrata esset ejusmodi navigatio, vix ac ne vix quidem esset credibile eam ab reliquis Alexandri rerum commentariis ab eodem Callisthene con-

---

quadraginta scindi fluvios, et Scythas a Bactrianis dividere : Herodotum tamen etiam Callisthenes secutus est.

39.

Nymphis Heracleota Thyniadem insulam, septem stadiorum circuitu esse dicit. Callisthenes vero in Periplo regionem illam atque insulam a Græcis quidem dici Thyniadem, a Barbaris vero Thyniam (*Bithyniam?*).

40.

Callisthenes Peripli libro primo dicit Cyzici incolas hostili animo nocturnas Argonautis struxisse insidias.

scriptis separatim esse editam; denique quod ipsis temporis angustiis prohibitus erat Olynthius, quominus præter Hellenica, quod opus dum Alexandrum comitaretur eum composuisse recte vidit Westermannus, et præter Persica aliud literarum monumentum, nedum geographicum susciperet elaborandum. » Hæc Geierus. Mihi quoque Periplus a nostro Callisthene alienus esse videtur. Nisi fallor, Callisthenes qui a schol. ad Apoll. II, 672 cum Nymphide componitur, idem est atque Callistratus, quem cum eodem Nymphide idem componit schol. ad II, 780 (ὡς Νύμφις καὶ Καλλίστρατος), ac præterea Stephan. Byz. de Hypio fluvio Pontico (v. Nymphid. fr. 4). Utrumque, et Nymphidem et Callistratum, Περὶ Ἡρακλείας scripsisse constat; Nymphidi etiam periplus Ἀσίας tribuitur ab Athenæo XIII, p. 596, si genuina lectio est; de Callistrato, Nymphidis imitatore, id non habemus testatum, etsi ex iis, quæ de regionibus et urbibus Ponticis ex eo traduntur, Ponti periplum aliquis elicere conetur. — Ceterum Callisthenis et Callistrati (Aristophanei) nomina etiam ap. Suidam v. Ἀναρᾶσθαι et ap. Harpocration. v. ἀναγκαῖον confusa esse recte procul dubio statuit Reinesius, probante etiam Westermanno. Vide quæ ad calcem fragmentorum Callisthenis adscripsimus pag. 32.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

41.

Pollux Onom. IX, 6, 93 : Ἦν δέ τι καὶ νομίσματος εἶδος οὕτως (sc. Φωκαΐδες) ὀνομαζόμενον. Φησὶ γοῦν ἐν τοῖς Ἀποφθέγμασι Καλλισθένης, ὑπ' Εὐβούλου τοῦ Ἀταρνίτου τὸν ποιητὴν Περσίνον ἀμελούμενον εἰς Μυτιλήνην ἀπελθόντα θαυμάζοντι (sic Kühn.; θαυμάζοντα libri) γράψαι, διότι τὰς Φωκαΐδας, [ἃς interpos. Hemsterh.] ἔχων ἦλθεν, ἥδιον ἐν Μυτιλήνῃ μᾶλλον ἢ ἐν Ἀτάρνῃ καταλλάττει.

Περσίνον] in aliis libris Πέρσιον, Γέρσιον. Persinum quendam, Milesium poetam, inter Orphicos recenset Suidas v. Ὀρφεύς e lectione codd. A et E. Hesych.: Φωκαΐς... τὸ κάκιστον χρυσίον. Cf. Bœckh. *Staatshaush.* I, p. 24 sq. — Hemsterhus. : « Videtur Persinus ille invitatus Atarnam ab Eubulo, apud quem dum moratur, de suis sibi divitiis vivendum esse quum videret, Mytilenas Eubulo relicto concessisse; neque injuria, siquidem evocatis a regibus eruditis viris omni modo honorem haberi mos obtinuerit. » — Ceterum Callisthenem Pollucis Olynthium esse placuit Westermanno : « Ἀποφθέγματα ab Olynthio scripta esse posse, ait, non est quod dubitemus, quum paullo post Lynceus Samius, item Peripateticus, ejusdem argumenti librum composuerit... Imo hunc potius quam Sybaritam sive alium auctorem credere malit aliquis propterea, quod quæ hinc affert Pollux spectant ad Eubulum, Atarnei tyrannum, cui Hermias postquam, ut ait Strabo XIII, p. 611, per aliquod tempus socius imperii fuerat, deinde solus imperavit atque Aristotelem Athenis accivit, eique filiam fratris in matrimonium dedit : ab hoc autem dictum poetæ ceterum ignoti Callisthenem accepisse admodum verisimile est, imo ipse fortasse ibi certior factus, si verum est, quod suspicati sumus, Aristotelem discipulum secum Atarneum duxisse. »

ΜΑΚΕΔΟΝΙΚΑ.

42.

E LIBRO TERTIO.

Stobæus Florileg. VII, 65 : Καλλισθένης ἐν τρίτῳ Μακεδονικῶν. Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς δύο καὶ τριάκοντα Χαλκιδικὰς πόλεις τοῖς ἰδίοις ὑποτάξας σκήπτροις Μεθωναίους καὶ Ὀλυνθίους λεηλατεῖν ἤρξατο. Γενόμενος δὲ κατὰ γέφυραν ποταμοῦ Σάρδωνος καὶ εἰς τὸ πέραν διαβῆναι βιαζόμενος ὑπὸ τοῦ πλήθους τῶν Ὀλυνθίων ἐπεσχέθη. Τοξότης δέ τις Ἀστὴρ τοὔνομα τόξον ἐντείνας ἐτύφλωσε τὸν Φίλιππον, εἰπών· Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος. Ἀποβαλὼν δὲ ὁ βασιλεὺς τὸν ὀφθαλμὸν εἰς τὸν ποταμὸν ἑαυτὸν ἔρ-

DICTERIA.

41.

Phocaides etiam numorum species appellatur. Narratque Callisthenes in Dicteriis, Persinum poetam, quum se ab Eubulo Atarnensi neglectum videret, Mytilenas abiisse, idque mirato Eubulo scripsisse Phocaides, quibus ipse instructus venisset, suavius Mytilenis quam Atarnæ permutari.

MACEDONICA.

42.

E LIBRO TERTIO.

Callisthenes in Macedonicorum libro tertio : Philippus Macedonum rex quum duas et triginta urbes Chalcidicas in suam redegisset potestatem, Methonæos et Olynthios prædari instituit. Jam quum ad pontem Sardonis fluvii esset et in oppositam ripam vi trajicere tentaret, a multitudine Olynthiorum inhibitus est. Atque sagittarius quidam Aster nomine missa sagitta oculum Philippo excussit dicens : « Aster Philippo letiferum mittit telum. » Amisso rex oculo

ρυψε καὶ πρὸς τοὺς οἰκείους διανηξάμενος τὸν κίνδυνον ἐξέφυγεν.

Plutarchus Parall. min. c. 8 (p. 378 Didot) : Φίλιππος Μεθώνην καὶ Ὄλυνθον βουλόμενος πορθῆσαι καὶ βιαζόμενος ἐπὶ τῷ Σανδάνῳ (sic) ποταμῷ διαβῆναι πέραν, ὑπό τινος τῶν Ὀλυνθίων, Ἀστέρος ὀνόματι, ἐτοξεύθη τὸν ὀφθαλμόν, εἰπόντος·

Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος.

Ὁ δ' ὀπίσω διανηξάμενος πρὸς τοὺς οἰκείους σώζεται ἀπολέσας τὸν ὀφθαλμόν· ὡς Καλλισθένης ἐν τρίτῳ Μακεδονικῶν.

« Certatim historiolam referunt veteres scriptores, sed breviter plerique, velut Demosth. De coron. p. 247, § 67; Strabo VII, p. 330; VIII, 374; Diodor. XVI, 34; Lucian. De hist. scrib. 38; Themist. p. 284; Ptolem. Heph. ap. Phot. cod. 190, p. 149, a; Harpocrat. v. Μεθώνη; Eustath. ad Il. II, p. 248; Suidas v. Κάρανος; Justin. VII, 6; Plin. H. N. VII, 37; Solin. c. 8, 5; cf. Palmer. Exercitt. p. 557 sqq. Stobæus unde sua habeat dici nequit; certe si Olynthius auctor est, neque ipsa ejus verba, neque veram ex omni parte et integram historiam habemus. Integram ac veriorem adponam ex Suida : Μεθωναίοις δὲ τοῖς ἐπὶ Θράκης πολεμῶν τὸν ὀφθαλμὸν ἐπηρώθη, Ἀστέρος τινὸς ὄνομα βαλόντος αὐτὸν βέλει, ἐπιγράψαντός τε τῷ βέλει « Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος. » Πρὸς ὃν ἀντιγράψας ἔπεμψε βέλος ὁ Φίλιππος « Ἀστέρα Φίλιππος ἢν λάβῃ χρεμήσεται. » Καὶ ὑποσχόμενος εἰρήνην ἐξήτησε καὶ λαβὼν ἐχρέμασεν. » *Westerm.* Hic Callisthenes Stobæi et Pseudo-Plutarchi, ex mea sententia idem est atque ille cujus Θρακικά et Galatica et Cynegetica et Metamorphoses ex iisdem novimus auctoribus.

43.

Tertullian. De anim. c. 46 : *Et Bardylidem Illyricum a Molossis usque Macedoniam ex somnio dominatum de Callisthene disco.*

« *Bardylidem* scripsi ex conjectura pro eo quod in editionibus inveni, *Baralirem* s. *Balaridem*. Scilicet Bardylis rex erat Illyriorum, quem vicit Philippus Ol. 105, 2. 359. V. Diodor. XVI, 4. Neque ab eo diversus videtur Bardylis Illyrius latro, de quo Theopompum (fr. 35) egisse dicit Cicero De off. II, 11, quemque inter eos, qui infimo loco nati ad summas dignitates pervenerant, Helladius ap. Phot. cod. 279, p. 530 recenset sic: Βράδυλλις δέ τις Ἰλλυριῶν ἀνθρακεὺς γεγονώς. » *Westermann.*

ΘΡΑΚΙΚΑ.

44.

E LIBRO TERTIO.

Plutarchus Parall.. min. c. 31 (p. 385 Didot) : Ἀθηναίων πόλεμον ἐχόντων πρὸς Εὔμολπον, καὶ τῆς εὐθηνίας μὴ ἐπαρκούσης, Πύρανδρος ταμίας τῶν δημοσίων ὑπεσπάσατο τὸ μέτρον, φειδωλῶς χρώμενος· οἱ δ' ἐγχώριοι, ὡς προδότην ὑποπτεύσαντες, λιθόλευστον ἐποίησαν· ὡς Καλλισθένης ἐν τρίτῳ Θρακικῶν.

« Res fabulosa atque si spectes antiquissimam formam imperii Atheniensium, inepte composita. Pro Πύρανδρος Harl. exhibere Χρύσανδρος annotat Wyttenbachius. De bello autem, si tanti est, cf. Strabo VII, p. 321; Pausan. I, 38, 2; Apollodor. III, 15, 4, quem sua partim ex Callisthenis Thracicis hausisse suspicatur Galeus. » Westerm.

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

45.

E LIBRO SECUNDO.

Stobæus Floril. VII, 69 : Καλλισθένης ἐν δευτέρῳ Μεταμορφώσεων. Κατὰ Κελαινάς, πόλιν τῆς Φρυγίας, διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ' ὕδατος γενομένου πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθεῖλκυσε. Τοῦ δὲ δήμου κινδυνεύοντος Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. Τῶν δὲ Κελαι-

---

in fluvium se conjecit et ad suos transnatans periculum effugit.

Philippus Methonen et Olynthum eversurus quum Sandanum (?) fluvium vi trajicere vellet, Olynthius quidam, cui Asteri nomen, sagitta oculum ejus percussit, dicens :

Aster Philippo letiferum mittit telum.

Tum rex natando ad suos reversus, amisso oculo, feliciter evasit. Narrat rem Callisthenes libro tertio De rebus Macedonum.

THRACICA.

44.

E LIBRO TERTIO.

Bello Atheniensium contra Eumolpum, quum non sufficeret commeatus, Pyrander publicus quæstor, parce annonam subministrans, aliquid de mensura deminuit. Cives eum proditionis ideo insimulantes lapidibus obruerunt. Callisthenes tertio Thracicorum.

METAMORPHOSES.

45.

E LIBRO SECUNDO.

Callisthenes in libro secundo Metamorphoseôn narrat Celænis in Phrygia propter iram Jovis Idæi terræ hiatum aqua plenum multas domos cum incolis earum in profundum tractas absorpsisse. Populo itaque in summo discrimine versante, Midas rex oraculum accepit, fore ut coiret rursum terra, si in faucem dejiceret quod pretiosissimum

νιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων καὶ μηδ' οὕτω τοῦ κακοῦ λήξαντος, Ἄγχουρος (Αἰγίστειος Apost. et Arsen. ὁ υἱὸς Μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς ἀνθρωπίνης, ἀναπηδήσας καὶ δοὺς περιπλοκὰς τῷ γεννήσαντι καὶ ἀποταξάμενος τῇ γυναικὶ Τιμοθέᾳ, μεθ' ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη. Ἰσης δὲ γῆς εἰς τὴν φυσικὴν ἁρμονίαν συνελθούσης, Μίδας βωμὸν ἱδρύσατο Διὸς Ἰδαίου, ὃν χρύσεον ἐποίησε χερσὶν ἁψάμενος. Οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθινος γίνεται, τῆς δ' ὡρισμένης προθεσμίας παρελθούσης χρύσεος ὁρᾶται.

Eadem Plutarch. Parall. min. c. 5, p. 377 Didot., Apostol. Prov. I, 79, Arsen. Viol. p. 25. Quis sit hic Callisthenes non constat; Sybaritam esse suspicor, quem ex eodem Stobæo et Plutarcho novimus.

ΚΥΝΗΓΕΤΙΚΑ.

46.

E LIBRO TERTIO.

Plutarch. De fluv. 4, 2 de Gange : Γεννᾶται δὲ παρ' αὐτῷ βοτάνη παραπλησία βουγλώσσῳ, ἣν λειοτριβοῦντες τὸν χυλὸν αὐτῆς τηροῦσιν καὶ νυκτὸς βαθείας τοὺς φωλεοὺς τῶν τίγρεων περιῤῥαίνουσιν, αἱ δὲ διὰ τὴν δύναμιν τῆς ἐκχυθείσης ὑγρασίας προχωρῆσαι μὴ δυνάμεναι θνήσκουσιν, καθὼς ἱστορεῖ Καλλισθένης ἐν γ' τῶν Κυνηγετικῶν.

Callisthenem h. l. eundem habeo cum C. Sybarita, cujus Galatica Plutarchus laudat l. l. c. 6, 3 (v. fr. 47).

ΓΑΛΑΤΙΚΑ.

47.

E LIBRO DECIMO TERTIO.

Plutarch. De fluv. c. 6 : Ἄραρ ποταμός ἐστι τῆς Κελτικῆς, τὴν προσηγορίαν εἰληφὼς παρὰ τῷ ἡρμόσθαι τῷ Ῥοδανῷ· καταφέρεται γὰρ εἰς τοῦτον κατὰ τὴν χώραν τῶν Ἀλλοβρόγων. Ἐκαλεῖτο δὲ πρότερον Βρίγουλος· μετωνομάσθη δὲ διὰ αἰτίαν τοιαύτην. Ἄραρ κυνηγεσίας χάριν εἰς ὕλην προχωρήσας καὶ εὑρὼν τὸν ἀδελφὸν Κελτίβηρον ὑπὸ θηρίων ἀνηλωμένον, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν καιρίως πλήξας ἔβαλεν εἰς τὸν ποταμὸν Βρίγουλον, ὃς ἀπ' αὐτοῦ μετωνομάσθη Ἄραρ. Γεννᾶται δ' ἐν αὐτῷ μέγας ἰχθὺς, Σκολόπιδος (? Κλουπαῖα Stob.) προσαγορευόμενος ὑπὸ τῶν ἐγχωρίων. Οὗτος αὐξανομένης τῆς σελήνης, λευκός ἐστι· μειωμένης δὲ, μέλας γίνεται παντελῶς· ὑπεραυξήσας δ' ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν. Εὑρίσκεται δ' ἐν αὐτῷ λίθος ἐν τῇ κεφαλῇ (ἐν τῇ κεφαλῇ αὐτοῦ λίθος Stob.) χόνδρῳ παρόμοιος ἁλός, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίους νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεδεμένος τῆς σελήνης μειουμένης, καθὼς ἱστορεῖ Καλλισθένης ὁ Συβαρίτης ἐν ιγ' Γαλατικῶν, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφε Τιμαγένης ὁ Σύρος.

Eadem, omissis nonnullis, Stobæus in Florileg. 100, 4, et in Boissonad. An. gr. I, p. 417.

Hunc Callisthenem eundem esse cum eo Galaticorum auctore, quem Stephanus Byz. *Eratosthenem* [cf. not. ad fr. 4] dicit, conjecit Galeus, uti disco ex Bernhardyo Fragm. Eratosth. p. 109, ubi hæc : « Præter solitum perspicax opus Callistheni Galeus attribuit; non enim pervixisse Eratosthenem ad tempora Prusiæ, cujus illic (s. v. Βοὸς κεφαλαί) mentio fiat. Callisthenem unde arripuerit, dicere

---

in humana vita sit. Celænitæ igitur aurum et argentum et mundum mulierum in hiatum dejecerunt. Verum quum ne sic quidem malum cessaret, Anchurus, Midæ filius, reputans secum nihil majoris pretii apud mortales esse vita humana, repente exsiliit, et postquam parentem amplexus et Timotheæ uxori valedixit, concitato equi cursu in hiatum se dejicit. Jam quum coiisset terra et ad naturalem statum rediisset, Midas aram consecrari jussit Jovi Idæo, quam manu tangens auream fecit. Hæc ara eo tempore, quo hiare terram accidit, lapidea, præstituto tempore elapso aurea conspicitur.

DE VENATIONE.

46.

E LIBRO TERTIO.

Nascitur ad Gangen herba, buglosso similis, quam conterunt, et ex succo expresso, quem sedulo servant, profunda nocte tigridum latibula circumlinunt, quæ quum egredi nequeant ob vim effusi humoris, intus moriuntur, ut refert Callisthenes libro tertio De venatione.

47.

E LIBRO DECIMO TERTIO.

Arar fluvius est Galliæ Celticæ, qui denominationem accepit ex eo, quod immisceatur Rhodano; in eum enim labitur juxta regionem Allobrogum. Primum Brigulus dictus est; mutavit vero postea nomen ob hanc causam : Arar venationis causa silvam ingressus, quum fratrem Celtiberum a feris dilaniatum offendisset, ob extremum dolorem postquam letale sibi vulnus inflixerat, in Brigulum se præcipitavit fluvium, qui ab eo Araris nomen sumpsit. Nascitur in eo magnus piscis, ab indigenis clupæa vocatus, qui crescente luna albus est, decrescente vero prorsus niger est. Idem quum in extremam crevit magnitudinem, a propriis spinis interficitur. Porro reperitur in ejus capite lapis grumo salis similis, qui decrescente luna, sinistris corporis partibus applicatus, febres quartanas sanat, uti narrat Callisthenes libro tredecimo Rerum Gallicarum, a quo sumpsit argumentum Timogenes Syrus.

neglexit. « Quare ipse Bernhardyus, Plutarchei loci haud memor, alteri cuidam Eratostheni Galatica tribuit. Quamquam vel propterea Galei sententiam addubitare licet, quod quæ Stephanus ex Eratosthene affert, omnia pertinent, non ad Europæ Galliam, sed ad Asiaticam. — Laudatur Eratosthenes ille hisce locis :

Τολιστόβιοι, ἔθνος Γαλατῶν ἑσπερίων μετοικησάντων ἐκ τῆς Κελτογαλατίας ἐς Βιθυνίαν. Ἐρατοσθένης ἐν πρώτῳ Γαλατικῶν Τολιστοβογίους αὐτούς φησι.

Σπάρταχος, πόλις Θρᾴκης. Ἐρ. ἐν Γαλατικῶν δευτέρῳ.

Διανεῖς, ἔθνος Γαλατικόν. Ἐρ. ἐν δ' Γαλατικῶν.

Ὑρκανία... Ἔστι καὶ Ὑρκάνιον πεδίον τῆς Λυδίας, ὡς Ἐρ. ἐν πέμπτῳ Γαλ.

Βοὸς κεφαλαί, τόπος καθ' ὃν ἐπολέμησε Προυσίας πρὸς Ἄτταλον, ὡς Ἐρ. ἐν ἑβδόμῃ Γαλ.

Ὕρηλα, πόλις Καρίας. Ἐρ. τριακοστῷ τρίτῳ (?) Γαλ.

DUBIA.

48.

Suidas v. Ἀναγκαῖον : Ἰσαῖος [ἐν τῷ πρὸς Ἕρμωνα καὶ Ξενοφῶν Ἑλληνικοῖς (V, 4, 8) addit Harpocrat.] ἀναγκαῖον τὸ δεσμωτήριον καλεῖ. Καλλισθένης δὲ [Καλλίστρατος δὲ Reinesius V. L. III, 366] ἀνώγεων εἶπε, καὶ οὕτω δεῖ μᾶλλον λέγεσθαι.

« Eadem Harpocratio vulgaris, Palat. tamen Ἰσαῖος καὶ Καλλισθ. οὕτω λέγει τὸ δεσμ., qui jure potiore hic audiendus videtur, quum ab eodem Suida v. Βόθυνος iterum copulentur Ἰσ. καὶ Καλλ. » *Bernhardy*. Cf. Suidas v. Ἀνώγεων. Schœmann. in Isæum p. 493.

49.

Suidas : Ἀναρᾶσθαι· ἀντὶ τοῦ καταλύειν τὴν γενομένην ἀρᾶν· οὕτω Καλλισθένης [Καλλίστρατος Vales.].

Eadem Phavorin. p. 175. Cf. Valesius in Ammian. M. 24, 6, p. 292. Valckenaer. in Herodot. VIII, 63.

50.

Harpocratio : Βόθυνος, τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ, οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται. Sic codd. D. et E; vulgo : Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης μνημονεύει τοῦ τόπου. Eadem Suidas. Cf. Zonaras p. 395, et locum Isæi in Bekker. An. p. 173, 26.

51.

Harpocratio : Μυλωθρὸς, ὁ μύλωνα κεκτημένος καὶ ἐργαζόμενος αὐτῷ· Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους πολλάκις. Ἔστι καὶ τοὔνομα παρὰ Καλλισθένει καὶ παρὰ τοῖς Ἀττικοῖς πολλάκις. Sic codd. B. C. G. Bekkeri; reliqui : ἔστι καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα.

48.

Isæus in oratione contra Hermonem et Xenophon in Hellenicis carcerem dicit ἀναγκαῖον, Callisthenes vero ἀνώγεων, idque rectius.

49.

Ἀναρᾶσθαι, resecrare, exsecrationes revocare. Sic Callisthenes.

50.

Βόθυνος, locus quidam proprie sic dictus in via sacra : meminerunt ejus Isæus et Callisthenes.

51.

Μυλωθρός, qui pistrinum possidet et in eo opus facit. Verbum hoc etiam apud Callisthenem et apud Atticos sæpius.

ANAXIMENES LAMPSACENUS.

Quæ de vita Anaximenis veteres tradiderunt hæc sunt :

Strabo XIII, p. 589 : Ἐκ Λαμψάκου δὲ... Ἀναξιμένης ὁ ῥήτωρ.

Diodorus XV, 76, 4 ad Olymp. 103, 3. 366 a. C. : Ὑπῆρξαν δὲ κατὰ τούτους τοὺς χρόνους ἄνδρες κατὰ παιδείαν ἄξιοι μνήμης Ἰσοκράτης τε ὁ ῥήτωρ καὶ οἱ τούτου γενόμενοι μαθηταὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος· ἔτι δὲ Ἀναξιμένης ὁ Λαμψακηνὸς καὶ Πλάτων ὁ Ἀθηναῖος· ἔτι δὲ τῶν Πυθαγορικῶν φιλοσόφων οἱ τελευταῖοι, Ξενοφῶν τε ὁ τὰς ἱστορίας συγγραψάμενος, ἐσχατόγηρως ὤν· Ἀρίστιππός τε καὶ Ἀντισθένης· πρὸς δὲ τούτοις Αἰσχίνης ὁ Σῴττιος ὁ Σωκρατικός.

Aristoteles Olymp. 103, 3 vitæ annum egit duodevicesimum. Similiter Anaximenem quoque tum juvenem adhuc fuisse Aristotele paullo vel antiquiorem vel juniorem verisimillimum est. Diodori testimonio adde Pausaniæ VI, 18, 2, ubi Anaximenem dicit Ἀλεξάνδρῳ τε αὐτῷ καὶ ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει. Eusebius Chron. ad Olymp. 112, 4. 329 : *Anaximenes et Epicurus agnoscebantur*. Cf. Syncell. p. 275, A.

Suidas: Ἀναξιμένης, Ἀριστοκλέους, Λαμψακηνός, ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνὸς καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. Εἴπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις (*). Postrema εἴπετο δὲ κτλ. omittit Eudocia p. 51. Quæ apud Suidam sequuntur petita sunt e Pausania (VI, 18).

De magistris Anaximenis præter Suidam nemo quidquam tradidit; attamen familiaritatem aliquam etiam postea Anaximeni cum Cynico intercessisse ex dicteriis colligi possit, quæ Diogenes in Anaximenem jactasse fertur (*). Etenim narrat Diog. L. VI, 57 : Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθὼν (Διογένης), « Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτώχοις τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις. » Διαλεγομένου ποτὲ αὐτοῦ, τάριχον προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δὲ, « Τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν. » Ceterum ut pinguis Anaximenes, sic in vestitu negligens fuisse videtur, perstringente Theocrito Chio ap. Athenæum I, p. 21, C : Ἕρμιππος δέ φησι Θεόκριτον τὸν Χῖον ὡς ἀπαίδευτον μέμφεσθαι τὴν Ἀναξιμένους περιβολήν (**).

Anaximenem magistrum fuisse Alexandri præter Suidam dicit Valerius Maximus (VII, 3, 4) et Cedrenus p. 130, 53, ubi postquam de Anaximenis *philosophi placitis* locutus est, diversa plane confundens addit : οὗτος ἤκμασε κατὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ Μακεδόνος, οὗτινος καὶ διδάσκαλος γέγονεν. At recte, opinor, Geierus « Cave, ait, ne proprio id sensu de ipsa Alexandri pueri educatione vel institutione accipias, in qua non magis occupatum fuisse Anaximenem quam Callisthenem, cui item Alexandri præceptoris vel rectoris a nonnullis titulum tributum esse videmus, non est operæ pretium pluribus demonstrare. Neque id, quod

(*) Distinguendus a Nostro est Anaximenes Lampsacenus alter, ejus qui res Alexandri scripsit nepos ex sorore. Diogen. L. II, 3 de Anaximene Milesio philosopho locutus : Γεγόνασι καὶ ἄλλοι δύο, Λαμψακηνοί, ῥήτωρ, καὶ ἱστορικός, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ τὰς Ἀλεξάνδρου πράξεις γεγραφότος. De hoc certioris nihil constat. — Lucianus in Herodot. c. 3 (p. 243 ed. Didot.) inter eos qui orationibus Olympiæ habitis brevi gloriam sibi paraverint, nominat Hippiam Eleum, Prodicum Ceum, *Anaximenem Chium*, Polum Agrigentinum. Chium istum Nitzschius Hist. Homer. II, p. 88 eundem habet cum Lampsaceno nostro. Argumentum sententiæ me fugit, nisi fortasse inde, quod Anaximeni cum Theopompo Chio inimicitiæ erant, et quod ejusdem vestitum Chius Theocritus risisse narratur, aliquis colligi voluerit, eum per aliquod tempus in insula hac versatum atque propterea Chium a Luciano nominatum esse. Ego pro apud Lucian. reponendum esse *Xenomedem Chium*. Hunc enim tamquam æqualem eorum, cum quibus ap. Lucianum componitur, novimus e Dionysio Halic. Fusius de hoc Xenomede suo dicemus loco. — *Anaximenem* nescio quem *De picturis antiquis* citat Fulgentius Myth. III, 3 : *Anaximenes, qui de picturis antiquis disserit, in libro secundo ait venationem Actæonem dilexisse : qui quum ad maturam pervenisset ætatem, consideratis venationum periculis, id est quasi nudam artis suæ rationem videns, timidus factus est : unde et cor cervi habere dicitur : unde et Homerus ait*, οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο, *id est* : « *Ebriose, oculos canis habens et cor cervi.* » *Sed dum periculum venandi fugeret, affectum tamen canum non dimisit, quos immaniter pascendo pæne omnem substantiam perdidit : ob hanc rem a canibus suis dilaceratus dicitur esse.* — Apud eundem Fulgentium II, 14 memoratur Anaximander Lampsacenus de interpretatione allegorica Musarum numeri nonarii; ubi aut *Anaximander Milesius* (junior), aut *Anaximenes Lampsacenus*, restituendus esse videtur; atque hoc quidem probabilius. Quæritur an noster An. an alius sit intelligendus.

(*) Diogenes Onesicriti quoque magister fuit. Quo condiscipulatu usum quendam familiarem inter utrumque Alexandri comitem fuisse suspicatur Geierus p. 274.

(**) Vocem περιβολήν Geierus p. 283 interpretatur *circumjectam orationem*. De amictu cogitandum esse recte monet Creuzerus (*Hist. Kunst* p. 386). Similiter Callistratus Aristophaneus Aristarchum perstrinxit ἐπὶ τῷ μὴ εὐρύθμως ἀμπίσχεσθαι, σίροντός τι καὶ τοῦ τοιούτου πρὸς παιδείας ἐξέτασιν (Athen. p. 21, C.).

facile cuiquam in mentem venire possit, Rhetoricam ad Alexandrum ab eo scriptam huc valuisse existimamus. Debuisse potius videtur Anaximenes similiter atque Callisthenes hujus tituli honorem familiari consuetudini, quæ erat aliquamdiu inter senem philosophum et regem juvenem. » — Præter Alexandrum discipulus Anaximenis fuisse dicitur Timolaus. Suidas : Τιμόλαος Λαρισσαῖος ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής· ὃς καὶ ποιητικῶς ἔχων παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικόν... ἔγραψε καὶ ἄλλα τινά (*). — Porro veanisκον τινὰ τῶν Ἀναξιμένους τοῦ ῥήτορος μαθητῶν, coram Antigono rege oraticnem recitantem memorat Plutarchus in Imper. Apophthegm. p. 182, E.

Restat ut apponamus quæ de Anaximene patriæ servatore, deque indole viri tradit Pausanias VI, 18, 2 : Ἐνταῦθα (in Olympia) καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνευρών, ὃς τὰ ἐν Ἕλλησι ἀρχαῖα, καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕστερον Ἀλέξανδρος εἰργάσατο, συνέγραψεν ὁμοίως ἅπαντα· ἡ δὲ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου. Ὑπελίπετο δὲ Ἀναξιμένης τοσάδε ἐς μνήμην. Βασιλέα γὰρ οὐ τὰ πάντα ἥπιον, ἀλλὰ καὶ τὰ μάλιστα θυμῷ χρώμενον, Ἀλεξάνδρου τὸν Φιλίππου, τέχνῃ περιῆλθε τοιᾷδε. Λαμψακηνῶν τὰ βασιλέως τοῦ Περσῶν φρονησάντων ἢ καὶ αἰτίαν φρονῆσαι λαβόντων, ὁ Ἀλέξανδρος, ἅτε ὑπερζέων ἐς αὐτοὺς τῇ ὀργῇ, κακῶν ἠπείλει τὰ μέγιστα ἐργάσεσθαι. Οἱ δὲ ἅτε θέοντες περὶ γυναικῶν τε καὶ παίδων καὶ αὐτῆς πατρίδος, ἀποστέλλουσιν Ἀναξιμένην ἱκετεύειν, Ἀλεξάνδρῳ τε αὐτῷ καὶ ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει. Προσῄει τε ὁ Ἀναξιμένης, καὶ τὸν Ἀλέξανδρον πεπυσμένον, καθ' ἥντινα αἰτίαν ἥκοι, κατομόσασθαί φασιν ἐπονομάζοντα θεοὺς τοὺς Ἑλλήνων, ἢ μὴν αὐτοῦ ταῖς δεήσεσιν ὁπόσα ἐστὶν ἐναντία ἐργάσεσθαι. Ἔνθα δὴ εἶπεν Ἀναξιμένης· Χάρισαί μοι τήνδε, ὦ βασιλεῦ, τὴν χάριν, ἐξανδραποδίσασθαι μὲν γυναῖκας καὶ τέκνα Λαμψακηνῶν, καταβαλεῖν δὲ καὶ ἐς ἔδαφος τὴν πόλιν πᾶσαν, τὰ δὲ ἱερὰ τῶν θεῶν σῴσιν ἐμπρῆσαι. Ὁ μὲν ταῦτα ἔλεγεν. Ἀλέξανδρος δὲ οὔτε πρὸς τὸ σόφισμα ἀντιμηχανήσασθαί τι εὑρίσκων, καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνεμεν οὐκ ἐθέλων Λαμψακηνοῖς (*).

Ib. 5. Φαίνεται δὲ καὶ ἄνδρα ὁ Ἀναξιμένης ἐχθρὸν οὐκ ἀμαθέστατα, ἀλλὰ καὶ ἐπιφθονώτατα ἀμυνάμενος. Ἐπεφύκει μὲν αὐτὸς σοφιστὴς καὶ σοφιστῶν λόγους μιμεῖσθαι· ὡς δέ οἱ διαφορὰ ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου, γράφει βιβλίον ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίοις ὁμοῦ καὶ Θηβαίοις συγγραφὴν λοίδορον. Ὡς δὲ ἦν ἐς τὸ ἀκριβέστατον αὐτῷ μεμιμημένα, ἐπιγράψας τοῦ Θεοπόμπου τὸ ὄνομα τῷ βιβλίῳ, διέπεμπεν ἐς τὰς πόλεις. Καὶ αὐτός τε συγγεγραφὼς ἦν, καὶ τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἐπηύξητο (**). Οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς. Τὰ ἔπη δὲ τὰ ἐς Ἀλέξανδρον οὔ μοι πιστά ἐστιν Ἀναξιμένην τὸν ποιήσαντα εἶναι (***).

De Anaximene Alexandri comite Diog. L. V, 10 : Λέγεται δὲ (Ἀριστοτέλης) διὰ τὴν Καλλισθένους πρὸς Ἀλέξανδρον σύστασιν προσκροῦσαι τῷ βασιλεῖ· κἀκεῖνον ἐπὶ τῷ τοῦτον λυπῆσαι, Ἀναξιμένη μὲν αὐξῆσαι, πέμψαι δὲ καὶ Ξενοκράτει ὦρα. Cujus rei fides penes auctorem esto.

OPERA ANAXIMENIS.

1. Ἱστορίαι.
   a. Ἑλληνικά. Πρῶται ἱστορίαι (fr. 1—6).
   b. Φιλιππικά [Δεύτεραι ἱστορ.] (fr. 7—14).
   c. Τὰ περὶ Ἀλέξανδρον [Τρίται ἱστορ.] (fr. 15—17).
2. Βασιλέων μεταλλαγαί (fr. 18—19).
3. Περὶ Ὁμήρου (fr. 20).
4. Τριπολιτικός.
5. Λόγοι συμβουλευτικοὶ καὶ δικανικοί.
6. Ῥητορικὴ πρὸς Ἀλέξανδρον.

[7. Ἔπη εἰς Ἀλέξανδρον.] Opus spurium. V. Pausan. l. l.

De *Hellenicis*, quæ κατ' ἐξοχὴν sic dicere licet, Diodorus, XV, 89 ad Ol. 104, 3 : Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς τὴν πρώτην (sc. σύνταξιν) τῶν Ἑλληνικῶν ἀνέγραψεν, ἀρξάμενος ἀπὸ θεογονίας καὶ ἀπὸ τοῦ πρώτου γένους τῶν ἀνθρώπων, κατέστροφε δ' εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὴν Ἐπαμινώνδου τελευτήν· περιέλαβε δὲ πάσας σχεδὸν τὰς τε τῶν Ἑλλήνων καὶ Βαρβάρων πράξεις ἐν βίβλοις δώδεκα. — Hæc Pausa-

(*) Eadem ex Pausania Suidas l. l. Cf. Valerius Maximus VII, 3, 4 : *Lampsacenæ urbis salus unius vaframenti beneficio constitit. Nam quum ad excidium ejus summo studio Alexander ferretur, progressumque extra mœnia Anaximenem præceptorem suum vidisset, quia manifestum erat, futurum ut preces suas iræ ejus opponeret, non facturum se quod petisset, juravit. Tunc Anaximenes, « Peto, inquit, ut Lampsacum diruas. » Hæc velocitas sagacitatis oppidum vetusta nobilitate inclytum exitio, cui destinatum erat, subtraxit.* Pro Anaximene et Lampsaco Aristotelem et Stagira ponit ceterum eadem narrans vetus auctor Gallicus in cod. Bibl. Gothanæ. V. Jacobs *Beitræge z. alt. Lit. d. Bibl. zu Gotha*, I, p. 375, citante Geiero.

(**) Nomen maledici hujus auctoris reponendum esse duco ap. Dionys. H. A. R. I, 2, ubi hæc : οὔτε διαβολὰς καθ' ἑτέρων ἐγνωκὼς ποιεῖσθαι συγγραφέων, ὥσπερ Ἀναξίλαος (scr. Ἀναξιμένης) καὶ Θεόπομπος ἐν τοῖς προοιμίοις τῶν ἱστοριῶν ἐποίησαν.

(***) « *Sollte sich in diesem Poem, frage ich, nicht schon einer der Keime der nachher so üppig fortwuchernden Romanenliteratur über diesen Konig finden?* » Creuzer *Hist. Kunst.* p. 387.

(*) Cf. Hesych Miles. p. 54 Orelli. Eustath. Proœm. in Odyss. et p. 1379, 48; 1697, 57, schol. ad Od. 3, 267. Timolai nescio cujus Φρυγιακὰ laudantur ap. Plutarch. De fluv c. 9. Errat procul dubio Roulez ad Ptol. Heph. p. 153, qui historiunculam ap. Plutarch. l. l. narratam esse opinatur Timolai Cyziceni, Platonis discipuli, cujus mentionem injicit Diog. L. III, 46.

nias l. l. significat verbis τὰ ἐν Ἕλλησιν ἀρχαῖα. Sincera inscriptio fuit Πρῶται ἱστορίαι (fr. 1). Altera pars, de rebus Philippi exponens, libros complectebatur minimum octo (fr. 12); tertiæ laudatur liber secundus. Reliquiæ tam tenues sunt, ut accuratius de indole totius operis judicium ferri haud possit. — De libro Βασιλέων μεταλλαγαί inscripto vide notam ad fr. 19. — *De Homero* peculiarem librum Anaximenem scripsisse docemur a Dionysio Hal. De Is. 19 (v. infra). — Τριπολιτικὸς vel Τριχάρανος inscripta erat λοίδορος ista συγγραφή, de qua verba facit Pausanias l. l. Rem præterea testantur Josephus C. Apion. 1, 24, p. 459; Euseb. P. E. p. 491; Syncell. p. 121 ed. Bonn. coll. Lucian. Pseudol. c. 29. Vide quæ diximus in Vit. Theopompi p. LXXIV. — Inter oratores Anaximenes recensetur a Dionysio H. l. l. et in Epist. ad Amm. c. 2. Perduravit memoria orationis, quam Euthiæ scripsit contra Phrynen. Harpocrat. v. Εὐθίας: Ὑπερίδης ὑπὲρ Φρύνης, τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. Τὸν μέντοι λόγον αὐτῷ τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι φησὶν Ἕρμιππος. Athenæus XIII, p. 591, E: Οὐκ ἀγνοῶ δὲ, ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς (Φρύνης) Εὐθίου λόγον Διόδωρος ὁ Περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι. Cf. Ruhnken. Hist. crit. orat. p. 51 ed. Frotscher. 1831. — Artem rhetoricam ad Alexandrum scriptam, quam vulgo Aristoteli tribuebant, Anaximenis nostri esse, hodie communis est fere omnium consensus. Vide Spengel. Συναγ. τεχν. p. 182, Westermann. *Gesch. d. gr. Bereds.* § 68, 69, et qui ibi laudantur, et præ ceteris Spengel. in Prolegg. ad librum: « Anaximenis Ars rhetorica quæ vulgo fertur Aristotelis ad Alexandrum. » 1844.

Anaximenem etiam in historia scribenda rhetorem egisse vel non moniti ex ingenio istorum temporum colligeremus. Testimonia veterum hæc sunt: Plutarch. De ger. rep. c. 6: Ἐπὶ δὲ τῶν Ἐφόρου καὶ Θεοπόμπου ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρατάξαντες, ἔστιν εἰπεῖν·

Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.

Idem VI, 11, 5 : Ἄρβηλα δὲ τοῦ χώρου ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα συγγράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει, οἱ δὲ τὰ ἐλάχιστα, ὅτι ἐς πεντακοσίους. Ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς τῷ ποταμῷ Βουμώδῳ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος. Πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, ἀλλὰ κώμη μεγάλη, οὐδὲ ὀνομαστὸς ὁ χῶρος, οὐδὲ εἰς ἀκοὴν ἦδὺ τὸ ὄνομα. Cf. Diodor. XVII, 53; Curt. IV, 9; Plut. Alex. c. 31; Strabo XVI, p. 738 (quem Aristobulum ob oculos habuisse recte, puto, censet Hülleman.); Itiner. Alex. c. 57; Droysen. l. l. p. 221.

12.

Idem III, 11, 3, de prœlio ἐν Γαυγαμήλοις commisso : Ἐτάχθη δὲ αὐτῷ (sc. Δαρείῳ) ἡ στρατιὰ ὧδε· ἔλω γὰρ ὕστερον ἡ τάξις, ἥντινα ἔταξε Δαρεῖος, γεγραμμένη, ὡς λέγει Ἀριστόβουλος. Sequitur aciei descriptio, quam apud ipsum legas Arrianum.

13.

Athenæus XII, p. 513, F : Κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος καὶ Χάρης διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον.

14.

Strabo XI, p. 509 : Φησὶ δ' Ἀριστόβουλος ὑλώδη, οὖσαν τὴν Ὑρκανίαν ὀρῶν ἔχειν, πεύκην δὲ καὶ ἐλάτην καὶ πίτυν μὴ φύειν, τὴν δ' Ἰνδικὴν πληθύειν τούτοις.

Cf. Diodor. XVII, 89.

Plutarch. Al. c. 46 : Aristobulus nihil tradidit de Amazonibus, quas ad Alexandrum venisse alii narrant. Vide Onesicrit. fr. 5.

15.

Arrian. III, 26, de conjuratione Philotæ. Vide Ptolemæi fr. 10.

16.

Arrian. III, 28, 5 : Τὸ δὲ ὄρος ὁ Καύκασος ὑψηλὸν μέν ἐστιν ὥσπερ τι ἄλλο τῆς Ἀσίας, ὡς λέγει Ἀριστόβουλος, ψιλὸν δὲ τὸ πολὺ αὐτοῦ τό γε ταύτῃ. Μακρὸν γὰρ ὄρος παρατέταται ὁ Καύκασος, ὥστε καὶ τὸν Ταῦρον τὸ ὄρος, ὃς δὴ τὴν Κιλικίαν τε καὶ Παμφυλίαν ἀπείργει, ἀπὸ τοῦ Καυκάσου εἶναι λέγουσι, καὶ ἄλλα ὄρη μεγάλα διακεκριμένα ἀπὸ τοῦ Καυκάσου ἄλλῃ καὶ ἄλλῃ ἐπωνυμίᾳ κατὰ ἔθνη τὰ ἑκάστων. Ἀλλὰ ἔν γε τούτῳ τῷ Καυκάσῳ οὐδὲν ἄλλο ὅτι μὴ τέρμινθοι πεφύκασι καὶ σίλφιον, ὡς λέγει Ἀριστόβουλος· ἀλλὰ καὶ ὡς ἐπῳκεῖτο πολλοῖς ἀνθρώποις καὶ πρόβατα πολλὰ καὶ κτήνη ἐνέμοντο, ὅτι καὶ χαίρουσι τῷ σιλφίῳ τὰ πρόβατα, καὶ εἰ ἐκ πολλοῦ πρόβατον σιλφίου αἴσθοιτο, καὶ θεῖ ἐπ' αὐτὸ καὶ τό τε ἄνθος ἐπινέμεται καὶ τὴν ῥίζαν ἀνορύττον καὶ ταύτην κατεσθίει· ἐπὶ τῷδε ἐν Κυρήνῃ ὡς μακροτάτω ἀπελαύνουσι τὰς ποίμνας τῶν χωρίων ἵνα αὐτοῖς τὸ σίλφιον φύεται· οἱ δὲ καὶ περιφράσσουσι τὸν χῶρον, τοῦ μηδ' εἰ πελάσαιεν αὐτῷ τὰ πρόβατα, δυνατὰ γενέσθαι εἴσω παρελθεῖν, ὅτι πολλοῦ ἄξιον Κυρηναίοις τὸ σίλφιον. Cf. interpr. ad Curt. VII, 3.

10.

Accepto responso sibi, ut dicebat, grato, Alexander in Ægyptum rediit eodem, ut Aristobulus tradit, quo venerat itinere; ut vero Ptolemæus scribit, rectiore via Memphim versus.

11.

Arbela ab eo loco, in quo Darius et Alexander postremo dimicarunt, qui plurimum prodidere, dicunt abesse sexcentis stadiis : qui minimum, quingentis. Sed apud Gaugamela ad flumen Bumodum pugnam eam commissam Ptolemæus et Aristobulus tradunt. Ceterum Gaugamela non oppidum est, sed vicus non magnus, neque locus celebris aut gratum auribus nomen præ se ferens.

12.

Instruxerat Darius (ad Gaugamela) exercitum hoc modo. Descriptio enim aciei, qualem Darius adornaverat, postea in manus venit hostium, ut narrat Aristobulus.

13.

Susa urbem Aristobulus et Chares nomen habere dicunt ex loci amœnitate : *suson* enim Græce *lilium* sonare.

14.

Aristobulus ait Hyrcaniam silvosam esse et quercum ferre, picea, abiete et pinu carere, quibus India abundaret.

16.

Caucasus nulli montium, qui in Asia sunt, altitudine secundus est, ut Aristobulus tradit, nudus tamen utplurimum, in hac saltem parte. Nam latissime porrigitur Caucasus, adeo ut vel Taurum montem, qui Ciliciam Pamphyliamque disterminat, a Caucaso duci velint aliosque montes permagnos, a Caucaso sejunctos alios alia denominatione pro varietate gentium, quæ singulos inhabitant. At in hoc Caucaso nihil præter terebinthum et silphium nascitur, uti tradit Aristobulus. Nihilominus multos incolas habebat, multæque in eo pecudes et armenta pascebantur, quod pecudes silphium amant; et si ex longinquiore loco id per odoratum senserint, citatim eo feruntur, depastoque flore radicem etiam suffodiunt atque arrodunt; eamque ob causam Cyrenæi greges ovium quam longissime ab iis locis arcent, quibus silphium ipsis nascitur : nonnulli etiam sepem obducunt, ne si pecudes propius accedant, ad interiora loca penetrare possint : magno enim apud Cyrenæos in pretio est silphium.

Court. in Annal. Societ. Asiat. Bengal. fasc. 55, 1836.

17.

Strabo XI, p. 509 : Ἀριστόβουλος δὲ καὶ μέγιστον ἀποφαίνει τὸν Ὦξον τῶν ἑωραμένων ὑφ' ἑαυτοῦ κατὰ τὴν Ἀσίαν, πλὴν τῶν Ἰνδικῶν· φησὶ δὲ καὶ εὔπλουν εἶναι (καὶ οὗτος καὶ Ἐρατοσθένης παρὰ Πατροκλέους λαβών) καὶ πολλὰ τῶν Ἰνδικῶν φορτίων κατάγειν εἰς τὴν Ὑρκανίαν Θάλασσαν, ἐντεῦθεν δ' εἰς τὴν Ἀλβανίαν περαιοῦσθαι· καὶ διὰ τοῦ Κύρου καὶ τῶν ἐξῆς τόπων εἰς τὸν Εὔξεινον καταφέρεσθαι.

Eadem, non laudato Aristobulo, Arrian. III, 29, 3, coll. VII, 16, 3. Cf. Varro ap. Plin. VI, 19 : *Adjicit... devehi merces.*

18.

Arrian. III, 30, 5 : Ἀριστόβουλος δὲ (ἀνέγραψε) τοὺς ἀμφὶ Σπιταμένην τε καὶ Δαταφέρνην Πτολεμαίῳ ἀγαγεῖν Βῆσσον καὶ παραδοῦναι Ἀλεξάνδρῳ γυμνὸν ἐν χλοιῷ δήσαντες. Cf. Ptolemæi fr. 11.

19.

Arrian. III, 30, 7 : Ἔνθεν δὲ ἐπὶ τὸν Τάναϊν ποταμὸν προήει (Ἀλέξανδρος). Τῷ δὲ Τανάϊδι τούτῳ, ὃν δὴ καὶ Ἰαξάρτην ἄλλῳ ὀνόματι πρὸς τῶν ἐπιχωρίων καλεῖσθαι λέγει Ἀριστόβουλος, αἱ πηγαὶ μὲν ἐκ τοῦ Καυκάσου ὄρους καὶ αὐτῷ εἰσιν, ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς ἐς τὴν Ὑρκανίαν θάλασσαν.

Cf. Strabo XI, p. 509; Plin. H. N. VI, 16, 18; Itiner. Alex. c. 79; Droysen. l. l. p. 314; Mützell. ad Curt. p. 586 *b*.

20.

Arrian. IV, 3, 5, de sorte incolarum urbis cujusdam, quam in Sogdiana post seditionem incolarum Alexander recuperaverat. Vide Ptolemæi fr. 12.

21.

Arrian. IV, 6, 1, de clade Macedonum ad Maracandam contra Spitamenem missorum : Ἀριστόβουλος δὲ ἐνέδρᾳ τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν Σκυθῶν ἐν παραδείσῳ κρυφθέντων, οἳ ἐκ τοῦ ἀφανοῦς ἐπεγένοντο τοῖς Μακεδόσιν ἐν αὐτῷ τῷ ἔργῳ, ἵνα τὸν μὲν Φαρνούχην παραχωρεῖν τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι Μακεδόσιν, ὡς οὐκ ἐμπείρως ἔχοντα ἔργων πολεμικῶν, ἀλλ' ἐπὶ τῷ καθομιλῆσαι τοῖς βαρβάροις μᾶλλόν τι πρὸς Ἀλεξάνδρου ἢ ἐπὶ τῷ ἐν ταῖς μάχαις ἐξηγεῖσθαι ἐσταλμένον, τοὺς δὲ Μακεδόνας τε εἶναι καὶ ἑταίρους βασιλέως. Ἀνδρόμαχον δὲ καὶ Κάρανον καὶ Μενέδημον οὐ δέξασθαι τὴν ἡγεμονίαν τὸ μέν τι ὡς μὴ δοκεῖν παρὰ τὰ ἐπηγγελμένα ὑπὸ Ἀλεξάνδρου αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν, τὸ δὲ καὶ ἐν αὐτῷ τῷ δεινῷ οὐκ ἐθελήσαντας, εἰ δή τι πταίσειαν, μὴ ὅσον κατ' ἄνδρα μόνον μετέχειν αὐτούς, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. Ἐν τούτῳ δὴ τῷ θορύβῳ τε καὶ τῇ ἀταξίᾳ ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥστε ἱππέας μὲν οὐ πλείονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους.

« Hoc fragmentum cum antecedentibus ita fere cohæret : Alexander ad Tanaim contra Scythas pugnans quum certior esset factus, Macedones Maracandæ relictos a Spitamene oppugnari, contra eum mittit Andromachum, Caranum, Menedemum duces, quibus Pharnuchen Lycium præficit (c. 3, 13 sqq.). Qui quum Spitamenem a Maracandæ oppugnatione recedentem audacius essent insecuti (c. 5, 3 sqq.), secundum ceteros auctores in Polytimeti fluvii insulam compulsi misere perierunt. Eadem exstat narratio apud Auct. Itiner. Alex. c. 86. Ab his igitur Aristobuli fragmentum paululum discrepat; Curtius VII, 7, 31 eatenus certe consentit, quod Spitamenem ad Macedones opprimendos insidiis usum esse perhibet, quamquam Cur-

---

17.

Aristobulus scribit nullum sibi in Asia majorem (Oxo) fluvium visum esse, exceptis fluviis Indicis. Navigatione etiam commodum dicit et hic et Eratosthenes (qui sua e Patrocle sumpsit), multasque Indicas merces per eum devehi in mare Caspium, indeque in Albaniam transportatas, per Cyrum et loca, quæ deinceps sunt, in Pontum Euxinum deferri.

18.

Aristobulus tradit eos qui cum Spitamene et Datapherne erant Bessum Ptolemæo adduxisse, atque ita nudum capistro vinctum Alexandro traditum esse.

19.

Inde ad Tanaim fluvium Alexander profectus est. Hujus fluminis, quod alio nomine Iaxartem a finitimis barbaris appellari Aristobulus ait, fontes ex eodem proveniunt Caucaso. Hic quoque fluvius in Hyrcanium mare exit.

21.

Aristobulus scribit magnam exercitus partem insidiis oppressam fuisse a Scythis, qui in hortis abditi Macedonibus in ipso conflictu ex improviso supervenerunt. Quo quidem loci Pharnuchen præfecturam suam Macedonibus, qui una cum eo missi erant, cedere voluisse, quippe quum rei bellicæ parum peritus esset, quique potius ad sermones cum barbaris conferendos ab Alexandro missus esset, quam ut prœlio ducem ageret : ipsos vero et Macedones et regis amicos esse. Andromachum autem et Caranum et Menedemum imperium recusasse, partim ne viderentur aliquid novi præter mandata regis moliti esse, partim quod in ipso periculo id accipere noluissent, non ignari nimirum si res male gereretur, non tantum pro se quemque mali participem futurum, sed tanquam toto exercitu male administrato culpam in sese redundaturam. In hoc tumultu et perturbatione rerum Scythas in eos irruisse, omnesque occidisse, ita ut equites quadraginta tantum, equites trecenti evaserint.

tium ex Aristobuli commentariis hæc hausisse minime equidem cum Mützellio (ad h. l.) dixerim. Cf. Droysen. Hist. Al. p. 322, n. 53. » Geier. Mützellium errasse Hüllemanus quoque statuit.

22.

Strabo XI, p. 518 : Τὸν δὲ διὰ τῆς Σογδιανῆς ῥέοντα ποταμὸν Πολυτίμητον Ἀριστόβουλος λέγει, τῶν Μακεδόνων θεμένων (καθάπερ καὶ ἄλλα πολλὰ, τὰ μὲν καινὰ ἔθεσαν, τὰ δὲ παρωνόμασαν), ἄρδοντα δὲ τὴν χώραν ἐκπίπτειν εἰς ἔρημον καὶ ἀμμώδη γῆν, καταπίνεσθαί τε εἰς τὴν ἄμμον, ὡς καὶ τὸν Ἄριον τὸν δι' Ἀρίων ῥέοντα.

Cf. Arrian. IV, 6, 10, quem sua ex Aristobulo habere patet; Curtius VII, 10, 2; Droysen. l. l. p. 323 n. 53; Mützell. l. l. p. 704.

23.

Arrian. IV, 8, 9, de Cliti cæde : Ἀριστόβουλος δὲ ὅθεν μὲν ἡ παροινία ὡρμήθη, οὐ λέγει· Κλείτου δὲ γενέσθαι μόνου τὴν ἁμαρτίαν, ὅν γε ὠργισμένου Ἀλεξάνδρου, καὶ ἀναπηδήσαντος ἐπ' αὐτὸν ὡς διαχρησομένου, ἀπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγένετο πρὸς Πτολεμαίου τοῦ Λάγου τοῦ σωματοφύλακος· οὐ καρτερήσαντα δὲ, ἀναστρέψαι αὖθις, καὶ περιπετῆ Ἀλεξάνδρῳ γενέσθαι Κλεῖτον ἀναλοῦντι, καὶ φάναι, Ὅτι οὗτός τοι ἐγὼ ὁ Κλεῖτος, ὦ Ἀλέξανδρε· καὶ ἐν τούτῳ πληγέντα τῇ σαρίσῃ ἀποθανεῖν.

« De Cliti cæde aliis aliter narrata cf. Arr. l. c. 8 init.; Curt. VIII, c. 1, 3 sqq.; Justin. XII, 6; Itiner. Alex. c. 90; Suid. s. v. Μεταξύ. Ad Aristobuli autem narrationem proxime accedunt quæ leguntur apud Plutarch. Vit. Alex. c. 50, 51, qui similiter de ea re existimat atque Arrianus l. c. 9 init. Cf. Cic. Tusc. IV, c. 27 et 37; Seneca De ira c. 17. Epist. 84; Valer. Max. IX, 3; Oros. III, 18; Tatian. Or. ad Græc. c. 3. Quod vero Santo-Crucius *Exam. crit.* p. 347 Aristobuli narrationem eo potissimum consilio fictam esse opinatur, ut omnis ab Alexandro culpa removeatur, ab Aristobuli et indole et fide est alienissimum. Accedit quod etiam secundum reliquos auctores si non sola, gravissima tamen culpa Clito est tribuenda, quod recte vidit Droysenius Hist. Alex. p. 336 sqq., Alexandri culpam rhetorica Curtii expositione quamvis egregia mirifice auctam esse concedit etiam Mützellius in ann. ad Curt. VIII, 5, 5 (p. 730 a). » Geier.

23. *a.*

Athenæus X, p. 434, D, de superbia Callisthenis qui poculum Alexandri repudiarit, vide Charetis Mytilenæi fr. 7.

24.

Arrian. IV, 13, 5, de conjuratione Hermolai ejusque sociorum : Ὡς οὖν περιῆκεν ἐς Ἀντίπατρον ἡ νυκτερινὴ φυλακὴ, ταύτῃ τῇ νυκτὶ ξυγκείμενον εἶναι ἀποκτεῖναι Ἀλέξανδρον, κοιμωμένῳ ἐπιπεσόντας· ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν, ἔστε ἡμέραν πίνειν Ἀλέξανδρον. Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε· Σύραν γυναῖκα ἐφοιτᾶν Ἀλεξάνδρῳ, κάτοχον ἐκ τοῦ θείου γιγνομένην, καὶ ταύτην τὸ μὲν πρῶτον γέλωτα εἶναι Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτόν· ὡς δὲ τὰ πάντα ἐν τῇ κατοχῇ ἀληθεύουσα ἐφαίνετο, οὐκέτι ἀμελεῖσθαι ὑπ' Ἀλεξάνδρου, ἀλλ' εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασιλέα καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἥδη ἐπιστῆναι. Καὶ δὴ καὶ τότε ἀπαλλασσομένου ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα· καὶ Ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτω τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον.

Fusius hæc narrat Curtius VIII, 6, 16. Cf. Itiner. Alex. c. 93, qui sua ex Arriano sumpsisse videtur.

22.

Amnem per Sogdianam fluentem Polytimetum appellari Aristobulus ait, quod nomen Macedones ei dederint (qui etiam alia multa nomina aut nova invenerunt aut vetera commutarunt); eum rigata tellure in solitudinem et arenosam exire terram, absorberique sabulo, sicuti Arium, qui per Ariorum regionem labitur.

23.

Aristobulus unde hæc debacchatio orta sit, non dicit, omnem autem culpam in uno Clito fuisse dicit, quippe qui, quum jam Alexander ira percitus in eum interfecturus prosiliret, ipse per ostium ultra muros et fossam arcis subductus a Ptolemæo Lagi filio corporis custode, continere se non potuerit quin reverteretur : quumque in Alexandrum Cliti nomen inclamantem incidisset eique respondisset, En tibi Clitum, Alexander : tum sarissa ictum periisse.

24.

Quum nocturnæ custodiæ vices ad Antipatrum revolutæ essent, ea nocte statutum fuisse Alexandrum dormientem opprimere. Contigisse vero ut sua sponte, quemadmodum nonnulli scribunt, Alexander ad lucem usque potaret. At Aristobulus auctor est mulierem quandam Syram numine correptam Alexandrum secutam ; atque hanc quidem initio Alexandro ejusque amicis risui fuisse. Quum vero in illa numinis afflatione omnia vera vaticinaretur, non amplius ab Alexandro contemptui habitam, sed liberum Syræ ad regem et noctu et interdiu accessum fuisse, ac sæpenumero etiam dormienti adfuisse. Hanc tum forte regi e compotatione discedenti numine afflatam occurrisse, atque ut reversus totam noctem potando traduceret orasse. Alexandrum divinos monitus esse suspicatum ad pocula rediisse et ita puerorum conatus irritos fuisse.

25.

Arrian. IV, 14, 1, de Callisthene conjurationis socio. Vide Ptolemæi fr. 13.

26.

Arrian. IV, 14, 5, de Callisthenis obitu. Vide Ptolemæi fr. 14; Introd. ad fragm. Callisthenis.

27.

Arrian. V, 14, 3, de Alexandro ex insula Hydaspis fluvii in alteram ripam trajiciente: Ἀριστόβουλος δὲ τὸν Ἡώρου παῖδα λέγει φθάσαι ἀφικόμενον ξὺν ἅρμασιν ὡς ἑξήκοντα, πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου τῆς μακρᾶς περᾶσαι Ἀλέξανδρον. Καὶ τοῦτον δυνηθῆναι ἂν εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως, χαλεπῶς καὶ μηδενὸς εἴργοντος περαιωθέντα· εἰπεροῦν καταπηδήσαντες οἱ Ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέκειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων· ἀλλὰ παραλλάξαι γὰρ ξὺν τοῖς ἅρμασι, καὶ ἀκίνδυνον ποιῆσαι Ἀλεξάνδρῳ τὴν διάβασιν· καὶ ἐπὶ τούτοις ἀφεῖναι Ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς πληγὰς λαμβάνοντας.

Μακρᾶς] ita bene Sintenis, quum eadem insula in antecedentibus dicatur μεγάλη; libri μικρᾶς. Facius legit μείζονος, quod recepit Krüger. Geier. tuebatur μικρᾶς, altero loco scribi volebat οὐ μεγάλη, collato Plutarch. Al. c. 60; Hüllemanus scr. μικροτέρας. De re cf. Ptolemæi fr. 16.

28.

Arrian. V, 20, 3 (2), de Glausis, populo Indico. Vide Ptolemæi fr. 17.

28. a.

Plutarch. De fort. Alex. or. II, c. 9 (p. 418 ed. Didot.) de Alexandro apud Mallos vulnerato: Ἐν Μαλλοῖς τοξεύματι διεπήγει διὰ τοῦ θώρακος εἰς τὸ στῆθος * ὑπελάσας [ὑπέρου πληγὰς] ἔλαβε κατὰ τοῦ αὐχένος, ὡς Ἀριστόβουλος ἱστόρηκε.

* Post v. στῆθος lacuna esse videbatur Reiskio; Wyttenbachius autem ὑπέρου δὲ πληγῇ pro ὑπελάσας scribendum putat secundum Or. I, c. 2: ἐν δὲ Μάλλωσι βέλει μὲν ἀπὸ τόξου τὸ στέρνον ἐνερεισθέντι καὶ καταδύσαντι τὸν σίδηρον, ὑπέρου δὲ πληγῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς τείχεσιν αἱ κλίμακες ἐκλάσθησαν, et Vit. Alex. c. 63: Αὐτὸς δὲ (ὁ Ἀλέξανδρος) τραύματα πολλὰ λαμβάνων, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου προσήρεισε τῷ τείχει τὸ σῶμα βλέπων πρὸς τοὺς πολεμίους. Nobis autem et ex horum locorum comparatione et ex nostri loci nexu desiderari videtur: Ἐν Μαλλοῖς τοξεύματι διεπήγει διὰ τοῦ θώρακος εἰς τὸ στῆθος, ὑπέρῳ δὲ πληγὰς ἔλαβε κατὰ τοῦ αὐχένος, ὡς Ἀριστόβουλος ἱστόρηκε. Ceterum cf. Ptolemæi fr. 20 » Geier.

28. b.

Athenæus VI, p. 251 A: Ἀριστόβουλος δέ φησιν ὁ Κασσανδρεὺς Διώξιππον τὸν Ἀθηναῖον παγκρατιαστὴν, τρωθέντος ποτὲ τοῦ Ἀλεξάνδρου καὶ αἵματος ῥέοντος, εἰπεῖν·

Ἰχὼρ οἷόςπερ τε ῥέει μακάρεσσι θεοῖσιν.

Versus Homeri Il. V, 340, quem Callistheni tribuit Seneca Suas. I, p. 6 ed. Bip. Anaxagoræ dictum vindicat Diog. L. IX, 60.

29.

Strabo XV, p. 691 sqq. de India: Ἀριστόβουλος δὲ μόνα καὶ ὕεσθαι καὶ νίφεσθαι τὰ ὄρη καὶ τὰς ὑπωρείας φησί· τὰ πεδία δὲ καὶ ὄμβρων ὁμοίως ἀπηλλάχθαι καὶ νιφετῶν· ἐπικλύζεσθαι δὲ μόνον κατὰ τὰς ἀναβάσεις τῶν ποταμῶν· νίφεσθαι μὲν οὖν τὰ ὄρη κατὰ χειμῶνα· τοῦ δὲ ἔαρος ἀρχομένου καὶ τοὺς ὄμβρους ἐνάρχεσθαι, καὶ ἀεὶ καὶ μᾶλλον λαμβάνειν ἐπίδοσιν· τοῖς δ' ἐτησίαις καὶ ἀδιαλείπτως νύκτωρ καὶ μεθ' ἡμέραν ἐχχεῖσθαι καὶ λάβρους ἕως ἐπιτολῆς Ἀρκτούρου· ἔκ τε δὴ τῶν χιόνων καὶ τῶν ὑετῶν πληρουμένους ποτίζειν τὰ πεδία. Κατανοηθῆναι δὲ ταῦτα καὶ ὑφ' ἑαυτοῦ καὶ ὑπὸ τῶν ἄλλων φησὶν, ὡρμηκότων μὲν εἰς τὴν Ἰνδικὴν ἀπὸ Παροπαμισαδῶν μετὰ δυσμὰς Πλειάδων καὶ διατρῳάντων κατὰ τὴν ὀρεινὴν ἔν τε τῇ Ἀσπασίων καὶ τῇ Ἀσσακανοῦ (vg. Ἱππασίων καὶ τῇ Μουσικανοῦ) γῇ τὸν χειμῶνα, τοῦ δ' ἔαρος ἀρχομένου κα-

---

27.

Aristobulus auctor est Pori filium cum sexaginta curribus eo venisse, priusquam per longam illam insulam Alexander exercitum transmisisset. Atque hunc quidem Alexandrum transitu prohibere potuisse, quippe qui difficulter etiam nemine obsistente transiisset, si modo Indi a curribus desilientes impetum in primos quosque transeuntes fecissent. An illum cum curribus prætergressum, tutum Alexandro transitum reliquisse. In quos quum Alexander equestres sagittarios immisisset, in fugam facile vertisse.

28ª.

In Malli sagitta decubitali per thoracem in pectus [penetrante vulneratus est, et pistilli ictus] accepit in cervicem: auctor Aristobulus.

28ᵇ.

Aristobulus Cassandrensis ait Dioxippum Atheniensem, pancratiasten, vulnerato aliquando Alexandro, manante sanguine, dixisse:

Ichor qualis quidem diis fluit beatis.

29.

Aristobulus dicit solos montes et montium ima pluviam et nives sentire: campos vero tum imbrium tum nivium esse expertes, sed incrementis tantum fluminum inundari. In montibus per hiemem ningere, vere incipiente imbres quoque incipere, ac semper magis augeri, et quo tempore Etesiæ flant die noctuque indesinenter et copiose effundi usque ad Arcturi exortum. His igitur nivibus et imbribus aucta flumina campos irrigare. Quæ omnia et a se et ab aliis observata dicit, quum ex Paropamisadis in Indiam contendentes post Pleiadum occasum in terris montanis Aspasiorum et Assacani hiemem degissent, vere autem incipiente in campos

ταξεβηκότων εἰς τὰ πεδία καὶ πολιν Ταξιλα εὐμεγέθη, ἐντεῦθεν δ' ἐπὶ Ὑδάσπην καὶ τὴν Πώρου χώραν· τοῦ μὲν οὖν χειμῶνος ὕδωρ οὐκ ἰδεῖν, ἀλλὰ χιόνας μόνον· ἐν δὲ τοῖς Ταξίλοις πρῶτον ὑσθῆναι· καὶ ἐπειδὴ καταβᾶσιν ἐπὶ τὸν Ὑδάσπην καὶ νικήσασι Πῶρον ὁδὸς ἦν ἐπὶ τὸν Ὕπανιν πρὸς ἕω, κἀκεῖθεν ἐπὶ τὸν Ὑδάσπην πάλιν, ὕεσθαι συνεχῶς, καὶ μάλιστα τοῖς ἐτησίαις· ἐπιτείλαντος δὲ Ἀρκτούρου γενέσθαι παῦλαν· διατρίψαντας δὲ περὶ τὴν ναυπηγίαν ἐπὶ τῷ Ὑδάσπῃ καὶ πλεῖν ἀρξαμένους πρὸ δύσεως Πληϊάδος οὐ πολλαῖς ἡμέραις, καὶ τὸ φθινόπωρον πᾶν καὶ τὸν χειμῶνα καὶ τὸ ἐπιὸν ἔαρ καὶ θέρος ἐν τῷ κατάπλῳ πραγματευθέντας ἐλθεῖν εἰς τὴν Πατταληνὴν περὶ Κυνὸς ἐπιτολήν· δέκα μὲν δὴ τοῦ κατάπλου γενέσθαι μῆνας, οὐδαμοῦ δ' ὑετῶν αἰσθέσθαι, οὐδ' ὅτε ἐπήκμασαν οἱ ἐτησίαι· τῶν δὲ ποταμῶν πληρουμένων τὰ πεδία κλύζεσθαι· τὴν δὲ θάλατταν ἄπλουν εἶναι τῶν ἀνέμων ἀντιπνεόντων, ἀπὸ γαίας δὲ μηδεμιᾶς πνοῆς ἐκδεξαμένης.

Τοῦτο μὲν οὖν αὐτὸ καὶ ὁ Νέαρχος λέγει· περὶ δὲ τῶν θερινῶν ὄμβρων οὐχ ὁμολογεῖ, ἀλλά φησιν ὕεσθαι τὰ πεδία θέρους, χειμῶνος δ' ἄνομβρα εἶναι. Λέγουσι δ' ἀμφότεροι καὶ τὰς ἀναβάσεις τῶν ποταμῶν. Ὁ μέν γε Νέαρχος τοῦ Ἀκεσίνου πλησίον στρατοπεδεύοντάς φησιν ἀναγκασθῆναι μεταλαβεῖν τόπον ἄλλον ὑπερὸξιον κατὰ τὴν ἀνάβασιν, γενέσθαι δὲ τοῦτο κατὰ θερινὰς τροπάς. Ὁ δ' Ἀριστόβουλος καὶ μέτρα τῆς ἀναβάσεως ἐκτίθεται τετταράκοντα πήχεις, ὧν τοὺς μὲν εἴκοσιν ὑπὲρ τὸ προϋπάρχον βάθος πληροῦν μέχρι χείλους τὸ ῥεῖθρον, τοὺς δ' εἴκοσιν ὑπέρχυσιν εἶναι εἰς τὰ πεδία. Ὁμολογοῦσι δὲ καὶ διότι συμβαίνει νησίζειν τὰς πόλεις, ἐπάνω χωμάτων ἱδρυμένας, καθάπερ καὶ ἐν Αἰγύπτῳ καὶ Αἰθιοπίᾳ· μετὰ δὲ ἀρκτοῦρον παύεσθαι τὴν πλήμμυραν ἀποβαίνοντος τοῦ ὕδατος· ἔτι δ' ἡμίψυκτον σπείρεσθαι τὴν γῆν, ἀπὸ τοῦ τυχόντος ὀρύκτου χαραχθεῖσαν, καὶ ὅμως φύεσθαι τὸν καρπὸν τέλειον καὶ καλόν. Τὴν δ' ὄρυζάν φησιν ὁ Ἀριστόβουλος ἑστάναι ἐν ὕδατι κλειστῷ· πρασίας δ' εἶναι τὰς ἐχούσας αὐτήν· ὕψος δὲ τοῦ φυτοῦ τετράπηχυ, πολύσταχύ τε καὶ πολύκαρπον· θερίζεσθαι δὲ περὶ δύσιν Πληϊάδος καὶ πτίσσεσθαι ὡς τὰς ζειάς· φύεσθαι δὲ καὶ ἐν τῇ Βακτριανῇ καὶ Βαβυλωνίᾳ καὶ Σουσίδι· καὶ ἡ κάτω δὲ Συρία φύει. (Interponuntur quædam ex Megillo et Onesicrito.)

Τὴν δ' ὁμοιότητα τῆς χώρας ταύτης πρός τε τὴν Αἴγυπτον καὶ τὴν Αἰθιοπίαν καὶ πάλιν τὴν ἐναντιότητα παραθεὶς ὁ Ἀριστόβουλος διότι τῷ μὲν Νείλῳ ἐκ τῶν νοτίων ὄμβρων ἐστὶν ἡ πλήρωσις, τοῖς Ἰνδικοῖς ποταμοῖς δὲ ἀπὸ τῶν ἀρκτικῶν, ζητεῖ, πῶς οἱ μεταξὺ τόποι οὐ κατομβροῦνται· οὔτε γὰρ ἡ Θηβαΐς μέχρι Συήνης καὶ τῶν ἐγγὺς Μερόης, οὔτε τῆς Ἰνδικῆς τὰ ἀπὸ τῆς Πατταληνῆς μέχρι τοῦ Ὑδάσπου· τὴν δ' ὑπὲρ ταῦτα τὰ μέρη χώραν, ἐν ᾗ καὶ ὄμβροι καὶ νιφετοί, παραπλησίως ἔφη γεωργεῖσθαι τῇ ἄλλῃ τῇ ἔξω τῆς Ἰνδικῆς χώρας· ποτίζεσθαι γὰρ ἐκ τῶν ὄμβρων καὶ τῶν χιόνων. Εἰκὸς δ' οἷς εἴρηκεν οὗτος, καὶ εὔσειστον εἶναι τὴν γῆν, χαυνουμένην ὑπὸ τῆς πολλῆς ὑγρασίας, καὶ ἐκρήγματα λαμβάνουσαν, ὥστε καὶ ῥεῖθρα ποταμῶν ἀλλάττεσθαι. Πεμφθεὶς γοῦν ἐπί τινα χρείαν ἰδεῖν φησιν ἐρημωθεῖσαν χώραν πλειόνων ἢ χιλίων πόλεων σὺν κώμαις, ἐκλιπόντος τοῦ Ἰνδοῦ τὸ οἰκεῖον ῥεῖθρον, ἐκτραπομένου δ' εἰς τὸ ἕτερον ἐν ἀριστερᾷ κοιλότερον πολὺ καὶ οἷον καταῤῥάξαντος, ὡς τὴν ἀπολειφθεῖσαν ἐν δεξιᾷ χώραν μηκέτι ποτίζεσθαι, ταῖς ὑπερχύσεσι μετεωροτέραν οὖσαν, οὐ τοῦ ῥείθρου τοῦ καινοῦ μόνον, ἀλλὰ καὶ τῶν ὑπερχύσεων.

---

et ad Taxila, urbem maximam, atque hinc ad Hydaspem ac Pori regionem descendissent. Tum igitur hieme quidem aquam non vidisse, sed nives solum; primo pluisse Taxilis: ac postquam ad Hydaspem venissent et devicto Poro iter ad Hypanim fecissent orientem versus, atque inde ad Hydaspem rursum, continue pluisse, præsertim flantibus Etesiis: Arcturi autem exortu cessasse: et quum navium fabricationi ad Hydaspem immorati essent, et non multis diebus ante Pleiadum occasum navigare cœpissent, totum autumnum et hiemem et ver et adventantem æstatem in navigatione occupantes, circiter Canis exortum in Pattalenam pervenisse. Quum itaque decem menses navigando consumpsissent, nunquam tamen per id tempus aquam sensisse, ne tum quidem quum vigerent Etesiæ: fluminum vero eluvione campos inundatos esse; mare autem propter contrarios ventos, quia nullus a terra flatus prosequeretur, navigari non potuisse.

Idem Nearchus affirmat. De æstivis autem imbribus non consentit: sed æstate complui campos, hieme non item, asserit. De fluminum exundatione convenit inter eos. Nearchus, quum prope Acesinem castra posuissent, coactos ait fuisse, aquis se extollentibus, in arduum magis locum ea subducere: idque circa æstivum solstitium contigisse. Aristobulus exundantiæ mensuram cubitorum quadraginta tradidit, quorum viginti alveum implerent supra priorem profunditatem usque ad labrum, reliqui autem viginti in campos effunderentur. Id quoque uno ore dicunt, insularum in morem aquis ambiri urbes, aggeribus impositas, quemadmodum in Ægypto etiam et Æthiopia. Post Arcturum autem jam aqua subsidente, cessare inundationem. Addit etiam, terram semisiccam et a quolibet fossore leviter scissam seri, et fruges optimas gigni. Aristobulus dicit oryzam in aquis eluvionis stare, factis alveolis quibusdam eam continentibus: stirpis altitudinem esse quattuor cubitorum, ipsam multarum spicarum, multique fructus; meti sub Pleiadum occasum, et zeæ more contundi. Nasci etiam in Bactriano agro et in Babylonio et in Suside et in inferiore Syria.

Porro Aristobulus, exposita et similitudine, quæ huic terræ cum Ægypto et Æthiopia intercedit, deinde vero etiam diversitate, quandoquidem Nilus austrinis impleatur, Indici autem fluvii septemtrionalibus imbribus, causam quærit cur intermedia loca imbribus careant: nam nec inter Thebaica usque ad Syenen et loca Meroæ proxima, neque in Indicæ partibus a Pattalene usque ad Hydaspin pluit: superiorem vero regionem, in qua et pluat et ningat, perinde excoli dicit atque reliquam, quæ sit extra Indiam sita, quum imbribus nivibusque humectetur. Porro ex iis

Τὰ πεδία δὲ καὶ ὄμβρων κτλ.] Strabo XV, p. 695 : Τοῦτο δ'οἱ μὲν περὶ Ἀριστόβουλον οὐχ ἂν συγχωροῖεν, οἱ φάσκοντες μὴ ὕεσθαι τὰ πεδία. V. Onesicrit. fr. 17. — Ἔν τε τῇ Ἱππασίων καὶ τῇ Μουσικανοῦ γῇ] ἐ. τ. τ. Ἀσπασίων κ. τ. Ἀσσακανοῦ γῇ corrigit Hüllemann. Ἀσπασίων jam conjecerat Schmieder. ad Arr. Ind. c. 6. Ἱππασίων pro ὑπ' Ἀσίων codd. dederat Scaliger. Cum eodem Hüllemano delevi particulam καὶ quæ vulgo legitur ante διατριψάντων. Rationes emendationum positæ in rerum temporibus. Cf. Mützell. l. l. p. 797 et quos laudat.

30.

Strabo XV, p. 694 : Κατὰ δὲ τὸν Ἀκεσίνην καὶ τὴν συμβολὴν τὴν πρὸς Ὑάρωτιν καὶ Ἀριστόβουλος εἴρηκε περὶ τῶν καταχαμπτομένους ἐχόντων τοὺς κλάδους (δένδρων), καὶ περὶ τοῦ μεγέθους· ὥσθ' ὑφ' ἑνὶ δένδρῳ μεσημβρίζειν σκιαζομένους ἱππέας πεντήκοντα· οὗτος δὲ (sc. Ὀνησίκριτος) τετρακοσίους. Λέγει δὲ ὁ Ἀριστόβουλος καὶ ἄλλο δένδρον οὐ μέγα, μεγάλους λοβοὺς ἔχον, ὡς ὁ κύαμος, δέκα δακτύλους τὸ μῆκος, πλήρεις μέλιτος, τοὺς δὲ φαγόντας οὐ ῥᾳδίως σώζεσθαι. (Ἅπαντας δ' ὑπερβέβληνται περὶ τοῦ μεγέθους τῶν δένδρων οἱ φήσαντες ἑωρᾶσθαι πέραν τοῦ Ὑαρώτιδος δένδρον ποιοῦν σκιὰν ταῖς μεσημβρίαις πενταστάδιον.) Καὶ τῶν ἐριοφόρων δένδρων φησὶν οὗτος τὸ ἄνθος ἔχειν πυρῆνα· ἐξαιρεθέντος δὲ τούτου ξαίνεσθαι τὸ λοιπὸν ὁμοίως ταῖς ἐρέαις. Ἐν δὲ τῇ Μουσικανοῦ καὶ σῖτον αὐτοφυῆ λέγει πυρῷ παραπλήσιον, καὶ ἄμπελον, ὥστ' οἰνοφορεῖν, τῶν ἄλλων ἄοινον λεγόντων τὴν Ἰνδικήν· ὥστε μήτ' αὐλὸν εἶναι κατὰ τὸν Ἀνάχαρσιν, μήτ' ἄλλο τῶν μουσικῶν ὀργάνων μηδὲν πλὴν κυμβάλων καὶ τυμπάνων καὶ κροτάλων, ἃ τοὺς θαυματοποιοὺς κεκτῆσθαι. Καὶ πολυφάρμακον δὲ καὶ πολύῤῥιζον τῶν τε σωτηρίων καὶ τῶν ἐναντίων, ὥσπερ καὶ πολυχρώματον καὶ οὗτος εἴρηκε καὶ ἄλλοι γε. Προστίθησι δ' οὗτος, ὅτι καὶ νόμος εἴη τὸν ἀνευρόντα τι τῶν ὀλεθρίων, ἐὰν μὴ προσανεύρῃ καὶ τὸ ἄκος αὐτοῦ, θανατοῦσθαι· ἀνευρόντα δὲ, τιμῆς τυγχάνειν παρὰ τοῖς βασιλεῦσιν. Ἔχειν δὲ καὶ κιννάμωμον καὶ νάρδον καὶ τὰ ἄλλα ἀρώματα τὴν νότιον γῆν τὴν Ἰνδικὴν ὁμοίως ὥσπερ τὴν Ἀραβίαν καὶ τὴν Αἰθιοπίαν, ἔχουσάν τι ἐμφερὲς ἐκείναις κατὰ τοὺς ἡλίους· διαφέρειν δὲ τῷ πλεονασμῷ τῶν ὑδάτων, ὥστ' ἐνικμον τὸν ἀέρα εἶναι, καὶ τροφιμώτερον παρὰ τοῦτο καὶ γόνιμον μᾶλλον· ὡς δ' αὕτως καὶ τὴν γῆν καὶ τὸ ὕδωρ· ᾗ δὴ καὶ μείζω τά τε χερσαῖα τῶν ζώων καὶ τὰ καθ' ὕδατος τὰ ἐν Ἰνδοῖς τῶν παρ' ἄλλοις εὑρίσκεσθαι. Καὶ τὸν Νεῖλον δ' εἶναι γόνιμον μᾶλλον ἑτέρων, καὶ μεγαλοφυῆ γεννᾶν καὶ τἄλλα καὶ τὰ ἀμφίβια· τάς τε γυναῖκας ἔσθ' ὅτε καὶ τετράδυμα τίκτειν τὰς Αἰγυπτίας.

Cf. Plinius H. N. VII, 2, 21, p. 6 Tchn. : *Arbores tantæ proceritatis trahuntur, ut sagittis superari nequeant. Hæc facit ubertas soli, temperies cæli, aquarum abundantia; si libeat credere, ut sub una ficu turmæ condantur equitum.* Cf. Onesicrit. fr. 15; Nearch. fr. 11; Bohlen. l. l. I, p. 39.

31.

Strabo XV, p. 701 : Ὑστάτης δὲ τῆς Πατταληνῆς (sc. νήσου ἐκράτησεν Ἀλέξανδρος), ἣν ὁ Ἰνδὸς ποιεῖ, σχισθεὶς εἰς δύο προχοάς. Ἀριστόβουλος μὲν οὖν εἰς χιλίους σταδίους διέχειν ἀλλήλων φησὶν αὐτάς· Νέαρχος

---

quæ refert verisimile est, terram facile motibus concuti ab humiditate nimis laxatam, et facile rumpi, adeo ut etiam fluminum alvei immutentur. Ipse quidem ad rem quandam gerendam se missum vidisse affirmat mille vel amplius urbium et vicorum regionem desertam, quum Indus proprium alveum reliquisset, et ad sinistram conversus esset et quasi perrupisset in alium longe profundiorem, adeo ut regio ad dextram relicta non amplius effusionibus irrigaretur, quum non modo alveo recente sublimior esset, sed etiam omni fluminis inundatione.

30.

Aristobulus quoque ad Acesinem ejusque cum Hyaroti confluentes arbores nasci dicit, quæ ramos ad terram deflexos habeant, tantæque sint magnitudinis, ut in unius arboris umbra meridiari possint equites quinquaginta. Ille (*i. e. Onesicritus fr.* 11, *de quo in antecedentibus Strabo dixerat*) quadringentos ait. Porro aliam esse Aristobulus narrat arborem haud magnam, quæ magnas habeat siliquas, fabarum similes denorum digitorum longitudine, mellis plenas; quas qui ederint, eos haud facile mortem effugere. (Omnes vero, qui de arborum magnitudine dixerunt, superantur ab iis, qui trans Hyarotin arborem visam fuisse tradunt, quæ meridie umbram faceret quinque stadiorum.) Porro Aristobulus narrat lanigerarum arborum florem habere nucleum, quo exempto, reliquum lanæ in modum carminetur. In Musicani autem regione etiam frumentum sponte nasci dicit tritico assimile, itemque vites : ut itaque vinum proferat India, quam carere eo ceteri auctores produnt, adeo ut secundum Anacharsim neque tibia ibi audiatur neque aliud instrumentum musicum præter cymbala et tympana, quibus uti præstigiatores soleant. Præterea Indiam multa medicamenta habere ac multas radices tum salubres tum noxias, sicuti etiam multos colores, et Aristobulus dixit et alii complures. Ille vero addit legem quoque esse, ex qua si quis exitiale aliquid invenerit, nisi etiam remedium ejus reperiat, morte plectendus sit; sin vero repererit, honore a regibus afficiatur. Porro cinnamomum, nardum et reliqua aromata australes Indiæ regiones proferre similiter atque Arabiam et Æthiopiam, cui quod ad solis calorem similes quodammodo sint, sed differre eas aquarum abundantia, unde aer udus fiat et fecundior proinde atque ad nutriendum uberior; neque aer solum, sed eodem modo etiam terra et aqua. Quapropter animalia tum terrestria tum aquatilia apud Indos quam apud ceteros majora reperiri. Similiter Nilum fecunditate præstare et prægrandia producere tum reliqua tum amphibia; mulieres quoque Ægyptias interdum quadrigeminos parere.

31.

Ultimam ex Indi regionibus Alexander subegit Pattalenen, quam Indus facit in duos divisus alveos, quos Ari-

δ' ὀκτακοσίους προστίθησιν. Cf. Arrian. VI, 17, 4; Onesicrit. fr. 19; Mützell. l. l. p. 864.

32.

Strabo XV, p. 706 sq. de Indi et Nili animalibus: Ἀριστόβουλος δὲ τῶν θρυλουμένων μεγεθῶν οὐδὲν ἰδεῖν φησιν· ἔχιδναν δὲ μόνον ἐννέα πηχῶν καὶ σπιθαμῆς. (Καὶ ἡμεῖς δ' ἐν Αἰγύπτῳ κομισθεῖσαν ἐκεῖθεν τηλικαύτην πως εἴδομεν.) Ἔχεις δὲ πολλούς φησι πολὺ ἐλάττους καὶ ἀσπίδας, σκορπίους δὲ μεγάλους· οὐδὲν δὲ τούτων οὕτως ὀχλεῖν, ὡς τὰ λεπτὰ ὀφείδια οὐ μείζω σπιθαμιαίων· εὑρίσκεσθαι γὰρ ἐν σκηναῖς, ἐν σκεύεσιν, ἐν θρίγκοις ἐγκεκρυμμένα· τοὺς δὲ πληγέντας αἱμορρροεῖν ἐκ παντὸς πόρου μετὰ ἐπωδυνίας· ἔπειτα ἀποθνήσκειν, εἰ μὴ βοηθήσει τις εὐθύς. Τὴν δὲ βοήθειαν ῥᾳδίαν εἶναι διὰ τὴν ἀρετὴν τῶν Ἰνδικῶν ριζῶν καὶ φαρμάκων. Κροκοδείλους τε οὔτε πολλοὺς οὔτε βλαπτικοὺς ἀνθρώπων ἐν τῷ Ἰνδῷ φησιν εὑρίσκεσθαι· καὶ τὰ ἄλλα δὲ ζῷα τὰ πλεῖστα τὰ αὐτὰ ἅπερ ἐν τῷ Νείλῳ γεννᾶσθαι, πλὴν ἵππου ποταμίου. (Ὀνησίκριτος δέ φησι καὶ τοῦτον γεννᾶσθαι.) Τῶν δ' ἐκ θαλάττης φησὶν Ἀριστόβουλος εἰς μὲν τὸν Νεῖλον ἀνατρέχειν μηδὲν ἔξω θρίσσης καὶ κεστρέως καὶ δελφῖνος, διὰ τοὺς κροκοδείλους, ἐν δὲ τῷ Ἰνδῷ πλῆθος· τῶν δὲ καρίδων τὰς μὲν μικρὰς μέχρι ὄρους ἀναθεῖν, τὰς δὲ μεγάλας μέχρι τῶν συμβολῶν τοῦ τε Ἰνδοῦ καὶ τοῦ Ἀκεσίνου.

33.

Strabo XVII, p. 824: Φησὶ δ' Ἀριστόβουλος, μηδὲν ἀνατρέχειν ὄψον εἰς τὸν Νεῖλον ἐκ τῆς θαλάττης, πλὴν κεστρέως καὶ θρίσσης καὶ δελφῖνος, διὰ τοὺς κροκοδείλους· τοὺς μὲν δελφῖνας διὰ τὸ κρείττους εἶναι, τοὺς δὲ κεστρέας τῷ παραπέμπεσθαι ὑπὸ τῶν χοίρων παρὰ γῆν κατά τινα οἰκείωσιν φυσικήν· τῶν δὲ χοίρων ἀπέχεσθαι τοὺς κροκοδείλους, στρογγύλων ὄντων καὶ ἐχόντων ἀκάνθας ἐπὶ τῇ κεφαλῇ φερούσας κίνδυνον τοῖς θηρίοις· ἀναθεῖν μὲν οὖν ἔαρος τοὺς κεστρέας γόνον ἔχοντας· μικρὸν δὲ πρὸ δύσεως Πλειάδος καταβαίνειν τεξομένους ἀθρόους, ὅτε καὶ ἡ ἅλωσις αὐτῶν γίγνεται περιπιπτόντων τοῖς φράγμασιν ἀθρόων.

« Eadem fere narrantur apud Arrian. Ind. c. 6 et Exped. Al. VI, 1; cf. Onesicriti fr. 7, Nearch. fr. 14 et 15; Wesseling. ad Diodor. XVII, 90; Interpr. ad Curt. IX, 1, 4 et 12; Plin. H. N. VIII, 14, 14. His egregie respondent quæ leguntur apud Bohlen. De vet. Ind. I, p. 41—43. Cf. Droysen. Hist. Alex. p. 388. » Geier.

34.

Strabo XV, p. 714: Ἀριστόβουλος δὲ τῶν ἐν Ταξίλοις σοφιστῶν ἰδεῖν δύο φησὶ Βραχμᾶνας ἀμφοτέρους, τὸν μὲν πρεσβύτερον ἐξυρημένον, τὸν δὲ νεώτερον κομήτην, ἀμφοτέροις δ' ἀκολουθεῖν μαθητάς· τὸν μὲν οὖν ἄλλον χρόνον κατ' ἀγορὰν διατρίβειν, τιμωμένους ἀντὶ συμβούλων ἐξουσίαν ἔχοντας ὅ τι ἂν βούλωνται τῶν ὠνίων φέρεσθαι δωρεάν· ὅτῳ δ' ἂν προτίωσι, καταχεῖν αὐτῶν τοῦ σησαμίνου λίπους, ὥστε καὶ κατὰ τῶν ὀμμάτων ῥεῖν· τοῦ τε μέλιτος πολλοῦ προκειμένου καὶ τοῦ σησάμου μάζας ποιουμένους τρέφεσθαι δωρεάν· παρερχομένους δὲ καὶ πρὸς τὴν Ἀλεξάνδρου τράπεζαν παραστάντας δειπνεῖν [καὶ] χαρτερίαν διδάσκειν παραχωροῦντας ἐς τινὰ τόπον πλησίον· ὅπου τὸν μὲν πρεσβύτερον πεσόντα ὕπτιον ἀνέχεσθαι τῶν ἡλίων καὶ τῶν ὄμβρων· ἤδη γὰρ ὕειν ἀρχομένου τοῦ ἔαρος· τὸν δ' ἑστάναι μονοσκελῆ, ξύλον ἐπηρμένον ἀμφοτέραις

---

stobulus ad mille stadia distare inter se dicit; Nearchus his addit octingenta.

32.

Aristobulus nullum animal istius, quam jactitant, magnitudinis se vidisse ait, sed viperam solum novem cubitorum et dodrantis. (Nos quoque in Ægypto vidimus ejusdem fere magnitudinis viperam inde allatam.) Multas vero viperas se vidisse affirmat, multo tamen minores, et aspides itemque scorpiones prægrandes. Sed nihil horum tam infestum esse homini quam serpentes palmari longitudine, qui in tabernaculis, in vasis et in sepibus occulti inveniantur. Ictos ab iis sanguinem ex omni meatu cum dolore emittere, deinde mori, nisi cito subveniatur. Remedium vero propter vim herbarum et radicum Indicarum esse facile. Porro crocodilos neque multos neque infestos hominibus in Indo dicit inveniri; ceteraque animalia in Indo maximam partem eadem quæ in Nilo nasci, præter equum fluviatilem (Onesicritus tamen hunc quoque in eo gigni dicit). Ex marinis piscibus Aristobulus tradit in Nilum ascendere nullum, præter alosam et mugilem et delphinum, crocodilorum causa, contra in Indum permultos. Et e squillis quidem parvas usque ad montes ascendere, magnas usque ad Indi et Acesinis confluentes.

33.

Aristobulus tradit nullum piscem e mari in Nilum ascendere, crocodilorum metu, præter mugilem, thrissam et delphinum; hunc, quia crocodilo sit præstantior; mugiles, quia a porcis secus terram deducantur stipati ob naturalem quandam familiaritatem; crocodilos vero a porcis abstinere, qui quum rotundi sint et spinas in capite habeant, periculum ipsis creent. Ascendere itaque mugiles vere, quum prægnantes sint, descendere autem paullo ante Vergiliarum occasum confertim parituros, ac tum in septa incidentes capi frequentes.

34.

Aristobulus sophistarum, qui Taxilis sint, se vidisse dicit duos, Brachmanes ambos, alterum seniorem tonsum, alterum juniorem comatum; utrumque discipulis comitatum fuisse. Hos reliquo tempore in foro versari solitos, iisque ut consiliariis honorem hunc habitum, ut quidquid ex rebus venalibus vellent, id gratis auferre liceret, et ad quemcunque accesserint, eum oleo sesamino illos perfudisse, adeo ut vel ad oculos flueret; eosque ex parata mellis et sesami copia panem conficere atque sic nutriri gratis. Quumque etiam ad Alexandri mensam accederent, assistentes cœnasse, et tolerantiam docuisse in propinquum quendam

ταῖς χερσὶν, ὅσον τρίπηχυ· κάμνοντος δὲ τοῦ σκέλους ἐπὶ θάτερον μεταφέρειν τὴν βάσιν καὶ διατελεῖν οὕτως τὴν ἡμέραν ὅλην· φανῆναι δ' ἐγκρατέστερον μακρῷ τὸν νεώτερον· συνακολουθήσαντα γὰρ μικρὰ τῷ βασιλεῖ ταχὺ ἀναστρέψαι πάλιν ἐπ' οἶκου, μετιόντος τε, αὐτὸν κελεῦσαι ἥκειν, εἴ του βούλεται τυγχάνειν· τὸν δὲ συναπᾶραι μέχρι τέλους, καὶ μεταμφιάσασθαι καὶ μεταθέσθαι τὴν δίαιταν, συνόντα τῷ βασιλεῖ· ἐπιτιμώμενον δ' ὑπό τινων λέγειν ὡς ἐκπληρώσειε τὰ τεττεράκοντα ἔτη τῆς ἀσκήσεως, ἃ ὑπέσχετο. Ἀλέξανδρον δὲ τοῖς παισὶν αὐτοῦ δοῦναι ὡρεάν.

Τῶν δ' ἐν Ταξίλοις νομίμων καινὰ καὶ ἀήθη λέγει, τό τε τοὺς μὴ δυναμένους ἐκδιδόναι τὰς παῖδας ὑπὸ πενίας προάγειν εἰς ἀγορὰν ἐν ἀκμῇ τῆς ὥρας κόχλῳ τε καὶ τυμπάνοις, οἵσπερ καὶ τὸ πολεμικὸν σημαίνουσιν, ὄχλου προσκληθέντος· τῷ δὲ προσελθόντι τὰ ὀπίσθια πρῶτον ἀνασύρεσθαι μέχρι τῶν ὤμων, εἶτα τὰ πρόσθεν· ἀρέσασαν δὲ καὶ συμπεισθεῖσαν ἐφ' οἷς ἂν δοκεῖ συνοικεῖν. Καὶ τὸ γυμνὰ βίπτεσθαι τὸν τετελευτηκότα· τὸ δὲ πλείους ἔχειν γυναῖκας κοινὸν καὶ ἄλλων. Παρά τισι δ' ἀκούειν φησὶ, καὶ συγκαταικαιομένας τὰς γυναῖκας τοῖς ἀνδράσιν ἀσμένας· τὰς δὲ μὴ ὑπομενούσας ἀδοξεῖν· εἴρηται καὶ ἄλλοις ταῦτα.

De gymnosophistis cf. Onesicrit. fr. 10; Nearch. fr. 7; Arrian. Ind. c. 11, Exp. Al. VII, 1; Diodor. XVII, 102; Curtius VIII, 9, 31 sqq.; Plin. H. N. VII, 2; Cic. Tusc. V, 25; Bohlen. l. l. I, p. 319, 279. II, 181; Creuzer. *Symbol.* I, p. 482 sqq. ed. tert.; Lassen. De nominibus quibus a veteribus appellantur Indorum philosophi, in *Rhein. Mus.* I, p. 170.

34 b.

Plutarch. De nobil. c. 19 : Ἰνδικοὺς κύνας ὤρων πεμφθέντας Ἀλεξάνδρῳ φησὶν Ἀριστόβουλος πρὸς μὲν τοὺς ἀγρίους ταύρους καὶ ὀρεῖς ἀδμήτους προβαλλομένους ἀκινήτους κατακεῖσθαι, πρὸς δὲ τὸν εἰσηγμένον λέοντα ἐκθορήσαντας εἰς μάχην ἐπερρίφθαι.

Cf. Plut. De sollert. anim. c. 15; Diodor. XII, 92; Strabo XV, p. 700; Ælian. H. N. VIII, 1.

35.

Arrian. VI, 22 : (Ἀλέξανδρος) σὺν τῇ στρατιᾷ τῇ πολλῇ προϋχώρει ὡς ἐπὶ Γαδρωσοὺς ἔρημον τὴν πολλήν. Καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ λέγει Ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι, μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν· καὶ τοὺς Φοίνικας τοὺς κατ' ἐμπορίαν τῇ στρατιᾷ ξυνεπομένους ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης (πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων τε τῶν πρέμνων καὶ οὔπω πρόσθεν ξυλλελεγμένον) ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν. Εἶναι δὲ τὴν ἔρημον ταύτην καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὔοσμον· καὶ ταύτην ξυλλέγειν τοὺς Φοίνικας· πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς, καὶ ἀπὸ τοῦ πατουμένου ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας· τοσόνδε εἶναι τὸ πλῆθος. Εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρήμῳ, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον, καὶ τοῦτο ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι· καὶ ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτεως ἐπὶ ξηροῦ, ἐπελθόντος δὲ τοῦ ὕδατος ἐν τῇ θαλάσσῃ πεφυκότα φαίνεσθαι· τῶν δὲ ἀεὶ τὰς ῥίζας τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπεφύκει, ἔνθενπερ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης. Εἶναι δὲ τὰ δέν-

---

locum abeuntes, ubi senior supinus in terram recumbens solem et imbres sustinuisset; jam enim pluisse vere incipiente; juniorem autem in altero pede stantem lignum fere tricubitale ambabus manibus sustinuisse sublime, ac pede defesso innixum alteri, atque ita totum diem perseverasse. Ex his longe continentiorem visum fuisse juniorem, qui, quum aliquamdiu regem secutus esset, domum statim reversus est, persequentique jussit, ut si quid vellet, ad ipsum veniret; seniorem vero usque ad extremum secutum, et vestem et victum apud regem immutasse, et, quum propterea a quibusdam increparetur, respondisse quadraginta exercitationis annos se complevisse, quos promisisset. Alexandrum denique filiis ejus donum dedisse.

Porro idem Aristobulus Taxilensium miros quosdam et insolentes mores affert. Sic eos, qui filias præ inopia locare non possint, in ætatis flore in forum eas producere ait, et postquam tuba et tympanis, quibus etiam classicum canere soleant, multitudinem convocaverint, puellam accedenti primum posteriora humero tenus detegere, deinde, vero anteriora, et, si placuerit, probatis conditionibus, nubere. Item mortuos vulturibus projici; porro eos plures uxores habere, quod cum aliis quibusdam commune habent. Dicit etiam audivisse apud quosdam uxores sponte pati se cum viris comburi : quæ id non ferant, inglorias esse. Quod etiam ab aliis narratur.

34b

Indicos canes Alexandro dono missos Aristobulus tradit tauris feris mulisque indomitis si objicerentur, immotos jacuisse; sin leo introduceretur, exsilientes ad pugnam in eum irruisse.

35.

Ipse Alexander cum majore exercitus parte in Gedrosorum regionem maxima ex parte desertam contendit. In hac solitudine tradit Aristobulus multas myrrhæ arbores nasci vulgari myrrha majores. Phœnices, qui mercaturæ causa exercitum comitabantur, collecta lacrima myrrhæ (ingentem enim ejus copiam fuisse, quum et rami essent magni et nunquam antea quidquam ex iis collectum esset) jumenta onerasse. Habere præterea eam solitudinem magnam nardi odoratæ radicum copiam, et Phœnices hujus quoque magnam vim legisse. Multum etiam ab exercitu proculcatum fuisse, atque ex ea protritione suavissimum odorem late diffusum : tantam ibi ejus esse copiam. Alia præterea ibi nasci arborum genera, quarum folia lauri foliis sint similia. Atque eas quidem iis locis, quos mare alluit, nasci, et recedente æstu in sicco destitui, accedente vero æstu in mar-

ὅρα ταύτῃ πήχεων καὶ τριάκοντα ἔστιν ἃ αὐτῶν, τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές, τὴν ὀδμὴν δὲ πολύ τι ὑπερφέρον· καὶ ἄλλον εἶναι καυλὸν ἐκ γῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥστε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τῇ ἐσθῆτι κατασπάσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα, ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ.

36.

Arrian. VI, 28 : Ἤδη δέ τινες καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοὶ λέγοντες, ὡς συζεύξας δύο ἁρμαμάξας (Ἀλέξ.), κατακείμενος ξὺν τοῖς ἑταίροις καταυλούμενος, τὴν διὰ Καρμανίας ἦγεν κτλ. — Ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν, οὐδέ τις ἄλλος ὅντινα ἱκανὸν ἄν τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε· καί μοι ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσαν· ἀλλ' ἐκεῖνα ἤδη Ἀριστοβούλῳ ἑπόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίᾳ Ἀλέξανδρον χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης καὶ ὑπὲρ τῆς στρατιᾶς, ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖναι μουσικόν τε καὶ γυμνικόν· κατατάξαι δὲ καὶ Πευκέσταν ἐς τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σατράπην καταστῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς σατραπείας μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι, ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ· εἶναι δὲ αὐτῷ ἑπτὰ εἰς τότε σωματοφύλακας, Λεοννάτον Ἀντίου, Ἡφαιστίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου· τούτους μὲν, Πελλαίους· Περδίκκαν δὲ, Ὀρόντου, ἐκ τῆς Ὀρέστιδος· Πτολεμαῖον δὲ τὸν Λάγου, καὶ Πείθωνα Κρατεᾶ, Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέσταν, τὸν Ἀλεξάνδρῳ ὑπερασπίσαντα. — Ἤδη δέ τινες κτλ. | Vide Plut. Alex. c. 67, De fort. Alex. I, 15; Diodor. XVII, 106; Curtius IX, 10 ibique Mützell.; Droysen. l. l. p. 483.

37.

Arrian. VI, 29 : Ἐλύπησε δὲ αὐτὸν (Ἀλέξανδρον) ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυληκότα κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος· εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον, καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων, καὶ ὕδατι εἶναι κατάρρυτον, καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι· καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν εἴσω στενὴν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν· ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῷ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα ἐπιβλημάτων Βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς ὑποστρώματα· ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας· καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς [λέγει] ὅτι ἔκειντο, αἱ μὲν πορφυρᾶς, αἱ δ' ἄλλης καὶ ἄλλης χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητὰ, καὶ τράπεζα ἔκειτο. Ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος

---

nata videri. Nonnullarum radices semper mari allui, quotquot scilicet in concavis atque sinuosis locis nascantur, ubi mare non recedat; neque iis quidem locis natas arbores a mari corrumpi. Arborum altitudinem interdum esse triginta cubitorum: ac tum quidem temporis floruisse: florem alhæ violæ persimilem esse, odoris tamen suavitate longe superare; alium quoque spinæ esse caulem e terra ortum, eique adeo validam spinam adnasci, ut si cujus adequitantis vesti implicata fuerit, eques citius equo detrahatur quam ipsa a caule avellatur.

36.

Sunt etiam qui scribant (quod mihi quidem verisimile non videtur) Alexandrum duobus curribus junctis, inter amicos musicis modulationibus aures ejus demulcentes stratum per Carmaniam exercitum duxisse etc. Hæc neque Ptolemæus Lagi neque Aristobulus Aristobuli filius neque alius quispiam auctor, cui hac in parte fides haberi possit, memoriæ prodidit; suffeceritque a me tamquam indigna fide relata esse. Illa vero Aristobulum secutus scribo, Alexandrum in Carmania gratias diis agentem sacrum fecisse ob victoriam de Indis partam et ob exercitum ex Gedrosiis servatum: ludos etiam musicos et gymnicos edidisse; præterea Peucesten in corporis sui custodes ascripsisse, quem quidem jam Persidis satrapam constituere decreverat, sed antequam illi satrapæ munus deferret, ne hoc quidem honore fideique testimonio carere voluit, ob eximiam ejus operam apud Mallos præstitam. Fuisse autem illi tum temporis septem corporis custodes, Leonnatum Antei, Hephæstionem Amyntoris, Lysimachum Agathoclis, Aristonoum Pisæi filios; hos Pellæos; Perdiccam Orontis ex Orestide; Ptolemæum Lagi et Pythonem Crateæ filios, Eordenses: octavum vero iis accessisse Peucesten, qui Alexandrum scuto suo protexerat.

37.

Ægerrime Alexander ferebat scelus in Cyri Cambysis filii sepulcrum admissum. Quod quidem perfractum spoliatumque reperit, ut auctor est Aristobulus. Esse enim apud Pasargadas in hortis regiis Cyri illius sepulcrum, et circum id lucum omnis generis arboribus consitum aquisque irriguum, atque alto gramine hortum refertum esse: sepulcrum ipsum ab ima parte saxo quadrato structum quadrangularem formam præ se ferre. In editiore parte ædiculam esse lapideo fornice contectam, portulamque habere quæ in eam ducat, ita angustam ut ægerrime unus aliquis, neque is magnæ staturæ, ingredi possit. In ædicula loculum aureum esse positum, in quo Cyri corpus conditum servetur: lecticam solio astare, cujus pedes ex solido auro fabricati sint. Hanc tapetis Babyloniis stratam, stragulis purpureis substratis. Lecticæ candyn regiam aliasque vestes Babylonii operis impositas esse; femoralia etiam Medica; stolas quoque hyacinthino colore tinctas ibi positas fuisse; atque has quidem purpurei, alias varii coloris; torques

ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα· εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον, ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν φυλακήν. Καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως, καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. Ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι· ἐδήλου δὲ Περσιστὶ τάδε· Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας. Μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

Ἀλέξανδρος δὲ (ἐπιμελὴς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο, ἀφελόντες τὸ πῶμα τῆς πυέλου, καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὐογκόν σφισι ποιήσασθαι καὶ ταύτῃ εὔφορον, τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς· ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. Καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι παρ' Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον· καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν καταθεῖναι ἐς τὴν πύελον, καὶ τὸ πῶμα ἐπιθεῖναι· ὅσα δὲ λελώβητο αὐτῆς κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἄλλα ὅσα ἐς κόσμον ἔκειτο κατ' ἀριθμόν τε καὶ τοῖς πάλαι ὁμοια ἀποθεῖναι, καὶ τὴν θυρίδα δὲ ἀφανίσαι, τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα· καὶ ἐπιβαλεῖν τῇ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν.

Strabo XV, p. 730 : Εἶτ' εἰς Πασαργάδας ἦλθε (ὁ Ἀλέξανδρος), καὶ τοῦτο δ' ἦν βασίλειον ἀρχαῖον. Ἐνταῦθα δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσῳ, πύργον οὐ μέγαν, τῷ δάσει τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεὸν, ἄνω δὲ στέγην ἔχοντα καὶ σηκὸν στενὴν τελέως ἔχοντα τὴν εἴσοδον· δι' ἧς παρελθεῖν εἴσω φησὶν Ἀριστόβουλος, κελεύσαντος τοῦ βασιλέως, καὶ κοσμῆσαι τὸν τάφον· ἰδεῖν δὲ κλίνην τε χρυσῆν καὶ τράπεζαν σὺν ἐκπώμασι καὶ πύελον χρυσῆν καὶ ἐσθῆτα πολλὴν κόσμον τε λιθοκόλλητον. Κατὰ μὲν οὖν τὴν πρώτην ἐπιδημίαν ταῦτ' ἰδεῖν· ὕστερον δὲ συληθῆναι, καὶ τὰ μὲν ἄλλα ἐκκομισθῆναι, τὴν δὲ κλίνην θραυσθῆναι μόνον καὶ τὴν πύελον, μεταθέντων τὸν νεκρὸν δι' οὗ δῆλον γενέσθαι, διότι προνομευτῶν ἔργον ἦν, οὐχὶ τοῦ σατράπου, καταλιπόντων ἃ μὴ δυνατὸν ἦν ῥᾳδίως ἐκκομίσαι· συμβῆναι δὲ ταῦτα καίπερ φυλακῆς περικειμένης Μάγων, σίτισιν λαμβανόντων καθ' ἡμέραν πρόβατον, διὰ μηνὸς δ' ἵππον. Ἀλλ' ὁ ἐκτοπισμὸς τῆς Ἀλεξάνδρου στρατιᾶς εἰς Βάκτρα καὶ Ἰνδοὺς πολλά τε ἄλλα νεωτερισθῆναι παρεσκεύασε, καὶ δὴ καὶ τοῦθ' ἓν τῶν νεωτερισθέντων ὑπῆρξεν. Οὕτω μὲν οὖν Ἀριστόβουλος εἴρηκε, καὶ τὸ ἐπίγραμμα δὲ ἀπομνημονεύει τοῦτο· Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι, ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος, καὶ τῆς Ἀσίας βασιλεύσ(ας)· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

Cf. Onesicrit. fr. 31; Eustath. ad Dion. P. 1069; Plutarch. Alex. 69; Curtius X, 1, 30 et quæ ibi congessit Mützell.; Ste-Croix *Ex. crit.* p. 421; Droysen. l. l. p. 489.

---

quoque ac gladios et inaures auro et gemmis ligatos. Mensa præterea ibi posita erat; in media vero lectica loculus corpus Cyri continens. Esse præterea intra ambitum in ipso ad sepulcrum ascensu exiguam quandam ædiculam Magis exstructam, qui sepulcrum custodiebant, jam inde a Cambyse Cyri filio custodiæ munere a patribus in filios transmisso. Atque his quidem ovis in singulos dies a rege dabatur, vinique et farinæ certus modus : singulis etiam mensibus equus, quem Cyro sacrificarent. Titulus sepulcri Persice scriptus hoc significabat : *O homo, ego Cyrus sum Cambysis filius, qui Persis regnum constitui Asiæque imperavi. Itaque ne meo monimento invideas.*

Cap. XIX. 1. Ἀχαρναῖος B; om. A et C. ‖ βιόσιος B; om. C. ‖ 3. Κήμων B, Κίμος A, Κόμων C, *Conon* Valerius Maji, at in cod. Reg. 4880 recte legitur *Cimon*; vocem ὁ κορίνθιος om. C. ‖ 4. A : ἐτέθη ὑδρία καὶ ἐκληρώθη, καὶ ἔλαχε α' κτλ. ‖ 5. sic BC et Valerius, Κλινόμαχος A, addito patriæ nomine, quod et hoc l. et in sqq. reliqui codd. omittunt. Sequentia nomina dedi ex A, quum in B et C corrupta sint et ita adornata ut non novem sed decem numerentur. *Quintus* Valerio est *Balcheus*, quod ortum ex antecedente Ἀχαιὸς, ut deinceps sextus fiat qui esse debet quintus et sic porro. In B et C quintus recte est Aristippus; sextus Ὀλυνθος C., Ὀλδυδος B, quod ortum ex antecedente Ἀρίστιππος Ὀλύνθιος; ita jam *septimus* in codd. B et C est Πήριος (*Pierus* Valer.), *octavus* in B Λακωνίδης (i. e. Λακ. Λύδιος), in C Λακμέδων et infra Λακμέδων ὁ Λύδιος; in Valer. *Alcan*. *Nonus* est Alexander; quibus superadditur in B C Νικόμαχος ἄκρος. Hunc omittit Valerius, quem ex allatis corrigere licet. ‖ 6. Ἱπποφασίαν A. addens ἐποχευόμενοι τοῖς ἅρμασι. ‖ 7. Pro his A : ἀφέθη ἡ ἀφετηρία· προεπήδησαν κτλ. ‖ 8. ἅρματι B. ὁρμῇ μεταχρησάμενοι C. ‖ 9. π. om. B et A ‖ 10. ὑστερήσαντες ἀτονησάντων τ. ἱ. A; aptius scriberetur οἱ μὲν οὖν ὑστέρησαν, ἀτονησάντων τ. ἵ καὶ λιποψ. Ceterum post v. λυποψυχησάντων (sic) cod. C præposterе intercalata habet nescio unde hæc : Καὶ ἰδοῦ Νικόλαος τῇ οὐρανίᾳ (οὐρανίῳ cod.) ἐζωσμένος ἐσθῆτι, καὶ σὺν αὐτῷ Κίμων (Κύμ. cod.) ὁ Κορίνθιος ἠκασίᾳ (εἰκασίᾳ scr. Berger. interpretans : *Cymon également en costume de représentation* (?). Postulatur color vestis, quo a ceteris Cimon distingueretur. Conjecerim πρασίῳ vel πρασίνῳ (*viridi*). Sic πράσινον σχῆμα Malala commemorat p. 173 ed. Bonn. de diversicoloribus certatorum vestibus verba faciens) καὶ αὐτὸς ἐζωσμένος, μετὰ δὲ τούτους (τούτοις cod.) Λακμέδων ὁ Λύδιος (Λύδιος?) ἦν τέταρτος. (Igitur unum nomen excidit, Alexandri scilicet.) Καὶ μεγίστου θρύλλου (θρήλου cod. corr. Berger.) γενομένου, οἱ τοῦ Ὀλυμπίου μέρους φυλέται (sic. Berger; φυλῆται cod.) πρὸς Λακμέδοντα ἐπεβόων· « Τί τὴν ψυχὴν συμπάσχεις, ὦ Λακμεδον, καὶ σὺν μειρακίῳ ἦλθες μαχέσασθαι; μὴ κατάνευε ἁρματηλατῶν. » Ὁ δὲ Λακμέδων φησὶ πρὸς αὐτούς· « Ὑμεῖς οἱ τοῦ Ὀλυμπίου ἅπιτε (ἅπειτε cod.) ἀπ' ἐμοῦ· κἀγὼ παρὰ τοῦ μειρακίου ἐκδέχομαι στεφάνους ἐκ τοῦ μελχίου (τεμένους s. μειλιχίου?) Διός. » Ὁ δὲ Ἀλέξανδρος φησὶ πρὸς αὐτόν· « Ναὶ, οὕτως ἔχει· ἀπὸ γὰρ τοῦδε τοῦ ἀγῶνος καὶ ἡ τοῦ πατρὸς πραγματεύταί μοι βασιλεία. » Καὶ ταῦτα εἰπὼν, καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ κατεφίλησεν αὐτὸν, λέγων· « Ἴδε καὶ νέος Οἰνόμαος (sic Berger. pro Ἰνόμαος). » Μεταξὺ δὲ αὐτῶν ἕκαστος τὸ ἴδιον (τῷ ἰδίῳ cod.) περιεποιεῖτο σκεῦος, Ἀλέξανδρος ἔχων δ' (δέκα cod.) ἵππους βασιλικοὺς (βασιλίους cod.) δαγαλίους (Θετταλικούς? certe Bucephalus erat Thessalus. v. Plutarch. Al. 6), δεξιὸν μὲν τὸν Βουκέφαλον, ἀριστερὸν δὲ τὸν Πεγάσιον (πετάσιον cod.). Καὶ ἐστήκεισαν κατ' ἀξίαν, ὥστε πάντας λέγειν ἐν τοῖς Ὀλυμπίοις γεννηθῆναι τοὺς τοῦ Ἀλεξάνδρου ἵππους. Παρειστήκειμα πάριος (Berger. conj. παρ' εἰστήκημα Πάριον, quæ significare posse auguratur : *les assistans étaient placés près d'un monument de marbre de Paros* : Scribendum παρεστήκει μαππάριος, adstitit is, qui *mappa* signum certatoribus dare solet)· συμπαρῆσαν οἱ βλέποντες· οἱ σπένδοντες ἐπεβόων « Ζεὺς ἄνωθεν ἑώρα. » Ὁ δὲ ἱερεὺς τοῦ Διὸς ἀθλοθέτης ἐκάθητο. Ὁ ὄχλος τῶν θεωμένων (θεωρεῖν cod.) προεπήγετο ἰδεῖν τὸ ἀποθησόμενον· καὶ ἦν ἰδεῖν μυριάριθμον ὄχλον ὀφθαλμὸν ἕνα ἔχοντας, καὶ αὐτὸν (τοῦτον?) πρὸς Ἀλέξανδρον. Μεταξὺ δὲ τούτου Ἀλέξανδρος τὴν σημασίαν ποιεῖται· καὶ διὰ τῆς χειρὸς τοῖς ὄχλοις ἐμήνυε. Οἱ δὲ ὄχλοι εὐφήμουν· καὶ πολλοῖς ἔρις συνέπεσε (?)· σιγὴ δὲ τοῖς πᾶσιν ἐξίσου ἐγένετο. Καὶ ἰδοὺ οἱ καγκελλίδες ἄφνω ἀνεῴχθησαν· τὸ θάμβος εἶχε τοῖς πᾶσιν. Ἐξῆλθον δὲ ἅμα Νικόλαος καὶ Καλλισθένης (in anteced. pro Callisthene *Olynthio* vidimus Aristippum Olynthium) μέσον τὸν Ἀλέξανδρον ἔχοντες, ὧδε κἀκεῖσε περισκοποῦντες τὸ πῶς αὐτὸν θανατώσουσιν. Ἦγετο δὲ Ἀλέξανδρος μέσον αὐτῶν, καθάπερ χειμαζομένη ναῦς. Καὶ ὁ μὲν Καλλισθένης πλαγίως ἐκ δεξιῶν, ὄπισθεν δὲ αὐτοῦ ἦν Νικόλαος οὐχ οὕτως ἔχων τὸ νικῆσαι et cett., ut in B et A. ‖ 11. πότε add. C; deinde pergit ita : ὡς δὲ τὸν ἐπὶ τῇ σφενδόνῃ (cod. ἐπὶ σφενδῶνα) κατέλαβον τόπον, ἐνδίδωσι τὰς ἡνίας Ἀλέξανδρος· καὶ ὁ Βουκέφαλος περικυλίει (περικλύει cod.) τοὺς ἵππους καὶ τὸν μὲν Καλλισθένην περιδραμὼν τῇ σφενδόνῃ (σφενδῶνι cod.) ἀπερρίψατο· τὸν δὲ Νικόλαον συνεχώρησε προαπελθεῖν αὐ-

---

XIX. Non multo autem post cum dies certaminis advenisset, aurigandique professio studio excitaretur, novem quidem omnes, sed regii juvenes [*quatuor*] competebant : quorum sortito primo Nicolaus astitit carcere, secundo Xanthias, tertio Cimon, quarto Clitomachus, Balcheus quinto, Aristippus sexto in loco, Pierus septimo, Alcan octavo, Alexander post nono. Hi cum ex more artis atque certaminis institissent curribus, lituoque signum solemniter increpasset, cuncti una prosiliunt. Enimvero Alexander erat quartus a primo, Nicolao propius insequente, et spe transitus et infesto consilio, ut si prætervehi queat, non absque periculo Alexandri consulturus. Id quidem illum non satis fugerat. Nam et causa odii commonebat, quod bello Nicolai patrem Philippus oppressisset. Igitur astu se dedebat Alexander a Nicolao præteriri. Quippe jam ceteri, qui cursu prævenerant, alii alio casu prolapsi primam spem potiundæ palmæ Nicolao dabant. Qui cum finem certaminis jam sperasset, infert sese Alexander voto prælerlabendi. Ad hunc conatum equis Nicolai concurrentibus, titubans dexter e mediis cernuantique persimilis, implicatos reliquos secum

των τῶν πρώτων (12) ἐλαυνόντων ὑπ' ἀλλήλων, συνεχώρησε τὸν Νικόλαον παρελθεῖν αὐτόν· ὁ δὲ Νικόλαος ἀγνοῶν τὴν ἐνέδραν διέβη, ἔχων τὴν δόξαν τοῦ στεφανωθῆναι (11)· καὶ λοιπὸν ἤλαυνε πρῶτος, μετὰ δὲ δύο καμπτῆρας (14) σκονδυλίζει ὁ δεξιὸς ἵππος τοῦ Νικολάου ὁ ἐπὶ τῷ ῥυμῷ τοῦ ἅρματος (15), καὶ συμπεσόντων τῶν ἵππων καταπίπτει ὁ Νικόλαος. Ὁ οὖν Ἀλέξανδρος ἐπιμένει (16) τῇ ὁρμῇ τῶν ἵππων ἑαυτοῦ, καὶ παρερχόμενος ἐπιλαμβάνεται τῶν ἀξόνων (17) τῶν ὀπισθίων τοῦ Νικολάου· καὶ σὺν τῷ ἡνιόχῳ καὶ τοῖς ἵπποις τελευτᾷ ὁ Νικόλαος. Καὶ διαμένει λοιπὸν ὁ Ἀλέξανδρος μονώτατος· καὶ γίνεται τῷ τελευτήσαντι ἡ παροιμία ἡ λέγουσα· ὃς ἄλλῳ κακὰ τεύχει ἑαυτῷ κακὸν τέτευχεν (18).

Στεφανοῦται λοιπὸν ὁ Ἀλέξανδρος καὶ ἀναβαίνει (20) τὸν νικητικὸν (20) ἐστεμμένος στέφανον· στεφανοῖ γὰρ αὐτὸν ὁ Ὀλύμπιος τὸν κότινον στέφανον παρὰ τῷ Ὀλυμπίῳ Διΐ. Καὶ (21) λέγει αὐτῷ ὁ τοῦ Διὸς μάντις· « Ἀλέξανδρε, προμηνύει σοι ὁ Ὀλύμπιος Ζεὺς ταῦτα· θάρσει· ὥσπερ γὰρ Νικόλαον ἐνίκησας, οὕτω πολλοὺς νικήσεις ἐν πολέμοις. »

ΚΕΦ. Κ'.

Ἔνθα Ἀλέξανδρος ὑποστρέψας ἀπὸ τῆς Ἴσσης εὑρε Φίλιππον γήμαντα Κλεοπάτραν τὴν τοῦ Λυσίου ἀδελφήν.

Ὁ δὲ Ἀλέξανδρος λαβὼν τὴν κληδόνα ταύτην, νικηφόρος ἀναστραφεὶς (1) εἰς Μακεδονίαν εὑρίσκει τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα ἀπόβλητον γενομένην ὑπὸ τοῦ Φιλίππου τοῦ βασιλέως, τὸν δὲ Φίλιππον γήμαντα (2) τὴν ἀδελφὴν Λυσίου Κλεοπάτραν τοὔνομα. Ταύτῃ δὲ τῇ ἡμέρᾳ ἀγομένων (3) τῶν γάμων Φιλίππου (4), ἔχων τὸν νικητικὸν καὶ Ὀλυμπιακὸν στέφανον ὁ Ἀλέξανδρος εἰσῆλθεν (5) εἰς τὸ δεῖπνον, καὶ λέγει τῷ βασιλεῖ Φιλίππῳ· « Πάτερ, δέξαι μου τῶν πρώτων ἱδρώτων τὸν νικητικὸν στέφανον, καὶ ὅταν μέντοι κἀγὼ δίδωμι (6) τὴν ἐμαυτοῦ μητέρα Ὀλυμπιάδα βασιλεῖ ἑτέρῳ (7) πρὸς γάμον, καλέσω σε εἰς τὸν γάμον (8) Ὀλυμπιάδος. » Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἀνεκλίθη ἐναντίον Φιλίππου τοῦ πατρὸς αὐτοῦ (9). Φίλιππος δὲ ἐπὶ τοῖς λεγομένοις παρὰ Ἀλεξάνδρου ἐτρύχετο (10).

τὸν κτλ. ut in cod. B. ‖ 12. malim τῶν πρὸ αὐτοῦ ‖ 13. νικηθῆναι C. ἐλπίδα ἔχων στεφανωθῆναι ὡς νικητής A. ‖ 14. μετὰ δὲ β' καὶ γ' στάδια A. μετὰ δὲ ταῦτα C. ‖ 15. ἐπὶ τῷ πρώτῳ ἅρματι C; ἐπὶ τῷ ἅρματι τῷ πρώτῳ B', quæ sic inepta sunt, vel certe supervacanea. Quod substitui, indicavit Valerius : *titubans dexter e medis* (sic reposui e codice Regio 4880; cod. Ambrosianus habet *dexteræ medis*; unde Majus fecit *dexter equus*). Cod. A. nihil nisi hæc : σκονδυλίζει ὁ ἵππος Νικολάου, καὶ καταπίπτει ὅλως τὸ ἅρμα σὺν αὐτῷ τῷ ἡνιόχῳ· ὁ δὲ ἐπιβὰς τῇ ὁρμῇ τῶν ἵππων Ἀλεξάνδρου παραυτὰ ἀνῄρηκε τὸν Νικόλαον ‖ 16. ἐπιβαίνει C. ‖ 17. τῷ ἄξονι C. dein καὶ et mox τοῖς ἵπποις om B. ‖ 18 ἔτευχεν C addens : ὡς παρ' Ἡσιόδῳ (Opp. 265.)· « Οἱ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακα τεύχων. ‖ 19. διαβαίνει B. ‖ 20 τῷ νικητικῷ ἐστεμμένος στεφάνῳ A. Quæ sequuntur in B στεφανοῖ γὰρ... Διΐ non habet C; in cod. A. locus ita habet : καὶ ἀναβαίνει ἐστεμμένος τὸν κόκκινον (l. κότινον) παρὰ τῷ Ὀλυμπίῳ Διΐ. Ὁ δὲ νεοκόρος ἔφη αὐτῷ· Ἀλεξανδρε, ὡς Νικόλαον ἐνικήσας κτλ. ‖ 21. Delevi quæ antecedunt in cod. B : καὶ λέγει αὐτῷ ὁ τοῦ Διὸς μάντις Ἀλέξανδρε προμηνύει σοι ὁ Ὀλύμπιος τὸν κότινον στέφανον παρὰ τῷ Ὀλυμπίῳ Διΐ.

Cap. XX. 1. Cod. C : νικηφόρος ἀνεστρέφετο πρὸς τὴν Μακεδονίαν μετὰ πλήθους λαοῦ, καὶ ὁ Λαομέδων ὁ συναρματηλατήσας αὐτῷ· οὐκ ἐβούλετο γὰρ καταλεῖψαι αὐτόν. Οἱ δὲ λαοὶ θαυμάζοντες ἐπὶ τῇ συνέσει καὶ τῇ ἀνδρείᾳ τοῦ Ἀλεξάνδρου ὕμνων αὐτῷ πλέκουσιν ἔχοντα οὕτως·

Στίχοι πρὸς εὐφημίαν Ἀλεξάνδρου·

Αὔχη, Φίλιππε· τέρπου, Μακεδονία,
ὁ μὲν γεννήτης ἐντυχὼν Ἀλεξάνδρου,
ἡ δὲ πατρὶς τυχοῦσα τοιούτου κάλλους,
αὐτὸν δ' ὑπαντήσαντες στεφανώμενον,
νικητὴν ἀήττητον γαοῦχον μέγαν·
ἀνατείλας γὰρ κατηγλάϊσε ῥώμην,
καὶ πάντας ἡμαύρωσε λοιποὺς ἀστέρας.
Δέχου οὖν αὐτόν, λαμπρὰ Μακεδονία,
καὶ τοὺς ἐχθροὺς ἀμῦναι ἐν τούτῳ δίδου·
Ἀλέξανδρος γάρ ἐστιν ὁ κοσμοκράτωρ.

Ταῦτα λέγοντες, τὴν ὁδὸν περιείων (sic) δάφνην ἔχοντες ἐν ταῖς χερσὶν ταῖς τούτων. Post hæc pergit : Ἀλέξανδρος δὲ ἐλθὼν εἰς Μ. εὑρίσκει κτλ. ut supra. ‖ 2. Cod. A : γαμοῦντα τὴν ἀδελφὴν αὐτοῦ Κλεοπάτραν; ubi pro αὐτοῦ reponendum Ἀττάλου, quod nomen etiam Valerio e cod. restitui, quamquam Attalus revera non ἀδελφὸς Cleopatræ sed θεῖος fuit. Historiam quæ hoc capite et sequenti narratur habes ap. Plutarch. Alex. c. 9. Noster quo consilio Attalo Lysiam substituerit, patet e cap. sequente. ‖ 3. ἐπιτελουμένων A. ‖ 4. Cod C pergit ita : Ἀλέξανδρος τοῖς βασιλείοις ἐπεισέρχεται στεφανώμενος, σκῆπτρον νίκης τῇ χειρὶ κατέχων καὶ τῷ πατρὶ τὴν προσήκουσαν ἀπεδίδου τιμήν· καὶ παρ' αὐτοῦ τῇ τραπέζῃ ἐκελεύθη καθεσθῆναι. Ὁ δὲ Ἀλέξανδρος ἔχων τὸν νικητικὸν στέφανον λέγει τῷ βασιλεῖ Φιλίππῳ· κτλ. ‖ 5. εἰσέρχεται καὶ ἀνακλιθεὶς λέγει· πάτερ κτλ. A ‖ 6. præstaret ἐκδίδωμι; cod. A. ἐκδύσαιμι (sic). ‖ 7. Ὀλ. βασ. ἕ. om. A. ‖ 8. καλέσω σε εἰς τοὺς ἐμῆς μητρὸς γάμους. Ὁ δὲ Φίλιππος ἐπὶ τοῖς εἰρημένοις ἐτρύχετο A. ‖ 9. Post αὐτοῦ C addit γελωτοποιὸς (γελοποιὸς B). Quod delevi, quum pertine-

moratur. Enim tunc Alexander subiens, præteracto prolapsoque Nicolao supervectus, rem belli sub stadio transegit. Exin victor corona redimitus escenso templo cum Jovem Olympium salutaret, æstimatione rei gestæ aut instinctu dei, sacerdotem ferunt sic fortunam victoriæ interpretatum, ut quod primo certamine Nicolaum [*i. e.* νικόλαον] vicisset, esset sibi conjecturæ, perfacile multos eum populos vicinturum, universitatisque dominio potiturum.

XX. Hisce ergo omine atque lætitia ovans repatriat Macedoniam. Sed offendit forte, ex licentia regia spreto conjugio Olympiadis, Philippum tunc in Cleopatræ nuptias demutantem Attali alicujusdam non ignobilis filiæ. Die igitur nuptiarum irruens regis triclinium coronatus : Sume, inquit, hunc primum, o pater, laboris mei fructum : et una coronam in caput patris transtulit. Tunc adjecit, Gaudeo quidem quod in præsenti lætamini : et ego cum matrem aliis regalibus nuptiis conjugabo, vos quoque participabo convivio : et una cum dictis adversum Philippum decumbit. Sed

ΚΕΦ. ΚΑ'.

Ἔνθα Ἀλέξανδρος ὑβρισθεὶς ὑπὸ Λυσίου τοὺς ἐν τῷ δείπνῳ πάντας ἡμισφαγεῖς ποιήσας τὸν Λυσίαν ἀπέκτεινε.

Ὁ δὲ Λυσίας (1) συνανακείμενος (2) τῷ Φιλίππῳ εἶπε· « Φίλιππε βασιλεῦ (3), νῦν γάμον σοι τελοῦμεν Κλεοπάτρας τῆς ἀδελφῆς ἐμῆς (4), ἐξ ἧς παιδοποιήσεις γνησίους παῖδας (5) ὁμοίους ὄντας τῷ σῷ προσώπῳ. » Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος παρὰ Λυσίου ὀργίζεται, καὶ ὡς εἶχε τὴν κύλικα ἐνέτεινε (6) τῷ Λυσίᾳ, καὶ δίδωσιν αὐτῷ (7) κατὰ τοῦ κροτάφου καὶ ἀναιρεῖ αὐτόν. Ἰδὼν δὲ Φίλιππος τὸ γενόμενον ἀνίσταται ξιφήρης μανικὸν (8) ἔχων τὸ ξίφος κατὰ τοῦ Ἀλεξάνδρου, καὶ πίπτει σκελλισθεὶς ὑπὸ (9) τῆς χρηπῖδος τοῦ ἀκουβίτου (10). Ὁ δὲ Ἀλέξανδρος γελάσας εἶπε πρὸς Φίλιππον· « Ὁ τὴν Ἀσίαν ὅλην σπεύδων παραλαβεῖν (11) καὶ τὴν Εὐρώπην ἐκ βάθρων καταστρέψαι οὐκ ἠὐτόνησε (12) βῆμα ἓν ἀνελθεῖν. » Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἥρπασε τὸ ξίφος ἀπὸ τοῦ πατρὸς αὐτοῦ Φιλίππου, καὶ πάντας τοὺς ἀνακεκλιμένους (13) ἡμισφαγεῖς ἐποίησεν (14). Ἦν δὲ ἰδεῖν Κενταύρων ἱστορίαν· οἱ μὲν γὰρ αὐτῶν ὑπὸ τοὺς κλιντῆρας ἔφυγον, οἱ δὲ ταῖς τραπέζαις ὡς ὅπλοις ἐχρήσαντο (15), ἄλλοι δὲ ὑπὸ σκοτεινοὺς τόπους ἀνεχώρουν (16), ὥστε θεωρεῖν νέον ἄλλον (17) Ὀδυσσέα τὸν Ἀλέξανδρον τοὺς τῆς Πηνελόπης (18) μνηστῆρας ἀναιροῦντα.

ΚΕΦ. ΚΒ'.

Ἔνθα Ἀλέξανδρος πρὸς φιλίαν συνάπτει Φιλίππῳ τὴν Ὀλυμπιάδα.

Ἐξέρχεται οὖν ὁ Ἀλέξανδρος καὶ φέρει τὴν μητέρα αὐτοῦ (1) εἰς τὸ παλάτιον, τὴν δὲ ἀδελφὴν Λυσίου Κλεοπάτραν φυγάδα ἐποίησεν ἐκδικῶν (2) τὸν αὐτῆς γάμον. Βαστάσαντες δὲ οἱ δορυφόροι τὸν Φίλιππον κατέκλιναν αὐτὸν ἐπὶ τοῦ κραββάτου (3) κακῶς (4) ἔχοντα. Καὶ μετὰ ἡμέρας δέκα εἰσέρχεται Ἀλέξανδρος πρὸς τὸν Φίλιππον, καὶ παρακαθεσθεὶς αὐτῷ εἶπε· « Φίλιππε βασιλεῦ (τῷ ὀνόματί σε καλέσω, μήπως ἀηδῶς ἔχῃς τῷ ὑπ' ἐμοῦ πατέρα σε φωνεῖσθαι), εἰσῆλθον πρός σε οὐχ ὡς υἱός σου, ἀλλ' ὡς φίλος, μεσίτης ὢν (5) ὑπὲρ τῶν ὑπό σου ἀδίκως πρὸς τὴν σὴν (6) γυναῖκα καταπραχθέντων. (7) » Λέγει αὐτῷ Φίλιππος· « Κακῶς ἐποίησας, Ἀλέξανδρε, ἀναιρῶν

at vox ad Lysiam, uti patet ex cod. A. Deinde cod. C pergit : Ὁ δὲ Φίλιππος θεασάμενος αὐτὸν σκυθρωπὸς γίνεται καὶ μεταμελεῖται ἐφ' οἷς ἔπραξεν εἰς Ὀλυμπιάδα. Ἅμα δὲ καὶ ἐπὶ τοῖς λεγομένοις παρὰ Ἀλεξάνδρου ἐτρύχετο. Οἱ δὲ συνανακείμενοι αὐτῷ διεγνωσαν ἐκ προσώπου αὐτοῦ τὸ τούτου ἐνθύμιον· καὶ δὴ κύλικα φέρουσι τῷ Φιλίππῳ· ὁ δὲ οὐκ ἤθελε πίνειν.

Cap. XXI. 1. Ἀλυσίας B ; Ἦν δέ τις γελωτοποιὸς ὀνόματι Λυσίας. Οὗτος ἔφη· « Μὴ ἔσω (ἔστω) τεταραγμένος, ἀλλὰ θάρσει ἐπὶ τῇ νεότητι τῆς νῦν σοι γαμουμένης, ἐξ ἧς παιδοποιήσεις γνησίους, ἀμευχεσίους (l. ἀμοιχιδίους v. ἀμοιχευτοὺς) παῖδας, ὁμοίους τῷ σῷ χαράγματι. A Cf. Plutarch. Al. c. 9 : ὁ Ἄτταλος ἐν τῷ πότῳ μεθύων παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασιλείας. et Justinus IX, 7. ‖ 2. ἀνακείμενος ἔλεγεν τῷ Φιλίππῳ B. ‖ 3. addit C : πάσης πόλεως δυνάστα ‖ 4. τῆς αἰδεσίμης C. ‖ 5 ἀμοιχευτοὺς add. C. ‖ 6. Ταῦτα ἀκούσας ὁ Ἀλ. ὠργίσθη, καὶ ὡς εἶχε τὴν κύλικα ἐπετίναξε [ἐπὶ] τὸν Λυσίαν, καὶ πάραυτα ἀνῄρηκεν αὐτόν A. ‖ 7. αὐτὸν C. ‖ 8. malim μανικὸς v. μανικῶς ; om. A. ‖ 9. ἀπὸ B. ‖ 10. ἀκοβίτου C ; σκελλισθέντος δὲ αὐτοῦ καὶ πεσόντος ἐγγὺς τῆς κλητηρίας (l. κλιντηρίας), εἶπεν Ἀλέξανδρος· « Ὁ τὴν Ἀσίαν Φίλιππος σπεύδων λαβεῖν καὶ τὴν Εὐρώπην ἐκ βάθρων », οὐκ ἠδυνήθη βῆμα ἀλλάξασθαι. Plutarchus l. l. : οὗτος μέντοι.. εἰς Ἀσίαν ἐξ Εὐρώπης παρασκευάζεται διαβαίνειν, ὃς ἐπὶ κλίνης ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται. ‖ 11. sic C : ὁ τὴν Ἀσίαν νικήσας ὅλην κ. τ. Ε. ἐ. β. σπεύδων κ. cod. B, ad quem accedit Valerius. ‖ 12. εὐτονήσας ἓν βῆμα ἐλθεῖν C. ‖ 13. sic A. κεκλημένους B.C. ‖ 14. πεποίηκε B. ποιεῖ A, qui deinde pergit : καὶ ἐξέρχεται ἀπὸ τοῦ Φιλίππου καὶ ἔρχεται πρὸς τὴν μητέρα, missa descriptione ista Centauromachiæ ‖ 15. addit aliunde C : καὶ ἄλλοι τοῖς τοίχοις προσέκρουον, καὶ ἕτεροι τοῦ παλατίου ἐκρημνίζοντο, καὶ οὓς μὲν ἐφόνευσεν, οὓς δὲ ἡμιθανεῖς ἐποίησεν ‖ 16. ἄλλοι δὲ ὑ. σκ. τ. ἐλθόντες τὴν ἑαυτῶν σωτηρίαν ἐπραγματεύσαντο C. ‖ 17. νεώτερον B. ‖ 18. τοὺς ἐπὶ τῇ Π., B.

Cap. XXII. 1 addit C : ἐκδικος αὐτῆς γενόμενος. Cod. A hæc et quæ sequuntur usque ad verba μετὰ ἡμέρας δέκα non habet. ‖ 2. ἐκδ. τ. ἀ. γ. om. h. l. C. ‖ 3. κλιντῆρος C. ‖ 4. ἐσχάτως C. ‖ 5. μεσιτεύων A. ‖ 6. ἰδίαν C. ‖ 7. addit A : μηδὲν σοῦ ἀδι-

---

rex asperatus ad dicta intus in animo sæviebat.

XXI. Aderat tunc inter multas regalesque delicias Lysias quidam risui excitando quam facetissimus, qui cum in gratiam regis admordere adolescentulum vellet : Potiare, inquit, o rex, Cleopatræ, potiare : e qua tibi spero privatos filios atque incommunicatos alteri proventuros : eosque qui vultibus tuis et felici respondeant semini. Hæc ubi dicta sunt, irritatior juvenis protinus poculum, quod sibi præ manu erat, in Lysiam jaculatur, eumque vulnerat. Sed rex, effervescente iræ professione, prosiliens in Alexandrum labitur, cruereque læso et vulnerato procumbit. Tum parum temperans voci juvenis : En, inquit, ille qui Asiam Europamque subjecit, unius lectuli spatium sine periculo non emensus est! Et cum dicto rapit gladium, omnesque qui forte sese veluti ad comprehendendum irruerant, dissicit : prorsus ut nihilum de Centaurorum Lapitharumque convivio demutaret : aut quod illi rei sit proximum, procos diceres cum ultore Ulixe decernere.

XXII. Egressus igitur concedit ad matrem. Enim qui aderant Philippum non absque discrimine vulneratum cubiculo inducebant, lectoque deponunt. Sed is cum post compluscules dies jam bonam spem curationi promitteret, ingreditur amica sollicitudine tunc Alexander, assidensque lectulo : « Quæso, inquit, o Philippe (adhuc enim te hoc et communi nomine alloquor, ut amicus, donicum patris in te animum recognovero), quid tandem hoc rei est, quod te avertit a conjuge? Aveo enim scire, vindex et ultor futurus in matrem, si culpa meruit quod evenerat. Huc adde, si placet, probesne illam Lysiæ in Alexandrum petulantiam? probesne etiam patris in filium truculentiam? Quid enim uterque commeruimus a patre et marito? Abjecta Olympias conjux et Alexander filius incursatur. Quin ergo surge, et

τὸν Λυσίαν ἐπὶ τοῖς εἰρημένοις (8) ὑπ' αὐτοῦ ῥήμασιν ἀπρεπέσιν. » Ὁ δὲ Ἀλέξανδρος εἶπε· « Σὺ δὲ καλῶς ἔπραξας (9) ξιφήρης ἐπαναστὰς (10) τῷ σῷ τέκνῳ θέλων ἀναλῶσαί με καὶ γαμεῖν βουλόμενος ἑτέραν, μηδὲν ἀδικηθεὶς ὑπὸ τῆς προτέρας γυναικὸς Ὀλυμπιάδος· ἐξανάστηθι (11) οὖν καὶ περὶ σεαυτὸν γενοῦ· οἶδα γὰρ διά τί νωθρεύει σου τὸ σῶμα (12)· καὶ λήθην δῶμεν ἐπὶ τοῖς ἡμαρτημένοις· κἀγὼ δὲ παρακαλέσω Ὀλυμπιάδα τὴν μητέρα μου διαλλαγῆναί σοι· πεισθήσεται γὰρ τῷ υἱῷ αὐτῆς, κἂν σὺ οὐ θέλῃς πατήρ μου καλεῖσθαι. » (12*) Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἐξέρχεται, καὶ ἐλθὼν πρὸς Ὀλυμπιάδα τὴν μητέρα αὐτοῦ λέγει αὐτῇ· « Μῆτερ, μὴ ἀγανάκτει ἐπὶ (13) τοῖς γινομένοις ὑπὸ τοῦ σοῦ ἀνδρός· ἐκεῖνον γὰρ (14) λανθάνει τὸ ὑπό σου γενόμενον ἁμάρτημα, ἐγὼ δὲ ἔλεγχός σου τυγχάνω (15), Αἰγυπτίου πατρὸς ὢν υἱός· ὥστε οὖν ἐλθὲ παρακαλοῦσα αὐτὸν διαλλαγῆναί σοι· πρέπον γάρ ἐστι γυναικὶ τῷ ἰδίῳ ἀνδρὶ ὑποτάσσεσθαι. » Καὶ ἤγαγεν αὐτὴν πρὸς Φίλιππον τὸν πατέρα αὐτοῦ, καὶ εἶπε· « Πάτερ, ἐπιστράφηθι πρὸς τὴν γυναῖκά σου· νῦν (16) πατέρα σε φωνήσω, ὅτι καὶ σὺ τῷ τέκνῳ σου ἐπείσθης (17)· πάρεστι (18) σοι ἡ μήτηρ μου πολλὰ παρακληθεῖσα παρ' ἐμοῦ τοῦ ἐλθεῖν (19) πρός σε καὶ ἀμνήμονα γενέσθαι τῶν πραχθέντων· λοιπὸν (20) περιπλάκητε ἀλλήλοις· αἰσχρὸν γὰρ οὐκ (21) ἐστιν ὑμῖν ἐπ' ἐμοῦ (22)· ἐξ ὑμῶν γὰρ ἔφυν (23). » Καὶ ταῦτα εἰπὼν διήλλαξε τοὺς γονεῖς, ὥστε αὐτὸν ὑπὸ πάντων θαυμάζεσθαι τῶν Μακεδόνων. Τὸ (24) δὲ ὄνομα τοῦ Λυσίου ἔκτοτε παραιτοῦνται οἱ γαμοῦντες ὀνομάζειν, μήποτε αὐτοῦ ὀνομασθέντος διάλυσιν λάβωσιν.

ΚΕΦ. ΚΓ'.

Ἦν δὲ ἡ πόλις Μεθώνη (1) ἀντάρασα τῷ Φιλίππῳ. Πέμπει οὖν Φίλιππος τὸν Ἀλέξανδρον μετὰ πολλῆς στρατιᾶς τοῦ πολεμῆσαι αὐτήν. Ὁ δὲ Ἀλέξανδρος παραγενόμενος ἐπὶ τὴν Μεθώνην, λόγοις συνετοῖς ἔπεισε τούτους ὑπηκόους γενέσθαι (2). Ἐπανελθὼν δὲ ἀπὸ Με-

κηθέντος ὑπ' αὐτῆς. ‖ 8. εἰρ. om. B; ὑπ' om. C. ‖ 9. ἐποίησας C. ‖ 10 ἐπαν. assumpsi e cod C; ἐπὶ BC. ‖ 11. ἀναστὰς οὖν π. σ. γ. C; ἀνάστα καὶ π. σ. γ. A. ‖ 12. Disertius cod. A : οἶδα γαρ διά τί νωθρεύῃ, οὐ τὸ σῶμα λέγω, ἀλλὰ τῇ ψυχῇ ἀδαιμονεῖς. Cl. latina. In seqq. cod. A manca habet. ‖ 12* Pergit A : ὁ δὲ Φίλιππος μᾶλλον πληγεὶς ὑπὸ τῆς προτέρας ἀρρωστίας διὰ τὴν τοῦ νέου νουθεσίαν τε καὶ κατάγνωσιν, ἐρεισάμενος (ἤγησ. ?) φρονιμώτερον εἶναι τὸ σιωπήσαντα μὴ ἀποκρίνεσθαι τοῖς ὑπὸ Ἀλεξάνδρου ῥηθεῖσιν, συμμετρήσας τὰ πάντα ἀχανὴς διέμεινεν. Ὁ δὲ Ἀλεξ ἐξελθὼν κτλ. ‖ 13. ὑπὸ B. C. ‖ 14. γὰρ om. B. ‖ 15. ὑπάρχω C; ἀλλ' ἐγὼ μέντοι ἔλεγχός σοι ἔσομαι· ὥστε σὺ πρώτη εἰσελθε πρὸς αὐτόν· πρέπον γάρ ἐστι κτλ. cod. A. ‖ 16. καὶ ἀπὸ τοῦ νῦν C. ‖ 17. πεισθεὶς B C. ‖ 18. παρέστη C. ‖ 19. εἰσελθεῖν πρός σε C., qui deinde pergit ita : καὶ Φίλιππος εἰς χαρὰν ἅμα καὶ γέλωτα μετετράπη· καὶ « Οἷον, ἔφη, παιδίον τοῖς τοσαύτοις καὶ τηλικούτοις κατεκυρίευσεν ἀνδράσιν· μικροῦ δὲ [δεῖ] θρηνηθῆναι (ὑροηθῆναι cod.) κἀμὲ πεποίηκε. » Καὶ ἁπλώσας τὴν χεῖρα κατέσχεν Ἀλέξανδρον, καὶ τῷ τραχήλῳ αὐτοῦ περιπλακεὶς ἡδέως κατησπάζετο. Ἀντασπαζόμενος δὲ αὐτὸν Ἀλέξανδρος ἔφη· « Ὀλυμπιὰς συνανασσέτω σοι. » Καὶ Φίλιππος ἀπεκρίνατο· « Καὶ συνανασσέτω, τέκνον μου, καὶ συνθυσκετω μοι δίχα λόγου τινός, καὶ σέ μου τῆς βασιλείας διάδοχον καθιστημι· σύγγνωθι δέ μοι τῷ πατρί σου ἅπερ ἔπραξα εἰς Ὀλυμπιάδα τὴν μητέρα σου. » Ὁ δὲ Ἀλεξανδρος ἔφη· « Μηδαμῶς μοι ὑπαισχυνθῇς· παῖς γάρ σου τυγχάνω. Καὶ εἰ πληροφορῆσαί μοι θέλεις, κατ' ὄψιν μου κοιμηθῆναι σὺν τῇ μητρί μου τῇ νυκτὶ ταύτῃ. » Ὁ δὲ Φίλιππος· « Οὐ τὴν νύκτα ταύτην, ἔφη, ἀναμείνωμεν, ἀλλὰ τῇ ὥρᾳ ταύτῃ πληροφορήσω σοι· σφόδρα γάρ λελύπημαι περὶ τῶν ὑπ' ἐμοῦ πραχθέντων εἰς αὐτήν, ὧν συγγνώμην αἰτῶ παρ' αὐτῆς. » Καὶ ταῦτα διαπραξάμενος Ἀλέξανδρος· διήλλαξε τοὺς γονεῖς κτλ., ut in cod. A et B. ‖ 20. ἀλλὰ A. ‖ 21 οὐκ supplevi ex A ‖ 22. ἐμοῦ ἐναντίον add. A. ‖ 23 ἔφην B. ‖ 24. Postrema hæc om. A.

Cap. XXIII. Caput hoc in cod. C inscribitur : Ἔνθα Ἀλέξανδρος ἐν Μαθώνῃ παραγίνεται, καὶ ταύτην ὑποτάξας εἰς Σκύθας παραγίνεται. At de expeditione Scythica nihil legitur neque in codd. A et B neque in Valerio, qui quidem omnes postquam Methonem ab Alexandro subactam dixerunt, subjungunt narrationem de Persarum legatis annuum a Philippo tributum exigentibus. Secundum cod. C tributorum isti exactores adveniunt post mortem Philippi, quum Alexander exercitum in Asiam ducendum jam collegisset. Vide infra. ‖ 1. Μοθώνη B. Μοθόνη A. Μαθώνη C. ‖ 2. addit A : τὴν τῶν ὅπλων δύναμιν παραλεύψας. Οἱ δὲ ἀσμένως ἐδίδοσαν φόρους, τάλαντα γ', στρατιώτας δισχιλίους. Jam sequitur in codice C expeditio contra Scythas : Τούτων οὕτως ἐχόντων καὶ ἡμερῶν τινῶν διελθουσῶν, πόλεμον οἱ Σκύθαι ὁπλίζουσιν κατὰ Μακεδονίαν. Καὶ Φίλιππος ἀκούσας τὸν στρατὸν ἐπισκέπτεται· καὶ γνούς μὴ αὐταρκὴ ἔχειν στρατὸν πρὸς ἀντιπαράταξιν τούτων (πολὺ γὰρ τὸ τῶν

---

confirmato corpusculo, animum etiam labantem una curaveris, adeo tibi Olympiadem tuam in gratiam una atque in cubiculum jam deducam. Geret enim morem perfecto Alexandro filio, cujus tu pater, ut video, esse fastidis. » His dictis, transit ad matrem, Philippo jam inter pudorem pœnitentiamque distento, et ad eam : « Ne, inquit, quæso, ne moveare, mi mater, super hisce quæ in te egerit maritus. Etenim ipsa quamvis clam habeas quod commeruerit, age tamen morem conscientiæ tuæ, cujus memet testem habes, qui hanc tibi concordiam suadeo. Quæso remees ad conjugem, et redde te marito morigeram. » Cedit auctoritati suadentis filii Olympias, et duce tali revenit ad maritum. Tunc Alexander : « En tibi, pater, Olympias tua (jam enim te paterno nomine usurpabo, cujus adeo libens fueris auditor). Igitur et precator ad eam fui, et remittit tibi meritum tuum abolitione omnis injuriæ. Agite igitur, quæso, post iram integrationem conjugalis affectus. Nec sit pudendum, si filius sim parentibus copulator. » His dictis, impetrat quod laborat : idque ei largiter apud omnes patriæ proceres bonum admodum testimonium fuit. Placet denique Lysiæ nomen conjugalibus ritibus in perpetuum aboleri : quod appellatio illa solutioni cœpti cum Cleopatra conjugii fuisset.

XXIII. At his ferme diebus, quibus hæc acta videbantur, descivisse obsequio Mothana civitas nunciabatur. Ad quam animo Philippus incitatus, cum adhuc viribus corporis deficeretur, optimum ratus ultionem non distulisse, numerum qui forte adesset militum ducere Alexandrum jubet, idque adolescens properanter exsequitur diligenterque : subactam

θώνης Ἀλέξανδρος καὶ εἰσελθὼν πρὸς τὸν πατέρα αὐτοῦ Φίλιππον, ὁρᾷ ἐπάνω (3) αὐτοῦ ἑστῶτας ἄνδρας βαρβαρικῷ στολισμῷ ἠμφιεσμένους, καὶ ἐξετάζει τὰ περὶ αὐτῶν, λέγων· « Τίνες εἰσὶν οὗτοι; » Ὁ δέ· « Σατράπαι, » εἶπε, « Δαρείου τοῦ Περσῶν βασιλέως. » Ὁ δὲ Ἀλέξανδρός φησι πρὸς αὐτούς· « Τί ὧδε παραγεγόνατε; « Οἱ δὲ ἀπεκρίθησαν πρὸς αὐτόν· « Τοὺς συνήθεις φόρους ἀπαιτῆσαι τὸν πατέρα σου. (4) » Λέγει αὐτοῖς ὁ Ἀλέξανδρος· « Εἰ ταῦτα οἱ θεοὶ τοῖς ἀνθρώποις δεδώκασιν εἰς διατροφὴν δωρεάν, Δαρεῖος τὴν τῶν θεῶν δωρεὰν νοσφίζεται. (5) » Εἶτα λέγει αὐτοῖς πειράζων· (6) « Τί δὴ εἴη τὰ διδόμενα; » Λέγουσιν αὐτῷ· « Ὠὰ χρυσᾶ ἑκατὸν ἀπὸ λιτρῶν εἴκοσι χρυσίου. » Ἀποκριθεὶς δὲ Ἀλέξανδρος εἶπεν αὐτοῖς· « Οὐ δίκαιόν ἐστι Φίλιππον τὸν βασιλέα Μακεδόνων τοῖς βαρβάροις φόρους παρέχειν· οὐ γὰρ ὁ θέλων τοὺς Ἕλληνας εἰς δουλείαν ὑποτάσσει. » Λέγει οὖν Ἀλέξανδρος τοῖς σατράπαις Δαρείου· « Πορεύεσθε καὶ εἴπατε Δαρείῳ ὅτι Ἀλέξανδρος ὁ Φιλίππου παῖς δηλοῖ σοι, ὅταν (7) ἦν αὐτὸς Φίλιππος μόνος, φόρους ὑμῖν ἐτέλει· ὅτε δὲ ἐγέννησεν υἱὸν Ἀλέξανδρον, φόρους ὑμῖν οὐκέτι δίδωσιν· ἀλλὰ καὶ οὓς ἔλαβες παρ' αὐτοῦ, ἐγὼ ἐλθὼν πρός σε λήψομαι. » Καὶ ταῦτα εἰπὼν ἐξέπεμψε τοὺς πρέσβεις Δαρείου, μηδὲ γραμμάτων ἀξιώσας τὸν πέμψαντα αὐτοὺς βασιλέα. Ἔχαιρε δὲ ἐπὶ τούτοις ὁ Φίλιππος ὁρῶν ταῦτα τολμῶντα τὸν Ἀλέξανδρον.

Σκυθῶν πλῆθος ἦν, ὡσεὶ χιλιάδες τετρακόσιαι), ἐν ἀμηχανίᾳ [οὖν] ὑπῆρχε Φίλιππος· καὶ προσκαλεσάμενος πάντας τοὺς μετιστάνους αὐτοῦ καὶ φίλους, διηπορεῖτο περὶ τοῦ πολέμου, ὡς ἂν τί διαπράξεται. Καί φησιν Ἀριστοτέλης· « Ὦ δέστοτα Φίλιππε, ὃς τὸν πόλεμον Ἀλεξάνδρῳ, καὶ ἡ τύχη διαπράξοιτο. » Καὶ παρευθὺς προσκαλεῖται Φίλιππος τὸν Ἀλέξανδρον, καὶ λέγει αὐτῷ· « Ἰδού, καιρὸς ἀγῶνος ὑπὲρ πατρίδος, Ἀλέξανδρε. Ἐκληρώθη σου τῇ τύχῃ ὁ πόλεμος· φράσον δὴ πῶς ἂν ἔχῃ περὶ αὐτοῦ· παροίμιον γάρ σου τῆς εὐτυχίας ὁ λόγος προβέβληται· σκόπει οὖν τὰ περὶ τοῦ πολέμου. » Ὁ δὲ Ἀλέξανδρος ἵστατο μετὰ πάντων· ἱστάμενος δὲ ἐμειδία, καὶ μειδιῶν ἐθρασύνετο, καὶ χαρίεντι τῷ προσώπῳ τῷ πατρὶ ἀντερθέγξατο· « Τί ἔτι μοι ταῦτα οὐ πρὸ πολλοῦ ἔλεξας (cod. ἤλεγξας), ἀλλ' εἰς ἀθυμίαν καὶ λύπην τοιαύτην κατένευσας δι' ἀθροισμὸν μυρμήκων (sic Berger de Xivrey, pro μυρμίγγων.) πολλῶν; Ἐξελεύσομαι δὴ καὶ πολεμήσω αὐτούς, καὶ τοὺς δυνατοὺς αὐτῶν θήσω εἰς ἀφανισμόν· οὐ γὰρ ἐν πλήθει αἱ νίκαι γίνονται, ἀλλ' ἐκ τῆς ἄνωθεν δεδώρηται προνοίας. » Ἐπὶ τούτοις πάντων οἱ ὀφθαλμοὶ τῷ Ἀλεξάνδρῳ ἠτένιζον· καὶ θαυμάζεται παρὰ πάντων. Ἵστατο δὲ μέσον πάντων ὡς ἀστὴρ ἐκλάμπων. Ὁ δὲ Φίλιππος φησίν· « Ἄπιθι, τέκνον, καὶ ὅσα ἡ πρόνοια τίθησιν ἐν τῇ ψυχῇ σου, ταῦτα ποίει. » Ἐξῆλθε δὲ Ἀλέξανδρος καὶ μετ' αὐτοῦ τριάκοντα χιλιάδες νεανίσκων, καὶ ὥρμησε Σκύθας πολεμεῖν. Καὶ ἡ μὲν Σκυθῶν παράταξις ἀναρίθμητος ἦν, ἡ δὲ τύχη Ἀλεξάνδρου ἀκαταγώνιστος. — Καὶ δὴ λαμβάνει μεθ' ἑαυτοῦ ὀλίγους τινὰς καὶ καταλαμβάνει τὴν (τινα?) ἀκρώρειαν, καὶ τὸ πλῆθος τῶν πολεμίων κατανοῶν ἐπιτήδειον σκέπτεται τόπον, ὃς δυνατὸς ἦν αὐτοῖς, τοῖς δὲ Σκύθαις ἄγνωστος. Καὶ στραφεὶς παραλαμβάνει μεθ' ἑαυτοῦ ἅπαν τὸ πλῆθος· καὶ διίστησι γύρωθεν τοῦ τῶν Σκυθῶν φουσάτου (fossati) κατὰ τὸν καιρὸν τῆς νυκτός. Ἐν δὲ τῷ ὑσθάτῳ τόπῳ ἐνέδραν τίθησιν (cod. ἄδειαν ἀρίησιν)· ἐπιλέκτους ἄνδρας ὡς δισχιλίους ἐν αὐτῷ (cod. τῷ) κρύπτεσθαι προσέταξεν· ἐκέλευσε δὲ τοὺς κύκλωθεν πάντας ἀνὰ τριακόντα ὀκτὼ καὶ πλείους καμίνους ἀνάπτειν. Τούτου δὲ γενομένου, πάντοθεν οἱ Σκύθαι περισκοπήσαντες ὁρῶσι ἐν τῷ τόπῳ, οὗ ὁ Ἀλέξανδρος τὸ ἐνέδρον ἐποίησεν, ὡς δῆθεν ἄδειαν τῶν λαμπάδων (dicere voluit auctor: ὁρῶσι... ἄδειαν εἶναι ἀπὸ τῶν πολεμίων, ὡς δῆθεν λαμπάδων ἐκεῖ οὐ καιομένων), καὶ ὡς εἶδον τὸ πλῆθος τῶν Μακεδόνων φοβηθέντες, ἔδοξεν αὐτοῖς ὡς διὰ νυκτὸς φυγῇ χρησάμενοι ἐκεῖθε διασωθῶσιν. Παραχρῆμα δὲ καταλιπόντες τὴν πᾶσαν ἀποσκευὴν εἰς φυγὴν ὥρμησαν. Ἀλέξανδρος δὲ θεασάμενος ἀψορῇ αὐτῶν ἠκολούθη (ἀψορητὶ αὐτοῖς ἠκολούθησε) μετὰ πάντων τῶν στρατευμάτων αὐτοῦ.

Ὡς δὲ ἐν τῷ τόπῳ ἐγένοντο οἱ Σκύθαι καὶ τῷ χωνεύματι (scr. φωλεύματι) εἰσβάντες, σαλπίζει ὄπισθεν αὐτῶν Ἀλέξανδρος, καὶ βοῶσι Μακεδόνες, καὶ Σκύθαι ἀλλήλους κατωθοῦσι, καὶ τὸ ἐνέδρον ἐκ τῶν ἔμπροσθεν ὑπεξέρχεται καὶ ἄνωθεν εἰσβάλλουσι, καὶ ἵσταντο οἱ Σκύθαι μηδὲν ἄλλο εἰ μὴ τὸν θάνατον ἐκδεχόμενοι. Φωνὰς δὲ ἱκετηρίας προσέφερον· καὶ πάντες ἀδεῶς ἐσφαζοντο ὑπὸ τῶν Μακεδόνων. Ἐπικάμπτεται τούτοις Ἀλέξανδρος· καὶ παρευθὺς ἀπέχεσθαι τοῦ πολέμου προσέταξε· πάντας δὲ εἶπε δεθῆναι καὶ ἄγεσθαι ἐν τῷ φουσάτῳ αὐτοῦ, ὡς ἂν καὶ περὶ αὐτῶν σκέψηται. Καὶ δὴ ἀπελθόντες ἐν τῷ κελευσθέντι τόπῳ, Ἀλέξανδρος τοὺς προύχοντας αὐτῶν παριστᾶναι ἐκέλευσε. Παρίσταντο δὲ τρέμοντες, καὶ φησὶ πρὸς αὐτοὺς Ἀλέξανδρος· « Ἴδατε ὡς ἡ πρόνοια παρέδωκεν ὑμᾶς εἰς χεῖρας τῶν Μακεδόνων, καὶ οὐκ ἠδυνήθητε ἀντιστῆναι τὰ ἴχνη τῶν « ποδῶν ἡμῶν. Ἐστέ μοι δοῦλοι ἢ οὔ; » Οἱ δὲ μετὰ φόβου εἶπον· « Δοῦλοί σου ἐσμέν, δέσποτα, καὶ δουλεύσομέν σοι εἰς « τὸν αἰῶνα κατὰ τό σοι βουλητόν. » Καὶ πρηνεῖς πεσόντες εἰς γῆν προσεκύνησαν αὐτῷ. Ἀλέξανδρος δὲ ὡς ἂν εἴη φιλοφρονούμενος αὐτοῖς, ἐκέλευσε τῶν δεσμῶν ἀφεθῆναι καὶ σὺν αὐτῷ εἰς τὴν πόλιν Φιλίππου εἰσέρχεσθαι, ὡς ἐπινίκιον ἐπιδείξασθαι νίκης (νῖκος cod.), ἔπειτα δὲ καὶ συγχωρηθῆναι ἀπελθεῖν εἰς τὰ ἴδια καὶ φόρους ἐτησίους τελεῖν ἐκέλευσε πρὸς τοὺς Μακεδόνας. ‖ 3. sic etiam cod. A. ‖ 4. pergit A : Ὑπὲρ τίνος, ἔφη, ἀπαιτεῖτε τοὺς φόρους; Οἱ δὲ « Τῆς γῆς ὑμῶν ὑπὲρ Δαρείου. » Ὁ δὲ Ἀλέξανδρός φησι· Εἰ ταῦτα κτλ. ‖ 5 ἐρανίζεται C et A. ‖ 6. Quæ sequuntur usque ad verba πορεύεσθε ignorat cod. A. ‖ 7.

---

enim populatamque ad vindictæ ostentationem raptim Mothanam reversus annunciat. Sed enim cum illo reditu de Mothana ingressus ad patrem foret, videt ibi assistentes habitu barbaro viros, percontansque agnoscit Persæ Darii satrapas: causam autem adventus esse, quod ex more regi petitum pecunias a Philippo venissent, pretium scilicet aquæ atque terræ: his enim nominibus subjectos obsequi sibi Persæ deposcunt. Miratus igitur Alexander et petendi morem et titulum: « Hæcine, inquit, elementa Persæ mortalibus venditant, quæ cunctis deus in commune largitus est? » Dolebat ergo, altiusque adolescentuli vim carpebat, quod viri Græci nominis ac dignitatis vectigales barbaris fierent: quæ res esset pendentibus jugiter ad magisterium servitutis. Tum igitur paululum barbaris indidem separatis, ferre a se mandata ad Darium jubet: hæc illi Alexandrum nunciare et dicere: boni consuleret, et ab hac petendi consuetudine temperaret: quippe quem ipse morem petendis pecuniis indixissset, hunc a se protinus exactum iri; unaque cum his, quæ ante dispensa sint, propria quæcumque sint Persis Alexandrum petiturum. Cum his dictis exigit homines proficisci, ne litterarum quidem regem responsione dignatus. Ad animi ejus magnificentiam Philippus erige-

Οἱ (8) δὲ Πέρσαι λαβόντες ἀργύριον δεδώκασί τινι φίλῳ αὐτοῦ ζωγράφῳ, καὶ κατεσκεύασεν αὐτοῖς εἰκόνα τῆς μορφῆς Ἀλεξάνδρου, καὶ ἀπήγαγον αὐτὴν Δαρείῳ ἐν Βαβυλῶνι, ἀπαγγέλλοντες αὐτῷ πάντα τὰ πραχθέντα τοῖς παρὰ τοῦ Ἀλεξάνδρου. Πάλιν οὖν ἑτέρας πόλεως ἀτακτούσης τῶν Θρᾳκῶν τῷ Φιλίππῳ, πέμπει ὁ Φίλιππος τὸν Ἀλέξανδρον μετὰ πλήθους στρατιωτῶν πολεμῆσαι αὐτήν (9).

ΚΕΦ. ΚΔ'.

Ἦν δέ τις ἐκεῖ Παυσανίας ὄνομα, ἀνὴρ μέγας καὶ πλούσιος σφόδρα, καὶ ἐξάρχων πάντων Θεσσαλονικέων (1). Οὗτος οὖν εἰς ἐπιθυμίαν ἐλθὼν Ὀλυμπιάδος τῆς μητρὸς Ἀλεξάνδρου, ἔπεμψε πρὸς αὐτήν τινας ὡς δυναμένους πεῖσαι αὐτὴν καταλεῖψαι Φίλιππον τὸν ἄνδρα αὐτῆς καὶ γαμηθῆναι αὐτῷ, πέμψας αὐτῇ χρήματα πολλά. Τῆς δὲ Ὀλυμπιάδος μὴ κατανευσάσης, ἐλθὼν Παυσανίας (2) ἔνθα ἦν Φίλιππος, γνοὺς τὸν Ἀλέξανδρον ἐπὶ πόλεμον πορευθέντα, [εἰσῆλθεν] ἀγῶνος τελουμένου θυμελικοῦ, καὶ τοῦ Φιλίππου ἐν τῷ Ὀλυμπίῳ θεάτρῳ ἀγωνοθετοῦντος, ἐπεισέρχεται ξιφήρης [ὁ Παυσανίας] εἰς τὸ θέατρον μετὰ καὶ ἑτέρων γενναίων ἀνδρῶν ἀνελεῖν βουλόμενος τὸν Φίλιππον, ἵνα τὴν Ὀλυμπιάδα ἁρπάσῃ, καὶ ἐπιδὰς αὐτὸν ἔπληξεν αὐτὸν ξίφει κατὰ πλευράν, οὐ (μέντοι) ἀνῆρεν αὐτόν. Γίνεται οὖν θρύλλος μέγας ἐν τῷ θεάτρῳ. Ὁ οὖν Παυσανίας ἔσπευσεν εἰς τὸ παλάτιον ἁρπάσαι τὴν Ὀλυμπιάδα (3). Συνέβη οὖν νικηφόρον ἐπανελθεῖν τὸν Ἀλέξανδρον αὐτῇ τῇ ἡμέρᾳ ἐκ τοῦ πολέμου, καὶ ὁρᾷ μεγίστην ταραχὴν ἐν τῇ πόλει, καὶ ἠρώτησε τὸ γεγονός. Λέγουσιν αὐτῷ ὅτι Παυσανίας ἐν τῷ παλατίῳ ἐστὶ θέλων ἁρπάσαι τὴν Ὀλυμπιάδα τὴν μητέρα αὐτοῦ. Καὶ εὐθέως εἰσέρχεται μεθ' ὧν ἐτύγχανεν ὑπερασπιστῶν αὐτοῦ, καὶ συλλαμβάνει (4) τὸν Παυσανίαν κατέχοντα τὴν Ὀλυμπιάδα μετὰ βίας μεγάλης κραυγάζουσαν. Καὶ

A : εἰπατε Δαρείῳ, ὅτε μόνος ἦν Φίλιππος φόρους σοι ἐχορήγει· ὅτε δὲ ἐγένετο αὐτὸς υἱὸς Ἀλέξανδρος, οὐκέτι (οὐ cod. B.) δίδωσιν. ‖ 8. οἱ δὲ... παρὰ τοῦ Ἀλεξάνδρου unus B exhibet. ‖ 9. addit A : ὁ δὲ παραγενόμενος λόγῳ ἔπεισε αὐτοὺς ὑπηκόους εἶναι, τῇ τῶν ὅπλων δυνάμει ἀποταξάμενος, καὶ λαβὼν παρ' αὐτῶν φόρους ἀνέστρεψεν.

Cap. XXIV. 1. Θεσσαλονικεὺς, πλείστην δύναμιν καὶ μεγάλην περὶ ἑαυτὸν ἔχων A. ‖ 2. ἐπιβουλίαν μελετᾷ ὁ Π. πυνθανόμενος περὶ Ἀλεξάνδρου, εἰ ἄρα εὕροι αὐτὸν ποτὲ ἀποδημοῦντα. Καὶ δὴ χρόνου ἐμπεσόντος, καὶ ἐπὶ πόλεμον ὄντος Ἀλεξάνδρου εἰς τινας πόλεις, καὶ ἀγώνων ἐπιτελουμένων θυμελικῶν, μαθὼν ὁ Π. τὸν Ἀλέξανδρον ἀποδημοῦντα καὶ τὸν Φίλιππον ὄντα ἐν ταῖς θεωρίαις ἐπέρχεται ξιφήρης κτλ. A. ‖ 3. cod. A : ἔσπευσεν εἰσελθεῖν εἰς τὰ βασίλεια, ἔτι ζῶντος τοῦ Φιλίππου, βουλόμενος ἁρπάσαι τὴν Ὀλυμπιάδα. Καὶ δὴ εἰσῆλθεν, ἔτι ἐμπνέοντος τοῦ Φιλίππου ἐσχάτῳ πνεύματι καὶ ὀδυνομένου μᾶλλον ὑπὲρ τὴν ὀδύνην ἣς εἶχεν πληγῆς, ἅμα δὲ καὶ οἰμώζοντος καὶ σύροντος, ὅτι ἔτι ζῶντος αὐτοῦ ἡ τούτου γυνὴ εἰς ἕτερον ἄνδρα ἐνυμφεύσατο μετὰ πολλῆς τῆς βίας· ἅμα δὲ καὶ ἐπεθύμει τὸν Ἀλέξανδρον ἰδεῖν ἐκ πολλοῦ χρόνου ἐκδημήσαντα, μεμνημένος αὐτοῦ καὶ τῆς ἀγχινοίας καὶ τῆς ἐν αὐτῷ ἀνδρείας, λέγων τοῖς μετ' αὐτοῦ, ὅτι τοῦ Ἀλεξάνδρου παρόντος οὐκ ἐπεχείρησε ἂν ἐχθρὸς κατὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ τι ποιῆσαι· εἰ δὲ καὶ ἐπεχείρησε ἀπὸ κακῆς γενέσεως παρελασθείς, ἐτελεύτα. Νῦν δὲ μετὰ πολλῆς ὀδύνης καὶ ἀθυμίας πλείστης τὰ ἔσχατα τοῦ βίου ὁμιλῶ· ὑμῖν δὲ λέγω, ἐλθόντος τοῦ υἱοῦ μου Ἀλεξάνδρου, εἴπατε αὐτῷ, ὅτι ὁ πατήρ σου Φίλιππος ἀξιοῖ ἐκδικηθῆναι διὰ τῆς ἐμβριθείας σου χειρὸς τόν τε αὐτοῦ θάνατον καὶ τὴν Ὀλυμπιάδος τῆς μητρός σου ἁρπαγήν. Αὐτῇ δὲ τῇ ἡμέρᾳ εἰσήρχετο et cetera ut in cod. B. ‖ 4 Cod. A : καὶ ὁρᾷ τὸν Παυσανίαν μεσολαβηκότα τὴν Ὀλυμπιάδα· κρατεῖ δὲ τὴν διβολίδα· ἐβούλετο κατ' αὐτοῦ ἐκκεντίζειν, ἀλλὰ ἐδεδοίκει μὴ ἅρα συναναιρεθῇ ἡ Ὀλυμπιάς. Μαθὼν οὖν περὶ τοῦ πατρὸς ὅτι ἔτι ζῇ, προσαγαγὼν αὐτῷ τὸν Παυσανίαν ἔφη· « Ἧκει πάτερ ἀμυνόμενος τοὺς ἐχθρούς σου· ζῇς, βασιλεῦ· ἀθάνατόν σοί ἐστι τὸ ὄνομα· βλέπε τὸν ἐχθρὸν Παυσανίαν δεδεμένον παρεσκηκότα σοι καὶ τρομάζοντα. » Βλέψας δὲ εἰς αὐτὸν Φίλιππος καὶ μηκέτι δυνάμενος λέγειν, ἔνευσεν ξίφος αὐτῷ δοθῆναι. Δεδωκότος δὲ αὐτῷ τοῦ Ἀλεξάνδρου, ποιεῖ τῷ Παυσανίᾳ καιρίαν ταῖς ἰδίαις χερσὶν πληγήν, καὶ ἀναιρεῖ αὐτὸν παραυτά. Προαποστείλας τὸν ἐχθρὸν ἑαυτοῦ, ἀναρρώσας ὁ Φίλιππος διὰ τὴν παρουσίαν Ἀλεξάνδρου καὶ τὴν ἐν τάχει ἐκδίκησιν, εἶπε· « Τέκνον Ἀλέξανδρε, σὲ δέδοκται κοσμοκράτορα εἶναι· μνημόνευε τοῦ πατρός σου Φιλίππου, καὶ μὴ ἀπάρνησαί με πατέρα σου καλεῖν· ἐμοῦ γὰρ τὸ πεπρωμένον πεπλήρωται. » Ταῦτα εἰπὼν ἐξέλιπεν τὸ πνεῦμα. Θρηνῶν δὲ αὐτὸν Ἀλέξανδρος εἶπε· « Πάτερ, βασιλεῦ, βασιλεῦ, Φίλιππε, ἐν τῇ ζωῇ σου οὐδεὶς καταφρονήσας σου ἐχάρη· ὑπὲρ ἀδεξιοβόλους (ut videtur,) παρασπιστὴς ὁ βραχίων σου ἀποτυχία πλουσίου γέγονε. Πῶς ἀπώλετο τρωθεὶς αὐτοκράτωρ; Ὁ Κύκλωψ Παυσανίας εἰς θεοὺς σὲ πρὸ μοίρας παρέπεμψεν· ᾧ δὴ ἡ δίκη παραυτὰ τὸν ἴδιον μισθὸν ἀποδέδωκε. » Καὶ τοῦτον θρῆνον ἐπειπὼν, κοσμήσας αὐτῷ τάφον πολυτελῆ, κατέθετο τὸ σκήνωμα αὐτοῦ· ἐπ' αὐτῷ δὲ τῷ τάφῳ καθίδρυσε ναόν. Τῆς οὖν Ὀλυμπιάδος συμφοραζούσης ἐπὶ τῷ συμβεβηκότι, καὶ τῶν Μακεδόνων ἀτάκτως ἐχόντων, παρεμυθεῖτο αὐτοὺς ἡ Ἀλεξάνδρου παρουσία. Καὶ δὴ μεθ' ἡμέρας εἰς εὐστάθειαν ἐλθόντων etc. quæ sequente capite narrantur. — Aliam de morte Philippi narrationem secutus est auctor cod. C. Is enim post ea quæ in antecedentibus adscripsi-

batur, quod adeo confidentem et intrepidum eum naturæ suæ bona asserere intueretur. Igitur cum vicina rursus civitas de obsequio vacillaret, datur Alexandro expeditio. Pergitque quo jussus est.

XXIV. Enimvero interea Pausanias quidam nomine, tum divitiis affluens tum opibus potens, ex oppido Thessalonicæ nobilis, in Olympiadis desiderium amoremque animo prolapsus est. Qui cum per internuncios adtemptasset, ut mulier consentiret, ut deserto Philippo ad sese transnuberet, neque id ex sententia provenisset, comperiens filium Philippi, cujus adeo formidolosum in omnes accolas erat nomen, peregre profectum, certamenque thymelæ tunc agi a Philippo præsidente; repente satellitio stipatus, strictis gladiis theatrum irruit, Philippumque vulnere prævenit. Qui cum altius et letaliter ictus esset, veluti cædis absolutione securus ad regiam Pausanias properato festinat, raptu scilicet Olympiadis desiderio consulturus. Igitur cum populus adhuc in theatro turbaretur, Pausanias vero, ut diximus, raptum moliretur; forte, rebus ex sententia perpetratis, Alexander supervenerat, offenditque turbas et vim et vulnera Philippi. Quibus, ut res erat, cognitis, auctoremque earum rerum Pausaniam hæc designasse, irruens regiam in ipso raptu matris Pausaniæ violentiam deprehendit: eumque cum jaculo destinaret, tenereturque formidine

ἠβουλήθη Ἀλέξανδρος μετὰ λόγχης ἀναιρῆσαι αὐτόν· ἐφοβήθη δὲ μή πως καὶ τὴν μητέρα αὐτοῦ πατάξῃ· κατεῖχε γὰρ αὐτὴν βίᾳ πολλῇ. Ὁ δὲ Ἀλέξανδρος ἀποσπάσας τὸν Παυσανίαν ἀπὸ τῆς μητρὸς αὐτοῦ, [ἔπληξεν τῇ λόγχῃ, ἣν κατεῖχε.] μαθὼν τὸν Φίλιππον ἔμπνουν (ἔτι) ὄντα, προσελθὼν λέγει αὐτῷ. « Πάτερ, τί βούλει περὶ τοῦ Παυσανίου; » Ὁ δὲ λέγει, « Ἀνένεγκέ μοι αὐτὸν ὧδε. » Καὶ [ἀγαγὼν αὐτὸν,] λαβὼν Ἀλέξανδρος μάχαιραν ἀνέθηκεν εἰς τὴν χεῖρα Φιλίππου, καὶ προσήγαγεν τὸν Παυσανίαν· καὶ κρατήσας αὐτὸν Φίλιππος ἔσφαξεν αὐτόν· καὶ λέγει τῷ Ἀλεξάνδρῳ· « Τέκνον, οὐ λυποῦμαι ὅτι τελευτῶ, ἐξεδικήθην γὰρ αὐτὸς ἐγὼ ἀνελὼν τὸν ἐχθρόν μου. Καλῶς οὖν εἶπεν ὁ Ἄμμων, ὁ Λιβύης θεὸς, Ὀλυμπιάδι τῇ μητρί σου· Ἔξεις ἄῤῥενα παῖδα, ὃς ἐκδικήσει τὸν πατρὸς ἑαυτοῦ θάνατον. » Καὶ οὕτως εἰπὼν Φίλιππος ἀπέπνευσε. Θάπτεται οὖν βασιλικῶς, ὅλης τῆς Μακεδονίας συνελθούσης.

ΚΕΦ. ΚΕ'.

Ἐλθούσης δὲ τῆς πόλεως Πέλλης εἰς εὐστάθειαν (1), ἔρχεται Ἀλέξανδρος ἐπὶ τὴν τοῦ πατρὸς ἀνδριάντα, καὶ βοήσας μέγα εἶπεν· « Ὦ παῖδες Πελλαίων καὶ Μακεδόνων καὶ Ἑλλήνων Ἀμφικτυόνων καὶ Λακεδαιμονίων καὶ Κορινθίων [καὶ Θηβαίων καὶ Ἀθηναίων (2)] καὶ πάντων τῶν Ἑλληνικῶν ἐθνῶν, συνέλθετέ μοι τῷ συστρατιώτῃ ὑμῶν καὶ ἐμπιστεύσατέ μοι ἑαυτοὺς, ὅπως καταστραστευσώμεθα τοῖς βαρβάροις καὶ (3) ἑαυτοὺς ἐλευθερώσωμεν τῆς τῶν Περσῶν δουλείας, ἵνα μὴ Ἕλ-

mus pergit ita : Καὶ δὴ τὴν πόλιν (sc. Πέλλαν) καταλαβόντες (sc. Alexander et ejus socii e Scythia reluces), θόρυβος καὶ βοὴ ἐγίνετο. Καὶ προϋπαντῶσιν Ἀλέξανδρον, καὶ τὰ συμβάντα διηγοῦνται αὐτῷ· ὡς τις Ἀνάξαρχος ὁ καὶ Παυσανίας, ὁ τῶν Θεσσαλονικέων τύραννος, ποτὲ παριὼν ἐξενίζετο παρὰ Φιλίππου· καὶ ξενισθεὶς θεωρεῖ Ὀλυμπιάδα καὶ ἐκτοτε φιλικῶς εἶχε πρὸς αὐτήν. Μαθὼν δὲ τὴν τῶν Σκυθῶν κατὰ Μακεδόνων ἐροῦν, ὡσεὶ δώδεκα χιλιάδας λαβὼν ἀνδρῶν μεθ' ἑαυτοῦ, φθάνει Μακεδονίαν τοιόνδε τρόπον ἔχων ἐν ἑαυτῷ, χάριν συμμαχίας ἐλθεῖν (suppl. λέγων)· καὶ εἰ μὲν δυνηθῇ ἁρπάσαι Ὀλυμπιάδα, ἤδη καλόν· εἰ δὲ μὴ δυνηθῇ, ὡς σύμμαχος πάλιν λογισθῇ, καὶ ἀντιστραφήσεται. Ἡ δὲ τύχη εὐάλωτον τίθησι τὴν Ὀλυμπιάδα. Μαθὼν γὰρ Φίλιππος τὴν Ἀλεξάνδρου πρὸς Σκύθας νίκην, λαβὼν τὴν Ὀλυμπιάδα ἐξέρχεται εἰς ἀπάντησιν αὐτοῦ· καταλιπὼν δὲ αὐτὴν ἔν τινι προαστείῳ, ἐκεῖνος μεθ' οὗ ἐπεφέρετο στρατοῦ ἐξῆλθε τοῦ μετεωρισθῆναι. Ἀνάξαρχος δὲ ταῦτα μαθὼν ἐπεισέρχεται· καὶ ἁρπάσας τὴν Ὀλυμπιάδα ἀνυποστρέφει. Φίλιππος δὲ μαθὼν διώκει αὐτὸν μεθ' οὗ ἐπεφέρετο ὀλίγου στρατοῦ.

Ταῦτα μαθὼν Ἀλέξανδρος μετὰ σπουδῆς ἐκτείνει τὴν φάλαγγα καὶ καταδιώκει Ἀνάξαρχον, λαβὼν μεθ' ἑαυτοῦ ὡς ὀκτακισχιλίους ἱππεῖς. Προκαταλαμβάνει δὲ τοῦτον Φίλιππος. Συνάπτουσι πόλεμον μετ' ἀλλήλων· καὶ λαβὼν πληγὴν κατὰ τοῦ στέρνου ἐκπεπτώκει τοῦ ἵππου. Εὑρὼν δὲ αὐτὸν Ἀλέξανδρος ἐῤῥιμένον καὶ ἰδὼν ἔτι ἐμπνέοντα, ἐάσας αὐτὸν ᾤχετο ἐπὶ τὸν πόλεμον· καὶ περικυκλώσας αὐτοὺς ἄρχεται κόπτειν ἀφειδῶς. Οἱ δὲ μετὰ Ἀναξάρχου εἰς φυγὴν τρέπονται, ἀφέντες τὴν Ὀλυμπιάδα· καὶ λαμβάνουσιν αὐτὴν οἱ τοῦ Ἀλεξάνδρου ὑπασπισταί. Ὁ δὲ Ἀλέξανδρος τινα τῶν (cod. ἵνα τὸν) Ἀναξάρχου κρατήσας ἔφη· « Ὑπόδειξόν μοι Ἀνάξαρχον, καὶ τὸ ζῆν σοι, μὰ τὴν πρόνοιαν, χαρίσομαι. » Ὁ δὲ δείκνυσιν αὐτὸν λέγων· « Βλέψον ἐν μέσῳ τῆς φάλαγγος· καὶ ὃν ἂν ἴδῃς λευκὴν ἔχοντα στολὴν καὶ περικεφαλαίαν χρυσῆν, καὶ ποικίλῳ ἵππῳ ἐποχούμενον, αὐτός ἐστιν Ἀνάξαρχος. » Σημειωσάμενος οὖν Ἀλέξανδρος εἶδεν αὐτόν. Καὶ παραλαβὼν μεθ' ἑαυτοῦ τετρακοσίους ἱππέας εἰς μέσον τῆς φάλαγγος ὥρμησε. Πάντας δὲ [ἐν τούτῳ] τῷ τόπῳ τῷ θανάτῳ ἐδίδοσαν, καὶ καταλαμβάνει Ἀνάξαρχον μόνον. Ἐγκρατὴς δὲ γενόμενος τούτου Ἀλέξανδρος οὐδεμίαν ἄλλην εἶχε φροντίδα, ἀλλ' αὐτὸν μόνον λαβὼν πρὸς τὸν πατέρα ἐπάνεισιν. Ὁ δὲ Φίλιππος ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ὤν, φησὶ πρὸς αὐτὸν Ἀλέξανδρος· « Ὦ πάτερ μου, ἀνάστηθι καὶ ἀμύνου τὸν ἐχθρόν σου ἐν τῇ χειρί σου. » Καὶ τίθεται κατενώπιον αὐτοῦ Ἀνάξαρχον τὸν καὶ Παυσανίαν δεδεμένον· καὶ μάχαιραν τίθησιν εἰς τὰς χεῖρας Φιλίππου. Ὁ δὲ Φίλιππος ἔτι ἐμπνέων πήξας ταῖς χερσὶν ἀνίσταται καὶ κατασφάττει αὐτον. Ἐκ δὲ τοῦ αἵματος αὐτοῦ λαβὼν ἐπιῤῥαντίζει Ἀλέξανδρον λέγων· « Οὕτω γενέσθω πᾶσι τοῖς ἀνθεστηκόσιν Ἀλεξάνδρῳ καὶ Μακεδόσιν. » Καὶ ἐπὶ τῷ ὄχλῳ Μακεδόνων εἶπεν· « Ἀλέξανδρον πάντες γινώσκετε· ὑπὸ τὴν σήμερον ἔστω ὑμῖν βασιλεὺς, καὶ τῆς βασιλείας μου διάδοχος σὺν τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι. » Ὀλυμπιὰς δ' ἑστήκει πενθοῦσα. Ἐμβλέψας δὲ πρὸς αὐτὴν μόλις καί που λέγει· « Χαίροις, Ὀλυμπιὰς, καὶ σὺ, ὡς θαυμαστὸν τοιοῦτον τέξασα παῖδα. » Ἐπὶ Ἀλεξάνδρῳ δὲ τὸ ὄμμα ἐκτείνας, καὶ αὐτοῦ τῷ τραχήλῳ ἐφαψάμενος καὶ τῇ κεφαλῇ αὐτῷ ἐπικλίνας εἶπε· « Τέκνον, οὐ λυποῦμαι ὅτι τελευτῶ· ἐξεδικήθην γὰρ ἐγὼ αὐτὸς ἀνελὼν τὸν ἐχθρόν μου. Καλῶς οὖν εἶπεν Ἄμμων ὁ Λιβύης θεὸς Ὀλυμπιάδι τῇ μητρί σου· Ἔξεις γὰρ ἄῤῥενα παῖδα ὃς ἐκδικήσει τὸν ἑαυτοῦ πατρὸς θάνατον. » Καὶ οὕτως εἰπὼν Φίλιππος ἐξέπνευσεν. Ὁ δὲ Ἀλέξανδρος πενθήσας τὸν Φίλιππον σὺν παντὶ τῷ στρατῷ, μετὰ τῆς μητρὸς αὐτοῦ Ὀλυμπιάδος, ἄγουσιν αὐτὸν ἐν τῇ πόλει αὐτοῦ ἐπὶ χρυσίου κραβάτου, καὶ θάπτουσιν αὐτὸν (καθὼς ἔθος ἐστὶν), ὅλης τῆς Μακεδονίας συνελθούσης. Οἱ δὲ Σκύθαι μετὰ τὸ παύσασθαι τὸν καιρὸν τοῦ θρήνου προσῆλθον Ἀλεξάνδρῳ αἰτοῦντες τὸ δοκοῦν αὐτῷ. Ὁ δὲ ἀποστείλας αὐτοὺς εἰς τὰ ἴδια εἶπεν· « Ἀπελθόντες εὐτρεπίσατε ὡσεὶ χιλιάδας τριάκοντα πάντας τοξότας. Ὁπόταν δὲ πρὸς ὑμᾶς ἀποστείλω, τούτους μοι ἐκπέμψατε τάχιον. Εἰ δὲ [τοῦτο] μὴ βούλεσθε γενέσθαι ἡμῖν εἰς συμμαχίαν, ὁπόταν ἐλεύσομαι πρὸς ὑμᾶς, τὴν γῆν ὑμῶν ἐκδαφήσω. » Ἐπὶ τούτοις οἱ Σκύθαι προσκυνοῦσιν Ἀλέξανδρον, καὶ θεὸν αὐτὸν ἀναγορεύουσιν, οἴκαδε ἀναχωρήσαντες, συνταξάμενοι αὐτῷ δουλικῶς διακεῖσθαι μέχρι καὶ πέμπτης γενεᾶς.

Cap. XXV. 1. Ἐλθούσης δὲ ἁπάσης τῆς χώρας εἰς συμπάθειαν C. male. || 2. Inclusa addidi ex C. || 3. Καὶ ἑαυτοὺς... δου-

matris vulnerandæ, Olympias sic adhortatur : « Jaculare, inquit, fili, jaculare ne dubites; habeo enim præsidem Ammonem et protectorem. » Enimvero Alexander nullo impetu vinci. Sed cum spirare etiam tunc patrem Philippum comperisset, eundem advehi illorsum jubet, gladiumque quem gerebat ipse conlatum in dexteram patris misit, quo manu ejus oppeteret Pausanias, cui pœnam quamque pro facto debuerat. Ergo jam moriens Philippus, « Nihil nunc sane est, inquit, quod me vitæ finis aut hujuscemodi mors contristet : ultus enim auctorem injuriæ libens oppetam. Atque ideo illa et nunc ab Ammone dicta reminiscor, quæ tunc matri tuæ Olympiadi filium fore talem prægnanti dixerant, qui non ejus modo assertor esset, sed vindex quoque patris foret futurus. » Et cum his dictis moritur. Curatur igitur Philippo regia sepultura, in memoriam ejusdem omni Macedonia et reliqua Græcia conspirante.

XXV. Ubi igitur jam animi hominum illa rerum novitate quietiores visi esse potuerunt, scandit Alexander paternæ

ληνες ὄντες βαρβάροις δουλεύσωμεν. » Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἐκτίθεται κατὰ πᾶσαν πόλιν διατάγματα βασιλικά (1). Συναθροισθέντες δὲ ἐκ πασῶν τῶν χωρῶν παρεγένοντο εἰς Μακεδονίαν αὐθαίρετοι πάντες ὡς ὑπὸ θεοπνεύστου φωνῆς μετακληθέντες (5). Ἀνοίξας δὲ Ἀλέξανδρος τὰς τοῦ πατρὸς ὁπλοθήκας μετέδωκε τοῖς νέοις τὴν πανοπλίαν· συνήγαγε δὲ καὶ πάντας (6) τοὺς τοῦ πατρὸς αὐτοῦ Φιλίππου ὑπασπιστὰς (7) γηραιοὺς τυγχάνοντας ἤδη (8) καὶ λέγει αὐτοῖς· « Πρεσβῦται καὶ ἄλκιμοι συστρατιῶται, καταξιώσατε (9) κοσμῆσαι τὴν τῶν Μακεδόνων στρατιὰν, καὶ συστρατεῦσαι ἡμῖν εἰς τὸν πόλεμον. » Οἱ δὲ εἶπον· « Ἀλέξανδρε βασιλεῦ, ἡμεῖς προέβημεν (10) τῇ ἡλικίᾳ συστρατευόμενοι τῷ πατρί σου Φιλίππῳ, καὶ οὐκέτι (11) ἐστὶν ἡμῖν σθεναρὸν τὸ σῶμα (12) πρὸς ἀντιπάλους· διὸ παραιτούμεθα τὴν ἐπὶ σοῦ στρατείαν (13). Ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτούς· « Ἀλλ' ἐγὼ μᾶλλον συστρατεύσομαι ὑμῖν (14), εἰ καὶ (15) γηραλιοὶ (16) τυγχάνετε· πολὺ γὰρ τὸ γῆρας ἰσχυρότερον τῆς νεότητος· ἡ γὰρ νέα ἡλικία πολλάκις (17) πεποιθυῖα τῇ τοῦ σώματος ἀλκῇ (18) ἐκτραπεῖσα εἰς ἀβουλίαν ἔρχεται (19) καὶ ἐξάπινα κινδυνεύει· ὁ δὲ πρεσβύτης πρότερον λογισάμενος ἐπὶ τὸ ὁρμᾶν καθυστερεῖ (20), τῇ γνώμῃ ἀπαλλαγῆναι τοῦ κινδύνου. Ὑμεῖς οὖν, πατέρες, συστρατεύσεσθε ἡμῖν οὐχ ὡς ἀντιτασσόμενοι τοὺς πολεμίους, ἀλλὰ προτρεπόμενοι τοὺς νέους γενναίως ἀντιπαρατάττεσθαι (21)· ἀμφοτέρων γὰρ ἡ βοήθεια συνεπισχύσει ταῖς φρεσὶ τὸ στρατόπεδον· πρόδηλον γάρ ἐστι (22) ὅτι καὶ ὑμῶν (23) ἡ σωτηρία τῆς περὶ πατρίδος ἐστὶ νίκης· οἱ γὰρ πολέμιοι, ἡττηθέντων (24) ἡμῶν, ἐπὶ τὴν ἄχρηστον ἡλικίαν ἐπελεύσονται (25), νικησάντων δὲ, ἡ νίκη ἐπὶ τὴν τῶν συμβουλευσάντων γνώμην (26) ἀναλάμψει. » Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος (27) καὶ τοὺς ὑπεργηραθέντας ἔπεισε διὰ τῶν λόγων αὐτοῦ ἀκολουθῆσαι αὐτῷ.

λεύσωμεν om. A. ‖ 4. διάταγμα κατὰ πόλιν προστίθησι A. ‖ 5. φωνῆς μεγάλης κληθέντες A. Deinde B. addit : καὶ ἐστρατεύοντο, quæ delevi. Codex C post μετακληθέντες addit hæc : Παραχρῆμα δὲ προστάσσει ἐπισυναχθῆναι πάντας τοὺς ἐν οἱᾳ δήποτε τεχνουργίᾳ ἐγκεχειρισμένους, ἔν τε σιδήρῳ καὶ χαλκῷ καὶ ξύλοις. Καὶ τοῖς μὲν χαλκεῦσι προστάσσει θώρακας καὶ περικεφαλαίας καὶ ξίφη καὶ δόρατα ποιεῖν, τοῖς δὲ ξυλουργοῖς ἀσπίδας καὶ τόξα καὶ δοράτων ἀστάς. Ἀνοίξας δὲ κτλ., ut in B et A. ‖ 6. πάντας om. BA. ‖ 7. sic C. ὑπερασπιστὰς B, παρασπιστὰς A. ‖ 8. ἤδη om. BA. Post v. τυγχάνοντες cod. A, uti Valerius, statim subjicit : οἱ εἶπον· ἡμεῖς προέβημεν κτλ. ‖ 9. Ἄξω (l. ἀξιῶ) ὑμᾶς κοσμῆσαι τὴν τῶν Μακ. στρατιὰν καὶ συστρατεῦσαι μεθ' ἡμῶν C. ‖ 10. ὅτε προέβημεν C. ‖ 11. ἀρτι οὐκ ἐστι C. ‖ 12. διὰ τὸ γῆρας add. C. πρὸς ἀντ. om A. ‖ 13. παραιτούμεθα τοῦτο C ; pro στρατείαν cod. B. στρατιάν. ‖ 14. συστρατεύσω μεθ' ὑμῶν B ἐτι μᾶλλον ὑμᾶς στρατεύσω A. ‖ 15. εἰ γὰρ καὶ C. ‖ 16. γεραλαῖοι B ; idem post νεότητος addit ἔρη. ‖ 17. Sic A. ἡ γὰρ πολλάκις ἡλ. νεάζουσα B ; ἡ γὰρ π. νεάζουσα ἡλ. C. ‖ 18. δυναμει A. ‖ 19. εἰς ἀβούλετους κακῶς (sic) A. ‖ [illegible]. στερεοῖ τὴν γν. ἀπαλ. C ; καθυστερεῖ τὴν γν. μεταλλαγῆναι τοῦ κ. B ; λογιζόμενος τί ὁρμᾷ καθυστερῆσαι τῇ γνώμῃ μεταλλαγῆναι τοῦ κ. A. Infinitivum subintellecto ὥστε explicaris esti paullo durius ; verbum, ut βουλόμενος v. σπεύδων, excidit. ‖ 21. ἀντιπ. excidit in B ; deinde voc. γὰρ om. ‖ 22. adduntur in C. et B : πρὸς τὴν μάχην γιγνώσκοντες, quæ delevi ; γιγνώσκοντες eorum fuit, qui sicuti A. scripserunt ita : ταύτῃ (αὐτῃ cod.) γὰρ ἀμφοτέρων βοηθείᾳ (βοήθεια cod.) συνεπισχύσετε ταῖς φρεσὶ, γιγνωσκοντες, ὅτι καὶ ὑμῶν ἐστὶ σωτηρία τὸ ὑπὲρ τῆς πατρίδος νικῆσαι· ἡττηθέντων γὰρ (δὲ cod.) αὐτῶν (intellige τῶν νέων), οἱ πολέμιοι ἐπὶ τὴν ἄτακτον ἡλικίαν ἐλεύσονται· νικησάντων δὲ, τὸ (τῷ cod.) νικᾶν ἐπὶ τὴν τῶν συμβουλευτῶν γνώμην ἀνατρέχει. ‖ 23. αὐτῶν BC. ‖ 24. ἡττ. abest in. BC. ‖ 25. ἀπελεύσεται B. ‖ 26. νίκην B, νίκην ἀναλάμψει C. ‖ 27. Ἀλ. κατέπεισε διὰ τῶν αὐτοῦ λόγων συνελθεῖν μετά γε τοὺς νέους καὶ τοὺς πρεσβύτας, μεγάλης ὠφελείας ἕνεκα. C ; ἔπεισε καὶ τοὺς ὑπεργήρους αὐτῷ ἀκολουθῆσαι A, qui deinde pergit (uti Valerius) : Ὁ δὲ συναγαγὼν τὴν προτέραν Φιλ. στρατιὰν κτλ.

---

statuæ suggestum, et propter illam assistens in hæc verba concionatur : « O Pellæ proles et Macedonum et Atheniensium Corinthique progenies, ceterarumque Græciæ gentium nomina, en tempus est quisquis Alexandro sese cupiat militare, ut scilicet nunc nomen labori fateatur. In eos quippe militabimus barbaros, qui nos jampridem re, nunc vero spoliare pergunt etiam libertate. Igitur eamus ducere in servitutem Persas. Hi, quibus turpe erat servientibus non subvenire, enim nunc etiam ipsi servimus. » Et hæc quidem dicta præsentibus edicit. Tamen it eadem illa sensentia et per singula oppida civitatesque, ut una cum classibus ii, qui armorum desiderio tenerentur, ad sese confluerent. Igitur ut si incentivum aliquod divina voce intonavisset quo facilius ad ejusmodi opus studia hominum exardescerent, ita votum certamenque erat Macedonibus militandi. Alexander ædibus reseratis, quibus condita patris arma militaria visebantur, his quos inermes viderat dilargitur. Sed enim quisque armiger Philippi ætate provectior, diu militiæ laborisque pertæsus, negabat se idoneis conatibus fore, ætate scilicet sua præsentibus refragante. Ad hæc Alexander : « Equidem, inquit, veridicentiæ isti testis accedo, nec labores vestros quos prætenditis non astipulor. Enimvero militiæ jus ejusmodi res est, uti magisterio callentium ordinata, mox fiducia virium exsequenda sit. Peritia quippe veteris usus rudis manus audacia dirigenda est : quorum alterum vos, alterum juventus existimatur. Nam ut ille juventutis fervor ad audaciam promptior, ita inconsultior ad cautionem : ac sic eorum bona cœpta plerumque malos eventus reperiunt. At vero ista maturitas vestra etiam arduis quibusque faciles exitus parit et desideratos eventus, quoniam perito consilio manum duci commodat obsecuturam. Par est igitur, inquit, vos meo commilitio numerari : non ut ipsi bellorum urgentia subire cogamini, sed ut junioribus manibus consilium vos fiatis. Alterum quippe alterius egere quis dubitet? Cum, nisi per prudentiam vestram illorum titubantia sit directa, perfracto præsidio juventutis, in seniores periculum vadat. Contra autem si recti per vos voto fruantur, vos quoque gloriæ parte potiore celebremini. » His dictis eos quoque, quos senium jam obsederat, in sententiam suam ducit.

ΚΕΦ. Κ ς'.

Παραλαμβάνει οὖν (1) Ἀλέξανδρος τὴν βασιλείαν Φιλίππου τοῦ πατρὸς αὐτοῦ, περὶ (2) ὀκτωκαίδεκα γενόμενος ἔτη. Τὸν δὲ θόρυβον τὸν γενόμενον μετὰ (3) τὸν τοῦ Φιλίππου θάνατον Ἀντίπατρος κατέπαυσε, συνετὸς καὶ φρόνιμος ἀνὴρ καὶ στρατηγικός (4). Προήγαγε γὰρ τὸν Ἀλέξανδρον ἐν θώρακι εἰς τὸ θέατρον καὶ πολλὰ διελέχθη τοὺς Μακεδόνας εἰς τὸ τῆς εὐνοίας μεταναλρύμενος (5). Ἦν δὲ, ὡς ἔοικεν, τοῦ πατρὸς Φιλίππου εὐτυχέστερος Ἀλέξανδρος, καὶ περὶ μεγάλων εὐθέως ἠμφισβήτει πραγμάτων, καὶ πάντων ἐκράτει. Καὶ συνάγων τὴν προτέραν στρατιὰν Φιλίππου τοῦ πατρὸς αὐτοῦ ἠρίθμησεν αὐτούς, καὶ εὗρε Μακεδόνων [πεζοὺς μὲν (6)] μυριάδας δύο καὶ ἥμισυ (7) ἱππεῖς δὲ ἄνδρας ὀκτακισχιλίους, Ἀμφικτυόνων δὲ καὶ Λακεδαιμονίων καὶ Κορινθίων εὗρε μυριάδας τρεῖς (8). Συναριθμήσας δὲ πάντας τοὺς παρόντας αὐτῷ καὶ οὓς εἶχεν ἀπὸ τοῦ πατρὸς αὐτοῦ Φιλίππου τοξότας ἑξακισχιλίους; πεντακοσίους, [εὗρε χιλιάδας ἑβδομήκοντα ἑπτὰ (9)],

Cap. XXVI. 1. Sic C; καὶ ἁπλῶς εἰπεῖν, παραλ. Ἀλ. B. ‖ 2. καίπερ.. ἐτῶν B. ‖ 3. διὰ C. ‖ 4. στρατηγικώτατος C. ‖ 5. Ὃς προῆγε τὸν Ἀλέξανδρον ἐν θώρακι μέσον τοῦ θεάτρου, καὶ πολλὰ διελέξατο μετὰ τῶν Μακεδόνων περὶ αὐτοῦ C. Quae sequitur in B. sententia (ἦν δὲ... ἐκράτει) non est in C, qui antequam cum cod. B. recenseat copias in Asiam traducendas, hoc loco interponit narrationem de legatis Darii tributum annuum a Macedonibus exacturis. Verba sunt:

Τούτων οὕτως ἐχόντων, ἀπὸ ἀνατολῶν Δαρεῖος ὁ Περσῶν βασιλεὺς ἀγγέλους πρὸς Μακεδονίαν ἐξέπεμψε περὶ τῶν ἐτησίως διδομένων φόρων ὥστε αὐτοὺς ἀναλαβέσθαι καὶ πρὸς αὐτὸν τάχος ἀνυποστρέψαι. Ὡς δὲ τὴν Φιλίππου πόλιν κατέλαβον, ὡς ἔθος ἦν αὐτὸν τὸν βασιλέα ὑπεξέρχεσθαι καὶ δουλικῶς τοῖς Περσικοῖς γράμμασι προσκυνεῖν καὶ μετὰ τῆς προσηκούσης τιμῆς τοὺς ἀγγέλους ἀποδεχθῆναι, τοῦτο Ἀλέξανδρος οὐκ ἐποίησεν. Ἀλλ' ἀπέστειλε πρὸς αὐτούς τινα τοὔνομα Ἀντίοχον, παραπλήσιον δὲ αὐτοῦ τυγχάνοντα καὶ αὐτὸν νεανίσκον ὡσεὶ χρόνων δεκατριῶν, καὶ μετ' αὐτοῦ τινὰς τῶν μεγιστάνων, τοὺς πάντας χρυσίοις περιεβλημένους θώραξι, καὶ τὸ ὅπλον Ἀλεξάνδρου ἐν ταῖς χερσὶν Ἀντιόχου ἐπιφερόμενον. Ὡς δὲ τὴν πόλιν ἐπῆσαν (cod. ἐξῆσαν), ἀπέστειλε πρὸς αὐτοὺς Ἀντίοχος ἄγγελον λέγοντα αὐτοῖς· « Τοῦτο ὑμῖν τὸ σημεῖον ἔστω, οἱ ἀπὸ Δαρείου ἀποσταλέντες· ὡς ἂν πρὸς ἡμᾶς καταλάβητε, πεσόντες προσκυνήσατε τὸ τοῦ Ἀλεξάνδρου ὅπλον. Εἰ δὲ τοῦτο ὑμῖν οὐ δόξει ποιεῖν, παραυτίκα θανάτῳ ὑμᾶς ἀπολεῖ. » Ταῦτα ἀκούσαντες οἱ τοῦ Δαρείου ἄγγελοι τὰ ἀσυνήθη, ἀπροσδόκητα ῥήματα, καὶ ἐν ἐκπλήξει γενόμενοι, κἂν μὴ θέλοντες τὰ προσταχθέντα ἐποίουν, καὶ προσελθόντες προσεκύνησαν τὸ ὅπλον Ἀλεξάνδρου, καὶ ἀσπάζονται τοὺς πόδας Ἀντιόχου. Καὶ ἐξ ἀναλόγου ταῦτα ἐγένοντο· ἃ γὰρ ὑπὸ Δαρείου σταλέντες ἐποίησαν, τοῦτο μάλιστα παρὰ τοῦ βασιλέως ἤλπιζον λαβεῖν. Ἀλέξανδρος δὲ ἐπί τινος τόπου μετεώρου καθήμενος, παρεστήκεισαν αὐτῷ παῖδες Μακεδόνων χρυσόζωνοι καὶ σηρικοφόροι. Αὐτὸς δὲ Ἀλέξανδρος ἀνατέλλων (?) ἐσθῆτα ἦν ἠμφιεσμένος, καὶ στέφανον ἐπὶ τῇ κεφαλῇ αὐτοῦ [εἶχεν] ἐκ χρυσοῦ καὶ λίθου καὶ μαργάρου, νικητικὸν ἄνωθεν ἔχοντα σημεῖον, οἷος ἦν ὁ Ζεύς· καὶ οὐκ ἦν αὐτὸν συνεικάσαι οὐδενὶ ἢ μὴ τῷ Διΐ. Οἱ δὲ περὶ αὐτὸν ὡς δίκην ἀστέρων ἦσαν ἐκλάμποντες. Ἀπὸ δὲ τῆς πύλης τῆς πόλεως μέχρις Ἀλεξάνδρου ἵσταντο πλῆθη πάμπολλα, πάντες ἔνοπλοι. Ἔνθεν καὶ ἔνθεν ἦχοί τε καὶ κρότοι καὶ σαλπίγγων φωναὶ καὶ εὐφημίαι καὶ ᾄσματα καὶ συνδρομοὶ πληθῶν. Ὡς δὲ τὴν πόλιν ἐμελλον εἰσιέναι οἱ παρὰ τοῦ Δαρείου, κελεύει Ἀντίοχος σὺν αὐτοῖς εἰσβατῶς (?) ἄγεσθαι πρὸς Ἀλέξανδρον. Αὐτοὶ δὲ τὰ προστασσόμενα ἐποίουν. Μέγας οὖν φόβος αὐτοὺς εἶχε καὶ ἔκπληξις· τὰ γὰρ παρ' ἐλπίδα ἐρχόμενα φοβερὰ τοῖς ἀπείροις ἐφαίνοντο. Ὡς δὲ τὴν πόλιν διήρχοντο, οὐδὲν εἶχον πρῶτον θεωρεῖν· πάντα γὰρ αὐτοῖς ἐθαυμάζοντο. Ἐπεὶ δὲ καὶ πρὸς Ἀλέξανδρον κατέλαβον, ἐπ' αὐτοῦ τοῖς ὀφθαλμοῖς ἐμβλέψαντες ἔδοξάν τινα θεὸν θεωρῆσαι. Πεσόντες δὲ προσεκύνησαν Ἀλεξάνδρῳ. Καὶ δὴ ἀναστάντες οὐκ ἤθελον ἐξ αὐτοῦ ἀνταίρειν τοὺς ὀφθαλμούς· καὶ εἰ ἤθελον, οὐκ ἠδύναντο. Πρὸς γὰρ τὴν γῆν βιαζόμενοι βλέψαι, οἱ ὀφθαλμοὶ ἀνανακλώμενοι πρὸς Ἀλέξανδρον ἀτενίζειν αὐτοὺς κατηνάγκαζον· οὐ γὰρ ἦν αὐτοῖς κόρος τῆς θέας. Τρισσῶς δὲ προσκυνήσαντες, τὴν ἐπιστολὴν Δαρείου τῷ Ἀλεξάνδρῳ ὑπέδειξαν. Ἀντίοχος δὲ ταύτην λαβών, ἄνεισι τῷ τῇ σπίχι (?). Τὰ δὲ τῇ ἐπιστολῇ ἐμφερόμενα τάδε ἦν·

« Ἐπειδὴ τὸ τῆς μοναρχίας κράτος μόνῳ Δαρείῳ τῷ θεῷ δέδοται (καὶ τίς θεὸς πλὴν Δαρείου;), ὃς ἐγκρατὴς τῆς ὑπ' οὐρανὸν ἐκ τῆς περὶ αὐτοῦ ἀπείρου δυνάμεως ἐγένετο, ἄρχει δὲ βασιλέων καὶ τοπαρχῶν· ἐπὶ τούτῳ γινωσκέτω τὸ ἡμέτερον κράτος μὴ λανθάνειν Μακεδόνας· εἰ δὲ καὶ τέως ἔλαθεν, διὰ τῶν παρόντων τῶν νῦν ἀποσταλθέντων παρ' ἡμῶν οὐρανίων ἀνθρώπων πάντα τὰ περὶ ἡμῶν ἀναδειχθήσονται. Καὶ παρὰ τῆς θείας ἡμῶν προνοίας τὸ ἄρχειν Μακεδόνων ἐγχειρισθεὶς, δουλικῶς τὸ σέβας τῷ κράτει ἡμῶν ἀπονειμάτω· καὶ τοῖς παρ' ἡμῶν ἀποσταλθεῖσι τοὺς ἐτησίους φόρους παρέχειν· συγχωρηθήναι δὲ παρὰ τῆς θεότητος ἡμῶν ἐν τῷ τέως ἄρχειν. »

Ὡς δὲ ταῦτα ἀνεγνώσθη Ἀλεξάνδρῳ, [καὶ] τὴν ἐπιστολὴν τῇ χειρὶ λαβών, διέρρηξε ταύτην ἐπ' ὄψεσι τῶν ἀποσταλμένων, καὶ τῷ ἐδάφει ἀπερρίψας εἶπεν· « Ὑπὲρ τίνος ὑμεῖς φόρους ἀπαιτεῖτε; » Ἀπεκρίθησαν αὐτῷ οἱ σατράπαι Δαρείου· « Ὑπὲρ τῆς γῆς Δαρείου τοῦ βασιλέως. » Λέγει αὐτοῖς Ἀλέξανδρος· « Εἰ ταύτην οἱ θεοὶ τοῖς ἀνθρώποις ἔδωκαν δωρεὰν εἰς διατροφὰς, Δαρεῖος τὴν τῶν θεῶν δωρεὰν ἐρανίζεται; » Καὶ λέγει αὐτοῖς πειράζων· « Τί γὰρ ἂν εἴη ἃ λαμβάνετε; » Λέγουσιν αὐτῷ· « Ὰπὸ χρυσὰ ἑκατὸν ἀπὸ λιτρῶν εἴκοσι χρυσίου. » Ἀποκριθεὶς δὲ Ἀλέξανδρος εἶπε· « Πορεύεσθε καὶ εἴπατε Δαρείῳ, ὅτι Ἀλέξανδρος ὁ Φιλίππου « παῖς δηλοῖ σοι τὰ πρὸς πόλεμον· εὐτρεπίσθητι (cod. εὐπρεπίσθητι), εἰ μὴ τάχιον δῶροις εἰς τὰ ἀγνοίᾳ γραφέντα μοι ἐκμειλίξη- « ται (cod. ἐκμιλήξηται). Γινωσκέτω ταῦτα Δαρεῖος, ὅτι Ἀλέξανδρος βασιλεύει, καὶ Μακεδόνες φόρους οὐ τελοῦσιν. Ἀλλὰ οὓς « καὶ τὸ πρὶν ἔλαβες ἐγὼ παρὼν πρὸς σὲ λήψομαι. Ἅπιτε [εἴπατε] καὶ τὸ συμφέρον μετὰ Δαρείου τοῦ βασιλέως ὑμῶν (sic Berg « d. X. pro ἡμῶν) σκέψασθε. » Καὶ ταῦτα εἰπὼν ἐξέπεμψεν αὐτούς, μηδὲ γραμμάτων ἀξιώσας τὸν πέμψαντα αὐτοὺς βασιλέα. Οἱ δὲ πεσόντες προσεκύνησαν Ἀλεξάνδρῳ, καὶ ἐξελθόντες τὴν ὁδοιπορίαν πρὸς τὸν Δαρεῖον ἐποιήσαντο. Post haec: Ὁ δὲ Ἀλέξανδρος συναγαγὼν τὴν προτέραν κτλ. ut in B. ‖ 6. Πεζοὺς μὲν de meo addidi ‖ 7. Καὶ Θρᾷκας πεντακισχιλίους add. C, qui mox Ἀμφικτυόνων om. C. ‖ 8. τρεῖς B. τέσσαρας C; ‖ 9. inclusa supplevi ex cod. C; eandem fere summam cod. A; aliter Valerius, cujus tamen numeri corrupti esse videntur. In nullo codice singuli numeri summam appositam efficiunt. Ceterum

---

XXVI. Connumeratis igitur et veteri milite et quos ipse recens scripserat, congregat Macedonas quinque et decem milia pedites, auxiliaque diversa in octo milibus, equites vero indigenas septingentos et duo milia, levis quoque armaturae Thracas numero octingentos. Unde hoc numero cum veterano milite congregato DCLIV ad LXX (*l.* LXXVII.) milia militantium erant. Tunc viae sumptum a Philippi thesauris collatuque studentium rebus suis auri talenta LX cum CCCC

οἳ, Ἰλλυριῶν (10) τε καὶ Παιόνων καὶ Τριβαλλῶν τῆς ἀρχῆς ἀποστάντων, ἐπ' αὐτοὺς ἐστρατεύσαντο. Πολεμοῦντος δὲ αὐτοῦ τοῖς ἔθνεσι τούτοις, ἐνεωτέρισεν ἡ Ἑλλάς.

ΚΕΦ. ΚΖ'.

Φήμης δὲ γενομένης ὅτι τέθνηκεν ἐν τῷ πολέμῳ Ἀλέξανδρος ὁ βασιλεὺς, λέγεται ὅτι Δημοσθένης τραυματίαν τινὰ ἄνθρωπον εἰσήγαγεν εἰς τὴν ἐκκλησίαν, καί τινα Ἀθηναῖον ἐωρακέναι αὐτὸν λέγοντα κείμενον Ἀλέξανδρον. Τοῦτο πυνθανόμενοι Θηβαῖοι τὴν φρουρὰν ἐξέκοψαν ἣν μετὰ Χαιρώνειαν εἰς τὴν Καδμείαν Φίλιππος εἰσήγαγε. Φασὶ δὲ ὅτι τοῦτο αὐτοὺς ἔπεισε Δημοσθένης. Ἀγανακτήσας δὲ Ἀλέξανδρος καὶ διὰ τάχους εἰσελθὼν προσέπεσε ταῖς Θήβαις. Σημεῖα δὲ τοῖς Θηβαίοις τῶν μελλόντων κακῶν ἐγένετο· τὸ γὰρ

cod. C ita habet : Συναριθμήσας δὲ πάντας τοὺς παρόντας αὐτῷ, οὓς εἶχεν ἀπὸ τοῦ πατρὸς αὐτοῦ Φιλίππου, εὗρε χιλιάδας ἑβδομήκοντα ἑπτὰ καὶ τοξότας ἑξακισχιλίους πεντακοσίους. Ἀπέστειλε δὲ καὶ πρὸς Σκύθας ἄγγελον, ὡσὰν, εἰ βούλοιντο, ἐλεύσονται πρὸς αὐτὸν εἰς συμμαχίαν. Στέλλουσι δὲ πρὸς αὐτὸν Σκύθαι ἄνδρας ἱππεῖς τοξοτῶν χιλιάδας ἑβδομήκοντα, πάντας νεανίσκους ἐκλέκτους. Καὶ ἐγένετο πᾶσα ἡ δύναμις Ἀλεξάνδρου χιλιάδες ἑκατὸν τεσσαράκοντα ἑπτά. — Cod. A ita : Συναθροίσας τὴν προτέραν Φιλίππου στρατιὰν ἠρίθμησε καὶ εὗρε Μακεδόνων πεζοὺς μὲν, ,οϐ (72000), ἱππέας δὲ Μακεδόνων ,βω' (2800; Valerius : 2700), Θρᾷκας καὶ Παῤλαγόνας καὶ Σκύθας οἷς ἐχαρίσατο (ἐχρήσατο?) προδρόμοις ω' (sic etiam Valerius). Συναριθμήσας δὲ τοὺς παρόντας σὺν οἷς παρειλήφει, εὗρε ,οζ καὶ Δψ' (77650). Καὶ τούτους ὁπλίσας μετ' ὧν εἶχε ἀπὸ τοῦ πατρὸς στρατιωτῶν λαμβάνει παρὰ τῆς Μακεδονίας χρυσοῦ νενομισμένου τάλαντα ο' (Valerius 1460 talenta, corrupte.). Καὶ ναυπηγήσας τριήρεις ἔτει τε κυβερνᾷ (scr. ἔτι τε καὶ λίϐερνα), διαπεράσας ἀπὸ Μακεδονίας διὰ τοῦ Θερμώδοντος ποταμοῦ εἰς τὴν ὑπερκειμένην Θρᾴκην ὑπήκοον φύσει τυγχάνουσαν διὰ τοῦ πατρὸς Φιλίππου δύναμιν, ἐκεῖθεν παραλαϐὼν αὐτούς καὶ ἀργυρίου τάλαντα φ' ᾠχετο ἐπὶ Λυκασίαν. Hæc expressit Valerius. ‖ 10. Codex C horum loco exhibet hæc :

Καὶ ἐπάρας αὐτοὺς (milites modo recensitos), ὥρμησεν εἰς Θεσσαλονίκην. Ὁ δὲ τηνικαῦτα τύραννος πρὸ τοῦ πλησιάσαι Ἀλέξανδρον τοῖς ὁρίοις Θεσσαλονίκης ἀπέστειλε πρὸς αὐτὸν πρέσϐεις εἰρήνην αἰτούμενος. Καὶ συνεκπέμπει χρυσίον τε καὶ ἀργύριον καὶ τὸν παῖδα αὐτοῦ γράψας ἐπιστολὴν τοιάνδε·

« Τῷ δεσπότῃ τῆς οἰκουμένης Ἀλεξάνδρῳ τῷ ϑειοτάτῳ Πολυκράτης ὁ ἀνάξιος ἱκέτης χαίρειν. Ἐπειδήπερ τῇ προνοίᾳ ἀδυνατεῖ οὐδὲν, πάντα [δὲ] τῇ τύχῃ ὑποτάσσεσϑαι χρέος ἐστί (cod. δὲ δὴ), καὶ σὲ τὸν ϑειότατον ἡμῶν βασιλέα ἀκριϐῶς εἰδότες ἐκ ϑείας προνοίας γεγονότα, καὶ ὡς (cod. ὡς καὶ) τὰ δοκοῦντά σοι εὐχερῶς ἡ τύχη πεποίηκεν· δουλικῶς κἀν μὴ ϑέλωσιν οἱ τὴν ὑπ' οὐρανὸν ἅπαντες κατοικοῦντες τῷ κράτει σου τὸ σέϐας ἀπονεμέτωσαν. Ὅϑεν κἀγὼ ἀκριϐῶς ἐπίσταμαι τὰ σὰ εὐτυχῆ πλεονεκτήματα, καὶ τὴν πρὸς σέ μου δούλευσιν (sic Berg. d. X. pro cod. δούλωσιν) διὰ τοῦδε τοῦ εὐτελοῦς γραμματίου μου ἀνήγαγον. Ἐν ἀκριϐείᾳ δὲ πιστῶσαι βουλόμενος τῷ κράτει σου, πέπομφά σοι καὶ ὃν μοι ἡ τύχη μονογενῆ παῖδα ἐχαρίσατο, σὺν οἰκτροτάτοις ὤροις. Δέξαι δέησίν μου ἱκετηρίαν τελείως, καϑὼς ἐστὶν ἀρεστὸν ἐν ὀφϑαλμοῖς σου. Ἔῤῥωσο ὁ ἡμέτερος δεσπότης, καὶ τὰ δοκοῦντά σοι δῆλα ἡμῖν τοῖς δούλοις σου ποίησον. »

Δεξάμενος οὖν τὴν ἐπιστολὴν ὁ Ἀλέξανδρος καὶ ἀναγνούς, ἐπικάμπτεται τῇ δεήσει Πολυκράτους. Καὶ τοὺς μὲν ἀπεσταλμένους φιλοφρονησάμενος, ἀπέστειλε πρὸς Πολυκράτην, γράψας αὐτῷ ἐπιστολὴν τοιάνδε·

« Ἐπειδήπερ ἐκ ϑείας προνοίας δέδοται ἡμῖν ἡ ἀρχὴ, καὶ ὅτι τῇ τύχῃ ὑποτάσσεσϑαι χρὴ, ταῦτα ἐν ἀληϑείᾳ ἔλεξας (καὶ γὰρ ἐγὼ πέπεισμαι τῇ διδαχῇ τῆς ἄνω προνοίας)· ἐπὶ τούτῳ τὸ δοκοῦν ἡμῖν ἐξιλέωσας, καὶ τὴν ὑπ' Ἀναξάρχου τοῦ πατρός σου ἐξενεχϑεῖσαν ὀργὴν κατέσϐεσας, οὐ τοῖς ἀποσταλϑεῖσιν ἡμῖν δώροις σου, ἀλλὰ τῇ παρακλήσει τοῦ γράμματος καὶ τῇ τοῦ υἱοῦ σου ἀποστολῇ. Καὶ ἔστω Χαριμήδης ὁ παῖς σου σὺν ἡμῖν, τὴν σὴν ἀναμιμνήσκων μοι εὐγνωμοσύνην. Ἔῤῥωσο. »

Μετὰ δὲ τὸ ὑποταγῆναι αὐτὸν τὴν Θεσσαλονίκην, τὴν πορείαν ἐποιεῖτο ἐπὶ τοῖς ἄνω Σκύθαις. Καὶ τριῶν ἡμερῶν παρελθουσῶν, πρέσϐεις ἦκασιν ἐκ Σκυθίας φάσκοντες δουλικῶς διακεῖσθαι αὐτῷ, καὶ [διόμενοι] συγχωρεῖν τοῦ μὴ ἐπιϐῆναι αὐτοῖς. Ὁ δὲ Ἀλέξανδρός φησι πρὸς αὐτούς· « Ἅπιτε ἐν τῇ γῇ ὑμῶν, καὶ ἀποστείλατέ μοι ἄνδρας τοξότας ἑμπείρους εἰς συμμαχίαν χιλιάδας ὅσας ἂν βούλεσϑε. Καὶ ἰδοὺ ἐγὼ πρὸς Λακεδαιμονίαν ἀπέρχομαι. Ἐλεύσονται δέ μοι ἡ ὑμετέρα συμμαχία δι' ἡμερῶν ἑξήκοντα· τῆς δὲ προθεσμίας παρελθούσης, κἂν μήπω οἱ προσδοκώμενοι ἥξωσιν, ἐφ' ὑμᾶς ἐπεκτενῶ τὴν φάλαγγα, καὶ οὐ μεταστραφήσομαι. » Οἱ δὲ Σκύθαι συνετάξαντο πάντα τὰ προσταχϑέντα δουλικῶς ποιεῖν. Καὶ ἀπέστειλεν αὐτοὺς φιλοφρονησάμενος εἰς τὰ ἴδια.

Cap. XXVII. Quæ hoc capite in cod. B. traduntur, a veterum historicorum narratione nihil fere differunt. Alia agunt cod. A et Valerius. Apud hos Thebarum eversio et regis cum Atheniensibus negotia tum demum memorantur, ubi jam absolverat rex priorem expeditionem, qua Italiam, Africam, Ægyptum subegerat Dariumque uno prælio ad incitas adegerat, novamque contra eum expeditionem parabat. Hæc suo loco adscribemus. — Codex C eodem atque Noster ordine utitur, sed aliter res narrat ac deinde nova haud pauca subjungit. Etenim primum Athenas Alex., deinde Thebas capit; post hæc in Italiam transgressus, Romanorum obsequia admittit, reliqua occidentis regna accipit, regeque eorum Laomedonte constituto, meridiem versus pergit usque ad oceanum; hinc ad sinistram conversus retro agit, atque orbe circumacto in Macedoniam revertitur. His absolutis auctor cod. C ad Nostri narrationem rediens, eadem iisdem verbis narrat quæ leguntur inde a cap. 28, adeoque denuo Alexandrum in Italiam ducens ex parte eadem narrat iterum. Patet igitur antecedentia ex alio libro interposita esse. Cujusmodi ineptias jam supra vidimus, uti illo loco, quo de ludis Olympicis sermo erat. Ibi etiam de Laomedonte quædam legimus, quæ codex B et reliqui ignorabant. Jam quum eundem Laomedontem de novo in hac narrationis parte introduci videamus, non dubium est, quin ea, quæ jam apponimus, ex eodem isto libro sint arcessita. Ecce verba codicis C : Ὁ δὲ Ἀλέξανδρος κατὰ Ἑλλήνων ὥρμησεν. Ἀκουστὸν δὲ ἐγένετο πᾶσι, καὶ φόϐος αὐτοῖς καὶ τρόμος ὑπέπεσεν. Καὶ διηπόρουν τὸ τί ἂν διαπράξοιντο· καὶ δὴ καταλαμϐάνουσιν ἅπαντες οἱ τῶν πόλεων ἔξαρχοι εἰς Ἀθήνας· ἐκεῖσε γὰρ ἦν αὐτῶν ἡ ἀρχή. Δώδεκα δὲ ῥήτορες τῷ τότε καιρῷ διεῖπον πᾶσαν ἀρχὴν Ἑλλάδος. Συνήρχοντο δὲ πάντες ὁμοῦ, καὶ βουλὴν ἐϑέσαν τί περὶ Ἀλέξανδρον διαπράξοιντο.

Ἐπὶ τρισὶ δὲ ἡμέραις διαπορούμενοι καὶ τὸ συμφέρον διερευνῶντες, οὐκ ἦν αὐτοῖς τὸ ἀρέσκον τὸ σύνολον. Ἄλλοι μὲν αὐτῷ ἀντιπαρατάξασθαι Ἀλέξανδρον ἔλεγον· ἄλλοι δὲ τὸ ἀνάπαλιν ὑπερῴνουν· καὶ ἦν αὐτῶν ἄωρος ἡ τύχη. Καὶ δὴ πάντων συμϐου-

quatuorque et decem millibus cogit. Classi ergo elaborata in Macedonia tam longis quam onerariis navibus, transit in Thraciam, quæ sibi patris Philippi virtute quæsita hereditarium studium deberet atque deferret.

τῆς Δήμητρος ἱερὸν ἀράχνη περιεκάλυψε, τό τε τῆς Δίρκης καλούμενον ὕδωρ αἱματῶδες ἐγένετο. Λαβὼν δὲ ὁ βασιλεὺς κατέσκαψε τὴν πόλιν πᾶσαν, τηρήσας μόνην οἰκίαν τὴν Πινδάρου. Φασὶ δὲ ὅτι καὶ τὸν αὐλητὴν

λευομένων μάχεσθαι Ἀλεξάνδρῳ, Διογένης ἀντεφθέγξατο· « Καὶ ποῦ ἡμῖν ἐλπὶς νίκης; τῷ Ἀλεξάνδρῳ ὑπείκειν [δεῖ]. » Οἱ δὲ περὶ Ἀντισθένην καὶ Παρμενίδην φασίν· « Ἔχομεν λόγους ἐκ προγόνων, ὁπόταν τῇ πόλει ἡμῶν ἐπῆλθε Διόνυσος, ὁ πᾶσαν ὑπο-« τάξας γῆν· ἀλλὰ ἀντεῖπον αὐτῷ Ἀθηναῖοι, καὶ μέγιστα κατ' αὐτοῦ ἦραν τρόπαια, καὶ ἀχρεῖον αὐτὸν ἀποστρέφουσιν ὡσεὶ « ἀδράνεον (cod. ἀδρανίων). Καὶ μὴ κρείσσων Ἀλέξανδρος Διονύσου. » Ἐπὶ τούτοις Διογένης παριὼν ἀκούει τὰ λεγόμενα καὶ περιστραφεὶς εἶπεν· « Εἶπατε δέ μοι, οἱ τῶν Ἀθηναίων ἔξαρχοι, ἐν τῷ τότε καιρῷ τίς ὑπὲρ Ἀθηναίων ἀγωνιζόμενος, καὶ τίνες « οἱ τότε στρατηγοί; » Οἱ δὲ εἶπον· « Ὁ μὲν πρόμαχος Ἀτρεὺς μετὰ τῶν στρατῶν ἦν, καὶ ὁ θαυμαστὸς Ὀδυσεύς, ὃς καὶ βασι-« λεύειν Μακεδόνων πρῶτον ἐνδείκνυται. » Καὶ ὁ Διογένης ἐπὶ τούτῳ γελῶν ἔφη· « Καὶ ὡς φορᾶς ὕλην ἐξ αὐτῶν παραστήσατε « μόνον, καὶ ἐρῶ ὑμῖν Ἀλέξανδρον ἀντιπαρατάξεσθαι. Εἰ δὲ μὴ τοῦτο ποιήσετε, οὐ μόνον Ἀλέξανδρον οὐ μαχέσεσθε, ἀλλὰ καὶ τὴν Θήβαν ἐξαφίσετε. » Καὶ ταῦτα εἰπὼν διῆλθεν. Ἀλλ' οὐκ ἔπειθεν ὅμιλον εὔλογον λέγειν. Ἵστατο αὐτῶν ἡ βουλὴ τὰ πρὸς μάχην εὐτρεπίζεσθαι. Ἐπὶ τούτοις καταλαμβάνει Ἀλέξανδρος καὶ παρεκτείνει τὴν φάλαγγα, καὶ τὰ εἰς εἰρήνην αὐτοὺς ἐρωτᾷ. Αὐτοὶ δὲ μᾶλλον ἐπὶ τὸ πλεῖστον ἐθρασύνοντο· καὶ ἀποστρέφουσι τοὺς πρέσβεις Ἀλεξάνδρου, οὐ μετρίως [ὡς] ἐχθροὺς τούτους ὑπρίσαντες. Ἀλέξανδρος δὲ τῶν ἐκεῖσε ὑποχωρεῖ μικρόν τι ἐκ τῆς πόλεως εἰπὼν αὐτοῖς· « Καί, ὦ ὑμεῖς, ἐξ ἐσχάτου μετανοήσαντες οὐδὲν ὠφε-« λήσετε. » Καὶ δὴ ὡς ἀπὸ σταδίων δώδεκα ἐπήξετο φουσάτον αὐτοῦ Ἀλέξανδρος, ἐκδεχόμενος τὸν τῶν Σκυθῶν ἐπερχόμενον αὐτῷ λαόν. Μετ' οὐ πολλὰς δὲ ἡμέρας φθάνουσιν οἱ προσδοκώμενοι, οἱ πάντες καταστήσαντες ἀσπίδας, ἀλυσιδωτάς, λευκὰς, (λευκὰς, ἀλυσιδωτοὺς θώρακας?) καὶ τόξα καὶ φαρέτρας καὶ δόρατα. Ἐπισκεψάμενος οὖν αὐτοὺς εὗρε χιλιάδας ὀγδοήκοντα πέντε.

Κατ' αὐτὴν δὲ τὴν ὥραν ἐπὶ Ἀθήναις ἐκτείνει τὴν φάλαγγα, καὶ ἐπέστη τῇ πόλει, καὶ ἤρξατο πολιορκεῖν αὐτήν. Καὶ οὐκ ἦν ἀριθμὸς τῶν τοξοτῶν· ἀπὸ γὰρ τῆς βολῆς ὁ ἥλιος οὐκ ἐφαίνετο. Πολεμοῦντος δὲ αὐτοῦ τούτοις, ἐνεωτέρισεν ἡ Ἑλλάς. Φήμης δὲ γενομένης ὅτι τέθνηκεν ἐν τῷ πολέμῳ Ἀλέξανδρος, κτλ. Sequuntur eadem, quæ leguntur in cod. B usque ad verba αἱματῶδες ἐγένετο. Deinde pergit :

Καὶ ἦν ἰδεῖν θαῦμα μέγιστον ἐν Ἀθήναις. Οἱ γὰρ ἐν τοῖς τείχεσι χάριν τοῦ πολέμου ἱστάμενοι δίκην φύλλων ἐκ τοῦ τείχους κατ-ήρχοντο· καὶ οὐκ ἦν ὁ ἀνθιστάμενος Ἀλεξάνδρῳ. Παραλαβὼν δὲ ταύτην ὁ βασιλεὺς κατέσκαψε πᾶσαν τὴν πόλιν. Ὡς δὲ ἐπαύ-σατο ὁ πόλεμος, ἵστατο Ἀλέξανδρος περισκοπῶν τὰ ἀναθήματα. Καὶ ἐντυγχάνει Διογένῃ τῷ φιλοσόφῳ ἔν τινι ἡλιακῷ καθεζομένῳ τόπῳ, καὶ φησίν· « Οὗτος δὲ τίς; » Οἱ δὲ περὶ αὐτὸν ἔφασαν. « Οὗτός ἐστι, δέσποτα, Διογένης ὁ φιλόσοφος, ὁ πολλάκις συμ-« βουλεύσας Ἀθηναίοις τῷ σῷ μὴ μάχεσθαι κράτει. » Ταῦτα ἀκούσας Ἀλέξανδρος καταλαμβάνει τὸν τόπον εἰς ὃν ὁ Διογένης καθεζόμενος ἡλιάζετο· καί φησιν Ἀλέξανδρος· « Ὦ Διόγενες, τί σοι χαρίσομαι; » Ὁ δὲ πρὸς αὐτόν· « Οὐδέν, ἔφη, ἄλλο εἰ μὴ τὸν ἥλιον χαρίσαι ἀπιὼν ἀπ' ἐμοῦ, ἵνα τὸ παρὸν θερμανθῶ. » Ἐπὶ τούτοις Ἀλέξανδρος θαυμάσας ὡς τῶν γηίνων μὴ ἐφιέμενος**. (Quæ sequuntur de Thebarum expugnatione concinunt cum iis quæ leguntur in codice A, fusius tamen rem exponente.)

Ἐκεῖθεν δὲ ἦλθεν εἰς τὰς Θήβας καὶ ζητήσας παρ' αὐτῶν ἄνδρας στρατεῦσαι, ἀπέκλεισαν τὰς πύλας τῶν τειχῶν, καὶ οὐδὲ πρέσβεις ἀπέστειλαν πρὸς αὐτὸν, ἀλλὰ καὶ παραταξάμενοι καθωπλίζοντο πολεμεῖν Ἀλεξάνδρῳ· καὶ πέμπουσι πρὸς αὐτὸν πεν-τακοσίους ἄνδρας, κηρύξαι αὐτῷ [ἔπεμπον ἐνόπλους ἀπὸ τῶν τειχῶν κηρύσσειν Ἀλεξάνδρῳ cod. A melius.]· « Ἡ πολέμει ἢ ἄπεχε τῆς πόλεως ἡμῶν Θήβης, ὅτι οὐχ ὅμοιοι ἐσμὲν Ἀθηναίοις. » Ἀλέξανδρος δὲ μειδιάσας εἶπε πρὸς αὐτούς· « Ὦ γενναῖοι « Θηβαῖοι, τί ἀποκλείσαντες ἑαυτοὺς ἐν ταῖς τῶν τειχέων πύλαις παρακελεύεσθε πολεμεῖν Ἀλεξάνδρῳ τῷ βασιλεῖ; ἐγὼ οὖν μα-χέσομαι ὑμῖν, οὐχ ὡς πρὸς γενναίους τινὰς καὶ ἐμπείρους πολέμου, ἀλλὰ πρὸς ἰδιωτικὰς (ἰδιώτας cod. A. melius) καὶ δειλὰς « πεπληγμένας (cod. δεινὰς πεπλησμένας) γυναῖκας. Ἑαυτοὺς γὰρ ὡς γυναικάρια ἀποκλείσαντες ἐντὸς τῶν τειχέων προσφωνεῖτε « ἡμῖν. » Καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς Ἀλέξανδρος ἐκέλευσε χιλίους (τετρακισχιλίους A.) ἱππεῖς διατρέχειν ἔξω τῶν τειχέων καὶ τοξεύειν τοὺς ἐφεστῶτας ἐν τῷ τείχει τῆς πόλεως· καὶ ἑτέρους χιλίους στρατιώτας ἀξίναις διστόμοις καὶ μακροτάμοις μοχλοῖς σιδηροῖς (καὶ ὀνυξὶ μακροτάτοις καὶ μ. σ. A.) ὀρύσσειν τὰ θεμέλια τοῦ τείχους τῆς Θηβῶν πόλεως, πῦρ δὲ ταῖς πύλαις προσά-πτειν καὶ τοὺς καλουμένους κριοὺς μετὰ βίας ἐρείδεσθαι. Πρὸ τῶν τειχέων δὲ ὄργανα διὰ τροχῶν ὑπὸ στρατιωτῶν βίᾳ συνωθούμενα μακρόθεν ἐξαφίετο πρὸς τὰ τείχη· καὶ τοὺς πάνυ (πύκνως add. A) ἁρμολογηθέντας τοίχους διέλυον. Ἀλέξανδρος δὲ μετὰ ἑτέρων χιλίων σφενδονιστῶν καὶ λογχοβόλων διέτρεχε. Περιείχετο δὲ πάντη πῦρ· καὶ λίθοι καὶ βέλη καὶ δόρατα ἠκοντίζοντο. Ἀπὸ δὲ τῶν τειχέων οἱ Θηβαῖοι κατέπιπτον τιτρωσκόμενοι, μὴ δυνάμενοι ἀντιπαρατάξασθαι Ἀλεξάνδρῳ. Διὰ δὲ τριῶν ἡμερῶν πᾶσα ἡ Θηβαίων πόλις ἐπυρπολεῖτο. Πρώτη δὲ διαῤῥήσσεται ἡ καλουμένη Καδμεία (cod. Καλμία) πύλη, ἔνθα ἦν Ἀλέξανδρος ἑφεστώς, καὶ εὐθέως εἰσῆλθεν Ἀλέξανδρος πρῶτος, τοὺς μὲν τιτρώσκων, τοὺς δὲ ἐκροβῶν καὶ συνταράσσων. Ἐπεισέρχονται δὲ καὶ διὰ τῶν ἄλλων πυλῶν πλῆθη στρατιωτῶν. Ἦν δὲ πᾶν τὸ πλῆθος ὡσεὶ τετρακισχίλιοι ἄνδρες, καὶ πάντας ἀναιροῦσι, τὰ δὲ τείχη διέλυον· ὀξύτατα γὰρ τὸ Μακεδονικὸν στράτευμα τὰ ὑπὸ Ἀλεξάνδρου κελευόμενα πάντα ἐξετέλουν, πολλῷ δὲ λύθρῳ ἀνθρωπίνῳ (sic A; πολλῶν δὲ θρ.. λλων ἀνθρωπίνων cod. C.) κατερρέχετο ἡ γῆ. Πολλοὶ δὲ Θηβαῖοι συνέπιπτον εἰς τὸ ἔδαφος μετὰ τῶν πύργων. Λάθρως δὲ κατακαιομένης πυρὶ τῆς τῶν Θηβαίων πόλεως χειρὶ Μακεδονικῇ, τότε τις τῶν Θηβαίων, τῆς αὐλομελῳδίας ἔμπειρος ἄνθρωπος καὶ σοφὸς τῇ γνώμῃ τυγχάνων, ἰδὼν τὰς Θήβας καταπιπτομένας καὶ πᾶσαν ἡλικίαν ἀναιρουμένην, στενάξας ὑπὲρ τῆς πατρίδος αὐτοῦ, καὶ δόξας (cod. δείξας) διὰ τῆς τῶν αὐλῶν ἐπινοίας ἀριστεύειν, ἤρξατο προσπίπτειν καὶ ἱκετεύειν τὸν Ἀλέ-ξανδρον, καὶ ἔρχεται παρὰ τοὺς πόδας αὐτοῦ γονυκλινὴς γενόμενος καὶ οἰκτρόν τι καὶ καταδεὲς καὶ ἐλεημονικὸν μέλος ἀναμελῳά-μενος (cod. ἀναπεψάμενος), ὅπως (cod. οὕτω) διὰ τῆς τῶν αὐλῶν δεήσεως καὶ θρηνῳδίας μελῳδῶν δυνηθείη ἐξιλεώσασθαι τὸν Ἀλέξανδρον μετὰ πολλῶν δακρύων. Καὶ ἄρχεται λέγειν τοιάδε· « Ἀλέξανδρε, βασιλεῦ μέγιστε, φείσαι Ἡμῶν εὐτελῶν· μὴ [δὲ] τοιούτῳ κινδύνῳ Τὴν πόλιν ἡμῶν εἰς τέλος ἀφανίσῃς· Νῦν πειραθέντες [τὸ] σὸν ἰσόθεον κράτος Σεβόμεθα. » Φοβηθέντες οὖν οἱ Ἕλληνες χειροτονοῦσιν ἡγεμόνα τὸν Ἀλέξανδρον, καὶ τὴν ἀρχὴν τῆς Ἑλλάδος αὐτῷ παρέδωκαν.

Ἀπάρας οὖν τῶν ἐκεῖσε Ἀλέξανδρος ᾤχετο τῆς ὁδοῦ. Καὶ [τὴν Ῥώμην καταλαβὼν, καὶ σχεδὸν] προϋπαντῶσιν αὐτῷ πρέσβεις ἐκ πάντων [σχεδὸν suppleo ex prioribus sumens] τῶν ἐθνῶν, καὶ προσκυνοῦσιν ἔμπροσθεν αὐτοῦ ἄγοντες δῶρα αὐτῷ χρυσὸν καὶ ἄργυρον ὅσον οὐκ ἦν ἀριθμός. Συνέρχονται (συνερχόμενοι cod.) δὲ αὐτῷ πάντες εἰς συμμαχίαν. Καὶ δὴ καταλαμβάνει τὴν Ῥώμην· καὶ προϋπαντῶσιν αὐτῷ οἱ Ῥωμαῖοι μετὰ χορῶν καὶ τυμπάνων, κλάδους δάφνης ἔχοντες ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τῷ Ἀλεξάνδρῳ ἐπισειόντες, βασιλέα κοσμοκράτορα τοῦτον ἀναγορεύουσιν. Εἰσελθὼν δὲ ἐν τῇ πόλει ἅπασιν ἐν τῷ Καπετωλίῳ Διός. Καὶ ὁ ἱερεὺς τοῦ Διὸς δέχεται αὐτὸν, καὶ ξενίζεται παρ' αὐτοῦ. Διατριψάντων οὖν ἐν τῇ Ῥώμῃ, ἰδοὺ καὶ ὁ Λαομέδων ὁ συναρ-ματηλατήσας αὐτῷ σὺν χιλιάσι πεντήκοντα ἦκεν εἰς συμμαχίαν Ἀλεξάνδρου, ἔχων μεθ' ἑαυτοῦ δῶρα ἔν τε χρυσίῳ καὶ λίθοις, καὶ μαργάροις. Δέχεται δὲ τοῦτον Ἀλέξανδρος καὶ γνησίως αὐτὸν κατασπάζεται· καὶ « Ὦ γενναῖε, εἶπεν, ἥκάς μοι καὶ μετὰ Δαρείου μαχομένῳ σύμμαχος εἶναι.

Ἀπάρας οὖν πάλιν ἀπὸ Ῥώμης, ὥρμησε κατὰ δυσμῶν· καὶ οὐκ ἦν αὐτῷ ὁ ἀνθιστάμενος. Καὶ προϋπαντῶσιν αὐτῷ πᾶσαι αἱ βα-

ἐπηνάγκασε ἐπαυλῆσαι τῇ πόλει κατασκαπτομένῃ. Φοβηθέντες δὲ Ἕλληνες ἡγεμόνα χειροτονοῦσιν Ἀλέξανδρον, καὶ τὴν ἀρχὴν παρέδωκαν τῆς Ἑλλάδος.

ΚΕΦ. ΚΗ'.

Ὁ δὲ παραγενόμενος εἰς τὴν Μακεδονίαν τὰ πρὸς τὴν ἀνάβασιν τὴν ἐπὶ τὴν Ἀσίαν ἡτοιμάζετο, ναυπηγήσας λιβέρνους καὶ τριήρεις καὶ ναῦς μαχίμους ποιήσας (1), καὶ ἐκέλευσεν ἐμβῆναι ἐν αὐταῖς πάντα τὰ στρατεύματα καὶ τὰ ἅρματα αὐτῶν σὺν τεύχεσι παντοδαποῖς· καὶ λαβὼν χρυσίου τάλαντα μυριάδας πέντε (2) καὶ ἐπιβὰς πανστρατεί, νότου πνεύσαντος οὐρίου, ἔρχεται εἰς τὰ Θρᾳκῶα μέρη, κἀκεῖθεν παραλαβὼν ἐπιλέκτους πεντακισχιλίους καὶ χρυσοῦ τάλαντα πεντακόσια. Πᾶσαι δὲ αἱ πόλεις ὑπεδέχοντο αὐτὸν στεφανοῦσαι. Γενόμενος δὲ ἐπὶ τὸν Ἑλλήσποντον, ἀφήλλατο ἀπὸ τῆς νεὼς (3) ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, καὶ πλήξας τῷ δόρατι δορύκτητον ἔφη τὴν Ἀσίαν ἔχειν. Ἔνθεν (4) οὖν ἦκεν Ἀλέξανδρος ἐπὶ τὸν καλούμενον Γρανικὸν ποταμόν· τοῦτον δὲ ἐφύλαττον σατράπαι Δαρείου. Γενναίας δὲ μάχης γενομένης ἐκράτησεν Ἀλέξανδρος, καὶ λάφυρα λαβὼν ἐξ αὐτῶν ἔπεμψε ταῖς Ἀθήναις καὶ τῇ μητρὶ Ὀλυμπιάδι δῶρον. Δόξαν (5) δὲ αὐτῷ τὰ παρὰ τῇ θαλάσσῃ πρῶτα ὑποτάξαι, τὴν Ἰωνίαν ἀνεκτήσατο, καὶ μετὰ ταῦτα τὴν Καρίαν, μεθ' ἣν τὴν Λυδίαν· καὶ τοὺς ἐν Σάρδεσι θησαυροὺς ἔλαβεν· εἶλε δὲ Φρυγίαν καὶ Λυκίαν τήν τε Παμφυλίαν, ἐν ᾗ παράδοξον ἐγένετο. Ναῦς γὰρ (6) οὐκ ἔχων Ἀλέξανδρος μεθ' ἑαυτοῦ, μέρος τι τῆς θαλάσσης ὑπεχώρησεν, ἵνα ἡ πεζικὴ δύναμις διέλθῃ.

ΚΕΦ. ΚΘ'.

Καὶ διελθὼν ἦλθεν εἰς τὴν Ἄσπενδον (1), ἔνθα αἱ τῶν πλωίμων αὐτοῦ δυνάμεις. Καὶ διεπέρασε καὶ ἦλθεν εἰς Σικελίαν. Καί τινας ἀντιθέτους (2) αὐτῷ ὑποτάξας διεπέρασε (3) εἰς τὴν Ἰταλικὴν χώραν. Οἱ δὲ Ῥωμαῖοι (4) πέμπουσιν αὐτῷ διὰ Μάρκου στρατηγοῦ αὐτῶν στέφανον πεπλεγμένον (5) διὰ μαργαριτῶν καὶ ἑτέρων τιμίων λίθων, λέγοντες αὐτῷ· « Προσαπιστεφανοῦμέν σε, Ἀλέξανδρε, Ῥωμαίων βασιλεῦ καὶ πάσης γῆς, » προσάγοντες αὐτῷ καὶ χρυσίου λίτρας πεντακοσίας. Ὁ δὲ Ἀλέξανδρος ὑποδεξάμενος αὐτῶν τὴν εὐχαριστίαν ἐπηγγείλατο μεγάλους αὐτοὺς ποιεῖν τῇ δυνάμει· καὶ λαμβάνει ἐξ (6) αὐτῶν στρατιώτας τοξότας δισχιλίους (7) καὶ τάλαντα (8) τετρακόσια.

σιλεῖαι δυσμῶν. Καὶ δώροις ἐκμειλίσσονται αὐτὸν, καὶ παρακαλοῦσιν αὐτὸν μὴ ἐπιβῆναι τοῖς ὁρίοις αὐτῶν. Καὶ λαβὼν τὰ δῶρα ἀνυποστρόφει, καταλείπων αὐτῶν πάντων κύριον τὸν Λασμέδοντα, συνταξάμενος φόρους αὐτῷ τελεῖν μέχρι καὶ χρόνων δώδεκα. Ἐκεῖθεν δὲ τοῖς τοῦ νότου πέρασιν ἐπιβαίνει· καὶ ὑπέταξεν ἔθνη πολλὰ καὶ ποικίλα· καὶ διῆλθε τὴν οἰκουμένην, καὶ εἰσῆλθεν τὴν ἀοίκητον γῆν, καὶ διώδευσε μέχρι τοῦ ὠκεανοῦ ποταμοῦ. Καὶ εὗρεν ἐν τοῖς τόποις ἐκείνοις ἀνθρώπους δικεφάλους, καὶ ἐπολέμησε μετ' αὐτῶν, καὶ ἥττησεν αὐτοὺς καταχράτος· καὶ ἔφυγον ἀπ' αὐτοῦ. Ἐκεῖθεν οὖν διελθὼν εὗρε γυναῖκας δυσθεωρήτους καὶ λίαν μεγίστας καὶ πάντων ὧν διῆλθον δυσμαχωτέρας. Αὗται δὲ ἐν τῷ τρέχειν τοὺς μασθοὺς αὐτῶν ἐν τοῖς ὤμοις τιθέασιν. Ἔνδυμα δὲ αὐταῖς ἡ τῶν τριχῶν δασύτης. Αὗται δὲ ἐπελθοῦσαι πτεροῖς εἶχον πετόμεναι. Εἰς παντελῆ δὲ ἀπορίαν ἦλθον οἱ Μακεδόνες ταύτας ὡς εἶδασαντο πετομένας καὶ πρὸς αὐτοὺς μαχομένας. Ἀλέξανδρος δὲ ταύτας ὡς εἶδεν, ἐκέλευσε πῦρ ἀνάπτεσθαι καὶ ὑπεράνωθεν μαχεῖν. Αἵτινες τὴν φύσιν τοῦ πυρὸς ἀγνοήσασαι ἀσκόπως κατέπεσον ἐπ' αὐτοὺς καὶ τῶν πτερῶν καιντων οὐκέτι ἀνασχίσθαι (cod. ἀνάσχαι) ἰσχυσαν· πεπτωκυῖαι δὲ ἀνηρέθησαν ὑπὸ τῶν στρατιωτῶν τοῖς ξίφεσιν. Ἀνεῖλον δὲ αὐτὰς τοῖς ὄνυξι στρατιῶται ἑκατόν. Τοιῷδε τῷ τρόπῳ χρησάμενοι μόλις διῆλθον αὐτάς. Τῶν ἐκεῖσε δὲ οὐκέτι διελθεῖν ἐχοντες, τοῦ Ὠκεανοῦ ποταμοῦ κωλύοντος τῆς εἰσόδου, τὴν ἀριστερὰν παράλιον πάσαντες τοῦ Ὠκεανοῦ καὶ τὰ πρὸς βορρᾶν περιπατήσαντες τὴν οἰκουμένην κατέλαβον. Πολέμους δὲ πλείστους μετὰ βαρβάρων ποιήσαντες καὶ πάντα τὰ ἑσπέρια καταλαβόντες ὑπέταξαν αὐτὰ παντελῶς. Ὁ δὲ Ἀλέξανδρος ἀναζεύξας παραγίνεται εἰς Μακεδονίαν κτλ. ut in cod. B.

Cap. XXVIII. 1. Πλήσας B. ‖ 2. Post v. πέντε B pergit : κελεύει καὶ ἔρχεται εἰς τὰ Θρ., quibus quæ substitui, praebet C. ‖ 3. cod. B : ἀφήλατό τις νέος ; quæ mutavi. Diodor. XVII, 17, 2 : πρῶτος τῶν Μακεδόνων ἀπὸ τῆς νεὼς ἡκόντιζε μὲν τὸ ὄρυ, πήξας [ap. Callisth. quoque scr. πήξας τὸ δ.] δ' εἰς τὴν γῆν καὶ αὐτὸς ἀπὸ τῆς νεὼς ἁλλόμενος, παρὰ τῶν θεῶν ἀπεραίνετο τὴν Ἀσίαν δεχεσθαι δορύκτητον. Cod. C h. l. manens . γεν. δ. περὶ τ. Ἑ. ἀρίκετο τῶν νηῶν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν. ‖ 4. ἔνθεν C ; ὅθεν B. ‖ 5. addidi δὲ et mox τὰ ; deinde scr. ὑποτάξαι pro διατάξαι. C. sic habet : δόξαν δὲ αὐτῷ ἐλθεῖν ἐπὶ τὴν Ἰωνίαν θάλασσαν καὶ τὰ παραθαλάσσια ὑποτάξαι πρῶτον, τὴν Ἰωνίαν ἐκτήσατο. ‖ 6. γὰρ addidi e C. De paradoxo illo vide Callisthen. fr. 25.

Cap. XXIX. 1. sic scr. pro Ἀμπουσαν (B) et Ἀμωουσαν (C). ‖ 2. ἀντιθετοῦντας B. ‖ 3. καὶ ἦλθεν add. B. ‖ 4. Ῥωμαίων ἀρχηγοὶ C ; P. στρατηγοὶ A. ‖ 5. πεπλ. addidi ex A. ‖ 6. παρ' C et A. ‖ 7. τρισχιλίους C. ‖ 8. sic A. ἅρματα BC. Scilicet inde ab hoc capite ad Nostrum redit A, qui in brevius rem contrahens Alexandrum statim ex Thracia in Italiam et Siciliam trajecisse narrat. Comparata autem narratione codd. A et BC, patet cur ex Pamphilia potissimum Alex. transiisse finxerint. Ibi versans rex proximam habebat Lycaoniam ; igitur cod. A. Lycaoniam facit Lucaniam, ne immutato quidem nomine Lycaoniæ. Ceterum subest fabulæ Alexandri Molossi in Lucanos expeditio, et quæ de Alexandri Italiam invadendi consilio, deque Romanorum legatione inde a Clitarcho circumferebantur. Verba cod. A, ad quem propius Valerius accedit,

---

XXIX. Unde illic etiam rebus ad ordinem redactis, quod sibi ea gens studiosius obsequeretur, lectissimos quosque et argenti talenta CCCC viribus suis cum adjecisset, pergit ad Lycaoniam, cui nunc ætas recens nomen Lucaniæ dedit. Igitur ejus loci magistratibus ad amicitiam communi sacrificio foederatis, transmittit protinus ad Siciliam, atque ibi si qua forte ab obsequio refragarentur oppida recepit ; exinque Italiam transiens, legatione pariter et honore potitur Romanorum. Per Æmilium quippe tunc consulem corona ei auri pondo C insignita etiam margaritis honoraria datur ad argumentum amicitiæ perpetuo post futuræ : idque Alexandro magnæ gloriæ fuit, amicitiamque amplectitur, et verbis liberalibus Æmilium honoratum remittit. Addunt tamen Romani et militum II milia et argenti talenta CCCC, eoque amplius fore daturos sese respondent, nisi bellum adversus Carthaginienses intentissimum ageretur.

ΚΕΦ. Λ'.

Κἀκεῖθε διαπεράσας τὸ μεταξὺ πέλαγος (1) παραγίνεται εἰς Ἀφρικήν. Οἱ δὲ τῶν Ἀφρῶν στρατηγοὶ ὑπήντησαν αὐτῷ καὶ ἱκέτευον αὐτὸν ἀποστῆναι ἀπὸ τῆς πόλεως αὐτῶν Καρθαγένης (2)· ὁ δὲ Ἀλέξανδρος τὴν ἀδράνειαν (3) αὐτῶν καταγνοὺς εἶπε πρὸς αὐτούς· « Ἢ κρείττονες γίνεσθε ἢ τοῖς κρείττοσιν ὑμῶν φόρους τελεῖτε. » [Καὶ ἔλαβε παρ' αὐτῶν φόρους (4)].

Κἀκεῖθεν ἀναζεύξας (5) πᾶσαν τὴν Λιβύην ὑπερθέμενος (6) εἰς τὴν Ἀμμωνιακὴν παραγίνεται· καὶ ἐμβαλλόμενος τὰ πλεῖστα (7) πλήθη τῶν στρατοπέδων εἰς τὰς ναῦς κελεύει αὐτοὺς ἀποπλεῖν καὶ περιμένειν αὐτὸν (8) εἰς τὴν Πρωτηΐδα νῆσον (9). Αὐτὸς δὲ (10) θῦσαι τῷ Ἄμμωνι ἀπῆλθεν, ὑπομνησθεὶς (11) ἐξ Ἄμμωνος εἶναι αὐτὸν γεγεννημένον· καὶ προσευχόμενος εἶπεν· « Πάτερ, εἰ ἀληθεύει ἡ τεκοῦσά με, ὡς ἐκ (12) σοῦ γεγενῆσθαι, χρησμοδότησόν μοι. » Καὶ (13) θεωρεῖ Ἀλέξανδρος τὸν Ἄμμωνα τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι περιπλακέντα καὶ λέγοντα αὐτῷ· « Τέκνον Ἀλέξανδρε, ἐμῆς σπορᾶς πέφυκας. » Μαθὼν δὲ τὴν ἐνέργειαν τοῦ Ἄμμωνος Ἀλέξανδρος [ἐπισκευάζει (14) αὐτοῦ τὸ τέμενος καὶ τὸ ξόανον αὐτοῦ περιεχρύσωσε, καὶ τῇ αὐτοῦ ἐπιγραφῇ ἀφιέρωσε· « Πατρὶ θεῷ Ἄμμωνι Ἀλέξανδρος. »]. Ἠξίου δὲ καὶ χρησμὸν λαβεῖν παρ' αὐτοῦ, ποῦ κτίσει πόλιν κατὰ τὸ ὄνομα αὐτοῦ (15), ὅπως ἀειμνημόνευτος (16) μένῃ ἡ πόλις. Καὶ εἶδεν αὐτὸν τὸν Ἄμμωνα, γηραιὸν (17), χρυσοχαίτην, κριοῦ κέρατα (18) ἔχοντα κατὰ τῶν κροτάφων (19), ὃς λέγει αὐτῷ·

[Ὦ βασιλεῦ, σοὶ] Φοῖβος ὁ μηλοκέρως ἀγορεύω·
εἰγε θέλεις αἰῶσιν ἀγηράτοισι νεάζειν,
κτίζε πόλιν περίφημον ὑπὲρ Πρωτηΐδα νῆσον,
ἧς ἐπὶμων προκάθηται Πλουτώνειος ἀνάσσων,
[πενταλόφοις κορυφαῖσιν ἀτέρμονα κόσμον ἑλίσσων.]

Τοῦτον δὲ τὸν χρησμὸν λαβὼν ὁ Ἀλέξανδρος (20) ἀνε-

hæc sunt : Ἐκεῖθεν (e Thracia) παραλαβὼν αὐτοὺς καὶ ἀργυρίου τάλαντα φ', ᾤχετο ἐπὶ Αυκανίαν, καὶ συνβήσας (sic) τοῖς ἐκεῖ στρατηγοῖς, διεπέρασε ἐπὶ Αυκανίαν (i. e. Λευκανίαν), καί τινας ἀπειθήσαντες αὐτῷ ὑποτάξας διαπορθμεύεται (ἰδία πορθμ. cod.) [εἰς] τὴν Ἰταλίαν χώραν. Οἱ δὲ τῶν Ῥωμαίων στρατηγοὶ πέμπουσι διὰ Μάρκου Αἰμιλίου τὸν τοῦ Καπιτωλίου Διὸς στέφανον πεπλεγμένον διὰ μαργαριτῶν, λέγοντες· Προσεπιστεφανοῦμέν σε καθ' ἕτος, Ἀλέξανδρε, χρυσοῦν στέφανον ὁλκῆς λιτρῶν (ὁλκεσιάτρων cod.) ρ'. Ὁ δὲ παραδεξάμενος αὐτῶν τὴν εὐπείθειαν ἐπηγγείλατο αὐτοὺς μεγάλους ποιήσειν. Λαμβάνει δὲ παρ' αὐτῶν στρατιώτας ,α καὶ τάλαντα υ'. Ἔλεγον δὲ καὶ πλείονας αὐτῷ δώσειν στρατιώτας, εἰ μὴ τὸν πόλεμον συνῆπτον τοῖς Καρχηδονίοις (Χαλκ. cod).

Cap. XXX. 1. Περάσας B; τὸ μετ. π. add. ex A. ‖ 2. ἀποστῆναι ῥωμαίου (Ῥωμαίους?) τῆς πόλεως. Cf. Valerius. ‖ 3. ἀνδρείας B. ‖ 4. inclusa addidi e cod. C. ‖ 5. μετ' ὀλίγων στρατιωτῶν addit A cum Valerio. ‖ 6. ὑποτάξας B. ‖ 7. πλεῖστα om. B; in cod. A exciderunt verba τὰ πλ... στρατοπέδων. ‖ 8. αὐτὸν add. ex A. ‖ 9. sic C.; εἰς τινα νῆσον B; εἰς τὴν Φαρίτιδα νῆσον A. ‖ 10. cod. A : αὐτὸς δὲ προσκυνήσας τὸν Ἄμμωνα καὶ θύσας αὐτῷ, ὑπομνησθεὶς [τὶς] ὡς ἐξ Ἄμμωνος ἐγεννήθη. ‖ 11. ὡς B; ὑπομνησθεὶς arcessivi ex A. ‖ 12. εἰ.. ὡς ἐκ exciderunt in B. ‖ 13. A : καὶ εἰπὼν ταῦτα τὴν [μὲν] ἡμέραν ἐμετεώρισε, [τὴν δὲ νύκτα] ἐκοιμήθη (sc. ἐν ναῷ) καὶ εἶδεν κατὰ τοὺς ὕπνους [τὸν θεὸν] τῇ Ὀλυμπιάδι περιπεπλεγμένον. Ἀνιστὰς οὖν καὶ μαθὼν τὴν τοῦ θεοῦ ἐνέργειαν, κατασκευάζει τὸ τέμενος ἐκ τῆς ἑαυτοῦ ἐπιγραφῆς· « Πατρὶ θεῷ Ἄμμωνι Ἀλέξανδρος ἔθηκε. ‖ 14. Inclusa e cod. C petivi; pro his in cod. B unum verbum ἀνέθετο habes. Ceterum ἐπισκευάζει verbum in C scriptum ἐπισκιάζει; quamquam id de τεμένει arboribus consito intelligi possit. ‖ 15. Κατὰ τὸ ὄνομα τῆς ὀνομασίας αὐτοῦ B; ἐπὶ τῷ ὀνόματι αὐτοῦ C; ποῦ τῆς ὀνομασίας ἑαυτοῦ ἀείμνηστον πόλιν κτίσει A. ‖ 16. ἄγει μνημονεύοντος B; ὅπως ἀεὶ ἂν εἰς τὰς μετέπειτα γενεὰς μνημονεύηται διὰ τῆς πόλεως C. ‖ 17. γηρ. add. ex C. ‖ 18 κηρίκιον C.κηρί B. καὶ ὁρᾷ κατὰ τοὺς ὕπνους αὐτῷ λέγοντα· A. ‖ 19. Post κροτάφων B pergit : ὁ μιλοκέρνος ἀγορεύων· εἰ δὲ θέλεις κτλ ; cod. C : καὶ λέγει αὐτῷ· βασιλεῦ, ὁ Φοῖβος εἰμὶ ὁ μηλόκερος καὶ προσαγορεύω σοι εἰ θέλεις αἰῶσιν ἀκηράτοις (ἀγηράτοις A) κτίσαι π. π. περὶ (ὑπὲρ AB) Πρωτηΐδαν (πρώτῃ δὲ B, πρώτη ἡ ὃν A) νῆσον (νήσῳ B), ἐν ᾗ (ᾗ B. ἧς A) προκαθέζεται (προκάθηται A) αἰὼν (quem vocem om. A) Πλουτώνιος (πλουτίνιος AB) αὐτὸς ἀνάσσων. Hinc quattuor erui hexametros, quorum in secundo prava vocis ἀγηράτοις prosodia auctori relinquenda erat. Oraculum redit cap. XXXIII, unde petivi versum quintum. Valerius pro μηλοκέρως egisse videtur μηνοκέρως. Ceterum quæ in anteced. Ammon dicit, τέκνον Ἀλέξανδρε κτλ, ad dodecasyllabum revocarim pro περ. scribens ἔφυς. ‖ 20. addit B : θύσας πάλιν τῷ Ἄμμωνι, quæ delevi cum C, quum mox recurrant. ‖ 21 στρατόπεδα C.

XXX. Indidem Tyrrheno transmisso cum Africam quoque appulisset Alexander, ejus gentis illi magistratus obviantes precari sunt ausi ut a se vis Romani exercitus amoliretur. Sed hæc dicta non modo ad favorem regis animum non convertunt, verum ignaviæ increpitos tali responsione dimittit : Quod boni Carthago consuleret, si aut melior hostibus foret, aut potioribus præcepta defenderet. Hinc igitur pergens paucis admodum comitatus omnem Libyam peragrat; itaque ad Hammona, qui locus deserto Ægypti celebratur, ipse contendit. Enimvero exercitus multitudinem navibus superpositam Pharum destinat. Ipse ergo Hammona veneratus, operatisque largioribus ibidem sacrificiis, præsidium sibi operis et cœptorum veluti a deo patre deposcit : quippe ejus fabulæ tenax, quod hujusce dei cum matre per somnium fuerit conjugatio. His denique verbis deum convenit : « O pater Hammon, inquit, si quid materni seminis est verum, eaque mater conceptus nostri ex te principium est sortita, quæso uti istud astipulare præsenti mihi ut filio præstes. » Igitur doctus evidentibus monitis, non absque numen illud esse cura sui, et templum deo operosius et augustius fabricatur, et ad prodendam militibus confidentiam, PATRI HAMMONI id fecisse inscriptione testatur. Tunc responsum etiam quæsitum a deo est, quo sibi monimentum imperii sui aliquod instaurare fas esset? Animo quippe conceperat urbis quam maximæ conditum. Ergo per somnium sic ejusdem dei alloquio fruitur :

Hæc tibi, rex, Phœbus lunatis cornibus edo.
Nomen si pergas ævo celebrare perenni,
Urbs tibi condenda est qua stat Protea tellus,
Præsidet et numen cui Dite potentius ipso,
Vertice quinquejugo rerum secreta gubernans.

Ad hæc doctus Alexander tali responso, omni diligentia ri-

ζήτει ποίαν νῆσον ὀηλοῖ τὴν Πρωτηίδα, τίς δ' ἔστιν ὁ προκαθεζόμενος αὐτῆς θεός. Ὡς δὲ ἀνεζήτει Ἀλέξανδρος, θύσας πάλιν τῷ Ἄμμωνι τὴν ὁδοιπορίαν ἐποιεῖτο ἐπί τινα κώμην τῆς Λιβύης, ἐν ᾗ τὰ στρατεύματα (21) ἀνέπαυσεν.

ΚΕΦ. ΛΑ'.

Καὶ δὴ περιπατοῦντος τοῦ Ἀλεξάνδρου ἔλαφος μεγίστη παρελθοῦσα (1) εἰς τινα φωλεὸν ἔδυσε. Φωνήσας δὲ ὁ Ἀλέξανδρος τοξότην ἐκέλευσε τοξεύειν (2) τὸ ζῶον. Ὁ δὲ τοξότης τείνας (3) τὸ τόξον οὐκ ἐπέτυχε τῆς ἐλάφου· ὁ δὲ Ἀλέξανδρος εἶπεν αὐτῷ· « Ἄνθρωπε, παράτονόν σοι γέγονεν. » Ἔνθεν οὖν (4) ὁ τόπος ἐκεῖνος ἐκλήθη Παρατόνιον (5) διὰ τὴν Ἀλεξάνδρου εὐφώνησιν. (6) Κτίσας οὖν ἐκεῖ πόλιν μικρὰν καὶ καλέσας ἐκ τῶν ἐγχωρίων τινὰς (7) λαμπροὺς ἄνδρας, κατῴκισεν αὐτοὺς ἐκεῖσε, καλέσας αὐτὴν Παρατόνιον.

Ἐκεῖθεν δὲ ὁδεύσας ἦλθεν εἰς Ταφόσιριν (8). Ἐπυνθάνετο οὖν παρὰ τῶν ἐγχωρίων διὰ τί τὸ ὄνομα τὸ τοιόνδε (9). Οἱ δὲ ἔφησαν, τάφον Ὀσίρεως (10) εἶναι τὸ ἱερόν. Καὶ θύσας κἀκεῖθεν τὸ ἑφεξῆς (11) ἐποιεῖτο τῆς ὁδοιπορίας· καὶ παραγίνεται ἐπὶ τούτου (12) τοῦ ἐδάφους, καὶ ὁρᾷ χώρημα μέγα εἰς ἄπειρον ἐκτεῖνον (13), δώδεκα κώμαις (14) συνεχόμενον. Ἀπὸ οὖν τῆς Πανόυσεως (15) μέχρι τοῦ καλουμένου Ἡρακλεωτικοῦ στόματος (16) τὸ μῆκος τῆς πόλεως Ἀλέξανδρος ἐχωρογράφησε· τὸ δὲ πλάτος ἀπὸ τοῦ Βενδιδείου (17) μέχρι τῆς μικρᾶς Ἑρμουπόλεως. Οὐ καλεῖται δὲ Ἑρμούπολις ἀλλὰ Ὁρμούπολις, ὅτι πᾶς ὁ κατερχόμενος ἐκ τῆς (18) Αἰγύπτου καὶ ἀνερχόμενος ἐκεῖ προσορμεῖ.

Cap. XXXI. 1. Ἐπελθοῦσα B; ἐλ. μεγ. εἰς τινα φωλεὸν ἐνέμετο A. ‖ 2. τοξεύειν A; τοξηθῆναι BC. ‖ 3. τεμήσας BC; ὁ δὲ ὀκνηρότερον τείνας τὸ τόξον καὶ τὸ βέλος τιναξας εἰς ἄχος(?) ἀφῆκε παρ' αὐτὸ τῆς θηρὸς μὴ εὐστοχήσας A ‖ 4. ἔνθα νῦν B; dein ἐκεῖνος om. B. ‖ 5. παράτονον B, παρατόνιν C, παρατώνιον A; debebat Παραιτόνιον ‖ 6. ἐκνόησιν A. ‖ 7. μικρὰν καλέσας... χωρίων λαμπρούς B. ‖ 8. Ταφώσιριν A, Ταφωσήριον B, Ταφοσυρι.. C. Ταφόσιρις ap. Dioscor. 3, 24, Procop. De aedib. 6, 1; Ταπόσειρις Strabo, alii. ‖ 9. τὸ ὄνομα τοῦ τόπου τοῦτο C. In A haec exciderunt. ‖ 10. ἱερέως B. ‖ 11 τὴν ἀρξὶν B; τὴν ἀρχὴν C; θύσας τὴν ἀρξὶν ἐποιεῖτο τὸ τῆς ὁδοιπορίας A. ‖ 12. sic cod. A.; ex quibus colligas Alexandriae haec scripta esse; ἐπὶ τοῦ ἐδάφους τοῦ νῦν C; τοῦ ναοῦ C. ‖ 13. ἐκτεῖνον om. B. ‖ 14. χώρας B. Ceterum numerus δώδεκα non pertinet ad κώμας, sed ad fluvios hujus regionis, ut patet ex Valerio, qui de his multo uberior. Plura etiam praebet codex A, qui nomina vicorum sedecim, et alia quaedam tradit, sed corruptissima. Etenim post vocem συνεχόμενον codex pergit ita: Ἦσαν δὲ αὐτὰς (l. αὗται)· Στειραμφεῖς, Φανέντι καὶ Εὐδημας, Ἀκάμης, Ἀπύρος, Ταρακώτης (l. τε Ῥακώτης s. Ῥακῶτις), Ἠγιῶσα, Ὑπονῆς, Κραμβεῖ τε (Κράμβουτις?), Κραπαβεὶς καὶ Ανιδίας, Παύσας, Τέρσις τῷ (τε?) Νεφέλη τε Αημνία τε (vel μημνία τε) Πέλασος. Ἡ δὲ Ῥακώτης ἦν ἐπίσημος· ἐτύγχανεν γὰρ μητρόπολις οὖσα. Αἱ δὲ ις' κῶμαι εἶχον ποταμοὺς ιϐ, ἐξερευγομένους εἰς τὴν θάλατταν· καὶ μέχρι νῦν αἱ διεκδρομαι, (supple καίπερ) περραγμέναι ἐστίν (l. δῆλαι vel φανεραὶ εἰσι.)· ἐχώσθησαν οἱ ποταμοί· καὶ αἰγὲ (sic) τῆς πόλεως καὶ αἱ πλατίαι (l. πλατεῖαι) ἐγεννήθησαν (i. e. et ex iis factae sunt urbis plateae). Δύο δὲ μόνοι διέμειναν, οἳ καὶ ἀπόρευσιν (l. ἀπόρρυσιν ἔχουσι v. ἀπορρέουσι) εἰς τὴν θάλατταν.** (Excidisse videtur: *ceteri nomina partibus urbis praestiterunt.*) Ἐπικάμενοι (ἐπικαλούμενος?) Ῥακώτη τις (Ῥακῶτις) ποταμός, ὁ (l. ὃς) νῦν δρόμος τοῦ μεγάλου θεοῦ Σαράπιδος τυγχάνει· εἶτα διορύσσει (l. διερρύη) τοῦ Ἀγορίου (l. Ἀγοραίου). Πλατὴς (l. πλατὺς) καὶ μέγιστος ποταμὸς [ὁ] καλούμενος ξυλέρω (sic), νῦν Ἀσπενδία (quae urbis pars memoratur ap. Athen. p. 174 d.) τυγχάνουσα· εἶτα διορύει (l. διερρύη) τῷ Τυχίῳ (l. τοῦ Τ.). Καὶ μέγιστος ποταμὸς Νεφερῷ τις (Νεφερῶτις?), τὰ νῦν Ἐκθέματα οὐ ἐστίν· καὶ ἰδιός τις Νεφερῶν, πρωτόκτιστον (πρωτοκτίστης?) Ἀλεξανδρείας. Καὶ μεγιστος πάντων τῶν ποταμῶν Ἀργέος (sic) καλούμενος, οὗ ἐστιν Ἀργέου στύλος· καὶ διώρυξ (διερρύη) κατὰ τὸν Κανωπικὸν ἐκϐάλλουσα (l. ἐκϐάλλων) κατὰ τοῦ Ζεφυρίου. Καὶ μέγιστος ποταμὸς [*** Ἕως τοῦ] Ἡρακλείου στόματος τὸ μῆκος τῆς πόλεως ἐχωρογράφησε· τὸ δὲ πλάτος ἀπὸ τοῦ Μενδίου ἕως τῆς μικρᾶς Ἑρμουπόλεως. ‖ 15. sic B. συνδήσεως C; fortasse fuit ἀπὸ Πλινθίνης, vel etiam ἀπὸ Δυσμῶν, (de situ hujus loci v. quae leguntur in Peripl. mar. magni in Gail. Geogr. II, p. 435). ‖ 16 στύλου B. ‖ 17. Βενδηλαίου C; Βενδήλου B, Μενδίου A; *Interdidum*

---

mabatur quam Proteiam insulam deus vellet, quidve illi numinis praesideret. Quae etiam tunc animo volutans, peractis rite sacrificiis indidem proficiscitur. Multo denique itineris exantlato, apud vicum Astrata fessum commilitium refecit.

XXXI. Ibi autem rex cum forte in agro, ut assolet, spatiaretur, cervam intuitus pascuis occupatam, unum ex his qui destinandis sagittis sollertior habebatur, jaculari bestiam jubet. Qui cum non ex opinione praejudicata fecisset, leviusque ictum animal evasisset, exclamasse Alexander fertur graeco scilicet verbo, quod remissior arcus et intentio sagittam inbecillius exegisset, para tonon istud factum videri. Ex eoque dicto Paratonium etiam post frequentatae urbi nomen ibidem datum.

Hinc porro ad locum, qui vulgo Taposiris diceretur, appulit. Inquirens autem nominis causam accipit ab indigenis sepulchrum Osiridos illic esse, quod a veteri compositione corruptum Taposiridus dictus esset. Operatus igitur illicce deo, ad id loci transit, quem extensum quidem magni et uberis aequoris pulchritudine miratur, frequentem autem commanentium conventiculis. Sedecim quippe et instar urbium vicis decoriter admodum distinctis atque dispositis consistit; quorum magnitudini honor et cura deferebatur. His sedecim desessilibus flumina quoque duodecim interrerrabant, pariter omnia vergentia juxtim in mare, sicuti nunc etiam ad memoriam veteris insulcationis datur visere. Quippe quamvis congestu postea sint ad aequoris uniti faciem exaequata, quisquis tamen ille ductus fluminis fuit, is nunc plateis apud Alexandriam tractus est: sed duo tantum ingressus fluminum reservati: ceteri nomina partibus oppidi praestiterunt. Igitur omne spatium [*ab*] eo loco, cui Interdidium vetus nomen est, usque ad Hermopolim urbis ejus ambitu occupatum est! Sed enim nomen hoc longe secus ac se veritas habet in usu appellationis resedit, Hormo enim polis, non Hermopolis, dicta est, quod portuosus illic alveus Nili latiusque in latera descendens fidam stationem navibus per sese labentibus faceret.

Μέχρις οὖν ἐκείνου τοῦ τόπου (19) ἐχωρογράφησε τὴν πόλιν (20) Ἀλέξανδρος ὁ βασιλεύς· ὅθεν μέχρι τῆς ἕως Ἀλεξανδρέων ἡ χώρα ἀναγράφεται (21).

Συνεβούλευσε δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ Κλεομένης (22) ὁ Ναυκρατίτης καὶ Δεινοκράτης (23) ὁ Ῥόδιος μὴ τῷ μεγέθει τούτῳ κτίσαι τὴν πόλιν· οὐ γὰρ δυνήσῃ αὐτὴν γεμίσαι ὄχλου· ἐὰν δὲ καὶ γεμίσῃς, οὐ δυνήσονται οἱ ὑπηρέται (24) τὴν χρείαν αὐτῇ παρασχεῖν τῶν ἐπιτηδείων· (25) πολεμήσουσι δὲ ἑαυτοὺς οἱ ἐν τῇ πόλει κατοικοῦντες, ὡς (26) ὑπερμεγέθους τυγχανούσης καὶ ἀπείρου· αἱ γὰρ μικραὶ πόλεις εὐσύμβουλοί (27) εἰσι πρὸς τὰ συμφέροντα τῇ πόλει ποιεῖν (28)· ἐὰν δὲ οὕτως ὡς διεγράψω (29) μεγίστην ταύτην κτίσῃς, οἱ κατοικοῦντες διχοστατήσουσιν (30) εἰς ἀλλήλους μαχόμενοι καὶ (31) διαφερόμενοι, ἀπείρου ὄχλου τυγχάνοντος.

Πεισθεὶς δὲ ὁ Ἀλέξανδρος ἐπέτρεψε τοῖς ἀρχιτέκτοσιν οἷς βούλονται μέτροις τὴν πόλιν κτίζειν. Οἱ δὲ κελευσθέντες ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου χωρογραφοῦσι τὸ μῆκος τῆς πόλεως ἀπὸ τοῦ Δράκοντος τοῦ κατὰ τὴν Ταφοσιριακὴν ταινίαν (32) μέχρι τοῦ Ἀγαθοδαίμονος ποταμοῦ τοῦ κατὰ Κάνωβον (33)· καὶ ἀπὸ τοῦ Βενδιδείου (34) μέχρι τοῦ Εὐρυλόχου (35) καὶ Μελανθίου, τὸ πλάτος. Καὶ κελεύει Ἀλέξανδρος μεταβῆναι τοὺς κατοικοῦντας ἐν τοῖς τόποις τούτοις καὶ εἰς τὰς κώμας ἀπιέναι πρὸ τριάκοντα μιλίων τῆς πόλεως ἔξω (36), χωρήματα αὐτοῖς χαρισάμενος, προσαγορεύσας αὐτοὺς Ἀλεξανδρεῖς. Ἦσαν δὲ ἀρχιτέκτονες (37) τῶν κωμῶν (38) Εὐρύλοχος καὶ Μελάνθιος, ὅθεν καὶ ἡ ὀνομασία ἔμεινεν.

Σκέπτεται δὲ ὁ Ἀλέξανδρος καὶ ἑτέρους ἀρχιτέκτονας τῆς πόλεως, ἐν οἷς ἦν Ἥρων Λιβυκὸς (39), [ὑδατικὸς] λατόμος, καὶ Κλεομένης (40) μηχανικὸς, Ναυκρατίτης, καὶ Κράτερος (41) Ὀλύνθιος. Εἶχε δὲ ἀδελφὸν

Valer. De Bendideo Alexandriæ loco ad mare sito v. quæ laudantur in Steph. Thes. s. v. ‖ 18. εἰς τὴν C. ‖ 19. pro ἐκ. τοῦ τόπου in B est τὴν πόλιν. ‖ 20. τὸν τόπον B. ‖ 21. Ἀλεξανδρέας χώρα γράφεται B; ὅθεν καὶ Ἀλεξανδρέου χωρίον ἀναγρ. A; ἡ Ἀλεξανδρέων χώρα ἐπικέκληται. C. ‖ 22. sic recte C et Valerius. Κρεομένης A, Κλεομήδης B. ‖ 23. Ἑρμοκράτης C. *Dinocrates*, Valerius. Hoc architecti nomen habes etiam ap. Ammian. 22, 16, Vitruv. præf. lib. II., Valerius Maxim. I, 4 (Novimus etiam poetam Dinocratem Rhodium); ap. Plin. 5, 10 et 34, 42 est *Dinochares*; in cod. A et B. nomen viri excidit, servata tamen sunt verba ὁ Ῥόδιος. In Ambrosiano Callisth. cod. gr. est Ἱπποκράτης, monente Maio ad Valerium. ‖ 24. ἔμποροι A. ‖ 25. πρὸς τὴν τροφὴν add. A. ‖ 26. ὡς τοιαύτης ὑπερμ. τυγ. B; ὑπερμεγ. τυγχ. C; ὡς τηλικαύτης οὔσης A. ‖ 27. σύμβουλοι B; εὐσ. C; εὐσυμβούλευτοι A. ‖ 28. sic. A; καὶ πρὸς τὰ σ. τῇ πολ. συμβουλεύουσι B. C. ‖ 29. ὡς διὰ τὴν μεγ. B. ‖ 30. διαναστήσ. B. ‖ 31. μαχ. καὶ om B. ‖ 32. ταφοσιριακὴν τενέαν C; ταφοσυνιακὴν τενέαν B. τάφον σηριακὴν ταινίαν A. Intellige angustum illum tractum, qui inter mare et lacum Mareoticum Taposirin versus extenditur. In eo erat Necropolis. ‖ 33. μέχρι τῆς Ἀ. ποταμοῦ τοῦ κατὰ νότον B; μέχρι τοῦ Ἀ. π. τ. κ. νότον C; τοῦ κατὰ τὸν κάνωβα A. Intellige portam Canobicam, vel locum prope eam, quo Canobus sepultus esse ferebatur (Epiphanius Ancorat. § 108, Opp. tom. II, p. 109 ed. Petav.); ceterum vox ποταμοῦ num recte se habeat, quæro. Num τόπου v. τεμένους? ‖ 34 Βενδιδίου B. Βενδησίου C. Μενδησίου A. Valerius auctorem suum expresssit pessime. ‖ 35. τῆς Εὐρώφου B; μεχρὶ τοῦ Εὐρυλόφου C; ἕως τῆς Εὐρυλόχου A. ‖ 36. καὶ κελεύει τοῖς κατοικοῦσι κωμάνοις μηταβαίνειν πρὸ (ἀπὸ?) λ' μιλίων τῆς πόλεως, χώρημα αὐτοῖς χαρ. A. ‖ 37. sic C; ἀρχεπόδες B; ἀρχέποδοι A. ‖ 38. τότε add. A. ‖ 39. ἦν Νουμήνιος v. Νουμίνιος C et B; quod corruptum ex ἦν Ἥρων ὀνόματι, λιβυκός, uti ex Valerio et cod. A intelligitur; est haud dubie avus Heronis Alexandrini, celebris mathematici; vox ὑδατικός, si recte se habet, neque, ut puto, ex Λιβυκὸς corrupta est, quæritur an non certe serioris ævi Heron ὁ ὑδραυλικός cum Nostro confundatur. ‖ 40. Κλεομήδης B. ‖ 41. Κάρτερος B. καρτερικός C. *Eratco* Valerius; in cod. A locus ita habet: ἐσκέπτετο δὲ καὶ ἑτέρους ἀρχιτέκτονας τῆς πόλεως, ἐν οἷς Κλεομένην τὸν Ναυκρατίτην καὶ Κρατὸν (sic) Ὀλύνθιον καὶ Ἥρωνα ὀνόματι λιβυκυέντα (l. λιβυκὸν ὄντα?), ὃς εἶχε ἀδελφὸν ὀνόματι Ὑπόνομον. Hinc dedi Κράτερον; nam ita olim in Callisthene scriptum fuisse e varia lectione eruitur. At verum nomen fuerit Κράτης, intelligendusque est celeber ille ταφρώρυχος (quod nomen fort. latet in Καρτέριχος codicis C), ὁ Ἀλεξάνδρῳ συνών (ut Diog. L. ait IV, 23.), de quo v Steph. Byz. v. Ἀθῆναι et Strabo X, p. 407, ubi ἀνὴρ Χαλκιδεὺς dicitur, eodem, opinor, modo quo Ephippus et Dionysius historici ab aliis Olyn-

---

Hanc igitur urbem nominis sui appellatione dignatus in omnem, quantum visi datur, magnificentiam laboravit, quamvis Cleomenes ac Neucratus (i. e. ἐκ Ναυκρ.) et Dinocrates Rhodius in eam sententiam non accederent, ut tantam illam urbem, quanta nunc est, niti deberet: quod neque repleri ædificiorum spatia et tecta turbis competentibus opinarentur, nec repleta ali facile potuissent. Ex quo fore arbitrabantur bella frequentia vel necessitate quærendæ alimoniæ ab ipsis incolentibus ineunda, seu opulentia prævalerent seu viribus deficerent, dum aut impeterent aliquid aut peterentur. Quippe moderatum urbium statum et consiliis facilius cedere, et ad sustentationem sui promptius occursare: amicum siquidem multitudini, nec facilis sui apud omnes singula dinoscentia, atque etiam difficilis et conspiratio.

Quamquam igitur longe auctius rex metitus locorum amplitudinem foret, tamen ad sententiam persuadentium ire aliquanto contractius sivit ambitus lineam. Quare facesserat magnificentiæ animo contemptæ. Longitudinem quidem urbi procurat ab eo loco cui Draco nomen est: (est autem pars supradicti Taposiris usque ad locum cui Agathodæmonos appellatio manet.) Latitudini vero indulget a Canopo usque ad locum qui Eurylochi vel Melanthium dicitur. Jubet igitur omnes quique per ambitum usque ad lapidem tricesimum coluissent, universos eodem commigrare, locumque omnem unde ad oppidum convenissent, suæ editioni (*ædificationi? Mai.*) servire. Et hæc quidem super spatio urbis ejus accipimus.

Adhibitis autem rex architectoribus, qui ex arte nobiles et celebratiores habebantur, ut Cleomene de Neucrato (i. e. ἐκ Ναυκρ.) et Olynthio, et Erateo (*Cratero Olynthio*), Herone etiam Libii (Libye) qui cum fratre Eponymo (*Hy-*

ὁ Ἥρων (42) ὀνόματι Ὑπόνομον. Οὗτος συνεβούλευσεν Ἀλεξάνδρῳ τὴν πόλιν ἐκ θεμελίων κτίσαι (43), ἐν αὐτῇ δὲ ὑδραγωγοὺς πόρους καὶ ὀχετηγοὺς ἐπιῤῥέοντας (44) εἰς τὴν θάλασσαν. Καλεῖται δὲ Ὑπόνομος διὰ τὸ ὑποδεῖξαι αὐτὸν ταῦτα (45).

ΚΕΦ. ΛΒ'.

Κελεύει οὖν Ἀλέξανδρος χωρογραφῆσαι τὸ περίμετρον τῆς πόλεως πρὸς τὸ θεάσασθαι αὐτό. Οἱ οὖν ἀρχιτέκτονες (1) ἄλευρον σίτου λαβόντες ἐχωρογράφησαν τὴν πόλιν. Καταπτάντα δὲ ὄρνεα παντοδαπὰ κατεβοσκήθησαν τὰ ἄλευρα καὶ ἀνέπτησαν. Πυνθανόμενος (2) δὲ Ἀλέξανδρος περὶ τούτων, τί ἄρα δηλοῖ τὸ σημεῖον, μετεπέμψατο σημειολύτας καὶ εἶπεν αὐτοῖς τὸ γεγονός· οἱ δὲ ἔφασαν ὅτι ἡ πόλις, ἣν ἐκέλευσας κτισθῆναι, βασιλεῦ, ὅλην τὴν οἰκουμένην θρέψει, καὶ παντα-χοῦ ἔσονται οἱ ἐν αὐτῇ γεννηθέντες (3) ἄνθρωποι· τὰ γὰρ πετεινὰ πᾶσαν τὴν οἰκουμένην περιϊκυκλοῦσιν (4).

Ἐκέλευσεν οὖν κτίζεσθαι τὴν πόλιν. Θεμελιώσας δὲ τὸ πλεῖστον μέρος τῆς πόλεως Ἀλέξανδρος καὶ χωρογραφήσας, ἐπέγραψε γράμματα πέντε· Α, Β, Γ, Δ, Ε. τὸ μὲν Α Ἀλέξανδρος, τὸ δὲ Β βασιλεὺς, τὸ δὲ Γ γένος, τὸ δὲ Δ Διὸς, τὸ δὲ Ε ἔκτισε πόλιν ἀείμνηστον. Ὑπο-

thii, ab aliis Chalcidenses vocantur. ‖ 42. Νουμήνιος BC. ‖ 43. ὀρύξαι τὴν πόλιν ἐκ θεμ. A. ‖ 44. ξηρεύοντας τὴν θάλ. A. ‖ 45. cod. A sic: Καλοῦνται δὲ ὑπόνομοι διὰ τὸ [τὸν] ὑποδείξαντα Λιβυκὸν Ὑπόνομον καλεῖσθαι. Omisit hæc Valerius, alia quædam suppeditans quæ in græcis nostris desiderantur, nisi quod in cod. A post ξηρεύοντας τὴν θάλ. leguntur hæc: πεισθεὶς ὁ Ἀλέξανδρος ἐκέλευσε γενέσθαι ὅπερ οὐδεμία πόλις εἶχεν. Quod deinde apud Valerium sequitur de magnitudine urbium maximarum, ita habet in cod. A: Οὐ μέντοι γε ἑτέρα πόλις ἐστὶ μείζων Ἀλεξανδρείας. Πᾶσαι γὰρ ἐχωρογραφήθησαν καὶ ἐμετρήθησαν. Ἡ δὲ μεγίστη πόλις ἐν Συρίᾳ Ἀντιόχεια· αὕτη ἐστὶν σταδίων ηʹ καὶ ποδῶν οϐʹ· ἡ δ' ἐν Ἀφρίκῃ Καρχηδὼν σταδίων ιϛʹ (*decem* Valer., quod præstat, nam a minoribus ad majores auctor progreditur), ποδῶν μʹ (ut vid.). Ἡ δὲ ἐν τοῖς βαρβάροις Βαβυλὼν σταδίων ιϐʹ καὶ ποδῶν σηʹ (σκʹ sec. Valer.)· ἡ δὲ Ῥώμη σταδίων ιϐʹ καὶ ποδῶν κʹ· ἡ δὲ Ἀλεξάνδρεια σταδίων ιϐʹ (scr. ις ex Valerio) καὶ ποδῶν τζʹ εʹ (τοεʹ sec. Val.). Longe aliter Strabo p. 793, sec. quem Alexandriæ diameter stadiorum circa 30; sec. Diodor. et Plin. stad. 40. De suo tempore Callisthenes loqui videri possit. Post hæc cod. A pergit:

Παραγινόμενος οὖν Ἀλέξανδρος εἰς τοῦτο τὸ ἔδαφος, εὗρε τοὺς ποταμοὺς καὶ τὰς διορυχὰς καὶ τὰς κώμας συνεστώσας. Ἀπὸ δὲ τῆς γῆς ἐπὶ τῆς θαλάσσης νῆσόν τινα ἐθεάσατο, καὶ πυνθάνετο τίς καλεῖ τὴν νῆσον. Οἱ δὲ ἐγχώριοι εἶπον· « Φάρον Ἡρωτύς (Ἡρωτεὺς δὲ cod.)· αὕτη δὴ κατοίκησις (κατοικήσας cod.) τὸ μνῆμα τοῦ Πρωτέως ἐστὶν τὸ παρ' ἡμῖν θρησκευόμενον. » Ἐπί τινος ὑψηλοτάτου θρόνου ἤνεγκαν αὐτὸν εἰς τὸ νῦν καλούμενον ἡρῷον, καὶ ἐπέδειξαν τὴν λάρνακα. Θύσας δὲ τῷ ἡρώῳ (τῷ ἥρωι τὸ ἡρῷον) ἱπποτεύει (ἱποπτεύει ?), καὶ ἰδὼν ἀπὸ τοῦ χρυσοῦ (στύλου ?) καταπεπτωκὸς τὸ μνῆμα ἐκέλευσε αὐτὸ ταχέως ἀνορθῶσαι.

Cap. XXXII. 1. Ἀρχιτεχνίται BC. ‖ 2. ξυμφοραζόμενος C; voluit ξυμφ. καὶ πυνθανόμενος; cod. A. ξυμφοράζων μετεπέμψατο. Cf. Plutarch. Alex. c. 26. ‖ 3. ἐνωθέντες B. ‖ 4. Post hæc cod. A (et Valerius) præbent hæc: Ἤρξαντο δὲ οἰκοδομεῖν τὴν

---

ponomo) erat, accepit omne magnificentiæ hujusce monimentum in eo posse tuto consistere, si antea quam fundamenta urbi jacerentur, subductiones aquæ purgamentisque relinquendas procuraret: quibus jugiter ablutis dirivatisque atque in mare perpetuo dilabentibus, neque ædificiis perniciem aliquam remansuram, et ab hisce, quæ intervenire corrumpendo aeri soleant, purgatius oppidum fore. Elaboratis igitur his cloacis, quibus haud facile capaciores ulla urbs habeat, omnis post id operum imposita molitio.

Quare cum hæ urbes, quæ in omni orbe terreno maximæ celebrantur, in hæc spatia numeratæ sint; Syriæque sit civitas vel amplissima Antiochia extenta stadiis octo, pedibus septuaginta duobus; Carthago vero, quæ principatum Africæ tenet, stadiis decem porrecta videatur stadiique parte quarta; Babylon porro stadiis duodecim longa sit et pedibus CC atque XX; ipsa quoque domina omnium gentium Roma quatuordecim stadiis et pedibus C atque XX longa primitus fuerit, nondum adjectis his partibus, quæ multum congeminasse majestatis ejus magnificentiam visuntur; Alexandriam mensi sunt sedecim quidem stadiis, pedibus vero CCC atque LXXV.

Occupato igitur omni solo, quod prædictis alveis atque vicis olim consitum mox urbs una contexuit, videt insulam eminus perbrevem rex, cui nomen Pharus esse cum diceretur, coluisse vero Pharum istam Protea; conlapsum etiam ibidem cerneret Proteos sepulchrum; id quidem protinus et reformari ad faciem novitatis et coli religiosius mandat: exinque civitas Pharos est; ejusque mos ad nos usque prolapsus Sacrum inter nostros Heroon dicitur.

τόξοις ἀνεῖλεν εἰς πλευρὰν (41) τυπωθέντα.
Ἔνθεν δ' Ἰνὼ (42) ἥλατο εἰς βυθοῦ κῦμα
σὺν τῷ Μελικέρτῃ τῷ νεογόνῳ λυσσώδης. (43)
Ἔνθεν ὁ πηρὸς Οἰδίπους ἀπηλάσθη
ταγαῖς Κρέοντος (44). Οὕτω (οὗτος?) βάκτρον Ἰσμήνην **
Οὗτος ἀπόρρους ἐκ μέσου Κιθαιρῶνος
Ἰσμηνός ἐστι Βακχεῖον φέρων ὕδωρ.
Ἐλάτην ὁρᾷς εἰς ὕψος ἀρθεῖσαν κλάδοις;
Ἐνθάδε Πενθεὺς (45) τοὺς χορεύοντας κατοπτεύων
πρὸς τῆς τεκούσης δυστυχῶς (46) διεσπάσθη.
Πηγὴν ὁρᾷς (47) βρύουσαν ἐμμοχθὸν (48) ὕδωρ,
ἐξ ἧς βοὸς μύκημα δεινὸν ἠχεῖται;
τουτέστιν αἵματι σεσυρμένης Δίρκης.
Ὁρᾷς ἐκείνην * στάτην (49) ἀκρώρειαν,
τὴν ἐξέχουσαν αὐτοῦ τῆς ἁρπαστοῦ (50);
ἡ Σφὶγξ (51) ἐπ' αὐτῆς ἵζετ' ἡ τεράστιος,
πρόσταγμα προστάττουσα δημώταις πᾶσιν,
ἣν Οἰδίπους ἀνεῖλ' ὁ πολλὰ μερμήρας (52).
Αὕτη θεῶν πηγὴ (53) καὶ ἱερὰ κρήνη,
ἐξ ἧς ἀναβλύζουσιν ἀργυραῖ νύμφαι·
εἰς τὰ λιβάδια Ἄρτεμις κατελθοῦσα
φαιδρύνει χρῶτας· ὁ δὲ δύσαγνος Ἀχαιῶν
ἃ μὴ θέμις κατεῖδε λουτρὰ Δικτύνας (54).
[ἀπ]αλλαγεὶς ἐς ἔλαφον (55) ἀκλεῶς σῶμα
κυσὶν ὁμοδιαίτοις (56) διὰ τὸ λουτρὸν ἠγρεύθη
***
Ἐν πᾶσιν Ἄρης ἐπολέμησεν τὰς Θήβας.
Ἔνθα Πολυνείκης ἦρξε Ἀργείου λεὼ
στράπτων λοχαγός· Ἔνθα Τυδέως λόγχη (57).
Ἐνταῦθα Καμπανεὺς περὶ τὸ χεῖλος (58) ἐφλέγχθη·
τὰς μὲν πύλας καλοῦσι τὰς Ἠλεκτρίδας (59).
Πύλαις δὲ ταύταις προστεθείσαις ἡμῖν (60)
ἄρρηκτες Ἀμφιάραον χαίρουσα δεχοιοίτε γαῖα
ὠγυγίαις πύλεσι ἐν τρίταις
κλῆθρε πομέδοντα τὸν μέγαν εὐσθενῆ τ'
εἶπε τὸ κηδίστεσιν παρὰ πύλαις
παρθενοποιός· ὅτε ἦν μόλην* ὡς πύλαις
ὁλῶλε μυριέσιν ἐκλήθη.
Θανέντ' ἔθαψεν τὸν λαύαγον (λοχαγὸν?) Ἀργεῖος
ἡδίωαις ἀγνὰ λῖτε τεῦσαι Καδμείαν,
αὗται λυίου (Λυαίου) τοῦ φιλεα υἱὸς ὣς (ὢν,)
οὐ θῆβαι αὗται πέφυκαν ἃς ἐπὶ σεσώπῳ (Αἰσώπῳ) βακ-
[χίους,
ἃς σὺ κελεύεις ἐκ βάθρων καθαιρεῖσθαι·
Ὁρᾷς σὺ σηκὸν Ἡρακλέους προύμ.
τοῦ σοῦ γενεάρχου καὶ πατρὸς Φιλίππου;
σεαυτοῦ τεμένη ἀγνοῶν θέλεις φλέξαι;
τί τοὺς γονέας τοὺς τεκόντας ὑβρίζεις;
Ἡρακλέους γένος [τε] καὶ κλυτοῦ Βάκχου.

Οὕτως μὲν ἱκετεύσας Ἰσμηνίας ἔπεσεν παρὰ ποσὶν Ἀλεξάνδρου βασιλέως. Ὁ δὲ Μακεδὼν ὅμιλα πρὸς αὐ-

δυσδαίμονα πατροκτόνον τὸν Οἰδίπουν λυγρὰ μήτης. ‖ 36. Ἀλκμήνης τῆς καταξούσης ἐξ οὐρ.? ‖ 37. ἠριφαότην cod. ‖ 38. Αικνίτην? ‖ 38. ταύταις τῇ Φοίβου λόγια cod. ‖ 39. μάνδις cod.; fortasse Tiresias Manthûs pater; mox Τρίτωνα cod. ‖ 40. δὲ ἄρχον cod ‖ 41. νεῦρον cod.; fortasse νῶτον. ‖ 42. δ' ἐκεῖνο ἤλλατο cod. ‖ 43. λυσσότην cod. ‖ 44. ἀπελάσθην τάγεοκρίον-τος cod. Pro οὕτω fortasse fuit ὁδοῦ βάκτρον sc. ἐχων κτλ. Deinde cod.: οὕτω ἀπότομος εἰς μέσον Κιθαρῶ ὡς ἐσμίνου ἐστὶν βακχέον φέρον. ‖ 45. ἐντὶ δὲ Πενθεῦσιν cod. ‖ 46. δυστύχοις cod. ‖ 47. τὴν Ἀγήνορος cod. ‖ 48. ἐμοχθον cod. ‖ 49 ὑστάτην, ἰσχάτην? ‖ 50. τῇ σαρτάπῃ τοῦ cod. ‖ 51. εἰσφηξ.. τερασπία cod. ‖ 52. μέρμηνας cod. ‖ 53. π. θεῶν ἐστιν cod. ‖ 54. δίστωας cod. ‖ 55. ἀλλαγεὶς ἔλαφος cod. ‖ 56. κυρινομοδιαίτοις cod. ‖ 57. θυρέων λόγχην cod. ‖ 58. Καμπ. sic cod.; dein fortasse fuit κήλοις Διὸς ἐφλ. vel Καμπανῆ πυρὸς κῆλον φλέγει vel Καπανεὺς περὶ τὸν κλίμακ' (v. περὶ τὸ τεῖχος) ἐφλέχθη. ‖ 59. τὰς δὲ ὑλοκύρας cod. ‖ 60. A sequentibus manum abstinui. Primos versus in hanc fere sententiam refinxerim.

Πύλαις δὲ ταύταις προστεθέντα Προίτισιν (sic Eurip.)
ἄρρηκτον Ἀμφιάραον χαίνουσα γῆ
ἐδέξατ'. Ὠγυγίαις παρὰ πύλαις Ἴσμαρος
ἀνεῖλεν Ἱππομέδοντα τὸν μεγασθένη.

ἔπεσεν δὲ Νηίτῃσι (sic Eurip.) παρὰ πύλαις *
* Παρθενοπαίος **
ὃ δ' ἐν Ὁμολωίσιν πύλαις ὅλωλ' ἀνὴρ
Ἐτέοκλος ἐκλήθη·

Hinc illa orgia et præstantissimos
deorum cultus diffusos esse per mundum?
Boni igitur consules, ac facesse
Ab hac tam sacrilega voluntate.
Neque enim, si quid inpatientibus
Ira belli mandavit, non mox te
Ad pœnitentiam [*arbitror*] reversurum.

Addebat etiam:

Hos tibi muros, hæc mœnia Zetlus ille,
Vel Amphion stirpis tuæ pars maxima,
Apolline Musisque adminiculantibus
Fecit. Nec vides, in rem tuam tuique
Generis gloriam te sævire? Quid quod
Idem illi dii præstites et majores tui
Lætitiam suis et ultionem ex hostibus,
Pacem denique cum ignotis
Majestate sui et virtutibus pepercerunt?
Hoc Liber ex India, hoc nobis Hercules
Ex omni terrarum orbe procurat:
Quorum te malo imitatorem potius
Quam invidentem fuisse. An tibi putas
Sine sacrilegio rem futuram
Locum istum ferro et igni postulari,
In quo Semelen suam rex deum Jupiter
Maritaverit, in quo Alcumenam quoque
Idem Jovis [*nuptiis*] dignatus sit?

τὸν μηκύνας καὶ τοὺς ὀδόντας τοῖς ὀδοῦσι συντρίζων, ὀργὴν ἀναπνέων τοῖον εἶπε τὸν μῦθον·

Ὦ παγκάκιστον ἐκλόχευμα Καδμείων,
ὦ παγκάκιστον ζῶον καὶ θεοῖς μῖσος,
ὦ δημίων * βλάστημα βαρβάρου ῥίζης
ὦ τῆς ἐπ' Ἰσμήνης σὺ λείψανον λύπης.
σοφιστικούς μοι καὶ πεπλασμένους μύθους
εἰπὼν ὑπέλαβες ὅτι πλανᾷς Ἀλέξανδρον;
ἐν γὰρ πρὸς **.
** πᾶσαν τὴν πόλιν καθαιρήσω
καὶ πυρὶ τερρώσω καὶ πάντας ὑμᾶς μετὰ
πάτρας κατασκάψω. τὴν τῶν γονέων * *
(lacuna in codice)
Εἰ γὰρ σὺ γινώσκεις μοῦ τὴν σπορὰν πᾶσαν,
καὶ πόθεν ἔφυσα καὶ τίνες λοχεύσαντες,
οὐκ ἦν σε [τοῖς] Θηβαίοις ταῦτα κηρύττειν;
« ὅτ' ἐστιν ἡμῖν συγγενὴς Ἀλέξανδρος·
μὴ πρὸς πολίτην ἀποκατάστωμεν. δῶμεν
στρατηγίαν καὶ ὦμεν σύμμαχοι (61).
ἡμεῖς, πολῖται, συγγενεῖς Ἀλεξάνδρου.
δόξα ἐστιν ἡμῖν τῆς γεραιστάτης ῥίζης,
ἐὰν οἱ Μακεδόνες ἐπιπλακῶσι Θηβαίοις. »
Ὅτε δ' εἰς ἀμυναν οὐδὲν ἠτονήσατε,
καὶ τὸ θράσος ὑμῶν τῆς μάχης κατησχύνθη,
τότε [δὴ] μεταβολὴ καὶ δέησις ἀγνώμων,
μὴ δυναμένη συνεχόντων ἀναρήση (62),
ὅτι οὐ δύνασθε πρὸς μάχην Ἀλεξάνδρου.
ἀλλ' οὐδὲ Θηβαῖοι [ἔτ'] εἰσί· σὺ δὲ, σὺ
πρῶτος, κάκιστε (63), τοῦ τέλους αὐθέντης [εἶ].
*** Θήβας δ' αὐτὸς καταῤῥέξω·
καὶ εἰς μανίαν (Ἰσμηνίαν) σε τὸν κάκιστον αὐλήτην
τῶν ἡμιῤῥέκτων δωμάτων ἐφεστῶτα,
οὕτω σε κελεύω διδύμων ὀργάνων
ἦχος διὰ τὴν ἀνάλωσιν (64) αὐλῆσαι.

Οὕτως εἰπὼν ἐκέλευσε στρατοῖς κατασκάπτειν Ἑπτάπυλα τείχη καὶ πόλισμα Θηβαίων. Πάλιν ἐκεῖ χαίρων ἐπεχόρευε Θηβαίοις Ἰσμηνὸς αὐτὸς αἱματόφυρτος (65) ῥεύσας· Βέβλητο τείχη καὶ πόλισμα Θηβαίων· Καὶ πᾶσα γαῖα ταῖς σφαγαῖς κοπωθεῖσα· Καταῤῥιφέντων δωμάτων πολυκαύστων Βαρύστονος [βρόμος] ἀπελθὼν ἐμυκᾶτο. Ἰσμηνίας δὲ διδύμων ὀργάνων ἦχος Ἦν ἁρμοσάμενος τοῖς ἐρειπίοις ἑστὼς, Ὅπερ ἐκέλευσεν ὁ Μακεδὼν Ἀλέξανδρος.

Ἐπεὶ δὲ τείχη πάντ' ἔπιπτε Καδμείων, Καὶ μέλαθρα Λύκου (66) καὶ τὸ Λαβδάκου δῶμα, Εἰς εὐσέβειαν τῆς πάροιθε παιδείας Τὴν Πινδάρου * κάτανα (67) τύμβον, ἐν ᾧ ἦλθεν πεσὼν καὶ μετέσχε ταῖς Μούσαις, Πρὸς τὸν λυρῳδὸν τὸν γέροντα φοιτήσας. Πολλοὺς μὲν ἄνδρας περὶ πάτραν κατασφάξας, Ὀλίγους κατέλιπε παντελῶς ἔτι ζῶντας, Καὶ τοῦ νοῦ * αὐτῶν τοῦ γένους ἀπέλειψεν. Θήβας γὰρ εἶπω μηκέτι λαλεῖν Θήβας, Ἀλλ' ἄπολιν αὐτῶν τὴν πόλιν γεννηθῆναι. * ὡς ἔννομον εἶναι τὸν τοιοῦτον ἄνθρωπον *. συνέβη δὲ ταῖς Θήβαις ὑπὸ γενναίων *. Πρώην γὰρ κατασκευαζομένων τῶν τειχῶν καὶ τελουμένων, ἡ Ἀμφίονος λύρα μελῳδοῦσα ἐτέλεσε τὰ τείχη· κατασκαπτομένων δὲ αὐτῶν ὠσμηνίας ἐπηκολούθει. Τὰ οὖν ὑπὸ μουσικῆς μελῳδίας κατασκευασθέντα ὑπὸ μουσικῆς μελῳδίας πάλιν κατέπεσεν.

Ἅπαντες οὖν Θηβαῖοι σὺν τῇ πόλει ἀπώλοντο. Ὀλίγων δὲ καταλειφθέντων, ἐκήρυξεν Ἀλέξανδρος ὅτου ἂν ἐπιβῶσι πόλεως Θηβαῖοι, ἄπολεις αὐτοὺς εἶναι. Κἀκεῖθεν ὥδευσεν ἐπὶ τὰς ἄλλας πόλεις.

[ΚΕΦ. Μ ς'.]

Οἱ δὲ καταλειφθέντες Θηβαῖοι ἔπεμψαν εἰς Δελφοὺς, χρησμὸν λαβεῖν, εἰ ὅλως πότε ἀνακτήσονται Θηβαῖοι. Ὁ δὲ Ἀπόλλων ἐχρησμῴδησεν αὐτοῖς οὕτως·

Ἑρμῆς τ' Ἀλκείδης καὶ Ἰμαντόμαχος Πολυδεύκης
οἱ τρεῖς ἀθλήσαντες ἀνακτήσουσί σε, Θήβη·

Οὕτω τοῦ χρησμοῦ δοθέντος, ἐξεδέχοντο οἱ Θηβαῖοι τὸ ἀποβησόμενον.

Ὁ δὲ Ἀλέξανδρος παραγίνεται εἰς Κόρινθον, καὶ καταλαμβάνει ἐκεῖ τὸν Ἴσθμιον τῶν ἀγώνων ἀγόμενον. Παρακαλοῦσι δὲ αὐτὸν οἱ Κορίνθιοι ἄξαι τὸν ἀγῶνα. Ὁ δὲ πεισθεὶς ἐκάθισε. Καὶ εἰσελθόντων τότε τῶν ἀγωνιστῶν, καὶ στεφανουμένων τῶν νικώντων ὑπὸ Ἀλεξάνδρου ἔτι τε καὶ ὡρεὰς αὐτοῖς διδόντος τοῖς καλῶς ἀθλήσασιν, εἷς τῶν ἀθλητῶν, παράδοξος ἀνὴρ, Θηβαῖος τῷ γένει, Κλειτόμαχος ὀνόματι, ἀπεγράψατο πάλην, παγκράτιον καὶ πυγμήν (2). Καὶ ἐν μὲν τῷ σταδίῳ [κατὰ] τὴν πάλην πολυποικίλοις παλαίσμασι χρησάμενος ἔρρηξεν τοὺς ἀνταγωνιστὰς, ὥστε ἔπαινον

61. σύμμαχοι γενηθῶμεν cod. ‖ 62. μὴ δυναμένη τὰ συμπεσόντ' ἀναιρῆσαι? ‖ 63. πρωτοκράτιστα cod. ‖ 64. fortasse κατάλυσιν, vel πόλεως ἅλωσιν. In seqq. versus partim adhuc integros partim in prosam orationem dissolutos non erat cur distingueremus. Initio refingere licet : οὕτως κελεύει τοῖς στρ. κ. ‖ 65. αἱμόφυρτος cod.; mutavi dodecasyllabi causa. ‖ 66 μελοθρολύκου καὶ τὸ βδακοῦ cod. Quæ deinceps *leguntur*, *turbata et manca*. ‖ 67 Post. ⏑ παιδεία; e cod. B. (v. c. 27, p. 29.) supplere licet τηρήσας μόνην οἰκίαν τὴν Πινδάρου; sequentia quomodo restituenda sint nescio.

Cap. XLVI. 1. ‖ 2. Κλητόμαχος cod. *Clitom.* et *Clytom.* codd. latin. ‖ 3. τὰ τρίτων cod. ‖ 4. αὐτοὺς cod. ‖ 5. κοκκινοὺς cod.

Addebat et fabulas, quæcumque Thebanæ sunt, et memorias religiosas, quas vetus historia commendat. Sed hic commotior rex « Quam vellem, inquit, ô tu, qui civium tuorum infortunio suffragaris, consultor potius fuisses in melius, et illic tuam prudentiam exercuisses, ubi cautione opus fuerit, non hujusmodi experimento! Quare neque tibiis vinci pectus martium potest, nec contumelia militaris tam artificio quam supplicatione sopitur. » Et post hæc peragi excidium jubet.

XLVI. Sed Thebani quicumque fugæ contra eversionis suæ impetum consuluerant, ubi tempus fuit, congregati sciscitatum Apollinem mittunt, ecquid sibi redintegrare urbem Thebanam fata permitterent? Ad hæc igitur hujusmodi Apollinis est responsum :

Maiugena, Alcides, et Pollux cestibus auctor
Arte sua Thebis reditum cultumque dedere.

Hac sorte data opperiebantur Thebani, si quid tale proveniret.

Alexander vero cum Corinthum devenisset, eamque occupavisset, forte acciderat sollemne certamen gymnicum

λαβεῖν παρὰ Ἀλεξάνδρου. Ἐπελθόντος δὲ αὐτοῦ (4) στεφανωθῆναι τὸν τῆς πάλης στέφανον, εἶπεν αὐτῷ Ἀλέξανδρος· « Ἐὰν καὶ τὰ ἄλλα δύο νικήσῃς ἅπερ ἀπεγράψω, στεφανώσω σὲ τοὺς τρεῖς στεφάνους, καὶ αἴτημά σοι δίδωμι ὅπερ ἂν αἰτήσῃ. » Νικήσαντος οὖν αὐτοῦ καὶ τὴν πυγμὴν καὶ τὸ παγκράτιον, ἔτι μὴν καὶ τὴν πάλην, ἦλθεν πρὸς τὸν Ἀλέξανδρον στεφανωθῆναι τοὺς τρεῖς στεφάνους. Τοῦ δὲ κήρυκος πυθομένου αὐτοῦ τίς καλεῖται, καὶ ποίας πόλεως τυγχάνεις, ἵνα σὲ ἀγορεύσω, εἶπεν· « Κλειτόμαχος μὲν καλούμενος, πόλιν δὲ οὐκ ἔχω. » Ὁ δὲ βασιλεὺς εἶπεν· « Ὦ γενναῖε, τοιοῦτος τυγχάνων ἔνδοξος ἀθλητής, ἔπαινος σταδίου, τὰ τρία νικήσας, πάλην, πυγμὴν, παγκράτιον, στεφανωθεὶς δὲ ὑπ' ἐμοῦ κοτίνους (5) στεφάνους, πόλιν οὐκ ἔχεις; » Εἶπεν ὁ Κλειτόμαχος· « Εἶχον πρὶν γένηται Ἀλέξανδρος βασιλεύς· γενομένου δὲ Ἀλεξάνδρου βασιλέως, ἀπώλεσά μου τὴν πατρίδα. » Νοήσας Ἀλέξανδρος ὃ λέγει καὶ τί μέλλει αἰτεῖσθαι, εἶπεν· « Ἀνακτιζέσθωσαν Θῆβαι εἰς τιμὴν θεῶν τριῶν, Ἑρμοῦ, Ἡρακλέους, Πολυδεύκους, ἵνα ἐξ ἐμοῦ γένηται δωρεὰ καὶ μία αἴτησις. » Καὶ οὕτως ἀπέβη ὁ χρησμὸς τοῦ Ἀπόλλωνος·

Ἑρμῆς τ' Ἀλκίδης καὶ ἰμαντομάχος Πολυδεύκης,
οἱ τρεῖς ἀθλήσαντες ἀνακτήσουσί σε, Θήβη.

Ἀλεξάνδρου πράξεων μέρος α'.

ΒΙΒΛΙΟΝ Β'.

[ΚΕΦ. Α'.]

Ὁ δὲ Ἀλέξανδρος ἀπὸ Κορίνθου διοδεύσας εἰς Πλαταιὰς, πόλιν Ἀθηναίων, ὅπου τὴν Κόρην σέβονται, καὶ εἰσβὰς εἰς τὸ τέμενος τῆς θεοῦ, ὑφαινομένου ἱματίου ἱερατικοῦ αὐτῇ τῇ θεῷ, καὶ θεασάμενος κατέμαθεν *. Ἡ δὲ ἱέρεια εἶπεν· « Καλαῖς ὥραις εἰσῆλθες, μέγιστε βασιλεῦ, διάσημος ἔσῃ κατὰ πᾶσαν πόλιν καὶ διαλάμψεις. » Ὁ δὲ Ἀλέξανδρος ἐτίμησεν αὐτὴν χρυσῷ. Μεθ' ἡμέρας δὲ Στασαγόρας ὁ τῶν Πλαταιέων στρατηγὸς εἰσέρχεται εἰς τὸ τῆς θεοῦ τέμενος, καὶ εἶπεν ἡ ἱέρεια· « Στασαγόρα, καθαιρεθῆναι ἔχεις. » Ὁ δὲ ἐν ὀργῇ γενόμενος εἶπεν· « Ὦ ἀναξία τῆς προφητείας, Ἀλεξάνδρῳ εἰσελθόντι προσηύξω, ἐμὲ δὲ καθαιρεθήσεσθαι (1) εἶπες. » Ἡ δὲ εἶπεν· » Μὴ χαλέπαινε ἐν τούτῳ· πάντα γὰρ οἱ θεοὶ διὰ σημείων δεικνύουσι τοῖς ἀνθρώποις, μάλιστα τοῖς διασήμοις· ὅτε γὰρ Ἀλέξανδρος ἐνταῦθα εἰσῆλθεν, ἔτυχεν πορφύραν εἰς τὸν χιτῶνα τῆς θεοῦ βαλέσθαι, ὅθεν ἀπεφηνάμην αὐτῷ οὕτως· σὺ δὲ τετελεσμένου τοῦ χιτῶνος καὶ καθαιρομένου τοῦ ἱστοῦ εἰσέβης· χρὴ οὖν φανερόν σοι εἶναι [ὅτι] καθαιρεθήσῃ. » Καὶ ὁ μὲν ἐκέλευσε καθαιρεθῆναι αὐτὴν τῆς ἱερωσύνης εἰπών· « Σὺ αὐτὴ ἀπελεύσῃ. » Τὸ σημεῖον ἀκούσας Ἀλέξανδρος παραυτὰ μετέστησεν αὐτὸν τῆς στρατηγίας, τὴν δὲ ἱέρειαν εἰς τὸν ἴδιον τόπον ἀποκατέστησεν.

Ὁ δὲ Στασαγόρας λαθὼν τὸν Ἀλέξανδρον ἀπέρχεται εἰς τὰς Ἀθήνας· ἦν γὰρ ἀπ' αὐτῶν (2) κατασταθεὶς τῇ

Cap. I. 1. καθαιρίσειν cod. ‖ 2. γὰρ αὐτῷ cod. ‖ 3. καὶ τοῦ μὲν προθύμου ἀντηγορευθῶσι cod. ‖ 4. κλήματα cod. ‖

apud illos agitari : unde Corinthii quoque, uti adesset, atque illi certamini præsideret magnopere contendunt. Annuit igitur rex : cumque plurimos pro merito coronis donisque largissimis muneraretur, Thebanus quidam, cui Clitomachus nomen esset, certamen luctæ profitetur, idemque de cestibus pugnam, atque identidem pugilatum : denique tria ista certamina idem profitetur et subit. Ergo cum primum luctando adversario præstitisset, coronamque laboris exegisset, jubet Alexander cetera quoque eundem prius exsequi quæ promisisset, quæque si pari fortuna obtineret, nihil omnium fore quod sibi petenti rex negaret. Igitur usus fortitudine atque fortuna, cum esset cestibus potior et pugilatu felicior foret, revertitur ad regem coronandus. Sed ab eo cum quæreret præco more sollemni, quis esset nomine, quemve se civem profiteretur, ut illud ex more prædicaretur, Clitomachum quidem se appellari ait, civitatem vero habere desisse. Sed id cum coronis redditis jam deesse diceret Alexander gloriæ victoris illius, addit Clitomachus, olim se habuisse etiam civitatem, sed priusquam Alexander regnum adeptus foret; eo vero imperante sibi patriam deperisse. Hinc intellecto quo pergeret intentio deprecaturi, uti suum esset quod ille foret pro patria petiturus, edicere præconem jubet, condi Thebas esse permissum in honorem scilicet trium deorum, Mercurii qui repertor luctandi cluat, Herculisque qui pugilatus invenerit, Pollucis etiam qui cestibus sit magister : eoque effectum est, uti oraculum Apollinis congrueret cum Alexandri pronuntiatione.

LIBER SECUNDUS.

I. Igitur Alexandro iter e Corintho Platæas erat, urbem quidem illam operis maximi populique, enimvero religioni intentam Proserpinæ deæ, cujus templum etiam erectum ad magnificentiam visitur. Sed forte illo in tempore annuo sacro tegmen numini parabatur. Conjectura vaticinandi sacerdoti ejusmodi fuit, multum ad gloriam gestarum rerum et gerendarum eidem Alexandro auspicari, quod illo in tempore sacri supervenisset : idque responsum et ad spem et gaudium illi fuit ; liberaliterque acceptam vatem a se dimittit. Enim et aliud testimonium vati ad veridicentiam

στρατηγίᾳ· καὶ διηγεῖται αὐτοῖς μετὰ δακρύων τὴν καθαίρεσιν. Οὐκ ὀλίγον δὲ ἀγαναχτήσαντες ὑβρίζοντο τὸν Ἀλέξανδρον. Ὁ δὲ Ἀλέξανδρος ταῦτα μαθὼν ἔπεμψεν αὐτοῖς ἐπιστολὴν περιέχουσαν οὕτως·

« Βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις λέγει· ἐγὼ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν λαβὼν τὴν βασιλείαν καὶ καταστείλας τὰς πρὸς τῇ δύσει πόλεις καὶ πλείονας χώρας ἐπιστολαῖς, καίτοι ὄντων μοι ἑτοίμων εἰς συμμαχίαν, τούτους μὲν ἀποδεξάμενος παρήνουν εἶναι ἐπ' αὐτοῖς τοῖς Μακεδόσι. Καὶ τούτων μὲν προθύμως με ἀναγορευόντων (3) βασιλέα, τῇ ἀνδρείᾳ τούτων κατέστειλα τὰ τῆς Εὐρώπης κλίματα (4). Καὶ Θηβαίους μὲν κακῶς πράξαντας ἀπώλεσα ἐκ βάθρων, ἄρας τὴν τούτων πόλιν. Νῦν δὲ ἀναβὰς εἰς τὴν Ἀσίαν, ἔλεγον Ἀθηναίους ἀξιοῦσθαί με, ** καὶ αὐτὸς πρῶτος ἤδη γράφω ὑμῖν οὐ πολλῶν λόγων οὔτε γραμμάτων πλήθη, ὡς ὑμεῖς ἠτακτήσατε, ἀλλὰ τὰ κεφάλαια· οὐ προσήκει τοῖς κρατουμένοις, ἀλλὰ τοῖς κρατοῦσι [ταῦτα] πρέπει καὶ ἐπιτάττειν καὶ ποιεῖν τοῦτο· ἔστιν ἐμοὶ Ἀλεξάνδρῳ ὑπακούεσθαι· ἀρτίως μὲν ἢ κρείττονες γίνεσθε ἢ τοῖς κρείττοσι ὑπακούεσθε· καὶ δώσετε φόρους κατ' ἔτος τάλαντα χίλια. »

[ΚΕΦ. Β'.]

Οἱ δὲ Ἀθηναῖοι καταγνόντες ἀντιγράφουσιν αὐτῷ· « Ἀθηναίων ἡ πόλις καὶ οἱ ἄριστοι δέκα ῥήτορες Ἀλεξάνδρῳ λέγομεν· Ἡμεῖς καὶ τοῦ πατρός σου ζῶντος μεγάλως ἐλυπούμεθα, καὶ ἀποθανόντος μεγάλως ἐχάρημεν, Φιλίππου τριςκάκου μεμνημένοι. Ταῦτά καὶ ἐπί σου νενομικέναι *, παῖ Φιλίππου τολμηρότατε. Φόρους ἀπαιτεῖς Ἀθηναίους ἐνιαύσια τάλαντα χίλια, τουτέστιν πολεμεῖν βουλόμενος ἀνδρεῖον φρόνημα ἔχων· εἰ γοῦν φρονεῖς (1) τι, παραγενοῦ· ἕτοιμοί ἐσμεν. »

Ἀντέγραψεν δὲ ὁ βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις· « Πέπομφα πρότερος τὸν ἡμέτερον ἐν τάχει Λεόντην (2), ἵνα τὰς γλώσσας ὑμῶν ἀποτεμὼν κομίσῃ, ἵνα τοὺς ἄφρονας παρ' ὑμῖν ῥήτορας ἀπάξῃ, οὓς οἱ περὶ φόρους ** καὶ πειράσομαι ὑμᾶς καὶ τὴν σύμμαχον Ἀθηνᾶν περιφλεγῆ ποιῆσαι, ὅτι τὰ ἐπιταττόμενα οὐ ποιεῖτε. ** Παράδοτε οὖν τοὺς πρωτεύοντας δέκα ῥήτορας, ἵνα βουλεύσωμαι (3) περὶ τῶν ὑμῖν συμφερόντων, ἐλεήσας τὴν ὑμῶν πατρίδα. » Οἱ δὲ ἀντέγραφον· « Οὐ ποιοῦμεν. » Καὶ μεθ' ἡμέραν ἐκκλησιάζουσιν βουλευόμενοι τί πρακτέον αὐτοῖς. Αὐτῶν δὲ βουλευομένων ἀνίσταται Αἰσχίνης ὁ ῥήτωρ καὶ εἶπεν·

Cap. II. 1 Φθονεῖς cod. || 2. λόγον cod. || 3. βουλεύσωνται τὰ περὶ τῶν ὑμῖν διαφερόντων cod. || 4. μεταβάλλετε τ. γν.,

---

forte tale provenerat. Stasagoræ quippe magistratui Platæensium postea ingresso templum locumque eum in quo idem tegmen numini texeretur, cum ei perexiguum superesset, adversum ea vates quæ secunda Alexandro præcinerat, illi respondit, cumque ait magistratu suo protinus deponendum. Quod cum inclementius vir ceteroqui melioris conscientiæ accepisset, in iram commotionemque conversus, increpare vatem falsidicentiæ cœperat. Verum ad hæc sacerdos : « Ne sane, inquit, moveare his dictis, o vir : nam cuncta ista quæque hominibus divinitus prænoscuntur, colligi conjecturis argumentisque prænosci diis sedet. Accipe denique argumentorum vias. Quippe ut illud melioris spei Alexandro diceretur, id temporis supervenerat, quo insigniri vestis intextu purpuræ cœperat. Id enim demum ad ornamentum rei præparatæ adhibebatur. Enim vero, ut vides, jam textu ferme completo et labore omnis operis absoluto, tumet ingressus. Igitur quod ista vestis ab opere laboris pausam haberet, idcirco non ab re visum est tibi quoque terminum magistratus futurum. » Id cum altius animum Stasagoræ descendisset simulque metu ponendæ potentiæ ageretur, quod vates sibimet, non Stasagoræ, contraria prædixisset, ipsam illam sacerdotio deduci jubet. Quod cum Alexandro nuntiatur, adversum judicium et gratiam suam Stasagoram nisum, graviter infestus, eundem illum, ut prædicatum fuerat a sacerdote, spoliat magistratu, sacerdotemque loco restitui jubet.

Quod igitur Stasagoræ magistratus ab Atheniensibus datus foret, eo recurrit, ibique injuriam facti deflens, opem ab his, a quibus dignitatem illam acceperat, imploravit. Animo incitatiore Athenienses ne verbis quidem a regis contumelia temperavere. Quibus acceptis, Alexander in hanc sententiam litteras ad Athenienses dedit :

« Equidem me scio, post susceptum patris mei regnum procuratione fortunæ jampridem occiduo orbe disposito, idque per litteras, paratisque his partibus et ad auxilium mei commilitio copulatis, gratiam reliquis ejus studii fecisse, contentum his modo qui mecum a Macedonia inierant hunc laborem, quorumque comitatu Europa nobis omnis accesserat. Sed ex his omnibus Thebanos quidem non levi de causa occidione interemi : de Atheniensibus vero spes mihi erat dextros mihi satis et obsequentes futuros. Enim cum secus dictis vos insolentibus velitatos audierim, accipite sententiam meam non verborum scilicet agmine gloriantem (quod decentius fieret a potentiore), verum uti sciatis, boni vos consulturos, si præceptis mandatisque nostris libentem operam commodetis. Aut enim meliores esse oportet, aut melioribus obsequentes. E qua re mille annua talenta dependi mihi ab Atheniensibus jubeo. »

II. Ad hæc illi rescribunt : « Non nos diffitemur, et patris tui vita diu offensos, et ejus morte gavisos esse, quod idem jam cœpimus de te quoque velle, juvenis inconsultissime, cum tibi ab Atheniensibus dependenda mille talenta scripseris, uti scilicet inter nos principium bellandi pareres. Quod si tibi tanta est confidentia, paratioribus occursabis. »

His rescribit Alexander in hæc verba : « Jam quidem miseram Leontam qui vos excisos linguis ulcisci vecordiæ potuisset, vestrosque una oratores ad me perducere. Enim consultius visum est ipsum me ad evertendas Athenas pro-

« Ἄνδρες Ἀθηναῖοι, τί τὸ βράδος τῆς βουλῆς; εἰ προαιρεῖσθε πέμπειν ἡμᾶς, θαρροῦντες πορευόμεθα. ** Ἀλέξανδρος γάρ ἐστι Φιλίππου· Φίλιππος δὲ ἀνετράφη ταῖς τῶν πολεμίων αὐθαδείαις, ὁ δὲ Ἀλέξανδρος ταῖς τοῦ Ἀριστοτέλους παιδείαις, καὶ προέτεινεν [ἡμῖν] τὰς χεῖρας παιδευόμενος· ὅθεν ἐντραπήσεται ἰδὼν τοὺς διδασκάλους, ἐρυθριεύσει ὁρῶν τοὺς καθηγουμένους αὐτὸν περὶ τῆς βασιλείας· μεταδαλεῖ (1) τὴν γνώμην [ἣν] ἔχει πρὸς ἡμᾶς εἰς εὐμένειαν. »

Λέγοντος τοῦ Αἰσχίνου ἀνίσταται Δημάδης, γενναῖος ῥήτωρ, καὶ ἀποκόπτει τὸν Αἰσχίνην εἰπών· « Μέχρι πότε, Αἰσχίνη, μεμαλθακευμένους καὶ δειλιῶντας ἡμῖν εἰσφέρεις λόγους, ὥστε μὴ ἀντιτάξασθαι αὐτῷ πρὸς πόλεμον; Τί παρεισελήλυθας δαιμόνιος ταῦτα φέγξασθαι; Ὁ τηλικαύτας συνηγορίας ποιησάμενος, ὁ προτρεψάμενος τοὺς Ἀθηναίους πολεμεῖν πρὸς τὸν τῶν Περσῶν βασιλέα, νῦν εἰς δειλίαν Ἀθηναίους ἐμβάλλεις καὶ τρέμειν ποιεῖς μειράκιον τύραννον αὐθάδη (2), τὴν τοῦ πατρὸς ἀναλαβόντα τόλμην; Τί δὲ δειλιῶμεν αὐτῷ συμμαχεῖν; Οἱ Πέρσας διώξαντες καὶ Λακεδαιμονίους ἡττήσαντες καὶ Κορινθίους νικήσαντες, ἔτι τε Μεγαρεῖς φυγαδεύσαντες καὶ Φωκεῖς πολεμήσαντες καὶ Ζακυνθίους πορθήσαντες δεδοίκαμεν πολεμεῖν Ἀλεξάνδρῳ; Ἀλλὰ λέγει Αἰσχίνης « Αἰσθήσεται ἡμῶν τῶν καθηγητῶν, καὶ αἰδεσθήσεται ὑμῶν τὰς ὄψεις βλέπων (3) ». Ἅπαντας ἡμᾶς ὕβρισε καὶ μετέστησε (7) Στασαγόραν τῆς στρατηγίας, ὃν ἀπεκατεστήσαμεν, καὶ Κιθώνια (8) τὸν ἐμὸν ἐχθρὸν ἀπεκατέστησε ἀρχιστρατηγὸν, ἡμῶν οὔσης τῆς πόλεως. Ἤδη δὲ ὁ αὐτὸς ἐξεδίκησε Πλαταιάς, καὶ σὺ λέγεις ὅτι θεασάμενος ἡμῶν τὰς ὄψεις αἰδεσθήσεται; μᾶλλον γυμνοὺς ἡμᾶς λαβὼν κολάσεται· ὥστε πολήσωμεν ἀγνώμονι Ἀλεξάνδρῳ καὶ μὴ πιστεύσωμεν. Εἰ * περίκειται ἡ ἡλικία· καὶ γὰρ ἄπιστος ἡ ἡλικία· δύναται γὰρ γενναίως πολεμεῖν, οὐ δικαίως σωφρονεῖν. Τυ-

ἔχει κτλ. cod. ‖ 5. αὐθάδες.. ἀναλαβὼν cod. ‖ 6. τελῶν cod ; infra ὄψεις θεασάμενος. ‖ 7. scr. ὕβρισε μεταστήσας, si genuinum ἅπαντας, neque ex Valer. mut. in ἀπόντας ‖ 8. Κηφισοφῶντα? ‖ 9. ἐξεπόρευσαν cod. ‖ 10. ὁμοίως cod. ‖ 11 *Anesi-*

tinus militare, quæ jussis nostris objecerint contumaciam. Si igitur declinando huic experimento consulitis, decem oratores vestros ad me deduci patiemini. Hoc enim modo reliquorum urbis vestræ habebitur ratio. » Hisce Alexandri litteris cum hoc tantum, non se facturos esse superscripsissent, eandem epistolam referri protinus mandavere. Qua de causa cum mox curiam contraxisset deliberationi præsentium necessariam, orator Æschines in hæc verba concionatus est :

« Etsi video, Athenienses viri, quantum nos impendeat ex præsenti, propiusque et saluti vestræ communi et voluntatibus stare [*non*] dedi nos Alexandri voluntati; tamen comprehendisse me sentio, nihil neque commodis vestris, neque quod ad nos pertinet saluti propius videri, quam si in hac sententia perseveretis, uti conditionibus regiis præceptisque pareamus. Non enim inani jactantia periculum periclitandi videor mihi hanc fovere sententiam, sed quod intuear spem cupiti firmiorem, cum et Alexandri institutionem et Philippi vehementiam recordor atque considero. Etenim Philippo adrogantiæ mos proprior erat, Alexandro vero adsunt Aristotelis disciplinæ. Neque in hoc ducor, ut qui illius educationibus laborarit, non his reverentiam deferat, a quibus ortæ sunt sibi hæ disciplinæ, ipsique ars regnandi sit tradita. Quare fiet, profecto fiet ut omnem intentionem animi, quam ad nos armasse videbatur, in benivolentiam protinus vertat, nisi mavultis mage arma hominis experiri. »

In hanc fere sententiam cum Æschines perorasset, Demades e numero oratorum, viribus haud contemnendus, intervenit, atque hinc exoritur : « Quousque tandem, Æschines, meditatis hisce et ad mollitiem effeminatioribus verbis timiditates nobis et dissolutiones Atheniensibus struis, territans nos et avertens a belli studiis, quibus incliti semper atque inopinabiles fuimus? Aut quæ te tam infesta cælestium vis in hæc verba sollicitat, cum tu suaseris et merito olim constanterque persuaseris arma nos sumere adversum Persas, et in illa tot hostium milia instructos ferme sola animi virtute militasse? At nunc contra, quasi intentos arcus, sic idem obfirmatas sententias nostras remittendas ac relaxandas putes? Censesne igitur vitandam declinandamque nobis pueritiam cum tyrannide (duo nomina inconsultissima) freti temeritate sola et audacia patris confidentissimi? Deinde illi nos horum tela atque aciem perhorrebimus, qui Xerxæ milia verterimus, Lacedæmonios vicerimus, Corinthios straverimus, Megarenses in fugam verterimus, Zacynthios exciderimus? Nosne ergo Alexandro illi quem dixi, ut Æschines suadet, vitabimus obviare? Enimvero ait memorem illum magisterii vestri disciplinarumque, quas apud nostros peritos acceperit, et pudore flectendum et reverentia molliendum, vultusque ipsos nostros religione præteritæ consuetudinis minime aspernaturum. O rem ridiculam, et puerilis, medius fidius, abjectæque sententiæ! Absentes nos contumeliis lacessivit, et ad supplicium dedi sibi tyrannico spiritu postulat, et interitum nostrum moliens civitatis præludit exitio is, a quo præsenti nobis humanitatem istam et amicitiam hariolamini. Neque illud mage nunc ante oculos venit, Stasagoram nostrum Platæensium magistratu dejectum? in cujus scilicet contumelia nostra injuria continetur : quod illud quidquid nostrum universitati moliatur, in illo priore signaverit. Is ergo expectabitur, ut præsentia nostra moveatur, quem Stasagoræ purpura et magistratus fascesque minime moverunt? Cum in illius unius nominis dignitate puero isti universæ Atheniensium curiæ majestas obviaret, atque oculis ejus sese et vultibus ostentaret, siquid tamen recte sapere didicisset, is ergo nostram præsentiam mitius opperietur? An mage, cum semel in ejus manus potestatemque venerimus, dedet suppliciis ultionibusque penalibus? Et hæc quidem sint dicta de moribus. Huc tamen

ρίους, φησὶ, ἐξεπόρθησεν (9)· ἀδύνατοι γὰρ ἦσαν. Θηβαίους κατέσκαψεν· ἀλλὰ ἀπὸ πολλῶν πολέμων καμόντας. Πελοποννησίους ἐξηχμαλώτισεν· οὐκ αὐτὸς, ἀλλὰ λοιμὸς καὶ λιμὸς αὐτοὺς διέφθειρεν. Εἶτα δὲ Ξέρξης ἐξήρτησε τὴν θάλασσαν ναυσὶ καὶ κατέσπειρε τὴν ὅλην γῆν στρατεύμασι καὶ ἐσκέπασε τοῖς ὅπλοις τὸν ἀέρα καὶ ἐπλήρωσε τὴν Περσίδα τῶν αἰχμαλώτων, καὶ ὅμως (10) ἡμεῖς αὐτὸν ἀπεδιώξαμεν καὶ τὰς ναῦς ἐπρήσαμεν [ἐπὶ] Κυναιγείρου καὶ Ἀντιφῶντος καὶ Μνησοχάρους (11) καὶ τῶν ἄλλων ἀρίστων μαχησάμενοι (12). ** Ἀλεξάνδρῳ πολεμῆσαι παιδὶ τολμηρῷ καὶ τοῖς περὶ αὐτὸν οὖσι σατράπαις καὶ παρασπισταῖς καὶ αὐτοῦ ἀσωφρονεστέροις (13); Εἶτα πέμπειν ἡμᾶς βούλεσθε οὓς ἠτήσατο δέκα ῥήτορας; Ἃ συμφέρει λογίσασθε (14). Τοῦτο μέντοι γε ὑμῖν προμηνύω, ἄνδρες Ἀθηναῖοι, ὅτι πολλάκις οἱ κύνες γενναίως ὑλακτοῦντες ὅλας τὰς ἀγέλας, τῶν ποίμνων δειλῶς φερομένων, πρὸς τοὺς λύκους οὗτοι ἔσωσαν. »

[ΚΕΦ. Γ'.]

Οὕτω τοῦ Δημάδους ἐκκλησιάσαντος, παρεκάλουν οἱ Ἀθηναῖοι τὸν Δημοσθένην ἀναστάντα συμβουλεύειν περὶ τῆς κοινῆς σωτηρίας. Ὁ δὲ ἀναστὰς εἶπεν· « Ἄνδρες πολῖται· οὐ γὰρ ἐρῶ Ἀθηναῖοι· εἰ γὰρ ἦν ὑμῶν ξένος, ἔλεγον [ἂν] Ἀθηναῖοι· νῦν δὲ κοινὴ μὲν ἡμῶν ἐστὶν πάντων σωτηρία παρὰ τοῦ πολεμεῖν ἢ ὑπείκειν Ἀλεξάνδρῳ. Αἰσχίνης γὰρ ἐχρήσατο κεκραμένῳ λόγῳ, μήτε προτρεπόμενος πολεμεῖν ἡμᾶς μήτε ἀντιδικεῖν, ἄνθρωπος σώφρων (1) καὶ πολλαῖς ἐκκλησίαις συνηγορήσας. Δημάδης δὲ νέος τυγχάνων κατὰ τὸ τῆς ἡλικίας φρόνημα οὕτως εἶπεν· « Ἀπεδιώξαμεν Ξέρξην, Κυναιγείρου καὶ τῶν ἄλλων ἀριστευόντων ». Ἀλλὰ, ὦ Δημάδη, ὃς (2) ἡμῖν τούτους καὶ νῦν, καὶ πολεμοῦμεν πάλιν πιστεύσοντες ἡμᾶς αὐτοὺς τῷ σθένει τῶν ὀνομασθέντων (3)· εἰ δὲ μὴ ἔχομεν ἐκείνους πάλιν, μηδαμᾶ εἰσπολεμοῦμεν. Ἕκαστος γὰρ καιρὸς ἰδίαν δύναμιν

charmo Valer. Ambr.; *Mnesicramo* cod. Reg. || 12. ἀριστέων μαχησάμενοι cod'.· fortasse scr. ἀριστευόντων μ. || 13. καὶ σωφρονεστέρῃς αὐτοῦ cod. || 14 ἢ συμφέρει λ. cod.; fortasse εἰ σ.

Cap. III. 1. vel γέρων vel tale quid; ἀνὴρ. λέγω cod. || 2. Δημάδημος cod. || 3. πιστεύσωμεν αὐτοὺς τὸ σθενίτης ὀνο-

addite aliquid etiam de ejus ætate, in qua æstimatu perfacile est, quod ille dimicare forsitan confidentius, consulere dementius possit. Enimvero, ait, Tyrios excidit: neque enim poterant illi forsitan restitisse. Thebanos evertit, non illos quidem inertes aut belli artibus alienos, sed enim frequentibus admodum discriminibus fatigatos. Peloponnesios, ait, captivitate subjecit, neque hoc addit, non bello, non telis, enimvero lue corruptos et fame. Hic nunc, si placet, hic sane proferte in medium nostra Xerxique experimenta, qui mare molibus presserit, qui altum illud navibus straverit, qui terram illam omnem exercitu suo texerit, qui aera ipsum telis jaculisque velaverit. Deinde illum quidem Persen adeo spirantem et confidentem abegimus, incensis ejus navibus aut etiam superatis: et tot illa milia exercitus ab hac civitate repulimus, Cynægiro et Antiphonte et Mnesicharmo aliisque non multis illi violentiæ occursantibus. Nunc autem nos, quorum duces roburque virium enumerare difficile est, reniti Alexandro declinabimus puero confidenti, et hisce noxiis satellitibus, qui imprudenti imprudentius obsequentes, temeritatem ejus præcipitare magis poterunt quam fulcire? « Ad quos (id per deos deliberate) quid tandem destinandos Æschines censeat decem pariter oratores? Eosne omnes quorum singulis sæpe salutis vestræ consilia rexistis? Neque hoc videtis Alexandrum vobis subtili quodam et clandestino consilio monstrasse, quid illud sit tandem, quo ipse quoque intelligat se disjarem Atheniensibus fore? Quippe cum in rebus agendis bellicisque pariter atque civilibus omne factum fundari stabilirique videatur utilitate consilii, ut tunc demum rectius atque consultius manuum opera subsequatur; id ipsum vobis avertere ac prævenire conatur; ut veluti inermem ratem vollertia gubernantis, sic vos urbemque Atheniensium totam desertos consiliariis vestris opprimat et incurset. In quo ne quid a militibus de oratoribus dixerim: equidem puto vel canes decem solo latratu suo et infestissimis lupis et ceteris bestiis terrori esse, etiamsi in illos dente nil valeant; his vero quiescentibus aut facessentibus, vel ignavissimam bestiam totis gregibus perniciosam satis atque infestam esse consuesse. »

III. In hanc fere sententiam Demades dixerat. At vero Athenienses Demosthenis tunc consilia flagitabant, quod scilicet ejus viri orationisque majestas sæpe eorum commoda consiliaque rexisset. Tum dicitur is orator consurrexisse, manuque de populo tumultuante silentium poscens in hæc erupit: « O cives viri (placet enim in præsenti vos hac communi nostrum appellatione nominare, ut scilicet sub nomine adfectus hujusmodi intelligi promptius sit, quidquid omnium dixero, id non meo mage, quam communi scilicet vestrum commodo profuturum)! Agitur enim hæc curia, ut video, super tractatu utrumne vobis arma adversum Alexandrum sint sumenda, an vero nobis ejus conditionibus obsequendum. In quo quidem accedere me laudareque Æschini sententiam non segniter profitebor. Usus est enim oratione admodum modesta et temperantissima, ex qua videtur neque viribus nostris diffidere, si bellandum foret, neque contemplatione harum præsentia commoda neglexisse. « Enimvero quoniam hæc illo dicente a multis audio sic accepta, ut segnis cujusdam et alieni de bello sententiam; interim nunc ad orationem eam transeam, qua Demades usus; robustus sane ille vir ac disertissimus ita in suadendo peroravit, ut nos putaret exemplis olim felicium gloriarum ad præsentia quoque pericula producendos. Ait enim nos Xerxem finibus ejecisse, Cynægiro scilicet duce et hisce qui una cum ipso militabant. Ad quam partem orationis quæso, Demade, ut paulisper ea, quibus

καὶ ἐπιταγὴν ἔχει· δυνάμεθα γὰρ δημηγοροῦντες μὲν οἱ ῥήτορες, ὅπλα δὲ λαβεῖν ἐσμὲν ἀδύνατοι. Καίτοι Ξέρξης τὸ μὲν πλῆθος μέγας ἦν, ἀλλὰ βάρβαρος, καὶ ὑπὲρ τῆς τῶν Ἑλλήνων φρονήσεως ἡττήθη (4), Ἀλέξανδρος δέ ἐστιν Ἕλλην καὶ ἤδη τρισκαίδεκα πολέμους συμβαλὼν οὐδαμοῦ ἡττήθη, ἀλλὰ καὶ αἱ πλείονες πόλεις χωρὶς μάχης αὐτὸν προσεδέξαντο. Ἀλλά φησιν εἶναι ἀσθενεῖς [τοὺς Τυρίους· ἀλλὰ (5)] οἱ Τύριοι πρὸς Ξέρξην ναυμαχήσαντες καὶ νικήσαντες τὰς τούτου νῆας ἐνέπρησαν. Πῶς δὲ καὶ Θηβαῖοι ἀδύνατοι, οἵτινες ἀφ' οὗ ἐκτίσθησαν οὐδεπώποτε ἡττήθησαν, νῦν δὲ Ἀλεξάνδρῳ ἐδουλώθησαν. Πελοποννήσιοι [φησὶν] οὐχ ὑπ' αὐτοῦ, ἀλλὰ λιμῷ ἡττήθησαν. [Ἀλλὰ] τότε ἔπεμψεν αὐτοῖς ἀπὸ Μακεδονίας σῖτον Ἀλέξανδρος. Ἀντιγόνου δὲ τοῦ σατράπου εἰπόντος· « Οἷς μέλλεις πολεμεῖν σῖτον πέμπεις; » εἶπεν ὁ Μακεδών, « Ἵν' ἐγὼ μαχομένους νικήσω αὐτούς, καὶ μὴ λιμῷ ἀναιρεθῶσι. » Καὶ νῦν ἀγαναχτεῖτε ὅτι Στασαγόρας μετετέθη ὑπ' αὐτοῦ. Ὁ δὲ πρῶτος αὐτὸς ἐστασίαχε· καὶ γὰρ τῇ ἱερείᾳ εἶπε διὰ τὸ σημεῖον· « Ἐγὼ δὲ σὲ μεθιστάνω τῆς προφητείας ». Ὁ δὲ γνοὺς αὐτὸν ἀφρονήσαντα (6) μετέστησε τῆς στρατηγίας. (7) Οὐκ ἦν γὰρ δίκαιον ἀγαναχτεῖν τῷ βασιλεῖ. Ἀλλ' ἐναντίος, φησὶ. Στασαγόρας τῷ βασιλεῖ ἐγίνετο· καὶ γὰρ ἔννης * ὁ βασιλεὺς καὶ στρατηγός. Τί δὴ μέμφεσθε τὸν Ἀλέξανδρον ὅτι καθεῖλε Στασαγόραν; Ἀλλὰ Ἀθηναῖος ἦν, φησίν. Ἡ γὰρ προφῆτις ἡ ὑπὸ Στασαγόρου καθαιρεθεῖσα μήτι οὐκ ἦν Ἀθηναία; Καίτοι ἡμᾶς ἐκδικῶν Ἀλέξανδρος τοῦτο ἔπραξε· τῇ γὰρ ἡμετέρᾳ (8) προφήτιδι ἀπέδωκε τὴν προφητείαν. »

[ΚΕΦ. Δ'.]

Οὕτω Δημοσθένους εἰπόντος, πολὺς ἔπαινος παρ' Ἀθηναίοις ἐγένετο, καὶ θροῦς ἀκατάληκτος. Καὶ ὁ μὲν Δημάδης ἐσιώπα, Αἰσχίνης δὲ ἐπῄνει, καὶ Λυσίας ἐμαρτύρει, καὶ Πλάτων (2) συνετίθετο, καὶ οἱ Ἀμφικτύονες ἐψηφίσαντο, καὶ οἱ Ἡρακλέες (3) οὐκ ἀντέλεγον, τῷ δὲ ὅλῳ δήμῳ συνεδόκει τοῖς ὑπὸ Δημοσθένους εἰρημένοις. Ὁ δὲ Δημοσθένης λέγει· « Ἔτι τοῦτο ἀπολογήσομαι. Λέγει Δημάδης ὅτι Ξέρξης ἐτείχισε τὴν θάλασσαν ταῖς ναυσὶ, κατέσπειρε δὲ τὴν γῆν στρατοπέδοις, καὶ τοῖς ὅπλοις τὸν ἀέρα ἐσκέπασε, καὶ τὴν Περσίδα αἰχμαλώτων Ἑλλήνων ἐπλήρωσε. (4) Καὶ

μασθέντα cod. || 4. ἡττηθέντα cod. || 5. uncis inclusa supplevi, ut passim || 6. ἀναφρονήσαντα cod. || 7. γοῦν? aut γὰρ.. τῇ ἱερείᾳ? || 8. ἡμέρᾳ π. ἀπέδοτο cod.

Cap. IV. 1. ἀκατάλληλος cod. || 2. Πλάτιων cod. || 3. quid hoc? || 4. ὅπλοις ἀέρα ἐπλήρησε καὶ τὴν Π. αἰχμαλώτων Ἑλ. cod.

---

magnopere consulebas, mecum conferre tractareve ne dubites. Quid enim tandem mihi diceres, si a te exactum iri vellem, uti tales aliquos etiam nunc mihi duces promeres, ac tum demum in Alexandrum hortarere? Quod si illi non assunt tales aut tot, utique nobis quoque sunt consilia tutioris commodi volutanda, considerandumque præ omnibus, an præsentibus commodis periculorum gloria præoptanda sit. Non enim si orationis plusculum in curiam detulerimus, aut compta satis atque ornatiora verba prompserimus, exim nobis aliquid virium accessurum est, et arma fabricata nova de verbis. At dices magnum illum et potentissimum regem Xerxem fuisse, sed eundem nostro apparatu superatum. Donamus. Et quamquam haud dubium profitendum sit nos illius viribus minores longe fuisse, consilio vero et prudentia potiores; nunc tamen intelligo videoque, ne illud quidem Alexandro deesse, quo a nobis Xerxes potuerit superari. Tredecim ferme jam numero ejus bella pariter et victoriæ numerantur, civitatesque illi innumeræ, quin immo provinciæ consensere, aut quæ contumacius sponte cedere detrectaverint, subjugatæ. Quæ quam dant consiliis viam nisi ut periculo cardamus? Videlicet Tyrii inbelles, ut ait Demades, fuere et idcirco superati. Illi sunt Tyrii, qui adversum classem innumeram Xerxi confidentissime restiterunt, atque eam deinceps incenderunt. Inermes, inquit, Thebani. Illine qui omne ævum omnemque ætatem suam non in bellis modo, verum in victoriis consumpserunt? » Addit etiam, Peloponnesios non ab illo victos, sed fame lueque superatos : quibus quidem Peloponnesiis Alexandrum satis constat frumenta quoque laborantibus direxisse, adeo ut Antigono duce Alexandri resistente, quod hisce vires et alimonias destinaret, cum quibus mox foret bello et prœliis decernendum, Alexandrum respondisse sit palam : « Ut, inquit, intrinsecus eos et inter se decertantes bello vincam, nec gloriæ meæ palmam luis sibi aut famis nomina vindicent. » Et hæc quidem ita sint. Mirari tamen vos interim non oportet, Stasagoram magistratu esse dejectum, cum indignatio illa vobis utilitatique communi proficiat. Nam si Atheniensis Stasagoras æque ac sacerdos illa templi nostratis est, quam magistratus ille privaverat sacerdotio; nonne prævenisse indignationem vestram et sententias videtur Alexander, cum illam injuriam in auctorem verterit, quam Stasagoras fecerat in sacerdotem? omniaque quæ ille in contumeliam nostri fecerit proinde ultus sit, ut a nobis quoque ulciscenda esse præsumeret? »

IV. In hisce etiam nunc Demosthenis oratio versabatur, et adclamatio protinus nimia Amphictyonum erat, et tumultus incongruus, ac Demadi silentium jubebatur : laudari vero nonnunquam Æschines etiam ab optimo quoque. Sed enim consurgens ait [*iterum Demosthenes*] : « Xerxem maria quidem muro munisse, profundum etiam navibus constravisse, exercitu Græciam conplevisse, aera ipsum subtexisse jaculis et sagittis, gentem Persidos denique superduxisse captivitatibus Græciæ. Laudamusne igitur ejus potentiam qui hæc fecerit, an exsecramur, quod urbes Græciæ spolians suam barbariem frequentaverit? Quid ergo ad hæc exempla Alexandrum provocamus? qui Græcorum quidem quisque sibi restiterit non captivitate duxerit, sed

νῦν δικαίως ἐπαινεῖται (6) ὁ βάρβαρος ὑπὸ Ἀθηναίων, ὅτι τοὺς Ἕλληνας ἠχμαλώτισεν; ὁ δὲ Ἀλέξανδρος Ἕλλην ὢν καὶ Ἕλληνας συλλαβόμενος, τοὺς ἀντιταξαμένους αὐτῷ οὐκ ἠχμαλώτευσεν, ἀλλ' ἐστράτευσε καὶ τοὺς αὐτῷ γενομένους πολεμίους συμμάχους [προσποιεῖσθαι] ἠξίωσε, οὕτως δημοσίᾳ εἰπών· « Τοῦ παντὸς ἔσομαι περικρατὴς τοὺς μὲν φίλους εὐεργετῶν, τοὺς δὲ ἐχθροὺς φίλους ποιῶν. » Καὶ νῦν Ἀθηναῖοι φίλοι τυγχάνοντες καὶ καθηγηταὶ Ἀλεξάνδρου, ἐχθροὶ ** λαληθήσεσθαι καὶ οὐ δύνασθαι (6). Αἰσχρὸν γὰρ ὑμᾶς τοὺς διδασκάλους ἀμαθεῖς φανῆναι, καὶ τὸν ὑμῖν μαθητεύσαντα ὑμῶν τῶν διδασκάλων σωφρονέστερον φανῆναι. Οὐδεὶς τῶν Ἑλλήνων βασιλέων ἐπέστη (7) τῇ Αἰγύπτῳ, εἰ μὴ μόνος Ἀλέξανδρος· καὶ ταῦτα οὐ πολεμήσων, ἀλλὰ χρησμὸν αἰτησάμενος ποῦ τῆς ὀνομασίας ἑαυτοῦ ἀείμνηστον πόλιν κτίσῃ. Καὶ ἔλαβε καὶ ἥδη ἐθεμελίωσε καὶ ἀνήγειρε· παντὸς γὰρ ἔργου σπουδείως γενομένης τῆς ἀρχῆς, πρόδηλόν (8) ἐστι ταχέως καὶ τὸ τέλος ἥξειν. Ἐπέδη τῇ Αἰγύπτῳ βασιλευομένῃ ὑπὸ Περσῶν· καὶ ἀξιούντων τῶν Αἰγυπτίων συστρατεύσασθαι αὐτῷ (9) πρὸς τοὺς Πέρσας, ἀπεκρίνατο ὁ φρενήρης παῖς· « Ἀμεινότερόν ἐστιν ὑμᾶς Αἰγυπτίους ὄντας τὴν τοῦ Νείλου πλημμυρίαν καὶ τὴν τῆς γῆς γεωργίαν ἀπεργάζεσθαι ἢ τὴν τοῦ Ἄρεως τόλμην καθοπλίζεσθαι. » Καὶ λόγῳ ὑπέταξεν ἑαυτῷ (10) τὴν Αἴγυπτον. ** Οὐδὲν γάρ ἐστιν βασιλεὺς, εἰ μὴ πρὸς φόρον γῆν ἔχοι. Πρῶτος οὖν Ἑλλήνων Ἀλέξανδρος ἔλαβε Αἴγυπτον, ὥστε καὶ πρῶτον αὐτὸν γεννηθῆναι Ἑλλήνων καὶ βαρβάρων. Πόσα στρατόπεδα θρέψει ἐκείνη ἡ χώρα; οὐ μόνον τοὺς ἐγγὺς καθεζομένους ἀλλὰ καὶ τοὺς ἐν πολέμῳ μαχομένους. Πόσας πόλεις καὶ νήσους (11) ἀναπληρώσει ἀνδρῶν εἰς κατοικήσεις; ὥσπερ γὰρ πολύπυρός ἐστιν, τοσοῦτον καὶ πολύανδρος. ** ὃ γὰρ ἂν αἰτεῖ ὁ βασιλεὺς, εὐκταίως διαδώσει. Καὶ ὑμεῖς βούλεσθε Ἀθηναῖοι πολεμεῖν Ἀλεξάνδρῳ τοσαύτην ἔχοντι τὴν χορηγίαν (12) πρὸς πᾶσαν χρείαν τῷ στρατοπέδῳ; ἦν γὰρ καὶ ὑμῖν ἥδιστον καὶ εὐκταῖον ** (13) [πόλεων Ἀλέξανδρος τοσαύτην ἔχων τε τὴν χορηγίαν πρὸς πᾶσαν χρείαν τῷ στρατοπέδῳ], ἀλλ' ὁ καιρὸς οὐκ ἀπταιτεῖ ** ».

[ΚΕΦ. Ε'.]

Οὕτως εἰπόντος Δημοσθένους ἐξ ὁμονοίας πάντες ἐπείσθησαν πέμπειν Ἀλεξάνδρῳ νικητικὸν στέφανον λιτρῶν πεντήκοντα μετὰ ψηφισμάτων εὐχαριστικῶν καὶ ἑτέρων πρέσβεων ἐνδόξων· οὐ γὰρ ἔπεμψαν αὐτοὶ τοὺς ῥήτορας. Οἱ δὲ πρέσβεις παρῆσαν εἰς Πλαταιὰς καὶ ἀναδιδοῦσι τὰ ψηφίσματα τῷ βασιλεῖ. Ὁ δὲ

Correxi ex antecedd. ‖ 5. ὑπαίνει cod. ‖ 6. Vide Valerium. ‖ 7. ἀπέστη cod.; fortasse ἐπέβη. ‖ 8. γενομένην ἀρχὴν πρόδηλος cod. ‖ 9. αὐτοῖς. ‖ 10. αὐτῶν cod. ‖ 11. ναύσους cod. Mox πολύπειρος cod. ‖ 12. χωρικίαν cod. ‖ 13 εὐκταίων cod. Locus mancus. Uncis inclusa aperte repetita sunt ex antecedentibus πολεμεῖν Ἀλεξάνδρῳ τ. ἔχοντι κτλ.

victoriæ liberalitate correxerit, unaque secum coegerit militare, professus palam id esse votum regno et potentiæ suæ, ut amicos quidem adficeret beneficiis, inimicos vero transduceret ad amicitias. Quod si id illi votum et propositum fuit, Athenienses nos qui amici Alexandro fuerimus, qui magisteria nostra eidem præciverimus, inimici tanto viro quod malumus esse quam amici, id vero ego dici turpe Atheniensibus puto, fieri posse porro non arbitror. Turpe enim est, nos quidem, qui illi magistri fuerimus, consilio inprudentissimo deprehendendi; illum autem qui a nobis has scientiarum artes acceperit, prudentia nos et sapientia prævenire.

« Sed hæc omittamus. Ad illa nunc animos advertite. Quis rex tyrannusve, quisque Græcorum imperator Ægyptum aliquando aggredi aut irruere ausus esset, quod ille solus cum deorum auctoritate fecisset? Clementia sua seapse eic et beneficiis commendavit, ut tantam illic urbem condiderit ac fundaverit, quantam sub omni orbe terrarum nullam fama distulerit: idque in his regionibus factum quæ nuper agere Persæ sub ditione videbantur. Enimvero ipsis indigenis id petentibus ac deprecantibus, qui cum Alexandro belli fortunam subire deligerent, ille Alexander, ille, inquam, quem vos mente captum et percitum nominatis, hac Ægyptios oratione conpressit qua diceret, idcirco se illis tantam civitatem urbemque condidisse, ut ipsis exercentibus terram et quieti indulgentibus ac remissis, ille pro universis subditis militaret. Perfecit igitur partim experimentis et ostentatione virtutis, partim et oratione prudenti, ut non solum parere ei libentibus sit Ægyptiis, verum etiam ad ea pendenda, quæcumque sint regibus necessaria, faciles animos habeant et voluntatem. Vident denique quanta primus omnium apud Ægyptum imperii sui jecerit fundamenta. Quot enim exercitus milia urbs illa alere possit haud dubium est, neque his modo sufficiens quæ mœnibus suis atque gremio teneantur, sed procul etiam laborantibus et dimicantibus idonea sustentatrix, una viris unaque his omnibus quæ sint multitudini necessaria opulens et abundans, facilis ad obedientiam regis, prudentia ejus scilicet, qui sic instituerit obsequentium mores. Alimoniam petit? protinus parent. Auro indiget? sunt vectigalia ditia. Militem quærit? animis volentibus præsto sunt. Et hisce nos opponemus periculum nostrum, quibus utique per concordiam copulati auctiores esse instructioresque poterimus? lacessitis vero, ne quid infaustius dicam, semper in armis et prœliis? »

V. In hanc sententiam Demostheni omnis Atheniensium numerus congruebat. Decernit denique coronam auream Alexandro esse mittendam pondo L, consultumque ordinis fit quo gratiarum actio videretur, una legatis qui honoratissimi forent ejus urbis, dummodo ab illa oratorum transmissione temperarent. Profecta ergo legatio cum apud Platæas regem Alexandrum offendisset, insinuasseque

ἀναγνοὺς καὶ μαθὼν τὴν Αἰσχίνου συνηγορίαν καὶ τὴν Δημοσθένους ἐκκλησίαν καὶ τὴν τῶν Ἀμφικτυόνων συμβουλίαν ἔγραψεν αὐτοῖς ἐπιστολὴν οὕτως·

« Ἀλέξανδρος υἱὸς Φιλίππου καὶ Ὀλυμπιάδος μητρός· οὔπω γὰρ ἐρῶ βασιλεὺς μέχρι τοῦ πάντας τοὺς βαρβάρους τοῖς Ἕλλησιν ὑποτάξαι. Ἐγὼ μὲν ἔπεμψα πρὸς ὑμᾶς πεμφθῆναί μοι τοὺς ῥήτορας, οὐχ ἵνα αὐτοὺς κολάσωμαι, ἀλλ' ἵνα ὡς καθηγητὰς ἀσπάσωμαι. Οὐκ ἐπέτρεψα γὰρ ἐμαυτῷ μετὰ στρατιᾶς ἀνελθεῖν, ὅπως μὴ πολεμεῖν με ὑπολάβητε, ἀλλὰ μετὰ τῶν ῥητόρων ἀντὶ τοῦ στρατοῦ, ἵνα παντὸς δέους ὑμᾶς ἀπαλλάξω. Ὑμεῖς δὲ ἄλλως ἠνέγκατε πρὸς ἐμέ, ἐλεγχόμενοι ὑπὸ τῆς ἰδίας ἑαυτῶν ἀβουλίας· ὅσα καὶ εὐλαβούμενοι διέθεσθε (1) Μακεδόνας. Πολεμοῦντος γὰρ τοῦ πατρός μου Φιλίππου πρὸς Ζακυνθίους, ὑμεῖς σύμμαχοι Ζακυνθίοις γεγένησθε· ὑμῶν δὲ πολεμουμένων ὑπὸ Κορινθίων, Μακεδόνες σύμμαχοι ὑμῶν γενόμενοι ἀπήλασαν Κορινθίους. Καὶ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς * * καθηρήσατε. Δίκαια τὰ ἀντιμίσθια ἀπελάβομεν παρ' ὑμῶν ἀνθ' ὧν ἡμεῖς ὑμῖν ἐποιήσαμεν. Ὅθεν μὴ θαρροῦντες τῇ γνώμῃ ἐφ' οἷς ἡμαρτήσατε δειλῶς ἔχετε, μὴ τῇ βασιλικῇ διεπαρθεὶς ἐμαυτὸν ἐξ ὑμῶν ἀμυνόμενος * · μόλις δὲ τοῦτο ἡ βουλὴ ποιῆσαι, εἰ μὴ ἦμην καὶ αὐτὸς Ἀθηναῖος· * * Πότε γάρ τι καλῶς ἐβουλεύσασθε περὶ τῶν παρ' ὑμῖν δοξάντων; Εὐκλείδην ἐν φυλακῇ ἀπεκλείσατε ἄριστα ὑμῖν συμβουλεύσαντα· Δημοσθένην (2) ἐφυγαδεύσατε· πρεσβεύσαντα ὑμῖν τὰ συμφέροντα πρὸς Κῦρον Ἀλκιβιάδην ἐξυβρίσατε ἀγαθὸν ὑμῶν γενόμενον στρατηγόν· Σωκράτην ἀνείλετε (3), τὸ παιδευτήριον τῆς Ἑλλάδος· Φιλίππῳ ἠχαριστήσατε τῷ ἐν τρισὶ πολέμοις συμμαχήσαντι ὑμῖν· Ἀλέξανδρον μέμφεσθε ἕνεκα Στασαγόρου στρατηγοῦ ἀδικήσαντός με καὶ ὑμᾶς· αὐτὸς γὰρ τὴν ἱέρειαν τῆς θεοῦ οὖσαν Ἀθηναίοις καθεῖλε· ἐγὼ δὲ αὐτὴν ἐδωρησάμην (4) τῇ προφητείᾳ. Ἀποδεχόμεθα δὲ τὴν (5) τῶν ῥητόρων πρὸς ὑμᾶς συνηγορίαν, Αἰσχίνην μὲν εἰκότα (6) ὑμῖν συμβουλεύσαντα, Δημάδην δὲ γενναίως ἐκκλησιάσαντα, Δημοσθένην δὲ πρὸς τὰ συμφέροντα ὑμῖν συμβουλεύσαντα. Ἔσεσθε οὖν πάλιν Ἀθηναῖοι (7)· καὶ μηδὲν ὑπ' ἐμοῦ εὐλαβεῖσθε παθεῖν κακόν· ἄτοπον γὰρ ἐμοὶ δοκεῖ εἶναι ἐμὲ περὶ ἐλευθερίας μαχόμενον πρὸς τοὺς βαρβάρους τὸ τῆς ἐλευθερίας θέατρον Ἀθήνας καθαιρῆσαι. (8) »

Cap. V. 1. conj. δειλιάσθε, quod verbum accusativo seriores jungunt. Infra in eadem sententia est δειλῶς ἔχετε. ‖ 2. Ἱπποσθένην cod. ‖ 3. ἀνήλατε cod. ‖ 4. αὐτῇ ἐλωρησ. τῇ φ. cod. ‖ 5. τῇ cod. ‖ 6. εἰχοντος cod. ‖ 7. Ἀθῆναι cod. ‖ 8. καθηρήσατε cod.

---

mandata, et Demosthenis una suasione consensum Amphictyonum universorum; ad ejusmodi responsum regis benevolentia protinus transfertur:

« Scriberem vobis, Athenienses, ut rex, sed ab hac me appellatione distulerim, donec omni barbaria subjugata effectus hic meus nomini Græco proficiat. Enim quoniam jampridem scripseram decem oratores vestros ad me destinari, quod eorum culpa inobsequentiæ argueremini, scire vos par est, non eo me istud consilio fecisse quo potentiam meam in eos, quorum disciplinis institutus essem, aliquis experiretur. Etenim si id facto opus esset, utique una cum exercitu martioque terrore ad vestra mœnia transcendissem. Sed quoniam hæc ostentatio inimica vel hostica est, idcirco prudentissimos vestrum convenire colloquio meo malui, ut cum his communis commodi disceptator subsicui metus vos formidine solverem. Enimvero vos qui conscientia premeremini, nihil omnino semel erga mea obsequia consultantes, quin etiam explorantes idoneum tempus quo meos Macedonas infestaretis id animi prodidistis, quod adversum nos tunc etiam habuissetis, cum patre meo Zacynthios oppugnante auxiliatores diversæ parti fueritis. Contra autem cum vos a Corinthiis oppugnaremini, Macedonum auxiliis et suffragiis potiti Corinthiorum vim a vobis repulsam esse meministis. Rursusque nobis Minervæ simulacrum ritu nostro erigentibus in Macedonia, vos simulacra et imagines patris mei e templis ac sacris vestris deponendas esse dixistis. Egregiam igitur vicem pro tot et talibus beneficiis a vobis accepimus. Quæ profecto vos etiam ad præsentem discordiam memoria iniquitatis vestræ ducebat, non sinens utique animo nostro benignitatique confidere, ob id vel maxime, ne quando majestate hac regia sublimatus ad ultionem præteritæ injuriæ magis quam ad affectum civicum raperer. Verum id neque mihi a natura est, neque civica religio permittit, qui et apud vos studuerim, et ipsi Atheniensem esse maluerilis, et ego nomine hoc participato me glorier gloriatusque sim. Enim intelligo naturale vobis esse sic sapere, cum præterita quoque exempla in eos, quorum consiliis uteremini, hostili vos animo fuisse testentur. Sic Euclidem prædicatum apud vos sinceritate suadendi clausum carcere necavistis. Sic Demosthenem porro, cujus urbs vestra oratione pariter staret et cura, in exilium projecistis. Tum Alcibiadem legationes vestras naviter apud Tyrum et efficaciter prosecutum curiæ vestræ consortio abrelegastis. Sapientiæ denique totius apud vos Socratem magistrum injustissima morte multastis. Ingrati Philippo qui tribus bellis auxilio vobis et suppetiis fuit: quique queramini de Alexandro velut ob Stasagoræ injuriam, quæ omnis vindictæ vestræ profecerat. Idem enim Stasagoras sacerdotem Atheniensem sacerdotio privaverat. Enimvero quoniam ista hæc nunc omnia ex animo et memoria nostra placuit aboleri, sic vobis ad præsentia mihi responsum habetote: probatas mihi satis laudatasque esse suasiones Æschinis: Demadem quoque non improbari, quod constantiam suam civibus curiæ probatam vellet: sed enim laudari præcipue Demosthenem, qui unus veræ utilitatis et commodi vestri tem-

[ΚΕΦ. ς΄]

Ταῦτα δὲ πεμψάμενος καὶ τὰ στρατεύματα παραλαβὼν εἰς Λακεδαίμονα παραγίνεται. Οἱ δὲ Λακεδαιμόνιοι θέλοντες αὐτῷ ἐνδείξασθαι τὸ γενναῖον καὶ καταισχῦναι τοὺς Ἀθηναίους, ὅτι ἐφοβήθησαν αὐτὸν, ἀπέκλεισαν τὰς πύλας καὶ τὰς ναῦς ἐπλήρωσαν (1)· μᾶλλον γὰρ ναύμαχοι ἦσαν ἢ ἐπὶ γῆς πολεμῆσαι (2). Μαθὼν δὲ αὐτῶν τὴν παράταξιν πρῶτον πέμπει ἐπιστολήν·

« Ἀλέξανδρος Λακεδαιμονίοις γράφει· πρῶτον συμβουλεύω ἣν εἴχετε ἀπὸ προγόνων φήμην φυλάσσειν· τὸ γὰρ χαίρειν ἐν ὑμετέρῳ ἐστὶν· ἅνπερ ἦτε ἄξιοι καὶ πολεμισταὶ ἀήττητοι, ὁρᾶτε μὴ νῦν καθαιρεθῆτε τῆς δόξης, μηδὲ ἐνδείξασθαι βουλόμενοι τὸ σθεναρὸν Ἀθηναίοις, ὑπ' αὐτῶν καταγελασθῆτε· ὥστε ἀποβῆναι τῶν νηῶν ἑκόντες, ἵνα μὴ τὸ πῦρ ὑμᾶς καταφλέξῃ. »

Οὕτως ἀναγνωσθείσης τῆς ἐπιστολῆς, οὐκ ἐπείσθησαν, ἀλλὰ ὥρμησαν εἰς μάχην, ὥστε καὶ τοὺς ἐκ τῶν τειχῶν μαχομένους τοῖς ὅπλοις καταπεσεῖν, τοὺς δὲ ἐν ταῖς ναυσὶ καταφλεχθῆναι. Οἱ δὲ περιλειφθέντες ἦλθον ἱκέται καὶ δεόμενοι τοῦ [μὴ] αἰχμαλωτισθῆναι. Ὁ δὲ εἶπεν· « Ὅτε ἐγὼ πεῖθειν ὑμῖν προσῆλθον, οὐκ ἐπείσθητέ μοι· ὅτε δὲ ναῦς ἄνθραξ ἐγένετο, τότε πάρεστε δεόμενοί μου. Ἀλλ' οὐ μέμφομαι ὑμᾶς· ἔχοντες γὰρ κατὰ γνώμην ὅτι Ξέρξην ἠπειλήσατε (3), ὑπενοεῖτε καὶ Ἀλέξανδρον τοῦτο ποιεῖν· ἀλλ' οὐχ ὑπεμείνατε τὰ ὅπλα τὰ ἡμέτερα χωρῆσαι. Οὕτως ἀποφηνάμενος καὶ συνθήσας τοῖς στρατηγοῖς Λακεδαιμονίοις, τὴν πόλιν ἀπολέμητον κατέλιπε καὶ ἀφορολόγιστον. Κἀκεῖθεν ὥρμησεν εἰς τὰ μέρη τῶν (4) βαρβάρων διὰ τῆς Κιλικίας.

[ΚΕΦ. Ζ΄.]

Δαρεῖος δὲ συνηθροίζετο (1) τοὺς ἡγεμόνας Περσῶν (2). Καὶ συνεβουλεύοντο τί δέον αὐτοῖς πρᾶξαι. (3) Ἔλεγε δὲ Δαρεῖος· « Ὡς (4) ὁρῶ κατὰ προσθήκην ὁ πόλεμος εἰς δύναμιν ἐπιβαίνει (5)· κἀγὼ μὲν τὸν Ἀλέξανδρον ληστρικὰ φρονεῖν ὑπενόουν, αὐτὸς δὲ βασιλικὰ ἔργα ἐπιχειρεῖ. Καὶ καθὼς οὖν (6) ἡμεῖς μεγάλοι δοκοῦμεν εἶναι Πέρσαι (7), οὕτω (8) μείζων Ἀλέξανδρος τῇ φρονήσει τυγχάνει (9)· ἡμεῖς δὲ ἐπέμψαμεν αὐτῷ σκῦτος καὶ σφαῖραν ἐπὶ τὸ παίζειν καὶ παιδεύεσθαι (10)· ὥστε σκεψώμεθα τὰ συμφέροντα εἰς ἐπανόρθωσιν τῶν πραγμά-

Cap. VI. 1. ἔπρησαν cod. V. Valerius. || 2. πέμπει ἐπιστ. πρώτην cod. || 3. ἀπελάσατε? || 4. Hæc verba in cod. C. postrema sunt capitis 44 lib. I, nisi quod in cod. A est τὰ μέρη κατὰ τῶν β.

suaderent, nihilominus ecquis foret quæritant, et volentem convenire regem protinus illo deducunt. Enimvero forte Darius tunc visendi exercitus sui causa processerat, hortandisque animis suorum de ignavia Macedonum concionabatur. Jamque aderat Alexander et habitum illum pompamque regiæ magnificentiæ mirabatur. Denique non absque ea dubitatione egit utrumne adorandus sibi idem rex foret, ita omni cultu tum capitis tum vestitus, sceptro etiam et indumentis pedum magnifice adornabatur. Aderantque et satellitum millia stupore barbarico regem suum ut deum præsentissimum demirati. Sed viso habitu ejusmodi rex Darius cum officium quoque quod simulaverat Alexander cognovisset, idem Alexander prior : « En tibi adsum internuntius quidem, enimvero quem nihilo secius ipsi Alexandri præsentia opinere. Verbaque ejus et mandata sint talia : Ego, inquit, arbitror eum regem qui parum festinanter contendit ad prælium, jam ipsum suæ ignaviæ et diffidentiæ testem esse. Quare ne ultra cessaveris, quin protinus respondeto, quod tempus nobis agitando prælio dederis. » Ad hanc confidentiam dicti cum excitatus animo Darius « Numnam quæso, dixisset, tu ipse Alexander ades, qui adeo nihilum reverens nostri confidentissime loqueris? » responsum accepit sese quidem internuntium esse, enim pro ipso Alexandro uti præsente loqui oportere. Accepit hæc Darius dicta

ΚΕΦ. ΙΕ'.

Οἱ δὲ Πέρσαι ἔβλεπον θαυμάζοντες τὸν Ἀλέξανδρον διὰ τὴν τοῦ σώματος σμικρότητα (1), ἀλλ' ἠγνόουν ὅτι ἐν μικρῷ ἀγγείῳ τύχης (2) οὐρανίου ἦν δόξα. Τῶν δὲ πινόντων (3) πυκνοτέρως ἐν τοῖς σκύφοις, Ἀλέξανδρος τοιαύτην ἐπίνοιαν ἐποίησεν· ὅσους σκύφους ἔλαβε μετὰ τὸ πιεῖν (4) ἔσωθεν τοῦ κόλπου ἔβαλεν. Οἱ δὲ (5) βλέποντες αὐτὸν ποιοῦντα οὕτως (6), εἶπον Δαρείῳ. Ἀναστὰς δὲ Δαρεῖος εἶπεν· « Ὦ γενναῖε πρὸς τί ταῦτα ἐγκολπίζεις (7) κατακείμενος ἐν δείπνῳ ; » Νοήσας δὲ Ἀλέξανδρος ἀπὸ τοῦ σχήματος τῆς ψυχῆς * εἶπε· « Μέγιστε βασιλεῦ, οὕτως (8) Ἀλέξανδρος, ὅταν δεῖπνον ποιῇ τοῖς ταξιάρχαις καὶ ὑπερασπισταῖς (9) αὐτοῦ, τὰ κύπελλα δωρεῖται· ὑπενόουν δὲ καί σε τοιοῦτον εἶναι, ὁποῖος ἐκεῖνός ἐστι, καὶ ἡγησάμην πιθανότητι τοῦτο ποιεῖν. » Τῷ λόγῳ οὖν Ἀλεξάνδρου οἱ Πέρσαι ἐκπλαγέντες ἐθαύμαζον· πλαστὸς (10) γὰρ ἀεὶ μῦθος ἐὰν ἔχῃ πίστιν, εἰς ἔκστασιν φέρει (11) τὸν ἀκούοντα. Πολλῆς οὖν σιγῆς γενομένης (12), ἀνεγνώρισε τὸν Ἀλέξανδρον Πασαργῆς (13) τις τοὔνομα (14), ὁ γενόμενος ἡγεμὼν ἐν τῇ Περσίδι· ἤδει γὰρ ἀληθῶς τὸν Ἀλέξανδρον κατὰ πρόσωπον, ἡνίκα (15) τὸ πρῶτον ἦλθεν εἰς Πέλλην τῆς Μακεδονίας ὑπὸ Δαρείου πεμφθεὶς πρεσβύτης τοὺς φόρους ἀπαιτεῖν, καὶ ἐκωλύθη ὑπὸ Ἀλεξάνδρου· ἀπὸ τούτου (16) οὖν ἐγίνωσκεν ἀκριβῶς τὸν Ἀλέξανδρον· • καὶ κατανοήσας αὐτὸν ἐπιεικῶς εἶπεν ἐν ἑαυτῷ· (17) « Οὗτός ἐστιν ὁ τοῦ Φιλίππου παῖς, εἰ καὶ τοὺς τύπους αὐτοῦ διήλλαξεν· πολλοὶ γὰρ ἄνθρωποι τῇ φωνῇ γινώσκονται, κἂν ἐν σκότει διάγωσιν. » Οὕτος οὖν πληροφορηθεὶς ὑπὸ τῆς ἰδίας συνειδήσεως, ὅτι αὐτός ἐστιν ὁ Ἀλέξανδρος, προσανακλιθεὶς τῷ Δαρείῳ, εἶπεν αὐτῷ· « Μέγιστε βασιλεῦ καὶ δυνάστα πάσης χώρας (18), οὗτος ὁ πρεσβύτης Ἀλέξανδρός ἐστιν ὁ Μακεδόνων βασιλεὺς ὁ πάλαι Φιλίππου γεγονὼς ἀριστεύων. » Ὁ δὲ Δαρεῖος καὶ οἱ συνέστιοι αὐτοῦ ἦσαν οἰνούμενοι (19) σφόδρα. Ὁ οὖν Ἀλέξανδρος ἀκούσας (20) τὸν λόγον τὸν ῥηθέντα περὶ αὐτοῦ τῷ Δαρείῳ ἐπὶ τοῦ δείπνου, συννοήσας γνωστὸν ἑαυτὸν γενέσθαι, πλανήσας πάντας, ἤλλατο ἔχων ἐν τοῖς κόλποις αὐτοῦ τοὺς χρυσοῦς

Cap. XV. 1. addit C : μᾶλλον δὲ τὰς αὐτοῦ ἀποκρίσεις τὰς γενομένας μετὰ συνέσεως καὶ θάρσους πρὸς τὸν Δαρεῖον. ‖ 2. ἔκχυμα ψυχῆς ἐστιν A. ‖ 3. cod. A : οἱ μὲν οὖν πινεγχύται (πηνεγχ. cod.) πυκνότερον ἐν τοῖς σκύφοις (κούφοις cod.) διηκόνουν. Μεσάσαντος δὲ τοῦ πότου, ἐπινοεῖ τι ὁ Ἀλέξανδρος· οὐς γὰρ ἐλάμβανε σκύφους ἔσωθεν ἔκρυβε. κτλ. ‖ 4. μ. τ. π. add. ex C. ‖ 5. οἱ δὲ Πέρσαι C. οἱ δὲ πινεγχύται (πηνονέγχοι cod.) A. ‖ 6. ποιοῦντα οὕτ. add. ex C. ‖ 7. ἐγκολπίζῃ C. ‖ 8. βασιλεῦ, ὁ ἐμὸς δεσπότης Ἀλ. C. ‖ 9. ὑπασπ. C. παρασπ. A. ‖ 10. πᾶς γὰρ μῦθος B ; παντὶ γαρ ἀεὶ μῦθος C ; πλαστὸς ἀεὶ μῦθος A. ‖ 11. ἐν ἐκστάσει ποιεῖ C. ἐκστᾶναι πεποίηκεν A. ‖ 12. addit C : ἅπαντες ἐθαύμασαν τὰ τοῦ Ἀλεξάνδρου προτερήματα. Ἀνεγνώρισε δὲ κτλ. ‖ 13. Παράγης C. Παράγωγος B. Ἀσαργὰς A, infra Παρασαργὰς ‖ 14. addit B : καὶ λέγει τῷ βασιλεῖ, quæ expunxi. ‖ 15. ἡνίκα γὰρ B. ‖ 16 sic C ; τοῦτον ἐπέγνωκε καὶ κατανοήσας ἐπιεικῶς τῷ Ἀλεξάνδρῳ εἶπεν etc. B ; non habet hæc A. ‖ 17. ὢ οἷον ἑώρακα σήμερον, ἆρα οὗτός ἐστιν κτλ. C ; οὗτος ἐστιν οὗτος ὃν λέγουσιν Ἀλέξανδρος; ἀσφαλῶς ἐστι μὴ (μοι ?) τοὺς τύπους ἐπιγνῶναι· καὶ κατανοήσας ἐκ δευτέρου εἶπεν· αὐτός ἐστιν ἀσφαλῶς· ἡ φωνὴ γὰρ αὐτὸν ἐδήλωσε καὶ ὁ τύπος αὐτόν. A. ‖ 18. C : ἔχω σοί τι καινὸν διηγήσασθαι. Ὁ δὲ Δαρεῖος Τί ; φησίν· καὶ ὁ Παράγης· γίνωσκε βασιλεῦ, ὅτι οὗτος ὁ πρέσβυς ὁ Μακεδονικὸς αὐτὸς ἐκεῖνός ἐστιν Ἀλ. βασιλεὺς ὁ τοῦ Φιλίππου υἱός, εἰ καὶ τοὺς τύπους αὐτοῦ ἤλλαξεν. Ἀρέμβας δὲ τούτῳ ἐπετίμα ὡς οὐκ εἰδότι τὰ λεγομένα. Ὁ δὲ Δαρεῖος, etc ‖ 19. οἱ νομένοι B. μεθύοντες C. ; om. hæc A. ‖ 20. A : ὡς δὲ ἐνοήθη ἐγνωσμένον ἑαυ-

clementius, et, « Quum, inquit, morem legationis huius Alexander quidem secus honoratur, ad sacrificium hinc ac deinceps ad convivium convertamur. » Post hæc dicta quum manu rex Alexandrum apprehendisset, atque in regiam ingressi forent, id quoque sibi auspicato fieri Alexander arbitratus est, quod volente rege in ejus regiam deducebatur.

XV. Igitur ubi tempus cœnandi fuit rexque accubuit ceterique secundum ordinem dignitatis, ut illis mos erat, discubuere, adversum tamen Darium cœnare sedentarius jussus Alexander honore legati omnium oculos in se facile convertebat. Quamquam enim brevi corpore neque ad Persicam magnitudinem haberetur (plerique ferme auctiusculi sunt), tamen et filo oris et reliquorum membrorum situ admirabilis visentibus erat. Igitur convivio jam procedente, ejusmodi quid facere Alexandrum subit. Poculum enim, ut quodque ad bibendum acceperat, ubi strinxisset, vas ipsum in sinum sibi condere atque ut proprium ceperat detinere. Quod ubi a ministris regi est indicatum, incertum id dannumne an contumeliam ratus insurgensque Darius, « Ecquid, inquit, hoc est quod pocula hoc furatrinæ genere avertisti? » Sed ubi de motu corporis Alexander intellexit, quid in Dario mobilitatis animi foret (hac enim ex causa id consilium exsequebatur) : O rex, ait, morem ratus hic quoque Alexandri nostri servari, id quod apud nostros didiceram exsequutus sum ; quippe illi liberalitatis hæc forma est, uti principibus ac ducibus suis, quos tali convivio dignatur, privata pocula fieri sinat quæcumque acceperint haurienda. Quod ergo magnanimitate illi te quoque parem ducerem non in contumeliam traxeris. Hoc blandimento responsionisque ejus gratia cum rex ceterique permulsi essent, admirationis sui silentium ferme ad periculum vergit. Unus quippe ex convivantibus, cui vocabulum Pasarges (*Pasargeus* Vat.) erat, olim Philippi hospitio receptus ac ibidem Alexandrum etiam puerum conspicatus, paulatim in memoriam relabens eundem ipsum esse quem opinabatur animo confirmat. Sensim igitur Dario quem comprehenderit Pasarges intimatum venit. Eoque permotus rex præque magnitudine * prosultans, quid illud esset quod tantopere excitaretur, nulli magi quam ipsi Alexandro prodit, id (enim) quod evenerat jam pridem animo suspectanti. Unaque cum poculis quæ sinu gestans habebat conclave procurrit, ibique pro foribus offendit unum e Persis equum quo advectus fuerat detinentem. Ne

σκύφους, καὶ ἐξῆλθεν λαθραίως ἐγκαθίσας τῷ πώλῳ αὐτοῦ ὥστε φυγεῖν τὸν κίνδυνον. Καὶ εὑρὼν πρὸς τὸν πυλῶνα Πέρσην φύλακα ἀνεῖλεν αὐτὸν, καὶ ἐξῆλθε τὴν Περσικὴν πόλιν. Ὁ δὲ Δαρεῖος διαγνοὺς ἐξέπεμψε Πέρσας ἐνόπλους τὸν Ἀλέξανδρον καταλαβεῖν. Ὁ δὲ Ἀλέξανδρος ἐπροθυμοποιεῖτο (21) τὸν πῶλον, διευθύνων αὐτῷ τὴν ὁδόν· ἦν γὰρ νὺξ βαθεῖα καὶ σκότος κατέλαβεν (22). Πλεῖστοι δὲ αὐτὸν κατεδίωκον καὶ οὐ κατέλαβον αὐτόν· οἱ μὲν γὰρ εἶχον τὴν δεξιὰν ὁδὸν (23), οἱ δὲ ὑπὸ σκότους συνέπιπτον εἰς τοὺς χρημνούς· ὁ δὲ Ἀλέξανδρος ἦν ὥσπερ ἀστὴρ λαμπρὸς ἐξ οὐρανοῦ ἀνύων τὴν ὁδὸν μόνος, ἔχων φῶς ἄπειρον ἔμπροσθεν (24), καὶ εἰς οὐδὲν φεύγων ἡγεῖτο τοὺς Πέρσας. Δαρεῖος δὲ συνεφοράζετο ἐπὶ τοῦ κλιντῆρος αὐτοῦ καθεζόμενος. Πρὸς τούτοις δὲ ἐθεάσατό τι σημεῖον· ἡ εἰκὼν γὰρ Ξέρξου τοῦ βασιλέως ἐξαίφνης ἐκ τοῦ ὀρόφου ἐξέπεσεν, ἣν πάνυ ἠγάπα Δαρεῖος, ὅτι ἦν εὐπρεπεστάτη γραφή. Ὁ δὲ Ἀλέξανδρος διασωθεὶς νυκτὶ φεύγων ἦλθεν ἐπὶ τὸν Στράγγαν ποταμὸν (25), καὶ ἅμα τῷ διαπερᾶσαι αὐτὸν, παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἐλθόντος τοῦ πώλου καὶ τοὺς ἐμπροσθίους πόδας θέντος ἐπὶ τὴν γῆν, ὁ ποταμὸς διελύθη (26) ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων, καὶ

τὸν Ἀλέξανδρος καὶ πολὺν θροῦν περὶ τὸ βασιλικὸν δεῖπνον γενόμενον, ἀνήλλατο ἔχων τὸ χρυσίον ἐν τοῖς κόλποις καὶ ἐξεπήδησεν. Ἐκτὸς δὲ τῶν βασιλείων ἰδών τινα Πέρσην παραφυλάσσοντα δᾷδας μετὰ χεῖρας ἔχοντα, ταύτας βαστάξας ἐσφαγίασε τὸν ἄνδρα εὐθὺς καὶ καθίσας τὸν πῶλον ἐφέρετο. Fusius rem narrat C : Ὁ οὖν Ἀλέξανδρος τοῦτο ἐπιγνοὺς καὶ τὸν λόγον αὐτῶν στοχασάμενος, ἐδόκει ἀναγνωρισθῆναι καὶ διεσκόπει ἐν ἑαυτῷ πῶς ἂν δυνηθείη τὸν κίνδυνον διεκφυγεῖν. Ἐπὶ τούτοις Δαρεῖος κελεύει τοῦ δείπνου ἐξιέναι, τὸν δὲ Ἀλέξανδρον ξενίζεσθαι ἐν τῷ ἀφορισμένῳ αὐτῷ τόπῳ· τῆς δὲ ὥρας καταλαβούσης οἱ Πέρσαι πάντες ἦσαν οἰνούμενοι σφόδρα καὶ κεκραιπαλικότες (sic) ἐξ οἴνου. Ἀλέξανδρος δὲ ὑποδὺς ἐν τόπῳ τινὶ, ἐκδιδύσκεται τὴν δερματίνην στολὴν καὶ τὴν τῆς κεφαλῆς ἐπικάλυψιν, καὶ ἔμεινε μεθ' ἣν ἐπεφέρετο Περσικὴν στολὴν, καὶ ὡς εἷς τῶν Δαρείου ἐγνωρίζετο· καὶ δὴ ἐξελθὼν ὅλον τὸν ἐκεῖσε λαὸν Δαρείου ἔρχεται ἔξω, πλανήσας πάντας, πρὸς τὸν φρουράρχην· καὶ εὑρὲν αὐτὸν καθεζόμενον ἐν τῇ διεξόδῳ τοῦ φοσάτου καὶ δᾷδα κρατοῦντα καὶ διερευνῶντα τοὺς εἰσιόντας καὶ ἐξιόντας· καὶ λέγει αὐτῷ· τὴν δᾷδα μοι πάρεχε· παρὰ Δαρείου γὰρ ἀπέρχομαι ἔν τινι δουλείᾳ. Ὁ δὲ οὐκ ἐδίδου αὐτῷ· Ἀλέξανδρος δὲ τὴν δᾷδα ἁρπάσας κρούει αὐτὴν κατὰ τῆς ὄψεως καὶ ἀπέσπασεν ἑαυτὸν ἐξ αὐτοῦ· καὶ ἐπιβὰς ὀξέα τῷ πώλῳ αὐτοῦ ἤλλατο ἔχων ἐν τοῖς κόλποις αὐτοῦ καὶ τοὺς χρυσοῦς σκύφους, καὶ λαθραίως ᾤχετο φεύγων τὸν κίνδυνον. Ὁ δὲ Δαρεῖος εἰς αἴσθησιν ἐλθὼν ἀπὸ τοῦ πολλοῦ οἴνου, διενοεῖτο περὶ τοῦ Ἀλεξάνδρου· καὶ τὸ πανοῦργον αὐτοῦ ἐν ἑαυτῷ λαβὼν, ἕνα τῶν ὑπ' αὐτὸν προσεφθέγξατο· Τὸν παῖδα τοῦτον ἀσφαλίσασθε, μήπως Ἀλέξανδρος ὤν, πανουργευσάμενος ἡμᾶς, ἐκφύγῃ, καὶ οὐκ ἔστιν ἡμῖν ἐλπὶς σωτηρίας. Ἤρξαντο δὲ ἐπιζητεῖν Ἀλέξανδρον, καὶ οὐχ εὑρίσκετο. Καὶ τρέχουσιν ἐν τῷ ξενίῳ αὐτοῦ, καὶ οὐχ εὗρον οὐδένα· καὶ θορύβου γενομένου τρέχουσι πρὸς τὸν φρουράρχην ἐρωτῶντες. Ὁ δὲ φρουράρχης εἶπεν· Ὦ ὑμεῖς, Ἀλέξανδρος ἡμᾶς ὑπεξέφυγε· καὶ βλέπετε αὐτὸν ἀπιόντα. Σπουδάσατε οὖν καὶ καταλάβετε αὐτόν· τὴν γὰρ δᾷδα ἐκ τῆς χειρός μου ἁρπάσας καὶ κατὰ τῆς ὄψεώς μου τύψας ἀπῆει. Ἀκούσας δὲ ταῦτα Δαρεῖος ἐξέπεμψε Πέρσας ἐνόπλους τὸν Ἀλέξανδρον καταλαβεῖν κτλ. || 21. cod. A : ὁ δὲ Ἀλ. ὑπὸ τοῦ θεοῦ βοηθούμενος ὤξυνε τὸν ἵππον πτερνίσας καὶ προέβαλλεν τὴν πεύκην καὶ ἐρωταγώγει τὸν πῶλον || 22. καὶ σκότος κατ' Ὀλύμπου πρὸς ὄρθρον C. || 23. γῆν C || 24. ἀνιὼν μόνον ἔχων φῶτ' ἄπειρον ἔμπροσθεν B; ἔχων ἔμπρ. om. C. || 25. ἐπὶ τὸν Στράγγαν τὸν καλούμενον καὶ Ἀρσινόην ποταμὸν C. || 26. cod. C : ὁ ποταμὸς ἐκ τῶν ὀπίσω αὐτοῦ διελύετο ὑπὸ τῆς τοῦ ἡλίου ἀκτῖνος· μικροῦ ἔδει καὶ Ἀλέξανδρον κατασχεῖν· γνοὺς δὲ τὴν τοῦ κρύους σύμπτωσιν, ὡς ὁ ἵππος αὐτοῦ ἥρξατο χαλᾶν, εὐθὺς ἐστη ὀρθιος ἐν τῇ ἕδρᾳ καὶ πρὸς τὴν γῆν ἐξεπήδησεν. Ὁ δὲ πῶλος ὑπὸ τοῦ ὕδατος ἐφέρετο. Τοιαύτην γὰρ φύσιν [ἔχει] ὁ ποταμὸς, ὥστε αὐτὸν καὶ ἄρνω παγοῦσθαι καὶ ἄρνω διαλύεσθαι· ὀξύτατος γὰρ ἦν ὑπὲρ χελετρίου (sic) τοῦ ἐν Μήδοις (μήλοις cod.) τῷ ῥεύματι· ὁπόταν γὰρ τὸ κρύος (ὁ βορέας ?) ἐπήρχετο, εὐθέως τῷ παγετῷ ἐπήγνυτο· νότου δὲ πάλιν ἐρχομένου (νότος γὰρ π. ἐρχόμενος cod.), τὰ ῥεύματα ταχέως ἡ θέρμη κατελάμβανε καὶ παραχρῆμα διελύετο. Ἔρχονται οὖν οἱ ἐπιδιώκοντες καὶ τὸν ποταμὸν ἀπέραστον εὗρωσαν, Ἀλέξανδρον δὲ διαπεράσαντα βλέπουσι, καὶ ἀθρόως ἐξεπλάγησαν ἀποροῦντες τὴν τοῦ ποταμοῦ διάβασιν. Ὁ δὲ Ἀλέξανδρος πρὸς αὐτοὺς εἶπεν· Ὦ ἄνδρες, τί ἑστήκατε διαπορούμενοι; εἰ πρὸς Μακεδόνας Δαρεῖος ὑμᾶς συνήθροισε μάχεσθαι, τῷδε τῷ ποταμῷ ἐδεδίειτε; καὶ τὸ ῥεῖθρον τοῦ ῥεύματος εἰ ὅλως τοῦτο ἐκφοβεῖ ὑμᾶς, μηδαμῶς Μακεδόσι μάχεσθαι κατατολμήσητε. Ἐν γὰρ τῷ ῥεύματι τούτῳ ἡμεῖς διεπεράσαμεν· ὑμῖν δὲ τὸ περᾶσαι ἀδύνατον. Λοιπὸν ἄπιτε καὶ εἴπατε Δαρείῳ, ὅτι Ἀλέξανδρος Ἀρσινόου τοῖς ῥεύμασιν ἐπιδὰς διεπέρασε καὶ πρὸς τὸ Μακεδονικὸν διασέσωσται στῖφος. Ταῦτα ἀκούσαντες οἱ Πέρσαι, εἰς παντελῆ δειλίαν ἐμπίπτουσι· καὶ πρὸς Δαρεῖον ἀντιστραφέντες τὰ περὶ Ἀλεξάνδρου διηγοῦνται. Ἐν ἀμηχανίᾳ οὖν γενόμενος Δαρεῖος τόδε προσεφθέγξατο· « Ὦ οἷον γαυρίαμα παιδίου Μακεδόνος, ὃς οὐκ ἐφείσατο τῆς σωτηρίας αὐτοῦ, ἀλλ' ἔθετο ἀποθανεῖν ἢ τὴν ἡμῶν κατασκοπεῦσαι δύναμιν » Ἐπὶ τούτῳ δειλία τοῖς Πέρσαις ἐνέπεσε, καὶ εἶπεν ἕκαστος τῷ πλησίον· « Τίς πρὸς τοιοῦτον ἀντιπαρατάξεται στρατόν; φύγωμεν δὴ ἀπ' αὐτοῦ· οὐ γὰρ ἐστιν ἡμῖν ἐλπὶς νίκης. » Ὁ δὲ Ἀλέξανδρος πεζεύσας ἀπὸ τοῦ ποταμοῦ, εὗρεν Εὔμηλον κτλ.

---

quid igitur impropriter in re tali fecisse*, custodem equi gladio perfodit, accenso autem eo fugæ consulit. Quod ubi Persis visum intellectumque est, quaqua partim (*raptim*) arma capere, ipsum quoque fugientem insequi properabant. Enim et illis molitio tardior et Alexandro efficacior fuga erat, eo quod intempesta jam nocte eaque nullis lunæ adminiculis inlustri aliquanto cunctantius regi gradienti suppedita est forte etiam lampas ex obvio. Quæ cum sibi prælucens facesseret, eo et ipse properantius, et nullo tali subsidio Persæ tardius agitabant. Sed enim Darius mœstior damno elapsi hostis cum inter spem metumque animum volutaret, casu ejusmodi ad majorem formidinem confirmatur. Forte in conclavi eo, in quo tunc rex agebat, imago quædam Xerxis sublimius posita, vel ob memoriam majorum vel depicturæ gratia Dario spectabilis acceptissima erat. Ea repente fatiscente compactu procidit dissilitque. Id Darius, ut res erat, conjectans animo macerabat. Enimvero Alexander omne intersitum spatium jam mensus ubi ad Strangam fluvium accessit, ratus fore uti eum pariter ut venerat perviaret, equum quo vehebatur impellit primitias congelationis invadere. Sed exesa videlicet vel soluta super omni crassitudine ac gelu, cessit æquoris facies ad pondus equitantis. Utrique igitur cernuantes in profundum fluminis ruunt. Sed enim equum agmen violenti gurgitis pes-

ὁ μὲν πῶλος ἐφέρετο ὑπὸ τοῦ ὕδατος ἁρπαγείς, τὸν δὲ Ἀλέξανδρον ἔρριψεν εἰς τὴν γῆν· οἱ δὲ Πέρσαι οἱ διώκοντες τὸν Ἀλέξανδρον ἦλθον παρὰ τὸν ποταμὸν, ἤδη διαπεράσαντος τοῦ Ἀλεξάνδρου· αὐτοὶ δὲ μὴ δυνηθέντες διαπερᾶσαι ὑπέστρεψαν· ὁ γὰρ ποταμὸς ἀπέραστος ἦν πᾶσιν ἀνθρώποις. Οἱ οὖν Πέρσαι τῷ Δαρείῳ ἀπήγγειλαν τὸ εὐτύχημα Ἀλεξάνδρου· ὁ δὲ Δαρεῖος καταπληττόμενος τῷ παραδόξῳ σημείῳ ἐλυπήθη πάνυ· ὁ δὲ Ἀλέξανδρος περάσας ἀπὸ τοῦ ποταμοῦ εὗρεν Εὔμηλον καθεζόμενον μεθ' ὧν κατέλιπε δύο πώλων, καὶ ἀφηγήσατο αὐτῷ πάντα τὰ πραχθέντα.

ΚΕΦ. ΙϚ΄.

Ἐλθὼν (1) δὲ εἰς τὴν παρεμβολὴν τῶν στρατευμάτων εὗρε τὸν ἀριθμὸν χιλιάδας ἑκατὸν εἴκοσι, καὶ στὰς ἐφ' ὑψηλοῦ τόπου τινὸς παραινεῖ αὐτοὺς λέγων· « Ἄνδρες συστρατιῶται, εἰ καὶ βραχὺς ὁ ἀριθμὸς, ἀλλὰ φρόνησις μεγάλη παρ' ἡμῖν, καὶ θράσος καὶ δύναμις ὑπὲρ (2) τοὺς Πέρσας τοὺς ἐναντίους ἡμῶν· μηδεὶς οὖν ἡμῶν ἀσθενέστερόν τι λογίσηται θεωρῶν τὸ πλῆθος τῶν βαρβάρων· εἷς γάρ τις ἐξ ἡμῶν σπάθην (3) γυμνώσας τῶν ἀντιμάχων χιλίους ἀναιρήσει· μηδεὶς οὖν ὑμῶν δειλιάσῃ· πολλαὶ γάρ εἰσι μυριάδες μυιῶν λειμῶνας θλίβουσαι, ὁπόταν δὲ ταύταις ἐμπέσωσι σῆκες, σοβοῦσιν αὐτὰς (4) ταῖς πτέρυξιν· οὕτω καὶ τὸ πλῆθος οὐδέν ἐστι πρὸς ἡμᾶς (5)· σηκῶν γὰρ ὄντων, οὐδέν εἰσιν αἱ μυῖαι. » Καὶ οὕτως εἰπὼν ἐθάρσυνε τὰ στρατεύματα αὐτοῦ, καὶ (6) ἡνδραγάθουν καὶ ἠὐρήμουν τὸν Ἀλέξανδρον. Ὀδεύσας οὖν (7) ἔρχεται ἐπὶ τὰ μέρη τοῦ Στράγγα (8) ποταμοῦ. Ὁ δὲ Δαρεῖος (9) ἀναλαβὼν πᾶσαν τὴν δύναμιν αὐτοῦ ἔρχεται καὶ αὐτὸς ἐπὶ τὸν Στράγγαν ποταμόν· καὶ ἰδὼν ὀλιγοστὸν ὄντα καὶ παγέντα, περάσας διώδευσε (10) καὶ διήρχετο διὰ μέσης τῆς ἐρήμου, βουλόμενος πρῶτος ὑπεισελθεῖν τοῖς στρατεύμασιν Ἀλεξάνδρου (11), ὅπως εὕρωσιν αὐτοὺς ἀπαρασκευάστους καὶ τούτους τροπώσωνται (12). Κήρυκες δὲ εἰς μέσον ἐλθόντες ἐκήρυξαν καλοῦντες εἰς μάχην τοὺς ἀριστέας (13). Ὁ δὲ στρατὸς Δαρείου ἐθωρακίσαντο πανοπλίαν. Ὁ δὲ Δαρεῖος ἦν ἐφ' ἅρματος ὑψηλοῦ, καὶ οἱ σατράπαι αὐτοῦ ἐπὶ ὀρεπανηφόρων ἁρμάτων ἐκαθέζοντο, ἄλλοι δὲ ἐκόμιζον ὅπλα πανουργικὰ καὶ ὁράτα μηχανικά. Τῶν δὲ στρατοπέδων τῶν Μακεδονικῶν προηγεῖτο Ἀλέξανδρος, καθεζόμενος ἐπὶ τὸν

Cap. XVI. Inde ab hoc loco Bergerus de Xivrey, vir clariss., per duodecim fere capita lectionis varietatem enotavit e cod. Lugdunensi 93. Unde nos quoque ea quæ momenti alicujus sunt exscribemus. — 1. Cod. C : Εἶτα ἦλθεν εἰς τὴν παρεμβολὴν τῶν στρατευμάτων. Καὶ εὐθέως ἐκέλευσε τὰς φάλαγγας τῶν Ἑλλήνων ἐξ ὀνόματος καθοπλισθῆναι καὶ ἑτοίμους (ἑτοίμως L.) [εἶναι εἰς τὸ] παραστῆναι Δαρείῳ. Αὐτὸς δὲ ἐν μέσῳ αὐτῶν ἔστηκε θαρσύνων (παραθρασύνων L.) αὐτοὺς, καὶ συναθροίσας πάντα τὰ στρατοπεδα αὐτοῦ, εὗρε τὸν ἀριθμὸν χιλιάδας διακοσίας ὀγδοήκοντα (ἑκατὸν εἴκοσι L. B.), καὶ στὰς etc.; Cod. A ita : Ἀναλαβὼν δὲ ἑαυτὸν καὶ ἔωθεν συναθροίσας τὸν στρατὸν, αὐτὸς ἐν μέσῳ ἑστὼς, ὁποῖος Ζεὺς τοὺς οὐρανίους δαίμονας διακρίνων, καὶ εἰς ἀριθμὸν ποιησάμενος διὰ τὸ θεωρημένον αὐτῷ Περσικὸν πλῆθος, πάντας τοὺς ἑαυτοῦ ἀριθμήσας εὗρε χιλιάδας (l. μυριάδας) ιβ΄. Καὶ ἦν μὲν αὐτὸς ὁ ἀριθμὸς βραχὺς λίαν, ἀλλὰ ὅτι φρενήρης ἦν. ἀνεθάρσυνε. Ἀνελθὼν οὖν ἐπί τινος ὑψηλοῦ τόπου ἐθάρσυνε τὴν στρατιὰν λέγων. ‖ 2. ὑπὸ C L. ‖ 3. ὑμῶν χεῖρα L. B. ‖ 4. ταῖς πτέρυξιν... ἡμᾶς om. B ; βομβοῦσι γ' ὡ σοβοῦσι L. ‖ 5. οὐδέν ἐστιν πλὴν πλῆθος A. ‖ 6. τὰ δὲ στρατόπεδα C. ‖ 7. add. C : μετὰ τῆς αὐτοῦ στρατιᾶς ‖ 8. Στράγγα ποταμοῦ, τουτέστιν ἐπὶ τὰ νῶτα αὐτοῦ C. πολλὰς οὖν χέρσους καὶ ποταμοὺς διοδεύσας (στομοὺς διευθύνας cod) εὗρε τὸν ὄχλον ἐπὶ τὰ νῶτα τοῦ Στρατοῦ (sic.) A. ‖ 9. ὁ δὲ Δαρεῖος... Στάγγαν ποτ. om. B. ‖ 10. ἐν σπουδῇ addit C, qui om. deinde καὶ διήρχετο... ἐρήμου. ‖ 11. Δαρείου B. ‖ 12. addit C : καὶ ἁπλῶς εἰπεῖν πᾶς στρατὸς Δαρείου ἐθωρακίσαντο ἐν πανοπλίᾳ : quæ eadem fere B paullo post ponit aptius; L A omnino non ponunt. ‖ 13. addit C : ὁμοίως καὶ ὁ στρατὸς ἅπας Ἀλε-

---

sum tractum averterat; rex vero natatu quam valentissimo emensus periculum alterius ripæ jam potiebatur, cum eminus videt insecutos sese Persas jam littori advenisse, sed frustra habitos spe transgressus, desperata etiam comprehensione, reditui consultare, quippe cum Persæ non modo adnatatus hujusmodi audere non soleant, sed ne navigabile quidem ob nimiam vehementiam flumen hoc habeant. Igitur stupenti Dario demirantique quæ gesta sint, cassum laborem referunt insecutores. Alexander vero menso alveo offendit Eumelum, quem una cum equis duobus ibidem sibi subsidiarium deliquerat. Tum illi et gestæ rei seriem explicat, et ubi ad exercitum redit duces quoque lætos facto participat.

XVI. Omnem exercitum sibi jam jamque adesse instructum armis jubet. Qui cum omnes in centum et viginti millia numerarentur, « Ne, inquit, ne sit vobis aliquid, milites, quod cunctemini. Quæcumque fuerant ex hostibus noscitanda, ipse per me præsens oculis deprehendi. Neque, si foret periculum de multitudine ignavorum, non prompte vobis fidem rei compertæ dixissem. Sunt enim illis inexplicabilia hostium millia, sed enim seges prorsus facilisque materia manibus ac virtutibus nostris, nisi cui vestrum arduus quidem et fugiendus hic labor, o Macedones, videatur, si vobis tanta sit cædendi materia quantam renuat ac recuset victricis dexteræ fatigatio. Ad hæc dicta gratulantium voces et lætitia militum congruebat omni scilicet alacritate bellum sibi desiderantium exspectantiumque. Aciebus igitur ordinatis præter latus fluminis Strangæ, Darium etiam eodem Macedones adventare cum omni suo agmine jam intrepidi cernebant, omni scilicet parte terrarum, qua visentium oculi vagarentur, phalangis ejus atque ordinibus confluentibus. Enim cum illa Strangæ mobilitas naturalis rursus ad glaciem convenisset et stratum alvei tenacissimum fidele etiam transeuntibus polliceretur, Darius prior haud dubitans ejus ordines suos perinde ut in acie constiterant transgredi flumen intersitum jubet. Emensis igitur universis quicquid de Stranga metui potuisset, idem Darius e curru regio, cujus suggestu altius eminus cunctis visi consuerat, demutat ad currus quibus prœlialibus utebatur, itidemque cuncti satrapæ et optima-

Βουκέφαλον ἵππον· προσεγγίσαι δὲ τούτῳ τῷ ἵππῳ οὐδεὶς ἠδύνατο· Ὡς δὲ ἑκάτερον μέρος ἠλάλαξε (14) πολεμικὸν μέλος, οἱ μὲν λίθους ἔβαλλον, οἱ δὲ τόξα ἔπεμπον ὡς ὄμβρον ἀπὸ οὐρανοῦ φερόμενα (15), ἕτεροι δὲ βολίδας (16) ἐσφενδόνιζον ὥστε ἐπικαλύπτειν τὸ τῆς ἡμέρας φέγγος. Πολλὴ δὲ σύγχυσις ἦν (17) τυπτόντων καὶ τυπτομένων· πολλοὶ μὲν τοῖς βέλεσι τρωθέντες (18) ἀπέθνησκον, ἄλλοι δὲ ἡμισφαγεῖς ἔκειντο· γνοφερὸς δὲ ἦν ὁ ἀὴρ καὶ αἱματώδης. (19) Πολλῶν δὲ Περσῶν ὀλεθρίως τελευτησάντων ὁ Δαρεῖος φοβηθεὶς ἀπέστρεψε τὰς ἡνίας (20) τῶν ἁρμάτων τῶν δρεπανηφόρων καὶ τροχιζόντων τοὺς ἑαυτοῦ ὄχλους καὶ θεριζόντων· αὐτὸς γὰρ ἐθέριζε τοὺς πολλοὺς ὄχλους τῶν Περσῶν ὡς ἐπ' ἀρούρας στάχυς ἀγρόται κείροντες. Καὶ ἐλθὼν ὁ Δαρεῖος ἐπὶ τὸν Στράγγαν ποταμὸν, αὐτὸς μὲν καὶ οἱ σὺν αὐτῷ φεύγοντες διεπέρασαν εὑρόντες παγέντα τὸν ποταμόν· τὸ δὲ πλῆθος τῶν Περσῶν καὶ βαρβάρων βουληθέντες (21) διαπερᾶσαι καὶ φευγεῖν εἰσῆλθον εἰς τὸν ποταμὸν ἅπαντες (22)· καὶ διελύθη καὶ ἥρπασε πάντας ὅσους εὗρεν (23). Οἱ δὲ λοιποὶ Πέρσαι ὑπὸ τῶν Μακεδόνων ἀναιροῦνται (24). Ὁ δὲ Δαρεῖος φυγὰς γενόμενος ἦλθεν εἰς τὸ παλάτιον αὐτοῦ, καὶ βίψας ἑαυτὸν εἰς τὸ ἔδαφος ἀνοιμώξας σὺν δάκρυσιν ἐθρήνει ἑαυτὸν, ἀπολέσας τοσοῦτον πλῆθος στρατιωτῶν, καὶ τὴν Περσίδα ὅλην ἐρημώσας. Συμφοραῖς δὲ τοιαύταις συνεχόμενος ἐθρήνει ἑαυτὸν λέγων· « Ὁ (25) τηλικοῦτος βασιλεὺς Δαρεῖος, ὁ τοσαῦτα ἔθνη ὑποτάξας καὶ πάσας τὰς πόλεις καταδουλωσάμενος καὶ θεῶν σύνθρονος γενόμενος καὶ τῷ ἡλίῳ συνανατέλλων, (26) νῦν φυγὰς ἐγενόμην ἔρημος· ἀληθῶς (27) τὸ μέλλον οὐδεὶς ἀσφαλῶς βουλεύεται· ἡ γὰρ τύχη βραχεῖαν ἐὰν λάβῃ ροπὴν ἢ τοὺς ταπεινοὺς ὑπεράνω τῶν νεφελῶν ἀναβιβάζει ἢ τοὺς ἀφ' ὑψους (28) εἰς ζόφον (29) κατάγει. » Ἔκειτο οὖν Δαρεῖος ἔρημος ἀνθρώπων, ὁ τοσούτων δεσπότης γενόμενος.

ΚΕΦ. ΙΖ'.

Ὀλίγον οὖν διαναστὰς καὶ διανήψας (1) καὶ εἰς ἑαυτὸν (2) γενόμενος ἐτύπωσεν ἐπιστολὴν καὶ πέμπει Ἀλεξάνδρῳ περιέχουσαν οὕτως· « Δαρεῖος Ἀλεξάνδρῳ τῷ ἐμῷ δεσπότῃ χαίρειν. Πρῶτον (3) γίνωσκε ὅτι ἄνθρωπος ἐγεννήθης· ἱκανὸν δὲ τοῦτο ὑπόμνημα [εἰς]

ξάνδρου ἐθωρακίσαντο ἐνόπλως, quæ in B. ponenda forent post vocem πανοπλίαν. || 14. ἐκλαγξεν C, ἔκραζε L. || 15. οἱ δὲ ξίφη (ζύγενας L.) ἔβαλλον add. C L. || 16. μολίβδας L. || 17. τότε add. C. || 18. τρωθέντες om. B. || 19. ἦν γὰρ καὶ τὸ παισὶ (l. πεδίον) ὅλον αἵματος πεπληρώμενον ὥσπερ θάλασσα. add. C (et L ut. videtur). || 20. A : ἀπέστρ. τὰς ἡν. τοῦ ἰδίου ἅρματος· καὶ πᾶν τὸ πλῆθος τῶν Περσῶν εἰς φυγὴν ὥρμα. Δρεπανηφόρων δὲ πολλῶν ἁρμάτων τρομαζόντων, οἱ πεζοὶ ἐθερίζοντο, ὥσπερ σῖτος ὑπὸ ἀρότρῳ. || 21. βουληθέντα B. || 22. εἰσῆλθεν... ἅπαν τὸ πλῆθος B. || 23. ἁρπάσας... εὗρεν, τούτους διέφθειρεν C. || 24. ἵσταντο ὑπὸ τῶν Μακεδόνων ἀναιρούμενοι καὶ βοῶντες· Ἔλεος, Ἔλεος γενοῦ ἡμῖν, ὦ Διὸς παῖ, καὶ μὴ εἰς τέλος καταφάζῃ ἡμᾶς ἡ ῥομφαία σοῦ· σπλαγχνίσθητι ἐφ' ἡμᾶς, καὶ μὴ δίκην κτηνῶν ἀπολέσειας· ἀφκέσθητι τοῖς Περσικοῖς αἵμασι τοῖς μέχρι τοῦ νῦν δίκην ὑδάτων ἐκχυθεῖσιν. Ὁ δὲ Ἀλέξανδρος ἐλεήσας αὐτοὺς μηκέτι σφάζειν αὐτοὺς προσέταξεν, καὶ ἀπέλυσεν εἰπών· φεύγετε πρὶν ἢ τὸ πλῆθος ὑμᾶς καταλάβῃ, καὶ οὐ δυνήσομαι ἐξ αὐτοῦ διασῶσαι ὑμᾶς. Αὐτῶν δὲ ταῦτα παρ' Ἀλεξάνδρου ἀκουσάντων, οἷα θεὸν προσκυνοῦσιν αὐτὸν καὶ φεύγουσιν ἀνεπιστρόφως καθόλου τοῖς ὄπισθεν μὴ τολμῶντες ὑποστρέφεσθαι. Hæc unus C. || 25. A : Ποῖος ἀστὴρ οὐράνιος ἔβαλε τὴν Περσικὴν βασιλείαν, ἵνα Δαρεῖος ὁ τοσαύτας πόλεις καὶ ἔθνη ὑποτάξας καὶ νήσους καταδουλώσας κτλ. || 26. ἀνατείλας A. B. L. || 27. ἀλλὰ τὸ μέλλον... ἀσφ. ἐπίσταται C. || 28. τοὺς ὑψηλοὺς C. || 29. ᾅδην L.

Cap. XVII. 1. sic etiam L A.; ἀνανήψας Δαρεῖος καὶ ἀναστὰς C. || 2. ἐν ἑαυτῷ A. || 3. πρῶτον... Ξέρξης addidi ex A. || 4. ὑπε-

---

tes ejusdem imitati fecere, multis jam exercitus intercurrentibus, qui virtuti solitæ singulos et necessitatum præsentium commonerent. E diverso autem cum longe tranquillius doctiusque Alexander Macedonas in cornua prætendisset, ipse Bucephalo suo vectus imperatoriis officiis fungebatur. Tandem igitur bellicum lituo præcinente, utrinque procursu partes in sese procurrunt. Primum xauxis (*sarissis ?*) ac missilibus jaculati, mox ensibus etiam strictis cominus præliant. Multa denique diei parte consumpta ubi non discriminis parilitate protrahi bellum Darius jubet (*videt*) : enim vero quod unum id more Macedonibus videretur, ut metendis Persicis militibus tantummodo laborarent : quo res periculi tenderet haud dubie interpretatus fugam capessit, ut cursu sese quam properiter posset præsentibus liberaret. Strangam denique etiam tunc fortitudine stratum perviabili transmittit atque exit, et ipse quidem ad regiam properat. Jam vero turbatis Persicis rebus cum omnis pariter *atque* ille *ad flumen confugerent* phalanges, quæ tamen ferri hostiumque nondum expertæ essent, sive ex illa facilitate naturæ sive inconsulto agminis pariter irruentis, Stranga suum officium deficit ingressosque submergit omnesque quos alveo acceperat necat. Reliquos porro insecuti Macedones obtruncant, nec fere fit aliquid ex illis omnibus reliqui, quo semesa curtaque Alexandri victoria videretur. Tum ergo Darius omni spe meliore deposita cum ingressus regiam suam humi sese ejulabundus miserabiliter prorsus et ignobilis constravisset, merebat (*lugebat*) quidem et eorum mortes qui sibi adeo infauste militassent, merebat etiam damnum regni quod ad incitas deduxisset, tunc nomen et gloriam et parta tot seculis deformataque, nunc Persidos regna lugebat, recursabantque cum et captæ urbes et subjugatæ nationes et æquatio sui atque deorum immortalium, vires solisque ortus, quem consessorem sibi dixerat gloriatior ; hic quidem nunc profugus desertusque et inops omnium foret : « Profecto, dicens, nulli est hominum rara (*rata*) vel stabilita fortuna, quæ si parvam inclinationem status sui nacta sit in contrarium protinus resultare et quosque de culmine ad profundas tenebras urgere. Indulgens ergo lamentis ejusmodi humi porrectus inops solatiorum deum miseriter agitabat.

XVII. Tandem tamen ubi satietas eum præsentium cepit, veluti sobrius mæstitudinis factus confecit litteras ad

τὸ μὴ μεγαλοφρονεῖν. Καὶ γὰρ καὶ Ξέρξης ὁ τὸ φῶς μοι δείξας ὑπερφρονήσας (4) μέγαν ἔρωτα ἔσχεν εἰς τὴν Ἑλλάδα στρατεύσασθαι, ἄπληστος χρυσίου γενόμενος καὶ τῆς ἄλλης εὐδαιμονίας τῆς ὑπαρχούσης ἡμῖν ἐκ πατέρων. Ἀπέθανεν οὖν (5) τὸ πολὺ χρυσίον καὶ τὸ ἀργύριον καὶ πολλὰς σκηνὰς ἀπολέσας ὑπὲρ Κροῖσον τὸν Λυδὸν πλουτήσας, καὶ τὸν ἐνιστῶτα θάνατον οὐκ ἐξέφυγε. Τοίνυν, Ἀλέξανδρε, σὺ κατανοήσας τὴν τύχην καὶ τὴν νέμεσιν τὸ μέγα φρονεῖν εἰς οὐδὲν λελόγισαι (6). Οἰκτειρον οὖν ἡμᾶς πρός σε καταφεύγοντας. Πρὸς Διὸς (7) καὶ τῆς ἄλλης ἡμῖν ὑπαρχούσης εὐγενείας τῶν Περσῶν, ἀποδός μοι τὴν μητέρα καὶ τὰ τέκνα, μνησθεὶς τῶν πατρώων ἐλπίδων. Καὶ ἀντὶ τούτων ὑπισχνοῦμαί (8) σοι διδόναι τοὺς θησαυροὺς τοὺς ἐν Μηδίᾳ (9) τῇ χώρᾳ καὶ ἐν Σούσοις καὶ ἐν Βάκτροις (10), οὓς οἱ πατέρες ἡμῶν παρέθεντο τῇ γῇ, ὑπισχνοῦμαί σοι καὶ τῆς τῶν Περσῶν καὶ Μήδων καὶ τῶν ἄλλων ἐθνῶν χώρας κυριεύειν (11) πάντα τὸν χρόνον. Ἔρρωσο (12). »

Ταύτην τὴν ἐπιστολὴν ἀναγνοὺς Ἀλέξανδρος τὴν δύναμιν συνήθροισε, πᾶν τὸ στρατόπεδον αὐτοῦ καὶ τοὺς μεγιστάνους, καὶ ἐκέλευσεν ὑπαναγνωσθῆναι αὐτοῖς τὰ γράμματα Δαρείου. Καὶ ταύτης τῆς ἐπιστολῆς ὑπαναγνωσθείσης, εἶπεν εἷς τῶν στρατηγῶν Παρμενίων ὀνόματι· « Ἐγώ, βασιλεῦ Ἀλέξανδρε, ἔλαβον ἂν (13) τὰ χρήματα καὶ τὴν χώραν τὴν δεδομένην σοι, καὶ ἀπέδωκα ἂν Δαρείῳ τὴν μητέρα καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα, κοιμηθεὶς μετ' αὐτῶν (14). » Μειδιάσας δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· « Ἐγὼ μέν, Παρμένιε, πάντα λαμβάνω παρ' αὐτοῦ, ἐθαύμασα δὲ ὅτι Δαρεῖος διὰ τῶν ἐμῶν (15) χρημάτων ἀξιοῖ λυτρώσασθαι τοὺς ἰδίους, πολὺ δὲ μᾶλλον ὅτι καὶ τὴν χώραν τὴν ἐμὴν ὑπισχνῆταί μοι ἀποδοῦναι. Ἀγνοεῖ δὲ τοῦτο Δαρεῖος ὅτι, εἰ μὴ νικήσει με μαχόμενος, ταῦτα πάντα ἐμά ἐστι μετὰ τῶν ἰδίων αὐτοῦ (16)· πλὴν αἰσχρόν ἐστιν ἡμᾶς τοὺς ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττηθῆναι. Ἡμεῖς οὖν πρὸς ἐκεῖνον τὴν μάχην ὀτρύνομεν περὶ τῶν ἡμετέρων· ἐγὼ γὰρ τὸ σύνολον εἰς τὴν Ἀσίαν οὐκ ἂν ἦλθον, εἰ μὴ ὑπελάμβανον αὐτὴν ἐμὴν εἶναι. Εἰ δὲ πρότερον αὐτῆς ἐκεῖνος ἦρχε, τοῦτο κερδαινέτω, διότι χώραν ἔχων ἀλλοτρίαν τοσοῦτον χρόνον οὐδὲν ἔπαθε κακόν. » Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος πρὸς τοὺς πρέσβεις Δαρείου, ἐκέλευσεν αὐτοὺς ἀπελθεῖν καὶ ταῦτα Δαρείῳ ἀπαγγεῖλαι, γράμματα (17) αὐτοῖς μὴ διδούς. Κελεύει οὖν Ἀλέξανδρος τοὺς τραυματισθέντας ἐν τῷ πολέμῳ στρατιώτας θεραπεύεσθαι πάσῃ σπουδῇ (18),

σρονήσας καὶ καταφρονήσας μεγάλως ἔρωτα ἔσχεν εἰς τὴν ἐλπίδα, ἄπληστος ὢν χρυσοῦ καὶ πραγμάτων. Τί γὰρ αὐτὸν ἦν τῶν ἄλλων λεῖπον, χρυσὸς ἢ λίθος ἢ ἀγάλματα, ἅπερ καὶ αὐτὸς παρ' ἡμῖν οἶδας. Ἀλλά γε σκοπήσας τὴν τύχην, οἰκτειρον ἡμᾶς πρός σε καταπεφευγότας. Πρὸς Διὸς ἱκεσίου καὶ τῆς ἄλλης ὑπαρχούσης ἡμῖν εὐγενείας ἀπὸ Περσίδος, ἀποδὸς τὴν μητέρα καὶ γυναῖκα καὶ τέκνα. Ἀντὶ τούτων δὲ ὑπισχνοῦμαί σοι τοὺς θησαύρους δεῖξαι κτλ. A. ‖ 5. sic C; ἀπεθέμην πολὺ χ. κ. πολὺ ἀρ. B ‖ 6. sic C; κατανοήσας τετυχηκέναι μὲ τὸ μέγα γρ. ὑπεστήσω B; κατανοήσω τύχει καὶ νεμέσει τ. μ. φρ. ὑπεστήσω L. ‖ 7. προσδεεῖς B L; προσδεεῖς. μέμνησαι καὶ C. ‖ 8. ὑπίσχημι B. ‖ 9. τοὺς ἐν Μινυάδι χ. A; ἐν Μυσιάδι χ. C L. ‖ 10. ὑπάρχοντας add. C. ‖ 11. κυκλεύειν π. τ. χ. δεσπόζειν C. ‖ 12. Ζεύς σε ποιείτω μέγαν. ἔρρωσο A. ‖ 13. ἐλάμβανον B C L ‖ 14. κοιμ. μ. αὐτῶν bene om. A. ‖ 15. Δ. χρημάτων B; διὰ δώρων καὶ χρ. C; corr. ex A. ‖ 16. μετὰ τῶν ἰδίων ἀ. om. A. Mox B : αἰσχρὸν ἡμᾶς

Alexandrum in hanc sententiam : « Darius domino Alexandro hæc dicit : Ante omnia quidem unum moneo, uti te in hac fortunæ beatitudine esse tamen hominem recognoscas, siquidem fatis idoneum argumentum ad id consilii tibi ego præsto sum, quo profecto docere nil homines quicquamque præsentia sua præsumere oportere. Neque enim id modo de me primum fortuna commenta est. Jam pridem istud in parente meo illa dea Xerxe monstraverat. Is quippe pari arrogantia cupitorum cum in vestros militiam delegisset, alioqui avidior rerum quæ regum glorias trahunt, pro his omnibus quæ petebat, opes suas totque militantium millia attrita pariter amissaque ad pœnitudinem vertit. His igitur usus exemplis doctusque talibus pro Græco nomine atque clementia competentius feceris, si miseratione hos impertias quos tibimet fortuna supplices procuravit. Igitur ego per favitores tui deos nostrique adversatores quæso obsecroque, uti mecum matris quoque et conjugis, ut te dignum est, filiorum quoque nostrorum meminisse non aspernare. Ejus tibi benevolentiæ vicissitudinem spondeo uti thesauros, quos ex vetusto nobis reges parentes suffossos humi abditosque latebris reliquerint, ipse quoque coram referam indicemque, tuncque tibi Persarum deos prosperos et imperium Medorum etiam et reliquarum gentium deprecabor digno profecto tali favore cælestium, si in aliis quoque relevandis tuimet memineris ut mortalis. »

His litteris sumptis Alexander concionem protinus optimatium ac præsentium cogit. Enim vero tunc unus assistentium Parmenion in eam sententiam vadit, uti nec humanitatem Alexander supplici denegaret et ea quæ sibi promiserat libentius amplexaretur, redditurus scilicet matrem pariter et conjugem una cum filiabus mercede promissi. Sed enim ad hæc Alexander, « Atqui, inquit, o Parmenion, mihi contra consilium est respondere Dario frustra se his illum in nos liberalitatibus jactitare, quod thesauros suos suaque regna polliceatur. Non enim videt cuncta ista hæc quæ nobis litteris largitur, jure belli nostra perfecta, neque ille super his aliquando bellum induxerat. Enim quod ipsi quæcunque Darius possederat et obtinebat, nostra esse, id est virtutis præmia, arbitraremur, idcirco in hæc ipsa se militavisse, neque sibi in Asiam transeundi aliam quis dixerit esse causam nisi quod cuncta hæc mihi ac meæ præjudicaveram possessioni. Sat sit igitur Dario, si videatur id modo unum lucri habere quod imperterritum his omnibus veluti alienissimis incubaverit. » Et in hanc sententiam dictatas litteras ferri ad Darium jubet. Ipse vero transit ad hujusmodi diligentiam, uti et vulnerati competentius cura

τοὺς δὲ τελευτήσαντας κηδείας τυγχάνοντας θάπτεσθαι. Μείνας οὖν ἐκεῖ τὸν χειμῶνα (19) προσέταξεν ἐμπυρίζεσθαι τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν ἐκείνην, μικρὸν δὲ πάλιν μετανοήσας (20) παύσασθαι (21) ἐκέλευσεν.

ΚΕΦ. ΙΗ'.

Ἐθεάσατο δὲ καὶ τοὺς τῶν Περσῶν τάφους χρυσῷ κεκοσμημένους· εἶδε καὶ τὸν Ναβονασάρου (1) τάφον τοῦ κεκλημένου Ναβουχοδονόσωρ κατὰ τὴν Ἑλλάδα φωνήν, καὶ τὰ ἀναθήματα τῶν Ἰουδαίων ἐκεῖ κείμενα, καὶ τοὺς κρατῆρας τοὺς χρυσοῦς, ὡς ἡρώων εἶναι τὴν θέαν. Παραπλήσιον δὲ ἐθεάσατο καὶ τὸν Κύρου τάφον· ἦν δὲ πύργος αἴθριος δωδεκάστεγος, ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο αὐτὸς ἐν χρυσῇ πυέλῃ (2), καὶ ὕελος περιεκέχυτο αὐτῷ, (3) ὥστε τὸ τρίχωμα αὐτοῦ φαίνεσθαι καὶ αὐτὸν δὲ ὅλον διὰ τοῦ (4) ὑέλου.

Ἐνταῦθα δὲ ἦσαν Ἕλληνες ἄνδρες εἰς τὸν τάφον Ξέρξου (5) λελωβημένοι, οἱ μὲν χεῖρας, οἱ δὲ (6) πόδας, οἱ δὲ ῥῖνας, ἕτεροι δὲ τὰ ὦτα αὐτῶν, δεδεμένοι πέδαις καὶ ἡλωθέντες (7), ἄνδρες Ἀθηναῖοι. Συνελθόντες οὖν ἀθρόοι ἐξεβοήσαν Ἀλεξάνδρῳ ὥστε σῶσαι αὐτούς. Ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτοὺς ἐδάκρυσεν· ἦν γὰρ τὸ θέαμα (8) δεινόν. Βαρέως οὖν ἤνεγκεν ἐπὶ τούτῳ καὶ προσέταξε λυθῆναι τούτους τῶν δεσμῶν καὶ δοθῆναι αὐτοῖς χίλια δίδραχμα, καὶ ἀποκαταστῆναι αὐτοὺς εἰς τὰς ἰδίας πατρίδας. Οἱ δὲ λαβόντες τὸ ἀργύριον ἠξίωσαν Ἀλεξάνδρῳ χώραν αὐτοῖς ἀπομερισθῆναι ἐν τοῖς τόποις ἐκείνοις, εἰς δὲ τὰς πατρίδας αὐτῶν μὴ ἐκπεμφθῆναι καὶ οὕτω διακειμένους ὄνειδος εἶναι τοῖς οἰκείοις. Καὶ ἐκέλευσεν ἀπομερισθῆναι αὐτοῖς γῆν (9) καὶ δοθῆναι αὐτοῖς σῖτον (10) καὶ σπέρματα ἑκάστῳ ἐξίσου (11), καὶ πρόβατα καὶ πάντα ὅσα ἦν χρήσιμα πρὸς γεωργίαν καὶ ἕτερα χρήματα (12).

ΚΕΦ. ΙΘ'.

Ὁ δὲ Δαρεῖος ἠὐτρεπίζετο εἰς ἕτερον πόλεμον συμβαλεῖν Ἀλεξάνδρῳ. Γράφει οὖν Πώρῳ βασιλεῖ τῶν Ἰνδῶν οὕτως· « Βασιλεὺς Δαρεῖος βασιλεῖ Ἰνδῶν Πώρῳ χαίρειν. Ἐπὶ τῇ γενομένῃ καταστροφῇ τοῦ οἴκου μου ἐν ταῖς ἡμέραις ταύταις καὶ νῦν δηλῶ σοι, ἐπειδὴ ἐπιβάς μοι ὁ Μακεδόνων βασιλεὺς, θηρὸς ἀγρίου ψυχὴν ἔχων, οὐ βούλεται τὴν μητέρα μου καὶ τὰ τέκνα ἀποδοῦναί μοι· ἐμοῦ δὲ ἐπαγγειλαμένου θησαυροὺς καὶ

ἐστὶν συνκοιτασθῆναι αὐτὰς, τοὺς ἄνδρ. ν. ‖ 17. γρ. α. μ. διδ. om. AC. ‖ 18. ἐπιμιλείᾳ C. τοὺς τραυματίας θεραπείας ἔχεσθαι A. ‖ 19. μείνας δὲ τὸν ἀκμαιότατον χειμῶνα καὶ ποιήσας τοῖς ἐγχωρίοις θεοῖς θυσίας προσέταξε κτλ. A. ‖ 20. καταν. C. ‖ 21. σβεσθῆναι A.

Cap. XVIII. 1. Ναβονασάρου... κεκλημένου excid. in B; supplevi ex L; εἶδε δὲ κ. τὸν τοῦ Ναβουχοδονόσορος τάφον καὶ τὸν (l. τὸν καὶ) Ναβονασσάρου καλουμένου, καὶ τὰ ἀναθ. C. ‖ 2. ἔκειτο χρυσῇ πύλῃ, ὕελος B. ‖ 3. αὐτῷ om. B. ‖ 4. διὰ τοῦ om. B. ‖ 5. εἰς τ. τ. Ξ deest in A. ‖ 6. οἱ μὲν χ. οἱ δὲ deest in B. ‖ 7. ἡλωμένοι B; mox συνελθ. ο. ἀθρ. addidi ex A. ‖ 8. sic A. θεώρημα αὐτῶν χαλεπὸν B. θεωρία α. δεινή C. ‖ 9. εἰς τρεῖς τόπους add. C. ‖ 10. καὶ σιτ. om C. ‖ 11. ἐξ ἴσ. om. C, qui deinde: καὶ βόας ἑκάστῳ ἓξ (sic etiam A) καὶ πρόβατα. ‖ 12. add. C: καὶ ἀπέστειλεν αὐτοὺς ἐκεῖ.

---

rentur et desiderati vallo sepulcri ad meritum decorarentur. Atque in hæc occupatus hiemis spatia transegit, quidquid interea temporis fuerit diis præstitibus sacrificiis obsecutus. Atque cum interea motu quodam animi repentino jussisset regiam Xerxis, quæ opulentissima et pulcherrima videbatur, injecto igni concremari, id quoque mox per pœnitentiam reformatam exstingui atque ad faciem pristinam retineri præcepit.

XVIII. Fuit eidem inter hæc cura ut sepulcra Persarum et sepulta eorum olim corpora intueretur, quod in his sepulcris multæ pateræ aureæ multaque pecunia condita ad templorum magnificentiam diceretur. Sed egregie ceteris anteibat Cyri ædes, quæ scilicet turris ad faciem levi quadroque *lapide* in summam altitudinem exstructa processerat. Ipsius vero Cyri conditorium erat lapide visendo, cujus sive natura perpiscua, sive inscalptio adeo tenuis erat, ut nihilo prorsus quicquid interesset impediret intuentium diligentiam, adeo ut propter saxi illius evidentiam capilli etiam conditi cadaveris viserentur.

Sed propter hoc sepultum flebile spectaculum Alexander protinus conspicatus. Erant enim Græci idemque complures, quos cum variis ex causis diversisque temporibus captivitate rex aut reges subegissent, præsectis naribus auribusque et quæcumque hominum vultibus decorum natura prævidit, suppliciali post servitio devincti circa hæc sepulcra custodes agitabant. Hi igitur omnes ubi justitiam Alexandrum agere sensere, pari voce et ejulatu suæ gentis Græcisque supplicationibus obsecrantes audientem linguæ propriæ insignia facile permoverunt. Quare productos cum videret adeo flebiliter mutilatos atque laniatos, fideliterque causas et ritum Persicum cognovisset, misertus eorum dederat quidem volentibus facultatem, uti viatico sumptuati si vellent ad patriam remearent. Enim cum sese ignobiles fodatosque latere melius conspectum popularium quam ad ludibrium forsitan occursuros civibus præsentirent, hujus quidem rei gratiam fecere regi, sibi tamen et locum quem colerent et vitam ab indigentia laxiorem pecuniis impetravere. Dat igitur his et agros et * dapsiles et cetera etiam quæ ad agrorum exercitia secundarent pro supplicum civium contulit voluntate.

XIX. Sed inter hæc rursus Darius comparando exercitu scribendisque militibus animum confirmarat. Scribit denique Poro Indiæ *regi* talia : « Clam me non est indignationem tuam deducere quidquid nos ex hostico patiamur; ferinam etenim expertus hostium rabiem vel ipsis orbatus affectibus ex illa regia beatitudine in extimam veni Darius ille miserationem, cum mihi non mater amantissima, non uxor conspirantissima, non suavissimi filii propter sunt, quin hæc cuncta adversantibus serviunt. (*Rursus incipit cod. Mediolan.*) « Quare pollicentem nec

ἄλλα τινὰ πλείονα παρέχειν αὐτῷ, οὐ πείθεται. Ὅθεν οὖν βουλόμενος ἐκπορθῆσαι αὐτὸν ἐφ' οἷς ἔπραξε, συνίστημι αὐτῷ καὶ ἕτερον πόλεμον μέχρις ἂν ἀμύνωμαι τελείως αὐτὸν καὶ τὸ ἔθνος αὐτοῦ. Δίκαιον οὖν ἔστι καί σε ἀγανακτῆσαι ἐφ' οἷς ἔπαθον καὶ ἐπεξελθεῖν σε ἐπὶ τῇ ἐμῇ ὕβρει (1), μνησθέντα τῶν γονικῶν ἡμῶν δικαίων. Συνάθροισον οὖν πλεῖστα ἔθνη καὶ γίνου (2) ἐπὶ τὰς Κασπιακὰς πύλας. Τοῖς δὲ συναγομένοις ἀνδράσι χορήγησον (3) χρυσίον πολὺ καὶ σῖτον καὶ χορτάσματα. Πάντων δέ σοι τὸ ἥμισυ τῶν λαφύρων, ὧν ἂν λάβω ἐκ τῶν πολεμίων, χαρίσομαι, καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον σὺν τοῖς βασιλικοῖς χωρίοις καὶ τὰς παλλακὰς (4) αὐτοῦ. Δεξάμενος οὖν τὰ γράμματα ἡμῶν, ἐν πολλῇ σπουδῇ ἄθροισον πλήθη καὶ ἀπόστειλον ἡμῖν. Ἔρρωσο. » Ὁ δὲ Ἀλέξανδρος μαθὼν ταῦτα ὑπό τινος τῶν τοῦ Δαρείου προπεφυγότων παρ' αὐτὸν, εὐθέως ἀναλαβὼν ἅπασαν τὴν δύναμιν αὐτοῦ τὴν πορείαν ἐποιεῖτο πρὸς τὴν Μηδίαν (5). Ἤκουσε δὲ Δαρεῖον εἶναι ἐν Ἐκβατάνοις (6) ** ἐπὶ τὰς Κασπιακὰς πύλας· καὶ σύντονον ἐποιεῖτο τὸν διωγμὸν καὶ εὐτολμότερον.

ΚΕΦ. Κ'.

Οἱ δὲ σατράπαι (1) Δαρείου ἔγνωσαν τὸν Ἀλέξανδρον ἐγγίζοντα, ὅ τε Βῆσσος καὶ ὁ Ἀριοβαρζάνης· καὶ παρατραπέντες οὗτοι τὰς φρενοβλαβεῖς γνώμας, ἐβουλεύσαντο Δαρεῖον ἀναιρῆσαι, λέγοντες πρὸς ἀλλήλους, ὅτι ἐὰν ἀπολῶμεν τὸν Δαρεῖον, ληψόμεθα παρὰ Ἀλεξάνδρου χρήματα πολλὰ, ὡς ἀναιρήσαντες τὸν ἐχθρὸν αὐτοῦ. Οὗτοι οὖν κακῶς βουλευσάμενοι ἐπηνέχθησαν (2) ξιφήρεις Δαρείῳ. Ὡς δὲ εἶδε τούτους ὁρμήσαντας Δαρεῖος ξιφήρεις, εἶπεν αὐτοῖς· « Ὦ ἐμοῦ δεσπόται, οἱ πρίν μου δοῦλοι· τί ὑμᾶς ἠδίκησα, ἵνα ὑμεῖς ἀνελῆτέ με βαρβάρῳ τολμήματι; Μὴ πλέον ὑμεῖς Μακεδόνων τι δράσετε; Ἐάσατέ με ὥστως ἐπὶ τὰ μέλαθρα ῥιφέντα ἀναστενάζειν τὴν ἀνώμαλόν μου τύχην. Ἐὰν νῦν ἔλθων Ἀλέξανδρος ὁ βασιλεὺς Μακεδόνων εὕρῃ με σφαγέντα (3), ἐκδικήσει τὸ αἱμά μου (4). » Οἱ δὲ μηδαμῶς πεισθέντες ταῖς ἱκεσίαις Δαρείου φόνοις αὐτὸν ἀμύναντο. Ὁ δὲ Δαρεῖος ταῖς δυσὶ χερσὶν (5) αὐτοῦ κρατήσας, τὸν μὲν Βῆσσον τῇ εὐωνύμῳ χειρὶ εἰς τὴν γῆν κατασχὼν καὶ τῷ εὐωνύμῳ γόνατι εἰς τοὺς βουβῶνας αὐτοῦ ὑποκλίνας ἐκράτει· τὸν δὲ Ἀριοβαρζὰν τῇ δεξιᾷ χειρὶ ἐπισχὼν ἐκράτει (6) τοῦ μὴ ἐπιφέρειν αὐτῷ τὸ ξίφος· λόγχαι δὲ αὐτῷ αἱ πληγαὶ ἐτύγχανον. Τῶν δὲ δυσσεβῶν μηκέτι ἰσχυόντων αὐτὸν ἀναιρῆσαι, ἐπάλαιον μετ' αὐτοῦ· ἦν γὰρ ἰσχυρὸς ὁ Δαρεῖος. Οἱ οὖν Μακεδόνες τὸν Στράγγαν (7) ποταμὸν παγέντα εὑρόντες διεπέρασαν, καὶ εἰσῆλθεν ὁ Ἀλέξαν-

Cap. XIX. 1. σοὶ τὴν ἐμὴν ὕβριν B. ‖ 2. καὶ γίνου add. ex A. ‖ 3. χορηγήσω ἀνδρὶ εὐώνῳ (i. e. πεζῷ) χρυσοῦς γ ἱππεῖ δὲ χρυσοῦς ε' A. ‖ 4. τῶν παλλακῶν B L. καὶ τὰς ἑνούσας τούτοις παλλακὰς ῥῃ' μετὰ τοῦ ἰδίου κόσμου A. ‖ 5. Μειδίᾳ B. Μιδίαν A. ‖ 6. sic A., Βατάνοις B C. Deinde exciderunt nonnulla. Sententiam explere licet ex Valerio. Cod. A. pro more manca præbet hæc : ... ἐν Ἐκβατάνοις· ἠκούετο δὲ βασιλεύειν τὴν Ἀσίαν Ἀλέξανδρος, εἰ μὴ κατεῤῥόνησε τοῦ Δαρείου ὀνόματος· προσαγγέλλει δὲ αὐτῷ ὅτι εἴη πεφευγὼς ἐπὶ τὰς Κασπίας πύλας· σύντομον δὲ ἐποίει τὸν διωγμόν· ἀκούσας παρά τινων ὅτι πλησίον εἴη ὁ βασιλεὺς, τοῦ εὐνούχου αὐτομολήσαντος, πάντα πρὸς ἀλήθειαν, εὐτολμηρότερον τὸν διωγμὸν ἐποιεῖτο.

Cap. XX. 1. sic cod. C ; ἁπάντων (ὡς δὲ ἐπέγνουν A) δὲ Βῆσσον καὶ Ἀρ. καὶ παρατρ. etc. B. ‖ 2. ὑπεισέρχονται λάθρα C. ‖ 3. τεθνηκότα B C. ; σφαγέντα λῃστρικῇ γνώμῃ A. ‖ 4. addit A : οὐ θέμις γὰρ ὀφθῆναι βασιλέα δολοφονηθέντα οἰκτίστων. deinde sic : καὶ ὁ μὲν Δαρεῖος ἀντεῖχε πρὸς τοὺς πονηροὺς· αὐτοῦ δὲ τὰς χεῖρας ἀντέχοντος, αἱ πληγαὶ τοῦ ξίφους οὐκ ἐγίνοντο καίριοι, ἀλλὰ πλάγιοι ἐγίνοντο. Οἱ δὲ Μακεδόνες etc. ‖ 5. χερσὶν ἐπάλαιεν αὐτούς, τὸν μὲν BC. ‖ 6. μόνος add. B. ‖ 7. τὸν

non modo thesauros opesve regales, sed regni quoque nostri quam amplissimam portionem, spretis Macedo supplicibus ejusmodi, una tantum suorum arrogantia delectatur. Ergo, mi Pore, jam opibus fatigatus, animo tamen ad sententiam milito, si modo faveas. Rursus enim prælium meditor, si quos quidem ad communionem duco sententiæ. Quod si tu quoque tam justæ indignationi nostræ accesseris, tuamque injuriam existimaveris, quæ in me grassata est, ita probabis te, ut te dignum erit et majorum nostrorum, et isti conspirationi consulere, tuisque commodis non deesse. Igitur ex opinione nostra feceris, si gentes quam plurimas congreges, quamque primum queas ad portas Caspias tendas. Enim ne sit militia tibi militantium inhonora, dabuntur a me singulis armatorum aurei tres pedestri, equiti vero quinque, ceteraque quæ alimoniis abundarint. Prædæ quoque bellicæ pars ex medio vestra fiat. At enim tibi privum munus istud habebis, quod indidem regalissimum est, Bucephalam equum scilicet una cum regiis phaleris regioque cultu, concubinisque omnibus, quas octoginta centumque numerant, qui noverunt : eas omnes ac tales cum ornatibus propriis consequere. Quare acceptis his litteris, ne versaveris, quaeso, verterisve tale consilium : quin properato ad nos venias una cum hisce, ut dixi, gentibus, quæ circa Indum colunt. » Et hæc quidem Darius. Sed Alexandrum ista nequaquam latuere doctum ex transfuga Persa quodam. Quare coacta manu ad regiones Medicas tendit, conperiens Darium in Bathanis agere, quod nomen genti est. Omissa denique Asia, iter quod instituerat, festinabat, satis adserentibus internuntiis, quod si Darius fugiens portas Caspias intravisset, inefficacem illam insecutionem Alexander laboraret. Quæ quidem etiam tum, veluti parum fideli sermone acciperet, dubia rex arbitrabatur; sed cum Bazanus quidam eunuchus regius transfugisset, isque certius enarrasset Darium protinus fugiturum, addita est Alexandro properatio.

XX. Aderant tunc Dario fugam molienti satrapæ duo, quorum nomen alteri Besus erat, alius vero dictus Ariobarzanes. Hi, cum jam rumoribus calidioribus adesse Alexander nuntiaretur, rati se plurimum in gratiam provisuros esse victoris, si necem Dario intulissent, regem suum in sua regia solitarium opprimunt et letaliter vulnerant, ac si jam mortuum derelinquunt : cautissimum confirmantes,

ὄρος εἰς τὰ βασίλεια Δαρείου. Μαθόντες δὲ (8) οἱ ἀσεβεῖς Βῆσσος καὶ Ἀριοβαρζὰν τὴν εἴσοδον Ἀλεξάνδρου, ἔφυγον καταλείψαντες Δαρεῖον ἡμίπνουν.

Καὶ εἰσελθὼν πρὸς αὐτὸν (9) Ἀλέξανδρος εὗρεν (10) αὐτὸν ἡμίπνουν, ἐκκεχυμένου τοῦ αἵματος αὐτοῦ ἐκ τῶν πληγῶν· ἀνοιμώξας δὲ μέγα ὁ Ἀλέξανδρος καὶ θρηνῳδίαν μεγάλην ἐπ' αὐτῷ ποιησάμενος λύπης δάκρυα ἐξέχεεν ἐπ' αὐτῷ, καὶ τῇ χλαμύδι αὐτοῦ ἐσκέπαζε τὸ σῶμα Δαρείου, τὰς χεῖρας δὲ ἐπιθεὶς ἐπὶ τὸ στῆθος αὐτοῦ, ἐλέους γέμοντας λόγους ἐπ' αὐτῷ ἔλεγεν· « Ἀνάστα, βασιλεῦ Δαρεῖε, καὶ τοῖς σοῖς (11) βασίλευε καὶ τῶν σεαυτοῦ δεσπότης γενοῦ· δέξαι τὴν τυραννίδα (12)· ὄμνυμί σοι τὴν ἄνω πρόνοιαν ὡς ἀληθῶς καὶ οὐ πεπλασμένως φράζω σοι. Τίνες δέ εἰσιν οἱ πλήξαντές σε; μήνυσόν μοι αὐτούς, ἵνα ἔκδικον ἔχῃς (13). »

Καὶ ταῦτα εἰπόντος τοῦ Ἀλεξάνδρου, στενάξας Δαρεῖος καὶ τὰς χεῖρας ἐκτείνας ἐπησπάσατο Ἀλέξανδρον καὶ περιπλακεὶς εἶπεν αὐτῷ· « Ἀλέξανδρε βασιλεῦ, μήποτε ἐπαρθῇς τῇ τυραννικῇ δόξῃ, ὥς ποτε κἀγώ, ἰσόθεον ἔχων κράτος, χερσὶν ἐμαῖς οὐρανὸν ἠθέλησα ψαῦσαι (11). Σκόπει καὶ αὐτὸς τὸ μέλλον· ἡ τύχη γὰρ οὐκ οἶδε (15) βασιλέα οὔτε μὴν πλῆθος ἔχοντα· ἀκρίτῳ δὲ γνώμῃ πανταχόθεν ῥέμβεται. Ὁρᾷς τίς ἦμην καὶ τίς γέγονα· ἀποθνήσκοντός μου, βασιλεῦ Ἀλέξανδρε, ταῖς χερσί σου θάψον με· κηδευσάτωσάν με Μακεδόνες καὶ Πέρσαι (16)· μία γενέσθω συγγένεια Δαρείῳ καὶ Ἀλεξάνδρῳ· τὴν δὲ ἐμὲ τεκοῦσαν (17) παρατίθημί σοι, καὶ τὴν γυναῖκά μου ὡς ἐμὲ οἰκτειρον, (18) τὴν δὲ θυγατέρα μου Ῥωξάνην δίδωμί σοι εἰς γυναῖκα, ἵνα ἐν ὑστέροις τοῖς καιροῖς ἐπὶ μνήμης λήψῃ (19) τέκνα, οἷς καυχώμενοι ὡς ἡμεῖς ἐπὶ τέκνοις, σὺ μὲν Φιλίππῳ, Ῥωξάνη δὲ Δαρείῳ μνήμην τελεῖτε

Ἀρσινόην τὸν καὶ Στράγγαν λεγόμενον B. ‖ 8. ὡς δὲ ἤκουσαν Ἀλέξανδρον ἐγγίσαντα οἱ φονεῖς Δαρείου ἀφέντες τὸν Δ. ἡμίπνουν ἔφυγον C. ‖ 9. εἰσελθ. πρῶτος Ἀλ. C. ‖ 10. καὶ εὑρὼν α. ἡ. ἐκκεχυμένον ξίφει τὸ τούτου αἷμα, ἀνοιμώξας θρῆνον ἄξιον λύπης δάκρυα ἐξέχεεν C. ‖ 11. τῆς σῆς γῆς C. ‖ 12. δέξαι σου τὸ διάδημα τοῦ Περσικοῦ πλήθους ἀνάσσων· ἔχε σου τὸ μέγεθος τῆς τυραννίδος (τῆς τυραννικῆς δόξης A) C. Eadem A, qui pluribus etiam verbis hæc persequitur ‖ 13. sic A; ἵνα σε νῦν ἀναπαύσω B; et L., qui in plurimis ad cod. B accedit; ἵνα σε νῦν θεραπεύσω C. ‖ 14. φθάσαι cod. B; δόξη, ὁπόταν ἰσόθεον κατορθώσῃς ἔργον, καὶ χερσὶν ταῖς σαῖς οὐρ. θέλεις φθάσει ἀλλὰ σκ. τὸ μ. C; cod. A ita : μὴ ἐπαρθῇς τῇ βασιλικῇ τάξει· ὅτε γὰρ ἔργον ἰσόθεον κατορθώσεις, κ. χ. τ. σ. οὐρανοὺς δόξεις ψαύειν, σκόπει τὸ μέλλον· ἡ γὰρ τύχη οὐκ οἶδεν βασιλέα ἢ λῃστὴν οὔτε πλῆθος, ἀκρίτῳ δὲ ῥοίζῳ πάντα κακῶς ἐκρίπτεται. ‖ 15. εἶδε C; seqq. corrupta; scripserim οὔτε λῃστὴν πλῆθος ἔχοντα. ‖ 16. Post hæc cod. C interponit hæc : Ὁ σύμπασαν ὀκτὼ κυριεύειν γαῖαν, νυνί, ὡς ὁρᾷς, γυμνὸς εἰς γαῖαν ἔρριμμαι, ὃ ποτε ὑπὸ μυριάδων δορυφορούμενος καὶ οἷα θεὸς δοξαζόμενος, ἀπροστάτευτος, μόνος καταλέλειμμαι. Μνήσθητι, Ἀλέξανδρε, οἵας δόξης ἄρνω ἐξέπεσα, σὺ αὐτόπτης γενόμενος· καὶ μὴ ἐάσῃς ὅλως ἐν ταύτῃ τῇ ταλαιπωρίᾳ τελευτῆσαί με· ἐπίσταμαι γὰρ σπλάγχνα ἔχειν σε· Ἕλλην γὰρ εἶ σὺ, καὶ οὐκ ὠμὸς Πέρσης ὡς οἱ παρ' ἡμῖν. » Προστάσσει οὖν Ἀλέξανδρος, καὶ φέρουσι τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα αὐτοῦ Ῥωξάνην. Ὡς δὲ εἶδεν αὐτὰς Δαρεῖος εὐθὺς ἀπώλωλεν καὶ ἀφασίᾳ συσχεθεὶς καὶ δακρύων πληρωθεὶς ὅλως καὶ σφόδρα τὴν καρδίαν πονήσας, καὶ τὴν ψυχὴν λίαν λυπηθεὶς ὑπὲρ τὸ δεον ἐν πολλῇ ταπεινώσει, καὶ ἀτενίσας ὀφθαλμοὺς δακρύων πλήρεις, μόλις κινηθεὶς λόγον ἐφθέγξατο πρὸς Ἀλέξανδρον· « Εὐχαριστῶ σοι, ὦ βασιλεῦ Ἀλέξανδρε », καὶ περιπλακεὶς πάντας λύπης ἀξίας ἐκίνησε. Μὴ δυνάμενοι οὖν στῆσαι δακρύων τοὺς σταλαγμοὺς πάντες τῆς ἑαυτῶν δόξης ἐταλάνισαν καὶ τελευταῖον ἀσπασμὸν πρὸς αὐτὸν ἐχόρτασαν. Καὶ ἀναψυχὴν λαβὼν Δαρεῖος καὶ καρδίας θεραπείαν, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ καὶ τὴν θυγατέρα κρατήσας εἶπε· « Ταύτην, Ἀλέξανδρε βασιλεῦ, δέχου ὡς δῶρον· ἔσται δέ σοι δούλη σὺν τῇ μητρί· μία γενέσθω ἡ συγγενεία etc. ut in codd. B A L. ‖ 17. τὴν δ. ἐ. τ. ὡς σε τεκοῦσαν L; τὴν δὲ μητέρα μου ὡς σὲ τεκοῦσαν ἀνατίθημί σοι C. ‖ 18. sic C; ὡς σὺν ἐμοὶ οἰκτειρον B; ὡς σύνεμον οἰκέτην A; fuerit ὡς συνήμονα οἰκέτην. ‖ 19. λύπη B; δίδωμί σοι γυναῖκα καὶ συναφθήσῃ ἐπ' ἀγαθοῖς καιροῖς καὶ ἐπὶ μνείαις

---

si tantisper a conspectu Alexandri recessissent, domicum illud facinus quod perpetrassent victor perpenderet et divulgaretur.

Jamque exercitus Macedonum rursus Strangæ memorati fluenta transmiserat, et Alexander protinus superveniens regiam in qua obversari Darium conpererat cursim inrumpit, eumque recens vulneratum atque adhuc spirantem miseriter offendit. Sed id Alexandro ultra opiniones omnium flebile et luctuosum admodum fuit. Videns enim participem illius regii nominis ac majestatis adeo misere vivendi clausulæ reluctantem, flens ejulansque jacenti homini circumfunditur, eumque amplexabundus et contegens regia chlamyde in hæc verba solatur : » Erige te, quæso, Darie, nec deseras : si quid enim ex animo est quod jusseris, ratum habeto regna te tua recepturum, futurumque rursus illum qui fueris. »

Sed ad hæc Darius exsangui jam corpore cum voce etiam ad primum impetum deficeretur, manus supplices tendens, adtrectansque genua Alexandri adsistentis, et circumplexus ut poterat, tandem talibus loquitur : « Licet mihi jam, Alexander victoriosissime, in hac constituto fortuna liberalius aliquid quam quæ victi sunt loqui, idque a me amicum tibi, non hosticum putes. Inter hæc verba blanda disceptes. Numquam igitur te regii nominis decus tollat : nec si quid blandius fortuna promiserit, idcirco te cæli competem arbitrare. Enimvero consultius futuris quam præsentibus consules. Nihil enim interest, quod dispescat regiam nostram et plebiculæ dignitatem. En tibi ille Darius, nosti quippe qui fuerim dominus et deus scilicet hujusce mundi existimatus, ut flebilem mortem oppeto. Sed habeo obitus hujusce grande solatium, quod in tuis manibus hunc spiritum jam effundam. Quare, quæso, non invideas sepulturam, quam mihi una cum Persis tui Macedones exsequantur. Tum Rogodunen matrem meam commendatam tibi ad honorem dignum nomine nostro habeto, utque participem Olympiadi tuæ. Colito uxorem etiam meam : filiam vero Roxanen hac prece tibi in manum do, quæsoque eam dignam conjugio

συγγηρῶντες χρόνοις. » Καὶ ταῦτα εἰπὼν Δαρεῖος ἐξέπνευσε τὸ πνεῦμα ἐν ταῖς χερσὶν Ἀλεξάνδρου.

ΚΕΦ. ΚΑ'.

Ὁ δὲ Ἀλέξανδρος συμπαθῶς κλαύσας τὸν Δαρεῖον ἐκέλευσε τὸ σῶμα αὐτοῦ βαστάζεσθαι, θάψαι δὲ αὐτὸν Περσικῷ νόμῳ ὡς βασιλέα (1). Κελεύει δὲ πρώτους Πέρσας διάγειν, Μακεδόνας δὲ ὄπισθεν ἐνόπλους· αὐτὸς δὲ Ἀλέξανδρος ὑποθεὶς τὸν ὦμον αὐτοῦ ἐβάστασε μετὰ τῶν σατραπῶν τὸ σῶμα Δαρείου. Οὐ τοσοῦτον δὲ ἔστενον οἱ ἀκολουθοῦντες (2) ἐπὶ Δαρείῳ ὅσον ἐπὶ Ἀλεξάνδρῳ βαστάζοντι. Ἀποθεὶς δὲ Ἀλέξανδρος ἐπὶ τὸν τάφον Δαρεῖον τὸν βασιλέα, βουθυτήσας (3) ἐκεῖ μνημεῖον ἐποίησε Δαρείῳ, καὶ νόμους ἔθετο κατὰ πόλιν, ἅμα δὲ καὶ προστάγματα περιέχοντα οὕτως· « Βασιλεὺς Ἀλέξανδρος υἱὸς (4) Φιλίππου βασιλέως καὶ βασιλίσσης Ὀλυμπιάδος, τοῖς κατὰ τὴν Περσίδα πᾶσαν ἔν τε ταῖς πόλεσι καὶ χώραις ταῦτα κελεύω. Εὐκτὸν (5) μὲν ἦν μοι τὰς τοσαύτας μυριάδας ἀνθρώπων μὴ κακῶς ἀπολέσθαι· εἰ δὲ ἡ εὐδαιμονία ποιεῖ με κατὰ Περσῶν νικηφόρον, εὐχαριστῶ τῇ προνοίᾳ. Γινώσκετε δὲ ὅτι καθιστῶ ὑμῖν σατράπας, οἷς ὠφείλετε ὑπακούειν ὡς ἐπὶ Δαρείου καὶ τῶν ὑπ' αὐτὸν κατεχομένων. Μὴ ἴδητε δὲ βασιλέα εἰ μὴ Ἀλέξανδρον μόνον. Χρᾶσθε δὲ τοῖς ἰδίοις ἔθεσι καὶ συνηθείαις καὶ ἑορταῖς καὶ πανηγύρεσι καὶ εὐωχίαις καὶ βουθυσίαις, καθάπερ καὶ ἐπὶ Δαρείου. Ἕκαστος ὑμῶν τῇ ἰδίᾳ μονῇ βιώτω· ἐὰν δὲ Πέρσης καταλείψῃ τὴν ἰδίαν πόλιν ἢ χώραν ἢ τόπον, καὶ ἀλλοδαπῇ κατοικήσῃ, ὡς ἀποστάτης κολαζέσθω (6). Τῶν δὲ ὑπαρχόντων ὑμῖν συγχωρῶ ἑκάστῳ κυριεύειν τῶν ἰδίων πλὴν χρυσίου καὶ ἀργυρίου (7)· τὸν γὰρ χρυσὸν καὶ τὸν ἄργυρον κελεύω ἀναφέρεσθαι ταῖς πόλεσιν ἡμετέραις (8)· νομίσματα (9) δὲ ὅσα ἔχετε συγχωροῦμεν ἑκάστῳ τοῖς ἰδίοις χρᾶσθαι. Ἢν δὲ ἀμμυντήριον ὅπλον κελεύω ἀναφέρεσθαι εἰς τὰς ὑποδειγμένας ὁπλοθήκας. (10) Οἱ δὲ σατράπαι μενέτωσαν

λήψῃ τέκνα, οἷς καὶ ὑμεῖς καυχώμενοι ὡς ὑμῶν τέκνοις, σὺ μὲν ἐπὶ Φιλ. βασ., Ῥ. δ' ἐπὶ Δ. μνήμην ἐπιτελεῖτε συγγηρῶντες εἰς χρόνους. C; εἰς γυναῖκα ἐκδίδωμί σοι, ἵνα ἐπὶ τοῖς ὁρωμένοις κ. ἐ. μ. ἔστεθαι πάντων· καὶ ἐπὶ τέκν. καυχήσεσθε ὡς ποτὲ καὶ ἡμεῖς· σὺ μὲν ἐπὶ Φιλ., Ῥ. δ. ἐ. Δ. καὶ ἡμῖν μνήμας τελεῖτε χρ. συγγηρῶντες L; δίδωμί σοι, ἵνα εἴ τι καὶ ἐν φθιτοῖσι λείπεται γνώμη, σὺ δύο γενεαῖς ἐπὶ τέκνοις κάχονται (sic), σὺ μὲν Φιλίππῳ, Ῥ. δ. Δαρείῳ. A.

Cap. XXI. 1. ὡς βασιλέα om. B; deinde post κελεύει δὲ lacunam habet unius lineæ, quam explevi ex C. ‖ 2. ὁρᾶν add. B; οἱ ἐπακολουθοῦντες ὁρᾶν C; superest ὁρᾶν ex disertiore narratione. Cod. L ita : ἔκλαιον δὲ πάντες καὶ ἐθρήνουν οὐ τοσοῦτον ἐπὶ Δαρείῳ ὅσον ἐπὶ Ἀλ. (ὅσον συνεπάθουν καὶ ὑπερῆ γάπων τὸν Ἀλέξ. cod. A.), ὁρῶντες αὐτὸν βαστάζοντα τὴν κλίνην. Κηδευθεὶς οὖν κατὰ τοὺς τῶν Περσῶν νόμους, ἀπέλυσε τοὺς ὄχλους· εὐθέως δὲ κατὰ πόλιν δόγμα ἐξέθετο περιέχον οὕτως· ‖ 3. βουθυτήσας ἀγῶνά τε ἐπιτάφιον ἆξας, νόμον τε καὶ πρόσταγμα ἔθετο Πέρσαις τοιοῦτον A. ‖ 4. ἐκ βασιλέως θεοῦ Ἄμμωνος A. ‖ 5. εὐκταῖον A; καλὸν C; οὐ βούλομαι γὰρ τοσ. μ. L. ‖ 6. τοῖς κυσὶ βρῶμα γενήσεται L. ‖ 7. addit A : ἐν ᾧ γαυριῶνται ἀγαθός τε καὶ κα· ὁ·· νόμισμα δὲ ὃ ἔχετε συγχωρῶ. ‖ 8. τοῖς κατὰ πόλιν καὶ χώραν ἡμετέροις ὅροις (ἐφόροις?) C. ‖ 9. νομὰς... ὅσα B; νομὰς.. ὅσον L; νομὰς.. ὅσας C. ‖ 10. pergit A : τοῖς δὲ σατράπαις οἷς ἐὰν (l. οὓς ἂν) δοκιμάσω, τούτοις καὶ ἀριθμὸν δυνάμεως ἐπιμετρήσω καὶ μέτρον καθοπλισμοῦ· ἀγῶνάς τε ὡς ἔθος ἐστὶν ἄγεσθαι χρήσονται θέλοντος τοῦ σατράπου. ἔθνος δὲ ἐπ' ἔθνη οὐκ ἐπιμιγήσεται, εἰ μὴ ἐμπορίας χάριν, καὶ ταῦτα ἕως κ' ἀνδρῶν, ἢ ὡς πολίμιος Περσικῷ νόμῳ κολασθήσεται· ἔμποροι δὲ πάντες τῇ αὐτῇ ἐργασίᾳ προσχρᾶσθωσαν, ὡς ἐπὶ Δαρείου· τέλη δὲ ἀγρῶν καὶ τῶν φυτικῶν παντων

---

tuo censeas. Erit enim illi ad solatium largiter, nihil sibi de regia conjunctione defuisse. » Et in hisce verbis Darius spiritum transigit.

XXI. Multis igitur lacrimis miserationem regiam Alexander prosecutus, auferri cadaver et ad magnificentiam debitam proque sui dignitate, ritu Persarum sepeliri jubet. Denique corpori regio transvehendo cum bajulos quosque nobilissimos suorum atque indigenas esse jussisset, ut illis officium tale non dedignantibus fieret, primus ipse onus feretri subiit. Quo viso cuncti quoque illud honoris privi maximum testimonium competebant. Infertur igitur sepulcris majorum omnium tum Darius : ac paulo post ædes ipsi templumque construitur : et lex dii religiosaque solemnitas datur more præscripto, uti dies ille annuus Persis celebratissimus fieret, non sacris modo et lætitia hominumque congregatu, verum spectaculis etiam atque certamine, tum ad mulcedinem aurium solitis procurari, tum ad delectationem oculorum. Nam et fortitudine decertantibus et voluptate sua cuique præmia et honores annuos statuit. Postque hæc, quod ex incerto regiæ incitationis multi victoris animum formidarent, eoque vagis terroribus agitarentur, quo cunctorum animos deliniret, edicit in verba, quorum sententia hæc fuit : « Rex Alexander Ammonis et Olympiadis filius Persis dicit. Ea quidem quæ jure belli transacta sunt, nullum profecto sapientium puto procul merito putaturum. Etenim ista sententia est, quam exsequi mortalibus sit necesse. Quare super his quidem habeo gratias favisoribus meis. Enim nunc quoniam vos quoque nostra cura esse cœpistis, scire vos par est, satrapas quidem regionibus constitutos, quibus ex more parebitis haud secus prorsus ac sub Dario mos erat : eoque id consultavi, ne incerta regentium observatio plus penes vos haberet formidinis quam veritatis. Utemini igitur legibus vestris pariter ac moribus. Idem enim vobis conventus, eadem solemnitates et suavia, nec vagum quemquam a regione vel sedibus suis aberrasse quopiam probaturus sum. Quippe quibus patrimonia priva habere permiserim, exceptis auro pariter et argento, quæ communis hic usus magis esse regia confitetur. Reliqua vero omnis moneta, quæcumque est, domino permittetur. Armamentaria sane privata, si in usum publicum satrapæ necessaria viderint, his quoque eos uti oportere mandavi. Agmina pariter peregrinare, inque aliena transire interdixerim, nisi quod tuendi sui gratia usque ad decem vigintive hominum nu-

ἐν τῇ αὐτῶν τάξει· ἔθνος δὲ ἔθνει οὐκ ἐπιβήσεται εἰ μὴ ἐμπορίας χάριν, καὶ ταῦτα δὲ ἕως εἴκοσιν ἀνδρῶν (11). Κἀγὼ τὸ μέρος λήψομαι κατὰ τοὺς νόμους ὡς ἐπὶ Δαρείου. Βούλομαι δὲ τὰς χώρας ὑμῶν ἐν εὐθηνείᾳ (12) καταστῆσαι, τὰς δὲ ὁδοὺς Περσίδος ἐμπορεύεσθαι (13) καὶ πραγματεύεσθαι μετὰ πάσης εὐσταθείας, ὅπως οἱ ἀπὸ τῆς Ἑλλάδος ἐμπορεύωνται πρὸς ὑμᾶς (14)· ἀπὸ γὰρ τοῦ Εὐφράτου καὶ τῆς διαβάσεως τῆς ἐπὶ τὸν Τίγριν ποταμὸν ἕως Βαβυλῶνος (15) ὁδοποιήσω καὶ σημεῖα ποιήσω (16), ὅπου ἡ ὁδὸς φέρει, καὶ τοῦτο ὄῆλον ἔσται ἐν ταῖς ὁδοῖς. Δαρεῖον δὲ ἐγὼ οὐκ ἀνεῖλον. Τίνες δέ εἰσιν ἀγνοῶ· οἷς ὀφείλω σατραπείας ἃς ἂν βούλωνται χαρίσασθαι καὶ χώρας αὐτοῖς μεγίστας ἀποδοῦναι, ὅτι τὸν ἐμὸν ἐχθρὸν ἀνεῖλον. » Καὶ ταῦτα εἰπόντος Ἀλεξάνδρου τὸ Περσικὸν πλῆθος ἐταράχθη, ὡς μέλλοντος Ἀλεξάνδρου τὴν Περσίδα κατασκάπτειν. Γνοὺς δὲ Ἀλέξανδρος τοῦ πλήθους τὴν λύπην, εἶπε πρὸς αὐτούς· « Τί ὑπονοεῖτε, ὦ Πέρσαι, (17) ὅτι τοὺς ἀνελόντας Δαρεῖον ἐγὼ ἐπιζητῶ; εἰ γὰρ ἔζη Δαρεῖος, ἐπεστράτευέ μοι πόλεμον· νῦν δὲ πᾶς πόλεμος πέπαυται· εἰ τοίνυν οὗν Μακεδών ἐστιν ὁ ἀναιρήσας Δαρεῖον, προσερχέσθω θαρρῶν καὶ λαμβανέτω εἰς ἀριστείας ὅ, τι ἂν αἰτήσηται παρ' ἡμῶν· εἰ δὲ καὶ Πέρσης [ἢ] ἄλλος τις τυγχάνει, μὴ παρακρυπτέσθω (18)· ὀμνυμι γὰρ τὴν ἄνω πρόνοιαν καὶ τῆς μητρός μου τῆς Ὀλυμπιάδος τὴν σωτηρίαν, ὡς ἐπισήμους καὶ περιφανεῖς αὐτοὺς (19) ποιήσω. » Καὶ οὕτως εἰπόντος τοῦ Ἀλεξάνδρου τὸ μὲν πλῆθος ἐθάκρυσεν, οἱ δὲ κάκιστοι οἱ ἀνελόντες Δαρεῖον ὅ τε Βῆσσος καὶ ὁ Ἀριοβαρζὰν, ὡς ληψόμενοι μέγα δῶρον παρὰ Ἀλεξάνδρου, αὐτομάτως προσῆλθον αὐτῷ λέγοντες· » Δέσποτα Ἀλέξανδρε, ἡμεῖς ἐσμὲν οἱ Δαρεῖον ἀναιρήσαντες ἐχθρόν σου τυγχάνοντα. »

κατὰ τὸ ἔθος * βούλομαι γὰρ etc. ‖ 11. μεγίστων (l. μέγιστον) add. C. ‖ 12. εὐθυνία B C. ‖ 13. τὰς δὲ ὁδοὺς τ. Π. πραγματεύεσθαι εἰρηνικῶς, ὅπως καὶ οἱ ἀπὸ τῆς Ἑλλάδος εὐκόπως εἰς ὁποίαν ἂν βούλωνται πόλιν τῆς Περσίδος πορεύωνται A. ‖ 14. καὶ ὑμεῖς πρὸς αὐτοὺς add. L. ‖ 15. ἕως Μηδείας Βαβ. C. ‖ 16. κ. σ. π. om. C. Codex A uberioris narrationis centones præbet hunc in modum (intacta omnia reliqui) : Ἀπὸ γὰρ τοῦ Εὐφράτου ποτάμοῦ καὶ τῆς διαβάσεως καὶ τῆς ἀρχῆς τῆς ὁδοῦ δι' ἡμισχοίνου ἑκάστη σατράπῃ ἀπέστειλα ὁδὸν ποιῆσαι δισχοίνου, καὶ ἐνέγραψα ὅπου ἡ ὁδὸς φέρει καὶ τί σημεῖον.ἰδοὺ δὲ αἱ ὁδοὶ κατ' αὐτὸ τύχοιεν ἢ πλείους ὥσπερ εἰσὶν ἁπλατοι ὁδοί. ἐπεὶ οὖν τὰς ἐν ταῖς ὁδοῖς γεγονυίας φροντίδας τὰς ἐπὶ Δαρείου συντάξεις εἰθισμένας εἰς τέσσαρα χαρίζομαι τοῖς θεοῖς, μάλιστα δὴ ὡς ἄθαριν καὶ δί. ἐπειδὴ ἀξίως κατέναντι τῶν Κύρου γενεσίων τὰ ἐμὰ βούλεσθε ἄγεσθαι, συντέταχά μου Ἀχούλῳ τῷ σατράπῃ ἵνα καὶ ταῦτα καὶ τὰ Κύρου γενέσια ἄγητε μετὰ εὐωχίας καὶ ἀγώνων. τότε ἀγωνίμου θεωροὶ ἔστωσαν Πέρσαι, καὶ ἀθλοτεθήσονται Πέρσαι ἐπεὶ χρῄζει. βουλόμενος δὲ τὴν παρθένον τὴν στεφανουμένην, ἐὰν πολίτης ᾖ ἡμετέρα, ἄχρι τέλους λαμβάνειν εἰς τιμὴν ἐναυσιαίαν τοῖς ὄντως στεφάνῳ καὶ μένειν αὐτὴν ἄχρι τέλους ἱεράν· ἐὰν δὲ αὐτὴν ἡ φύσις καταλάβῃ καὶ γυναῖκα ποιήσει, δοθῆναι αὐτῇ τὸ τίμημα εἰς λόγον προικός· τοῦτο γὰρ δίκαιον καῖ τὴν παραλαμβανούσῃ τὴν ἱερωσύνην. Τὸ δὲ γυμνάσιον γενέσθω ἐν ἐπισήμῳ τόπῳ ὡς ἐν Ἕλλῃ τῇ πόλει· τὰς δὲ αἱρέσεις ἐγὼ αὐτὸς ποιήσομαι ἄχρι περίειμι· μετὰ δὲ τὴν ἐμὴν τελευτὴν οἶμαι τὴν χώραν τήνδε δίδοικα δύνασθαι· δοθήσεται δὲ ἅρμα τι πολεμιστηρίῳ φιάλη χρυσᾶ ἔχουση οἶκου στατῆρα καὶ ἄλλαι ἐνάργυραι, ἑκάστη χωροῦσα μέτρον, ἀφ' οὗ ὑνήσεται ἄνθρωπος σῶφρων μεθυσθῆναι· ἵππη πολεμιστῆ φιάλη ἰσόσταθμος καὶ σικῆ καὶ εἰς τὸ Ἀλεξανδρῖνον δεῖπνον διὰ βιοῦ ὡς δ' ἂν λαχὼν νικήσει κατὰ τὸν Περσῶν νόμον στέφανον ἕξει χρυσίου· ἁρτὴρ ἡ στολὴ Περσική· λιτῆ καὶ ζώνη χρυσῆ καὶ φιάλαι δύο, ἀνὰ στατῆρας ρϑ καὶ τὰς ἐπινείας ἐξέστω εἰς τὸ Ἀλεξάνδρινον ἱερὸν ζητεῖσθαι σατράπας πάντας τοὺς ἐμοὺς ὄντας ἐν Περσίδι ἄρχοντας, οὐ τυράννους ὄντας· τόρον οἱ τῶν ἀγώνων ἐπίτροποι ἔστωσαν οἱ ἡμέτεροι Ἀλεξανδρεῖς, οἳ καὶ ἱερεῖς τοῦ Ἀλεξάνδρινοῦ μόχυλλο δὲ ὁ κτίσας τὸ Ἀλεξάνδρινὸν ἱερὸν φέρει στέφανον χρυσοῦν καὶ στολὴν πορφυρᾶν καὶ μάλιστα ταῖς ἐπισήμοις ἡμέραις· ἕτεροι δὲ μὴ εἰσιέτωσαν εἰς τὸ ἱερόν· κατὰ πάντα δὲ τρόπον ἐξοίκιστον εἶτω τὸ Μηδικὸν γένος. βούλομαι δὲ μὴ ἐν ἑαυτοῖς κρίνειν ὅσον τις ἡμῶν ἔχει πρὸς ἕτερον, οὐδὲ ἐρ' οὗ βούλεσθε καὶ μάλιστα παρακεφαλικοῦ· ἐὰν δέ τις φανῇ ἐκτὸς βουλευτηρίου συνάγων ἢ σατράπας ἢ συμάχους, ὡς πολέμιος ἀπολέσθω. ἐπεὶ δὲ πάλιν ταῦτα ἐτέλεσε, συνέγραψεν Ἀλέξανδρος λέγων μέγαν δυνάστην καθεῖλον ἐμὸν ἐχθρόν, ἐμὸν κύριον Δαρεῖον, οὐκ ἐγὼ δὲ αὐτὸν καθεῖλον etc. ‖ 17. τί ὑπ., ὦ Π., ὡς μέλλοντος μοῦ καταλιπεῖν ὑμᾶς ἀδόξους καὶ ἀσήμους, ὅτι ἐπιζ. etc. B C; verba ὡς μελλ... ἀσήμους coni L. omittit, recte; Cod. A : εἰπε

---

merum congreges facient. Cetera multitudo pro rebellatione et hostico punietur. Mercaturarum versuræ sint itidem ut sub Dario, pateantque commercia vel Græcis in Persas, vel Persis etiam ad Græcos. Quippe provisum est, ut per satrapas etiam dimensa spatia viæ publicæ consternantur. Solemnitates vobis et certamina gymnica erunt : sed hisce omnibus præsides dedi ex Alexandria mea viros Ægyptios, quibus aureæ quoque coronæ, gestamen et amictus purpureus est permissus : præterque eos ingressus ceteros sacri templique prohiberi [*placuit.*] Judicia etiam quæ vulgo privatim quisque faciebat, nisi per curiam publicam civitatum celebrari non licebit. Ac si præter hæc aliquis ausus erit, hostis supplicio punietur. » Et hæc quidem Alexander usibus publicis. Quod vero ad comprehendendos eos qui Darium vulneribus incesserant, dicit hæc : « Equidem me gaudeo hostem maximum Darium servitio subjugasse, ejusque mortem licet ipse exsecutus non sim, habeo tamen hisce qui id fecerint gratiam. Quare quod benivolentiæ suæ erga mei studium protestati sunt, ii qui sunt auctores hujusce, hortor ac moneo, uti se prodant mihique indicent, præmia debita recepturi. Neve istud in ambiguum dubiumque quis transferat, juro majestatem patris Ammonis et Olympiadis matris meæ, quique hi fuerint eos me sublimes ac notissimos omnibus effecturum. Neque enim non maximo digni præmio, qui ejus consilia præverterint, qui rursus bellum et nova mihi prœlia meditabatur »

Ad hoc edictum multis quidem fletu res digna videbatur. Sed enim Besus et Ariobarzanes auctores scilicet cædis Darii Alexandro sese obvios ferunt, et professi facinus sponsionem præmii repetunt. Tunc viros protinus comprehendi, et quam editissimo in loco cruci subfigi jubet. Quod cum præter spem omnibus accidisset, patefecit rex dignum se suo nomine existimasse, si quid de regia libertate subtraxerit, dum Dario modo ultio debita procuraretur. Neque

Ἀκούσας δὲ παρ' αὐτῶν ταῦτα Ἀλέξανδρος ἐκέλευσε αὐτοὺς συλληφθῆναι καὶ ἐπὶ (20) τὸν τάφον Δαρείου σταυρωθῆναι. Τῶν δὲ βοώντων καὶ λεγόντων, « Οὐχ ὤμοσας ἡμῖν· Τοὺς ἀναιρήσαντας Δαρεῖον περιφανεῖς καὶ ἐπισήμους ποιήσω· καὶ πῶς νῦν κελεύεις ἡμᾶς σταυρωθῆναι, παραβὰς τοὺς ὅρκους οὓς ἐποιήσω; » λέγει αὐτοῖς Ἀλέξανδρος· « Οὐχ ὑμῶν ἕνεκα ἀπολογοῦμαι, ὦ κάκιστοι, ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν στρατευμάτων. Ἄνδρες Πέρσαι, οὐκ ἄλλως ἦν μοι οὕτω ῥᾳδίως εὑρεῖν καὶ ἐμφανεῖς αὐτοὺς ποιῆσαι πᾶσιν, ἐὰν μὴ πρὸς ὀλίγον ἠπείλησα τὸν Δαρείου θάνατον· τοῦτο γὰρ ἦν εὐκταῖον τὸ τοὺς ἐκείνου ἀναιρήσαντας μεγίστῃ τιμωρίᾳ παραδοθῆναι· οἱ γὰρ τὸν ἴδιον δεσπότην ἀναιρήσαντες πολλῷ μᾶλλον ἑτοίμων καὶ εἰς ἐμὲ φθάσαι (21). Εἰς ὑμᾶς μέν, ὦ κάκιστοι, οὐκ ἐπιώρκησα· ὤμοσα γὰρ περιφανεῖς καὶ ἐπισήμους ὑμᾶς ποιῆσαι πᾶσι, τουτέστιν ἀνασταυρωθῆναι, ἵνα ἅπαντες ὑμᾶς θεωρῶσι. » Καὶ οὕτως εἰπόντος τοῦ Ἀλεξάνδου, ἐπεφήμησαν αὐτὸν πάντες, καὶ οἱ μὲν κάκιστοι φονεῖς ἀνασταυροῦνται ἐπὶ τὸν τάφον Δαρείου.

ΚΕΦ. ΚΒ'.

Ἀποκαταστήσας δὲ Ἀλέξανδρος ἐν εἰρήνῃ τὴν πόλιν εἶπεν αὐτοῖς· « Τίνα βούλεσθε σατράπην εἶναι τῆς πόλεως ὑμῶν; » Οἱ δὲ εἶπον· « Ἀδουλίτην (1) τὸν τοῦ Δαρείου πατράδελφον. » Καὶ συνεχώρησεν Ἀλέξανδρος τοῦτο γενέσθαι. Γράφει (2) δὲ πρὸς τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ θυγατέρα Δαρείου οὕτως· « Βασιλεὺς Ἀλέξανδρος Στατείρᾳ (3) καὶ Ῥοδογούνῃ (4) καὶ Ῥωξάνῃ τῇ ἐμῇ γυναικὶ χαίρειν. Ἀντιταξάμενον ἡμῖν Δαρεῖον οὐκ ἠμυνάμεθα· τοὐναντίον· (5) ηὐχόμην γὰρ ἐγὼ ζῶντα ὑπὸ τὰ ἐμὰ σκῆπτρα κατέχειν· ἐλάχιστον δὲ ἔχοντα πνεῦμα τοῦτον κατέλαβον (6), ὃν ἐλεήσας τῇ ἐμῇ χλαμύδι περιέστειλα· ἐπυνθανόμην (7) δὲ παρ' αὐτοῦ τι ἀκοῦσαι περὶ τῆς ἀπωλείας αὐτοῦ, ἀλλ' οὐδέν μοι εἶπε πλὴν, « Παρακαταθήκην ἔχε Ῥωξάνην τὴν ἐμὴν θυγατέρα, καὶ συμβιώσει σοι; » περὶ δὲ τῶν εἰς αὐτὸν γενομένων οὐκ ἔφθασέ μοι ὁμιλῆσαι. Τοὺς μὲν οὖν αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἠμυνάμην ἀξιοπρεπῶς· οἶμαι δὲ ἀκηκοέναι καὶ ὑμᾶς τὴν ἀγγελίαν αὐτῶν. Προσέταξα δὲ καὶ μνημεῖον (8) αὐτῷ γενέσθαι παρὰ τοὺς πατρῴους αὐτοῦ ἥρωας (9). Καὶ ὑμεῖς δὴ τῆς λύπης αὐτοῦ παύσασθε· ἐγὼ γὰρ ὑμᾶς ἀποκαταστήσω εἰς τὰ ἴδια βασίλεια· ἐπὶ δὲ τοῦ παρόντος διατρίψατε ἐφ' ᾧ τόπῳ ἐστέ, μέχρις ἂν καὶ τὰ ἐνθάδε καταστήσω πράγματα (10). Κατὰ γοῦν τὰς διατάξεις Δαρείου Ῥωξάνην τὴν ἐμὴν γυναῖκα καὶ σύνθρονόν (11) μου εἶναι βούλομαι· ἐὰν καὶ ὑμεῖς μοι συμπνεύσητε, προσκυνεῖσθαι αὐτὴν ὡς Ἀλεξάνδρου γυναῖκα βούλομαι καὶ κελεύω. Ἔρρωσθε.

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου ἀντέγραψαν ταῦτα· « Ῥοδογούνη καὶ Στατείρα (12) Ἀλεξάνδρῳ βασιλεῖ χαίρειν. Ηὐξάμεθα ἂν οὐρανίοις θεοῖς (13) τοῖς κλίνασι τὸ Δαρείου ὄνομα (14) καὶ τὸ τῶν Περσῶν καύχημα αἰωνιόν σε καταστῆσαι τῆς οἰκουμένης βασιλέα λογισμῷ (15) καὶ φρονήσει καὶ δυνάμει ὑπερί-

τοὺς ἀνελόντας ἐχθρόν μου μέλλετε τιμᾶν; εἴ τις οὖν Μακεδὼν κτλ. ‖ 18. παραδήτω C. ‖ 19. πᾶσιν ἀνθρώποις add. C. ‖ 20. παρὰ A. ‖ 21. vix sanum; οἱ γὰρ ἑαυτῶν δ. ἀνελόντες πῶς ἐμὲ φείσονται; L.

Cap. XXII. 1. sic C. Ἀδουλήτην A, Αἴτην B L. ‖ 2. Μετὰ δὲ ταῦτα γράφει C; Ἦν δὲ καταλιπὼν τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα αὐτοῦ ἐν τῇ (τινι?) πόλει ἀπεχούσῃ (ἀπεχούσαν cod.) διάστημα ἡμερῶν δύο. Γράφει οὖν πρὸς αὐτὰς οὕτως L. ‖ 3. Στατίρα B C. Στατῆρι A. ‖ 4. Ῥωδῷ B C; Δωρωγυνῇ A, qui Roxanen non memorat. ‖ 5. ἀλλὰ μᾶλλον τοὐναντίον εὐχομ. C; Cod. A ita: ἀντιταξάμενον ἡμῖν Δαρεῖον ἠμυνάμεθα ὡς τὸ θεῖον ἐβουλεύσατο· ὃν ἐγὼ ἤθελον ζῶντα ὑπὸ τὰ ἐμὰ σκῆπτρα εἶναι· καὶ γὰρ πεπτωκότα αὐτὸν τραυματιαῖον ὑπὸ τῶν ἰδίων εὗρον ἐλάχιστον πνεῦμα ἐμπνέοντα· ὃν καὶ ἐλεήσας τῇ ἑαυτοῦ χλαμύδι συστείλας ἐπυνθανόμην τῆς ἀπωλείας αὐτοῦ· ὁ δέ μοι παραθήκην Ῥωξάνην τὴν θυγατέρα καὶ εἰς συμβίωσιν ἔδωκεν, περὶ δὲ τῶν ἄλλων οὐκ ἔφθη μοι ὁμιλῆσαι. ‖ 6. ἐλαχίστως δὲ ἔχοντος (ἐλαχίστου δὲ ἔχοντα. C) ἐπὶ τοῦ πνεύματι αὐτοῦ, τοῦτον κατέλαβον ἐν ἐσχάτῃ ἀναπνοῇ B C; ἔσχατον δὲ τοῦτον κατέλαβον ἔχοντα, ὃν κτλ. L. ‖ 7. ἐπόθουν C. ἐπειθόμην δὲ π. α. μαθεῖν τίς ἐστὶν ὁ πλήξας, ἀλλ' ὅμως οὐδέν μοι εἶπε πλὴν τοῦτο· παρατίθημί σοι τὴν ἐμὲ πεκοῦσαν καὶ τὴν ἐμὴν σύμβιον, ἐξαιρέτως δὲ Ῥωξάνην τὴν ἐμὴν θυγατέρα καὶ σύμβιόν σου. Περὶ δὲ τῶν συμβάντων αὐτῷ οὐκ ἔφθασέν μοι ὁμιλῆσαι L. ‖ 8. ἥρῳον A; cod. L post v. ἀξιοπρεπῶς pergit: Προσέταξεν δὲ ἡμῖν τοῦτον κηδεῦσαι παρὰ τοὺς τῶν πατέρων αὐτοῦ τάφους· ὃ καὶ γέγονεν. οἶμαι δὲ καὶ ὑμᾶς ταῦτα πάντα ἀκηκοέναι. Παύσασθε οὖν τῆς λύπης αὐτοῦ. ‖ 9. addit A: ἐπεμψα δὲ τὸ σῶμα αὐτοῦ ἀνιερωθῆναι. ‖ 10. addit A: ἐμάνησαν (sic) γάρ τινες ἔτι ἀπειθοῦντες. ‖ 11. σύμβιον B. ‖ 12. Ῥοδὼ καὶ Στατήρα (Στατίρα B) C B L. ‖ 13. οὐρ. θ. add. ex A; εὐχόμεθα τοῖς κλινοῦσι B. ‖ 14. διάδημα A. ‖ 15. ὡς λ. κ. φ. κ. δ.

---

tamen hisce ipsis de perjurio se reum fore, cum sublimes eos notissimosque omnibus fore edicto promiserit, quos quidem facile sit visere in illo suggestu crucibus adfixos. Tunc omnibus et oratio placuit et regis benignitas conprobata est.

XXII. Sed hisce gestis, et ex voto Persarum illic satrapa constituto, qui patruus Dario fuisset, ejusmodi litteras Alexander ad Rogodunen matrem Darii facit: « Ea quidem cuncta quæ mihi adversum Darium fuere, perinde ut diis libuit, sunt transacta. Enimvero ego votis petivi, ut ejus incolumitatem nactus socio ipso uterer atque amico. Sed is quoniam suorum insidiis Besi vel Ariobarzanis sit interfectus, nihil a me reliqui fuit quod ad prosequendum ejus funus ultionemque dignum foret. Verum quoniam supremo Darius alloquio filiam suam Roxanen mihi in conjugio esse mandavit, voto ejus et precibus accessi. Itaque e re est de litteris jam præsciri. »

Ad hæc Rogodune mater Alexandro sic respondit: « Nobis quoque id voti maxime fuit, ut quoniam diis inclinare Darii nomen ab illa potentia libuisset, in te nobis et illius dignitas et spes omnis incolumis servaretur, quem virtutum scilicet et sapientiæ merito dignum fortuna sua nullus addubitet. Id ergo ut cunctis, ita nobis præcipue voluptati est, quas et in illo versu fortunæ nihilum triste experiri contenderis, et habitas pro veteri ac tui nominis dignitate

χοντα. Οἴδαμεν δὲ ὑπὸ τὰς σὰς ἀγκάλας οὖσαι ὅτι καλῶς ζῶμεν, καὶ ἐπευχόμεθά σοι κάλλιστα παρασχεῖν τοὺς θεοὺς (16) τὸ καλλίστως (17) τῆς οἰκουμένης ὅλης δεσπόζειν ἐν ἀναριθμήτοις χρόνοις, ὅτι οὐχ ὡς αἰχμαλώτοις προσέσχες (18) πεπτωκυίαις ὑπὸ τὰς σὰς ἀγκάλας (19). Ἐλέγχῃ (20) δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὅτι ἐξ ὑπεροχῆς γεγενημένος ὑπάρχεις (21). Ἡμεῖς μὲν νῦν οὐκέτι αἰχμάλωτοί ἐσμεν ἐν οἷς (22) τεταπεινωμέναι ὑπάρχομεν· νῦν οἴδαμεν Ἀλέξανδρον βασιλέα νέον Δαρεῖον γεγονέναι ἡμῖν· Ἀλεξάνδρῳ προσκυνοῦμεν τῷ μὴ καταισχύναντι ἡμᾶς. Ἐγράψαμεν δὲ τῷ τῶν Περσῶν παντὶ ἔθνει· Ἰδοὺ (23) νέον νῦν Δαρεῖον οἴδαμεν Ἀλέξανδρον μέγιστον βασιλέα· ἡ τύχη Ἀλεξάνδρῳ βασιλεῖ πάσης τῆς οἰκουμένης Ῥωξάνην πρὸς γάμον ἄγει· πάντες οὖν προσαγάγετε (24) Ἀλεξάνδρῳ εὐχαριστίας ἀξίας, ὅτι τῶν Περσῶν τὸ καύχημα μειζόνως (25) νῦν ὑψώθη· ἀγαλλώμεθα (26) νῦν μέγιστον βασιλέα Ἀλέξανδρον ἀναγορεύοντες. Ἔρρωσο.

Ὁ δὲ Ἀλέξανδρος δεξάμενος τὰ γράμματα αὐτῶν ἀντιγράφει αὐταῖς οὕτως· « Ἐπαινῶ ὑμῶν τὸ φρόνημα πειράσομαι οὖν ἄξια τοῦ γένους ὑμῶν φροντίσαι· κἀγὼ γὰρ φθαρτὸς ἄνθρωπος γεγένημαι (27). Ἔρρωσθε. » (28) Ἐν ὑστέρῳ (29) δὲ Ἀλέξανδρος ἔγραψε καὶ Ῥωξάνῃ ἐπιστολὴν περιέχουσαν οὕτως· « Ἀλέξανδρος βασιλεὺς Ῥωξάνῃ τῇ ἐμῇ συνεύνῳ (30) χαίρειν. Γράφων (31) Ὀλυμπιάδι τῇ ἐμῇ μητρὶ περὶ ἄλλων τινῶν ἀνηκόντων ἡμῖν πραγμάτων προσενετειλάμην ἐν τῇ γραφῇ τὸν γυναικεῖον κόσμον καὶ τὸν ἱματισμὸν Ῥοδογούνης (32) τῆς μητρὸς Δαρείου καὶ τῆς τούτου γυναικὸς Στατείρας πεμφθῆναι ἡμῖν, [καὶ τὸ τίμημα (33) πεμφθῆναι αὐτῇ παρ' ἐμοῦ]. Πειρῶ δὲ καὶ σεαυτὴν ἀντάξια φρονεῖν Ἀλεξάνδρου, καὶ τὸν φόβον ἔχειν καὶ τὴν πρὸς Ὀλυμπιάδα τιμήν· ταῦτα γὰρ πράττουσα καὶ σεαυτῇ καὶ ἡμῖν τιμὴν μεγάλην καὶ εὐσχημοσύνην περιποιήσεις. Ἔρρωσό μοι φιλτάτη (34).

Ἔγραψε (35) δὲ καὶ τῇ ἰδίᾳ μητρὶ Ὀλυμπιάδι τοῦ ἀποστεῖλαι τὸν γυναικεῖον κόσμον αὐτῆς καὶ τὸν ἱματισμόν. Δεξαμένη οὖν τὰ γράμματα ἡ Ὀλυμπιὰς εὐθέως

σόρροπος πέφυκας τοῖς Ὀλυμπίοις θεοῖς A. ‖ 16. ἐπευχ. σοι κάλλιστα παρὰ σεαυτὸν εἶναι C. τῇ τύχῃ ἐπευχόμεθα τὰ κάλλιστά σοι παρασχεῖν καὶ ζῆν ἀναρ. χρόνοις A.; ἐπευχόμεθα οὖν τῇ ἄνω προνοίᾳ καὶ ἔτη κάλλιστα παρασχεῖν σοι τοῦ δεσπόζειν χρ. ἀν. L. ‖ 17. καὶ τῶν καλλίστων C. ‖ 18. προσέρχῃ (προσῆλθες A) πεπτωκυίας ἡμᾶς C; om. hæc L. ‖ 19. εἰς τὰ σὰ σκῆπτρα A. ‖ 20. sic C; ἐλέγχει δὲ αὐτῶν τ. π. ἡ ἔνδειξις ὅπερ ἐξ ὑ. γ. ὑ. B; ἐλέγχει δέ σοι τὰ ἔργα, ὅτι ἐξ ὑπερεχούσης φυλῆς (l. ὕλης) γεγενημένος ὑπάρχεις L. ‖ 21. A post v. σκῆπτρα pergit : ἀλλ' ἔχεις (l. προσέχεις) ταῖς ἐν ὑπεροχῇ γεγενημέναις μετέπειτα δὲ ταπεινωμέναις· νῦν δὲ οὐκ ἐσμὲν αἰχμ. ‖ 22. αἱ νῦν ταπ., ἀλλὰ νῦν οἴδαμεν C. ‖ 23. ἴδιον, B; ἴδιον, omi so νέον, C; cod. L : ἐγρ. δὲ πανταχοῦ τὸ τῶν Π. πλῆθος· ἰδοὺ νῦν Δαρεῖος τελευτήσας εὗρεν Ἀλεξ. μ. βασιλέα· ἡ γὰρ τύχη Ῥωξάνην ἄγει πρὸς γάμον Ἀλεξάνδρου βασιλέως τ. οἰκ. Cod. A : ἔγρ. δὲ τῷ Π. ἔθνει ὅπως ἐρωτήσωσι τοὺς ἐν Περσίδι θεοὺς σὲ συνθρονισθῆναι τῷ Διὶ καὶ προσκυνεῖσθαι. Ῥωξάνην δὲ, ἣν ἐκρινας σύνθρονον εἶναί σοι, ὡς ἐκέλευσας, προσκυνοῦμεν, ὅταν Ζεὺς αὐτὴν εἰς τοὺς γάμους ἄξει etc. ‖ 24. προσάγετε C. ‖ 25. μειζ. om. B. ‖ 26. ἀγαλλόμεθα B C; ἀγγάλεσθε οὖν σὺν ἡμῖν μ. β'. A. ἀγορεύσαντες. Καὶ ταῦτα μὲν πρὸς Πέρσας ἐδηλώσαμεν. ἔρρωσο. L. ‖ 27. Cod. A ita : Ὁ δὲ Ἀλέξ. μεταλαβὼν εἶπεν· Παραιτοῦμαι τῶν σῶν θεῶν τιμάς· ἐγὼ γὰρ ἄνθρωπος φθαρτὸς γεγένημαι, καὶ εὐλαβοῦμαι τὸ τοιοῦτον· κίνδυνον γὰρ φέρει τὸν περὶ ψυχῆς. Ἐπαινῶ δὲ καὶ ἔγνων ὑμῶν τὸ φρόνημα. Τί ὁράσομαι οὖν ἄξιον ὑμῶν τοῦ εὐγενοῦς; Ἔρρωσθε. ‖ 28. pergit A : Ἔγραψα δὲ καὶ τῇ μητέρι Ὀλυμπιάδι, καὶ ἐδείξωσα τοὺς γάμους. ἔπεμψεν ἐν Μακεδονίᾳ ὑστερόν δε. Ἐπιστολὴ Ἀλεξάνδρου Ῥωξάνῃ ‖ 29. ἐν ἑτέρῳ ἔγραψε B. ‖ 30. γυναικὶ C τῇ ἀδελφῇ A. ‖ 31. γράφων... τινῶν, et mox ἐν τῇ γραφῇ... πεμφθῆναι αὐτῇ παρ' ἐμοῦ om. B. ‖ 32. sic A; ἱματ. τῆς μητρὸς Δ. καὶ τῆς μητρός σου Ῥόδου πεμφθῆναι C. ‖ 33. κ. τ. τιμ... παρ' ἐμοῦ om. A, qui eorum loco hæc habet : ἀποπέπομφα κομίζοντα Κάρανον. μήτε Ὀλυμπιάδι αὐτῇ δοὺς εἰς διακόσμησιν μήτε τὸν Στατήρας. Φοβούμεναι δὲ προσκυνεῖτε τὴν παντέφοπτον Νέμεσιν καὶ Δίκην, καὶ τὸν ἰσχυρὸν καὶ μακρὸν ἀπὸ ἑαυτῶν φθόνον ἀποβάλλεσθε, ὅταν ἐνταῦθα· τοῦτο γὰρ καὶ πρὸς θεοὺς καὶ ἀνθρώπους δίκαιόν ἐστιν, τὸ μὴ ἐπιβαίνειν τύχῃ. Πειρῶ δὲ etc. ‖ 34. cod. A : ἔρρωσο. » Θύσας δὲ τοῖς ἐγχωρίοις θεοῖς καὶ ἀναλαβὼν τὴν δύναμιν, μαθὼν Πῶρον συμμαχήσοντα Δαρείῳ τὴν ὁδοιπορίαν ἐποιεῖτο πρὸς Ἰνδούς. — Ἀλεξάνδρου πραξέων μέρος β'. Deinde in cod. A sequitur expeditio Indica, quæ in cod. C narratur inde a folio 152, dum nostrum caput legitur fol. 93. ‖ 35. Ταῦτα οὖν τὰ γράμματα ἔγραψε Ῥωξάνη τῇ γυναικὶ αὐτοῦ· ὅπως (l. ὁμοίως) ἔστειλεν ἐπιστολὴν τῇ ἰδίᾳ μη-

---

nunc etiam regno participes. Igitur nobis quoniam, Alexander, quod Darius es; in te nobis deos et deorum beneficia numeramus : hancque gratiam ut tibi confessæ, ita Persarum quoque proceribus palam fecimus; ipsorum etiam votis deorum immortalium numeris et consortio congregere, Quare tecum una, quod jubes, Roxanen quoque deinceps venerabimur. »

Et hæc quidem mulieres ad regem. Eædem autem satrapis et optimatibus talia : « Agamus largiter diis immortalibus gratias, quod Dario desinente Darii nobis beneficia non desunt. Nam et Roxanen Alexander suam fecit, eamque conjugii honore dignatur : qua cuncti de gratia, una cum id in commune proficiat, confiteamur : cum eos, in quos dominus factus est, mutari gaudium suum maluerit, quam exercere. »

Sed ad ejuscemodi legationes Alexander gravabatur. Neque enim se parilibus cum diis honoribus exæquabat : quin immo meminisse semper mortales suimet oportere admonebat. Nihilominus, ut quisque in hæc officia venisset, laudatos atque donatos honoratius dimittebat. Itaque quod de Roxanes nuptiis consuluisset, cum matre participat Olympiade, jubetque id quod ex priori præda mundi regii fuerat Rogodunes atque Roxanes, id referri ad eas protinus. Enim ut affluerent regalibus copiis, ita monet verecundiæ quoque disciplinæque Græcæ meminissent, colentes scilicet Olympiadem ita ut se rege et marito dignum foret : id enim uxore faciente, nihil fore quod magis esset Alexandro placiturum. Atque his ita institutis et factis, ordinatoque omni regno Persarum, in Porum ducit exercitum.

ἡτοίμασε τὴν βασιλικὴν αὐτῆς (36) ἐσθῆτα, καὶ πάντα κόσμον τίμιον ὑπερήφανον (37) ὑπὲρ πᾶσαν βασιλικὴν θεωρίαν διεπέμψατο Ἀλεξάνδρῳ ἀπὸ Μακεδονίας. Τοὺς δὲ γάμους ἐν ἑτοίμῳ πεποιηκότες, τελείας (38) καὶ πολλῆς ἀγαλλιάσεως γενομένης περὶ τὰ βασίλεια, Ἀλεξάνδρῳ καὶ Ῥωξάνῃ ἐτέλεσαν (39).

ΚΕΦ. ΚΓ'.

Μετὰ δὲ ταῦτα γράφει Ἀλέξανδρος Ὀλυμπιάδι τῇ αὐτοῦ μητρὶ οὕτως· « Βασιλεὺς (1) Ἀλέξανδρος Ὀλυμπιάδι τῇ γλυκυτάτῃ μου μητρὶ καὶ Ἀριστοτέλει τῷ τιμιωτάτῳ μου καθηγητῇ χαίρειν. Ἀναγκαῖον ἡγησάμην γράψαι ὑμῖν περὶ τῆς συστάσεώς μου τῆς γενομένης πρὸς Δαρεῖον. Ἀκούσας αὐτὸν μετὰ πολλῶν ὄντα βασιλέων καὶ σατραπῶν περὶ τὸν Ἰσσιακὸν (2) κόλπον, συλλαβὼν αἶγας πλείστας καὶ συνδήσας λαμπάδας (3) εἰς τὰ κέρατα αὐτῶν ἐξῆπτε (4) νυκτός· οἱ δὲ ἰδόντες ἡμᾶς εἰς φυγὴν ἐτράπησαν, δόξαντες (5) πολὺ εἶναι τὸ στρατόπεδον.

Καὶ οὕτω τὴν κατ' αὐτῶν νίκην ἐτροπώσαμεν (6), ἐφ' ᾗ τὴν πόλιν ἔκτισα Αἰγὰς (7) προσονομάσας, καὶ ἐν τῷ Ἰσσιακῷ κόλπῳ ἔκτισα πόλιν Ἀλεξάνδρειαν τὴν κατὰ Ἰσσόν. Κἀκεῖθεν πάλιν ὡδεύσαμεν (8) μέχρι τῆς ὁδοῦ τῆς τῶν Ἀρμενίων χώρας, οὗ ἐστι καὶ (9) τοῦ Εὐφράτου καὶ Τίγριδος ποταμοῦ ἡ πηγή. Περικατάληπτος δὲ γενόμενος Δαρεῖος ἀναιρεῖται ὑπὸ Βήσσου (10) καὶ Ἀριοβαρζὰν τῶν Μηδίας σατραπῶν. Ἐγὼ δὲ λίαν ἐλυπήθην περὶ τούτου· νικήσας γὰρ αὐτὸν (11) οὐκ ἠβουλόμην φονεῦσαι, ἀλλ' ἔχειν αὐτὸν ὑπὸ τὰ ἐμὰ σκῆπτρα. Ἔμπνουν δὲ τοῦτον καταλαβὼν (12) περιελόμενος τῇ ἐμαυτοῦ χλαμύδι (13) ἐσκέπασα· εἶτα περιβλεψάμενος (14) τὰ τῆς ἀδήλου τύχης ἐπὶ τὸ προκείμενον ὑπόδειγμα, ἐκήδευσα (15) Δαρεῖον, καὶ τιμὴν μεγίστην (16) ποιήσας ἐν (17) ἐξόδῳ τοῦ βίου ἐκέλευσα ἀποτμηθῆναι ῥῖνας καὶ ὦτα τῶν φυλασσόντων αὐτοῦ τὸ μνῆμα κατὰ τὴν συνήθειαν (18) τῶν Περσῶν. Καὶ ἐκέλευσα τάγματα (19) ὑποτάξας (20) τὴν Βήσσου καὶ Ἀριοβαρζάνου καὶ Μαλακοῦ βασιλείαν, καὶ Μηδίαν καὶ Ἀρμενίαν καὶ Ἰβηρίαν (21) καὶ πᾶσαν τὴν Περσικὴν χώραν, ἧς ἐβασίλευσε Δαρεῖος ὁ Πέρσης.

[Μετὰ δὲ ταῦτα (22) διὰ συνθήκης Δαρείου ἔλαβον Ῥωξάνην τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα καὶ ἐποίησα αὐτῆς τὸν γάμον μετὰ τοῦ πλήθους Περσῶν καὶ Μακεδόνων. » Μεταξὺ δὲ τούτων προστάσσει Ἀλέξανδρος Σελεύκῳ τῷ ἄρχοντι ἅπαν τὸ Περσικὸν ἐπισυνάξαι στράτευμα. Μετὰ (23) δὲ πολλοῦ τοῦ τάχους τοῦ λαοῦ ἐπισυναχθέντος, εὑρέθησαν τριάκοντα μυριάδες πεζῶν· τὸ δὲ λοιπὸν (24) πλῆθος ἐν τοῖς πολέμοις διεφθάρη. Τούτους δὲ Ἀλέξανδρος σὺν τῷ Μακεδονικῷ στρατῷ ἑνώσας τὴν κατ' Αἴγυπτον ἐποιεῖτο πορείαν.]

[ΚΕΦ. ΚΔ'.]

[Καταλαμβάνει δὲ Ἀλέξανδρος τὴν Ἰουδαίων γῆν οἵτινες ἀντιστῆναι βουληθέντες ἐκπέμπουσι κατασκόπους, ὡς δῆθεν πρέσβεις εἶναι τούτους. Ταῦτα δὲ ὅμως οὐκ ἔλαθεν Ἀλέξανδρον (1)· καὶ προστάσσει τινὰς τῆς Μακεδονικῆς φάλαγγος νεανίσκους λίαν μαχιμωτάτους (2) ἐν τῇ παρακειμένῃ φάραγγι ἑαυτοὺς ἀκοντίσαι. Οἱ δὲ τὸ προσταχθὲν αὐτοῖς σπουδαίως ἐπλήρωσαν· ὀξὺ γὰρ τὸ Μακεδονικὸν στῖφος εἰς τὸ κελευόμενον ὑπὸ Ἀλεξάνδρου. Καὶ στραφεὶς πρὸς τοὺς κατασκοπῆσαι (3) βουλομένους εἶπεν· « Ὁρᾶτε, τοῦ Ἰουδαϊκοῦ ἔθνους πρέσβεις, πῶς ἀντ' οὐδενὸς τῷ στρατῷ Μακεδόνων ὁ θάνατος. Ἄπιτε οὖν καὶ τὸ συμφέρον ὑμῖν πραγματεύεσθε· ἐγὼ δὲ τὴν αὔριον ἐπελεύσομαι πρὸς ὑμᾶς, καὶ ὡς τῇ προνοίᾳ δεκτὸν πράξω. » Οἱ δὲ ἀπελθόντες τοῖς ἄρχουσιν αὐτῶν εἶπον· « Ὑπείκειν Ἀλεξάνδρῳ καὶ σώζεσθαι χρεών· οὐ γάρ ἐστιν ἡμῖν ἐλπὶς σωτηρίας· ἔξω γὰρ φύσεως ἀνθρώπων ὁ Μακεδόνων στρατός· ὡς γὰρ ἐν ἡμῖν φοβερὸς καθέστηκεν ὁ θάνατος, τοῖς Μακεδόσιν οὐχ οὕτως, ἀλλὰ

τρὶ Ὀλυμπιάδι. Δεξαμένη οὖν καὶ ἡ Ὀλυμπιὰς τὰ γράμματα κτλ. C. ‖ 36. τιμίαν add. C. ‖ 37. ὑπ. om. C. ‖ 38. τελείως C. ‖ 39. addit C : ἐλθούσης καὶ αὐτῆς μετὰ τῆς μητρὸς καὶ μετὰ τῶν συγγενίδων αὐτῆς. Ὡς δὲ τοῦτο ἐν Περσίδι πᾶσι δῆλον ἐγένετο, εἰς ὁμόνοιαν ἔρχονται Πέρσαι τοῖς Μακεδόσιν, ὡς ἀδελφικῶς ἀλλήλοις διακεῖσθαι.

Cap. XXII. 1. C : Ἀλέξανδρος Ὀλ. τῇ γλ μητρὶ χαίρειν. Ἀναγκαῖον. etc., missa mentione Aristotelis. Ceterum literam hanc e cod. B. exscriptam jam dedit Berger. de Xivrey in *Traditions tératolog.* p. 350 sqq. ‖ 2. νησιακῶν κόλπων B. Ἰσιακὸν κ. C. ‖ 3. δᾷδας C. ‖ 4. ἐξῆλθον B, ἐξῆψαν C. ‖ 5. εἰκάσαντες C. ‖ 6. ἐτροπωσάμην B. ‖ 7. Αἴγας B. ‖ 8. κἀκεῖθεν ὁδεύσαντες B. ‖ 9. καὶ om. C. ‖ 10. B ubique Βύσσου ‖ 11. αὐτὸν ὑπὸ τὰ ἐ. σκῆπτρα, missis intermediis, C. ‖ 12. κατέλαβον B. ‖ 13. τὴν ἑαυτοῦ χλαμύδα B. ‖ 14. ἀποβλέψ. C. ‖ 15. κηδεύσας B. ‖ 16. μεγ. om. B. ‖ 17. τῆς ἐξόδου B. ‖ 18. μν. τῇ συνηθείᾳ C ‖ 19. δόγματα B. προστάγματα C. ‖ 20. ὑποτάξας τὴν Περσικὴν βασιλείαν καὶ Ἰβηρίαν καὶ πᾶσαν χώραν ἧς ἐ. Δ. ὁ Π. C. ‖ 21. Βέρροιαν B. ‖ 22. Μετὰ δὲ ταῦτα (τούτων cod.)] Postrema hæc epistolæ pars et quæ sequuntur capita uncis inclusa in uno leguntur codice C. Codex B. post verba Δαρεῖος ὁ Πέρσης pergit : Ἐκεῖθεν οὖν παραλαβὼν τοὺς πλείονας ὁδηγοὺς ἠθέλησα εἰσελθεῖν εἰς τὰ ὀπίσω μέρη τῆς ἐρήμου κατὰ τὴν ἄμαξαν τοῦ πόλου. Deinde Al. paucis recenset quas ibi viderit gentes monstrosas aliaque miraculosa. Quæ eadem iisdem verbis leguntur in cod. C, inde a cap. XXXII, nisi quod ibi pro prima persona ponitur tertia. Unde colligitur totam hanc epistolam aliunde assumtam præpostere h. l. esse intrusam, aut duas epistolas in unam esse conflatas, omissa quæ inter utramque intercedebat narratione rerum gestarum. Ceterum postrema hæc epistolæ pars sicuti antecedentia post superiores literas ad Olympiadem datas absurda sunt. Huc accedit quod vel ea quæ de Ægis conditis memorantur, aliam plane atque quam nos in antecedentibus legimus narrationem subesse arguunt. Quod denique attinet quæ in cod. C sequuntur de expeditione contra Judæos et Ægyptios, ea ex diversa plane narratione petita et ab auctore pro more suo et ingenii crassitudine h. l. inculcata esse demonstratione non eget. Post hæc in cod. C sequitur narratio de miraculis eodem plane ordine, sed fusior et multo auctior, quam epistola cod. B exhibet. De his accuratiora suis locis monebimus. ‖ 23. κατὰ cod. ‖ 24. λιπὸν cod.

Cap. XXIV. 1. Ἀλεξάνδρῳ cod ‖ 2. λίαν μαχητικοτάτους cod ; possis etiam μαχητικωτάτους, vel. λ. μαχητικούς ‖ 3. κατα-

κτὶ λίαν εὐκαταφρόνητος. Ὑπολαμβάνομεν δὲ τούτους ἐριστικῶς ἔχειν πρὸς τὸ θανεῖν, ὡς ἄν τις εἴποι πρὸς ἀναγκαῖόν τι χρῆμα ἀπέρχεσθαι. Ἐξίστησαν γὰρ ἡμᾶς ἐν τῇ φάραγγι τῇ μεγάλῃ ὡς ὑποβρύχιον ἑαυτοὺς ποιήσαντες Μακεδόνων παῖδες· ἅμα γὰρ Ἀλέξανδρος ἐκέλευσε καὶ (4) εὐθὺς τὸ ἔργον ἐτελέσθη. Καὶ οὐ τοσοῦτον ἡμᾶς ἡ τοῦ θανάτου ἐθρόησε τόλμη, ὅσον τὸ (5) μὴ κερδᾶναί τί προσδοκᾶν αὐτούς (6)· οὕτως εὐχερῶς πρὸς τὸ θανεῖν αὐτομόλησαν· ἂν δὲ καὶ κέρδος ἐλπίσωσιν, οὐκ (7) ἄν τις ἀντιστῆναι αὐτοῖς. Λοιπὸν ἡμεῖς μὲν ἅπερ ἐθεασάμεθα εἴπομεν ὑμῖν· γενέσθω δὲ τὸ δοκοῦν ὑμῖν πρὸ τοῦ Ἀλέξανδρον ἡμᾶς καταλαβεῖν, ἢ (8) πᾶσα ἀκυρωθήσεται βουλὴ ἄστατος. » Ὡς οὖν ταῦτα ἤκουσαν, Ἀλεξάνδρῳ ὑπείκειν βουλεύονται. Ταῖς ἱερατικαῖς οὖν στολαῖς οἱ τούτων ἱερεῖς ἐνδυσάμενοι καθυπαντῶσιν Ἀλεξάνδρῳ σὺν τῷ παντὶ πλήθει αὐτῶν. Τούτους δὲ Ἀλέξανδρος ἰδὼν ἐδείδιει τοῦ σχήματος· καὶ τούτους μηκέτι προσεγγίσαι αὐτῷ ἐκέλευσεν, ἀλλ' ἐν τῇ πόλει ἀναστρέφεσθαι. Προσκαλεσάμενος δὲ ἕνα τῶν ἱερέων λέγει αὐτῷ· « Ὡς θεοειδὲς ὑμῶν τὸ σχῆμα· φράσον δή μοι καὶ τίνα ὑμεῖς σέβεσθε θεόν· οὐ γὰρ ἐν τοῖς παρ' ἡμῖν θεοῖς τοιαύτην εὐταξίαν εἶδον ἱερέων ». Ὁ δὲ φησί· « Θεῷ (9) ἡμεῖς ἑνὶ δουλεύομεν, ὃς ἐποίησεν οὐρανὸν καὶ γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· οὐδεὶς δὲ αὐτὸν ἑρμηνεῦσαι ἀνθρώπων δεδύνηται. » Ἐπὶ τούτοις Ἀλέξανδρος ἔφη· « Ὡς ἀληθινοῦ θεοῦ θεραπευταὶ ἄπιτε ἐν εἰρήνῃ, ἄπιτε· ὁ γὰρ θεὸς ὑμῶν ἔσται μου θεός· καὶ εἰρήνη μου μεθ' ὑμῶν, καὶ οὐ μὴ διεξέλθω ὑμᾶς, καθὼς ἐν τοῖς λοιποῖς ἔθνεσιν, ὅτι θεῷ ζῶντι ὑμεῖς δεδουλεύκατε. » Λαβόντες δὲ χρημάτων πλήθη ἔν τε χρυσῷ καὶ ἐν ἀργύρῳ, ἤγαγον πρὸς τὸν Ἀλέξανδρον. Ὁ δὲ οὐκ ἠθέλησελαβεῖν αὐτὰ εἰπὼν αὐτοῖς· « Ἔστωσαν ταῦτα καὶ ὁ ἐμοὶ ἀφορισμένος φόρος κυρίῳ τῷ θεῷ· ἐγὼ δὲ [τὰ ὧδε] οὐ λήψομαι ἐξ ὑμῶν οὐδέν. »

[ΚΕΦ. ΚΕ'.]

Ἀπελθὼν δὲ Ἀλέξανδρος καὶ παραλαβὼν τὴν Ἰουδαίαν καταλαμβάνει τὴν Αἴγυπτον. Ἔδοξεν οὖν τοῖς Αἰγυπτίοις μὴ ὑποκύπτειν Ἀλεξάνδρῳ καὶ τὴν αὐτῶν πόλιν κατοχυρώσαντες εὐτρεπίζονται πρὸς μάχην. Ὁ δὲ Ἀλέξανδρος τὴν φάλαγγα ἐπεκτείνας περικυκλοῖ τὴν πόλιν· καὶ πήξας τὰς σκηνὰς τοῦ φοσάτου διῆγεν ἀναπαύων τὸν στρατόν. Καύσωνος δὲ πολλοῦ γενομένου, ἐξέρχεται ἀναψυχήσας μετ' ὀλίγων ἱππέων. Καὶ δὴ καταλαμβάνει λίμνην καθαρὸν καὶ διαυγὲς (1) ἔχουσαν ὕδωρ, καὶ κατελθὼν τοῦ ἵππου λούεται ἐν αὐτῇ. Τὸ δὲ ψυχρὸν τοῦ ὕδατος ἐποίησεν Ἀλέξανδρον ἀρρωστῆσαι. Ὡς δὲ ἡ νόσος ἐπεκτείνετο, ἦλγουν (2) οἱ Μακεδόνες, σὺν αὐτοῖς δὲ καὶ οἱ Πέρσαι. Κατάδηλον δὲ τοῖς Αἰγυπτίοις ἐγένετο ἤδη Ἀλέξανδρον ἀρρωστεῖν· καὶ ἀποστέλλουσί τινας τῆς πόλεως πρὸς Φίλιππον τὸν ἰατρὸν λέγοντας· (3) « Εἰ Ἀλέξανδρον δυνηθείης φαρμάκῳ ἀνελεῖν, σὺ ἡμῶν ἔσῃ βασιλεύς. » « Καὶ, ὦ ὑμεῖς, Φίλιππος ἔφη, τί ἀπεφήνασθε περὶ Ἀλεξάνδρου; ὡς οὐκ ἔστιν ὁ κόσμος μιᾶς τριχὸς τούτου ἀνάξιος ». Οἱ δὲ τοῦτο βουλευσάμενοι, θεασάμενοι Φίλιππον μὴ συγκαταθεῖναι αὐτοῖς θελήσαντα, καὶ τῆς αἰτήσεως ἀποτυχόντες, τοιόνδε νόημα ἐννοοῦσι, καὶ ὡς φιλοφρονούμενοι τῷ Ἀλεξάνδρῳ γράφουσιν αὐτῷ ἐπιστολήν, καὶ λάθρα διὰ τοῦ τείχους διδόασι τῷ Ἀντιόχῳ εἰπόντες· « Τήνδε τὴν ἐπιστολὴν ἐν χερσὶ δὸς (4) Ἀλεξάνδρου ». Ἡ δὲ ἐπιστολὴ πανουργίας ἦν πλήρης μεμεστωμένη (5), ὥστε συνταγῆναι Φίλιππον ὄνθεν τοῖς Αἰγυπτίοις δολοφονῆσαι Ἀλέξανδρον. Ὁ δὲ Ἀντίοχος λαβὼν ἄγει αὐτὴν πρὸς τὸν Ἀλέξανδρον. Καὶ ἀναγνοὺς αὐτὸς τίθησι αὐτὴν ἐν τῇ προσκεφαλίδι αὐτοῦ. Ἔωθεν δὲ Φίλιππος ἔρχεται, κύλικα φέρων ἐν χερσὶν ἐσκευασμένου βοηθήματος, καὶ φησίν· « Ἀναστὰς, δέσποτα, καὶ τοῦδε τοῦ βοηθήματος πιών, τῆς νόσου ταχέως ἀπαλλάγηθι. » Ἀναστὰς δὲ Ἀλέξανδρος καὶ τὴν κύλικα λαβόμενος, σὺν ὀάκρυσιν ἔφη· « Πίομαι Φίλιππε. » Ὁ δέ· « Πίε, δέσποτα, εἶπε, καὶ τῆς νόσου ἀπαλλάγηθι. » Ὁ δὲ παρευθὺς ἔπιε· καὶ λαβὼν τὴν ἐπιστολὴν δίδωσι τῷ Φιλίππῳ οὕτως εἰπών· « Ἐγὼ εἶδον ὅτι Φίλιππος κατὰ Ἀλεξάνδρου ἀδόλως ἔχει. » Λαβὼν δὲ καὶ Φίλιππος τὴν ἐπιστολὴν, « Ὦ δέσποτα, ἔφη, σοῦ ὁ σύμπας κόσμος οὐκ ἀνάξιος μιᾶς τριχός ἐστι τῆς ἐκπιπτούσης ἐκ τῆς κεφαλῆς σου. Καὶ ποῦ μοί ἐστιν ἐν κόσμῳ ἕτερος Ἀλέξανδρος; καὶ εἰ σὲ τοῦ ζῆν ἐπιβουλεύομαι, μὴ γένοιτο· μήτε ὑπόφερε τοῦτο ἀκοῦσαι τὸ σύνολον, δέσποτα. Ἀλλ' ὅμως ἐπεὶ οὕτως ἔδοξεν Αἰγυπτίοις, ἰδοὺ τὸ φάρμακον πέπωκας· ἀνάστηθι οὖν καὶ πεῖραν αὐτοῖς ἄπαξ ἐπίδειξον, ἵνα μάθωσι Μακεδόνας μὴ ὑπερφρονεῖν. » Καὶ ταῦτα εἰπὼν ἐξῆλθε, σιγὴν γενέσθαι διαταξάμενος. Τούτου δὲ γενομένου, εἰς ὕπνον ἡδύτατον Ἀλέξανδρος μετετράπη· καὶ ἔμεινε τὴν πᾶσαν ἡμέραν κοιμώμενος. Ἑσπέρας δὲ ἤδη καταλαβούσης, ἔξυπνος γενόμενος, ὅλως ἦν ὑγιής· καὶ προσκαλεσάμενος Ἀντίοχον ἔφη· « Ὦ Ἀντίοχε, Φιλίππου φάρμακον ἥπιον (6)· καὶ ὁ Φίλιππος ἀνὴρ πιστὸς πολλῶν ἀνάξιος ἄλλων· κάλεσον δὴ αὐτόν. » Καὶ ἐξελθὼν Ἀντίοχος ἐκάλεσε Φίλιππον. Ὁ δὲ Ἀλέξανδρος ἔφη αὐτῷ· « Ὅλως ὑγιὴς γέγονα, Φίλιππε· » Καὶ λαβόμενος αὐτὸν τοῦ τραχήλου κατεφίλει αὐτόν.

[ΚΕΦ. ΚϚ'.]

Καὶ ἀναστὰς Ἀλέξανδρος κελεύει τὰ στρατεύματα εὐτρεπίζεσθαι πρὸς πόλεμον. Ἅρτι δὲ τοῦ ἡλίου ἀνατείλαντος, καὶ τὰς ἀκτῖνας ταῖς ἀκρωρείαις (1) περιαυγεῖς ἐκλάμ-

σκοπῶσαι cod. || 4. καὶ addidi || 5. τοῦ cod. || 6. προσδοκῶντες cod. || 7. verbum excidisse videtur. || 8. καὶ cod. || 9. θεὸν ἕνα cod. || 10. καθὼς καὶ cod.

Cap. XXV. 1. Καθαρὰν κ. διαυγῆ cod. Lacum istum pro Cydno Iudæus posuit. || 2. ἤγουν cod. || 3. τινες... λέγοντες cod. || 4. δοὺς cod. || 5. aut del. πλήρης, aut μεμ. mutandum in verbum memorandi vel declarandi. || 6. ἤδειν cod.

Cap. XXV. 1. ἀκρωρίοις cod. || 2. οἱ παντήγως cod.; num recte conjecerim nescio. || 3. περιπατοῦντες cod. || 4. εἰκάσαι

ὄντος, ἅπαν τὸ Μακεδονικὸν καὶ τὸ Περσικὸν στράτευμα ἐνόπλοι τῇ πόλει κύκλωθεν παρειστήκεισαν, οἱ πάντες (2) ἦσαν χρυσέοις κατατεθωρακισμένοι θώραξιν, ὥστε τὸν ἥλιον τοῖς θώραξιν ἀντικρούοντα εὐθέως ἐξαῦθις τὴν ἡμέραν ἀνταγλαίζεσθαι. Τὰ δὲ πλήθη τῶν τόξων τὰς ἡλιακὰς ἐκάλυψεν αὐγάς· οἱ δὲ ὁπλῖται τοῖς ὁράσιν ἄραντες ἐώκεισαν ὄρεσι περιπατοῦσι (3)· ὡς δὲ καὶ φωνὴν ἀφίεσαν, εἰκάσαι τις τὸν οὐρανὸν συγχυθῆναι (4) καὶ πεπτωκέναι. Καὶ λοιπὸν πᾶσά σοφία ἀπόλωλεν Αἰγύπτου. Ὡς οὖν εἶδοσαν οἱ Αἰγύπτιοι, μὴ ἔχοντες τί ἂν διαπράξοιντο, ἔρχονται ἐν τῷ τοῦ Ἀπόλλωνος μαντείῳ καὶ πυνθάνονται (5) τί ἂν γένοιτο περὶ τῆς αὐτῶν σωτηρίας καὶ πῶς (6) τοῦ κινδύνου ἐκφύγοιεν. Καὶ ἐδόθη αὐτοῖς χρησμὸς τοιόσδε· « Ἀλαία (7) θνητοῖς ἀστατεῖ ἡ φρενή. Ὦ γεραροὶ ὑπείκεσθε γεραρῷ. Ἄπιτ' ἐς δόμον ἐμόν· μνήμην τῶν πάλαι ἐχόντων ποιήσασθε· Ἀλεξάνδρῳ ὑπείκειν (8) ἐφετμεύω. » Οἱ δὲ τὸν πάλαι χρησμὸν ἐν νῷ λαβόντες, ὡς Νεκτεναβὼς τῆς Αἰγύπτου ἀπέδρα, ἐπινοοῦσι παῖδα εἶναι αὐτοῦ τὸν Ἀλέξανδρον. Ὡς δὲ οἱ ὁπλῖται καὶ λοχαγοὶ τῷ τείχει προσῄεσαν, ἔνδον φωναὶ ἠκούοντο. Αἱ δὲ φωναὶ τὸν Ἀλέξανδρον ἐπεφήμουν (9). « Ὁ βασιλεὺς ζήτω Ἀλέξανδρος », ἔλεγον, καὶ ὑπεράνω τοῦ τείχους αἱ βοαὶ ἠκούοντο. Οὐδεὶς δὲ τῶν ἔσωθεν τῆς πόλεως προκύψαι ἐτόλμα διὰ τὸ πλῆθος τῶν ἐπιφερομένων βελῶν. Ἀκούουσι ταῦτα Μακεδόνες καὶ γελᾶν παραχρῆμα ἐπιχειροῦσι· τὸ δὲ γέλος εἰς ἅπαν τὸ πλῆθος ἐπεφέρετο· καὶ ἦν ὁ πόλεμος γελοίων (10) ἀνάμικτος. Ἔρχεται τοίνυν ὁ λόγος πρὸς Ἀλέξανδρον καὶ ὅτι αὐτὸν ἔνδοθεν εὑρημίζουσι· καὶ Ἀλέξανδρος παρακλίνεται, καὶ κελεύει ἄνεσιν δοῦναι τῷ πολέμῳ. Τούτου δὲ γενομένου καὶ τοῦ πολέμου ἀνακωχὴν (11) λαβόντος, προκύψαι τοῦ τείχους μικρὸν κατατολμῶσιν οἱ Αἰγύπτιοι, ἱκετηρίαις φωναῖς τὸν Ἀλέξανδρον καθικετεύοντες, καὶ « Ἐλέησον, ὦ δέσποτα, ἔφασκον, τὴν πάλαι πατρίδα σου, καὶ μὴ εἰς τέλος ὀργίζου τοῖς δούλοις σου. » Ὡς οὖν ἤκουσε περὶ πατρίδος Ἀλέξανδρος ἔννους (12) γενόμενος, κελεύει παντελῶς ἀναθεῖναι τὸν πόλεμον, καὶ (13) τοὺς βουλομένους ἐξιέναι τῆς πόλεως. « Καὶ περὶ τοῦδε ἡμῖν ἑρμηνεύετε, (14) φησίν, τοῦ λόγου· οὐ γὰρ ἔσχον πατρίδα τὴν Αἴγυπτον· Μακεδονία γάρ μοι πατρίς· καὶ πῶς ὑμεῖς φατὲ πατρίδα ἔχειν τὴν Αἴγυπτον; » Οἱ δὲ προσπεσόντες τὰ τοῦ χρησμοῦ διηγοῦνται, καὶ ὡς Νεκτεναβὼ βασιλέα ποτε εἶχον, καὶ ὡς (15) ἐν τοῖς χρόνοις αὐτοῦ εὐτυχὴς ἦν ἡ Αἴγυπτος. « Τανῦν πάλιν ἐθέσπισε κοσμοκράτορα, ὦ δέσποτα, ὁ χρησμός· διὰ γάρ σου πάλιν ἡ Αἴγυπτος φιλαρχήσειεν, καθάπερ ἡμῖν νενόμισται. Ἔχε οὖν τὴν πόλιν σου καὶ τὸ δοκοῦν σοι πράττε, ὃ ἂν ἐν ἡμῖν γένοιτο. » Ὡς δὲ τὰ τοῦ χρησμοῦ ἀνηγγέλθη Ἀλεξάνδρῳ, εὐθέως εἰς νοῦν τὰ περὶ ἑαυτοῦ ἔλαβε· καὶ συστολὴν τοῦ πολέμου κελεύει γενέσθαι, καὶ τοὺς πρώτους τῆς πόλεως ἐξιέναι προστάττει, καὶ σὺν αὐτῷ εἰσιέναι καὶ ἄγειν ἔμπροθεν αὐτοῦ ἐν μελάθροις Νεκτεναβῶ. Καὶ ταῦτα μετὰ πολλοῦ τοῦ τάχους ἐγένοντο.

[ΚΕΦ. ΚΖ'.]

Οἱ δὲ Αἰγύπτιοι ὅμως ἐξῄεσαν καὶ δουλικῶς Ἀλεξάνδρῳ προσπίπτουσι καὶ σὺν αὐτῷ ἐν μελάθροις Νεκτεναβῶ εἰσβαίνουσι· καὶ ἀντὶ λύπης μᾶλλον ἔχαιρον· ἐπὰν γὰρ πόλις πολιορκουμένη προκαταλάβηται, λοιπὸν τοῖς κατοικοῦσιν ἄμετρος ἐπεισέρχεται λύπη ἢ μᾶλλον θλῖψις, ὡς τὴν πατρίδα τοῖς πολεμίοις παραληψομένην βλέποντες· ταῦτα δὲ μᾶλλον οἱ Αἰγύπτιοι ὁρῶντες, ἐκ θλίψεως εἰς χαρὰν μετῄεσαν (1), οὐχ ὡς πολεμίους αὐτοὺς ἡγούμενοι, ἀλλ' ὡς τὸν βασιλέα αὐτοῖς ἐπιφέροντας (2). Εὐφημοῦντες δὲ καὶ χαίροντες « Ἥλιν ἄρχει Αἴγυπτος » ἔλεγον. Ὡς δὲ τοῖς βασιλείοις εἰσῄει Ἀλέξανδρος, τὸ τοῦ Νεκτεναβῶ ὁμοίωμα πρὸ τῶν θυρῶν ἵστατο. Καὶ ἦν ἐστοιχειωμένον στέφανον ἔχον ἐν τῇ δεξιᾷ χειρί, τῇ δὲ ἑτέρᾳ σφαιροειδές τι προδεικνύον, ἐν αὐτῷ δὲ ἡ σύμπασα τῆς οἰκουμένης περιεγέγραπτο χτίσις· ἐν δὲ τῷ στήθει τῆς εἰκόνος τάδε ἦν γεγραμμένα· « Ὅς ἂν τοῖς ἐμοῖς ἐφέρπει (3) δόμοις, [καὶ ᾧ] τόδε τὸ στέφος θήσομαι τῇ αὐτοῦ κεφαλῇ, τοῦτον παῖδα ἐμὸν πάντες εἶναι νοεῖτε· τὴν δὲ ἅπασαν αὐτὸς νοστήσει· γαῖαν· τοῦδε τοὔνομα δοθῇ πόλει τῇδε. »

Ἅμα δὲ τὴν πύλην Ἀλέξανδρος εἰσέδυ, [καὶ] τὸ ἐμφερόμενον στέφος διατίθησιν ἡ εἰκὼν πρὸ τῆς κεφαλῆς αὐτοῦ. Περιστραφεὶς δὲ τὸ συμβὰν ὡς θεάσηται, καὶ τὴν χεῖρα ἐκτεταχὼς περὶ τὸν ἐν τῇ κεφαλῇ αὐτοῦ τεθέντα ἤδη στέφανον, κάτω κατεχομένῃ τῇ λαιᾷ χειρὶ τὸ σφαιροειδὲς ἐκεῖνο τίθησιν ἡ εἰκὼν ἐν τῇ χειρὶ αὐτοῦ, ὥστε θαυμάσαι τὸ γεγονὸς πάντας τοὺς ἐντυγχάνοντας. Ὡς οὖν τῇ εἰκόνι προσέσχεν Ἀλέξανδρος, τὸ ὁμοίωμα θεασάμενος ἔγνω μὲν τὸ μόρφωμα τοῦ Νεκτεναβῶ εἶναι· ἐπὶ δὲ τὸ στῆθος ἀποβλέψας, καὶ τοῖς γράμμασιν ἐντυχών, ταῦτα μὲν αὐτοχείρως ἤμβλυνε (4), τὴν δὲ εἰκόνα ὡς τὰ τῆς ἀρχῆς αὐτῷ μαντευσαμένην ἐτίμησεν, περιχρυσώσας αὐτήν· οὐκ ἤθελε γὰρ Ἀλέξανδρος Νεκτεναβῶ παῖς λογίζεσθαι, ἀλλὰ Φιλίππου μέν, ἐκ θεῶν δέ· οὕτως καὶ τοῖς πᾶσιν ὁ λόγος ἐγνωρίζετο.

[ΚΕΦ. ΚΗ'.]

Διατρίψας οὖν ἐκεῖσε Ἀλέξανδρος χρόνον τινὰ, πόλιν οἰκοδομεῖν ἐγχειρίζεται χίοσί τε πλείστοις αὐτὴν κατακοσμήσας καὶ τὰ τείχη πύργοις εὐμήκεσι καὶ μιταρ-

τινὰ τὸν οὐρ. εἶναι καὶ συσχεθῆναι. cod. || 5. πείθονται cod. || 6. καὶ τοῦ κ. cod. || 7. ἔᾶ ἄτα cod. Olim versibus conceptum oraculum fuit. || 8. ὑπεῖκεν cod. || 9. saepius hac forma utitur codex. || 10. γελίων cod. || 11. ἀνακοχὴν cod. || 12. ἐννεὸς cod. || 13. fortasse καὶ ἐὰν τοὺς β., nisi potius pro τοὺς βουλομένους fuerit τ. βουλεύοντας (senatores); paullo infra : τοὺς πρώτους τῆς πόλεως ἐξιέναι προστάττει. || 14. ἑρμηνεῦσι τοῦ λ. cod. || 15. ὃς pro καὶ ὡς cod.

Cap. XXVII 1. μετίεσαν cod. || 2. ἐπιφέροντες cod. || 3. ἕρπει cod. || 4. ἤμβυνε cod.

σίοις κατοχυρώσας, ἐν δὲ τῇ κατὰ ἀνατολὴν πύλῃ μεταρσιώτατον πάντων ἕνα πύργον οἰκοδομήσας, ἐν αὐτῷ τὴν ἑαυτοῦ στήλην ποιήσας ἵδρυσε, περὶ αὐτὸν δὲ Σελεύκου καὶ Ἀντιόχου καὶ Φιλίππου τοῦ ἰατροῦ· καὶ τὴν μὲν Σελεύκου κέρας ἔχουσαν γνωρίζεσθαι πεποίηκε, διὰ τὸ ἀνδρεῖον καὶ δυσμάχητον αὐτὸν εἶναι, Φιλίππου δὲ ἔχειν σχῆμα ἰατρικὸν καὶ πολεμικόν, Ἀντίοχον δὲ δορυφόρῳ ἐμφέρεσθαι. Τῶν πάντων τοίνυν τελειωθέντων ἔργων καὶ τῆς πόλεως περικαλλεστάτης ἐν παντὶ ὀφθαλμῷ ἀνθρώπων γεγονυίας, ἄνεισιν Ἀλέξανδρος ἐν τῷ πύργῳ καὶ πάντας ἐξουθένησε τοὺς θεοὺς τῆς γῆς καὶ μόνον ἕνα θεὸν ἀληθινὸν ἀνεκήρυξεν ἀθεώρητον, ἀνεξιχνίαστον, τὸν ἐπὶ τῶν Σεραφὶμ ἐποχούμενον καὶ τρισαγίῳ φωνῇ δοξαζόμενον. Ἐν τούτῳ στὰς Ἀλέξανδρος ηὔξατο καὶ « Ὦ θεὲ θεῶν, εἶπε, καὶ δημιουργὲ ὁρατῶν καὶ ἀοράτων συνεργός μου φάνηθι ὧν πράττειν μέλλω. » Κατιὼν δὲ τοῦ πύργου εἰς τὰ βασίλεια ᾤχετο. Καὶ Σέλευκον μὲν ἄρχοντα τῶν Περσῶν καθίστησι, Φίλιππος δὲ Αἰγυπτίων προετέταχτο. Ἀλέξανδρος δὲ Μακεδονίοις ἐπεστήρικτο, καὶ ψυχαὶ Μακεδόνων Ἀλεξάνδρῳ ἐκρέμαντο.

[ΚΕΦ. ΚΘ'.]

Καὶ δὴ συναριθμήσας Ἀλέξανδρος πάντα τὰ στρατόπεδα αὐτοῦ, ὥρμησε κατὰ τῶν ἐνδοξοτέρων (1) ἐθνῶν καὶ πάντα τὰ ἔθνη ἐδούλωτο, καὶ φόρους αὐτῷ ἐδίδοσαν, καὶ οὐκ ἦν ὁ ἀντιστάμενος αὐτῷ, ὅτι πάντες αὐτὸν ἐφοβήθησαν. Διελθὼν δὲ τὴν ὑρήλιον πᾶσαν, οὐκ ἦν οἰκεῖσθαι τὴν γῆν ἔτι. Κελεύει οὖν πάντα τὸν λαὸν ἀπαρτισμὸν ἑξαμηνιαίου χρόνου βαστάσαι, ὡς ἂν τῇ ἀοικήτῳ ἐπιβῆναι βουλευσάμενος. Τούτου δὲ γενομένου, ὡσεὶ πορείαν ἡμερῶν δέκα ἐμπεριπατήσαντες, ἐν ἐρήμοις καὶ λείοις κατήντησαν τόποις. Καὶ ἰδοὺ γυναῖκες ἄφνω ἐφάνησαν, φοβεραὶ τῷ εἴδει καὶ ἄγριαι τοῖς προσώποις· τὸ δὲ ὅλον σῶμα αὐτῶν τετριχωμένον, ὡς ἄν τις εἴποι συὶ ἀγρίῳ. Αἱ δὲ κόμαι τῆς κεφαλῆς αὐτῶν κατήρχοντο μέχρι τῶν κνημῶν αὐτῶν· οἱ δὲ ὀφθαλμοὶ αὐτῶν οἷκην ἀστέρων κατέλαμπον· οὐδὲ ὡς παντὸς ἀνθρώπου εἶχον τὴν θέασιν, ἀλλὰ κατήρχοντο ἀπὸ τοῦ μετώπου ἐπὶ τὸ πρόσωπον· οἱ δὲ ὄνυχες αὐτῶν εὐμήκεις ἀνὰ πήχεως μιᾶς, καὶ οἱ πόδες αὐτῶν ὡς ὀνάγρου. Τὸ δὲ μέγεθος τοῦ σώματος αὐτῶν ὡς ἀνδρῶν μεγίστων τριῶν. Ὡς δὲ ταύτας οἱ στρατιῶται ἐθεάσαντο, καὶ ἀσκόπως ἐπέδραμον αὐταῖς, ἀνυποστρέψασαι ἀνεῖλον ἐκ τῶν στρατιωτῶν τέσσαρας τοῖς ὄνυξι διασπαράξασαι, καὶ πορευθεῖσαι τούτους κατεθοινήσαντο (2) ἐπ' ὄψεσιν ἡμῶν. Ἀπορουμένων δὲ ἡμῶν ἐπὶ τῇ τοιαύτῃ θεωρίᾳ, ἰδοὺ εἰς πλῆθος ἐφαίνοντο καὶ τῇ φάλαγγι ἐπιβᾶσαι, μήκοθεν ταῖς χερσὶν ἐκτετακυίαις ἥρπαζον τοὺς στρατιώτας ἐκ μέσου τῆς φάλαγγος καὶ κατεθοινῶντο αὐτούς. Εἰς παντελῆ δὲ ἀπόγνωσιν πάντες ἦλθον. Καὶ δὴ Ἀλέξανδρος διανοεῖται, καὶ κύνας πλείστους ἐκ τοῦ φοσάτου ἐπισύναξε· πάνυ γὰρ ἐν τῷ κυνηγεῖν πλῆθος κυνῶν ἕκαστος ἐκέκτητο. Ἐπισυνάξας δὲ ἁπλῶς εἰπεῖν πάντας τοὺς κύνας, ἐπικινεῖ πρὸς αὐτὰς Ἀλέξανδρος. Αὗται δὲ τοὺς κύνας θεασάμεναι εἰς φυγὴν τρέπονται· καὶ τὸ πλῆθος ἐπάχθη καὶ ἀνεῖλον ἐξ αὐτῶν ἱκανάς· αἱ δὲ λοιπαὶ ἔφυγον καὶ ἀφανεῖς ἐγένοντο.

Ἐκεῖθεν δὲ διασωθέντες δι' ἡμερῶν τριάκοντα καταλαμβάνουσι γῆν ἄμμον ἔχουσαν. Διερχόμενοι δὲ τὴν γῆν ἐκείνην, μύρμηκες ἀνελθόντες ἥρπαζον ἵππους καὶ ἄνδρας καὶ ἀνεχώρουν. Πῦρ δὲ ὅμως ἐν τούτοις ἀνάψαντες τῆς τούτων διασώζονται βλάβης. Ἐκεῖθεν οὖν διελθόντες ὡς ποταμὸν κατέλαβον παμμεγέθη· πλάτος αὐτοῦ πορία ἡμερῶν τριῶν. Διελθόντες οὖν ἐπὶ τὸν ποταμὸν καὶ τοιοῦτον τέρας θεασάμενοι, ἐν ἀμηχανίᾳ πολλῇ διῆγεν Ἀλέξανδρος.

[ΚΕΦ. Α'.]

Καθίσας οὖν παρὰ τὴν ὄχθην ὁ Ἀλέξανδρος, ἐκεῖθεν τὸ φοσάτον εἶπεν ἐμπαγῆναι. Τούτου δὲ γενομένου, ὡς διενοεῖτο ὁ Ἀλέξανδρος τὴν τοῦ ποταμοῦ διάβασιν, ἐξαίφνης τὸ ὕδωρ ἐξηράνθη, καὶ ἀντὶ ὕδατος ἄμμος ἐρρύη. Τοῦτο δὲ ἰδὼν Ἀλέξανδρος τὴν τοῦ ποταμοῦ ἐπέγνω διάβασιν· καὶ κελεύει κατασκευασθῆναι ἐκ ξύλων τετραγώνων ἅρκλας καὶ βληθῆναι ἐν τῇ ῥοῇ τοῦ ποταμοῦ. Ὡς δὲ τὴν πρώτην ἔσαν, λίθοις αὐτὴν εἶπε γεμισθῆναι· καὶ τούτου γενομένου ἀμετακίνητος ἔμεινε καὶ στερεά. Ἐν δὲ τῇ δευτέρᾳ διαπεραιούμενοι κελεύει ἐνεχθῆναι ξύλα εὐμήκη, ὡσεὶ ὀργυιῶν τεσσάρων ἢ καὶ ἓξ, καὶ τεθῆναι αὐτὰ ἐν τῇ πρώτῃ ἅρκλῃ, διαχωρίσαι δὲ τὴν δευτέραν ὀργυίας τέσσαρας· ἐνέγκαντες δὲ καὶ τὴν δευτέραν ἅρκλαν κενὴν τιθέναι ἐπάνωθεν τῶν ξύλων· καὶ ἀκοντίσαντες αὐτὴν κατῆλθεν ἐν τῇ ῥοῇ τοῦ ποταμοῦ ἀπέχουσα τῆς πρώτης ὀργυίας τέσσαρας. Εὐθέως δὲ καὶ ταύτην ἐγεμίσαντο· ἔμεινε δὲ καὶ αὐτὴ στερεὰ καὶ ἀμετακίνητος. Ὡσαύτως καὶ τὴν τρίτην καὶ τὴν τετάρτην καὶ τὰς λοιπὰς ποιήσαντες λοιπὸν γεφυροῦσι τὸν ποταμὸν καὶ περᾷ πᾶς ὁ λαὸς δι' ἡμερῶν τριῶν. Ὃν διαβὰς Ἀμμόρρουν ποταμὸν τοῦτον ἐκάλεσε· τρεῖς γὰρ ἡμέρας ὕδωρ ἦν ῥέον καὶ τρεῖς ἄμμον.

[ΚΕΦ. ΑΑ'.]

Διελθὼν δὲ τὸν Ἀμμόρρουν ποταμὸν Ἀλέξανδρος, κόσμον ἄλλον κατέλαβε. Ἀνθρώπους μὲν εὗρεν εὐτελεῖς καὶ λίαν σμικροτάτους ὡς εἶναι τὸν τέλειον ἄνθρωπον [οὐχὶ ἀλλὰ] πῆχύν τε καὶ ἥμισυ. Ὡς δὲ ἐθέασαντο, ἦλθον πρὸς Ἀλέξανδρον γονυπετοῦντες καὶ λέγοντες ζῆν γενέσθαι αὐτοῖς. Ἐπὶ τούτοις Ἀλέξανδρος ἐμβλέψας εἰς τὴν ἑαυτῶν ταπείνωσιν, ἀπέστειλεν αὐτοὺς ἐν εἰρήνῃ εἰπών· « Ἄπιτε μηδεμίαν παρ' ἡμῶν ἐκδεχόμενοι βλάβην. » Ἐκεῖθεν οὖν διατρίψας ἱκανὰς ἡμέρας ὥρμησε πάλιν τὴν ἀοίκητον γῆν, καὶ δι' ἡμερῶν δέκα φθάνει τινὰ πεδινὸν τόπον, τῷ τε μήκει καὶ τῷ πλάτει ἀνείκαστον. Ἐν αὐτῷ δὲ ἀναπαῦσαι τὸν στρατὸν ἔδοξε· καὶ περιβλεπόμενος

Cap. XXIX. 1. malim ἐνδοτέρων. || 2. κατεθηνοίσαντο cod. || Cap. XXX. V. Arrian. Exp. III, 7. 1. διαπορούμενοι cod. — Cap. XXXI. 1. Σεσονχὸς οὗτινος νῦν κοσμοκράτορος cod. De eadem Sesonchosis stela exstat narratio in cod. A, ubi

ὕδωρ ἐζήτει. Καὶ δὴ ὁρᾷ λίμνην· ἐγγὺς δὲ ταύτης γενόμενος, ὁρᾷ στήλην παμμεγέθη σφόδρα ἐν πέτρᾳ ἐκ ψήφων ἐνιδρυμένην· ἡ δὲ στήλη γράμμασιν Ἑλληνικοῖς ἐπεφέρετο· ἡ δὲ γραφὴ τῆς στήλης ἐνέργειαν ἐδήλου τοιαύτην : Σεσογχόσιος (3) νῦν κοσμοκράτορος. Τὸ δὲ ὁμοίωμα ἦν ἀνδρὸς νεαροῦ, τὰ πάντα Ἀλεξάνδρῳ ἀφομοιουμένου. Ἐγεγράφει δὲ μέχρι τῶν ἐκεῖσε καταλαβεῖν τινα τῶν ἀνθρώπων, ὃς πᾶσαν περιέλθῃ γαῖαν, ἐπὶ δὲ τῶν ἐπέκεινα μὴ δύνασθαι ἐλθεῖν, « ὡς καμὲ ἀπορήσαντα μὴ δυνηθῆναι προέρχεσθαι· ἀνθυπέστρεψα δὲ ἐνταῦθα, [τοῦ μὴ] τοῦ ζῆν ἐξιέναι, Σεσόγχοσις (4) ἐγὼ κοσμοκράτωρ. » Ταῦτα ἀναγνοὺς Ἀλέξανδρος εὐθέως τὴν γραφίδα περιεκάλυψε πέπλοις, ὡς δῆθεν τὴν εἰκόνα τιμῶν. Τοῦτο δ' ἐποίει διὰ τὸ μηδένα τῶν Μακεδόνων τοῖς γράμμασιν ἐντυγεῖν, καὶ δειλίαν αὐτοὺς καταλαβεῖν· ἔλεγε δὲ μᾶλλον χρησμὸν ἐκ τῆς εἰκόνος δέξασθαι· « Ἐὰν τῶν ὧδε διέλθῃς, Ἀλέξανδρε, ἕτερον κόσμον εὑρήσεις κρείσσονα, ὃν ἄλλος οὐ διῆλθε τῶν ἀνθρώπων. » Ταῦτα δὲ ἔλεγεν ἵνα τὸ στρατόπεδον προθυμότερον ἀπεργάζοιτο. Διατρίψας οὖν ἐκεῖσε ὅμως ἡμέρας τρεῖς ἀπάρας ᾠχετο τῆς ὁδοῦ.

[ΚΕΦ. ΛΒ'.]

Καὶ δὴ παραλαβὼν Ἀλέξανδρος πλείονας (1) ὁδηγοὺς ἠθέλησεν εἰσελθεῖν εἰς τὰ ὀπίσω μέρη τῆς ἐρήμου κατὰ τὴν ἄμαξαν τοῦ πόλου. Ἐκεῖνοι δὲ (2) ἔλεγον ἐν ἐκείνοις τοῖς τόποις ἀνθρώπους ἀγρίους καὶ θηρία πονηρὰ καὶ τερατώδη εἶναι. Ὡς οὖν ἤθελεν Ἀλέξανδρος μαθεῖν τοὺς τόπους τούτους καὶ τοὺς ἀνθρώπους θεάσασθαι, δι' ἡμερῶν (3) δέκα ἐμπεριπατήσας, καταλαμβάνει τόπον τινὰ φαραγγώδη, οὗ ἦν ὁδὸς φάραγξ (4) βαθυτάτη, ἣν ὠδευσεν ἡμέρας ὀκτώ, θεωρῶν ἐρήμους τόπους καὶ θηρίων ἄλλα καὶ ἄλλα γένη (5). Ἐλθὼν οὖν εἴς τινα τόπον περὶ ὥραν ἑνάτην τῆς ἡμέρας, εὗρεν ὕλην πολλὴν δένδρων καλουμένην Ἀνάφαντον (7) καρπὸν ἐχόντων μήλοις παρεμφερῆ. Ἦσαν δὲ ἐν τῇ ὕλῃ ἄνθρωποι παμμεγέθεις, τὸ ὕψος ἀνὰ πήχεις εἴκοσι τέσσαρας, μακροὺς δὲ τραχήλους ἔχοντες, τὰς χεῖρας καὶ τοὺς πόδας πριόσι παρεμφερεῖς, οἵτινες ἐπεισῆλθον τῷ στρατοπέδῳ αὐτοῦ. Ὁ δὲ Ἀλέξανδρος λίαν ἐλυπήθη ἰδὼν τοιαῦτα ζῷα· ἐκέλευσεν οὖν συλληφθῆναι ἐξ αὐτῶν. Ὁρμησάντων δὲ αὐτῶν πρὸς ἐκείνους μετὰ κραυγῆς καὶ σαλπίγγων, ἰδόντες αὐτοὺς εἰς φυγὴν ὥρμησαν. Ἐφόνευσαν δὲ ἐξ αὐτῶν οἱ στρατιῶται τριακοσίους τριάκοντα δύο· ἐκ δὲ τοῦ στρατοπέδου αὐτοῦ ἔθανον ἑκατὸν ἑξήκοντα πέντε (8). Ἔμειναν οὖν ἐκεῖ σὺν τῷ στρατῷ ἐσθίοντες τοὺς καρποὺς· αὐτοὺς γὰρ εἶχον μόνον τροφήν.

[ΚΕΦ. ΛΓ'.]

Ἐκεῖθεν οὖν ἀναχωρήσας Ἀλέξανδρος καταλαμβάνει τόπους πάνυ λείους. Ὡς δὲ αἱ φάλαγγες ἀπεξετάθησαν τῇ πεδιάδι, Μακεδόνες ἐπισπαρέντες, ἄνθρωποι τούτοις ἐμφαίνονται ἄγριοι ἐπὶ πετρῶν καθεζόμενοι, γυμνοὶ μέν, δασεῖς δὲ, φοβεροὶ, εὐμεγέθεις, μέλανες ἀλλ' οὐ καταχρᾶτος· τρίχες δὲ αὐτοῖς χονδραὶ τεταμέναι· μέγιθος ἑκάστου πηχέων τεσσάρων, ἰσχυροὶ λίαν, ἑτοιμότατοι πολεμεῖν. Ἅμα δὲ καὶ Μακεδόνες ἐπεισέρχονται αὐτοῖς, ἐκεῖνοι δὲ ἐκ τόπου εἰς τόπον μεταβαίνοντες ἐκάθευδον καὶ τὸν σκοπὸν ἐν ταῖς φάλαγξιν εἶχον. Ἐλθόντες δὲ Μακεδόνες ταῦτα τῷ Ἀλεξάνδρῳ λέγουσιν. Ὁ δὲ Ἀλέξανδρος τῆς φάλαγγος ἐξελθὼν, κατέλαβεν ἔνθα οἱ ἄνδρες ἐκάθευδον. Ὡς οὖν εἶδεν αὐτοὺς πάνυ ἀμερίμνως περὶ αὐτὸν ἔχοντας, καὶ μόνον ταῖς φάλαγξιν σκοποῦντας, κελεύει κόρην εὐειδῆ ἐνεχθῆναι. Ἐνεχθείσης δὲ, λέγει αὐτῇ ὁ Ἀλέξανδρος πρός τινα ἐξ αὐτῶν πλησιάσαι, ὅπως ἴδῃ τὴν τοῦ ἀνδρὸς ἐκείνου θέασιν, εἰ ὅλως ἀνθρωπίνη φύσις ἐν αὐτῷ ἐστίν. Ἡ δὲ γυνὴ πλησίον αὐτοῦ γενομένη, ὡς περιστραφεὶς εἶδεν αὐτὴν, κατεσθίειν ἤρξατο. Ἀλέξανδρος δὲ ἰδὼν, κελεύει τοῖς στρατιώταις διὰ τάχος ταύτην ἀφελέσθαι τοῦ θηρός. Οἱ δὲ στρατιῶται ἐπιδραμόντες αὐτῷ, οὐκ ἐφρόντισε τὸ σύνολον περὶ αὐτῶν, ἀλλὰ τὸ στόμα αὐτοῦ ἐπὶ τῶν μηρῶν τῆς κόρης ἔχων δίκην κυνὸς αὐτὴν κατήσθιεν. Εἷς δὲ τῶν στρατιωτῶν τῷ δόρατι τοῦτον πλήξας, καταλιπὼν τὴν κόρην ἡμιθανῆ ἔτρεχε, καὶ κυνὸς φωνῇ ἐλάλει. Οἱ δὲ λαβόμενοι τὴν κόρην πρὸς Ἀλέξανδρον ἤγαγον, καὶ τῇ φάλαγγι ἐπεκόμισαν. Παραχρῆμα δὲ πληθη ἐμφαίνονται ἄπειρα ἐκ τῶν ἀγρίων ἀνθρώπων ἐκείνων, ξύλα ταῖς χερσὶν ἔχοντες καὶ λίθους, καὶ τῇ πρώτῃ πλησιάσαντες φάλαγγι γενναίως ἐμάχοντο. Ὡς δὲ Ἀλέξανδρος ἐθεάσατο, κελεύει ἅμα τοῖς ὁπλί-

inscriptio est : Σεσόγχοσις κοσμοκράτωρ ὕδρευμα ἐποίησα τοῖς τὴν Ἐρυθρὰν θάλασσαν πλοιζομένοις (V. infra) ‖ 3. Σεσονχὸς οὗτινος v. κοσμοκράτορος cod ‖ 4. Σεσόνχος ἧς cod.

Cap. XXXII. Quæ hoc capite leguntur, eadem fisdem verbis leguntur in postrema parte epistolæ, quam præbet cod. B. Vide cap. XXIII, 22. ‖ 1. τοὺς πλείονας B. ‖ 2. οἱ δὲ ἐντόπιοι B. ‖ 4. καὶ δι' ἡ. δ. ἐ. C. ; B. hæc om. ‖ 5. φάραξ B. C ; λίαν βαθ. B. ‖ 6. θηρία ἀλλὰ κ. ἄ. γ. C ; θηρία κ. ἄλλα γ. B. ‖ 7. ἀνάφαντον B. ἀναφάνδα cod. Leid., ἀναφνήτων C. ‖ 8. τρεῖς C.

Cap. XXXIII. 1. Aliter res narrat cod. B, qui in epistola sua pergit ita : Καὶ ἐκεῖθεν ἀναχωρήσαντες ἤλθομεν εἰς τὴν χλοὴν (sic) χώραν, οὗ ἦσαν ἄνθρωποι γήγετες (γίγασι ?) παρεμφερεῖς τῷ μεγέθει, στρογγύλοι, δασεῖς, πυρροὶ, ὄψεις ἔχοντες ὡς λέοντες, καὶ ἄλλοι λεγόμενοι Ὀχλιστοὶ, τρίχας μὴ ἔχοντες, τὸ μῆκος ἔχοντες πήχεις τέσσαρας, τὸ δὲ πλάτος ὡσεὶ λόγχη. Ἦλθον δὲ πρὸς ἡμᾶς σώματα περιεζωσμένοι, ἰσχυροὶ, λίαν ἑτοιμότατοι πολεμῆσαι ἄνευ λογχῶν καὶ βελῶν, ἀλλὰ ξύλοις μόνοις ἔτυπτον τὸ στρατόπεδον καὶ ἀνεῖλον πολλούς. Τῶν δὲ στρατιωτῶν ἀπολλυμένων, ἐκέλευσα πυρὰν ἀνάψαι καὶ τῷ πυρὶ αὐτοὺς μάχεσθαι· καὶ οὕτως ἀνεχώρησαν οἱ ἀλκιμώτατοι ἄνδρες, στρατιῶται δὲ ἀπώλοντο οὗ', καὶ ἐκέλευσα πλοίοις ἀναβῆναι καὶ τὰ περιὼν θέντα αὐτῶν ὀστᾶ εἰς τὰς πατρίδας αὐτῶν πεμφθῆναι. Ἐκεῖνοι δὲ ἀφανεῖς ἐγένοντο. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ἠθελήσαμεν ἀπελθεῖν εἰς τὰ σπήλαια αὐτῶν, καὶ εὕρομεν θηρία προσδεδεμένα ταῖς θύραις τῶν εἰσόδων. Ἦσαν δὲ ὡς κύνες μεγάλοι, οἱ παρ' ἡμῖν καλούμενοι δάνδηκες, τὸ μῆκος ἔχοντες πήχεις τέσσαρας, τριόφθαλμοι, πακόμιοι (πανόμοιοι Berger. ; πάγκομοι, παχύκομοι?). Εἴδομεν δὲ ἐκεῖ ψύλλας ὡς τοὺς παρ' ἡμῖν βατράχους πηδῶντας. Ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἴς τινα τόπον, ὅθεν ἐξέβαινε πηγὴ πλουσιωτάτη καὶ κρατίστη· καὶ ἐκέλευσα παρεμβολὴν γενέσθαι καὶ τάφρους καὶ σκοτοτάφρους περιτεθῆναι, ἵνα ἀβλαβῶς τὰ στρατόπεδα διαμένῃ. Καὶ ἤλθομεν ἕως τῶν Μηλοφάγων. Εἶτα ἐφάνη ἡμῖν περὶ ὥραν ἐννάτην ἀνὴρ δασὺς ὥσπερ

ταις καὶ τοξευταῖς πρὸς μάχην παρατάξασθαι. Πολέμου δὲ συγχροτηθέντος, ὡς ἄν τις ἐξ αὐτῶν ἐτιτρώσκετο, εὐθέως ὑπὸ τῶν ἑτέρων διεμερίζετο καὶ κατησθίετο. Καὶ ὅσον ὁ πόλεμος συνήπτετο, τοσοῦτον εἰς πλῆθος ἐγίνοντο, καὶ ἐπικρατέστεροι μᾶλλον καὶ προθυμότεροι. Δειλία δὲ Μακεδόνας κατέλαβε· φόβος καὶ τρόμος εἶχεν αὐτούς. Ἀλέξανδρος δὲ εἰστήκει ἐννοῶν, πῶς ἂν αὐτοὺς τροπώσηται. Ἐπὶ πάσαις οὖν ταῖς συμβολαῖς τριάκοντα στρατιῶται ἀνῃρέθησαν, ἐξ αὐτῶν δὲ πλήθη πολλά· καὶ ὅσον ἀπέθνησκον, ἐπὶ πλεῖον συνήγοντο. Ὁ δὲ φρενήρης Ἀλέξανδρος, προστάσσει πῦρ ἄφνω ἀνάψαι. Καὶ ἐπέδραμον ἐπ' αὐτούς. Ὡς οὖν εἶδον τὸ ἀσύνηθες τοῦ θαύματος, εὐθέως εἰς φυγὴν τρέπονται. Καὶ καταδιώκουσιν ὄπισθεν ἅπαν τὸ πλῆθος τῶν στρατευμάτων. Οὐ κατέλαβον δὲ ἐξ αὐτῶν οὐδένα· ἦσαν γὰρ κουφοι τοῖς ποσὶ δίκην χελιδόνος χαμαὶ ἱπταμένης· μόλις δὲ Ἀλέξανδρος τῷ Βουκεφάλῳ ἐποχούμενος ἵππῳ, καταφθάνει ἑνὸς παιδὸς, καὶ τούτου γενόμενος ἐγκρατὴς ἄγει αὐτὸν ἐπὶ τὸ στράτευμα. Ἦν δὲ χρόνων τὸ δοκεῖν ὡσεὶ δώδεκα, ἀλλ' ὑπῆρχεν ὑπεράνω παντὸς ἀνθρώπου.

Τῆς δὲ νυκτὸς ἤδη καταλαβούσης καὶ τοῦ φοσάτου σκηνοποιοῦντος, τὰ πρὸς ἀνάπαυσιν ἦσαν πάντες εὐτρεπισμένοι· ἦσαν γὰρ ἐκ τοῦ πολέμου κεκοπιακότες. Δεινῶς δὲ ἔχοντες πρὸς Ἀλέξανδρον ἦλθον λέγοντες· « Μηκέτι, βασιλεῦ Ἀλέξανδρε, τὰ πρόσω χωρεῖν· οὐ γὰρ δυνησόμεθα τοιούτους τόπους διεξελθεῖν· καὶ μήπω τῆς τύχης ἡμᾶς καταλάβῃ τὸ πέρας. Ὁπότε κόσμον ὑπετάξαμεν, μήπω κορεσθέντες ἑαυτοὺς βορὰν οὐκ ἀνθρώπων ἀλλὰ θηρίων πεποιήκαμεν. Καὶ τοῦτο ἡμῖν διπλοῦν τὸ κακὸν, ὅτι οὐδὲ μνήμη ἡμῶν ἐν κόσμῳ γενήσεται. » Ἐπὶ τούτοις ἀγανακτήσας Ἀλέξανδρος ἔφη· « Οὐκ ἐμὸν τὸ ἀντιστρέφεσθαι, ἀλλὰ τῇ τύχῃ δοτόν· καὶ γὰρ πολλάκις βουληθεὶς τοῦτο οὐ συγχεχώρημαι. Χρεὼν δέ ἐστιν ἡμῖν καθυπείκειν τῇ τύχῃ, καὶ μηδεὶς ἀναβαλλέτω. » Ἐπὶ τούτοις πάντες ἐσίγησαν ἐπιδώσοντες ἑαυτοὺς τῇ τύχῃ.

[ΚΕΦ. ΛΔ'.]

Ἕωθεν οὖν ἀναστὰς τὴν ὁδοιπορίαν ἐποιεῖτο. Διελθὼν δὲ τὴν τῶν ἀγρίων ἐκείνων χώραν δι' ἡμερῶν πέντε, εἰς ἑτέραν κατέλαβε γῆν, ἔνθα στῆλαι εἱστήκεισαν δύω χρυσαῖ, μία μὲν ἀνδρὸς, ἡ δὲ ἑτέρα γυναικός· αἷς περιτυχὼν Ἀλέξανδρος ἔφη· « Ἡρακλέους στῆλαι αὗται, καὶ Σεμιράμεως. » Ἐκεῖσε οὖν διελθόντες ὀλίγον τι τὰ Σεμιράμεως εὗρωσαν βασίλεια, ἀοίκητα δέ. Εἰσῆλθεν οὖν Ἀλέξανδρος ἐντὸς μετὰ τοῦ Μακεδονικοῦ στρατοῦ καὶ μόνου· Πέρσαι δὲ καὶ Αἰγύπτιοι πέριξ διανεπαύσαντο ἡμέρας τρεῖς. Καὶ τῶν ἐκεῖσε διεξελθόντες δι' ἡμερῶν δέκα εὑρίσκει ἔτι ἑτέρους ἀνθρώπους ἑξάχειρας καὶ ἑξάποδας, πλῆθος ἀναρίθμητον· καὶ οἱ πάντες γυμνοί· οἵτινες ἰδόντες τὸ πλῆθος τῆς φάλαγγος ἤρξαντο εἰς πλῆθος συνάγεσθαι. Φοβερόν τι καὶ παράδοξον καὶ ξένον τοιούτους βλέπειν μόνον· καὶ οἷου σχήματος ἦσαν. Ὡς οὖν εἶδε τούτους Ἀλέξανδρος, τὴν ὁρμὴν ἴσως γνωρίζων ἐκέλευσεν εὐθὺς πῦρ ἀνάπτειν καὶ ἐπέρχεσθαι αὐτοῖς. Τούτου δὲ γενομένου, οὐ φέροντες ὁρᾶν ἢ δέχεσθαι τὴν τοῦ πυρὸς δύναμιν, εὐθέως αὐτοὶ ἅπαντες ἔφυγον, καὶ δρομαῖοι ἐν σπηλαίοις κάτωθεν εἰσῆλθον τῆς γῆς. Ἐκράτησαν οὖν ἐξ αὐτῶν ἕνα ζῶντα, καὶ ἦν ἰδεῖν θαῦμα μέγιστον. Ἔχοντες δὲ αὐτοὶ ὁδὸν ἡμέρας μιᾶς καὶ διὰ τὸ μὴ εἶναι αὐτὸν μετά τινος συνδιαιτοῦντος αὐτῷ ἐξαίφνης συντρομάξας καὶ βοήσας ἀπέψυξε. Μετὰ οὖν ὁδὸν ἡμερῶν τριῶν, ὁ Ἀλέξανδρος κατέλαβε χώραν Κυνοκεφάλων· αὐτοὶ οὖν τὰ πάντα ἄνθρωποι ἦσαν, πλὴν ἡ κεφαλὴ αὐτῶν ὑπῆρχε κυνὸς· καὶ φωνὴ αὐτοῖς μέρος μέντοι ἀνθρωπίνη, μέρος δὲ κυνός· οἵτινες παραταξάμενοι ἑτοίμως ᾖχοντο εἰς πόλεμον. Ἀλλ' οὖν καὶ αὐτοὺς Ἀλέξανδρος τῷ πυρὶ ἐτροπώσατο, καὶ ἐδίωξαν αὐτῶν τὰ πλήθη. Καὶ δι' ἡμερῶν δέκα μόλις τὴν τῶν Κυνοκεφάλων διῆλθωσαν χώραν, καὶ καταλαβόντες τόπον τινὰ παραθαλάσσιον, ἐκεῖ ἔδοξε τὸν στρατὸν Ἀλεξάνδρῳ ἀναπαῦσαι. Καὶ τοῖς ὁπλίταις ἐκέλευσε κύκλωθεν τοῦ φοσάτου ταῖς ἀσπίσι φρουρεῖν ὑπεράνωθεν τῆς διώρυγος. Τινὸς δὲ ἵππον συνέβη τελευτῆσαι καὶ εἰς τὴν θάλασσαν ῥιφῆναι. Καρκίνος δὲ τῆς θαλάσσης ἀναδὺς καὶ ἐκ τοῦ χαλινοῦ τὸν τεθνεῶτα ἵππον ἁρπάσας, πάλιν τὴν θάλασσαν εἰσέδυ· καὶ οὗτοι πλῆθος ἐλθόντες, Μακεδόνες ἐδειλίασαν· ὡς δὲ ὁ λόγος ἦλθεν ἐπὶ Ἀλέξανδρον, αὐτὸς κελεύει πῦρ ἀνάπτεσθαι κύκλωθεν τοῦ φοσάτου. Τούτου δὲ γενομένου, τῆς τῶν ἐναλίων ζώων ἐπιδρομῆς ἐλυτρώθησαν.

[ΚΕΦ. ΛΕ'].

Ἐκεῖθεν δὲ διελθόντες καταντῶσιν εἰς τινα τόπον ἁλσώδη μὲν παντοίων ὀπώρων καρποὺς ἔχοντα, παράλιος δὲ ἦν ὁ τόπος ἐκεῖνος. Ὡς οὖν εἶδεν Ἀλέξανδρος, ἐκεῖ διαναπαῦσαι τὸν στρατὸν διακελεύεται πάντα. Τοῦ δὲ φοσάτου παγέντος, ἐξῆλθεν Ἀλέξανδρος ὁ βασιλεὺς παρὰ τὴν θάλασσαν· καὶ δὴ ὁρᾷ νῆσον ἐν τῇ θαλάσσῃ ἐκείνῃ, ὡς ἀπὸ σταδίων ἓξ τῆς γῆς ἀπέχουσαν· ἔδοξε δὲ αὐτὸν εἰσελθόντα τὴν νῆσον θεάσασθαι. Ἦν δὲ ἡ νῆσος τῶν

χοῖρος, καὶ ἐφοβήθημεν ἰδόντες τοιαῦτα ζῷα, καὶ κελεύω αὐτὸν συλληφθῆναι. Ὁ δὲ συλληφθεὶς ἀναιδῶς ἡμᾶς κατώπτευσε. Καὶ κελεύω ἐκδυθῆναι γυναῖκα καὶ προσενεχθῆναι αὐτῷ ἵνα ἐν εὐθυμίᾳ αὐτῆς γένηται. Ὁ δὲ ἁρπάσας αὐτὴν καὶ δρομαίως (δρομαίως ἀπελθών?) τούτην κατήσθιεν. Συνδραμόντων δὲ αὐτῶν τῶν στρατιωτῶν καταλαβεῖν αὐτὸν, ἐταρτάρησεν (ἐγαργάρισεν conj. Berger. *et là gellait il tres-oribles cris, que chascun en avoit paour.* Ms. 7518) ἐν τῇ γλώττῃ αὐτοῦ· καὶ ἀκούσαντες οἱ λοιποὶ πάντοκοι (πάροικοι conj. Berger. Fortasse latet gentis nomen, ut Παδαῖοι vel Παδδαῖοι, de quibus carnivoris v. Herodot. III, 99 ibiq interpr.) αὐτοῦ ἐξῆλθον ἐκ τοῦ ἕλους ἄνδρες ὡσεὶ μύριοι. Ἡμεῖς μὲν ἡμεθα μυριάδες τέσσαρες, καὶ κελεύω καυθῆναι τὸ ἕλος, καὶ θεασάμενοι τὸ πῦρ ἔφυγον καὶ αὐτοί. Διώξαντες αὐτοὺς ἐδήσαμεν ἐξ αὐτῶν ἄνδρας τριακοσίους, οἳ καὶ ἀποκρατήσαντες τῆς τροφῆς διεφθάρησαν· οὐ γὰρ ἐλάλουν, ἀλλ' ὡς κύνες ὐλάκτουν. Post haec pergit cod B : ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἴς τινα ποταμόν· ἐκέλευσα οὖν παρεμβολὴν γενέσθαι etc, quae eadem leguntur in cod. C cap. 36, ubi vide. Ac omnino reliqua omnia quae in hac epistola leguntur, propter nimiam brevitatem saepe obscuriora, cod. C (c 36—41) fusius exhibet eodem ordine, intermixtis et subjunctis aliis, quorum in epistola hac nulla fit mentio.

Βραχμάνων ἤτοι τῶν Ὀξυδράκων· εἶχε δὲ αὐτοὺς ἡ νῆσος ἐκείνη, οὐχὶ ὡς ὄντας πολεμιστὰς τῷ πλήθει, ἀλλὰ γυμνοσοφιστὰς ὑπὸ καλύβας καὶ σπήλαια οἰκοῦντας. Κελεύει δὲ ξύλα ἐνεχθῆναι καὶ ναῦν κατασκευασθῆναι. Καὶ διὰ πολλοῦ τοῦ τάχους οἱ Αἰγύπτιοι τὴν ναῦν κατεσκεύασαν. Μέλλων δὲ Ἀλέξανδρος εἰσιέναι εἰς αὐτὴν, καὶ πρὸς τὴν νῆσον ἐκπλεῦσαι, ἐκώλυσε τοῦτον Φίλων ὁ φίλος αὐτοῦ εἰπών· « Μηδαμῶς τοῦτο ποίει, Ἀλέξανδρε βασιλεῦ, ἀλλὰ πρῶτον ἐγὼ ἀπέλθω τὴν νῆσον θεάσασθαι, καὶ εἰ μὲν σωθησόμενος ἐπανήξω, τότε καὶ σὺ ἐπιβὰς τὰ δοκοῦντά σοι ποίει. » Ἐπὶ τοῦτο ὁ βασιλεὺς Ἀλέξανδρος τῷ Φίλωνι ἔφη· « Ἀλλ' οὐδ' ἐγώ σε θελήσαιμι πρῶτον εἰσελθεῖν τὸν ἐμοὶ περιλημένον, μήπως καὶ σὺ δυστυχήσῃς. Καὶ τίς μοι φίλος ἕτερος ἢ σὺ ἐν κόσμῳ, ἢ τίς μοι τῇ σῇ παρηγορήσει ἐν λύπῃ. » Ὁ δὲ Φίλων φησίν· « Εἰ μὲν Φίλων ὁ φίλος τοῦ βασιλέως Ἀλεξάνδρου τελευτήσειεν, εὑρεῖν ἂν ἔχῃ ὁ βασιλεὺς Ἀλέξανδρος φίλον ἕτερον Φίλωνα· εἰ δὲ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συμβῇ τι τῶν ἀπροσδοκήτων, ὅλος ἐδυστύχησεν ὁ σύμπας κόσμος. » Ὡς οὖν ταῦτα εἶπεν ὁ Φίλων, εἰσέδυ τὴν ναῦν καὶ τὴν νῆσον καταλαβὼν εὗρεν ἀνθρώπους ὁμοίους ἡμῖν κατὰ πάντα, τῇ Ἑλληνικῇ φωνῇ διαλεγομένους. Θεασάμενος δὲ ὁ Φίλων εὐθέως πρὸς Ἀλέξανδρον τὸν βασιλέα παραγίνεται τὰ τῆς νήσου διηγούμενος αὐτῷ. Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος, ἔλαβε μεθ' ἑαυτοῦ πεντήκοντα ἄνδρας καὶ εἰσῆλθεν εἰς τὴν ναῦν, Ἀντιόχον δὲ ἀντ' αὐτοῦ καταλιπὼν ἡγεῖσθαι τὸν στρατὸν μέχρις ἂν ὑποστρέψειεν, καὶ ἐν ἐκείνῳ προσκαρτερεῖν τῷ τόπῳ διὰ τὸ ἐπιτήδειον εἶναι εἰς διατροφὴν λαοῦ, καὶ τὴν νῆσον καταλαβὼν ὁ βασιλεὺς Ἀλέξανδρος ὕλας πολλὰς καὶ δένδρα πολλὰ etc. quæ leguntur etiam in cod. B, qui sicuti cod. A locum de Brachmanibus ex antiquiore historiæ nostræ recensione ponit post expeditionem contra Porum regem. Quare quæ in cod. C. jam sequuntur de Brachmanibus (cod. fol. 112 recto — fol. 134 vs.) hoc loco omittentes, lectorem relegamus ad librum tertium. Deinde pergit cod. C. fol. 134 :

[ΚΕΦ. Λτ'.]

Ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα πάντα καὶ ἰδὼν καὶ θαυμάσας σφόδρα καὶ κατανυγεὶς ἐπὶ τοῖς σοφοῖς καὶ ἀληθινοῖς λόγοις τοῦ Δανδάμεως, καὶ τοῦτον ἀσπασάμενος ἀπῆλθε φέρων πάντα ὅσα ἐνηνόχει ὥρα πλὴν τοῦ ἐλαίου, ὃ ἀνήλωσε τὸ πῦρ, καὶ τὴν ναῦν ἐπιβὰς μετὰ τῶν σὺν αὐτῷ καταλαμβάνει τὸ αὐτοῦ στρατόπεδον. Οἱ δὲ πάνυ περὶ αὐτοῦ ἀσχολούμενοι καὶ τῆς ἰδίας ἀπολεγόμενοι σωτηρίας· ὡς οὖν εἶδον αὐτὸν ἐρχόμενον, οὐ μετρίας ἐπληρώθησαν χαρᾶς. Καταλαβὼν δὲ Ἀλέξανδρος τὴν ἰδίαν φάλαγγα πάντας γνησίως κατησπάζετο, καὶ καθεσθεὶς πάντα διηγήσατο αὐτοῖς ὅσα ἤκουσε παρὰ τοῦ Δανδάμεως. Ἀπάρας δὲ τῶν ἐκεῖσε ᾤχετο τῆς ὁδοῦ.

Καὶ δι' ἡμερῶν πέντε ἦλθοσαν εἴς τινα ποταμὸν, καὶ ἐκέλευσε Ἀλέξανδρος παρεμβολὴν γενέσθαι καὶ καθοπλισθῆναι τῇ συνηθείᾳ τὰ στρατεύματα (1) αὐτοῦ. Ἦσαν δὲ ἐν τῷ ποταμῷ δένδρα, καὶ ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι (2) καὶ τὰ δένδρα ηὔξανον μέχρις ὥρας ἕκτης, ἀπὸ δὲ ἑβδόμης ὥρας ἐξέλειπον, ὥστε μὴ φαίνεσθαι ὅλως· ἄκρυα (3) δὲ εἶχον ὥσπερ συκῆς στακτὴν, πνοὴν δὲ πάνυ ἡδυτάτην καὶ καλήν. Ἐκέλευσεν οὖν Ἀλέξανδρος ἐκκόπτεσθαι τὰ δένδρα καὶ σπόγγοις ἐκλέγεσθαι τὰ τούτων ἄκρυα. Αἰφνιδίως δὲ (4) οἱ ἐκλέγοντες αὐτὰ ἐμαστιγοῦντο ὑπό τινων δαιμόνων ἀοράτων (5). Καὶ τῶν μὲν μαστιγούντων ὁ ψόφος ἠκούετο, καὶ τὰς πληγὰς ἐπὶ τῶν νώτων ἐρχομένας ἔβλεπον· τοὺς δὲ τύπτοντας οὐκέτι τις ἑωράκει (6). Φωνή δέ τις ἤρχετο λέγουσα μήτε ἐκκόπτειν μήτε συλλέγειν· εἰ δὲ μή παύσησθε, γενήσεται ἄφωνον τὸ στρατόπεδον. Ὁ δὲ Ἀλέξανδρος φοβηθεὶς ἐκέλευσεν μήτε ἐκκόπτειν μήτε συλλέγειν τινὰ ἐξ αὐτῶν. Ἦσαν δὲ ἐν τῷ ποταμῷ λίθοι μέλανες. Ὅσοι οὖν ἥπτοντο τῶν λίθων τούτων, τὴν ἴσην χροιὰν ἐλάμβανον τοῖς λίθοις. Ἦσαν δὲ καὶ δράκοντες ἐν τῷ ποταμῷ, καὶ ἰχθύων πολλὰ γένη, ἅτινα πυρὶ οὐχ ἥψωντο, (7) ἀλλ' ἐν ὕδατι ψυχρῷ πηγαίῳ (8). Εἷς οὖν τῶν στρατιωτῶν λαβὼν ἰχθὺν καὶ ἐκπλύνας καὶ βαλὼν εἰς ἄγγος (9) ἀφῆκε, καὶ εὗρε τὸν ἰχθὺν ἡψημένον. Ἦσαν δὲ ἐν τῷ ποταμῷ ὄρνεα παρεμφερῆ τοῖς ὀρνέοις τοῖς παρ' ἡμῖν· εἴ τις οὖν αὐτῶν ἐθίγγανε (10), πῦρ ἐξέβαινεν ἐξ αὐτῶν.

[ΚΕΦ. ΛΖ'.]

Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὡδεύσαν πλανώμενοι. Ἔλεγον δὲ οἱ ὁδηγοὶ τῷ Ἀλεξάνδρῳ· « Οὐκ οἴδαμεν ποῦ ὑπάγομεν, δέσποτα βασιλεῦ Ἀλέξανδρε· ὑποστρέψωμεν, ἵνα μὴ εἰς χείρονας τόπους ἡμεῖς ἐκπέσωμεν (1). » Αὐτὸς δὲ ὁ Ἀλέξανδρος οὐκ ἐβούλετο ὑποστρέψαι· καὶ δι' ἡμερῶν δέκα διελθών, τὸ τῆς ἡμέρας οὐκ ἦν φέγγος, ἀλλ' ἐπὶ ὥρας μιᾶς μικρά τις ἐφαίνετο αὐγή (2). Ὑπῆντα δὲ αὐτοῖς θηρία πολλὰ καὶ ἐξάποδα καὶ τριόφθαλμα καὶ πεντόφθαλμα (3), τὸ μῆκος ἔχοντα πήχεις δέκα, καὶ ἄλλα πολλὰ γένη θηρίων· καὶ ἃ μὲν ἀνεχώρουν φεύγοντα, ἃ δὲ καὶ ἐφήλλοντο αὐτοῖς. Εἶτα ἐλθὼν Ἀλέξανδρος εἰς ἀμμώδη τινὰ τόπον, ὅθεν ἐξῆλθον θηρία ὅμοια ὀνάγροις, ἔχοντα ἀνὰ πήχεις εἴκοσι· οὐκ εἶχον δὲ ἀνὰ δύο ὀφθαλμούς, ἀλλὰ ἀνὰ ἕξ, τοῖς δὲ δυσὶ μόνοις ἔβλεπον.

Cap. XXXVI. 1. τὰ συνήθη στρατεύματα B. ‖ 2. τοῦ ἡλίου ἀνατέλλοντος C. ‖ 3. δάκρυα.. στακτὴν om. C, deinde exhibens πνοὴν δὲ εἶχον πάνυ etc. ‖ 4. καὶ ἐφνιδίως C. ‖ 5. ὑπό τινος δαίμονος ἀοράτου C. mox μαστιγουμένων C. ‖ 6. τ. δὲ τύπτοντας οὐκ ἐθεωροῦμεν B. ‖ 7. sic B; ἐψοῦντο C. ‖ 8. πιγημαίῳ (i. e. πηγιμαίῳ) B. ‖ 9. ἄλος B, quod Bergerus II. p. 360 mutavit in ἅλας. ‖ 10. ἥψθιεν ἐξ αὐτῶν πῦρ ἐξέβαινε ἐξ αὐτοῦ B.

Cap. XXXVII. 1. ἵνα .. ἐκπέσωμεν om. B. ‖ 2. καὶ δι' ἡμερῶν.. αὐγή om. B. ‖ 3. καὶ πεντόφθαλμα om. B. ‖ 4. addit B: ἄλλοι δὲ ἐκ τῆς γῆς ὑδνα ἔχοντες ἀνὰ λίτρας εἴκοσι πέντε τὸν σταθμόν. ‖ 5. ἐρχομένας B.

Οὐκ ἦσαν δὲ μάχιμα, ἀλλὰ ἥπια. Καὶ ἄλλα δὲ πολλὰ κατέβαλλον τοῖς τόξοις οἱ στρατιῶται. Κἀκεῖθεν ἀναχωρήσας Ἀλέξανδρος ἦλθεν εἰς τινα τόπον, ἔνθα ἦσαν ἄνθρωποι κυνοκέφαλοι, λαλοῦντες δὲ ἀνθρωπίνως τῇ ἰδίᾳ γλώσσῃ, δασεῖς, δερματοφόροι, ἰχθυοφάγοι· θαλασσίους δὲ ἰχθύας ἀγρεύοντες ἐκόμιζον τῷ στρατοπέδῳ αὐτοῦ ἐκ τῆς παρακειμένης αὐτοῖς θαλάσσης (4)· φῶκας δὲ πλείστας καὶ μεγάλας εἶδον ἑρπούσας (5) ἐπὶ τῆς γῆς. Πολλὰ δὲ οἱ φίλοι τῷ Ἀλεξάνδρῳ συνεβούλευσαντο ὑποστρέψαι· ἀλλ' οὐκ ἠβουλήθη θέλων ἰδεῖν τὸ τέλος τῆς γῆς.

[ΚΕΦ. ΛΙΓ'.]

Ἐκεῖθεν οὖν ἀναλαβὼν ὁ Ἀλέξανδρος ἔρημον ὥδευσεν ἐπὶ θάλασσαν, μηκέτι μηδὲν ὁρῶν μήτε πετεινὸν μήτε θηρίον, εἰ μὴ τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὸν δὲ ἥλιον (1) οὐκέτι ἐθεώρουν, ἀλλὰ μαῦρον τὸν ἀέρα ἐπὶ ἡμέρας δέκα· ἐλθὼν δὲ εἴς τινα τόπον παραθαλάσσιον, καὶ τὰς σκηνὰς ἐκεῖθεν καὶ τὴν παρεμβολὴν κελεύσας παγῆναι, ἀνῆλθεν σὺν τοῖς στρατιώταις εἰς πλοιάρια, καὶ κατέπλευσαν εἴς τινα νῆσον τῆς θαλάσσης, οὐ μακρὰν δὲ οὖσαν ἀπὸ τῆς γῆς, ἐν ᾗ ἤκουον λαλιὰς ἀνθρώπων Ἑλληνικῇ διαλέκτῳ λαλούντων· τοὺς δὲ ἀνθρώπους τοὺς λαλοῦντας οὐδεὶς ἑώρα. Τινὲς δὲ στρατιῶται παραβουλευσάμενοι κολύμβῳ διῆλθον ἀπὸ τοῦ πλοιαρίου εἰς τὴν νῆσον τοῦ ἱστορῆσαι αὐτήν, καὶ εὐθέως καρκίνοι ἐξελθόντες εἵλκυσαν αὐτοὺς εἰς τὸ ὕδωρ. Φοβηθεὶς οὖν ὁ Ἀλέξανδρος ὑποστραφῆναι εἰς τὴν γῆν ἐκέλευσεν. Ἐξελθόντες δὲ (2) τῶν πλοίων, ἔνθεν περιπατῶν Ἀλέξανδρος παρὰ τὴν ὄχθην τῆς θαλάσσης εὗρε καρκίνον ἐξελθόντα εἰς τὴν ξηρὰν τὸ μέγεθος μέγα σφόδρα. Οἱ δὲ ἐμπρόσθιοι πόδες οἱ λεγόμενοι δίχηλοι ἐκλύοντο. Ἰδόντες δὲ αὐτὸν οἱ στρατιῶται καὶ βάλλοντες δόρασιν, ἀνεῖλον αὐτὸν μετὰ βίου (3)· σίδηρος γὰρ οὐκ εἰσήρχετο ἐν τῷ ὀστράκῳ αὐτοῦ· τοῖς γὰρ ἐμπροσθίοις ποσὶ συνέτριβε τὰ δόρατα αὐτῶν. Ἀνελόντες δὲ αὐτὸν καὶ ἀναπτύξαντες εὗρον ἐν αὐτῷ μαργαρίτας ἑπτὰ μεγάλης τιμῆς ἀξίους· οὐδεὶς γὰρ τῶν ἀνθρώπων τοιούτους μαργαρίτας πώποτε ἐθεάσατο. Τούτους ἰδὼν Ἀλέξανδρος ὑπέλαβεν ἐν τῷ τῆς ἀπλεύστου θαλάσσης βυθῷ αὐτοὺς γενέσθαι, ὅθεν ὑπενόησεν κλωβὸν (4) σιδηροῦν γενέσθαι μέγαν, ἔσωθεν δὲ τοῦ κλωβοῦ εἰσενεχθῆναι παμμεγέθη ὑέλινον πίθον, ἔχοντα τὸ πάχος σπιθαμὴν μίαν. Ἐκέλευσεν οὖν ὁ Ἀλέξανδρος ἐν τῷ πυθμένι τοῦ πίθου γενέσθαι τρυμαλιὰν (5) ὡς χωρεῖν ἀνθρώπου χεῖρα. Βουλόμενος δὲ κατελθεῖν καὶ μαθεῖν τί ἐστι ἐν τῇ θαλάσσῃ, ἔχει (6) κεκλεισμένην τὴν τρυμαλιὰν τὴν οὖσαν ἐν τῷ πυθμένι ἐσωθεν, ὅπως κατελθόντος αὐτοῦ [δυνηθείη] εὐθέως ἀνοίξας καὶ ἐξαγαγεῖν αὐτοῦ τὴν χεῖρα διὰ τῆς τρυμαλιᾶς καὶ εὐθέως λαβεῖν ἐκ τῆς παρακειμένης ψάμμου τὸ εὑρεθὲν ἐν τῷ πυθμένι τῆς τοιαύτης θαλάσσης, καὶ πάλιν εἰσενεγκεῖν τὴν χεῖρα καὶ φράξαι τὴν τρυμαλιάν. Ὃ καὶ πεποίηκεν. Ἐκέλευσε δὲ γενέσθαι ἅλυσιν (7) ὡσεὶ πηχῶν διακοσίων ἢ ὀργυιῶν, καὶ προσέταξε ἵνα μηδεὶς ἀνελκύσει αὐτὸν, ἐὰν μὴ πρῶτον ἡ ἅλυσις ταραχθῇ· (ἵνα ὅταν κατέλθῃ ὁ Ἀλέξανδρος ἐν τῷ πυθμένι τῆς θαλάσσης, εὐθέως ταράξῃ τὸν κλωβὸν, καὶ τότε οὗτοι ἀνάγωσιν αὐτόν.) Μετὰ γοῦν τὸ κατασκευασθῆναι πάντα, εἰσῆλθεν ὁ Ἀλέξανδρος ἐν τῷ ὑελῷ πίθῳ μετὰ τοῦ κλωβοῦ βουλόμενος ἐπιχειρεῖν ἀδυνάτοις· εἰσελθὼν δὲ, διὰ μολύβδου ἐκλείσθη ἡ εἴσοδος. Καὶ κατελθὼν πήχεις ἑκατὸν εἴκοσι, ἰχθῦς μέγας διῆλθε καὶ τῇ κέρκῳ αὐτοῦ κρούσας τὸν κλωβὸν, ἀνήγαγον αὐτὸν διὰ τὸ τὴν ἅλυσιν ταραχθῆναι. Ὁ δὲ Ἀλέξανδρος προσέταξε πάλιν καταγαγεῖν αὐτόν. Καὶ αὖθις τὸ αὐτὸ ἐγένετο. Τρίτον οὖν καταβὰς ὡσεὶ πήχεις διακοσίας, ἔβλεπεν διὰ τοῦ ὑέλου περικυκλοῦντα αὐτὸν πλῆθη ἰχθύων· καὶ ἰδοῦ ἐλθὼν παμμεγεθέστατος (8) ἰχθὺς ἔλαβεν αὐτὸν σὺν τῷ κλωβῷ ἐν τῷ στόματι αὐτοῦ καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὴν γῆν μακρόθεν τῶν πλοιαρίων μιλίου ἑνός. Ἦσαν δὲ οἱ κατάγοντες αὐτὸν ἑκατὸν πεντήκοντα· καὶ πάντας εἵλκυσεν ὁ ἰχθὺς σὺν τοῖς τέσσαρσι πλοιαρίοις. Φθάσας δὲ σὺν τῷ κλωβῷ ἐν τῇ ξηρᾷ καὶ τοῖς ὀδοῦσι τὸν κλωβὸν ἀποτινάξας ἔρριψεν αὐτὸν ἐπὶ τὴν ξηράν. Ὁ δὲ βασιλεὺς Ἀλέξανδρος ἡμίπνους ὅλος καὶ σύντρομος ἐξελθὼν καὶ νενεκρωμένος ἐκ τοῦ φόβου αὐτοῦ, ηὐχαρίστη τῇ ἄνω προνοίᾳ τῇ φυλαξάσῃ αὐτὸν ἐκ τοῦ πονηροῦ θηρὸς ἐκείνου· ὁμῶς εἶπε πρὸς ἑαυτόν· « Ἀπόσχου, Ἀλέξανδρε, ἀδυνάτοις ἐπιχειρεῖν, μήπως ἐρευνῶν ἀνιχνεύτοις βυθοῖς καὶ τοῦ ζῆν στερηθῇς. » Καὶ εὐθέως προσέταξε τὸ στρατόπεδον ἐκεῖθεν ἀπᾶραι καὶ ἐπὶ τὰ ἔμπροσθεν πορεύεσθαι.

[ΚΕΦ. ΛΘ'.]

Ἐκεῖθεν οὖν πάλιν ὥδευσεν Ἀλέξανδρος μετὰ τοῦ στρατοῦ αὐτοῦ· καὶ ἀναχωρήσαντες εἰς τόπον τινὰ ἐπίπεδον· μέσον δὲ τῆς πεδιάδος φάραγξ ἦν διαχωρίζουσα. Ἐκείνην οὖν Ἀλέξανδρος γεφυρώσας ἔγραψεν ἐν αὐτῇ γράμματα Ἑλληνικὰ καὶ Περσικὰ καὶ Αἰγυπτιακά· αἱ δὲ γραφαὶ διηγόρευον ταῦτα· « Ἐνθάδε Ἀλέξανδρος εἰσελθὼν ἤγειρεν ἀψῖδα, ἐν ᾗ πανστρατὶ διαβὰς, ἄκρας θέλων γαίας καταλαβεῖν, ὡς τῇ προνοίᾳ ἔδοξε. » Καὶ διὰ τριῶν (1) ἡμερῶν ἦλθεν εἰς τόπους ὅπου ὁ ἥλιος οὐκ ἔλαμπεν. Ἐκεῖ οὖν ἐστὶν ἡ καλουμένη μακάρων χώρα. Καὶ καταλείψας (2) Ἀλέξανδρος τὴν ἀπαρτίαν τοῦ φοσάτου καὶ τὸν πεζὸν λαὸν μετὰ τῶν γερόντων

Cap. XXXVIII. 1. οὐρανὸν B; et mox μελανὸν pro μαυρόν· ‖ 2. Quae sequuntur inde ab ἐξελθόντες δὲ usque ad finem hujus capitis non habet cod. B, qui pergit verbis : καὶ πάλιν ἤλθομεν διὰ δύο ἡμερῶν εἰς τόπους ὅπου ὁ ἥλιος οὐ λάμπει etc. (v. cap. 39 init). ‖ 3. sic cod.; conj. βίας, quamvis ne hoc quidem genuinum sit. ‖ 4. κλοῦβον cod.; corr. Berger de Xivrey in Notices et Extr. des Manuscr. tom. XIII, p. 185, ubi locum hunc exscriptum habes ‖ 5 τριμαλιὰν cod.; corr Berger. ‖ 6. ἔχειν δὲ cod. ‖ 7. ἅλυσσον cod. ‖ 8. παρμεγέθεστος cod.

Cap. XXXIX. 1. δύο B ‖ 2. B. nihil nisi haec : καὶ θέλοντός μου ἱστορῆσαι καὶ ἰδεῖν τοὺς τόπους ἐκείνους ἐπιχείρησε λαβεῖν

καὶ τῶν γυναικῶν, ἠθέλησε παραλαβεῖν ἐπιλέκτους νέους τοῦ ἱστορῆσαι καὶ ἰδεῖν τοὺς τόπους ἐκείνους. Καλλισθένης δέ τις φίλος αὐτοῦ συνεβουλεύσατο αὐτῷ εἰσελθεῖν σὺν φίλοις τεσσαράκοντα καὶ παισὶν ἑκατὸν καὶ στρατιώταις χιλίοις διακοσίοις. Ἐπορεύθη οὖν (3) Ἀλέξανδρος ὁ βασιλεὺς σὺν αὐτοῖς παραγγείλας μὴ συνακολουθῆσαί τινα γέροντα μεθ' ἑαυτῶν. Εἷς δέ τις γέρων περίεργο ἔχων δύο υἱοὺς γενναίους καὶ ἀληθεῖς στρατιώτας, λέγει πρὸς αὐτούς· « Τέκνα, ἀκούσατε τοῦ πατρὸς ὑμῶν, καὶ λάβετέ με μεθ' ὑμῶν, καὶ οὐχ εὑρεθήσομαι κενὸς ἐν τῇ ὁδῷ· οἶδα γὰρ ὅτι ἐν καιρῷ περιστάσεων ζήτησις μέλλει γενέσθαι γέροντος· ὑμεῖς οὖν οἱ ἔχοντές με μεθ' ὑμῶν ἐκεῖ μεγάλως τιμηθήσεσθε παρὰ τοῦ βασιλέως ἡμῶν. Μήπως εὑρεθέντες παραβαίνειν τὸ πρόσταγμα αὐτοῦ, τοῦ ζῆν στερηθῆτε, νῦν ἀναστάντες χείρατέ μου τὴν κεφαλὴν καὶ τὸν πώγωνα· καὶ ἀλλάξας τὰς τρίχας καὶ τὸ σχῆμα πορεύσομαι μεθ' ὑμῶν, καὶ ἐν καιρῷ δέοντι μεγάλως ὑμᾶς ὠφελήσω. » Οἱ δὲ ποιήσαντες τὸ κελευθὲν παρὰ τοῦ πατρὸς αὐτῶν, ἀπῆραν μετ' αὐτῶν τὸν γέροντα τὸν πατέρα αὐτῶν. Καὶ οὕτως ὥδευσαν σὺν τῷ Ἀλεξάνδρῳ, καὶ εὗρον τόπον δμιχλώδη. Μὴ δυνάμενοι δὲ ῥρωτέρω προβῆναι διὰ τὸ ἄβατον εἶναι τὸν τόπον, ἀπῆραν ἐκεῖθεν τὰς σκηνὰς αὐτῶν. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ λαβὼν τοὺς χιλίους ἐνόπλους, εἰσῆλθεν ὁ Ἀλέξανδρος μετ' αὐτῶν ἱστορῆσαι, μήπως ἐνταῦθά εἰσι τὰ ἄκρα τῆς γῆς. Καὶ εἰσελθὼν ἐν τοῖς ἀριστεροῖς μέρεσιν εἶδε μέρος τόπου φωτεινότερον· καὶ ὥδευσε τόπους ἐρήμους καὶ χρημνώδεις ἕως ἡμέρας ἥμισυ. Τοῦτο δὲ οὐκ ἐκ τοῦ ἡλίου ἐπέγνω, ἀλλὰ σχοινίοις ἐμέτρα τὴν ὁδὸν κατὰ τὴν γεωμετρίαν, καὶ ἐπέγνω τὴν ὥραν. Μετὰ δὲ ταῦτα φοβηθεὶς ὁ Ἀλέξανδρος, ὑπέστρεψε διὰ τὸ τὴν ὁδὸν ἄβατον εἶναι. Ἐξελθὼν δὲ ἠβουλήθη ἐλθεῖν ἐν τοῖς δεξιοῖς μέρεσιν· ἦν γὰρ πεδίον ὁμαλὸν, πλὴν ζοφώδες καὶ σκοτεινόν. Αὐτὸς οὖν ἐν ἀμηχανίᾳ γενόμενος, ὅτι οὐδεὶς τῶν νέων συνεβούλευσεν αὐτῷ εἰσελθεῖν ἐν τῷ ζοφώδει τόπῳ· μήποτε γὰρ τῶν ἀρρένων ἵππων διὰ τοῦ σκότους τῆς μακρᾶς ὁδοῦ κοπιασάντων, οὐ δυνήσονται ὑποστρέψαι· ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτούς· « Ὦ γενναῖοι στρατιῶται, πάντες ἐν τοῖς πολέμοις νῦν ἐγνώκατε, ὅτι ἄνευ βουλῆς καὶ συνέσεως οὐδέν ἐστι γενναῖον· καὶ γὰρ ἐλθὼν γηραιὸς συνεβούλευεν [ἂν] ἡμῖν (4) πῶς δεῖ εἰσελθεῖν ἐν τῷ ζοφώδει τόπῳ τούτῳ. Ἀλλ' οὖν τις ἐν ὑμῖν γενναῖος ἀπελθὼν ἐν τῇ παρεμβολῇ ἡμῶν ἐνεγκάτω (5) μοι γέροντα καὶ λήψεται παρ' ἐμοῦ χρυσίον πολύ. » Οὐδεὶς δὲ ἠρέθη ἐξ αὐτῶν τοῦτο ποιῆσαι διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ διὰ τὸν ἀέρα ἀφεγγῆ εἶναι. Καὶ προσελθόντες οἱ υἱοὶ τοῦ γέροντος λέγουσιν αὐτῷ· « Εἰ ἀνεξικάκως ἀκούεις ἡμῶν, βασιλεῦ, ἐροῦμέν τι πρός σε. » Ὁ δὲ βασιλεὺς Ἀλέξανδρος εἶπεν· « Ὅπ ὅ' ἂν βούλησθε, εἴπατε· ὀμνυμι γὰρ τὴν ἄνω πρόνοιαν τοῦ μὴ ἀδικῆσαι ὑμᾶς. » Οἱ δὲ εὐθέως διηγήσαντο αὐτῷ περὶ τοῦ πατρὸς αὐτῶν· καὶ δραμόντες παρέστησαν αὐτῷ τὸν γέροντα. Ὁ δὲ Ἀλέξανδρος ἰδὼν κατησπάσατο αὐτὸν, καὶ βουλὴν ἠτεῖτο εὑρεῖν αὐτοῖς. Ὁ δὲ γέρων ἔφη· « Ἔξεστί σοι, ὦ βασιλεῦ Ἀλέξανδρε, τοῦτο γνῶναι, ὅτι εἰ μὲν ἵπποι εἰσέλθωσιν, οὐκέτι τὸ φῶς ὄψει. Ἐπίλεξον οὖν ἵππους θηλείας ἐχούσας πώλους, καὶ τοὺς μὲν πώλους ἔασον ἐνταῦθα, ἡμεῖς δὲ εἰσελθόντες μετὰ τῶν θηλειῶν ἵππων, ἄξουσιν ἡμᾶς αὖται ἐκεῖσε. » Ζητήσας οὖν ὁ Ἀλέξανδρος ἐν ἐκείνοις πᾶσι τοῖς ὧδε μετ' αὐτοῦ, οὐχ εὗρεν εἰ μὴ ἑκατὸν ἵππους θηλείας μετὰ τῶν πώλων αὐτῶν. Λαβὼν οὖν αὐτὰς καὶ ἑτέρους ἑκατὸν ἐπιλέκτους, ὁμοίως καὶ ἄλλους πλείστους βαστάζοντας τὰς τροφὰς αὐτῶν, εἰσῆλθον κατὰ τὴν βουλὴν τοῦ γέροντος, ἐάσαντες ἔξω τοὺς πώλους. Ὁ δὲ γέρων παρήγγειλε τοῖς υἱοῖς αὐτοῦ ὅ τι δ' ἂν εὕρωσι μετὰ τὸ εἰσελθεῖν ἐπὶ τῆς γῆς κείμενον, τοῦτο συνάγειν καὶ βάλλειν ἐν τοῖς μαρσίποις αὐτῶν. Καὶ εἰσῆλθον μετὰ Ἀλεξάνδρου τριακόσιοι ἑξήκοντα (6) στρατιῶται. Καὶ οὕτως εἰσερχόμενοι ὁδὸν σκοτεινὴν ἐπὶ σχοίνους δεκαπέντε, εἶδον τινὰ τόπον, καὶ ἦν ἐν αὐτῷ πηγὴ διαυγὴς, ἧς τὸ ὕδωρ ἤστραπτεν ὡς ἀστραπή· ἦν δὲ ὁ ἀὴρ ἐκεῖνος εὐώδης καὶ πάνυ γλυκύτατος (7). Πρόσπεινος δὲ γενόμενος Ἀλέξανδρος ὁ βασιλεὺς ἤθελε γεύσασθαι ἄρτου, καὶ καλέσας τὸν μάγειρον αὐτοῦ ὀνόματι καλούμενον Ἀνδρέαν (8), εἶπεν αὐτῷ ἵνα εὐτρεπίσῃ προσφάγιον. Ὁ δὲ αὖον τάριχον (9) λαβὼν ἐπορεύθη ἐπὶ τὸ διαυγὲς ὕδωρ τῆς πηγῆς ἐκπλῦναι τὸ ἔδεσμα. Καὶ εὐθέως βραχὲν (10) ἐν τῷ ὕδατι ἐψυχώθη καὶ ἐξέφυγε τῶν χειρῶν τοῦ μαγείρου (11). Ὁ δὲ μάγειρος οὐδενὶ ἐδήλωσε τὸ γενόμενον· αὐτὸς δὲ λαβὼν (12) ἐξ αὐτοῦ τοῦ ὕδατος ἐν σκεύει τινὶ ἀργυρέῳ ἐφύλαξεν· ἦν γὰρ πᾶς ὁ τόπος ἐκεῖνος βρύων ὕδατα, ἐξ ὧν πάντες ἔπιον καὶ ἔλαβον τροφῆς.

[ΚΕΦ. Μ'.]

Μετὰ δὲ τὸ λαβεῖν βρώσεως, πάλιν ὁδεύσας Ἀλέξανδρος σχοίνους τριάκοντα, εἶδε λοιπὸν αὐγὴν ἄνευ ἡλίου καὶ σελήνης καὶ ἄστρων· καὶ ἐθεάσατο τρία (1) ὄρνεα πετόμενα καὶ μόνον ἔχοντα ὄψεις ἀνθρωπίνας, Ἑλληνικῇ δὲ διαλέκτῳ ἐξ ὕψους κραυγάζοντα αὐτῷ· « Ἡ χώρα ἣν (2) πατεῖς, Ἀλέξανδρε, τοῦ θεοῦ μόνου ἐστίν· ἀνάστρεφε δείλαιε· μακάρων χώραν πατεῖν οὐ δυνήσῃ (3). Ἀνάστρεψον οὖν, ἄνθρωπε, καὶ τὴν δεδομένην σοι γῆν πάτει, καὶ μὴ κόπους πάρεχε σεαυτῷ (4). »

τοὺς ἰδίους μου δούλους καὶ εἰσελθεῖν πρὸς αὐτούς. Καλλισθένης δὲ κτλ. ‖ 3. Sequentem narrationem paucis indicat epistola cod. B ita pergentis : ἐξω δὲ μετὰ (sic) τὴν ὁδὸν ἐπενοήσαμεν ὄνους θηλείας ἐχούσας πωλάρια εἰς τὴν παρεμβολὴν τοῦ φοσάτου κρατηθῆναι. Καὶ οὕτως εἰσερχόμεθα ὁδὸν σκοτεινὴν ἐπὶ σχοίνους δεκαπέντε etc. ut in cod. C. ‖ 4. συνεβούλευσεν ἡμῖν cod. ‖ 5. ἀπελθεῖν.. ἐνέγκει cod. ; possis etiam : ἐὰν.. ἐνέγκῃ . λήψεται ‖ 6. ἑξῆντα cod. ‖ 7. ἦν δὲ ὁ ἀὴρ.. γλυκύτατος iterum om. B. ‖ 8. nomen coqui om. B. ‖ 9. ὠοτάριχον C. τάριχον B. ‖ 10. τὸ ἔδεσμα add. B. ‖ 11. addit B : ἦσαν δὲ πάντες οἱ τόποι ἐκεῖνοι ἔνυγροι, quæ paullo post significat C. ‖ 12. hæc om. B pergens : πάλιν οὖν ὁδεύσαντες σχοίνους λ' etc.

Cap. XL. 1. δύο B rectius. ‖ 2. ποίαν χώραν πατεῖς, Ἀ., τὴν θεοῦ μόνου B. ‖ 3. μ. συνάπτειν οὐ δύνασαι B. ‖ 4 καὶ τοῖ-

Σύντρομος δὲ γενόμενος Ἀλέξανδρος τάχιστα ὑπήκουσε τῆς φωνῆς τῆς ὑπὸ τῶν ὀρνέων αὐτῷ δεδομένης. Τὸ δὲ ἕτερον ὄρνεον πάλιν ἐφθέγξατο (5) αὐτῷ· « Ἐκκαλεῖ σε ἡ ἀνατολή, Ἀλέξανδρε, καὶ ἡ Πώρου βασιλεία νίκη ὑποταχθήσεταί σοι. » Καὶ ταῦτα εἰπὸν τὸ ὄρνεον (6) ἀνέπτη. Ὁ δὲ Ἀλέξανδρος ἐξιλεωσάμενος (7) τῇ ἄνω προνοίᾳ, ἐκέλευσεν Ἀντιόχῳ τοῖς στρατιώταις ἐπισημῆναι· « Ἕκαστος ὃ βούλεται τῶν ὧδε ἀράτω, εἴτε λίθον εἴτε πηλὸν ἢ καὶ ξύλον. » Καὶ τοῖς μὲν ἔδοξε τοῦτο ποιεῖν, τοῖς δὲ λῆρος ἐδόκει τὸ ῥῆμα τοῦ Ἀλεξάνδρου. Ὡς δὲ πορευόμενοι, εἶπεν ὁ Ἀλέξανδρος τῷ Φίλωνι· « Κάτελθε τοῦ ἵππου καὶ ὃ ἐν τῇ χειρί σου τύχῃ ἂν ἀνάλαβε τοῦτο. » Κατελθὼν δὲ ὁ Φίλων λίθον εὗρεν ὡς ἔοικε κοινὸν τῶν ἀχρήστων. Ἆρας δὲ τοῦτον ᾤχετο μετὰ Ἀλεξάνδρου. Πολλοὶ οὖν καὶ τῶν στρατιωτῶν ἐκ τῆς παρακειμένης ὕλης ἐν τῷ τόπῳ ἐκείνῳ ἔλαβον ἕκαστος ὃ εὗρεν. Ἐξαιρέτως δὲ κατὰ τὴν κέλευσιν τοῦ πατρὸς αὐτῶν, οἱ υἱοὶ τοῦ γέροντος ἔπλησαν τοὺς μαρσίπους αὐτῶν, μηκέτι περιπατεῖν ἰσχύοντες. Ὁ δὲ Ἀλέξανδρος ἔχων τοὺς ὁδηγοὺς (8), τὰς ὄνους ἔμπροσθεν ἔβαλλε· καὶ πάλιν κατὰ τὴν ἄμαξαν ἐπορεύετο τῶν ἀστέρων, καὶ διά τινων ἡμερῶν (9) ἐξῆλθε πρὸς τὴν φωνὴν τῶν θηλείων ἵππων (10). Καὶ οὕτως τῆς παννυχίου (11) ἐκείνης ἐξήεσαν γῆς.

[ΚΕΦ. ΜΑ'.]

Ὅτε οὖν ἐξῆλθον (1) εἰς τὸ φῶς ἔνθα ἦσαν οἱ ἕτεροι στρατιῶται, καὶ ἀλλήλους θεασάμενοι εὗρον μαργαρίτας καὶ λίθους τιμῆς ἀξίους. Τούτους ἰδόντες πάντες μετεμελήθησαν οἵτινες οὐκ ἔλαβον· ὅσοι δὲ ἔλαβον ὑπερηύχοντο πάντες τῷ γέροντι καὶ τῷ Ἀλεξάνδρῳ διὰ τὴν ἀγαθὴν αὐτῶν βουλήν. Ὁ δὲ Φίλων τὸν λίθον πρὸς Ἀλέξανδρον ἤγαγε, καὶ ὅλος ἦν χρυσὸς εὔροιζος. Τότε οὖν καὶ ὁ μάγειρος ὑρηγήσατο πῶς ἐψυχώθη τὸ ἔδεσμα. Ὁ δὲ Ἀλέξανδρος ὀργισθεὶς ἐκέλευσεν αὐτὸν δεινῶς μαστιγωθῆναι. Ὅμως εἶπε πρὸς αὐτόν· « Τί σοι ὄφελος, Ἀλέξανδρε, μεταμεληλῆναι ἐπὶ πράγματος παρελθόντος; » Οὐκ ἔφη δὲ ὅτι ἔπιεν ἐκ τοῦ ὕδατος, ἢ ὅτι ἐφύλαξεν αὐτό. Τοῦτο δὲ ὁ μάγειρος οὐχ ὁμολογῆσαι εἶχεν, εἰ μὴ ὅτι ἐψυχώθη τὸ ταρίχιον (2). Προσελθὼν δὲ ὁ πονηρὸς μάγειρος ἐκεῖνος τῇ θυγατρὶ Ἀλεξάνδρου τῇ ἐκ τῆς παλλακῆς Οὔνης γεννηθείσῃ καλουμένῃ Καλῇ, ἐπλάνησεν αὐτὴν ὑποσχόμενος δοῦναι πιεῖν ὕδωρ ἐκ τῆς ἀθανάτου πηγῆς· ὃ καὶ ἐποίησεν. Ὁ δὲ Ἀλέξανδρος τοῦτο μαθών, ἐρθόνησε τὴν ἀθανασίαν αὐτῶν. Καὶ τὴν αὐτοῦ θυγατέρα προσκαλεσάμενος, εἶπεν αὐτῇ· « Λαβοῦσα τὸν ἱματισμόν σου ἔξελθε ἀπεντεῦθεν· ἰδοὺ γὰρ γέγονας δαίμων ὡς ἀθανατισθεῖσα· ἔσῃ δὲ καλουμένη Νηρεὶς, ὡς ἀπὸ τοῦ ὕδατος τὸ ἀΐδιον σχοῦσα, καὶ ἐνταῦθα κατοικήσεις ». Ἡ δὲ κλαίουσα καὶ ὀδυρομένη ἐξῆλθε τοῦ προσώπου αὐτοῦ, καὶ ἀπῆλθεν ἐν ἐρήμοις τόποις μετὰ τῶν δαιμόνων. Τὸν δὲ μάγειρον προσέταξε δεθῆναι λίθῳ ἐν τῷ τραχήλῳ αὐτοῦ καὶ ῥιφθῆναι ἐν τῇ θαλάσσῃ. Ὁ δὲ ῥιφθεὶς ἐγένετο δαίμων καὶ κατῴκησεν ἐκεῖ ἔν τινι τόπῳ τῆς θαλάσσης· ἀφ' οὗ ἐκλήθη ὁ τόπος Ἀνδρεαντικός. Καὶ ταῦτα μὲν περὶ τοῦ μαγείρου καὶ τῆς θυγατρὸς αὐτοῦ. Ὁ δὲ Ἀλέξανδρος ὑπέλαβε διὰ τῶν σημείων τούτων ἐκεῖσε εἶναι τὰ ἄκρα τῆς γῆς. Ὡς δὲ ἔφθασαν εἰς τὴν ἀψῖδα ἣν ἔκτισεν Ἀλέξανδρος, ἔγραψε πάλιν ἐν αὐτῇ οὕτω διὰ γλυφίδος· « Οἱ βουλόμενοι εἰσελθεῖν ἐν τῇ τῶν μακάρων χώρᾳ δεξιᾷ πορευέσθωσαν. »

Προσέταξεν οὖν συλληφθῆναι ἐκ τῶν ὀρνέων τοῦ τόπου ἐκείνου δύο. Καὶ ἦσαν πάνυ μέγιστα καὶ ἀλκιμώτατα καὶ ἥμερα· βλέποντα γὰρ τοὺς ἀνθρώπους οὐκ ἔφευγον. Τινὲς δὲ τῶν στρατιωτῶν καὶ ἐπέβαλον ἐν τοῖς ὤμοις αὐτῶν, τὰ δὲ βαστάζοντα ἀνίπτοντο· ἤσθιον δὲ καὶ θῆρας ἀγρίους· ἐνθέντι καὶ πλεῖστα τῶν ὀρνέων ἦλθον πρὸς αὐτοὺς διὰ τοὺς ἵππους θνήσκοντας. Δύο δὲ ἐξ αὐτῶν κρατήσας ὁ Ἀλέξανδρος προσέταξε μὴ φαγεῖν βρώματα μέχρι τριῶν ἡμερῶν· τῇ δὲ τρίτῃ ἡμέρᾳ προσέταξε κατασκευασθῆναι ξύλον ὅμοιον ζυγῷ καὶ τοῦτο προσδεθῆναι ἐν τοῖς τραχήλοις αὐτῶν. Εἶτα ἐλθὼν αὐτὸς ἐν μέσῳ τοῦ ζυγοῦ ἐκράτησε τὸ δόρυ ὡσεὶ πῆχυν τὸ μῆκος ἔχον ἐπάνω ἧπαρ. Εὐθὺς οὖν ἀναπτάντα τὰ ὄρνεα τοῦ φαγεῖν τὸ ἧπαρ, ἀνῆλθε μετ' αὐτῶν ὁ Ἀλέξανδρος ἐν τῷ ἀέρι εἰς τὸ ὕψος. Πάνυ δὲ ἔτρεμε διὰ τὴν τοῦ ἀέρος ψυχρότητα τὴν ἐκ τῶν ὀρνέων ἐκείνων γεγενημένην. Εἶτ' εὐθὺς συναντᾷ αὐτὸν πετεινὸν ἀνθρωπόμορφον, καὶ λέγει αὐτῷ· « Ἀλέξανδρε, τὰ ἐπίγεια μὴ γινώσκων, πῶς τὰ οὐράνια καταλαβεῖν ἐπιζητεῖς; ὑπόστρεψον οὖν διὰ τάχους ἐπὶ τὴν γῆν, μήπως ὀρνέοις τούτοις κατάβρωμα γενήσῃ. Καὶ πάλιν, φησὶ, πρόσχες ἐπὶ τὴν γῆν κάτω. » Ὁ δὲ Ἀλέξανδρος μετὰ φόβου προσεῖχε, καὶ ἰδοὺ εἶδεν ὅτι ὄφις μέγας κύκλῳ, μέσον δὲ τοῦ ὄφεως ἅλων (3). Καὶ λέγει αὐτῷ ὁ συναντήσας· « Γινώσκεις τί ἐστὶ ταῦτα; ἡ ἅλων ἐστὶν ὁ κόσμος, ὁ δὲ ὄφις ἡ θάλασσα ἡ κυκλοῦσα τὴν γῆν. » Αὐτὸς δὲ ὑποστρέψας τῇ βουλῇ τῆς ἄνω προνοίας κατῆλθεν ἐπὶ τὴν γῆν μακρόθεν τοῦ στρατοπέδου αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά. Εἶχε δὲ ἐκεῖ σατράπην αὐτοῦ, καὶ λαβὼν παρ' αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά, εἶχε κἀκεῖ σατράπην αὐτοῦ· καὶ λαβὼν παρ' αὐτοῦ τριακοσίους ἱππεῖς ἐπορεύθη σὺν αὐτοῖς καὶ ἦλθεν εἰς τὸν στρατὸν αὐτοῦ. Οὐκέτι οὖν προσέθετο ἀδυνάτοις ἐπιχειρεῖν. Ὡς εἶδον οὖν οἱ μετ' αὐτοῦ ἐκ τῆς τῶν μακάρων χώρας

σύν σοι add. B; mox τάχιστα Berger. corr. pro κάλλιστα. ‖ 5. Ἑλληνικῇ φωνῇ add. B. ‖ 6. εἰπόντα τὰ ὄρνεα B. ‖ 7. ἐγὼ δὲ ἐξιλεωσάμενος καὶ κρατῶν τοὺς ὁδηγοὺς τῶν ὄνων ἐμπροσθεν βάλλοντας πάλιν κατὰ τὴν ἅμαξαν etc. B, missis intermediis. ‖ 8. τὸν ὁδηγὸν C. ‖ 9. δι' ἡμερῶν εἴκοσι δύο B. ‖ 10. τῶν πώλων καὶ τῶν μητέρων αὐτῶν B. ‖ 11. πανηχίου C; B. hoc om.

Cap. XLI. 1. Cod B · Καὶ ἐξελθόντων ἡμῶν πρὸς τὸ φῶς; εὑρέθησαν χρυσίον ὁκίμον λαβόντες. Τότε οὖν καὶ ὁ μάγειρος διηγήσατο πῶς ἐψυχώθη τὸ ἔδεσμα· ἐγὼ δὲ ὀργισθεὶς ἐκόλασα αὐτόν. Ἔρρωσο. Hactenus litera. Deinde pergit : Μετὰ δὲ ταῦτα τὴν ὁδοιπορίαν ἐποιεῖτο Ἀλεξ. etc., quæ leguntur initio libri tertii. ‖ 2. τὸ ὀταράριχον cod. ‖ 3 ἄλλων cod.; idem mox ἀνων.

ἐξελθόντες στρατιῶται ὅτι Ἀλέξανδρος ἐβράδυνεν, ἦλθον καὶ αὐτοὶ εἰς τὸ στρατόπεδον καὶ εὗρον αὐτὸν ἐκεῖ. Κἀκεῖσε διαναπαυσάμενοι ἀνθυποστρέφουσι καὶ διαπερῶσιν Ἀλεξάνδρῳ ἀνθρωποειδῆ ὄρνεα λέγοντα· « Ὃς τὴν δεξιὰν ἀνθυποστρέψει ὁδὸν, θαυμάσια ὄψεται. » Ὃ καὶ ἐποίησεν Ἀλέξανδρος.

[ΚΕΦ. ΜΒ΄.]

Καὶ μετὰ ταῦτα ὅλης τῆς ἡμέρας ὁ Ἀλέξανδρος διοδεύσας ἔν τινι κατέλαβε λίμνῃ. Ἐκεῖ δὲ τὸ φοσάτον διανεπαύσατο· τὸ δὲ ὕδωρ ἐκεῖνο μέλιτος ἀνθόμοιον ἦν. Ἐν δὲ τοῖς ἄκροις λίμνης εἰσβὰς ὁ Ἀλέξανδρος, καὶ διὰ τὸ διαυγὲς τοῦ ὕδατος ἰχθὺς τοῦτον θεασάμενος ὥρμησε κατ' αὐτοῦ· ὅπερ ἰδὼν ὁ Ἀλέξανδρος, εὐθέως τῆς λίμνης ἀπεπήδησεν. Ὁ δὲ ἰχθὺς τῷ τάχει τοῦ πηδήματος συνεπαρθεὶς ἐκ τοῦ ὕδατος ἐξερρίφη. Ἰδὼν δὲ αὐτὸν Ἀλέξανδρος ἀντιστραφεὶς ἔπληξε τῷ δόρατι. Ἦν δὲ θέαμα τῷ μεγέθει. Κελεύει δὲ τοῦτον ἐπ' ὄψεσιν αὐτοῦ ἀνατεμεῖν, ὡς ἂν ἴδῃ τὴν τῶν ἐγκάτων αὐτοῦ διάθεσιν. Τούτου δὲ γενομένου, ἐξελαμψε λίθος ἐν τῇ κοιλίᾳ αὐτοῦ, ὡς πάντας δοκεῖν λαμπάδιον εἶναι. Λαβὼν δὲ τὸν λίθον ὁ Ἀλέξανδρος, καὶ χρυσῷ ἐνθεὶς τοῦτον ἐν ταῖς νυξὶν ἀντὶ φανοῦ ἐχρᾶτο. Ἐν δὲ τῇ νυκτὶ ἐκείνῃ γυναῖκες τῆς λίμνης ἐξῆσαν, καὶ κύκλῳ τοῦ φοσάτου περιιοῦσαι μέλος τι τερπνότατον ἔλεγον, ὥστε θεαθῆναι πᾶσι καὶ τῶν ἀσμάτων ἐκείνων ἀκοῦσαι· καὶ πάλιν ἀφανεῖς ἐγένοντο. Τῆς δὲ ἕω καταλαβούσης, τὴν προκειμένην ὁδὸν ἐποιεῖτο. Τὴν ἐκεῖσε οὖν διελθὼν πορείαν ἡμέρας μιᾶς, κατέλαβε τόπον τινά· ὁ δὲ τόπος ἦν λεῖος· καὶ δὴ ἀνθρωποειδῆ ζῶα ἐφαίνοντο· ἀπὸ μὲν κεφαλῆς μέχρι τοῦ ὀμφαλοῦ τέλειοι ἄνθρωποι ὑπῆρχον, κάτωθεν δὲ ἵπποι. Καὶ αὐτοὶ εἰς πλῆθος ἦσαν, τόξα ταῖς χερσὶν ἔχοντες. Τὰ δὲ βέλη αὐτῶν οὐκ ἦν σίδηρος, ἀλλ' ἀντὶ σιδήρου λίθοι ὀξεῖς. Καὶ αὐτοὶ πρὸς μάχην ἦσαν ἕτοιμοι. Ὡς δὲ ἐθεάσατο ὁ Ἀλέξανδρος, κελεύει τὸ φοσάτον ἐκεῖσε παγῆναι, καὶ κύκλῳ τῆς φάλαγγος παμμέγεθες ὄρυγμα γενέσθαι καὶ τοῦτο στεγάσαι καλάμοις καὶ χόρτῳ προσέταξεν. Ἑωθεν δὲ πλησίον τῆς διώρυγος ὀλίγους ἔστησε τοξότας· ἐν δὲ τοῖς ὀϊστοῖς εἶπε μὴ ἔχειν σίδηρα, ἀλλὰ μόνα τὰ ξύλα. « Ὁπόταν δὲ τῇ μάχῃ πλησιάσωσι, τοὺς ὀϊστοὺς ἐπ' αὐτοὺς εὐστόχως τινάξατε (1)· τὰ γὰρ βέλη ἐπιτυχόντα καὶ μὴ ἐνεργήσαντα, θρασεῖς ἀπεργάσονται αὐτούς· καὶ ὡς ἂν ἴδητε τούτους ἐπιχυθέντας πρὸς ἡμᾶς, μὴ δειλιάσητε, ἀλλ' ἐνδότερον ποιήσασθε φεύγειν· μήπως τῷδε τῷ τρόπῳ τινὰς ἐξ αὐτῶν θηρεῦσαι δυνηθῶμεν. » Καὶ ἐποίησαν οὕτω καθὼς προσέταξεν αὐτοῖς. Τῆς δὲ ἡμέρας ἄρτι καταλαβούσης, ἰδοῦ παρίστανται οἱ ἀμφίπτιοι ἐκεῖνοι ἄνδρες, καὶ τὸ φοσάτον κυκλώσαντες ἵσταντο μήκωθεν τοξεύοντες. Ἰδόντες δὲ μηδεμιᾶς πληγῆς ἐνεργητικὰ (2) εἶναι τὰ Μακεδονικὰ βέλη, πάντες ἐπισυναχθέντες τὴν τούτων ὡς δὴ κατεγέλων ἀδρανίαν· καὶ βουλὴν ἑαυτοῖς ποιησάμενοι, ὥρμησαν ὁμοθυμαδὸν κύκλῳ τοῖς Μακεδόσιν ἐπιχυθῆναι· ὅπου γὰρ ἀνθρωπίνη μορφὴ οὐκ εἰς τέλος ἐφαίνετο ἀνθρώπου, οὐδὲ τὸ φρονεῖν ἀκέραιον πέφυκε· καὶ ὡς μὲν ἄνθρωποι τὸ ἀνενέργητον κατεφρόνησαν τῶν βελῶν, ὡς δὲ κτήνη τὴν ἀνθρωπίνην οὐκ ἐνόησαν πανουργίαν. Ἀσκόπως οὖν κατὰ τοῦ φοσάτου ὁρμήσαντες, οἱ ἀντιμαχόμενοι τούτοις ὡς ὄπιθεν ἔδοξαν φεύγειν. Καὶ εἰς ἄκραν ἐκχυθέντες τῇ διώρυγι πεπτώκασιν. Ὡς δὲ τοῦτο ἐγένετο, εὐθέως ὁ Ἀλέξανδρος ὑπεξιέναι αὐτοῖς ἅπαν τὸ πλῆθος ἐκέλευσε. Καὶ τότε πεῖραν ἔλαβον οἵοις ξίφεσιν οἱ Μακεδόνες κέχρηνται, ἰσχυροτάτοις λίαν καὶ θανατηφόροις. Καὶ οἱ μὲν ἄλλοι ἔφυγον· ἐξ αὐτῶν δέ τινας βουληθεὶς ὁ Ἀλέξανδρος περιποιήσασθαι, καὶ εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην ἀγαγεῖν, ἄχρι πεντήκοντα τῆς διώρυγος ἐξήγαγεν· οὕσπερ διασώσας μέχρις ἡμερῶν κβ΄ καὶ τὴν αὐτῶν μὴ ἐπιγινώσκων δίαιταν, ἅπαντες ἐτελεύτησαν. Τῶν ἐκεῖσε οὖν διελθόντες δι' ἡμερῶν ἑξήκοντα τὴν οἰκουμένην κατέλαβον· καὶ δὴ ἐπανεπαύσαντο τῷ κόπῳ.

[ΚΕΦ. ΜΓ΄.]

Καὶ τότε οὖν ἔδοξε τῷ Ἀλεξάνδρῳ ἐπιστολὴν γράψαι ἐν Μακεδονίᾳ Ὀλυμπιάδι τῇ μητρὶ αὐτοῦ καὶ Ἀριστοτέλει τῷ καθηγητῇ αὐτοῦ. Ἦν δὲ ἐν τῇ ἐπιστολῇ γεγραμμένα τάδε.

Ἀλέξανδρος, βασιλεὺς Ὀλυμπιάδι μητρί μου καὶ Ἀριστοτέλει τῷ καθηγητῇ χαίρειν (1).

Χρόνος ἤδη παρωχήκει πολὺς, ὦ μῆτερ, τὰ περὶ ἡμῶν τῇ σῇ μὴ ἀναδιδαχθήσεσθαι στοργῇ. Ἐπὶ τούτῳ γινώσκω ἀδημονεῖν σε καὶ φροντίζειν περὶ ἐμοῦ καὶ ἀσθενεῖν σὲ τῇ ψυχῇ πλείστοις λογισμοῖς, ὥσπερ χειμαζομένη ναῦς, καὶ ταῖς νυξὶ συνιέναι καὶ τὰ περὶ ἐμοῦ μελετᾶν. Πολλάκις δὲ καὶ δυστυχοῦντά με ὁ ὄνειρος παραδείκνυσιν. Οἶδά σε τοιγαροῦν ποτὲ μὲν τῇ δυστυχίᾳ θλιβομένην ἐν τῷ ὀνείρῳ, διεγερθεῖσαν δὲ ἐξ αὐτοῦ χαρῆναι τῷ τοῦ ψεύδους φαντάσματι, λυπηθῆναι δὲ καὶ ἐπὶ τῷ τῆς ἀποδημίας στερήματι· τῷ αὐτῷ δὲ καὶ ἐπὶ τοῦ ἐναντίου ἐν τῷ ὀνείρῳ συνιοῦσα χαίρεις (2) τῆς εὐτυχίας καὶ θεωρίας τοῦ υἱοῦ ἐμπιπλαμένη· τοῦ δὲ ὀνείρου ἀναστᾶσα οὐ μετρίως λελύπησαι ἐν τοιαύτῃ (3) οὖσα χαρᾷ τοῦ ὀνείρου· ἐπίσταμαι γὰρ στοργὴν μητρὸς εἰς ἀποδημοῦντα υἱόν. Ταῦτα δὲ καὶ ἐμοὶ πολλάκις ἐμφαίνεται· ἐξ ἐμαυτοῦ γὰρ καὶ τὰ σὰ ἐπίσταμαι, μῆτερ ἐμή. Ἐν τούτοις δὲ πᾶσιν ἵλεως ἔσο μου τοῖς ἀγνοήμασι· καὶ τὰ ἐμοὶ συμβεβηκότα διὰ τῆσδέ μου ἀνάγνωθι τῆς ἐπιστολῆς.

Cap. XLII. 1. τεινάξαντες cod. ‖ 2. ἐνεργετικῆς cod.

Cap. XLIII. 1. Hanc quoque epistolam Berger. de Xivrey publici juris fecit libro laud. p. 334 sqq. ‖ 2. χαίρειν δοκεῖς cod. ‖ 3. τῇ αὐτῇ cod. ‖ 4. Αἴγυπτον cod. corr. Berg. ‖ 5. ἧος cod. ἧγουν Berg. ‖ 6. ἥνπερ cod.

Καθὼς γὰρ πρώην σοι ἀνεδίδαξα τὰ περὶ Δαρείου, ὡς αὐτὸν συμβολαῖς ἡττήσαμεν τρισὶ, μετὰ δὲ τὸ ἡττηθῆναι αὐτὸν, ἐγκρατὴς γενόμενος πάσης Περσίδος τὴν ἑαυτοῦ θυγατέρα, ὡς προέφην, γυναῖκα εἰλόμην καὶ ὁμόνοιαν Πέρσαις καὶ Μακεδόσιν ἐκ τούτου πεποίηκα τοῦ δράματος. Τοὺς δὲ πάντας ἀναλαβόμενος τὴν κατ' Αἴγυπτον ἐποιησάμην ὁδόν. Καὶ δὴ χώρας πλείστας καὶ πόλεις ὑποτάξας, [εἰς] τὴν Ἰουδαίαν παρήμην γῆν. Οἵτινες (οἱ ἐκεῖσε) ζῶντι θεῷ ἔδοξαν λατρεύειν, ὃς ἐμὲ ἐποίησε πρὸς αὐτοὺς ἀγαθὴν ἔχειν γνώμην, καὶ ὅλη μου ἡ ψυχὴ πρὸς αὐτὸν ἦν. Τούτους δὲ ἐχαρισάμην τά τε δῶρα καὶ τοὺς ἐτησίους φόρους· οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν Περσικῶν λαφύρων πλεῖστα τούτοις ἐδωρησάμην. Παρ' αὐτῶν δὲ βασιλεὺς κοσμοκράτωρ ἀνηγορεύθην καὶ διελθὼν τὴν αὐτῶν χώραν δι' ἡμερῶν ἱκανῶν τὴν Αἰγυπτίων κατέλαβον γῆν, ἐν ᾗ διατρίψας καιρὸν ὀλίγον, πᾶσά μοι ἡ χώρα ὑπετάγη. Εἰσελθὼν δὲ εἰς τὴν αὐτῶν πόλιν, βασιλέα με καὶ αὐτοὶ κοσμοκράτορα ἀνηγόρευσαν. Διὰ δὲ τὸν χρησμὸν αὐτῶν, πόλιν ἐμαυτοῦ τὴν Αἰγύπτου (1) ὠνόμασα, ταύτην ἐκ βάθρων οἰκοδομήσας καὶ παμποικίλοις κίοσι καὶ ἀνδριάσι κατακοσμήσας αὐτήν. Κἀκεῖσε πάντας τοὺς θεοὺς ἐξουθένισα, ὡς οὐκ ὄντας θεοὺς, τὸν δὲ ἐπὶ τῶν Σεραφὶμ θεὸν ἀνεκήρυξα. Στήλην δὲ ἐμὴν καὶ τῶν ἐμῶν φίλων ἐν αὐτῇ ἵδρυσα τῇ πόλει, ὡς (2) Σελεύκου, Φιλίππου καὶ Ἀντιόχου. Ταῦτα οὖν ποιήσας ἔδοξέ μοι τὴν ἄκραν τῆς γῆς καταλαβεῖν· καὶ τὸ ἐννόημα ἔργον ἦν. Ἐπὰν δὲ τὴν ὑφήλιον οἰκουμένην διῆλθον, εἰς τόπους δυσβάτους καὶ ἀγρίους κατηντήσαμεν. Ὡς οὖν τοὺς δυσβάτους ἐκείνους τόπους διήλθομεν δι' ἡμερῶν τριάκοντα, εἰς πεδίον κατηντήσαμεν πάνυ λεῖον· ἐν αὐτῷ δὲ ἀγρίους ἀνθρώπους εὕρομεν, καὶ τούτους ἐτροπώσαμεν. Ὡς δὲ ἐνδότερον εἰσελθόντες τὰς Ἡρακλέους εὕρομεν στήλας καὶ τὰ μέλαθρα Σεμιράμεως· καὶ ἐκεῖ ἀναπαυσάμενοι ἡμέρας τινὰς, διελθόντες εὕρομεν ἀνθρώπους ἑξάχειρας καὶ ἑξάποδας, οὓς καὶ τροπωσάμενοι τῶν ἐνδοτέρων διήλθομεν, καὶ κατελάβομεν τόπον παράλιον. Ἐκεῖσε οὖν ἀναπαυσάμενοι, καρκίνος θαλάσσιος ἐκβὰς ἵππον νεκρὸν ἀναλαβόμενος τὴν θάλασσαν εἰσέδυ. Ἐπέστησαν δὲ ἡμῖν πλῆθος ἐναλίων θηρίων, ὡς μὴ ἱκανοὺς ἡμᾶς ἑνὸς καρκίνου περιγενέσθαι. Πυρὸς δὲ ὁλόγα ἀνάψαντες τῶν ἐκεῖσε διεσώθημεν. Ἐκεῖθεν οὖν διελθόντες ἕτερον κατελάβομεν τόπον, καὶ αὐτὸς παράλιος ἦν. Καὶ νῆσος ἐφαίνετο κατὰ τὴν θάλασσαν. Ναῦν δὲ κατασκευάσας τὴν νῆσον εἰσῆλθον· κἀκεῖσε εὗρον ἀνθρώπους ὁμοίους τῇ ἡμῶν διαλέκτῳ, σοφοὺς μὲν, γυμνοὺς δὲ πάντας ὡς ἐκ κοιλίας μητρὸς αὐτῶν. Καὶ δὴ τῶν ἐκεῖθεν ἐξελθόντες καὶ διελθόντες ἡμέρας τινὰς, εὕρομεν ἀνθρώπους ἑξάποδας καὶ τριοφθάλμους, καὶ τούτους διελθόντες εὕρομεν ἀνθρώπους κυνοκεφάλους· μόλις δὲ καὶ τούτους διεκφυγόντες κατελάβομεν ἐν πεδίῳ παμμεγέθει. Κατὰ μέσον δὲ τῆς πεδιάδος φάραγξ ἐστήρικτο· καὶ ταύτην γεφυρώσας καὶ περάσαντες πανστρατεὶ διήλθομεν ἐκεῖθεν. Ἔκτοτε δὲ οὐκέτι εἴχομεν τὸ τῆς ἡμέρας φῶς, καὶ ὡς ἔθος ἦν ἐμπεριπατήσαντες ἡμέρας τινὰς κατελάβομεν ἐν τῇ πανυχίῳ γῇ. Ἔνθα ἐστὶ ἡ τῶν μακάρων χώρα. Καταλαβόντα δὲ πρός με δύο ὄρνεα ἀνθρωπόμορφα, ἱπτάμενα, συνεβουλεύσαντό μοι· « Οὐκ ἔξεστί σοι, Ἀλέξανδρε, τῶν ὧδε διέρχεσθαι. » Ἐκεῖθεν οὖν ὑποστρέψαντες, τοῖς πᾶσι παρεκελευσάμην μετὰ χεῖρας λαβεῖν τινὰ τῶν ἐκεῖσε· ὀλίγοι δὲ τὸ προσταχθὲν ἐξετέλεσαν. Ὁπηνίκα οὖν τῷ φωτὶ κατελάβομεν, ἅπαντες μετενόησαν οἱ μὴ ἅραντες. Καὶ δὴ τῶν ἐκεῖθεν ἐξήλθομεν, δεξιοῖς μέρεσι τὴν ὑποστροφὴν ποιούμενοι. Διελθόντες δὲ ἡμέρας τινὰς τοὺς Ἱπποκενταύρους ἐπολεμίσαμεν. Καὶ τούτους τροπωσάμενοι, δι' ἡμερῶν πεντήκοντα τὴν οἰκουμένην κατελάβομεν, πολλοὺς κινδύνους διελθόντες. Τανῦν δὲ πρὸς Πῶρον τὸν τῶν Ἰνδῶν βασιλέα εὐτρεπιζόμεθα πολεμίσαι. Καὶ ὅσα περὶ ἡμῶν ἡ θεία εὐοδώσειεν πρόνοια, ταῦτα γενέσθω. Τὴν δὲ ἀπογραφὴν τῶν θεαθέντων πραγμάτων ἔνδον εὑρήσετε τῆς ἐπιστολῆς, ἣπερ (3) ἐντυχόντες τὰ ἡμῶν καθ' ὅπως ἀναδιδαχθήσεσθε. Ἔρρωσο μῆτερ σὺν τῷ καθηγητῇ μοῦ ὑπὲρ ἡμῶν τὸ θεῖον ἐξιλεούμενοι.

Ταύτην οὖν τὴν ἐπιστολὴν γράψας Ἀλέξανδρος ἀπέστειλε τῇ μητρὶ αὐτοῦ.

[ΚΕΦ. ΜΔ'.]

Ἐκεῖσε οὖν διατρίψας Ἀλέξανδρος ἡμέρας πέντε, ἀνεζωπύρησε πᾶν τὸ στρατόπεδον καὶ ἀπάρας τῶν ἐκεῖ ὥρμησε κατὰ Ἰνδῶν. Καὶ δὴ τὴν Ἡλίου καταλαβόμενος χώραν, εἰσῆλθεν αὐτῇ πόλει. Ἱερὸν δὲ ἐλέγετο αὕτη τοῦ ἡλίου εἶναι, καὶ ἱερά τινα δένδρα ἦσαν, ἐκεῖσε δὲ τὸν Ἀπόλλωνα χρησμοὺς ἀποτελεῖν. Ἐλθὼν δὲ Ἀλέξανδρος ἐν αὐτοῖς ἐκαθέσθη, καὶ δὴ φωνῆς μὲν ἤκουεν, ἑώρα δὲ οὐδενός. Ἡ δὲ φωνὴ χρησμὸς ἦν. Ὁ δὲ χρησμὸς τὸν Ἀλεξάνδρου ὑπέφηνε θάνατον. Περίλυπος οὖν γενόμενος ὁ Ἀλέξανδρος, καὶ διελθὼν τῶν ἐκεῖσε ἔρημόν τινα κατέλαβε τόπον. Καὶ τῆς φάλαγγος παρεκταθείσης, ἐκ τῶν παραφυομένων θάμνων ἀνθρωπάρια ἀνίσταντο· καὶ αὐτοῖς [ἀνὰ] εἷς ποὺς ὑπῆρχεν· οὐρὰ δ' αὐτοῖς ἦν δίκην προβάτου. Τὰς δὲ χεῖρας καὶ τὴν κεφαλὴν καὶ τὸν ἕνα ἐκεῖνον πόδα ὅμοιον εἶχον ἀνθρώποις. Ὡς δὲ ἐξανίσταντο, κοῦφοι λίαν ὑπῆρχον τοῖς πηδήμασι. Καταδραμόντες δὲ ἐπ' αὐτοὺς περιεγένοντο, καὶ μόλις ὀλίγους πιάσαντες πρὸς Ἀλέξανδρον ἤγαγον. Κελεύει οὖν ὁ Ἀλέξανδρος πλησιεστέρους αὐτοὺς ἐνεχθῆναι. Ἐπεὶ δὲ πλησίον αὐτοῦ ἔστησαν, λόγοις ἐλεεινοῖς αὐτὸν παρεκάλουν· « Ἐλέησον, δέσποτα, ἔλεγον, τοὺς ὁμοίους σοι ἀνθρώπους· καὶ γὰρ διὰ τὴν ἀδρανίαν ἡμῶν τῇ ἐρήμῳ ταύτῃ κατῳκήταμεν. » Ἐπὶ τούτοις ὁ Ἀλέξανδρος ἐπικάμπτεται καὶ κελεύει αὐτοὺς ἀπολυθῆναι. Οἱ δὲ ἀπολυθέντες καὶ εἰς ἀκρωρείας ἀνελθόντες πετρῶν, μήκοθεν ἤρξαντο καταγελᾶν Ἀλεξάνδρου λέγοντες· « Ὦ τῆς ἀνοίας σου, ὦ τῆς ἀπει-

ρίας σου· οὐκ εἶ (1) ἄξιος ἡμῶν γεύσασθαι κρίσεως. Οἱ γὰρ φρενῶν καθὼς καὶ ὑμεῖς ἐλλειπόμενοι, ἡμῶν περιγενέσθαι οὐ δύνανται. » Ταῦτα λέγοντες καὶ ὀρχούμενοι πηδῶντες Ἀλεξάνδρου κατέπαιζον. Αὐτὸς δὲ ἀκούων καὶ θεωρῶν τὸ σκυθρωπὸν ἐνήλατο (2), καὶ γελᾶν ἐνεκειρίστο· ἀφ' οὗ γὰρ τὸν χρησμὸν ἦν λαβών, οὐδέπω αὐτὸν γελάσαντα εἴδομεν μέχρι τῆς αὐτῆς ὥρας· καὶ γὰρ γέλωτος ἄξια ἦν τὰ λεγόμενα (3).

ΒΙΒΛΙΟΝ Γ'.

ΚΕΦ. Α'.

Μετὰ δὲ ταῦτα τὴν δδοιπορίαν ἐποιεῖτο Ἀλέξανδρος ἀναλαβὼν τὴν δύναμιν αὐτοῦ πρὸς Πῶρον τὸν βασιλέα Ἰνδῶν. Πολλὴν οὖν ἔρημον δδεύσαντες καὶ τόπους ἀνύδρους καὶ φαραγγώδεις (1), ἔλεγον οἱ ἔξαρχοι τῶν στρατευμάτων πρὸς τὰ στρατόπεδα· « Ἀρκετὸν ἡμῖν μέχρι Περσίδος ποιήσασθαι (2) τὸν πολεμον καὶ ὑποτάξαι τὸν Δαρεῖον ὡς ἀπαιτοῦντα τοὺς Ἕλληνας φόρους· τί ἄρτι κάμνομεν πορευόμενοι πρὸς Ἰνδοὺς εἰς θηριώδεις τόπους καὶ μὴ προσήκοντας τῇ Ἑλλάδι; ἐὰν Ἀλέξανδρος τῇ ἰδίᾳ μεγαλοφροσύνῃ πολεμιστὴς τυγχάνῃ, καὶ θέλῃ ὑποτάσσειν βαρβάρων ἔθνη, τί αὐτῷ ἡμεῖς ἀκολουθοῦμεν; πορευέσθω μόνος καὶ πολεμείτω (3). » Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος, διαχωρίσας τὸ Περσικὸν πλῆθος καὶ τὸ τῶν Μακεδόνων καὶ τῶν ἄλλων Ἑλλήνων, εἶπε πρὸς αὐτούς· « Ἄνδρες συστρατιῶται καὶ σύμμαχοι (4), Μακεδόνες καὶ πάντες οἱ τῶν Ἑλλήνων δυνάσται (5), οὗτοι οἱ Πέρσαι πολέμιοι ὑμῶν ἦσαν καὶ ἐμοῦ, ** καὶ νῦν (6) διαγογγύζετε· ἤδη γὰρ διετάξασθέ (7) με μόνον πορεύεσθαι πρὸς πόλεμον καὶ πολεμεῖν βαρβάροις. Τοῦτο μέντοι ὑμᾶς ὑπομιμνήσκω (8) ὅτι κἀκείνους τοὺς πολεμίους ἐγὼ (9) μόνος ἐνίκησα, καὶ (10) ὅσους βούλομαι λαβεῖν τῶν βαρβάρων (11) πάλιν μόνος νικήσω· ἐμὸν γὰρ (12) ἓν βούλημα πρὸς τοὺς πολέμους (13) τὰς ψυχὰς ὑμῶν ἁπάντων (14) ἐθράσυνεν. Ἤδη ἀδρανῶν ὄντων (15) πρὸς τὰ Δαρείου πλήθη, οὐκ ἐγὼ μόνος τῆς στρατιᾶς ἐν τοῖς πολέμοις ὑπερήσπιζον (16); οὐκ ἐγὼ

Cap. XLIV. 1. ἢ cod. ‖ 2. τὸ σκυθρωπὸν ἀφεὶς ἐνήσατο? τὸ σκυθρωπὸν ἀπελήλατο? ‖ 3. Hactenus pertinent quæ ex cod. C inde a fine capitis XXIII exscripsimus. Sequentia eadem leguntur in cod. B et A.

Cap. I. Hinc tertius liber incipit in Valerio et cod. A, quem reliquimus inde a cap. XXII, 34. ‖ 1. A : διοδεύσας τόπους φαρ. νάπας τε ἔκαμνε μετὰ τῶν στρατευμάτων ὥστε τοὺς ἐξάρχους αὐτῶν λέγειν· Ἀρκετῶς ἔχομεν μέχρι Περσῶν ποιήσασθαι τὸν πόλεμον κτλ. ‖ 2. ποιῆσαι B. ‖ 3. addit A : μηδὲ ἡμᾶς συναπαγέσθω συμμάχους ἑαυτοῦ τοὺς καμόντας ἐν τοσούτοις πολέμοις, κεκμηκότας ἤδη ταῖς πολλαῖς μάχαις καὶ τοῖς ἐπαλλήλοις *. Ἱπτοντες δὲ ἐπὶ τὸ ἕδαφος ὠδύροντο, τά τε ὅπλα ἐδείκνυον τεθραυσμένα καὶ δεδαπανημένα ἐσθῆτάς τε τετριμμένας ἡμφιεσμένας. δώδεκα γὰρ ἔτη διανυέντα τοῖς πολέμοις (διήνυεν τὸ τοῖς πολ. cod.) καθηριθμοῦντο, οἱ μὲν ἀδελφοὺς ἀπολωλότες, οἱ δὲ υἱούς, οἱ δὲ πατέρας. Ἀκούσας ταῦτα Ἀλ. κτλ. ‖ 4. ἄνδρες... σύμμαχοι om. B. ‖ 5. καὶ οἱ ἄλλοι Ἕλληνες A. ‖ 6. νῦν τί δ. καὶ ἤδη δ. C. ‖ 7. διετάξατε C. Cod. A ita : οὗτοι γὰρ οἱ Πέρσαι πολέμιοι ὑμῖν ἐγένοντο· εἰ δὲ διαστάζετέ με μόνον, πορεύεσθε πρὸς τοὺς βαρβάρους. Τοῦτο μέντοι κτλ. ‖ 8. ὑπομνήσω B C. deinde ὡς ὅτι B. ‖ 9. πῶς ἐγὼ μ. C; dein ὑπερενίκησα B. ‖ 10. καὶ τούτους πάλιν μόνος νικήσω C. ‖ 11. Περσῶν B. ‖ 12. τοίνυν B; ἓν γάρ μου σοφὸν βούλευμα A. ‖ 13. π. μάχην A. ‖ 14. ἀπ. add. ex A. ‖ 15. ἤδη ἀνερᾶν οὖν τὰ πρὸς τὰ Δ. π. A;

LIBER TERTIUS.

I. *Pergens autem in Indiam per terras desertas et* aquarum indigentissimas bestiolarum quoque examinibus infestas, quas phalangia vocant, multo labore ipse atque exercitus fatigantur : in eademque jam duces ejus colloquia conferebant, quod sibi satis esse deberet usque ad Persarum prœlia laborasse. His quoque subditis et Dario, consultum quantum oportuerit Græciæ, si modo vectigales Persas patriæ fecissent. Quo vero ille tenderet labor in Indiam properantibus, adeo infestis omnibus locis feritate bestiarum? Quod si in tantum ardore rei bellicæ Alexander urgeretur, non sane videri consilium inconsultæ isti cupidini si comes fieret reliqua multitudo. Iret ergo quo vellet, duceretque qui vellent : se tamen missos facere deberet tot jam bellis exercitos ac fatigatos. Enimvero his Alexander cognitis, advocatoque omni tam Persico scilicet quam Macedonico exercitu, in hæc verba concionatur : « Unus mihi idemque est sermo apud utrumque vestrum, o fortissimi milites, quive mecum Macedones huc venistis, quive Persæ experti imperium post victoriam nunc mihi commilitium profitemini. Igitur in commune vobis dictum hoc habetote, quod si me solum ire in Indos eorumque bella decrestis, faciam id quidem intrepidus ac libens. Enimvero unum admoneam quod adtestemini, nihil esse mirum si ad futura quoque discrimina solus ire conpellar, cum prioribus quoque solus animi virtute subfecerim. Neque mihi est arduum, Macedones mei, eadem consulere nunc quibus vos rectos in hanc solus possessionem victoriæ duxerim, sola ferme cura imperatoria militans in hisce, quas confecerim, expeditionibus. Nisi forte istud a me arrogantius ac non verius dictum esse miremini : cum unum quodvis imperatorium sapiens prudensque consultum præstet manum multorum inconsultius laborantium. Recognoscite igitur pariter et recensete, an vos umquam sufficere potuisse tot illis Darii milibus ac fortitudini putaretis, qua ego princeps semper militiæ laborisque semper dux in prœliis insuperavi. Nisi forte aliis addubitantibus timentibusque, egomet ipse legationem mei apud Darium

ἐμαυτοῦ (17) ἄγγελος εἰσῆλθον (18) πρὸς Δαρεῖον; οὐ παρεβουλευσάμην ἐμαυτὸν τοῖς κινδύνοις (19); εἶτα δὲ ἐβουλεύσασθε εἰς Μακεδονίαν μόνοι ἀφικέσθαι (20); ἄπιτε καὶ διασώσασθε ἑαυτούς, καὶ μὴ ἀμφισβητήσατέ τι εἰς ἀλλήλους, ἵνα μάθητε ὡς οὐδὲν δύναται στρατιὰ ἄνευ (21) φρονήσεως βασιλέως. » Καὶ οὕτως εἰπόντος τοῦ Ἀλεξάνδρου, ἱκέτευον αὐτὸν λῆξαι τῆς ὀργῆς, ἔχειν δὲ αὐτοὺς συμμάχους ἕως τέλους (22) μεθ' ἑαυτοῦ (23).

ΚΕΦ. Β'.

Καὶ δὴ παραγενομένου αὐτοῦ σὺν πάσῃ τῇ δυνάμει αὐτοῦ εἰς τοὺς ὅρους (1) τῆς Ἰνδικῆς χώρας, ἀπήντησαν αὐτῷ γραμματοφόροι σταλέντες παρὰ Πώρου βασιλέως Ἰνδῶν, καὶ ἐπέδωκαν αὐτῷ τὰ γράμματα Πώρου βασιλέως· καὶ λαβὼν Ἀλέξανδρος ἀνέγνω ἐνώπιον τῶν στρατοπέδων αὐτοῦ οὕτω περιέχοντα· « Πῶρος βασιλεὺς Ἰνδῶν Ἀλεξάνδρῳ τῷ τὰς πόλεις λεηλατοῦντι. Προστάσσω σοι ἀναχωρεῖν (2)· ἄνθρωπος γὰρ ὢν τί δύνασαι πρὸς θεόν; τί δέ σοι καὶ τοῖς συνοῦσι χιμασίαν (1) παρέχεις, ἀσθενέστερος ὢν πρὸς μάχην, δοκῶν σθεναρώτερός μου εἶναι; Ἐγὼ οὖν ἀήττητός εἰμι· οὐ μόνον ἀνθρώπων τυγχάνω βασιλεύς, ἀλλὰ καὶ θεῶν (4)· καὶ παρόντα γὰρ Διόνυσον, ὃν λέγουσι θεόν, ἀπήλασαν τῇ ἰδίᾳ δυνάμει οἱ Ἰνδοί. Ὥστε οὖν οὐ μόνον συμβουλεύω, ἀλλὰ κελεύω σοι (4*) διὰ τάχους ἐπανελθεῖν εἰς τὴν Ἑλλάδα· οὐ γὰρ ἐκφοβήσῃ με ἡ πρὸς Δαρεῖόν σου μάχη, οὐδὲ τῶν ἄλλων ἐθνῶν ὅσα κατὰ τὴν ἐκείνων ἀδράνειαν ἐγένετο τυχηρά (5)· οὐ γὰρ δοκεῖς σθεναρώτερός μου ὑπάρχειν (6)· ὥστε οὖν ἄπελθε (7) εἰς τὴν Ἑλλάδα. Εἰ γὰρ χρείαν εἴχομεν τῆς Ἑλλάδος, πάλαι ἂν πρὸ (8) Ξέρξου κατεδουλωσάμεθα αὐτὴν οἱ Ἰνδοί· νῦν δὲ ὡς ἀχρεῖον ἔθνος τυγχάνον καὶ παρ' αὐτοῖς μηδενὸς ἀξίου βασιλικῆς θεωρίας ὑπάρχοντος, οὐκ ἐπεστράφημεν ἐπ' αὐτούς (9)· πῶς γὰρ τὸ κρεῖττον ἐπιθυμεῖ ἔχειν, οὐ τὸ ἔλαττον (10). »

Οὕτως οὖν δημοσίᾳ ἀναγνοὺς Ἀλέξανδρος τῷ στρα-

ἢ. διαβραμόντων ὡς Δ. π. B; ἤ. ἀνδρανεῖς ὄντες πρὸς τὰ Δ. π. C. ‖ 16. τὴν στρατιὰν.. συνεισερχόμην B. ‖ 17. sic A; αὐτός B; om. C. ‖ 18. ἐγενόμην C. ‖ 19. οὐ.. κινδύνοις om. C. ‖ 20. sic C; εἶτα δ. ἐ. πορευθῆναι; καὶ νῦν πορεύεσθε εἰς Μακ. μόνοι, καὶ διασώσατε B. ‖ 21. δίχα A. ‖ 22 sic C; εἰς τέλος B; μέχρι τ. A. ‖ 23. addit A : ἐπέτρεψεν δὲ τοῖς γεγηρακόσιν ἀπιέναι ἀποπεμψάμενος αὐτούς· ἀπέστειλε δὲ τοῖς Ἕλλησιν, ὅπως ἀκμαζόντων ἀνδρῶν στρατὸν πέμψωσιν αὐτῷ.

circa cum quibusdam mercatoribus in Erythræo sive Rubro mari navim conscendens navigavit primo sinum Adulicum, et Adulitarum oppidum vidit, mox Aromata promontorium et Troglodytarum emporium penetravit : hinc et Auxumitarum loca attigit, unde solvens prosperis flantibus ventis, licet plurium navigatione dierum, Muzirim totius Indiæ citra Gangem emporium tandem pervenit : ubi quendam Indorum regulum dominari asserebat. Immoratus igitur ibi aliquamdiu, observataque diligenter aeris et loci qualitate ac hominum consuetudine per plures dies, venit ei in mentem ad insulam, quæ Taprobane vocatur, transfretare : in qua illi quibus Beatorum nomen est, longissimam ætatem vivere asseruntur (nam vitam hominum centum annis modicam putant) propter miram aeris temperiem et incomprehensibilem divini dispositionem judicii. Huic quatuor moderantur reges seu satrapæ, inter quos unus est maximus, cui ceteri subjacent obediuntque, ut ille scholasticus referebat. Narrabat quoque, si credere facile est, mille insulas Arabici et Persici maris, et quas Maniolas vocant, illi obtemperare. Hic ille quem magnetem appellant reperitur lapis, qui ferri naturam ad se vi sua trahere dicitur. Cum ergo navis aliqua clavos habens ferreos illic applicuerit, illico retinetur, nec quoquam ire permittitur vi nescio qua lapidis occulta impediente. Ob id naves ibi ligneis clavis construi dicebat.

VIII. Quod insula quinque habet flumina et quidem maxima, quibus tota irrigatur fertiliorque redditur. Unde et ob maximam cœli clementiam poma nullo unquam tempore arboribus desunt ; immo eodem tempore ejusdem arboris dum ramus alter florescit, alter fructus gignit, ceteri maturos ostendunt fructus. Insuper habet insula hæc dactylos, nuces quas Indicas dicimus, grandes et minutas, odoriferas tamen ; item et nuces quas corylos dicimus. Homines illius terræ aluntur pomorum, oryzæ et lactis cibo : nobiles vescuntur certis quibusdam diebus etiam solemnibus ovium caprarumque carnibus. Sues a Thebaide usque ad Indiæ Æthiopiæque fines aiunt non inveniri ob maximos æstus. Induunt gentes insulæ ovium pelles non spernenda laboratas arte ; oves item non lanæ sed setarum teguntur vellere ; nec lanæ nec lini habetur ibi usus, ut narrabat scholasticus ; et quod de Æthiopiæ et Persiæ finibus et Auxumitarum locis ibi mercatores emendi, vendendi permutandæque rei gratia conveniunt ; et quod piper ibi nascitur, in magnaque colligitur copia. Ipsa autem admodum parva et inutilis gens est, quæ intra speluncas saxeas vivit, et per præcipitia magna discurrere natura patriæ edocta consuevit. Piper

ιμικρότατον καὶ ἀδρανέστατον, λιθίνοις σπηλαίοις ἐνοικοῦντες, οἵτινες καὶ χρημνοβατεῖν ἐπίστανται διὰ τὴν τοῦ τόπου συστροφήν, καὶ τὸ πέπερι οὕτως ἀπὸ τῶν θάμνων συνάγουσι. Δενδρύφια γάρ ἐστι κολοβά, ὡς ἔλεγεν ὁ σχολαστικὸς ἐκεῖνος· εἰσὶ δὲ καὶ οἱ Βισάδες ἀνθρωπάρια κολοβά, μεγαλοκέφαλα (13), ἄκαρτα καὶ ἁπλότριχα. Οἱ δὲ λοιποὶ (14) Αἰθίοπες καὶ Ἰνδοὶ μέλανες εἰσὶ καὶ νεανικοὶ (15) καὶ φριξότριχες. Ἐκεῖθεν δὲ (16) κατασχεθεὶς ὑπὸ τοῦ δυναστεύοντος τῶν πραγμάτων ἐπειρώμην (17) ὡς τολμήσας εἰσελθεῖν εἰς τὴν χώραν τὴν ἐκεῖ (18). Καὶ οὔτε ἐκεῖνοι (19) ἐδέχοντο τὴν ἀπολογίαν τὴν ἐμήν· οὐ γὰρ ἐπίστανται (20) τὴν διάλεκτον τῆς ἡμετέρας χώρας· οὔτε δὲ ἐγὼ τὰς παρ' ἐκείνων εἰς ἐμὲ γινομένας ἐγνώριζον εὐθύνας (21)· οὐδὲ γὰρ τὴν γλῶσσαν αὐτῶν ἐπιστάμην (22), μόνον δὲ ταῖς διαστροφαῖς τῶν ὄψεων ἀλλήλοις ἐστοιχοῦμεν ὡς (23) γνώριμα σημεῖα, ἐγὼ μὲν (24) τὰς ἐκείνων ἐγκλημα-τώδεις φωνὰς ἐκ τοῦ ὑφαίμου τῆς χρόας τῶν ὀφθαλμῶν καὶ τοῦ ἀγρίου (25) τρισμοῦ τῶν ὀδόντων· δι' ὧν κινήσεων (26) τὴν τῶν λεγομένων παρ' αὐτῶν δύναμιν ἐστοχαζόμην· ἐκεῖνοι δὲ πάλιν (27) ἐκ τοῦ τρόμου τοῦ ἐμοῦ καὶ τοῦ φόβου καὶ τῆς ἀγωνίας καὶ τῆς ὠχρότητος τοῦ προσώπου τό τε (27*) τῆς ψυχῆς ἐλεεινὸν καὶ τὴν (28) τοῦ σώματος δειλίαν ἐνεργῶς κατεμάνθανον. Κατασχεθεὶς οὖν παρ' αὐτοῖς ἑξαετίαν ὑπηρέτησα τῷ ἀρτοκόπῳ (29) παραδοθεὶς εἰς ἐργασίαν. Ἦν δὲ τὸ ἀνάλωμα τοῦ βασιλέως αὐτῶν, φησὶ (30), μόδιος εἷς σίτου εἰς ὅλον αὐτοῦ τὸ παλάτιον, κἀκεῖνος οὐκ οἶδα πόθεν ἐρχόμενος (31). Οὕτως δὲ ἠδυνήθην ἐν τῇ ἑξαετίᾳ (32) πολλὰ ἐκ τοῦ κατὰ μέρος τῆς γλώσσης αὐτῶν μαθεῖν καὶ τὰ παρακείμενα ἔθνη. Ἀπελύθην δέ, φησί, ἐκεῖθεν τούτῳ τῷ τρόπῳ (33). Ἄλλος βασιλεὺς ποιήσας μάχην μετὰ τοῦ κατέχοντός με (34), διέβαλεν αὐτὸν πρὸς τὸν μίαν βασιλέα τὸν τῇ Ταπροβάνῃ προκαθεζόμενον (35), ὡς ἄνδρα ἀξιόλογον Ῥωμαῖον αἰχμάλωτον λαβών, τοῦτον ἔχει εἰς ὑπηρεσίαν ἀγενεστάτην. Ὁ δὲ (36) πέμψας κριτὴν ἕνα καὶ μαθὼν τὸ ἀκριβὲς, ἐκέλευσεν αὐτὸν ἀσκοδορηθῆναι (37), ὡς ὑβρίσαντα Ῥωμαῖον. Λέγεται γὰρ (38) πάνυ τιμᾶν τὴν Ῥωμαίων βασιλείαν, ἀλλὰ καὶ φοβεῖσθαι ὡς δυναμένους τῇ χώρᾳ αὐτῶν ἐπιβῆναι δι' ὑπερβολὴν ἀνδρείας καὶ εὐμηχανίας (39).

[ΚΕΦ. Θ'.]

Ἔλεγεν οὖν ἐκεῖνος ὅτι οἱ Βραχμᾶνες ἔθνος ἐστὶν οὐκ (1) ἀποτασσόμενον ἀπὸ προαιρέσεως, ὡς οἱ μοναχοὶ,

mox scripsi ἔφθασα pro φθάσας ‖ 12. sic A; βιθσάων et mox βιθσάδες R. Θηβαΐδων, sed infra Βηθσάδες L. Eos dicit, qui Ptolemaeo vocantur Βησᾶδαι. ‖ 13. μελανοκ. L. ‖ 14. οἱ δὲ λοιποὶ οἵ τε Αἰθ. L. ‖ 15 sic L. νεανίαι A, νεανίσκοι R. ‖ 16. τε, φησί, L. ‖ 17. ἐπηρωτώμην L. ‖ 18. χώραν αὐτῶν L. ‖ 19. ἐκεῖνοι om. A; τὴν ἀπ. ἐδ. τὴν ἐ. L. ‖ 20. μὴ ἐπιστάμενοι L. ‖ 21. γινομένας et εὐθύνας om. A. ‖ 22. τὴν ἐκείνων ἐπιστάμην γλῶσσαν, μόναις L. ‖ 23. ὡς om. L. ‖ 24. pro his A: ἐπὶ τῶν αἰγλημάτων ταῖς παρ' ἐκείνων· ἐκ τοῦ ὑρ' ἐμοῦ τῆς χρόας. ‖ 25. ἰατρείου A. ‖ 26. δι' ὧν κ om. A. ‖ 27. δ' αὖ πάλιν et mox τρόπου L.; dein omittit verba καὶ τοῦ φόβου. ‖ 27*. sic L. ὠχρ. ὄψεως ποτέ A. ‖ 28. καὶ τοῦ σ. δειλία ἐνεργον (ἐνάργως R.) κατεμ. A; διὰ τοῦ σ. δειλίας κατεμ. L. ‖ 29. sic R. ἀρτοκοπίῳ A. ὀρτοκοπείῳ L ‖ 30. sic L. βασ. ἐκείνου, ὡς ἔλεγεν, μόδιος σίτου A; mox. om. κἀκεῖνος. ‖ 31. φερόμενος L. ‖ 32. μετὰ τὴν ἑξ. A. In L et R ita: οὕτως δὲ, φησὶν, ἐν τῇ ἑξ. ἠδυνήθην πλεῖστα ἐκ τῆς γλώσσης αὐτῶν σημειώσασθαι, δι' ὧν καὶ τὰ λοιπὰ (τὰ παρακειμένα λοιπὸν R.) ἔθνη μεμάθηκα. ‖ 33. ἀπολύεται οὕτος τούτῳ τ. τ. A. ‖ 34. αὐτὸν A. ‖ 35. ἐν τῇ Ταπρόνῃ νήσῳ καθεζόμενον L. ‖ 36. ὅστις L. ‖ 37. ἀσκῷ δωρηθῆναι A. fortasse reponendum ἀσκὸν δαρῆναι. ‖ 38. πάνυ γὰρ τιμῶσί τε καὶ φοβοῦνται τὴν Ῥ. ἀρχὴν ὡς δυναμένην καὶ τῇ χώρᾳ αὐτῶν ἐπιβῆναι (τὴν χώραν α. ἐκπορθῆσαι R). L. ‖ 39. εὐμαχίας A.

---

autem cum ramusculis suis colligitur: ipsas autem arbores quasi quasdam humiles ac parvulas stirpes esse dicebat. Nam et ipsos exiguos homunculos esse, et grandia quaedam capita asserit habere cum lævibus et detonsis (*inlonsis*) capillis. Reliquum vero Æthiopum atque Indorum genus comis naturaliter crispatis horret. In quo loco (adjecit) ab eo qui illic plurimum poterat, ego illico abreptus atque detentus sum, qui statim coeperat mihi etiam acerbe conviciari eo quod eorum patriam solumque contingere ausus fuerim. Et illi neque excusationem neque defensionem meam æquis animis audiebant: non enim poterant linguae meae intelligere sermonem, nec ego criminis causam, quod mihi objiciebatur sciebam, quia illorum verba non noveram. Ex solis tantum nutibus nos mutuos intelligere videbamur: ego quidem ex adspectu torvo luminum et ex sævo dentium stridore poteram verborum significata noscere: illi vero ex pallore meo atque pavore sensus meos misericordia magis dignos suspicabantur. Sic itaque ab iis detentum per sexennium me in pistrino opus facere jusserunt. Expensa autem ex palatio regis ipsorum unius tantum modii frumenti quolibet anno. Post sex vero annos, dum paulatim ediscerem eorundem loquelam, potui multa de vicinis nationibus locisque cognoscere. Tandem deo propitio de captivitate hoc modo ereptus sum. Rex alius supradicto huic regi inimicatus, cum apud majorem illius regionis imperatorem accusavit, quod nobilem virum civemque Romanum in teterrimam captivitatem atque extremum servitium redegisset. Quo imperator audito, confestim illuc cognitorem causæ transmisit, ac deinceps rei veritate perspecta, protinus eum qui convictus in memorato crimine videbatur, exui tota sui corporis pelle præcepit, eo quod civi Romano fecisset injuriam. Dicuntur autem non solum impensius honorare Romanorum imperatorem, sed incredibiliter timere, tamquam qui præclaro polleat ingenio ac virtute magnifica, et Romanos eo quod armis atque viribus adeo potentes sint, ut, si velint, ad regionis ipsorum excidium valeant pervenire.

IX. Ipse ergo ille qui ista dicebat, adjiciebat quod genus Brachmanorum non ex propria tantum voluntate saecularibus rebus renuntiat, sed potius ut ex judicio dei pendens

ἀλλὰ ἔλαχον (2) τὸν χλῆρον τοῦτον ἄνωθεν καὶ ἐκ θεοῦ κριμάτων. Τὴν τοῦ ποταμοῦ παροικοῦσι φυσικῶς (3) ἐν γυμνότητι διαζῶντες. Παρ' οἷς οὐδὲν τετράποδον ὑπάρχει, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομὴ, οὐ πῦρ, οὐκ ἄρτος, οὐκ οἶνος, οὐχ ἱμάτιον, οὐκ ἄλλο τι τῶν εἰς ἐργασίαν συντελούντων ἢ πρὸς (4) ἀπόλαυσιν συντεινόντων. Ἔχουσι δὲ ἀέρα λιγυρόν τε καὶ εὔκρατον καὶ πάνυ κάλλιστον. Σεβόμενοι τὸν θεὸν καὶ γνῶσιν μὲν ἔχοντες, οὐχ οὕτως δὲ λεπτὴν, μήτε δὲ διευκρινεῖν οὕτω τοὺς τῆς προνοίας λόγους δυνάμενοι, ὅμως εὔχονται ἀδιαλείπτως· εὐχόμενοι δὲ ἀντὶ τῆς ἀνατολῆς τὸν οὐρανὸν (5) ἀτενίζουσι, τῇ τροπῇ τῆς ἀνατολῆς οὐ προσέχοντες. Ἐσθίουσι δὲ τὰ παρατυγχάνοντα ἀκρόδρυα καὶ λαχάνων τὰ ἄγρια, ὅσα ἡ γῆ ἐκφύει αὐτομάτως, καὶ ὕδωρ πίνουσι, νομάδες ὄντες ἐν ὕλαις (6), ἐπὶ φύλλοις ἀναπαυόμενοι. Παρ' αὐτοῖς δὲ πολὺ τὸ περσυνὸν (7) καὶ τὸ λεγόμενον ἀκάνθινον· καὶ ἔτι ἕτερα ἡ χώρα καρποφορεῖ (8), ἀφ' ὧν ἀποζῶσι. Καὶ οἱ μὲν ἄνδρες εἰς τὸ μέρος τοῦ ὠκεανοῦ ἐκεῖθεν τοῦ ποταμοῦ τοῦ Γάγγου παροικοῦσιν· οὗτος γὰρ ὁ ποταμὸς εἰς τὸν ὠκεανὸν ἐμβάλλει· αἱ δὲ γυναῖκες αὐτῶν εἰσὶν ἐντεῦθεν (9) τοῦ Γάγγου ἐπὶ τὸ μέρος (10) τῆς Ἰνδίας. Περαιοῦνται (11) δὲ οἱ ἄνδρες πρὸς τὰς γυναῖκας Ἰουλίῳ καὶ Αὐγούστῳ μηνί· οὗτοι (12) γάρ εἰσι παρ' αὐτοῖς μῆνες ψυχρότεροι, τοῦ ἡλίου πρὸς ἡμᾶς (13) καὶ ὑπὲρ βορρᾶν ὑψωθέντος· οἱ καὶ εὐκρατότεροι λέγονται εἶναι οἱ μῆνες ἐκεῖνοι, καὶ οἶστρον κινεῖν. Καὶ ποιήσαντες (14) μετὰ τῶν γυναικῶν τεσσαράκοντα ἡμέρας (15), αὖθις ἀντιπερῶσι· γεννησάσης δὲ (16) τῆς γυναικὸς δύο παιδία, οὐκέτι ὁ ἀνὴρ (17) ἀντιπερᾷ οὔτε πλησιάζει αὐτοῦ τῇ γυναικί. Ἀντιστήσαντες οὖν (18) ἀλλήλων τὸ ἀντίσωμα τὸν λοιπὸν ἐγκρατεύονται βίον. Ἐὰν δὲ συμβῇ στεῖραν εὑρεθῆναι ἐν αὐτοῖς γυναῖκα, μέχρι πενταετίας περᾷ πρὸς αὐτὴν ὁ ἀνὴρ συγγινόμενος αὐτῇ (19). Καὶ ἐὰν μὴ γεννήσῃ, οὐκέτι αὐτῇ προσεγγίζει. Διὸ οὐδὲ εἰς πλῆθος (20) πολυάνθρωπον ἐκτέταται αὐτῶν τὸ ἔθνος διά τε τὴν δυσζωίαν (21) τοῦ τόπου καὶ διὰ τὴν φυσικὴν ἐγκράτειαν τῆς γενέσεως. Αὕτη τῶν Βραχμάνων ἐστὶν ἡ πολιτεία.

[ΚΕΦ. Ι'.]

Τὸν δὲ ποταμὸν λέγουσι δυσπεραίωτον εἶναι διὰ τὸν λεγόμενον ὀδοντοτύραννον (1). Ζῶον γάρ ἐστι μέγιστον εἰς ὑπερβολὴν ἐνυπάρχον τῷ ποταμῷ (2), ἀμφίβιον ἐλέφαντα ὁλόκληρον καταπιεῖν δυνάμενον. Ἐν δὲ τῷ καιρῷ τοῦ περάματος τῶν Βραχμάνων πρὸς τὰς ἑαυτῶν γυναῖκας, οὐκ ὀπτάνεται (3) ἐν τοῖς τόποις ἐκείνοις.

Cap. IX. 1. οὐχ et ὡς et ἀλλὰ om. A. ‖ 2. λαχόντα (λαχὸν) L. ‖ 3. φυσικῶς om. A; dein ζῶντες.) ‖ A. 4. πρὸς addidi ex Cedreno p. 153, qui hunc locum iisdem fere verbis conceptum exhibet. A. ‖ 5. τῷ οὐρανῷ L. ‖ 6. ἐν ὕλαις om. A. ‖ 7. περσυνὸν vel περσυβὸν cod. A; (fuerit Περσικὸν); Περσεινὸν ξύλον καὶ τὸ λεγόμενον ἀκανθαῖνον καί τινα ἕτερα καρποφόρα (ἐπιχώρια R.), ἀφ' ὧν ἀ. L. ‖ 8. καρποφοροῦν cod.; ante χώρα addidi articulum; fortasse tamen scr. ἐπιχώρια καρποφόρα ‖ 9. ἐντεῦθεν om. L. ‖ 10. τὸ μέρος τὸ τῆς L. ‖ 11. πορεύονται A. ‖ 12. αὐτοὶ L; mox. οἱ μῆνες L. ‖ 13. πρ. ἡ om. A; πρὸς ἡμᾶς καὶ R. ‖ 14. νοήσαντες A. ‖ 15. μῆνας ἡμέρας A. ‖ 16. μέντοι L. ‖ 17. οὐκ ἄρσις ἀντιπερᾶ A; οὐκέτι ὁ ἀνὴρ περᾶ πρὸς τὴν ἑαυτὴν ἑαυτοῦ γυναῖκα κοινωνίας χάριν L. Pro οὔτε πλησιάζει αὐτῇ Cedrenus l. l. habet: οὔτε μὴν ἐκείνη πλησιάζει ἑτέρῳ ἀνδρὶ διὰ πολλὴν εὐλάβειαν ‖ 18. ἀντ. ἀλλήλων τὸ ἀντὶ σωμάτων λ. ἐ. β. A; ἀντ. οὖν ὑπὲρ αὐτῶν τὰ ἀντίσσομα τὸν ἐπίλοιπον ἐ. χρόνον L. ‖ 19. sic L R, nisi quod post ὁ ἀνὴρ L. addit αὐτῆς, quam vocem om. R; μ. π. παραθαρσήσει συγγ. ταύτῃ A. ‖ 20. εἰς πλῆθος om. A. ‖ 21. δυσοδίαν A. ὀλιγοδείαν Cedrenus

Cap. X. 1. ὀδὴν τὸν τύραννον R. ὀδοτύραννον, Cedrenus ‖ 2. sic L; εἰς ὁ. ἐν τῷ ποτ. ἐνυπάρχει ἀμφ. ἐλ. καταπίνειν (κατα-

---

ac divinitatis ope suffultum. Naturaliter enim nudi in finitimis fluvii regionibus vivunt. Nulli apud eos quadrupedes, nullus terræ cultus, nullus ferri usus, nullum instrumenti genus, quo fieri aliquod opus possit. Habent autem illic deliciosas atque optimas auras et saluberrime temperatas. Colunt semper deum, cujus veram quidem ac distinctam notitiam se habere profitentur, omnemque providentiæ ejus ac divinitatis rationem discernere. Jugiter orant, orantes vero non orientalem partem, unde oritur sol, aspiciunt, sed cœlum potius intuentur. Edunt autem ea, quæ super terram pecudum more potuerint invenire, hoc est arborum folia et olera silvestria. Abundat enim apud illos plurimum herba, quam inulam nomine vocamus sicut et apud Persas. Item ibi est arbor quæ acanthus nominatur. Habent et patrias arbores quasdam nescio quos fructus ferentes, quibus vesci semper solent. Viri trans ripam fluminis Gangis in partibus Oceani, in quem fluvius memoratus ingreditur, degunt: fœminæ vero citra Gangem juxta mediterraneas partes morantur, ad quas earundem mariti Julio et Augusto mense transvadere consuescunt. Isti enim menses apud eos frigidiores videntur, eo quod tunc ad nos sol convertitur et supra aquilonem, quem boream vocamus, vis solis erigitur; quo tempore temperati aeres magis et ad concubitum magis apti esse dicuntur. Ubi ergo quadraginta cum fœminis suis fecerint dies, mox ad propria revertuntur. At cum enixa fuerit uxor alicujus, ediderit que unum vel alterum partum, non transit ulterius ad eam ejus maritus, nec ulterius cum propria concumbit uxore. Singulis enim filiis in locum patrum substitutis, per totam de reliquo vitam a propriis se uxoribus abstinent. Si autem acciderit ut quispiam sterilem sortiatur uxorem, usque ad quinque annos maritus ipsius ad eam transit, et ei maritale præstat obsequium. Quæ si gravida per tempus illud reddita non fuerit, mox ab eadem penitus separatur. Ob quod non in multos populos eorum diffunditur genus, tum propter locorum difficultatem tum propter consuetudinem continendi. Hæc est ergo vita et conversatio Brachmanorum.

X. Fluvium autem ipsum cum maxima dicunt difficultate vadari, tum propter Ondoniton tyrannum (*Odontotyrannum*) loca illa infestantem, tum etiam timore cujusdam animalis in supradicto fluvio morantis, quod tantæ magnitudinis esse dicu t, ut integrum possit elephantem devo-

Εἰσὶ δὲ καὶ δράκοντες μέγιστοι (4) ἐν τοῖς τόποις (5) ἐκείνοις, ἕως πηχῶν ἑβδομήκοντα· ὧν καὶ δορὰν μίαν ἐθεασάμην ἐγὼ ποδῶν ε' (6) πλάτος ἔχουσαν. Οἱ δὲ μύρμηκές εἰσι οἱ ἐκεῖ παλαιστιαῖοι, οἱ δὲ σκορπίοι πηχυαῖοι· διὸ καὶ δυσδιόδευτοί εἰσιν ἐκεῖνοι οἱ τόποι. Οὐ πᾶς δὲ τόπος τῶν ἐκεῖ ἔχει τοιαῦτα θηρία ἰοβόλα (7), ἀλλ' ἡ ἀοίκητος μόνη. Ἀγέλη δὲ ἐλεφάντων πολλή.

Ἀρριανοῦ (8) τοῦ μαθητοῦ μέντοι Ἐπικτήτου (9) τοῦ φιλοσόφου τοῦ καὶ δούλου γεγενημένου, δι' εὐφυΐαν δὲ φύσεως εἰς φιλοσοφίαν ἐλάσαντος ἐν τοῖς καιροῖς Νέρωνος τοῦ βασιλέως τοῦ τοὺς ἀοιδίμους (10) ἀποστόλους κολάσαντος, τοὺς μακαρίους Πέτρον καὶ Παῦλον, τούτου τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα ἱστορήσαντος ὃ ἐκεκτήμην πονημάτιον ἀπέστειλα τῇ ἀνδρείᾳ (11) τῆς σῆς καλοκαγαθίας, ὑποτάξας μου τῷ (12) ὑπομνηματικῷ· ὅπερ ἀναγινώσκων νουνεχῶς (13) καὶ φροντίσας ἐμμελῶς, βιώσεις ἀσφαλῶς.

[ΚΕΦ. ΙΑ'.]

Δάνδαμις (1) ὁ τῶν Βραχμάνων διδάσκαλος διηγούμενος τὰ κατὰ τὸν Μακεδόνα ἔφη (2).

Βασιλεὺς Ἀλέξανδρος οὐκ ἀνεχόμενος μόνης (3) εἶναι βασιλεὺς τῆς Μακεδονίας, οὐδ' ἀρκούμενος Φιλίππῳ πατρὶ, καὶ Ἄμμωνος υἱὸν ἑαυτὸν ἔλεγεν εἶναι, καὶ τῆς γεννήσεως ἐλεγχούσης (4), ψευδεῖς ἔφερε τῆς φύσεως ἀποδείξεις, ἀνικήτους δὲ ἀγῶνας προέτεινεν (5). Ἀνέτειλε γὰρ ὡς ὁ ἥλιος ἀπὸ Μακεδονίας κατοπτεύσας πολὺν κόσμον (6) πρὶν ἔδυνε κατὰ Βαβυλῶνα· τὴν δὲ Εὐρώπην τε καὶ τὴν Ἀσίαν ὡς μικρὰ χειρωσάμενος (7) χωρία, ἦλθε καὶ τὸν ἡμέτερον κόσμον κατοπτεύων καὶ ἐρευνῶν. Καὶ ἔλεγε ταῦτα (8) ὁ Ἀλέξανδρος· « Σοφία, μῆτερ προνοίας, κοινωνὲ (9) τῆς πασῶν [ἀρετῶν] δυνάμεως, ἀνωτέρω ἐν ἀληθείᾳ μόνῃ κειμένη, τροφὲ καὶ δημιουργὲ φύσεως, λόγων δότειρα, γνώσεως κοινῆς [ἐρευνητά], ἀδίκους μὲν ἀποτινοῦσα, δικαίων δὲ φειδομένη, δὸς εὐμενῶς ἤδη μοι τῶν αἰτημάτων τυχεῖν. Βραχμᾶνας δὲ παρόντας ἐνθάδε σοφούς τε καὶ ἀγαθοὺς ἰδεῖν ἧκω, μαθὼν παρὰ Καλάνου τινὸς τῶν ἐνθάδε σπεύσαντος πρός με· πεισθεὶς δὲ ἦλθον, ποθῶ δὲ (10) ὅπως ἴδω καὶ μάθω σαφῶς. »

[ΚΕΦ. ΙΒ'.]

Βραχμᾶνες καὶ αὐτοὶ Ἰνδοὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ (1) ταῦτα λέγουσιν·

« Ὀρεγόμενος σοφίας, Ἀλέξανδρε (2), ἦλθες πρὸς

μὴ δυναμένων (l. δυνάμενον) ἐν τοῖς ποταμοῖς ἐκείνοις ὀφθῆναι. ‖ 4. μεγ. om. A. ‖ 5. ποταμοῖς L; περὶ ποταμοὺς τοὺς ἐκείνους R; dein ὡς καὶ δ. που μίαν L. ‖ 6. δύο L; mox ἔχουσαν om. A. ‖ 7. τοιαῦτα ζῶα ἢ ἰοβόλα θηρία L. ‖ 8. Ἀδριανοῦ L. ἐλεφάντων πολιαρίου A. ‖ 9. Ἐπικτ. om. L. ‖ 10. ἁγίους R; mox. τοὺς μακ. om. L; τὸν Μακεδόνα om. A. ‖ 11. τῇ ἀλεξάνδρ. A. ‖ 12. ὑποτ. τὸ ὑπομνηματικὸν A. ‖ 13. συνεχῶς A.

Cap. XI. 1. Δανδάμης A. Δανδάμιος L. ‖ 2. καλῶς δ. τὸ κατὰ τοὺς Μακεδόνας, omisso ἔφη, L. ‖ 3. ὡς εἶναι A. ‖ 4. λεγούσης A. ‖ 5. προσέτεινεν A; προέφερον L. ‖ 6. κατοπτεύσας (κατασπεύσας L.; correx. Bissæus) π. κ. om. A. ‖ 7. χρησάμενος L, quod correx. Bissæus; ἡγησάμενος A. ‖ 8. ἐν ἑαυτῷ addit L. ‖ 9. κοινῶν A; κοινωνὲ δὲ L; deinde τῆς πασῶν μητρὸς δικαιοσύνης conj. Bissæus; ἀνωτέρα L; ἐν om. A; μόνη L; κειμένη om. A; τροφεὺς A; δοτὴρ A L; φύσεως A; ἐρευνητὰ suppl. Bissæus; ἀδίκων μὲν ἐπιμιγνὺς A L; ἀδίκους μ. ἀποτίνουσα conj. Bissæus; forte scr. ἀδίκοις μὲν ἐπιμηνίουσα. ‖ 10. διὸ ποθῶ A. ‖

Cap. XII. Quæ jam sequitur Brachmanum disputatio legitur etiam in codice C, non ita tamen, ut uno tenore tota exhibeatur, sed discerptam auctor codicis reliquæ suæ de Brachmanibus narrationi inseruit. Ac prima quidem hæcce ejus pars post ea legitur, quæ adscripsimus cap. 5 not. 9, ubi vide. ‖ 1. τῷ βασιλεῖ om. A. ‖ 2. Ἀλ. om. A, post v. ἡμᾶ-

---

rare. Eo vero tempore, quo Brachmani fluvium transire consueverunt, divino asserunt judicio dictum animal non videri in fluvio. Maximi etiam dracones illic esse dicuntur, habentes septuaginta per longitudinem cubitos, unde ego unius pellem vidisse me memini [quadraginta] duos in latitudine habentem pedes. Formicas etiam illic esse ad modum palmæ hominis, scorpiones vero ad cubiti humani mensuram adesse loquuntur. Propter quæ monstra periculosus est ipsorum transitus locorum. Non tamen ubique animalia ista nascuntur, sed in illis partibus tantum, quæ ab hominibus non inhabitantur. Plurimique illic elephantum greges esse dicuntur.

Hæc sunt quæ a Thebæo scholastico de Brachmanis audivisse se affirmat Musæus. Quæ vero ex historiis de Alexandri vita legi et quæ ex plerisque auctoribus ad hæc facientia de illis desumpsi, nunc subnectam.

XI. Alexander imperator, quum ei Macedoniæ solius imperium non sufficeret, neque Philippo patre tantum posset esse contentus, Jovis Ammonis filium semet esse dicebat. Et quamvis originem ipsius facile ipsa rei veritas comprobaret, falsis tamen quibusdam, et ut ei videbatur, invictis modis aliam sui esse naturam generis adstruebat. Itaque solemni bellorum apparatu, ac instructis equitum peditumque militum copiis, e Macedoniæ regione consurgens totum pæne peragravit mundum : et antequam in provinciam Babylonis accederet, Europam quidem et Asiam veluti quædam parva loca transcurrit; venit tandem in partes nostri quoque orbis, ut eas inspiceret, quasque cum reperisset suis conformes sensibus, ipse dicebat : « Sapientia, providentiæ mater, habens cum virtute ipsa, quæ omnium virtutum caput est, quandam communionem, in sola veritate consistens, alens omnem faciensque naturam, cujus donum est nostrorum sermo verborum, notitiam scientiamque communem scrutans et perspiciens, injustis quidem tribuens quæ merentur, justis autem parcens : da mihi quæso te placidam, ut possim ad illa quæ cupio his precibus pervenire, Brachmanos vero bonitate ac sapientia præditos viros hic præsentes cernere. Veni enim, ut aliqua cognoscerem

ἡμᾶς· ὅπερ προθυμότερον (3) ἀποδεχόμεθα Βραχμᾶνες, ὅτι ἐστὶ βασιλικώτερον ἐν τῷ βίῳ ἡμῶν· τοῦτο γὰρ ἠθέλησας μαθεῖν, βασιλεῦ (4) Ἀλέξανδρε· ὁ φιλόσοφος γὰρ οὐ δεσπόζεται, ἀλλὰ δεσπόζει· ἄνθρωπος γὰρ αὐτοῦ οὐ κρατεῖ παντελῶς. Ἀλλ' ἐπειδὴ μέχρι τοῦ νῦν (5) διαβεβλημένοι ἠπιστούμεθα ὑπό σου, γευσόμενος νῦν (6) τῶν ἀληθινῶν λόγων ἦλθες (7). Κάλανος γὰρ κακὸς ἀνὴρ ἡμῖν γεγένηται, καὶ διὰ Κάλανον ἄνδρες Ἕλληνες Βραχμᾶνας ἔγνωτε, ἀλλ' οὐκ ἐπέγνωτε (8)· ἐκεῖνος γὰρ οὐκ ἦν ἡμέτερος, ἀπ' ἀρετῆς δραπετεύσας εἰς πλοῦτον (9). Οὐκ ἤρκησεν αὐτῷ Τιβεροβοὰμ ποταμοῦ (10) πίνειν ὕδωρ σωφροσύνης (11) καὶ ἀμολγὰς ἐσθίειν, ἐν οἷς αὐξάνεται νοῦς θεοπρεπὴς, ἀλλὰ (12) πλοῦτον ἔσχεν ἐχθρὸν ψυχῆς· καὶ οὕτως ἐν ἑαυτῷ δεινὸν ἀνέφλεξε πῦρ καὶ εἰς ἡδονὴν ἑαυτὸν (13) ἀπέστρεψεν ἀπὸ σοφίας. Ἡμῶν δὲ οὐδεὶς (14) ἐπ' ἀνθράκων κυλίεται, οὐδὲ ἀλγηδόνων ἡμῶν δαπανᾷ τὸ σῶμα, ἀλλ' ἔστιν ἡμῶν ἡ τροφὴ (15) ὑγείας φάρμακον. Ἁπλουτοι δ' ἐσμὲν κατὰ τὴν φύσιν· καὶ ὁμοίως πᾶσι τῷ βίῳ ἡμῶν ἐπακολουθεῖ ὁ θάνατος. Εἰ δὲ τῶν θνητῶν τινὲς ἀνδρῶν (16) ψευδεῖς μαθόντες λόγους, καὶ κενοῖς ἡμᾶς ὑποτοξεύουσι βέλεσιν, ἀλλὰ τὴν ἐλευθερίαν ἡμῶν οὐ βλάπτουσιν. Ἴσον δ' ἐστὶ τὸ ψεύδεσθαι καὶ τὸ τάχος πείθεσθαι· ἀδικεῖ γὰρ ὁ ψευδόμενος ὃς πείθει, ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος ψευδομένῳ προσέχων πρὶν ἢ τἀληθὲς μάθῃ. Διαβολὴ γὰρ μήτηρ ἐστὶ πολέμου καὶ τίκτει ὀργὴν (17), ἀφ' ἧς μάχονται καὶ πολεμοῦσι (18). Πλὴν οὐκ ἐστι ἀνδρεία τὸ (19) φονεύειν ἄνδρας· λῃστοῦ γὰρ ἔργον ἐστίν. Ἀνδρεία δέ (20) ἐστι τὸ πάσῃ ἀέρων κράσει μάχεσθαι γυμνῷ τῷ σώματι καὶ γαστρὸς ἐπιθυμίας ἀναιρεῖν καὶ τοὺς ἐν αὐτῇ πολέμους μᾶλλον νικῆσαι καὶ ὑπὸ τῆς ἐπιθυμίας μὴ καταγωνίζεσθαι πρὸς τὸ ὀρέγεσθαι δόξης καὶ πλούτου καὶ ἡδονῆς. Τούτους οὖν νίκησον πρῶτον, Ἀλέξανδρε, τούτους ἀπόκτεινον. Τούτους γὰρ ἐὰν (21) νικήσῃς, οὐκ ἐστι σοι χρεία πρὸς τοὺς ἔξω μάχεσθαι· τοῖς γὰρ ἔξω μάχῃ, ἵνα τούτοις ἐνέγκῃς φόρους (22). Οὐ (23) βλέπεις ὅτι τοὺς ἔξω νικῶν (24) ὑπὸ τῶν ἔνδον νενίκησαι; Πόσοι σοι δοκοῦσι βασιλεῖς ἀνοίας ἐν τοῖς ἄφροσι τυραννεῖν (25); γλῶσσα, ἀκοή, ὄσφρησις, ὅρασις, ἁφή, γαστὴρ, αἰδοῖα, ὅλος ὁ χρώς (26). Πολλαὶ δὲ καὶ ἔσωθεν, ὥσπερ ἀμείλικτοι δέσποιναι καὶ τυραννίδες ἀκόρεστοι, ἀπέραντα ἐπιτάττουσιν (27) ἐπιθυμίαι, φιλοχρηματίαι, φιληδονίαι, δολοφονίαι (28), σωματομιξίαι, φονοκτονίαι, διχοστασίαι· αἷς πάσαις ταύταις καὶ ἄλλαις πλείοσι βροτοὶ δουλεύουσι, δι' ἃσπερ φονεύουσι καὶ φονεύονται. Βραχμᾶνες δὲ νικήσαντες τοὺς ἔσωθεν (29) πολέμους πρὸς τοὺς ἔξωθεν οὐ μαχόμεθα (30)· ἀναπαυόμεθα βλέποντες ὕλας καὶ οὐρανὸν, καὶ ἀκούομεν ὀρνέων ἦχον εὐμελῆ καὶ ἀετῶν κλαγγὴν, φύλλα τε περιβεβλήμεθα καὶ ἀέρι ἐνδιαιτώμεθα (31) καὶ καρποὺς ἐσθίομεν καὶ ὕδωρ πίνομεν, θεῷ ὕμνους ᾄδομεν καὶ τὰ μέλλοντα ἐπιθυμοῦμεν, οὐδενὸς μὴ ὠφελοῦντος ἀκούομεν· τοιαῦτα Βραχμᾶνες ζῶμεν (32), οὐ πολλοὺς λόγους λέγοντες καὶ σιωπῶντες.

ponit L; ἐνταῦθα post v. ἡμᾶς add. C. ‖ 3. sic Bissæus; πρότερον L, omisso ὅπερ; ὅπερ πρῶτον A C; dein ἀπεχόμεθα A. ‖ 4. βασιλεῦ A C; malim βασιλεὺς ὤν; mox οὐ δεσπόζεται ἀλλὰ et παντελῶς om. A. ‖ 5. μέχρι νῦν L; μ. τούτου C. ‖ 6. γευσάμενος γὰρ τῶν C; γ. ἀληθ. A; γ. νῦν ἀλ. L. ‖ 7. γνῶθι C. ‖ 8. ἀλλ' οὐκ ἐ. om. L C; pro ἔγνωτε C ἐγνωσαν. ‖ 9. εἰς πλ. om. C; εἰς om. A. ‖ 10. sic L; τιβήριο ποτ. A; ἐν τῇ Βαροάμ C; Ταγαβενὰ legitur ap. Pseudo-Origenem philos. 24 vol. I, p. 204 ed. Par. 1733. ‖ 11. ἀγαθὸν add. C; dein ἀμόγλας L C; γῆς post ἐσθίειν add. C ‖ 12. ἀλλὰ om. L A ‖ 13. αὐτὸν L C; om. A. ‖ 14 τῶν Βραχμάνων addit C; dein : ἐπ' ἀ. πορεύεται ἢ μᾶλλον κυλίεται C. ‖ 15. τροφή, ζωὴ L C. ‖ 16. κακῶν ἀνδρῶν τινες A; οἱ δὲ... μανθάνουσι λ. καὶ καινοῖς ὑμᾶς ἀποτ. βέλεσιν, omissis reliquis, C. ‖ 17. ἐν ἀνθρώποις add. C. ‖ 18. Ἀλέξανδρε, ἄνθρωποι addit C. ‖ 19. τὸ πολεμεῖν καὶ φον. A; οὐκ ἔστι τὸ φονεύειν ἀνθρώπους ἀνδρεία C. ‖ 20. δὲ πάλιν ἐστὶ τῷ C; ἐστὶ πρὸς τὸ (l. τὸ πρὸς) πᾶσαν L; ἐστὶ πρὸς ἁπασ. χειρῶν μ. A. ‖ 21. ἐὰν μόνον C. ‖ 22. τοῖς γὰρ... φόρους om. C. ‖ 23. οὐ om. A. ‖ 24. νικᾷς καὶ L C. ‖ 25. καὶ ὅσοι σ. δ. βασιλεῖς ἐν τοῖς ἄ. ὅτι ὑπάρχει αὐτοῖς C. ‖ 26. αἰδ. ὅ. ὁ. χ. om. C. ‖ 27. ἐπιτάττουσαι L. ‖ 28. φειδωλίαι L; σωμ. et φονοκτ. om L C. ‖ 29. ἔνδον L. ‖ 30. πολέμους καὶ τοὺς ἔξωθεν, λοιπὸν ὑγειῶς ἔχομεν C; πολέμους, λοιπὸν ἀνερρώθησαν (i. e. ἀνερρώθημεν) L. ‖ 31. διαχεόμεθα A. ‖ 32. τοιαῦτα.. ζῶμεν om. A; οὐ πολλὰ λέγομεν,

a Calano, incola horum locorum, qui ad me festinus accessit, quo nunc persuadente desidero ediscere cuncta plenius, et videre. »

XII. Brachmanni vero e contra Alexandro ista dicebant : « Venisti ad nos, inquiunt, cognoscere sapientiam cupiens : nos autem Brachmani libenter statim talem suscepimus voluntatem. Hujusmodi enim desiderium in vita ac moribus nostris regnum (*regium*) judicatur, quod nunc discĕre imperator ipse voluisti. Philosophus enim non dominio alterius obtemperat, sed ipse dominatur : homo enim in eum non habet potestatem. Sed quoniam nihil nobis hactenus credens (eo quod usque ad præsens tempus male de nobis apud te quidem locuti sunt), nunc ad nos vera degustans venisti. Calanus enim vir apud nos pessimus fuit, per quem vos Græci homines Brachmanos agnovistis quidem, bene tamen non potuistis agnoscere. Ille enim non fuit noster, qui ad divitias sine aliqua sui excusatione transfugit, cui non sufficit de Taberunco fluvio aquam castitatis haurire, neque pressi lactis cibum sumere, quibus deo digna mens crescit, quam ille deo semper habuit inimicam, qua male succensus in iram exarsit, quamque de sapientiæ bonis transtulit ad vitia voluptatis. Ex nobis autem nullus in prunis ardentibus volutatur, neque ulli dolores corpora nostra consumunt, sed vita nostra medicamentum aliquod sanitatis est. Naturali autem beneficio alieni a divitiis omnibus sumus : æquo etiam vitam nostram mors fine comitatur. Et si interdum nonnulli forte mortalium, ad quos falsorum venit doctrina verborum, percutere nos vanis tentant sagittis, ingenuitatem tamen nostram lædere ac vitiare non possunt. Unum atque idem est mentiri, et credere mentienti. Nocet enim si quis alicui falsa persuadet; nocet et sibi, qui dum mendacio credit, non

Ὑμεῖς δὲ λέγετε ἃ δεῖ μὴ ποιεῖν (33), καὶ ποιεῖτε ἃ μὴ δεῖ λέγειν. Παρ' ὑμῖν δὲ (34) οὐδεὶς φιλόσοφον οἶδεν ἐὰν μὴ λαλήσῃ (35)· ὑμῶν γὰρ ὁ νοῦς ἐστὶ ἡ γλῶττα, καὶ ἐπὶ τοῖς χείλεσιν αἱ φρένες. Χρυσὸν καὶ ἄργυρον συνάγετε, δούλων χρείαν ἔχετε καὶ μεγάλων οἴκων, ἀρχὰς διώκετε (36), ἐσθίετε καὶ πίνετε ὅσα καὶ τὰ κτήνη, οὐκ αἰσθάνεσθε (37) ὡς ἰδιῶται· περιβάλλεσθε μαλακὰ, ἐξομοιούμενοι τοῖς σκώληξι τοῖς σηρικοδιασταῖς (38), ἀδεῶς πάντα πράττετε καὶ ἐφ' οἷς πράττετε μετανοεῖτε (39), καθ' ἑαυτῶν λαλεῖτε (40) ὡς κατ' ἐχθρῶν, τῆς γλώττης ἐξουσίαν ἔχοντες ὑπ' αὐτῆς πολεμεῖσθε· κρείττονες ὑμῶν εἰσὶν οἱ σιγῶντες, κἂν ἑαυτοὺς οὐκ ἐλέγχωσι· παρὰ προβάτων ὥσπερ αἰχμάλωτοι ἔρια δανείζεσθε, δόξαν τοῖς δακτύλοις ὑμῶν ὡς ξόανα περιτίθεσθε, χρυσὸν ὡς αἱ θήλειαι φορεῖτε, καὶ ἐπὶ τούτοις μεγαλύνεσθε (41), καθ' ὁμοίωσιν τοῦ κτίσαντος δημιουργηθέντες ἀνημέρων θηρίων θυμὸν τίκτετε· ὅταν πολλὰς κτήσεις περιβάλλησθε, ἐπὶ τούτοις μεγαλύνεσθε (42), καὶ τοῦτο βλέποντες ὅτι πρὸς ἀλήθειαν οὐδὲν ὑμᾶς δύναται ὠφελεῖν· χρυσὸς γὰρ ψυχὴν οὐκ ἀνίστησιν, οὐδὲ σῶμα πιαίνει, ἀλλὰ τοὐναντίον μᾶλλον καὶ ψυχὴν σκοτοῖ καὶ σῶμα ἐκτήκει (43). Ἡμεῖς δὲ πρὸς ἀλήθειαν τὴν φύσιν ἐπείγοντες (44) [καὶ] τὰ ταύτῃ ἀποκληρωθέντα, ἐκείνων καὶ προνοοῦμεν. Πείνης παραγενομένης, ἀκροδρύοις καὶ λαχάνοις τοῖς ἐκ τῆς προνοίας ἡμῖν χορηγουμένοις ἰώμεθα ταύτην· καὶ δίψης παραγενομένης, ἐπὶ τὸν ποταμὸν ἐρχόμενοι, χρυσὸν πατοῦντες (45) ὕδωρ πίνομεν, καὶ ταύτην θεραπεύομεν (46). Χρυσὸς δὲ οὐ παύει δίψαν, οὐδὲ λιμὸν παραμυθεῖται, οὐ τραῦμα θεραπεύει, οὐ νόσον ἰᾶται, οὐκ ἀπληστίαν ἐμπίπλησιν, ἀλλὰ μᾶλλον καὶ προσεξεγείρει ταύτην τὴν ξένην τῆς φύσεως ἐπιθυμίαν. Καὶ ὁρῶν μὲν ἄνθρωπος δῆλον ὅτι (47) ἐπιθυμεῖ πιεῖν, καὶ λαβὼν (48) ὕδωρ πέπαυται τῆς δίψης· καὶ ὁ πεινῶν φυσικῶς ἐπιζητεῖ τροφὴν καὶ φαγὼν χορέννυται καὶ τῆς ἐπιθυμίας πέπαυται (49). Παντάπασιν οὖν δῆλον ὅτι ξένον φύσεώς ἐστι τὸ χρυσοῦ ἐπιθυμεῖν· πᾶσα γὰρ ἐπιθυμία πέπαυται βροτῶν, ὅταν λάβῃ κόρον (50), ἐπειδὴ τῇ φύσει τοῦτο συνέσπαρται (51)· ὁ δὲ τῶν χρημάτων ἔρως ἀκόρεστός ἐστι διὰ τὸ εἶναι τοῦτον παρὰ φύσιν. Ἔπειτα καὶ ἐν αὐτῷ κοσμεῖσθε (52) καὶ ἐπὶ τούτῳ δοξάζεσθε, τῶν ἄλλων ἀνθρώπων ὑπερμεγαλυνόμενοι·

σιωπῶμεν τοὺς πολλοὺς λόγους A. ‖ 33. ἃ δεῖ π. A L. ‖ 34. ἡμῖν γὰρ. C. ‖ 35. sic. C; οὐδεὶς φιλοσοφῶν οὐδὲν, εἰ μὴ λαλήσωσιν L; παρ' ὑμῖν τοὺς φιλοσόφους οὐδὲν οἶδεν, εἰ μὴ λαλήσωσι A. ‖ 36. ἐκδιώκετε C. ‖ 37. οὐδὲ addit A. ‖ 38. ἐξομ.... σηρ. om. C; ἀδεῶς om. A. ‖ 39. μεγαλύνεσθε A ‖ 40. ἑαυτοὺς καταλαλεῖτε C. ‖ 41. ἐπαίρεσθε C, sequentia usque ad περιβάλλεσθε omittens; ἐπὶ τ. μεγ. latina omittunt; recte, puto; in græcis mox iterum ponuntur. ‖ 42. ἐ. τ. μ. om. A. ‖ 43. σκοτίζει ψυχὴν κ. σ. τήκει C. ‖ 44. ἐπιγνόντες A. deinde addidi καὶ. ‖ 45. χρ. πατ. om. C. ‖ 46. θεραπεύοντες. ‖ 47. δῆλόν τι ἐπιθυμεῖ omisso πιεῖν A; δῆλον ἐ. π. C; ἀνθρ. ἐπ. π. L. ‖ 48. πιὼν C. ‖ 49. κ. τ. ἐ. π. om. C. ‖ 50. καιρὸν A; τοῖς βροτοῖς, ὅταν λάβωσι τὸν θάνατον κατὰ νοῦν C. ‖ 51. συνέπαρται A. καὶ τοῦτο συνέπαρταται C. ‖ 52. τὸ κοσμεῖσθαι.. δοξάζεσθαι A; ἐνδοξά-

---

facile ad ipsam veritatem pervenire valet. Insimulatio autem mala inimicitiarum quædam et certaminum mater est, quæ ex se iracundiam parit, ex quibus rursus jurgia et bella nascuntur. Nulla tamen virtus est occidere hominem: latronum enim iste, ut novimus, mos est. Sed nos virtutem veram vocamus contra aurarum mutationes nudo corpore dimicare, desideria ventris abscindere, et varias ipsius pugnas abstinentia patientiaque superare. Igitur prius vince hos inimicos ante omnia tuos, si fortis videris tibi, et exinde opus tibi non erit adversum quempiam certamina externa committere. Idcirco enim contra eos qui foris sunt, commoves bella, ut istis quos intrinsecus habes, alimenta et fomenta suppedites. Sed tu vides quod eos quidem, cum quibus foris dimicas, vincis, ab iis autem quos nosti, qui intra te sunt, superaris. Considera igitur quanti tyranni in stultorum cordibus degunt, oculi, aures, nares, venter, virilia, totumque corpus humanum; quam multa etiam desideria nascuntur intrinsecus, quibus omnibus genus mortale succumbit et servit, propter quæ cuncta et jugulantur et jugulant. Nos autem Brachmani, quia omnia quæ intrinsecus habemus bella superamus, jam de reliquo incolumes atque securi in summa pace requiescimus. Silvas videmus, cœlumque suspicimus, aquilarum diversarumque avium gratissimas voces semper audimus, nudo sub aere arborum foliis nostra corpora contegimus, eorumque fructibus vescimur, aquam bibimus, hymnos deo canimus, et futuri sæculi vitam desideramus, nullumque quod prodesse nobis non possit, audimus. His ergo nos Brachmani moribus contenti vivimus, paucisque sermonibus agitatis mox tacemus. Vos autem dicitis quidem quæ debeant fieri, nec tamen facitis. Philosophum vos nullum putatis nisi eum qui noverit loqui: vester enim est omnis sensus in lingua, vobisque in oris vestri labiis tota sapientia est. Aurum argentumque colligitis, plurimis servis et magnis domibus indigetis: affectatis honores, et sectamini dignitates, editis tantum atque potatis, quantum juvat expleri, utimini æque et vestibus delicatis semper ac mollibus, eaque facitis quorum pœnitentiam mox geratis: contra vos ipsos veluti contra inimicos vestros soletis loqui, cum tamen habere vos linguæ propriæ potestatem sciatis. Longe profecto méliores sunt illi qui tacere consueverunt, non enim se ipsos loquendo revincunt. Mutuam mercedem ab omnibus (*ovibus*) accipitis: gloriosum, ut putatis, ornamentum digitis vestris imponitis aurum: vos quoque (*ut*) feminas videmus ornatos, cum sciatis quod id ipsum, in quo magnopere creditis, quantum ad rem pertinet veram, vobis prodesse nihil possit. Auro enim non extolluntur animæ, neque corpora nutriuntur, sed e contra per illud utraque ista vitiantur. Nos autem qui cognoscimus veritatem ipsamque naturam, si cœperimus sitire, ibimus ad fluvium, aurumque calcantes, aquam bibemus. Auro enim nequit sedari fames, ac sitis nescit exstingui. Nemo

καὶ διὰ τοῦτο τὰ κοινὰ τῶν πάντων ἴδια ποιεῖτε (53), τὴν ὁμοίαν πᾶσι μίαν φύσιν τῆς φιλαργυρίας εἰς πολλὰς γνώμας λοιπὸν κατατεμνούσης. Κάλανος οὖν ὁ ψευδὴς φίλος ὑμῶν (54) ταύτην ἔσχε τὴν γνώμην, ἀλλ' ὑφ' ἡμῶν καταπατεῖται, καὶ ὁ παραίτιος πολλῶν κακῶν πᾶσι πάρ' ὑμῖν ἐστὶν ἔντιμος (55) καὶ τιμᾶται ὑφ' ὑμῶν. Ἀνωφελὴς δὲ (56) ὢν ἡμῖν παρ' ἡμῶν παραπέμπεται ἐξουδενωθείς, καὶ πάντα ὅσα ἡμεῖς καταπατοῦμεν, ταῦτα ἐθαύμασεν ὁ φιλαργυρήσας Κάλανος, ὁ μάταιος ὑμέτερος φίλος, καὶ οὐχ' ἡμέτερος· μέλεος (57) καὶ τῶν ἀθλίων ἐλεεινότερος, τὴν ψυχὴν ἑαυτοῦ ἀπώλεσε φιλαργυρήσας· καὶ διὰ τοῦτο ἄξιος ἡμῶν οὐκ ἐφάνη, οὐδὲ ἄξιος τῆς πρὸς θεὸν (58) φιλίας· οὐδὲ ἐνανεπαύσατο ταῖς ἐν ταῖς ὕλαις ἀμεριμνίαις, ἐν ταύταις ἐντρυφήσας, οὐδὲ ἐλπίδα (59) ἔσχε τῆς μετὰ ταῦτα προσδοκίας, τὴν ἀθλίαν ἑαυτοῦ ψυχὴν φιλαργυρίᾳ κατακτείνας (60).

[ΚΕΦ. ΙΓ'.]

Ἔστι δέ τις παρ' ἡμῖν Δάνδαμις, ὃς ἐν ὕλῃ ἀνακεῖται (1) ἐπὶ φύλλοις ἐν εἰρήνῃ ἐγγὺς ἔχων πηγήν, [ἣν] ὡς μαζὸν ἀκέραιον ἀμέλγει μητρὸς [γῆς]. Τότε Ἀλέξανδρος ὁ βασιλεὺς ἀκούσας ταῦτα πάντα παρεκάλεσε τοῦτον τὸν (2) διδάσκαλον αὐτῶν καὶ πρύτανιν, τοῖς λόγοις τούτου (3) συντυχεῖν. Οἱ δὲ ὑποδεικνύουσιν αὐτῷ μακρόθεν (4) τὸν τόπον τοῦ Δανδάμεως. Ἐλθὼν δὲ ἐκεῖ ὁ Ἀλέξανδρος, οὐκ εἶδεν αὐτὸν παριών· ἐν ὕλαις γὰρ κατέκειτο συχναῖς, ἐπὶ φύλλοις ἀναπαυόμενος ἐν εἰρήνῃ (5), ἔχων πηγὴν ἐγγὺς [ἣν] ὡς μαστὸν ἀκέραιον ἡμελγε μητρὸς γῆς. Ὡς οὖν οὐκ εἶδεν ὁ Ἀλέξανδρος Δάνδαμιν τὸν τῶν Βραχμάνων ἐπιστάτην καὶ διδάσκαλον, πέμπει πρὸς αὐτὸν φίλον ἑαυτοῦ τινὰ Ὀνησικράτην ὀνόματι, λέγων τούτῳ (6)· « Σπεῦσον πρὸς τὸν διδάσκαλον τῶν Βραχμάνων, τὸν μέγαν Δάνδαμιν, ὦ Ὀνησίκρατες, καὶ ἢ αὐτὸν ἡμῖν ἄγαγε τὸν ἄνθρωπον (7), ἢ μαθὼν τὰ περὶ αὐτοῦ, ποῦ διάγει ἀνάγγειλόν μοι τὸ τάχος, ὅπως αὐτὸς ἐγὼ παραγένωμαι πρὸς αὐτόν. Ὁ δὲ Ὀνησικράτης λέγει αὐτῷ· « Τὸ κελευσθὲν ποιήσω διὰ τάχους, βασιλεῦ· σὸν γὰρ τὸ προστάττειν, τὸ δὲ ὁρᾶν ἐμόν ἐστι (8). » Πορευθεὶς δὲ οὗτος καὶ τὸν μέγαν Δάνδαμιν εὑρὼν, εἶπε· « Χαίροις, διδάσκαλε Βραχμάνων· υἱὸς θεοῦ Διὸς τοῦ μεγάλου, βασιλεὺς Ἀλέξανδρος, ὅς ἐστι παντὸς ἀνθρώπου

ζεσθε L. ‖ 53. ποιεῖται A; ποιοῦσι C. ‖ 54. ἡμῶν A; ὁ ψευδόφιλος ἡμῶν C. ‖ 55. ἐν τιμῇ A. ‖ 56. γὰρ L; παρ' ἡμῶν (ὑμῶν A.) om. L. ‖ 57. ἡμέτερον μέλος C; mox κακῶς ἀπώλεσε. ‖ 58. πρὸς τὸν θεόν L; τ. πρ. θ. αὐτοῦ φιλίας. Οὗτος ὁ Κάλανος οὐκ ἀνεπαύσατο C. ‖ 59. ἐλπίδας A; ἐλπίδα παντελῶς ἔσχε τῆς μετανοίας C. ‖ 60. Post hæc cod. C pergit : Ὁ δὲ Ἀλέξανδρος θέλων πειράσαι ἢ μᾶλλον εἰπεῖν περισσοτέρως δοκιμάσαι τὴν τούτων σοφίαν, ἔφη πρὸς αὐτούς· Τάφους οὐκ ἔχετε etc. quæ ex codd. A B legimus cap. 6. Quibus absolutis, ad Nostra rediens Alexandrum quærentem introducit : Ἔχετε ἄνακτα; Respondent Brachmanes : Ἔστι τις ἡμῖν Δανδάμης etc., quæ seq capite leguntur (Cf. cap. 6. not. 12).

Cap. XIII. 1. κατακεῖται L; dein ὃς εἰρήνην (χρήνην C) ἐγγὺς ἔχει A L. C. πηγὴν] τὴν γῆν A; μαζὸν] μαστόν L; ἀμέλγει] ἀμέλγων A L; ἀμέλγει μ. ἰδίας γῆς C. Totus hic locus e seqq. huc translatus. ‖ 2. τοῦτον δ. L; τὸν δ. A; ἵνα τὸν διδ... συντύχῃ C. ‖ 3. τῶν λόγων τούτων A L; om. C. ‖ 4. μακρ. om. A. ‖ 5. ἀν. καὶ εἰρήνην A πηγὴν et ἐγγὺς om. A. ‖ 6. πέμπει πρὸς τὸν Ὀ. δ. λέγων· Σπεῦσον A. ‖ 7. καὶ ἢ.. ἄνθρωπον om. L; τὸν ἀνθρ. om. A. ‖ 8. ἐστί om. L; τὸ δὲ δρασσόμενον ἡμῖν ἐστί A. ‖

auro venit vulnerum cura, non ægrotorum medicina membrorum, non ulla refrænatio cupiditatis immensæ, sed hortatus magis ac provocatio major ad novam nescio quam concupiscendi libidinem. Et sitis quidem illa naturalis cum fuerit, cum aquam quam desideravit acceperit, sitire mox cessat : similiter etiam naturalis fames, quando escam quam quærit acceperit, conquiescit. Si igitur eodem modo eademque natura aurum quoque humanus animus desideraret; ubi primum accepisset quod optabat accipere, sine dubio cupiditas et ipsa cessaret : sed nedum ista non cessat, immo semper nova et sine aliqua intermissione desiderat, quia non ex commonitione naturæ desiderium tale procedit. Postremo, in quo apud vos homines et ornantur et gloriantur, in eodem apud nos spernuntur. Calanus amicus est vester, sed spernitur et calcatur a nobis. Qui ergo multorum malorum auctor apud vos fuerit, a vobis honoratur et colitur : quia vero est inutilis, projicitur a nobis : et illa quæ nos omnino non quærimus, Calano pro ea quam habuit erga pecuniam cupiditatem, placuerunt. Sed non erat noster hic talis, qui animum suum miserabiliter lasit ac perdidit, ob quod neque dei neque nostri amicus esse visus est dignus, neque in hoc sæculo inter silvas habere meruit securitatem, neque illam sperare gloriam potuit, quæ promittitur in futuro.

XIII. Alexander imperator ubi venit ad silvas, Dandamim quidem ipsum in transitu videre non potuit : in silva enim jacebat, recumbens super arborum folia in securitate et pace, proximus fonti, quem quasi uber terræ matris incorruptum atque integrum in os suum emulgere consueverat. Misit autem ei Alexander amicum quendam nomine Onesicritum, dicens ei : « Onesicrite, memoratum virum Dandamim ad me venire festina, aut causam propter quam venire noluerit, nuntia, ut ego ipse ad videndum eum pergam. » Cui ille respondit : « faciam cum celeritate quod præcipis. Nam sicut jubere tuum est, ita meum esse cognosco tuis jussis obtemperare. Ubi igitur supradictus ad Dandamim nuntius venit, his eum allocutus est verbis : « Dixit filius dei Jovis magni, Alexander imperator, qui est dominus generis humani, ut properes ad illum venire, quia tibi, si veneris, plurima dabit munera : si vero venire nolueris, veluti contemptorem, te capite puniet. » Quæ cum ad Dandamis aures dicta venissent, non surrexit ex foliis, quibus fultus jacebat, sed tale responsum ridens reddidit ac recumbens : « Deus, inquit, maximus pararo

δεσπότης, καλεῖ σε· ὃς ἐλθόντι (9) σοι πρὸς αὐτὸν πολλὰ καὶ καλὰ παρέξει δῶρα, μὴ ἐλθόντι δὲ τὴν κεφαλὴν ἀποτεμεῖ. » Ὁ δὲ Δάνδαμις ἀκούσας καὶ μειδιάσας χαριέντως οὐδ' ἐπῆρεν ἑαυτοῦ τὴν κεφαλὴν ἀπὸ τῶν φύλλων, ἀλλὰ καταγελάσας τούτου κατακείμενος ἀπεκρίνατο οὕτως· « Ὁ θεὸς, ὁ μέγας βασιλεὺς, ὕβριν οὐδέποτε γεννᾷ, ἀλλὰ φῶς, εἰρήνην, ζωὴν καὶ ὕδωρ, σώματα ἀνθρώπων (10) καὶ ψυχὰς, καὶ ταύτας δέχεται, ὅταν μοῖρα λύσῃ τὰς μὴ δαμασθείσας τῇ ἐπιθυμίᾳ (11). Ἐμὸς οὗτος δεσπότης καὶ θεὸς μόνος, ὃς φόνον ἀποστρέφεται, πολέμους οὐ κατεργάζεται. Ἀλέξανδρος δὲ θεὸς οὐκ ἔστιν, εἰδὼς ἀποθνήσκειν. Καὶ πῶς πάντων ἐστὶ δεσπότης, ὃς οὐ παρῆλθε ποταμὸν Τιβεροβοάμ (12), [οὐδ' εἰς κόσμον ὅλον τὸν ἑαυτοῦ θρόνον τέθεικεν,] ἔμπαλιν δὲ φερόμενος (13) ζώνην Γάδου οὐδέπω παρῆλθεν, οὐδὲ τῆς μεσοπορίας ἡλίου εἶδε τὸν δρόμον· ἐν δὲ τοῖς βορείοις μεθορίοις ἡ χραστιφόρος Σκυθία οὐδὲ γινώσκει αὐτοῦ τὸ ὄνομα. Εἰ δὲ αὐτὸν οὐ χωρεῖ ἡ ἐκεῖ γῆ, διαβαινέτω Γάγγην ποταμὸν καὶ εὑρήσει γῆν δυναμένην ἀνθρώπους φέρειν (13*), εἴπερ ἡ παρ' αὐτοῖς οὐκέτι ὑπομένει βαστάζειν αὐτόν (14). Ὅσα δέ μοι ὁμολογεῖ Ἀλέξανδρος καὶ ὅσα ἐπαγγέλλεται παρέξειν μοι δῶρα, ἐμοὶ ἄχρηστα τυγχάνει. Ταῦτα δέ μοι φίλα καὶ χρηστὰ [καὶ χρήσιμα] τυγχάνει, οἶκος, τὰ φύλλα ταῦτα, καὶ τροφὴ πίων (15), αἱ παρανθοῦσαι βοτάναι, καὶ ὕδωρ εἰς πότον. Τὰ δὲ λοιπὰ χρήματά τε καὶ πράγματα μετὰ μερίμνης συναγόμενα, [καὶ οἱ συνάγοντες αὐτὰ ἐν ἐκείνοις ἀπολλύμενοι (16)·] οὐδὲν ἕτερον ἢ λύπην (17) παρέχειν εἴωθεν, ἧς ἔστιν ἐμπεπλησμένος πᾶς βροτός. Νῦν δὲ ἐγὼ καθεύδω ἐπὶ στρωμνῆς φύλλων κεκλεισμένοις ὄμμασιν οὐδὲν τηρῶν· χρυσὸν γὰρ ἐὰν θελήσω τηρεῖν, διαφθείρω μου τὸν ὕπνον. Γῆ μοι πάντα φέρει, ὡς μήτηρ γάλα (18) τῷ τεχθέντι. Ἐφ' ἃ θέλω, ἔρχομαι, ὃ μὴ θέλω μεριμνᾶν, οὐκ ἀναγκάζομαι. Ἐὰν δέ μου τὴν κεφαλὴν ἀφέλῃ (19) Ἀλέξανδρος, τὴν ψυχὴν οὐκ ἀπολέσει, ἀλλ' ἡ κεφαλὴ (20) μὲν μένει σιωπῶσα, ἡ ψυχὴ δέ μου πρὸς τὸν δεσπότην ἀπελεύσεται, τὸ σῶμα ὡς ῥάκος ἐπὶ τῆς γῆς καταλιποῦσα, ὅθεν καὶ εἰλήφθη. Πνεῦμα δὲ γενόμενος (21) ἐγὼ ἀναβήσομαι πρὸς τὸν θεόν μου, ὃς ἡμᾶς κατέκλεισεν ἐν σαρκὶ καταπέμψας (22) ἐπὶ τὴν γῆν, πειράζων πῶς (23) καταβάντες ὡς προσέταξε ζήσωμεν αὐτῷ· ὃς ἀπελθόντας πρὸς αὐτὸν ἀπαιτήσει λόγον, δικαστὴς ὢν πάντων ὑβρισμάτων (24)· οἱ γὰρ τῶν ἀδικουμένων στεναγμοὶ τῶν· ἀδικούντων κολάσεις γίνονται. Ταῦτα δὲ ἀπειλείτω Ἀλέξανδρος τοῖς θέλουσι χρυσὸν πλούτου (25), καὶ θάνατον φοβουμένοις· πρὸς ἡμᾶς γὰρ τὰ δύο ὅπλα (26) αὐτοῦ πέπτωκεν· οἱ γὰρ Βραχμᾶνες οὔτε χρυσὸν φιλοῦσιν, οὔτε θάνατον φοβοῦνται. Ἄπελθε οὖν (27) καὶ Ἀλεξάνδρῳ λέγε, ὅτι Δάνδαμις τῶν σῶν χρείαν οὐκ ἔχει. Καὶ διὰ τοῦτο πρός

9. ἐλθόντος σου L. ‖ 10. σῶμα ἀνθρώπων A. σῶμα ἀνθρώπου L C. ‖ 11. λύσῃ ταύτας, μηδαμῶς θήσας ἐπιθυμίαν L C, nisi quod C om. ταύτας. ‖ 12. Τιβέρναδον A; τοῦ Βεροὰμ. C. ‖ 13. Locus in omnibus libris corruptus. L : ἠπαλινφόροις οὐδὲ ζῶν ἐν ἅδου οὐδέπω παρῆλθεν, οὐδὲ τ. μ. ἡ. οἶδε τ. δ., καὶ μεθορίοις χαρσιφορίοις συνθία οὐδέ γ. α. τ. ὄνομα. Cod. C : ἔμπαλιν φερόμενος ζῶν δὲ ἐν ἅδου οὐδέπω π., ο. τ. μ. εἶδε τ. δ., Σκυθία δὲ οὐ γ. α. τ. ὄ. Cod. A : ποταμὸν Τιβέρναδον οὐδὲ Κόνωυλον οὐδὲ ὦρον, ὃν ἑαυτοῦ ἐπὶ πολλοῖς πόροις οὐδὲ ζῶν ἐν ἅδῃ οὕπω παρῆλθεν, οὐδὲ τ. μ. εἶδεν τὸν τρόπον ἐν μεθορίοις καὶ μεθορίοις χραστιθάροις Σκυθία οὐδὲ γ. α. τ. ὄνομα. Ex latinis scripsi Γάδου (i. e. Γαδείρων). De reliquis tu videas. ‖ 13 *. χωρεῖν A. ‖ 14. τοῦτον L C. ‖ 15. τρυφήσιον αἱ παρ' Ἀθήνας βοτάναι A. ‖ 16. ἀπολέσθωσαν C. scripserim τοῖς συναγ. κτλ. ‖ 17. λύπας L C. λύπη A. mox pro ἧς, L ᾗ, C εἰ. ‖ 18. γάλα δέ ἐστι τῷ τ. L. ‖ 19. ἀνέλῃ A. ἀφαίρῃ C. ‖ 20. ἀλλὰ μένει αὐτὴ μόνη σιωπῶσα L; ἀλλ' εἰ κεφαλὴ μένει σ. C; ἀλλὰ τὴν κεφαλὴν μόνῳ σιωπῶσα A. ‖ 21. ὢν C. ‖ 22. καταλείψας L; ἐπὶ γῆν L. ἐπὶ τῆς γῆς C. ‖ 23. ἵνα C. ‖ 24. πάντων ἔργων καὶ λόγων C. ‖ 25. πλοῦτον L; om. A. ‖ 26. δὲ τὰ ἄνω ὅπλα A. ‖ 27. pergit C : καὶ

---

cuiquam nescit injuriam, sed lumen vitæ rursus iis præstat animis, quæ suo solverint fato. Meus ergo ille solus est dominus, qui homicidia vetat, et qui bella non concitat. Alexander vero non est deus, quia et ipse moriturus est. Quemadmodum igitur potest esse omnium dominus, qui nondum Tyberoboam fluvium transfretavit, neque per totum mundum sedem suam locavit, non zonæ (*sic*) Gadem transiit, non in medio orbis cursum solis aspexit? Quare gentes plurimæ nec ejus quidem nomen adhuc nosse potuerunt. Si autem non capit eum illa quam possidet terra, fluvium transeat nostrum et inveniet solum tale, quod norit homines sustinere. Quæcunque mihi Alexander pollicetur, si ea præstiterit, cuncta inutilia mihi erunt. Ego enim habeo domum folia, herbis quoque quæ adjacent mihi vescor, et aquam poto : posthabeo alia quæcumque cum sollicitudine colliguntur ac pereunt, nihilque aliud præter tristitiam quærentibus ea atque habentibus præbent. Nunc igitur securus quiesco, clausisque oculis nil omnino custodio ; si aurum voluero servare, somnum meum dissipo : terra mihi omnia ut lac mater infanti ministrat. Ad quemcumque accedere voluero locum, vado ; quocumque autem ire noluero, nullius sollicitudinis necessitate compellor. Et si caput meum voluerit abscindere, animam auferre non poterit : sed caput tantummodo jacens tollet, anima vero discedens, caput veluti sui partem vestis alicujus relinquet, ac reddet ei a quo id susceperat, nempe terræ. Cum autem factus spiritus fuero, ad deum qui eum intra hanc carnem inclusit, ascendam. Qui cum hoc fecerit, tentare nos voluit, ut videret quemadmodum discedentes ab eo in hoc sæculo viveremus. Et postmodum cum ad eum fuerimus reversi, rationem vitæ hujus a nobis exposcet. Cui assistens ego videbo injuriam meam, ejusque judicium in illos qui injuriosi mihi fuerunt, intuebor : suspiria enim gemitusque læsorum incipient lædentium esse supplicia. Hoc Alexander illis minetur, qui opes desiderant, qui timent mortem, quia nos utrumque contemnimus. Nam Brachmani neque aurum diligunt, neque mortem verentur. Vade igitur, et hoc Alexandro referas : Nihil tuorum Dandamis

σε οὐκ ἐλεύσεται· εἰ δὲ σὺ Δανδάμεως χρείαν ἔχεις, ἐλθὲ πρὸς αὐτόν.

[ΚΕΦ. ΙΔ'.]

Ὁ δὲ Ἀλέξανδρος ταῦτα ἀκούσας παρὰ τοῦ Ὀνησικράτους μᾶλλον ἰδεῖν αὐτὸν ἐπεθύμει (1), ὅτι αὐτὸν πολλὰ ἔθνη καθελόντα εἷς ἐνίκησε γυμνὸς γέρων. Πορεύεται οὖν (2) σὺν πεντεκαίδεκα φίλοις εἰς τὴν ὕλην τοῦ Δανδάμεως· καὶ ἐγγὺς γενόμενος αὐτοῦ κατέβη ἐκ τοῦ ἵππου καὶ ἀπέθετο τὸ διάδημα καὶ πᾶσαν τὴν περὶ αὐτὸν (3) ἀλαζονείαν, καὶ εἰσελθὼν μόνος εἰς τὴν ὕλην, ἔνθα ὁ Δάνδαμις ἦν, ἠσπάσατο αὐτὸν καὶ εἶπε· « Χαίροις Δάνδαμι, διδάσκαλε Βραχμάνων καὶ πρύτανι σοφίας· πάρειμι πρός σε ἀκούσας σου τὸ ὄνομα, ἐπεὶ σὺ οὐ (4) παρεγένου πρὸς ἡμᾶς. » Ὁ δὲ Δάνδαμις εἶπε· « Χαίροις καὶ αὐτός, δι' ὃν πολλαὶ πόλεις ταράσσονται καὶ ἔθνη ἀκαταστατεῖ. » Ὁ δὲ Ἀλέξανδρος κατεσθεὶς (5) παρὰ τοῖς ποσὶν αὐτοῦ, ἐκείνην τὴν ὥραν (6) εἶδε καθαρὰν (7) τὴν γῆν ἀπὸ αἱμάτων. Καὶ ὁ Δάνδαμις εἶπεν αὐτῷ (8)· » Τί πρὸς ἡμᾶς, Ἀλέξανδρε, πάρει (9); Τί θέλεις βαστάσαι ἐκ τῆς ἡμετέρας ἐρημίας; Ὃ ζητεῖς ἡμεῖς οὐκ ἔχομεν, ὧν (10) ἡμεῖς κεκτήμεθα αὐτὸς οὐ χρήζεις. Ἡμεῖς θεὸν τιμῶμεν, ἀνθρώπους φιλοῦμεν, χρυσοῦ ἀμελοῦμεν, θανάτου καταφρονοῦμεν, ἡδονῶν οὐ φροντίζομεν (11)· ὑμεῖς δὲ θάνατον φοβεῖσθε, χρυσὸν φιλεῖτε, ἡδονῶν ὀρέγεσθε, ἀνθρώπους μισεῖτε (12), θεοῦ καταφρονεῖτε. » Ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· « Ἐγὼ σοφόν τι ἦλθον μαθεῖν παρά σου· φασὶ γάρ σε θεῷ προσομιλεῖν· θέλω γὰρ εἰδέναι, τί τῶν Ἑλλήνων διαφέρεις, ἢ τί περισσότερον τῶν λοιπῶν βλέπεις ἢ φρονεῖς (13). » Ὁ δὲ Δάνδαμις πρὸς αὐτὸν ἀπεκρίνατο· « Θέλω κἀγὼ διακονῆσαί σοι λόγους (14) σοφίας θεοῦ, καὶ ἐνθεῖναί σοι νοῦν θεοπρεπῆ· ἀλλὰ σὺ τόπον οὐκ ἔχεις ἐν τῇ ψυχῇ σου ὥστε χωρῆσαι τὴν παρ' ἐμοῦ σοι διακονουμένην δωρεὰν τοῦ θεοῦ· πεπληρώκασι γάρ σου τὴν ψυχὴν ἄπληστοι ἐπιθυμίαι καὶ ἀκόρεστος φιλαργυρία καὶ δαιμονιώδης φιλαρχία, αἵτινες μάχονταί μοι νῦν, ὅτι σὲ ἐνθάδε (15) περισπῶ καὶ οὐ φονεύεις (16) ἔθνη λαῶν πολλῶν ἐχέων αἷμα· καὶ λυποῦνται σήμερον κατ' ἐμοῦ, ὅτι πόλιν βλέπουσι μένουσαν καὶ σωζομένους ἀνθρώπους. Σὺ δὲ εἶπας καὶ ἐπὶ τὸν ὠκεανὸν ἀναβήσεσθαι (17), καὶ μετ' αὐτὸν ἐπ' ἄλλην οἰκουμένην, καὶ μετ' ἐκείνην πάλιν ἐφ' ἑτέραν, καὶ σφόδρα λυπηθήσῃ ὅταν μὴ ἔχῃς οὓς νικήσεις. Πῶς οὖν δύναμαι ἐγὼ θεοῦ σοφίας σοι λόγους λαλῆσαι, τοσαύτης ἀλαζονείας (18) καὶ ἐπιθυμίας ἀμετρήτου πεπληρωμένης σου τῆς διανοίας, ἣν οὐδ' ὅλος (19) ὁ κόσμος ὑπηρετῶν ἠδυνήθη πληροφορῆσαι; Βραχὺς ἐκτίσθης καὶ γυμνός, καὶ εἰς ἄνθρωπος παρῆλθες (20) ἐν τῷ κόσμῳ, καὶ ηὐξήθης (21). Διὰ τί τοὺς πάντας καταφάττεις; ἵνα τὰ πάντων κληρονομήσῃς (22); Καὶ ὅταν νικήσῃς τοὺς πάντας, καὶ πᾶσαν κτήσῃ τὴν οἰκουμένην,

εἰπὲ ταῦτα τῷ Ἀλεξάνδρῳ. Ὁ δὲ Ὀνησικράτης ἀπελθὼν πάλιν πρὸς Ἀλέξανδρον εἶπεν αὐτῷ, ὅτι Δανδάμης τῶν σῶν χρείαν κτλ.

Cap. XIV. 1. ἐπεθύμησεν L. ‖ 2. γοῦν L; ὁ Ἀλέξανδρος addit C. ‖ 3. αὐτοῦ A C. ‖ 4. ἐπεὶ μὴ π. L; ἀκούσας σ. τ. ὄν. om. C. ‖ 5. καθήσας L. ‖ 6. ἐκείνῃ τῇ ὥρᾳ L. dein καθαρὰν γῆν L. ‖ 8. εἶπεν αὐτῷ om. A L. ‖ 9. παρῆς L C. ‖ 10. ἃ L C. ‖ 11. ἡδ. οὐ φρ. om. A. ‖ 12. φιλεῖτε A ‖ 13. Ἑλλ. διαφέρεις, missis reliquis, A. ‖ 14. λόγον A. ‖ 15. ἐνταῦθα C. ‖ 16. φονεύεις ἔθνη καὶ οὐ λαῶν πολλῶν ἐχέεις αἷμα. Σὺ δὲ εἶπας κτλ. C. ‖ 17. ἐλθεῖν C L. ‖ 18. τοσαύτῃ ἀλαζονείᾳ καὶ ἐπιθυμίαις ἀ. A L. ‖ 19. ὅλως A L. ‖ 20. ἐκτίσθης A. ‖ 21. αὐξηθεὶς L. ‖ 22. τὰ πάντα κλ. A; τὰ πάντων λάβῃς L. τοὺς πάντας λάβῃς C. ‖

quærit : verum si aliquid ex ipsius rebus tu necessarium tibi esse credis, ad eum venire ne dedigneris.

XIV. Quæ ubi Alexander per interruntium audivit, desiderare plus cœpit ut talem virum videret, utque se, qui multas vicerat gentes, unus et nudus vinceret senex. Pergit igitur cum quinque vel (*et*) decem amicis ad eas, quas supra diximus, silvas, et cum venisset ad proximum, atque ex equo, quo vehebatur, exiliisset, coronam de capite deposuit, omnemque qui circa ipsum erat, superbiæ tumorem relinquens, ad memoratum senem ingressus est solus, et ad pedes ipsius se dedit, hoc dicens : « Salve Dandami, ego ad te veni, quia tu ad me noluisti venire. » Cui ille respondit : « Ad quid ad nos venisti? aut quid de nostris solitudinibus auferre desideras? Quod cupis ipse, nos habere non possumus : quod iterum nos habemus, necessarium tibi non est. Nos honoramus deum, et amamus hominem, negligimus aurum, contemnimus mortem, vos autem mortem timetis, honoratis aurum, odistis hominem, deum contemnitis. » Ad quem Alexander : « Doce, inquit, nos aliquid sapientiæ; plenum aiunt te divinitate, et cum ipso colloqui sæpius deo : ego vero scire desidero in qua re præstantiores Græcis vos ipsos esse dicatis, et in quo aut melius videas quam alii homines, aut amplius scias. » At ille respondit : « Ego, inquit, vellem deferre ad te acceptum a deo sensum, sed ipse locum non habes, ubi donum tale suscipias. Impleverunt enim animam tuam avidæ atque immodicæ cupiditates, quas nunc mecum certare considero, quia te ab ipsis conor avellere; quamquam hodie plurimum mœrent, eo quod morte nullius gentis vel sanguine polluaris, et quia vident adhuc homines in civitatibus commorantes. Tu ad oceanum usque vis accedere, post quem aliam iterum partem orbis cupis occupare : et tunc tristitia afficieris, cum non potueris habere quod vincas. Quomodo ergo satis facere desiderio tuo poteris, cum totus tibi serviens mundus animum tuum explere ac satiare non possit? Minor mundo longe tu factus es, et si omnia simul velis vincere, atque universa quæcunque tenent homines possidere, tandem necesse est, ut solum habeas quantum aut tu jacentem tenere me cernis, aut ego occupare video te sedentem. Ex quo iterum si ad alia transeamus, et in aliis quoque tibi similes iuvenimur. Eodem enim modo quo ipse, omnibus utor elementis, aere, aqua et terra, nec quidquam ultra habere desidero, et omnia juste habeo quæcumque possideo : et si solus omnes fluvios obtineas,

τοσαύτην γῆν καθέξεις μόνην (23), ὅσην ἐγὼ ἀνακείμενος ἢ σὺ καθήμενος· καὶ τοσαύτης κυριεύοντες γῆς ἔνθεν μεταβησόμεθα· ὥστε καὶ οἱ εὐκαταφρόνητοι ἡμεῖς ἄνευ μάχης καὶ πολέμου ἴσα σοι ἔχομεν τὰ πάντα, γῆν, ὕδωρ, ἀέρα· καὶ τὰ πάντα ὅσα ἐγὼ ἔχω, δικαίως ἔχω καὶ οὐδενὸς ἐπιθυμῶ· σὺ δὲ πολεμῶν καὶ ἐχέων αἷμα (24), καὶ ἀνθρώπους πολλοὺς (25) κατασφάττων, ἐὰν πάντας κτήσῃ ποταμοὺς, ἴσον ἐμοὶ ὕδωρ πίνῃς. Τοῦτο οὖν, Ἀλέξανδρε, σοφὸν μάθε παρ' ἐμοῦ· μηδὲν ὡς πένης (26) θέλε ἔχειν (27), καὶ πάντα ἐστὶ σὰ καὶ οὐδενὸς δεήσῃ· ἐπιθυμία γὰρ μήτηρ ἐστὶ πενίας (πενία γὰρ ἔργον ἀταξίας), κακῷ φαρμάκῳ θεραπευομένη λύπῃ, μηδέποτε εὑρίσκουσα ὃ ζητεῖ, μὴ ἀναπαυομένη οἷς ἔχει, ἀλλ' ἀεὶ βασανιζομένη ἐφ' οἷς οὐ κέκτηται. Πλουτήσεις δὲ ἡδέως (28) ὡς ἐγὼ, ἐάν μοι συζῆν θέλῃς (29), καὶ ἐάν μοι προσέχῃς καὶ ἀκούσῃς μου τῶν λόγων (30) καὶ κτήσῃ ἐκ τῶν ἐμῶν ἀγαθῶν. Ὁ γὰρ θεὸς ἐμοὶ φίλος, καὶ τοῖς ἔργοις αὐτοῦ ἀγαλλιῶν προσομιλῶ, καὶ ἔμπνους ἐν (31) ἐμοὶ γίνεται. Κακοὺς ἀνθρώπους ἀποστρέφομαι· οὐρανός μοι στέγη, γῆ μοι πᾶσα στρωμνὴ, ὕλαι τράπεζα, καρποὶ τροφῆς (32) ἀπόλαυσις, ποταμοὶ διάκονοι δίψης· οὐκ ἐσθίω σάρκας ὡς λέων, οὐδὲ σήπεται ἐν ἐμοῖς ἐντέροις (33) ζῴων κρέας, οὐδὲ γίνομαι τάφος νεκρῶν ἀλόγων· πρόνοια γάρ μοι τροφὴν φέρει (34) ὡς φίλη μήτηρ τῷ τεχθέντι γάλα. Ἀλλὰ σὺ ζητεῖς μαθεῖν (35) παρ' ἐμοῦ, Ἀλέξανδρε, τί περισσὸν τῶν ἄλλων ἀνθρώπων κέκτημαι, ἢ τί οἶδα σοφὸν παρὰ πολλούς (36). Ἐμὲ δὲ (37) βλέπεις, βιῶ ὡς ἐξ ἀρχῆς ἐκτίσθην, ζῶ ὡς παρὰ τῆς μητρὸς ἐτέχθην, γυμνὸς, ἄνευ πλούτου καὶ φροντίδος. Διὰ τοῦτο (38) ὅσα ὁ θεὸς ποιεῖ οἶδα, καὶ τί δεῖ γενέσθαι ἐπίσταμαι. Ὑμεῖς δὲ θαμβεῖσθε μαντευόμενοι περὶ τῶν καθ' ἡμέραν ἐφ' ὑμῖν παρεχομένων (39), μὴ συνιέντες τὰ καθ' ὥραν δεικνύμενα ὑμῖν ἔργα θεοῦ· λιμοὺς, λοιμοὺς, πολέμους, κεραυνοὺς, αὐχμοὺς, ὄμβρους καὶ καρπῶν φορὰς προγινώσκω ἐγὼ, καὶ πῶς καὶ πόθεν καὶ διὰ τί ταῦτα γίνεται· ἐμοὶ παρέχει γὰρ γνῶσιν ἡ πρόνοια· καὶ τοῦτο δὲ λίαν εὐφραίνει με (40) ὅτι ὁ θεὸς μετὰ τῶν ἰδίων ἔργων σύμβουλον πεποίηκε τὴν δικαιοσύνην πρὸς ἐμέ. Πολεμίων (41) φόβος ἐὰν ἐπέλθῃ βασιλεῦσιν ἢ καὶ ἑτέρα πτόησις (42), πρὸς ἐμὲ ἔρχονται (43) ὡς πρὸς ἄγγελον θεοῦ· καὶ ἐγὼ ἐντυχὼν τῇ προνοίᾳ τοῦ θεοῦ, πείθω αὐτὸν ἀγαθόν τι δοῦναι τοῖς παροῦσι πρός με· καὶ τὸν φόβον τούτων καταλύσας μετὰ θάρσους αὐτοὺς ἀποπέμπω. Τί βέλτιον, εἰπέ μοι, καταβλάπτειν ἀνθρώπους καὶ κακῆς δόξης ὄνομα ἔχειν, ἢ μᾶλλον τούτους φυλάττειν καὶ εὐεργέτην γνωρίζεσθαι; Καὶ τί πρέπει τοῖς υἱοῖς θεοῦ, πολεμεῖν καὶ κατασκάπτειν τὰ ὑπὸ τῆς προνοίας δημιουργηθέντα, ἢ εἰρηνεύειν καὶ προσανοικοδομεῖν (44) τὰ πεπονημένα καὶ κατερριπτασμένα (45) ὡς τοῦ δημιουργοῦ λάτριν; Οὐκ ὠφελήσει σὲ, βασιλεῦ Ἀλέξανδρε, ἡ ἐξουσία αὕτη, οὐδὲ τὸ πλῆθος τοῦ χρυσοῦ ἢ οἱ πολλοὶ ἐλέφαντες (46), οὐδὲ ἐσθὴς ἡ ποικίλη καὶ διάφορος ἡ περί σε, οὐδ' ὁ

23. μόνος A L; dein καταβησόμεθα L. μεταβήσεσθε C. ‖ 24. αἵματα L. αἵματος C. ‖ 25. π. om. A L. ‖ 26. μηδενὸς πένης A. μηδενὸς πέννητος L, μηδενὸς ὡς πένης C. ‖ 27. κτᾶσθαι C. ‖ 28. ἡ. om. L; dein ὥσπερ L. ‖ 29. θελήσῃς L C. ‖ 30. τὸν λόγον A. ‖ 31. ἔμπν. ἐν om. A. ‖ 32. τρυφῆς A L. ‖ 33. ἐν ἐμοὶ ἐντέρων A; ἐν ἐμοὶ L C. ‖ 34. sic L.; πρ. γὰρ πάντα φέρει καρποὺς ὡς φ. μ. A; τροφὴν φέρει καρπού ἡ γῆ ὡς φ. μ. C. ‖ 35. Ἀλέξανδρε, τοῦ μαθεῖν L C. ‖ 36. πρὸ π. L; παρὰ πολλῶν C. ‖ 37. ὃν om. A C. ‖ 38. Διὰ τοῦτο ὅσα ὁ θεὸς ποθεῖ, ὡς δοῦλος αὐτοῦ ἐν τούτοις καταναγκάζομαι, ὡς θνητὸς χάριτι αὐτοῦ· καὶ τὸ τί γενέσθαι [δεῖ] μερικῶς ἐπίσταμαι ἐκ θεοῦ προβλέπων C. ‖ 39. ἡμῖν (ὑμῖν C) περιερχομένων L C. ‖ 40. εὐφρ. με, ὅτι τῶν ἰδίων ἔργων ὁ θεὸς ἐμὲ σύμβουλον πεποίηκεν, ὡς υἱὸν ἀγαπητὸν, ὅτι θεὸς μετὰ τῶν ἰδίων ἔργων σ. π. τ. δ. πρός με L. ‖ 41. πολέμων A. ‖ 42. πτῶσις L. ‖ 43. cod. A βασιλεῖ... ἔρχεται et cett. in singulari num. ‖ 44. πρὸς ἀνοίαν οἰκοδομεῖν A. ‖

plus tamen aquæ quam ego ex ipsis haurire non poteris. Hanc ergo si a me sapientiam discas, nihil tibi deerit : totumque habebis, si nihil desideraveris. Cupiditas enim paupertatis est mater, quæ medicamento malo, hoc est, sollicitudine, nequit curari : quæ ita semper omnia quærit, quasi invenire nihil possit : quia non in iis ad quæ jam potuit pervenire, requiescit, sed ex illis quæ necdum tenere se cernit, magis magisque cruciatur. Habebis autem maximas cum voluptate opes, si ita mecum vivere voles : et si meis acquieveris verbis, meas divitias possidebis. Amicus mihi est omnium deus, et de ipsis cum eodem rebus loquor; malorum hominum verba non audio. Cœlum habeo pro tecto, terra mihi tota pro lecto est. Fluvii mihi potum ministrant, mensam silva suppeditat. Non vescor animalium visceribus, ut leones, neque intra pectora mea inclusæ quadrupedum aut volatilium carnes putrescunt, nec sum mortuorum sepulcrum, sed providentia naturalis omnes mihi fructus ut lac mater infundit. Intelligo ipse quid quæras. Sapientem me vides, talis ut factus sum itaque vivo ut procreatus sum, et quæ deus faciat agnosco, et quid fieri debeat scio. Vos autem vanitate magna repleti præsagire vos creditis, cum tamen hæc ipsa quæ per singulos videtis dies dei opera intelligere nesciatis. Ego cuncta cognosco, et unde et quando et quomodo fiant. Pluvias, siccitates, fulmina, tempestatesque præsagio : et hoc est quod me delectat et reficit, quia deus habere me communionem quandam atque consilium cum operibus suis fecit. Ad me quemadmodum angelus venit, et si quando aliquid timuerit imperator, tunc ego deprecor deum ut boni aliquid ei, cum ad me venerit, præstet, ut eum metu quo laborat, absolvat, utque ei fiduciam quandam mentis inspiret. Quid esse rectius dicis, lædere homines, an tueri atque servare? et quid magis convenit facere filiis dei, aut evertere cuncta pugnando, aut expugnata et diruta instaurare pacando? Non tibi proderit, imperator, enorme pondus auri, neque elephantorum, quos sustulisti aliis, multitudo : sed hæc vox mea et is meus sermo. Tu vero etiam si me interficere volueris, non timebo, ibo enim ad deum citius,

στρατὸς ὁ περί σε (47) περιστοιχιζόμενος, οὐδ' οἱ χρυσοχάλινοι (48) ἵπποι καὶ οἱ δορυφόροι καὶ πάντα ὅσα σὺ τῶν ἄλλων μετὰ πολέμων καὶ μάχης ἀφείλω· ἀλλ' ὀνήσει σὲ τὰ μέγιστα, ἐὰν πεισθῇς τοῖς ἐμοῖς λόγοις, καὶ ἐπακούσῃς τῆς ἐμῆς φωνῆς. Σὺ δέ, Ἀλέξανδρε, κἂν με φονεύσῃς, οὐ φοβοῦμαι λέγων σοι τά σοι συμφέροντα· ἀπελεύσομαι γὰρ πρὸς τὸν θεόν μου, ὃς κατεσκεύασε τὰ πάντα· αὐτὸς γὰρ οἶδέ μου τὴν δίκην, καὶ αὐτὸν οὐδὲν λέληθεν, οὗ ὄμματα πάντες οἱ ἀστέρες, ἥλιός τε καὶ σελήνη, καὶ αὐτὸς κρίνει καὶ τοὺς (49) ἀδικοῦντας· ὃν οὐ λήσῃ (50), οὐδὲ τόπον ἕξεις ποῦ φεύξῃ τοῦτον ἀναστὰς (50 *), οὐδὲ τούτου τὴν δίκην παρελεύσῃ· ὥστε, βασιλεῦ Ἀλέξανδρε, μὴ κατάβαλλε ἃ ὁ θεὸς θέλει (51) κτίζεσθαι, μηδ' ἀφανίζειν βιάζου, ἃ ἐκεῖνος κοσμεῖν βούλεται, μηδὲ σπίνδε αἷμα πόλεων, μηδὲ νέκρου ἔθνη διαβαίνειν ἐπ' αὐτά· σεαυτῷ γὰρ μᾶλλον ζῆσαι κρεῖττον ἤπερ ἄλλους κατακτείνειν· καὶ μὴ (52) θανόντα ἄλλους μακαρίζειν, καὶ ζημίαν εἰδέναι μᾶλλον τὰ τῶν ἄλλων ἁρπάζειν ἤπερ κέρδος ἡγεῖσθαι τοῦτο. Τί, μία ψυχὴ γενόμενος, τοσαῦτα ἔθνη καταλῦσαι θέλεις; Τί σὺ ἀφρόνως εὐφραινόμενος, πολλῶν κακῶν τὴν οἰκουμένην ἐμπιπλᾷς; Τί τὰς ἀλλοτρίας συμφορὰς ὡς ἑαυτοῦ κέρδη ὁρᾷς; Τί κατὰ δακρυόντων σὺ γελᾷς; [Τούτου δ μεμένηκας ἐν ἐρημίᾳ, σεαυτὸν ἐκέρδησας καὶ οὐ φοβήσεις πολέμους (53).] Μνήσθητί μου τοῦ ἐπ' ἐρημίαις, ἐμοῦ τοῦ γυμνοῦ καὶ πενιχροῦ, καὶ σεαυτὸν κέρδησον, καὶ τοὺς πολέμους καταλύσας τὴν τῆς προνοίας φίλην ἄσπασαι εἰρήνην (54). Καὶ μὴ ζήτει ἐν κακοῖς ἀνδρείαν (55) ἔχειν, ἀλλὰ μεθ' ἡμῶν ἀμέριμνον βίον διάγειν (56). Ἀπόρριψον ἀπὸ σεαυτοῦ τοὺς τῶν προβάτων μαλλοὺς καὶ μὴ κατάφευγε ἐπὶ σκέπην νεκράν. Τότε τιμήσεις σεαυτὸν, μιμησάμενος ἡμᾶς, τοιοῦτος γεγονὼς οἷος καὶ ἐκτίσθης (57)· πειράζεται γὰρ εἰς ἀρετὴν ἐν ἐρημίαις ἡ ψυχή. Ἕλοῦ τοιγαροῦν, ὦ βασιλεῦ Ἀλέξανδρε, βίον διάγειν ἄῦλον ἡμέτερον· οὐκ οἶδα εἰ οὕτως εἶ μακάριος ὡς δυνηθῆναί σε πεισθέντα τοῖς ἡμετέροις λόγοις σεαυτὸν εὑρεῖν. Νῦν ἀναμένουσί σε Μακεδόνες, ἵνα πολέμους καταβάλλωσι (58) καὶ ἀνθρώπους κατασφάζωσι καὶ τὰ ἐκείνων διαρπάζωσι· καὶ λυποῦνται σήμερον οἱ ἐπιθυμοῦντες (59) αἱμάτων ἀλλοτρίων, ἔθνος βλέποντες σωζόμενον· ἰδίων γὰρ πλεονεξιῶν εἰσὶ στρατιῶται σὴν (60) πρόφασιν ἔχοντες ἄδικον. Ἀλλ', ὦ Ἀλέξανδρε, τότε (61) βίον ἀμέριμνον κτήσῃ, τὸν παρὰ θεοῦ σοι ἀπονεμηθέντα, ἵνα καὶ σεαυτῷ ζήσῃς καὶ ἄλλους μὴ κατακτείνῃς. Νῦν δ' ἄρα τούτων ἀκούων τῶν λόγων τί μέλλεις λοιπὸν σεαυτῷ προσανέχειν; ἢ ζητεῖς προσαρπάζειν (62) ἀκμὴν, καὶ ταράσσειν ἔθνη, καὶ φονεύειν ἀνθρώπους; Καὶ ἃ μὲν εἰργάσω, ἃ δὲ πράττεις, ἃ δὲ μέλλεις ποιεῖν· ἀλλ' ἐὰν τῶν ἐμῶν μὴ ἀνάσχῃ λόγων, ὅταν (63) ἐνθένδε ἀπαλλαγῇς, ὧν ἐν αἰθέρι (64) ὄψιμαί σε τούτων τὰς δίκας τινοῦντα καὶ στεναγμοῖς πικροῖς ὀδυρόμενόν σε, τῶν ὑπό σου πεπραγμένων τὰς εὐθύνας διδόντα· καὶ τότε τῶν ὑπ' ἐμοῦ σοι διακονουμένων θείων λόγων μνησθήσῃ, ὅταν μηκέτι σοι διακονοῦσι ἵπποι δεδιδαγμένοι πολεμεῖν, καὶ πλήθη τῶν δορυφόρων, τότε θρηνήσεις οἰμώζων, ζητῶν δν εἰς μάτην ἀπώλεσας βίον εἰς ταραχὰς ἀτάκτους καὶ πολέμους αἱμάτων ἀθώων, ὅταν μηδὲν ἄλλο ἔχῃς ἰδεῖν σου κύκλω-

45. κατερριπαμένα L, κατερριπόμενα C; om. A. ‖ 46. ἢ οἱ π. ἑ. om. L C. ‖ 47. ὁ νῦν σοι L C. ‖ 48. χρ. om. A L. ‖ 49. τοὺς ἄλλους C L. ‖ 50. sic L C; οὐκ ὠνήσεις, οὐδὲ τ. ἔ. ὅπου λάθῃ, ὥστε μὴ καταβαλε etc. A. ‖ 50 *. ῥ. ἀπὸ τοῦ προσώπου αὐτοῦ C ‖ 51. μέλλει A. ‖ 52. μανθάνοντα A; num κτανόντα? C omisit verba μὴ θ. ἀ. μακαρίζειν, neque sunt in latinis. ‖ 53. inclusa omittunt C L. ‖ 54. τὴν τῆς φιλίας πρόνοιαν ἄσπασαι καὶ εἰρήνην C. ‖ 55. ἀνδριάντας A. ‖ 56. ἀλλ' ὡς ἡμεῖς ἀμερίμνως διάγειν C. ‖ 57. ἐπλάσθης C. ‖ 58. καταλάβωσι C. ‖ 59. φονῶντες L. φονῶντες A. ‖ 60. ἦν L. τὴν C. ‖ 61. πότε L C; verba ἀλλ' ὦ Ἀλ. om. A L. ‖ 62. ἁρπάζειν C L. ‖ 63. ὅταν om. A L. ‖ 64. ἀέρι L; ἀπαλλαγεὶς καὶ ὧν AL. ἀπαλλαγῇς καὶ ὧν C. Latinus

qui et causam et vitam meam novit. Nihil est quod deum latere possit, cujus oculi sunt omnes stellæ, sol et luna, quæ omnia tu effugere non potes, neque in te judicium ejus evadere. Noli igitur tu destruere quæ ille construxit: noli tu cupere dissipare ea, quæ ille qui ea fecit, ornare desiderat: noli immolare sanguinem civitatum, neque transire supra gentium mortuarum cadavera. Longe enim rectius feceris, si tuam curaveris vitam, quam si alienam desideraveris mortem: et si contemptis iis quæ prosequeris damnis, vera elegeris lucra. Cur cum unam possederis animam, tot simul vis exstinguere nationes? Quid delectaris totius sæculi malis? Quid, aliis flentibus, rides? Hoc ipso tamen, quod memor mei, qui in solitudinibus his vivo, esse voluisti, temetipsum lucratus es. Neque nunc aut certamina pertimescis, aut lædere quemquam cupis, aut virtutem tuam in aliorum malis, quod fecisti semper, exerces. Projice igitur a corpore tuo vellera ovium mortuarum, neque defunctis volueris te operire tegminibus: magis enim ipse cum talem te feceris, honorabis, quia temperatur anima in desertis vivens locis. Hoc igitur vitæ nostræ propositum magis elige, cujus beatitudine plus quam apud Macedones frui poteris. Qui quidem te per singulos expectant dies, ut reliquas tecum diruant civitates, et quæcunque in ipsis valuerint invenire diripiant: quosque in præsenti die tristari arbitror ac dolere, quod incolumes adhuc quasdam videant nationes, occasionem nanciscentes cupiditatum ac rapinarum suarum auctoritatem nominis tui. Quam ergo securam in deo vitam poteris obtinere, et ut tibi ipsi jam vivas, qui nunc adhuc multa cogitas rapere, multos trucidare desideras: ex quibus jam aliqua fecisti, alia in presenti facis, alia facturum te esse promittis. Ego vero cum ex hoc mundo recessero, in aere positum te videbo: et tunc quidem sermonem prædicabis meum, quia te multitudo equitum vel peditum nulla comitabitur, et cum maximo mentis tuæ dolore deflebis, hoc dicens: Sine causa perdidi totius retroacti temporis vitam, quam in honoribus istius mundi bellisque consumpsi. Ex quibus intelliges nihil tibi aliud te reliquisse, nisi memoriam solam

θεν εἰ μὴ μνήμην κακῶν ὧν ἐσώρευσας σεαυτῷ. Οἶδα γὰρ ἐγὼ τὰς ἐκ θεοῦ ἐπαγομένας δικαίως τιμωρίας ἀνθρώποις ἀδίκοις ἐκεῖ· τότε μοι ἐρεῖς· « Ἀγαθός μοι τὸ πρὶν ἦσθα σύμβουλος, ὦ Δάνδαμι. » Ἐκεῖ γὰρ παραστήσονταί σοι αἱ ψυχαὶ αἱ μάτην πεπολεμημέναι ὑπό σου (66). Πόσοις ἀρκέσεις ἀπολογούμενος τότε; Οὐδὲν δὲ ὠφεληθήσῃ (67) μέγας κληθεὶς καὶ φανείς, ὁ νῦν τὸν κόσμον νικῆσαι θέλων, νενικημένος τότε.

[ΚΕΦ. ΙΕ'.]

Ὁ δὲ Ἀλέξανδρος πάνυ ἡδέως αὐτοῦ ἀκούσας οὐκ ἐθυμώθη· ἦν γὰρ καὶ ἐν αὐτῷ πνεῦμα θεῖον, ἀλλ' ὑπό τινος δαίμονος κακοῦ εἰς φόνους καὶ ταραχὰς ἐτράπη. Καὶ σφόδρα καταπλαγεὶς ἐπὶ τοῖς παραδόξοις λόγοις τοῦ Δανδάμεως, ἀπεκρίνατο λέγων Ἀλέξανδρος· « Ἀληθινὲ διδάσκαλε Βραχμάνων Δάνδαμι, ὁ ἀναπλάττων ἀνθρώπους τῇ τῆς προνοίας σοφίᾳ τούς σοι παρατυγχάνοντας, ὃν ἐγὼ μαθὼν παρὰ Καλάνου καὶ ποθήσας συντυχεῖν εὗρον πάντων ἀνθρώπων ὑψηλότερον διὰ τὸ ἔν σοι πνεῦμα (1)· οἶδα ὅτι ἀληθῶς λέγεις τὰ πάντα. Ἐγέννησε γάρ σε ὁ θεὸς καὶ αὐτός σε κατέπεμψεν ἐν τοῖς τόποις τούτοις, ἐν οἷς ἔξεστί (2) σοι εὐδαιμονεῖν ἀτάραχον (3) ὄντα ὅλῃ τῇ φύσει, πλούσιον, ἀνελλιπῆ, πολλῆς ἡσυχίας ἀπολαύοντα. Ἐγὼ δὲ τί ποιήσω, ὁ ἀδιαλείπτοις φόβοις (4) συνοικῶν καὶ συνεχέσι καταντλούμενος ταραχαῖς (5); Πολλοὺς ἔχω τοὺς τηροῦντάς (6) με· φοβοῦμαι τούτους τῶν πολεμίων μᾶλλον· χείρονες οἱ φίλοι τῶν ὑπεναντίων, οἳ καθ' ἡμέραν ἐπιβουλεύουσί μοι πλέον τῶν ἐχθρῶν μου· καὶ οὐδὲ χωρὶς αὐτῶν ζῆσαι δύναμαι, οὔτε θαρσῶ πάλιν τούτοις σὺν αὐτοῖς ὢν· οὓς γὰρ φοβοῦμαι, ὑπ' αὐτῶν τηροῦμαι· ἡμέρας μὲν ταράσσων ἔθνη, ἐπιστάσης δὲ νυκτὸς ἐκταρασσόμενος ὑπὸ τῶν λογισμῶν μου, μήτις μοι ἐπιστὰς ξίφει χειρώσηται· εἶμοι, καὶ κολάσας τοὺς ἀπειθοῦντάς μοι λυποῦμαι, καὶ μὴ κολάσας πάλιν καταφρονοῦμαι. Καὶ πῶς οἷόντε μοί ἐστι ταῦτα τὰ ἔργα ἀρνήσασθαι; καὶ γὰρ εἰ θέλοιμι ἐπ' ἐρημίαις ζῆσαι, ὑπὸ τῶν ὑπασπιστῶν οὐ συγχωροῦμαι. Οὐκ ἔξεστι δέ μοι μᾶλλον, εἰ καὶ ἠδυνάμην, ἀπὸ τούτων ὀραπετεῦσαι, ταῦτα λαχόντι (7) τῇ ψήφῳ. Τί οὖν ἀπολογήσομαι τῷ θεῷ, ὃς γενομένῳ μοι (8) τοῦτον ἐπίνευσε τὸν κλῆρον; Σὺ δὲ, ὦ πρεσβύτα, κτῆμα τίμιον θεοῦ, ἀνθ' ὧν ὠφελησάς με καὶ ἡδρανάς με τοῖς τῆς σοφίας λόγοις σου, καὶ ἀπὸ πολέμων ἡμέρωσάς με, δέξαι μου τὰ δῶρα ἃ ἐνήνοχά σοι, καὶ μή με ἀτιμάσῃς· ἐγὼ γὰρ εὐεργετοῦμαι σοφίαν τιμῶν (9). » Καὶ ταῦτα εἰπὼν ὁ Ἀλέξανδρος πρὸς τὸν Δάνδαμιν, κατένευσε τοῖς οἰκέταις αὐτοῦ (10). Οἱ δὲ προσέφερον αὐτῷ χρυσὸν καὶ ἄργυρον ἐπίσημον καὶ ἐσθῆτα παντοῖαν καὶ ἄρτους (11) καὶ ἔλαιον. Ὁ δὲ Δάνδαμις ἰδὼν ἐγέλασε καὶ εἶπε τῷ Ἀλεξάνδρῳ· « Πεῖσον δὴ ὄρνεα τὰ περὶ τὴν ὕλην κελαδοῦντα λαβεῖν χρυσὸν καὶ ἄργυρον, καὶ ἄμεινον ᾄσῃσι μέλος (12)· ἀλλ' οὐ δυνήσῃ πεῖσαι αὐτά· σὺ τοίνυν οὐ πείσεις ἐμὲ χείρονα αὐτῶν (13) γενέσθαι· ὃ γὰρ μήτε ἐσθίω

|| 65. τὰς δίκας τῶν ὑπό σου πεπραγμένων ἐν στεναγμοῖς ὀδυρόμενον ἀποδιδόντα C. || 66. αἱ πεπ. ἀδίκως ὑπο σ. L; αἱ μάτην πολεμηθεῖσαι παρά σου B. || 67. ὠφεληθεὶς ἢ μέγας. L.

XV. 1. addit A : τῶν πασῶν δυνάμεων ὑψηλότερον || 2. οὐκ ἔξ. A. || 3. καὶ ἀ. ὁ. πάσῃ τ. φύσει πολλῆς ἡσυχίας ἀπολαύοντ. C. || 4. φόνοις L. || 5. συμφοραῖς L. || 6. τυραννοῦντάς C. || 7. ταύτην λαχόντα τῇ ψ. L. ταύτῃ λαχόντα τῇ ψ. C. || 8. μοι om. L; ὃς ἐμὲ γεννῶν A. || 9. εὐεργετούμενος σοφίαν τιμῶ A. || 10. φέρειν τὰ δῶρα add. C. || 11. ἐσθῆτας παντοίας κ. ἄρτον A; καὶ οἶνον add. C. || 12. μελ om. C L. || 13. αὐτῶν addidi ex L, ubi ita locus habet : εἰ οὖν ταῦτα οὐ δύνῃ πεῖσαι, οὐδ'

---

malorum. Novi enim ego quæ divinitas intra se habeat, cum tamen ipse sim apud homines constitutus. Mihique tunc ista dices : Bona consilia Dandamis mihi aliquando præbebas. Tunc enim ante conspectum tuum venient omnes quas sine causa expugnaveris animas; apud quas quomodo excusare te poteris?

XV. Libenter hæc et sine ulla iracundia Alexander audiebat : erat enim in Dandami (*Alexandro*) spiritus dei : sed instigante dæmone malo inter ipsa principia mutabatur Alexander. Unde his alloquebatur Dandamim verbis : Scio vera te dicere, de divino enim genere descendens, in his constitutus es locis, ubi nunc tibi sine ulla molestia, sed cum maxima voluptate, vivere licet, et ubi naturalibus divitiis frueris, et quiete secura. Ego vero inter tumultus varios ac formidine vivo, plurimosque ex ipsis qui me custodiunt, timeo, et major mihi plerumque ab amicis metus quam ab hostibus venit, quorumque amplius quotidie quam inimicorum meorum insidias pertimesco : et neque sine ipsis degere queo, neque illis me possum credere : vivo igitur in afflictione. Quos enim vereor, eorum constipatione custodior. Diebus quidem totis varias gentes prosequor ac fatigo, noctibus vero me somnus turbat ac vexat, ne quis in me inopinatus hostis impetum faciat. Et si occidero quos formido, tristis efficior : si rursum lenis ac mitis voluero esse, contemnor. Et quemadmodum a tantis rerum periculis me eripiam ignoro. Nam et si voluero in his desertis, in quibus vos degitis, vivere, id mihi penitus non licebit; ob quod apud deum nunc excusare me possum, quia ipse me in hujusmodi vita statu et in tali ordine hominum collocavit. Tu vero pro istis quas ego fudi querelis, quia me per omnia recreasti, ac sensus paulisper meos a conflictationibus et prœliis liberasti, dona mea suscipe, neque ea quæ tibi offero, in contumeliam mei volueris recusare. Mihi enim, quando sapientiam honorare fecisti, non modicum profuisti. Hisque finitis, innuit servis Alexander ut munera quæ sponderat, exhiberent. Qui mox auri argentique optimas species, diversasque vestes cum oleo ac panibus obtulerunt. Quibus visis Dandamis risit, hoc dicens : Numquid suadere avibus istis potes, qui in locis silvestribus vivunt, ut aurum argentumque suscipiant, et melius, quam consuerunt, canant? quod cum fieri omnino non possit, me illis vis esse pejorem? Cur illud accipiam, quod neque edi a me, neque potari potest?

μήτε πίνω, οὐδὲ λαμβάνω ἀνοφελές τι κτῆμα, οὐδὲ τηρῶ ἐπιβλαβὲς (14) ψυχῇ κτῆμα, οὐδὲ ἐλεύθερον ἐμὸν βίον ἀπὸ πάσης μερίμνης νῦν δεσμεύσω, οὐδὲ μάτην τὴν ἐμὴν καθαρὰν διάνοιαν θολώσω· μὴ γένοιτο· ἀλλ' οὔτε ἀγοράσαι τι ζητῶ ἐπ' ἐρημίᾳ οἰκῶν· τὰ γὰρ πάντα δωρεὰν ὁ θεὸς δίδωσί μοι, καρποὺς εἰς τροφὴν καὶ ὕδωρ εἰς πότον, ὕλας εἰς τόπον οἰκίας, ἀέρα εἰς αὔξησιν τῶν πάντων· οὐδὲν γὰρ ὁ θεὸς χρυσίῳ πωλεῖ (15), ἀλλὰ χαρίζεται τὰ πάντα ἀγαθὰ, φρένας διδοὺς τοῖς θέλουσι λαμβάνειν. Ἱμάτιον περιβέβλημαι, ὃ ἐξ ὠδίνων ἔχοντά με ἡ μήτηρ ἔτεκε, καὶ ἀέρι τέρπομαι, καὶ ἡδέως ἐμαυτὸν τοιοῦτον βλέπω. Τί καταναγκάζεις με περιθέσθαι ὅλου τοῦ σώματος δεσμόν; ἐμοὶ ἡδύτερον ἡ ἀμεριμνία πάσης κτήσεως, καὶ μέλιτος γλυκύτερον τὸ ἀπὸ ποταμοῦ ποτὸν, (16) ἰώμενον τὴν κατὰ φύσιν δίψαν. Εἰ δὲ καὶ οἱ ἄρτοι οὗτοι εἰς τροφὴν εἰσι, τί αὐτοὺς περιέκαυσας πυρί; Οὐκ ἐσθίω ἐγὼ ἀπόβρωμα πυρὸς, οὐδὲ ἀφαιροῦμαι ἀλλοτρίαν τροφήν· τὸ γευσάμενον αὐτοὺς πῦρ καταδαπανάτω. Ἵνα δέ σε μὴ ἀτιμάσω (17) τιμῶντα σοφίαν, δέχομαι τὸ ἔλαιον. » Καὶ ταῦτα εἰπὼν ὁ Δάνδαμις ἔλαβε τὸ ἔλαιον. Καὶ ἀναστὰς τὴν ὕλην περιῆλθε (18), καὶ συναγαγὼν ξύλα ἐποίησε σωρὸν, καὶ ἀνάψας πυρὰν εἶπε· « Δάνδαμις (18*) πάντα ἔχει καὶ τρέφεται προνοίᾳ. » Καὶ ἱκανῶς ἀνάψας (19) τὸ πῦρ, ἐπέχεεν ἕως πᾶν (20) ἐδαπανήθη τὸ ἔλαιον· καὶ ᾖρεν (21) ὕμνον τῷ θεῷ λέγων· « Θεὲ (22) ἀθάνατε, εὐχαριστῶ σοι ἐν παντὶ, βασιλεύεις γὰρ τῶν ὅλων σὺ μόνος ἀληθῶς, παρέχων σου τῷ πλάσματι πάντα πλουσίως εἰς τροφήν· δημιουργήσας δὲ τὸν κόσμον τοῦτον σὺ διατηρεῖς, ἀναμένων τὰς ψυχὰς ἃς ἐξαπέστειλας ἐκεῖ, ἵνα τὰς πολιτευσαμένας ἀσφαλῶς τιμήσῃς ὡς θεὸς, τὰς δ' ἀπειθησάσας τοῖς σοῖς θεσμοῖς κατακρίσει παραδῷς (23). Πᾶσα γὰρ δικαία κρίσις παρά σοι, καὶ ἀπέραντος ζωὴ ἑτοίμη παρά σοι· χρηστότητι γὰρ ἀϊδίῳ τοὺς πάντας ἐλεεῖς. »

[ΚΕΦ. Ις'.]

Ὁ δ' Ἀλέξανδρος (1) ἀκούσας ταῦτα πάντα καὶ ἰδὼν, θαυμάσας σφόδρα καὶ κατανυγεὶς ἐπὶ τοῖς σοφοῖς λόγοις καὶ ἀληθινοῖς τοῦ Δανδάμεως, ἀπῆλθεν ἀποφέρων πάντα ὅσα ἐνηνόχει ὕδωρ πλὴν τοῦ ἐλαίου οὗ ἀνήλωσε τὸ πῦρ. Ὁ δὲ Δάνδαμις εἶπε· « Τοιοῦτοί ἐσμεν πάντες, Ἀλέξανδρε· ὁ δὲ σὸς φίλος Κάλανος ἡμῖν κακὸς ἀνὴρ ἐγένετο (2), πρὸς βραχὺν χρόνον μιμησάμενος ἡμῶν τὸν βίον· καὶ ἐπεὶ μὴ ἐτύγχανε θεοφιλὴς, καταλιπὼν ἡμᾶς ἐδραπέτευσε πρὸς τοὺς Ἕλληνας, καὶ παρὰ συνήθειαν ἰδὼν τὰ ἡμέτερα (3) μυστήρια, καὶ ταῦτα βεβήλοις ἐκπομπεύσας ἔθνεσιν (4), ἐντεῦθεν εἰς πῦρ ἀθάνατον ἑαυτὸν μετέστησε. Σὺ δὲ κακοῦ ἔθνους δεσπότης ὤν, Μακεδόνων, τὸ πρὶν ἐλοιδόρεις Βραχμᾶνας, καὶ ἐκέλευες τούτους ἀπόλλυσθαι πεισθεὶς ψευδέσι λόγοις, ὅπερ οὐ πρέπει βασιλεῖ καὶ κηδομένῳ ἐθνῶν ἄρχειν, τὸ τοῖς (5) διαβάλλουσι πείθεσθαι· Ἡμεῖς γὰρ τοῦ ἰδίου βίου θεῷ, (6)

ἐμὲ πείσειας χείρω αὐτῶν γενέσθαι. Cod. C : ἀλλ' οὐδὲν δύνῃ π. ταῦτα· σὺ δὲ οὐ πείσῃς μὲ χείρονα ὀρνέων γενέσθαι. ‖ 14. ἐπὶ βλαβερὸν C; ἐπὶ βλάβῃ A, dein ψυχῆς A L C; χρῆμα L; κτῆμα καὶ χρῆμα C. ‖ 15. οὐδὲν... πωλεῖ om. A, eorum loco ponens : τί δὲ γὰρ ὁ θεὸς χρήζει παρ' ἡμῶν; ‖ 16. τὸ.. πίνειν ὕδωρ A; ὁ.. πότος C. ‖ 17. ἵνα τιμάσω L. ‖ 18. διῆλθε A. ‖ 18 *. Βραχμάνος C; Βραχμάνες.. ἔχουσι.. τρέφονται L. ‖ 19. ἱκ. ἀναχέων L; ἱκανῶς ἔχει τὸ ἔλαιον, ἕως πᾶν ἐδαπάνησε πυρί. ‖ 20. ἕως ἂν A. ‖ 21. ἦσεν A. ‖ 22. pro θεὲ ἀ. C L : ἀθάνατε κύριε. ‖ 23. παραδίδῃς A.

Cap. XVI. 1. Pro his cod. C : Καὶ ὑποστραφεὶς πρὸς Ἀλέξανδρον ὁ Δανδάμης εἶπεν· Τοιοῦτοί ἐσμεν κτλ. ‖ 2. γεγένηται A. ‖ 3. ἰδὼν ἕτερα μ. A. ‖ 4. ἔθν. om. A; τοῖς ἔθν. C; mox εἰς πῦρ καὶ θάνατον A. ‖ 5. τούτοις L; καὶ τοῖς C. ‖ 6. θεῷ om. C L.

Cur accipiam quod mihi nullatenus prosit? Aut quam ob rem id custodiam, quo uti nequeam, nisi forte ut animam meam per omnia liberam hujusmodi nexibus ligem? Cur ingenuitatem ipsius frustra jugo turpissimæ servitutis addicam? Quod ego nunquam prorsus efficiam. Sed neque emere quidquam volo, qui in solitudinibus, ubi nihil venditur, vivo. Munera mihi deus, hoc est, fructus istorum locorum præbet. Nihil enim auro homini vendit deus, sed sapientiam bonam ei qui noverit eam accipere, largitur. Veste velatus sum cum qua me matris meæ edidit partus. Aere hoc ut cibo vescor; libenter me video talem, dum nullis corpus meum nexibus gravo; omnique mihi melle dulcior est, ubi naturalis venerit sitis, aquæ potus ex fluvio. Si autem et panes istos dices habere aliquam voluptatem, cur eos incendisti flammis? Reliquias ego ignis escam facere meam nolo, neque in cibos convertere meos cupio quod de alieno ore sustulerim. Hos ergo panes ipse qui coxit ignis absumat. Sed ne aliquam tibi qui sapientiam honoras, injuriam a me æstimes irrogari, oleum tantummodo istud accipio. Quæ ubi Dandamis dixit, continuo surrexit, ac silvam peragrans et colligens ligna, molem ex iis maximam fecit, quam igne succendens, his locutus est verbis : Brachmanus, inquit, omnia habet, et abunde ex omnibus, ut cupit, pascitur. Infusoque oleo mox, pyraque vehementer incensa, talem cecinit hymnum deo : Immortalis, inquit, deus, tibi ego in omnibus gratias ago.

XVI. Quæ ubi Alexander vidit, abscessit, cuncta secum præter oleum quæ exhibuerat reportans, summopere stupens. Dandamis vero hoc etiam sermonibus suis addidit dicens : Tales universi nos sumus. Calanus vero pessimus vir judicatus est a nobis, eo quod vestræ se exhibuit præsentiæ, et nostram non imitatus est vitam : et quia cum amator dei esse non posset, fugit a nobis, et migravit ad Græcos, contemptisque moribus nostris, se ipsum damnavit immortalibus flammis. Tu vero Macedonum malæ gentis dominum esse te dicis, Brachmanos vituperas, et interfici omnes jubes, credens [eorum] mendacibus verbis, quod bonum virum facere non oportet. Nos vero rationem vitæ propriæ deo novimus reddituros tunc, cum ad eum erimus profecti. Omnes enim ipsius sumus, gloriam vanam con-

λόγον δώσομεν, ὅταν πρὸς αὐτὸν ἀπέλθωμεν· αὐτοῦ γάρ ἐσμεν ἔργα καὶ (7) πάντες οἱ ἀντιποιούμενοι τῆς αὐτοῦ δικαιοσύνης καταφρονοῦμεν κενῆς δόξης τῆς παρὰ τοῖς ἄφροσιν οὔσης. Πῶς οὖν δύνασθε ὑμεῖς τὰ ἡμέτερα φρονεῖν κακῶς ζῶντες; καὶ τοῦ ὄντως καλοῦ ἀμελοῦντες; Ἡμεῖς δὲ οἱ Βραχμᾶνες μνημονεύοντες πῶς ἐγεννήθημεν τῇ φύσει, ἐκείνῃ (8) συζῶμεν, καὶ βλέπομεν πῶς ἀμέμπτως ζῆν δυνώμεθα, ἐν ἀμεριμνίᾳ διάγοντες, περὶ μηδενὸς φροντίζοντες· φροντὶς γὰρ βίου ὕλης βροτῶν χωρίζει νοῦν ἀπὸ θεοῦ. Ἕκαστον γὰρ ἡμῶν ἡ πρόνοια ἰδίας γνώμης ἀπαιτήσει λόγον· καὶ τῶν ταύτης πράξεων δίκας δώσομεν. Διὰ τοῦτο χαίρομεν ἡμεῖς ἐπ' ἐρημίαις καὶ μέσαις ὕλαις (9), [ἵνα εἰς πᾶν ἀρέσκον τῷ θεῷ ἐφιστάνωμεν τὸν νοῦν (10),] ἵνα μὴ αἱ ἀδολεσχίαι τῶν λοιπῶν ἀνθρώπων τὰς ψυχὰς ἡμῶν περισπάσωσιν ἀπὸ τῆς τοῦ θεοῦ δοξολογίας· μακάριος γάρ ἐστιν ὁ μηδενὸς τῶν περισσῶν δεόμενος, [δόξης (11) δὲ κηδόμενος τοῦ δεσπότου τῶν ἁπάντων.] Δόξα δὲ κενὴ πάντων δεῖται. Τὸν γὰρ βουλόμενον ἄνθρωπον ἀρέσκειν πᾶσι (12) χρὴ καὶ δοῦλον εἶναι πάντων. Ἡμεῖς δὲ ὅλως οὐ χρείαν (13) ἔχομεν πόλεις ἐπιζητεῖν· σύνοδος γὰρ λῃστῶν ἐστι (14) καὶ πολλῆς κακίας γεωργός. Μεγάλους δὲ ἡμῖν ὁ θεὸς οἴκους ἔκτισεν, ὄρη ὑψηλὰ καὶ ὕλας κατασκίους, ἔνθεν καθαρᾶς φύσεως τῆς δεδομένης ἐκ θεοῦ μνήμη σώζεται· καρποὺς ἐσθίοντες τούτοις ἐντρυφῶμεν, καὶ ὕδωρ πίνοντες ἀπὸ τούτου εὐφραινόμεθα, καὶ ἡδίστην ἀνάπαυσιν τὴν ἐπὶ φύλλοις ἔχομεν, καὶ ἐπὶ τούτοις ἀναπαυόμενοι τὸν κόπον ἀποτιθέμεθα. Πῶς οὖν ὑμεῖς πολλῶν δοῦλοι ὄντες, τοῖς ἐν πᾶσιν ἐλευθέροις ἐπιτάσσειν δύνασθε; Ὑμεῖς γὰρ ψυχῆς ἰδίας πολλὰ καὶ ποικίλα ἀεὶ ἐπιθυμούσης δοῦλοι. ἄτακτοί ἐστε· εἰ γὰρ πολλὰ ἱμάτια θέλετε ἔχειν, δέεσθε τοῦ ποιμένος, τοῦ ὑφαντοῦ, τοῦ κναφέως ἢ καὶ τοῦ ἀμήττοντος (15). Καὶ μή μοι λέγε· « Οὐ φορῶ (16) μαλακὰ ἱμάτια. » Ἴση γάρ ἐστι δουλεία τὸ ἐπὶ μικρῷ καὶ μεγάλῳ φροντίζειν· ὁ γὰρ ὀλίγου ὀρεγόμενος χρυσίου καὶ τοῦ πλείονος ἐπιθυμήσει, καὶ ὁ μικρᾶς πόλεως βασιλεῦσαι θέλων, δῆλον ὅτι καὶ τῆς μείζονος ἀπάρξαι θελήσειεν (17). Ἀλλὰ καὶ ἐν ὀλίγῃ πορφύρᾳ στιλβούσῃ ἐν ἱματίῳ ἐναβρύνεσθε μεγάλως, τῶν Ἰνδῶν ὁλοπορφύρων ὄντων, τῶν δούλων ὑμῶν ὁλοπόρφυρα φορούντων (18)· καὶ ὑμεῖς ἐπὶ καλῷ ἡγεῖσθε τὴν πορφύραν, κἂν ὀλίγῃ χρῆσθε· εἰ δὲ καὶ τὸ ὀλίγον παρ' ὑμῖν καλόν ἐστι, τῷ ὄντι πτωχοί ἐστε καὶ τὰ μικρὰ θαυμάζοντες. Διὰ τί ζῶα φονεύετε, γῆς τέκνα ὄντα, καὶ αὐτὰ χρησιμώτατα ὑμῖν ὑπάρχοντα; ἃ μὲν γὰρ κείρετε καὶ τούτων τὰ ἔρια περιβάλλεσθε, ἃ δὲ ἀμέλγετε καὶ τὸ γάλα ἐσθίετε, ἐν οἷς δὲ καὶ γεωργεῖτε τοὺς καρποὺς ἐμπιπράσκοντες, ἐφ' οἷς δὲ καὶ ἐπιβεβηκότες πολεμεῖτε, ἀλλότρια ἁρπάζοντες. Καὶ ταῦτα φονεύετε ἀδίκως, καὶ τοῖς μὲν ζώοις μισθὸς ὁ τοιοῦτος παρ' ὑμῖν· τοὺς δὲ μαλλοὺς τούτων ἔξωθεν περιβάλλεσθε, τὰς δὲ σάρκας τούτων ἔνδοθεν βαστάζετε, καὶ γίνεσθε νεκρῶν ζώων περιπατοῦντες τάφοι. Τοσαύτη τοίνυν ἀτιμία ἔργων ἀτόπων βαρυνομένη ἡ ψυχὴ πῶς δύναται νοῦν θεοῦ δέξασθαι; Ἔασον ἔξωθεν τὰ κρέα δύο ἡμέρας, καὶ ὄψει τί γενήσεται· οὐ δυνήσῃ στέρξαι (19) τούτων τὴν ὀσμήν, ἀλλὰ (20) καὶ ἔξω φεύξῃ. Πόσαι εἰσδύνουσι διὰ τούτων εἰς ψυχὴν ἀκαθαρσίαι, καὶ χωροῦσιν εἰς νεφροὺς τῶν ἐπιθυμούντων ταῦτα; Πῶς οὖν τοῦ τοιούτου πνεῦμα θεῖον δύναται ἐπιφοιτῆσαι τῇ αἰσθήσει; Κρέα ἐσθίετε, ἃ σῶμα μὲν πιαίνει, ψυχὴν δὲ κατατήκει, θυμὸν τίκτει, εἰρήνην δὲ διώκει, σωφροσύνην δαμάζει, ἀκολασίαν δὲ ἐξεγείρει, ἐμετοὺς ἐκβλύζει καὶ νόσους ἐνοικίζει· διὰ τὸ σαρκοβόρον (21) τῶν βροτῶν πνεῦμα ἐπαναχωρεῖ, καὶ παλαμναῖος δαίμων ἐμφιλοχωρεῖ. Καρποὶ δὲ ἀκροδρύων καὶ θινῶν (22) βοτάναι ἔξω ἀφεθέντα (23)

‖ 7. καὶ om. A, et C post πάντες pergens : ἡμεῖς δὲ καταφρονοῦμεν κτλ. ‖ 8. καὶ ἐν ἐκείνῃ C; dein συζήσομεν A. ‖ 9. ἐν ἐρ., καὶ μ. ὕ. (μέσαν ὕλας L.) καθεζόμενοι C L. ‖ 10. ἵνα... νοῦν om. A C. ‖ 11. inclusa non habet A; δόξα... δεῖται desunt in C L. ‖ 12. βουλ. πᾶσιν ἀρ. C L. ‖ 13. ἡ. δὲ χρ. οὐκ ἔχ. C. ἄχρειαν ἔχομεν L. ‖ 14. σ. γ. ἐπιβουλῆς ἐστι A. ‖ 15. ἢ κ. τ. ἀ. om. C A. ‖ 16. ὑφορῶ L. ‖ 17. sic C. μ. ἁρπάζει L; μ. ἴδιον (ἤδιον?) ἁρχῆ A. ‖ 18. καὶ τῶν δούλων αὐτῶν ὁ. φορούντων, ἐπιζητεῖτε κατασχεῖν C. ‖ 19. στέξαι L. ‖ 20. ἀλλὰ. om. L A. ‖ 21. τοῦ σαρκοβόρου sine præpositione, L A. ‖ 22. θινῶν om. L C. ‖

temnimus, quod stulti facere non possunt. Quemadmodum vos transire ad consuetudinem nostram valetis qui tam male vivitis, et qui semper illa quæ bona sunt, datis oblivioni? Nos vero Brachmani, memores quemadmodum procreati aliquando fuerimus, et videntes propter quæ vivere debeamus, irreprehensibilem vivendi cursum tenemus; unumquemque enim deus certo propositi ejus, cui deputatus est, fine formavit. Lætamur in desertis locis et in mediis silvis sedentes, et his tantum sensibus nostris occupati, ne unquam sermones hominum animas nostras ab institutis talibus valeant separare. Beatus est ille qui nullius indiget, et qui non alienam gloriam cupit; et qui placere vult omnibus, necesse est ut sit omnium servus. Nobis necessariæ non sunt civitates, in quibus latronum multitudo colligitur : magnas vero domos nobis exstruxit deus, ac præstitit montes pariter, ac silvas : ex quibus simplices suminus fructus, et puræ dona naturæ aquas bibimus : libenterque nosmetipsos reficientes post laborem, foliis incubamus. Quomodo potestis ingenuis hominibus imperare, cum sciatis vos in potestate multorum esse? Vos enim vestris in omnibus quæ concupiscunt, servitis animabus. Nam si multas habere vestes desideratis, non paucos qui greges ovium pascant, non paucos qui ipsas tondeant oves, et a quibus ipsæ lanæ intexantur, necesse habetis artifices. Quid excusaris quod mollia vestimenta non habeas? Æqualis enim servitus esse probatur in minoribus et majoribus rebus. Nam qui exiguum miratur aurum, et multum desiderabit : et qui parvæ civitatis fuerit imperator, et majori cupiet imperare. Præterea etiam ex modica purpuræ portione, quæ in vestris splendet vestibus superbitis : et cum vestris famulis fuerint indumenta purpurea, vos pulchrius esse aliquid existimantes, vestra colore altero splendere curatis. Si autem hoc apud vos

χάλλιστον ἀτμὸν ἀποζεῖ, καὶ παρὰ σοφῶν ἑστιαθέντα θεοπρεπῆ νοῦν κύει καὶ τὸ σῶμα ἐπιτέρπει (21). Ταῦτα (23) ὁ θεὸς ἐφύτευσεν εἰς τροφὴν τὴν βροτῶν [διὰ φρόνησιν] (26). Ὑμῶν δὲ διαπόλωλεν ὁ νοῦς τῇ ἀδηφαγίᾳ. Ἀναπνέετε θηρίων θυμὸν, ζώων ἐμπληρούμενοι· ἀγγεῖα διεφθαρμένα ἐστὲ μελῶν σεσηπότων· λύκων καὶ λεόντων καὶ πάντων (27) θηρίων ἀνημέρων χείρονές ἐστε ὑμεῖς· λύκοι γὰρ εἰ ἠδύναντο καρποὺς ἐσθίειν, οὐκ ἂν ἐξεζήτουν (28) κρέα [ὁμοίως καὶ οἱ λέοντες τοῦτο ἐποίουν (29)]. Ταῦροι δὲ καὶ (30) ἵπποι καὶ ἔλαφοι καὶ ἑτέρα φύσις ζώων πάντων πολὺ (31) δικαιοτέραν ὑμῶν ἔχουσι τὴν τροφὴν, θυνῶν βοτάναις τρεφόμενα καὶ ὕδωρ πίνοντα καὶ τοῖς ὄρεσιν ἐνδιαιτώμενα. Διὰ τοῦτο τούτοις φίλη ἡ ἰσχὺς, καὶ τὰ νεῦρα καρτερὰ πεπήγασι. Τί οὖν οὐ μιμεῖσθε ταῦτα τὰ τρεφόμενα θεοῦ προνοίᾳ (32), ἀλλὰ προφάσει προσφορᾶς θυσιῶν καὶ πυρὸς δαπάνης (32*) ἑαυτοῖς αὐτὰ ἑτοιμάζετε τροφήν· ὅσα δέ ἐστιν εὔτονα καὶ διαρκῆ, ἐπιβουλευθῆναι παρ' ὑμῶν οὐ δύναται (33). Ὑμεῖς γὰρ ἐπιζητεῖτε διατροφὴν πλείστην, καὶ πολλὰ δαπανᾶτε τὸ συγγενὲς διὰ τὴν ἀπληστίαν ὑμῶν, καὶ εἰς μικρὰ ζῶα πλεῖστα κοπιᾶτε δι' ὀλίγην ἡδονὴν καὶ ματαίαν. Ἀνόνητος ὁ κόπος ὑμῶν καὶ ἐν ἀπολείᾳ. Διὰ ταῦτα πάντα ταλαίπωρος καὶ ἀτυχὴς ὁ βίος ὑμῶν. Ἡμεῖς μὲν οὖν οὐδὲ ὕδωρ πίνομεν ἄκοντες, δίψης μὴ παρούσης· ἐξ ἀνάγκης δὲ, παρούσης δίψης, ταύτην ἀμυνόμεθα ταῖς ἐκ φύσεως παραγενομέναις (34) πηγαῖς ὑδάτων· καὶ μὴ πινόντων ἡμῶν, χέουσι τὰ ῥεῖθρα. Ὑμεῖς δὲ δι' ἡδονὴν γαστρὸς τέχνας ἐπινοεῖτε, ἵνα καὶ μὴ πεινῶντες διὰ τῆς ποικίλης τῶν μαγείρων τέχνης, διαρρηγύητε τὴν ἀθλίαν γαστέρα, τὰ πρὸς γαστριμαργίαν αὐτῇ χορηγοῦντες. Ἄλλα θηρεύετε διὰ φιληδονίαν· θαλάσσην δικτύοις σήθετε διὰ τὰς πολλὰς ὑμῶν ἐπιθυμίας· ἐπὶ τὰ ὄρη στρατεύεσθε διὰ τὴν ἀπληστίαν ὑμῶν, τὴν ἐπὶ τῶν κυνῶν ἀλκὴν ὀξυτάτην ἀλαζονευόμενοι, κακολογεῖτε (35) τὰ θηρία τὰ παρὰ τῆς προνοίας δημιουργηθέντα, καὶ ταῦτα κακῆς ἐρημίας ἔνοικα (36) λέγετε δυσαρεστούμενοι κατὰ τῆς προνοίας· καὶ τὰ μὲν διώκετε· τὰ δὲ ἀγρεύειν (37) βούλεσθε, τὰ δὲ πλεῖστα καὶ φονεύετε· τὰ δὲ τούτων ἀνημερώτερα συλλαβόντες καὶ γαλεάγραις ἐγκλείσαντες (38), φέρετε εἰς τὰς πόλεις, οὐχ ἵνα σπείρητε δι' αὐτῶν, ἢ ἑτέραν τινὰ δι' αὐτῶν χρήσιμον ἐκτελέσητε ὑπηρεσίαν, ἀλλ' ἵνα (39) ὑμῶν καὶ θεοῦ ἔργον, ἄνθρωπον, καθυβρίσαντες ἀφανίσητε· καὶ δεδεμένον τοῦτον δεσμοῖς βιαίοις λελυμένῳ θηρίῳ παραβάλλετε· καὶ ἀντικαθεζόμενοι ἐνατενίζετε τερπόμενοι τῇ ἀνηκέστῳ συμφορᾷ τοῦ (40) τοῖς θηρίοις καταπαλαισομένου, καὶ γελῶντες σπουδάζετε καταλύσαι κακίστῳ μόρῳ τὴν κοινὴν τῆς φύσεως ὑμῶν εἰκόνα, τὴν χειρὶ θεοῦ πλασθεῖσαν· καὶ μετὰ τὸ τοῦτον ὑπ' αὐτοῦ διαφθαρῆναι, πάλιν τὸν θῆρα σφαγιάσαντες ὑμεῖς, πῶς τοῦτον ἀποτρέπεσθε καὶ κακολογεῖτε, λέγοντες (41)·

23. ἀφεθεῖσαι κ. ὀσμὴν ἀποζέουσι C. ‖ 24. ἐπιπρέπει L, ἐπιτέλπει A. ‖ 25. ταύτην L. τοιαύτην A. ‖ 26. βρ. φρονήσει L; βρ., φρόνησιν δὲ ὑμῶν A. Nonnulli olim scripserunt : φρόνησις δὲ ὑμ. ἀπ. τῇ ἀδ. Hinc turbatio. ‖ 27. παντοίων C. ‖ 28. ἐξήτουν, A L. ‖ 29. absunt hæc ab L A. ‖ 30. ταῦροι, ἵπποι, ἐλ. A L; ejusmodi particulas sæpius addidi e cod. C. ‖ 31. πάντων πολλῇ A, πάνυ πολλὴν L; om. C. ‖ 32. τρ. ῥήματι θεοῦ A. ‖ 32*. sic. L. δαπανῆσαι A; καὶ π. δ. om. C. ‖ 33. addit C : μόνον διὰ τὴν ἐργασίαν. ‖ 34. τὴν ἐ. φ. παραγενομένην A L. ‖ 35. κακοποιεῖτε C. ‖ 36. ἐνοικοῦντα L. ‖ 37. θηρεύειν L C. ‖ 38. συγκλ. A. ‖ 39. ἀλλ' ἵνα μετ' αὐτῶν ἕτερα θηρία διώκοντες ἀφανίσητε, καὶ ἵνα τὸ συγγενὲς etc. C ‖ 40. τὸν L C; τῶν A, etsi sequente singu-

---

bonum non videtur, pauperes judicamini, dum parva miramini. Animalia libenter occiditis, quæ terra progenuit : quæ tamen ipsa plurimum vobis prodesse cognoscitis. Quædam enim ex ipsis tondentur, alia mulgentur, cum quibusdam agrum colitis, cum aliis dimicatis : quorum postea eo quod funditis cruorem, gaudetis, talemque mercedem ipsis, quæ perutilia vobis fuerint, redditis vicem : et quorum vellera vos extrinsecus velant, eorumdem vos carnes intrinsecus onerant, et incipitis esse corporum mortuorum sepulcra viventia. Tantis ergo tamque inconvenientibus rebus, tamque contrariis mens gravata, potest in se recipere dei sensum? Dimitte paulisper memoratorum animalium carnes, quæ occidis, sic jacere, et quid ex ipsis fiat intellige. Num quid poteris fœtorem ipsarum ferre non fugiens? Quantæ sordes, quantæ impuritates animabus atque corporibus inferuntur humanis, quas cum ipse tolerare non possis, includuntur intra illos, atque ab illis inferuntur, a quibus cibi tales desiderantur. Anima iracundiam parit, ista concreant vomitum; terra vero fructus et flores, qui foras emissis bonis odoribus placent. Tales epulas nobis plantavit deus ac præstitit : humanos sensus vos penitus perdidistis. Corpora vestra feras male olent : receptacula enim estis pecudum mortuarum : leonibus lupisque pejores esse cœpistis. Lupi enim, si uti terrenis pabulis possent, nunquam profecto carnibus vescerentur. Tauri, equi, cervi justis herbarum pastibus vivunt, unde et validioribus membris et nervis fortioribus roborantur. Cur hæc animalia magis non vultis imitari? cur non editis silvestria, et aquam bibitis? Sed causa ignis hujusmodi epulas vobis præparatis. Quascunque esse cernitis bestias fortiores, ideo vestris non urgentur insidiis : vos enim quæritis cibos plures, expensas plurimas facitis, et in parvis rebus plurimum laboratis propter exiguam voluptatem : ubi nihil est nisi eorum aperta perditio, in quibus fuerit labor vanus. Ergo nihil est vestra infelicius vita. Nos nunquam bibimus inviti, sed necessarium siti ex fontibus naturæ implemus officium : qui etiam non bibentibus nobis defluunt semper. Vos vero propter ventris voluptatem et non esurientes quæritis juges cibos, et quibusdam artibus vobis multas atque diversas epulas præparatis : excurritis omne retibus mare, in aere volitantium in montibus bestiarum venatione gaudetis, canumque vestrorum velocitatem mirantes, ferarum reprehenditis tarditatem, atque habitatrices eas malarum solitudinum nominatis. Istis igitur rebus insistitis hæc animantia investigare, hæc investigata festinatis occidere, aut viventia caveis clausa defertis ad spectacula civitatum, non ut fruge

κακὸν θηρίον καὶ φονεῦ ἀνθρώπων. » Καὶ τὸ πάντων δὲ δεινότερον, αἱμάτων καὶ σαρκῶν ἀνθρώπων τοῦ θηρὸς ἐμφορηθέντος, τοῦτον κατασφάξαντες πάλιν ὑμεῖς ἐσθίετε, καὶ εὑρίσκεσθε τῶν πονηρῶν θηρίων ἀνημερώτεροι, αὐτὰ ταῦτα ἐσθίοντες (42) καὶ ἀκαταλλάκτους συμφορὰς ἑαυτοῖς ἐν τῇ γαστρὶ ὑμῶν σωρεύοντες. Χώρας (43) πάλιν τοὺς πενεστέρους (44) ἀποστερήσαντες, ὑμεῖς οἰκοδομεῖτε οἰκίας, ἵνα θερμαινόμενοι βιαίως εὐπέπτητε, καὶ ἀναγκάζετε ὑμῶν τὰ ἔντερα πλατέα εἶναι τεχνῶν συνθέσει (45) ἐξ ἀμέτρου ἀκρασίας, ζωοφαγίας καὶ οἰνοφλυγίας. Ἡμεῖς δὲ εὐχόμεθα μηδ' ὕδατος (46) διψῆσαι· ἀλλὰ περισπώμεθα γὰρ ἀληθείας (47), ὅταν σῶμα περισσῶς ποτίσωμεν ὕδατι· ὑμεῖς δὲ χαίρετε (48) ἐπὶ τὰς οἰνοποσίας συνέρχεσθαι, καὶ ἐὰν μὴ ἐκμανῆτε, πίνοντες οὐ παύεσθε· καὶ μετὰ ταῦτα χεῖρας ἐπὶ σπονδὰς ἐκτείνετε, καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν εἰς τὸν ἥλιον ἐπαίρετε, παντελῶς ἐκδιώξαντες ὑμῶν τὴν φρόνησιν, βαρυνόμενοι τὸν νοῦν ἀπὸ τοῦ οἴνου. Εὐτυχέστεροι παρ' ὑμῖν εἰσὶ μᾶλλον οἱ μαινόμενοι· ἐκεῖνοι γὰρ μεθύουσιν οἶνον μὴ ἀγοράσαντες· ὑμεῖς δὲ μεριμνᾶτε τὴν τιμὴν τοῦ οἴνου, ἵνα τοῦτον ἀγοράσαντες, τῇ μέθῃ τὴν φρόνησιν ἐκδιώξητε, ἑαυτοῖς ἐπεισάγοντες ἔκφρονα μανίαν, κατ' ἀλλήλων χεῖρας κατακλῶντες, καὶ τραύματα ἑκάστῳ τῶν πλησίον ἐμφοροῦντες (49)· καὶ ταῦτα ποιεῖτε ἀναισθήτως· εἶθ' οὕτως τοῦ οἴνου διαπνευσθέντος, μανθάνετε τὰ παρ' ὑμῶν δρασθέντα ἐκ τῶν ἀλγηδόνων. Καὶ οὐδ' οὕτως ἰσχύετε παραφυλάξαι τὴν μέθην (50). Πάλιν πολλὰ φαγόντες, οὐκ ἰσχύετε αὐτὰ πέψαι, ἀλλ' ὀψὲ ἀναχωρήσαντες τὴν ἀκρασίαν ὑμῶν διὰ στόματος ἐμεῖτε, κάτωθεν ἄνω (51) στρέφοντες τὴν φύσιν· πίνοντες ἀμετρήτως πληροῦσθε ὡς ἀγγεῖα· καὶ ζέσαντος τοῦ οἴνου, τελευταῖον τοῦτον ἀναβλύζετε, ἄρρονες ἀναστρέφοντες τὸ σῶμα, ἀντὶ τῶν ποδῶν ἐπὶ τῶν κεφαλῶν περιπατοῦντες· ὡς τὰ ζῶα βιάζεσθε πληροῦσθαι καὶ μετὰ ὕβρεως κενοῦσθε· καὶ νόσον προσλαμβάνοντες συντρίβετε τὸ σῶμα (52)· καὶ ἐν οἷς δοκεῖτε τὴν γαστέρα (53) θεραπεύειν, ἐκεῖθεν ἀνιᾶσθε· καὶ ἀεὶ κεκορεσμένοι, πάσης ἡδονῆς στερεῖσθε (54)·

lari; mox καταπαλαισόμενον L C. καταπολεμούμενον A. ‖ 41. γοῦντες λέγετε A. ‖ 42. ἀν. καὶ ταῦτα ποιοῦντες... σωρεύετε C. ‖ 43. χώρας om. L. ‖ 44. τῶν πενήτων C; τοὺς ἀσθενεστέρους A. ‖ 45. τέκνων συνθέται L; τέκνων συνθετὰ A; om. A C. ‖ 46. ὕδατι L C. ‖ 47. ἀληθῶς L. ‖ 48. χαίροντες.. συνέρχεσθε A L. ‖ 49. addit C : καὶ κατ' ἀλλήλων γλώσσῃ καὶ πράξει εἰς ἄτοπα ἐμπίπτοντες. ‖ 50. οὐδ' οὕτως δύνασθε αὐτὰ ἐκπέμψαι. C. ‖ 51. κάτωθεν ἄνωθεν A. ‖ 52. addit C : καὶ ὅσα τούτοις πάθη

---

seratis, ex quibus famem *, neque ut exinde necessarium aliquod officium hominibus præbeatis, sed ut proximum ac sanguinis vestri, et opus (quod est majus) dei, cum summo dedecore trucidetis, vel ut violenter vinculis illigatum ferarum morsibus ingeratis. Et hoc ipsum libenter aspicitis, quod cum hominibus fera pugnent, et quod illæ partem naturæ vestræ ac similitudinis devorent : postea vero illas rursus feras occiditis, et crudeles easdem, eo quod occiderint hominem, esse dicitis : et, quod adhuc scelestius videtur ac pejus, humano sanguine saturati, necdum tot tantisque malis expleti, vestrorum cupitis civium * ventres replere. Ad hæc tam dedecorosis tamque pravis moribus vivitis, ut et vobis calidas superædificetis domos, quibus ad vestram explendam voracitatem comesta digeri citius compellantur. Insuper et ut proprii corporis intestina nimia ciborum repletione distendantur, lautiores eligitis epulas, unde peritos quosque procuratis artifices condiendis atque ordinandis epulis. Nos autem precamur deum, ne aliquando sitiamus : nam hoc interdum modo a regula veritatis abstrahimur, hoc est, tunc cum necessarium potum nostro corpori damus, ob quod postea oculos et manus nostras veluti sacrificium aliquod ad radios solis agentes extollimus. At vos etiam læti estis quotiens supra modum convivia vestra celebratis, nec ante vestris comessationibus finem imponitis, quam nimia ebrietate furere incipiatis, et donec ipsum quod sapere videbamini, bibendo perdatis : et nimio vini pondere sensus vestri cordis oneratis. Feliciores profecto apud vos esse crediderim eos, qui insanire dicuntur. Illi enim semper ebrii sunt, cum tamen vinum non emerint : vos autem pro pretio vini nimiam sollicitudinem geritis : quo empto vosmet ipsos ebrietate polluitis, vosque invicem verberatis, ac tandem ad sobrietatem reversi, vix potestis agnoscere quemadmodum ebrietatem vestram custodire valeatis. Audio etiam quod plurima comedentes ea digerere non potestis : et cum tandem a convivii voracitate vix recesseritis, omnia quæ vos explere solent evomitis : ipsamque mutantes perverso more naturam, ex eadem parte qua escas capitis, egeratis, capite, non pedibus, ambulantes. O stultissimi homines ! impletis ingluvie viscera vestra atque distenditis, ut postea iterum arte medicorum corpora vestra vacuetis, turpitudinem per hæc vobis maximamque ægritudinem quærentes : adeoque estis insani, ut ipsam cupiatis evertere tali curatione naturam, quæ nullam penitus sentiat voluptatem, finem habentes voracitatis immodicæ supplicium, non salutem : insanabilia enim membra fieri ex morbis continuo solent, tormenta comitantur, ita ut postremum quod honestæ ac probæ vitæ ex tantis deliciis conferatur nihil habeatis. Sed jactare vos audio quia plurima possidetis : qui tamen cum aliis multa donetis, vestris admodum pauca præstatis. Unde vos magis pauperes judicamus, quia ne panem quidem ipsum parentibus datis, innumeras autem habere opes desideratis. Servi ventris vos estis ; propterea maxima apud vos turba medicorum est, qui assidua vos purgatione evacuant : faciunt autem id aut jejunio vel inedia, aut arte medicaminum : ut qui plurima vina solebatis haurire, subito ne aquæ quidem modicam quantitatem possitis accipere, quotiens ægritudinum necessitate vexamini. Et sicut tunc ultra naturam multum meri bibitis, ita nunc parum quoque aquæ, quod exposcit ipsa natura, desideratis. Nos

τέλος γὰρ ἀμέτρου κόρου βάσανος σώματος, καὶ οὐχ ὑγεία· κολάζεσθε γὰρ νόσοις διὰ τὴν ἀμετρίαν. Τί δ' ἐστὶν ἡ τοῦ σώματος τρυφὴ πρὸς ψυχῆς εὐδαιμονίαν; Εἰ δ' ἐπιδείκνυσθαι βούλεσθε ὅτι ἔχετε πολλά, τοῖς (65) παρ' ὑμῖν δεομένοις χαρίζεσθε τὰ περισσά. Ὡς δ' ἀκούομεν, πτωχοί ἐστε τῷ ὄντι, ὥστε μηδὲ ἄρτον τοῖς αἰτοῦσιν ὑμᾶς διδόναι. Ἀναριθμήτους δὲ οὐσίας παρ' ἑαυτοῖς σπουδάζετε σωρεύειν, δοῦλοι ὄντες σωμάτων καὶ ἐντέρων ἀκορέστων· διὰ ταῦτα γὰρ τὰ πάθη (66) πολλοὶ ἰατροὶ ἐν ὑμῖν οἱ κενοῦντες ὑμῶν τὴν ἀπληστίαν, ἢ λιμῷ κατάγχοντες τὴν πολυφαγίαν, ἢ ἄλλαις τισὶ τέχναις τὴν νόσον (67) χαλινοῦντες, καὶ τοὺς τὸ πρὶν πολὺν ἐχεομένους οἶνον, ὡσεὶ ἀγγεῖον τετρημένον (68), δαμάζοντες τῇ δίψῃ, μηδὲ ῥανίδος ὕδατος τούτους καταξιοῦντες. Καὶ οἵ ποτε καρηβαροῦντες (69) νῦν βασανιζόμενοι ξηροὶ (70) διατελοῦσι, καὶ οἵ ποτε μὲν παρὰ φύσιν ἔπινον τὸν οἶνον, νῦν δὲ κατὰ φύσιν ὕδωρ ὀλίγον (71) ἐπιθυμοῦσι· καὶ οἵ ποτε μὲν πεπεδημένοι ἐπιθυμίᾳ ἀκορέστῳ, νῦν δὲ στρεβλούμενοι τῇ ἐγκρατείᾳ τῆς ἀνάγκης. Βραχμᾶνες δὲ οἶνον οὐκ ἐπιζητοῦμεν· [οὐκ αὐθαίρετον κτώμεθα μανίαν·] ὕδωρ ὅσον θέλομεν ἔχομεν ἐκ θείας προνοίας, καὶ τούτου ἡδόμεθα (72), καὶ δι' αὐτοῦ σωφρονοῦντες θεραπεύομεν τὴν κατὰ φύσιν δίψαν· οὐ κτώμεθα μανίαν (73)· μᾶλλον γὰρ ἐλώμεθα θάνατον ἢ κατακυριευθῆναι μέθῃ (74)· θηρὶ παραδοθῆναι πολλῷ μᾶλλον ἐστὶ βέλτιον ἢ δόξης θεοῦ ἀπορριφῆναι (75) διὰ πολυποσίαν. Ὁ γὰρ μεθύων ζώων ἀλόγων ἐστὶ χείρων (76) τεθνηκὼς τῇ φρονήσει· τὸν νοῦν γὰρ (77) ἀπολέσας τοῦ θεοῦ ἠλλοτριώθη. Τί δὲ οἱ ἐν ὑμῖν ἔνδοξοι τῷ πλούτῳ; Ἀπατῶνται (78) ψεύδη ἐνορῶντες, καὶ τὰ ἐνταῦθα μόνα ἔχειν προσδοκῶντες ἀλλήλους ἀδικοῦσι· τοὺς δ' ἀσθενεστέρους καὶ φονεύοντες (79) ἀποστεροῦσι καὶ ἃ κέκτηνται ὀλίγα· τὸ δὲ πέρας τούτων ἀναμένει θάνατος. Τί δὲ εἴπωμεν περὶ Ἐπικουρείων, ἀνδρῶν μυροβρόχων καὶ μαλακῇ ἐσθῆτι γυναικιζομένων (80), ἁβρῶς περιπατούντων καὶ βεβιασμένων ἀρωμάτων χυμοῖς τὸν ἀέρα μιαινόντων; Τί δὲ δεῖ καὶ λέγειν περὶ Στοϊκῶν λογίων φιλοσόφων (81) τῶν φιλαργυρησάντων; Τί δὲ πάλιν ἐροῦμεν περὶ τῶν Πλατωνικῶν (82) φιλοσόφων; Πάντες οὗτοι θαυμάσιοι καὶ μεγάλοι παρ' ὑμῖν, ἀλλ' οὐ παρὰ Βραχμᾶσιν. Ἀκούομεν δὲ καὶ καινὴν ἀνθρώπων φύσιν ἐξευρεθῆναι παρ' ὑμῖν, ὅτι ἐκτέμνετε τοὺς ἄρρενας, θήλειας αὐτοὺς βιαζόμενοι ποιῆσαι· καὶ γίνεται ὁ παρ' ὑμῖν ἄνθρωπος γεννηθεὶς οὔτε σπείρων ὡς ἀνὴρ οὔτε τίκτων ὡς γυνή, ζῶν δὲ μόνον εἰς ἰδίαν ὕβριν. Τίς οὖν ὑμᾶς οὐκ ἂν ἐλεήσῃ, βλέπων ἐν ὑμῖν τοῦτον τὸν ἀφανισμόν; Οἰκτείραντες δὲ ὑμᾶς ἡμεῖς ὠφελοῦμεν οὐδὲν τοῦ μὴ συντρέχειν τὴν γνώμην ὑμῶν τῇ προθέσει τῶν Βραχμάνων. Ἡμεῖς τοίνυν μισοῦμεν ὑπερηφανίαν, καὶ φιλοῦμεν πᾶσαν ἀνθρωπίνην φύσιν, προκαθήμενοι τῆς ἀληθείας διδάσκαλοι καὶ ἐνδεικνται ὁδοῦ δικαιοσύνης τοῖς εὐεργετεῖσθαι βουλομένοις ἐν τῷ βίῳ τούτῳ, ὡς ἐν μεγίστῳ οἴκῳ, γυμνοὶ (83) τῇ ψυχῇ πρὸς πάντας διαζῶντες, ὥσπερ καὶ τῷ σώματι, τουτέστιν ὁλοκλήρῳ τῇ ψυχῇ πρὸς πάντα ἄνθρωπον πλουτοῦμεν. Ἀκούομεν δὲ ὅτι ἡ Μακεδονία βιάζεται τὰ πάντα, πρότερον αὐτὴ βιασθεῖσα· τῆς γὰρ τρεπομένης τύχης (84) εἰσὶ πάντες δοῦλοι. Ἀλλὰ τού-

αἰσχύνομαι τοῦ λέγειν. ‖ 53. τὸ σῶμα A. ‖ 54. ἐστερημένοι A L. ‖ 55. τί τοῖς.. οὐ χαρίζεσθε C. ‖ 56. καὶ διὰ τὰ συμβεβηκότα ὑμῖν πάθη C. ‖ 57. τὸ σῶμα A. ‖ 58. τετριμμένον L C. ‖ 59. ἐξ οἴνου add. C. ‖ 60. ἀποτοι C. ‖ 61. τὸ ὕδωρ ὀλίγον C; ὀλίγον om. A L. ‖ 62. καὶ τούτου οἰδούμεθα, δι' αὐτοῦ σ. A; *qua maxime delectamur* in latin.; καὶ τοῦτο δι' αὐτῶν σωφρ. L; προνοίας καὶ δι' αὐτοῦ σωφρ. C. ‖ 63. οὐ κτ. μανίαν om. L. ‖ 64. ἢ μέθην A. ‖ 65. ἀποστερηθῆναι C. ‖ 66. sic A; aliud subest latinis; utrumque miscere videntur L C, qui : ὁ γὰρ μεθύων ζῶν χείρων ἐστὶν ἀλόγου κτλ. ‖ 67. γὰρ om. L; τὸν νοῦν παρορῶν καὶ ἀπ. A. ‖ 68. ἀπάτην L A; mox ὁρῶντες C; ἀφορῶντες A. ‖ 69. φονευθέντας A; dein καὶ ὅλα κ., omisso ὀλίγα. ‖ 70. γυναικῶν L C. ‖ 71. περὶ τὸν λόγον φιλοσοφούντων A. ‖ 72. τῶν Περιπατητικῶν L; τῶν λοιπῶν C. ‖ 73. γυμνῇ L; γυμνὴν

vero vinum quidem omnino non quærimus, aquam autem habemus, quam solam volumus, et qua maxime delectamur, et sapienter curamus sitim. Non furere et insanire properamus, magisque nobis mortem quam ebrietatem precamur, per quam necesse est homines totis et corporibus et sensibus interire. Ebrius enim videtur quidem vivere, sed quantum ad sapientiam pertinet, mortuus judicatur : perdidit enim sublimem ipsam quam homini dedit deus mentem. Ecquid ii qui se magnos et gloriosos putant, quam falsa spe et vanis decipiuntur illecebris, qui alternis se invicem manibus lædunt, spoliant, jugulant, cum tandem et ipsi mortem, quæ necessario eis debetur, expectent? Quid denique de illis viris, quasi de magnis quibusdam et aliorum provisoribus loquor, qui more turpium feminarum variis pigmentorum odoribus [oleo] membra perfusi foris prodire consueverunt, acris ipsius puritatem dissolutione propria polluentes? Quid de Stoicis philosophis vestris loquar, qui cum omnes auri amore teneantur, vobis tamen admiratione vel laude digni videntur? Audimus etiam quod a masculis vestris partem quandam corporis amputatis, in muliebremque sexum illos convertere gestiatis : et quod sit apud vos talis homo, qui neque generare ut vir, neque parere possit ut mulier, et qui in suam tantum vivat injuriam. Quis talem humani generis prævaricationem et tam miserabilem casum etiam cogitando non doleat? Quorum nos miseratione ducti vobis prodesse quantum possumus affectamus, quia et superbiam execramur et universam humani generis naturam diligimus ac fovemus et quasi in alto magnificæ cujusdam domus sedentes loco, nudi tam mente quam corpore, quoscumque sectatores novimus veritatis, edocemus. Et hoc est in quo cæteris hominibus ditiores nos esse putamus. Macedonia vim omnibus facit, quam tamen prius ab aliis ipsa sustinuit. Omnes autem ad deteriora conversi, turpes famuli judicantur. Sed horum omnium malorum quæ nominamus, Brachmani videntur expertes. A nullo enim debellari atque expugnari queunt, quia nullius rei desideria

των πάντων ἄπειροί εἰσι Βραχμᾶνες, ἐπ' οὐδενὸς δυνάμενοί ποτε πολεμηθῆναι· οὐδενὸς γὰρ τῶν ἐν ὑμῖν ἡμεῖς ἐπιθυμοῦμεν. Σὺ δὲ εἰ βούλει (75), βασιλεῦ Ἀλέξανδρε, τὰ ἡμέτερα φρονεῖν, παραγενόμενος εἰς Ἰνδοὺς τοὺς Βραχμᾶνας ἰδών, ἐπ' ἐρημίαις οἴκησον γυμνός· ἄλλως γὰρ οὐ δεχόμεθά σε ἡμεῖς (76), ἐὰν μὴ πρῶτον πάσας τὰς ἀρχὰς ἀπορρίψῃς ἀπὸ σεαυτοῦ, ἐφ' αἷς νῦν γέγηθας καὶ μέγα φρονεῖς. Ἄψονται δέ σου τότε προνοίας λόγοι, οὕσπερ πρότερον εἰρήκειν σοι, καὶ ἀγαπήσεις ἐκ καρδίας (77) σου πάντα, ὅσα τότε ἐπῄνεσας θαυμάσας. Κἂν ἐμοὶ πεισθῇς καὶ ποιήσῃς ταῦτα, οὐδεὶς ὅλως οὐκέτι πολεμήσει σε· οὐδ' ἀφελέσθαι σου τίς τι δυνήσηται λοιπὸν ὧν οὐ κέκτησαι. Ἐὰν γὰρ ἐμοὶ πεισθῇς κατὰ κράτος καὶ ἀσφαλῶς, οὐδεὶς οὐδὲν τοῦ ὑμετέρου βίου εὑρήσει παρά σοι· ὕλαι γάρ σε θρέψουσι λοιπόν, τῆς προνοίας σοι πάντα χορηγούσης, ὥσπερ καὶ ἡμῖν, καὶ ἐν πᾶσι πλουτήσεις μιμησάμενος Βραχμᾶνας ἀκριβῶς. Καὶ ἐμοὶ τοῦτο καταγραφήσεται εἰς αἰώνιον χαρὰν (78) ἡ σὴ ὠφέλεια· τοῦτο γὰρ καὶ παρ' ἐμοῦ ᾔτησας ἐξ ἀρχῆς. Οὐ φθονοῦμεν (79) οὖν ἡμεῖς οὐδένα τῶν βουλομένων ἀληθῶς εὐσεβεῖν εἰς τὸν θεὸν καὶ βίον ἡμέτερον ἐθέλοντα ζηλοῦν, οἰκτείροντες πᾶσαν ἀνθρώπων φύσιν τῶν θνητῶν (80).

[ΚΕΦ. ΙΖ.]

Ἐπιστολὴ Ἀλεξάνδρου Ἀριστοτέλει (1).

Βασιλεὺς Ἀλέξανδρος Ἀριστοτέλει χαίρειν. Τὸ συμβεβηκός ἡμῖν παράδοξον ἐπὶ τῆς Ἰνδικῆς χώρας ἀναγκαῖον ἐξειπεῖν. Παραγενομένων γὰρ ἡμῶν εἰς τὴν Πρασιακὴν πόλιν, ἥτις ἐδόκει μητρόπολις εἶναι τῆς Ἰνδικῆς χώρας, κατελάβομεν* γὰρ τὴν * ἐνεργὲς ἀκρωτήριον τῆς θαλάσσης. Καὶ ὁρμήσαντός μου σὺν ὀλίγοις ἐπὶ τὸ προειρημένον, [καὶ] καταμαθόντες εὕρομεν νεμομένους ἐκεῖ θηλυμόρφους ἰχθυοφάγους ἀνθρώπους. Ἐμοῦ δὲ προσκαλεσαμένου τινάς, εὗρον βαρβάρους τῇ διαλέκτῳ, καὶ πυνθανομένου μου περὶ τὸν τόπον, ἐσήμαναν ἡμῖν νῆσον, ἣν πάντες ἑωρῶμεν ἐν μέσῳ πελάγει, ἣν ἔφασαν πάνυ ἀρχαίου βασιλέως εἶναι τάφον, ἐν ᾧ χρυσὸν πολὺ ἱερῶσθαι (2). Οἱ βάρβαροι ἀφανεῖς ἦσαν τὰ ἴδια πλοιαρίδια καταλιπόντες, ἅπερ ἦν ιϐ'. Καὶ δὴ Φίλωνος (3) τοῦ γνησιωτάτου μου φίλου καὶ Ἡφαιστίωνος καὶ Κρατέρου καὶ τῶν λοιπῶν φίλων μὴ ἐα-

τὴν ψ. π. π. διασώζοντες A. ‖ 74. sic correx. Bissæus; τερπομένης ψυχῆς A; τρεπομένης ψυχῆς L; om. hæc C. ‖ 75. εἰ, βασ. Ἀλ., τ. ἡ. φρονεῖς L; σὺ δὲ, βασ. Ἀ., τ. ἡ. φρονεῖν θέλε C. ‖ 76. οὐ δυνάμεθα ἡμεῖς ὠφελῆσαί σε C. ‖ 77. ἀγαπήσει ἡ καρδία A. ‖ 78. χάριν A; ἡ ὠφ. ἡ σή L C. ‖ 79. ἀποστρεφόμεθα C. ‖ 80. τῶν θν. om. A; πᾶσ. φύσιν τῶν θν. ἀνθρώπων C.

Cap. XVII. Epistolam unus servavit A; in codd. B et C dissoluta est in narrationem historicam, ita tamen ut prior ejus pars de bestiis Indiæ aliisque nonnullis miraculis plane omissa sit. Nam cod. B postquam de Pori obitu et Bragmanibus exposuerat (v. cap. 6 extr.), pergit ita: Καὶ τούτου γενομένου ὑπεχώρησεν ἀπ' αὐτῶν Ἀλέξανδρος καὶ ὑποστρέψας εἰς τὴν κατὰ φύσιν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Πρασιακὴν πολιν, ἥτις δοκεῖ μητρόπολις εἶναι τῆς Ἰνδικῆς χώρας, ἔνθα Πῶρος ἦν βασιλεύς, πάντες οἱ τοῦ Πώρου προσεδέξαντο τὸν Ἀλέξανδρον, καὶ πάντα κατὰ φύσιν διοικονομήσαντος καὶ τῶν Ἰνδῶν προθύμως συνεβόντων, ἔλεγόν τινες ἐξ αὐτῶν τῷ Ἀλεξάνδρῳ· Μέγιστε Βασιλεῦ, λήψῃ πόλεις etc. quæ infra legemus ex cod. A, ex cujus narratione etiam verba modo adscripta collecta esse patet. Codex C incipit verbis: Μετὰ δὲ ταῦτα ἔδοξεν αὐτῷ τὸ κατὰ βορρᾶν μέρος ὑπεξελθεῖν καὶ τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Πρασιακὴν πόλιν et reliqua ut in cod. B. Ceterum cod. C nonnulla eorum quæ in prima hujus epistolæ parte leguntur, in antecedentem narrationem transposita narravit. Ipse noster cod. A pro more suo narrationem plurimis locis contraxit maleque truncavit, uti intelligere est ex Valerio; quamquam ne hic quidem in singulis quibusque auctorem suum reddidisse videtur, quum plura exstent in cod. A, quorum apud Valerium mentio desideratur. ‖ 1. Sic codex sine ullo transitu. Vide Valerium, quem cum oculis lectorum subjiciendum curaverimus, in annotatione suis locis citare supersedemus. ‖ 2. προϊρῶσθαι cod. Deinde ad nexum sententiarum supplere licet: καὶ ταῦτα σημήναντες. ‖ 3. Φειδώνος cod. et h. l. et mox iterum. Ceterum ista Philonis verba cod. C transposuit in eum

---

vel amore tenentur. Tu vero, si vera vis sapere, ad Indiam veni, habita in solitudinibus nudus, omnes quas diligis et quibus ornari videris, projiciens dignitates: nam aliter non suscipieris a nobis. Et tunc amabis ea quæcumque paulo ante vidisti, quæque miratus es; neque ullus contra te ulterius dimicabit, aut quidquam tuorum tibi auferre quis poterit; neque aliena collatione, neque aliorum sudore pasceris: eris enim in omnibus dives. Et quoniam desiderare te scribis, ut in aliquo tibi prosim: non invidemus illis qui vere pium imitantur deum. Universam humanam ubique naturam volumus, quantum per nos fieri potest, meliorem evadere.

XVII. His talibus cum sese tunc Alexander oblectavisset, exim iter prorsus exsequitur arduum quidem illud et laboriosissimum inviis locis asperitate naturæ et colentium vastitate. (*) Deque labore hoc Aristoteli scribens magistro, ut vel maximum sibi testimonium dicit: ejusque litteræ sententia talis fuit.

« Operæ pretium est, mi magister, eorum omnium quæ sint in nostris laboribus maxima, eorumque qui mecum una toleraverint opinatissima, te participare per litteras. Igitur Indicas regiones incessimus. Nam cetera tibi ad Brachmanas usque præmiseram. His denique penetratis, Prasiacæ supervenimus, quæ civitas regia quædam Indiæ cluit. Situs vero ejus loci arduus et ad promontorii faciem longe porrectior; nam et mari imminet subjacenti. Enimvero quod istum colunt hominum nescias invisitatius an inauditius genus: hique sunt promisce mares atque aliud

(*) Interponit cod. Reg. 4880 ea, quæ græce jam legimus cap. 4, not. 12 (e cod. A): « Interim cum unam civitatem Indiæ obsideret, scalas muro percelsas admoveri jubet. Quibus admotis, cum prægrandibus saxis de saxis (l. *dejectis*) frangerent oppugnantes, sola qua rex pugnabat, duravit. Et cum nullo auxilio idoneo socios subvenire posse videret, irruit solus omnia hostium tela, multitudinemque urbis in se convertit; jamque urgente hoste a latere summo vulneratur, et recepto altius ferro defici viribus occepit. Id Macedones conjectati vi claustra effrangunt, regemque suum diffidentem (*deficientem?*) recipiunt. »

σάντων με διαβῆναι, Φίλων (4) ἔλεγεν· « Ἐπίτρεψόν μοι πρὸ σοῦ καταπλεῦσαι· ἵνα, εἰ κακόν τί ἐστι, πρό σου ἐγὼ κινδυνεύσω· εἰ δὲ μή, ἐγὼ ὕστερον [σοι] ἐπιπίμψω τὸ σκάφος· εἰ γὰρ δὴ Φίλων (5) ἐγὼ ἀπόλλυμαι, ἕτεροί σοι φίλοι εὑρεθήσονται· ἐὰν δέ σοι, Ἀλέξανδρε (6), [συμβῇ τι], ὅλη ἡ οἰκουμένη ἐδυστύχησεν. » Πεισθεὶς δὲ αὐτὸς συνεχώρησα διαβαίνειν. Καὶ ἐκβάντος αὐτοῦ ἐπὶ τὴν νομιζομένην νῆσον, ὥρας διελθούσης, ἄφνω ἔδυνε θηρίον (7) εἰς τὸν βυθόν. Ἡμῶν δὲ ὀραξάντων καὶ ἀφανοῦς γενομένου τοῦ θηρίου, οἱ μὲν κακῶς ἀπώλοντο σὺν τῷ γνησιοτάτῳ φίλῳ· καὶ λίαν ἤχθομεν. Τοὺς δὲ βαρβάρους ζητήσας οὐχ εὗρον. Ἐμείναμεν δὲ ἡμέρας ἡ' ἐπὶ τῷ ἀκροτηρίῳ, καὶ εἴδομεν (8) ἑβδομαδάριον τὸ θηρίον ἐλέφαντας ἐπ' αὐτῷ ἔχον. Ὁδοποιήσαντες δὲ ἡμεῖς (9) ἱκανὰς ἡμέρας ἀνεχωρήσαμεν εἰς τὴν Πρασιακὴν πόλιν. Τὰ δὲ πλεῖστα καὶ παράδοξα θεωρήσας, ἅπερ ἦν ἀναγκαῖα δηλώσω σοι. Εἶδον γὰρ θῆρας ποικίλους καὶ τόπους φυσικῆς θεωρίας ἑρπετῶν τε γένη. Τὸ δὲ πάντων θαυμασιώτατον, ἡλίου καὶ σελήνης λείψις χειμών τε πικρός. Νικήσαντες γὰρ Δαρεῖον τὸν τῶν Περσῶν βασιλέα καὶ τοὺς αὐτοῦ, καὶ ὑποτάξαντες τὴν χώραν ὅλην ἐπορευόμεθα ὁρῶντες τὰ ἀγαθά. Ἦν γὰρ χρυσὸς καὶ κρατῆρες [λίθοις] κεκοσμημένοι, ὡς χωρεῖν ἕκαστον κρατῆρα ἕνα ἥμυσι, ἄλλον ὀκτὼ *· καὶ ἕτερα πλεῖστα θεάματα. Ἀρχὴν δὲ ποιησάμενοι τῆς πορείας ἀπὸ [πυλῶν] Κασπιακῶν ὡδεύσαμεν· ἅμα δὲ γενέσθαι ὥραν ι' ἐσάλπιζον ἐπὶ τὸ δεῖπνον καὶ κοιμᾶσθαι ἐπὶ κοῖτος· ἅμα δὲ τοῦ ἡλίου ἀνατέλλοντος, ἡ σάλπιγξ ἐσήμηνε ἕως ὥρας δ'· ὑπουργία (10) δὲ τοσαύτη ἦν περὶ τοὺς στρατιώτας, ὥστε τὸν ἕνα ἕκαστον κεκοσμῆσθαι ὑποδήμασι (11) καὶ κνημῖσι καὶ περιμήροις δερματίνοις καὶ θώραξι τὰ σώματα αὐτῶν· προειρήκασι γὰρ οἱ ἐντόπιοι τὴν τῶν ἑρπετῶν ἐν τοῖς ἰδίοις [τόποις] διαφοράν, καὶ κατεκήρυξαν μηδένα ἄνευ ταύτης τῆς διασκευῆς εἶναι. Ὁδεύσαντες δὲ ἡμεῖς ἄλλων (12) ἡμερῶν ιϐ' ἤλθομεν εἴς τινα πόλιν, ἥτις ἦν μέση τοῦ ποταμοῦ· ὑπῆρχον δὲ ἐν τῇ πόλει κάλαμοι πηχῶν (13) δ' περίμετρον ἔχοντες, ἀφ' ὧν καὶ ἡ πόλις ἐστεγασμένη ἦν. Οὐκ ἔκειτο δὲ εἰς τὸ ἔδαφος, ἀλλ' ἐπάνω τῶν προειρημένων καλάμων. Ἐκεῖ οὖν τὴν παρεμβολὴν ἐκέλευσα πηγῆναι. Παραγενόμενοι δὲ ἐν ἐκείνῳ τῷ τόπῳ ὥρᾳ τρίτῃ τῆς ἡμέρας καὶ προελθόντες τῷ ποταμῷ

locum, ubi de Alexandro Brachmanum insulam adituro sermo est. V. II, 35. ‖ 4. Φείδων γὰρ cod. ‖ 5. φείδω cod. ‖ 6. Ἀλέξανδρος, ὅλη cod. Cf. lib. II. c. 35. ‖ 7. sc. insula, quæ quasi ingens bellua marina erat. ‖ 8. καὶ ἴδαμεν εὐδόμενον τὸ θηρίον cod.; mutavi ex Valerio. ‖ 9. ποιησάντων δὲ ἡμῶν cod. ‖ 10. ὑπουργίας δ. τοσαύτης οὔσης cod. ‖ 11. ὑποδέσι... καὶ δερμ.. περιηρήκασι cod. ‖ 12. ἀλόγων cod. ‖ 13. καλαμοίχων cod. ceterum aliter Valerius, unde conjicias fuisse: καλαμοι τὸ ὕψος πηχῶν λ', ὧν τὸ περίμετρον οὐκ ἂν ῥᾳδίως ἄνθρωπος περιλάβοι, uti Ctesias dicit p. 30 *b*. cf. p. 90 *b*. edit. Didot.

---

secus: omnes tamen ad nostratia corpora, quibus sunt femine molliores. Nam et vetus sermo eos molles Sabæos appellat. Sed nihil aliud fere ad cibum norunt, præter piscium genera, quorum illis multa et facilis abundantia est. Fuit igitur mihi ad eorum fabulas diligentia, et interpres inventus est, qui nobis daret cum hisce barbaris fabulari. Cumque multus et varius sermo procederet, locum interea quendam insulæ monstravere (nam is etiam eminus visebatur), quod esse dicebant veteris cujusdam regis indidem monumentum: id auro esse et pretiis refertissimum conditis. Cum hoc naturalem hominum vel diligentiam in nostris vel appetentiam promovisset certatimque festinaremus, pars visendæ ejusce insulæ vel sepulchri, pars vero vel plurimi auri etiam aviditate, et spe potiundi jam animis gestientibus: repente barbari qui loci ejus indices fuerant dilabuntur, eque conspectu nostro incertum quanam majestate evanescunt, relictis sane naviculis admodum parvis duabus ac decem quibus vectari solliti intelligebantur. Igitur una mecum cum amici ad spectaculum properarent, Philon scilicet et Hephæstion, Craterus quoque multique alii, obstitit [*Philon*] ac periculum illud visendæ novitatis non primum a rege faciendum, verum a se modo suisque similibus, suadere persistit. Quippe amplius aliquid in hisce regionibus formidandum, in quibus viderimus hominum formas de conspectu nostro facile evanuisse. Neu si quid secus atque ut speraverant incommodaret, ejus periculi fieret de rege principium. Sese igitur iturum esse confirmat, ac si exploratio secundasset, tunc demum nos tuto posse transmittere. Sedet sententia persuadentis, atque ita jussimus fieri. Conscensis ergo navibus, protinus ire ad insulam tendunt: quæ quamvis propter obviare oculis videretur, ad integræ horæ tamen spatium consumpserant navigando. Tandem sunt visi insulæ institisse. Sed ubi gestum est, omne id solum repente una cum viris et sepulchro quod visebatur summersari mari et in profundo labi conspicamur. Neque enim vana formido ludebat oculos intremiscentium: enimvero illud Philonis mors et exitium eorum qui una Philonem comitati sunt, fuerat. Territi igitur detestabili morte sociorum indigenas barbaros rimabamur, si quid nobis de itinere consultarent. At vero nullus uspiam visitur, locisque desertis et inhospitalibus per octo posthinc immorati dies egimus consilio confirmando. Tum in illo promontorio, cujus supra facta est mentio, bestiam quoque vidimus prægrandi admodum et inopinabili magnitudine, quam Hebdomadarion vocant, adeo immensæ potentiæ, ut illi perfacile insistentes etiam super dorsum elephantos cerneremus. Hac igitur spectaculi fœditate moti iter ad Prasiacam repedamus, per quas ubique vastitates multa ferarum nomina multasque ejusmodi sævitudinis facies erat videre: serpentium quoque genera permiranda. Illic et solis lunæque defectus comminus etiam speculati sumus, et causas hiemis et temporum differentias arbitrati. Quo primum reversi, ut inspecta sunt, vos quoque participare curavimus. Nunc nobis iter per regna Darii Persasque nostros agitatur: quam cum omnem peragrare regionem cordi habeamus, multo

εὕρομεν τὸ ὕδωρ πικρότερον ἑλεβόρου. Θέλοντες οὖν διακολυμβῆσαι εἰς τὴν πόλιν, ἀνῆλθον ἱπποπόταμοι καὶ ἥρπασαν τοὺς ἄνδρας. Ἀπελείπετο οὖν ἡμᾶς ἐκ παντὸς τρόπου ἀναχωρεῖν ἐκ τοῦ τόπου. Καὶ σαλπίσαντες ἀπὸ ὥρας ς΄ ἕως ὥρας ια΄, τῷ ὕδατι ἤμεν ἐμπεποδισμένοι ἐπὶ τοσοῦτον ὥστε βλέπειν με (15) στρατιώτας τοῖς ἰδίοις οὔροις προσχρωμένους. Ἤλθομεν δὲ κατὰ τύχην εἴς τινα τόπον, οὗ ἦν λίμνη πάμφορον ὕλην ἔχουσα· ἐφ' ἣν συνελθόντες ἐτύχομεν γλυκέος ὕδατος, ὥστε δοκεῖν μέλιτος διαφέρειν. Λίαν οὖν περιχαρεῖς γενόμενοι εἴδομεν (16) ἐπὶ τοῦ ἀκρωτηρίου στήλην ψηφίνην. Ἦν δὲ ἐγγεγραμμένα ταῦτα· « Σεσόγχοσις κοσμοκράτωρ ὕδρευμα (17) ἐποίησα τοῖς τὴν ἐρυθρὰν θάλασσαν πλοϊζομένοις. » Ἐπέταξα οὖν παρεμβολὴν γενέσθαι καὶ τὰ πρὸς τὴν κοίτην ἀρτίζεσθαι καὶ πῦρ ἀνάπτεσθαι. Ἅμα δὲ τὴν σελήνην λαμπρὰν καὶ μετέωρον γενέσθαι περὶ ὥραν τρίτην τῆς νυκτὸς, συνῆλθον (18) τὰ θηρία ὅλης τῆς ὕλης ἐπὶ τὴν προκειμένην λίμνην πρὸς τὸν πότον (19). Ἦσαν δὲ σκορπίοι πηχυαῖοι ἀμμοβύται, οἱ μὲν λευκοὶ, οἱ δὲ πυρροί. Ἀγῶνος δὲ ἦμεν οὐ τοῦ τυχόντος. Καὶ ἤδη τινῶν ἀπολωλότων καὶ πάντη (20) προχείρως κλαυθμῶν καὶ ὀλολυγμῶν γενομένων οὐ τῶν τυχόντων, ἄρχεται θηρία τετράποδα (21) παραγενέσθαι ἐπὶ τὸν τόπον· ἐν οἷς ἦσαν λέοντες μείζονες τῶν παρ' ἡμῖν ταύρων, καὶ ῥινοκέρωτες· καὶ πάντα ἐκ τῆς ὕλης τῶν καλάμων ἐξήρχοντο, σύαγροι δὲ μείζονες τῶν λεόντων (οἱ ὧν ὀδόντες αὐτῶν ἦσαν πηχυαῖοι), λύγγες (22) καὶ πάρδαλεις καὶ τίγρεις καὶ σκορπίουροι καὶ ἐλέφαντες καὶ βούκριοι καὶ ταυρελέφαντες, ἄνδρες δὲ ἐξάχειρες καὶ ἱμαντόποδες (23) καὶ κυνοπέρδικες, (24) ἄλλα τε ζῷα θηριόμορφα. Ὁ δὲ ἀγὼν ἀναβολὴν οὐκ ἔσχεν· ὡς δὲ ἥρωες (25) ἡμυνάμεθα τὰ τοιαῦτα. Νυκταλώπηκες (26) δὲ ἐκ τῆς ἄμμου ἀνεπήδων πηχῶν ι΄, ἄλλοι δὲ πηχῶν η΄, κροκόδειλοι δὲ ἐκ τῆς ὕλης, οἵτινες τὰ σκευηφόρα ἀπώλλυσαν· νυκτερίδες δὲ ἦσαν περιστερῶν μείζονες, ὀδόντας ἔχουσαι· νυκτικόρακες δὲ περὶ τὴν λίμνην ἐκάθηντο, οὓς ἐθηρεύσαμεν ἡμεῖς, καὶ μέγαν ὄψον εἴχομεν. Ταῦτα δὲ πάντα κατοικονομήσαντες ἤλθομεν εἰς τὴν κατὰ φύσιν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Ἡρασιακὴν γῆν. Καὶ ἑτοίμως μου ἔχοντος ἀναζεῦξαι περὶ ἕκτην ὥραν γίνεται περὶ τὸν ἀέρα τοιαύτη θεωρία μηνιαία τρίτη· πρῶτον μὲν ἐξαιφνὴς πνοὴ, ὥστε τὰ σκηνώματα καταρριφῆναι καὶ ἡμᾶς ἑστῶτας εἰς τὸ ἔδαφος καταπεσεῖν· μετὰ δὲ ἡμέρας δ΄, τῆς ὁδοῦ δυσεκβάτου γενομένης, ἐξεύρομεν * * (27), καὶ μεθ' ἡμέρας ε΄ ἐκυριεύσαμεν τῆς Ἡρασιακῆς πόλεως *

nihil de his Valerius, etsi in ceteris multo uberior. ‖ 15. τοσοῦτον δὲ ἔβλεπον στρατ. cod. ‖ 16. οἴδαμεν cod. ‖ 17. ἥρωισμα cod. ‖ 18. συν. οὖν cod. ‖ 19. ποταμὸν cod. ‖ 20. παίδων cod. ‖ 21. θηρίον τετράποδον cod. ‖ 22. γλίγγαις cod. ‖ 23. *immo antipodes* Valerius Maii, hinc corrig. ‖ 24. κυλιοπέρδικες cod., *cynopendices* Valer. Iidem *cynopennæ* et *cynopænæ* dicuntur in codd. Tertullian. Apolog c. 8. ‖ 25. οἱ δὲ ἥρως cod. Desideratur deinde caput de odontotyranno, quod sequitur ap. Valerium. ‖ 26. νυκτάλωπες cod. *nitalopices* Valer. cod. Reg. ‖ 27. Uberioris narrationis centones. V. Valerium. In

---

ubique auro multisque crateribus abundamus, non his ex auri modo materia pretiosis, verum longe lapidum luce majoribus. Neque tamen nobis alia quoque ab hoc genere divitiarum instrumenta sunt minora. Sed hic circuitus de quo dicimus a portis Caspiis fieri cœptus laboris ac vitæ ejuscemodi. Ubi cœnatum exercitui foret, statim signum dari classico et ad vesperam iniri iter oportebat, idque horis ferme nocturnis tribus agitari convenerat : sex vero insequentibus horis somno indulgere : rursusque exim ad horam diei quartam reliquum spatii transmittebamus. Sed enim viantibus non simplex habitus, neque incuriosa munitio fuerat necessaria. Peronibus quippe crura omnia pedesque muniri, et femoralibus uti pellinis oportebat, reliquumque corpus ambire loricis, quod illæ omnes Persicæ regiones multis admodum et vehementibus infestari serpentibus dicerentur. Idque iter continuatis diebus ferme duodecim exanclavimus, atque ita demum ad oppidum adventamus situm in insula circumflui fluminis; ibique visitur castrum consitum undique arundinibus, quæ ad triginta cubitorum spatia supercrescerent. Crassitudo vero earum supra eam quanta est hominis crassitudo. Navigia quoque plurima amni inerant, quæ mox curiosius intuentibus partes quædam fissarum arundinum noscebantur. Enim hujus fluminis liquor ad potum hominis adversus amaritudine nimia est cum salsitate. Quærentibus igitur quam poteramus ex accolis usum elementi memorati, aliud castrum eminus demonstratur ab stadiis ferme quatuor indidem situm : ad quod cum audacius quidam exploraturi properassent, flumen quidem affluum vident; sed emersi indidem hippopotami, magnitudine nescias an sævitia immaniores, nostros qui exploratum abierant, incursavere. Ac rursus ad aliam partem eadem nobis curiositate rimantibus, agmen earundem bestiarum longe numerosius occursabat. Quare omni genere fugienda loca evitandumque periculum videns, classico signum abitioni præcipio : quamvis tanta vis sitis ejusque desiderii homines incessisset, ut plerique etiam a potu urinæ ob necessitatis vehementiam non temperarent. Igitur forte fortuna cum exim stagnum quoddam dapsile repperissemus, potitique desiderato ac persuavi potu [per] prata virentia sterneremur, eminus video in quadam adjacenti eminentia titulo gemmeo superscriptam hanc sententiam : « *Aquationem hanc rex Seconchosis orbis universi præstili cunctis Rubrum navigantibus mare.* » Igitur jussi propter hoc stagnum castra constitui, ignesque quam creberrimos fieri. Et jam noctis ferme hora tertia numerabatur, illustrisque admodum luna nihil diurni luminis demutarat, cum subito conspicamur undique ex omni silva quæ circumsteterat bestias quasdam ad ripam stagni potus gratia contendentes. Erant eæ bestiæ scorpii quidam non minus proceritate cubitali, ammodytæ etiam albi colore vel rufi : nec non cerastæ coloribus ut supra diversis. Quare vehementi sollicitudine incitati, conspicantesque jam nostrorum aliquos interemptos, fletibus undique consonantibus, periculum opperiebamur. Insequebantur

συμπόρῳ (28) καὶ τοὺς σὺν αὐτῷ καὶ τοὺς ἐκείνῳ πᾶσιν * Παμπληθὴς δὲ ἦν ἀγαθοῖς, περὶ ὧν ἡμῖν γέγραπται· γενομένου δὲ μου * καὶ [πάντα] τὰ πέριξ κατὰ φύσιν οἰκονομήσαντος καὶ τῶν Ἰνδῶν προθύμως συνελθόντων (29), ἔλεγόν μοι· · « Βασιλεῦ Ἀλέξανδρε, λήψῃ πόλεις (30) καὶ βασιλείας καὶ ὄρη καὶ ἔθνη, εἰς ἃ οὐδεὶς τῶν ζώντων ἐπέβη ποτὲ βασιλεύς (31). » Τινὲς δὲ ἐκ τῶν πολυανδρίων (32) ἐλθόντες ἔλεγον· « Βασιλεῦ, ἔχομέν σοι δεῖξαί τι παράδοξον ἄξιόν σου· δείξομεν γάρ σοι φυτὰ ἀνθρωπιστὶ λαλοῦντα. (33) » Καὶ εἰσήνεγκαν ἡμᾶς εἴς τινα παράδεισον, ἔνθα (34) ἥλιος καὶ σελήνη ἐν μέσῳ τοῦ παραδείσου· κατὰ δὲ αὐτοὺς φρουρὰ ἱερῶν ἡλίου καὶ σελήνης. Δύο δὲ ἦν δένδρα τὰ προειρημένα, ἃ ἦν παραπλήσια κυπαρίσσοις. Κύκλῳ δὲ ἦν δένδρα (35) παρόμοια τῇ ἐν Αἰγύπτῳ μυροβαλάνῳ, καὶ ὁ καρπὸς ὁμοίως. Προσηγόρευον δὲ τὰ δύο δένδρα τὰ ἐν μέσῳ τοῦ παραδείσου (35 *) τὸ μὲν ἀρρενικὸν ἀρρένων λογισμῷ, τὸ δὲ θηλυκὸν θηλυκῷ λογισμῷ (36). Ὄνομα δὲ τοῦ ἀρρενικοῦ (37) ἦν ἥλιος, τῆς δὲ θηλείας σελήνη, ἃ ἔλεγον τῇ ἰδίᾳ φωνῇ μουθοῦ ἐμαοῦσαι (38). Τούτοις δὲ περιβέβλητο δοραὶ παντοίων θηρίων, τῷ (39) μὲν ἄρρενι ἀρρένων, τῷ δὲ θήλει θηλείων. Παρ' αὐτοῖς δὲ σίδηρος οὐχ ὑπῆρχεν οὔτε χαλκὸς οὔτε κασσίτερος, ἀλλ' οὐδὲ πηλὸς εἰς πλάσιν (40). Ἐμοῦ δὲ ἐρωτῶντος τίνες αἱ δοραὶ δοκοῦσιν εἶναι (41), ἔφασαν λεόντων καὶ παρδάλεων. Οὐκ ἔξεστι δὲ (42) ὧδε τάφον ἔχειν εἰ μὴ τὸν τοῦ ἡλίου καὶ τῆς σελήνης *. Περιβολαῖς δὲ ἐχρῶντο τῶν θηρίων ταῖς δοραῖς. Περὶ δὲ τῶν δένδρων (43) τὴν αἰτίαν ἐζήτουν μαθεῖν. Οἱ δὲ ἔφασαν· πρωΐας γενομένης, ὅταν ὁ ἥλιος ἀνατείλῃ, φωνὴ ἐκ τοῦ δένδρου φέρεται, καὶ [αὖθις] ὅταν κατὰ μέσον τοῦ οὐρανοῦ γένηται, καὶ ὅταν μέλλῃ δύνειν, τοῦτο τρίτον (44). Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς σελήνης γίνεται (45). Καὶ οἱ δοκοῦντες ἱερεῖς εἶναι προσῆλθόν μοι λέγοντες· « Εἴσελθε καθαρῶς καὶ προσκύνησον, καὶ λήψῃ χρησμόν (46). » Συνεισῆγον δὲ τοὺς φίλους Παρμενίωνα, Κράτερον, Ἰόλλαν, Μαχη-

antecedentibus pro δ' ex Valerio scrib. videtur λ' ‖ 28. Hæc intacta relinquo; in συμπόρῳ forte latet σὺν Πώρῳ. ‖ 29. Hinc rursus incipiunt codd. B C. ‖ 30. θαυμαστάς add. B C; mox ἔθνη omittunt. ‖ 31. ποτὲ βασιλεὺς om. A. ‖ 32. πολυδρίων B. πολιδρίων C. ‖ 33. φυτὰ om. A; παράδοξον ἄξίωμα. Ὁ δὲ Ἀλέξανδρος πρὸς αὐτούς· Τί ὑμῖν ἔδοξε δεῖξαί μοι; Οἱ δὲ εἶπον· δείξομέν σοι φυτὰ ἀνθρωπίνῳ στόματι λαλοῦντα. C. ‖ 34. ἔνθα ἦν ἱερὸν ἡλίου κ. σελήνης. κατὰ δὲ αὐτοὺς ἦν φρουρὰ καὶ δύο δένδρα παραπλήσια etc. B C. ‖ 35. προειρημένα add. A. quod delevi. ‖ 35 *. τὰ δύο. παραδείσῳ addidi ex C. ‖ 36. λογ. om. A. ‖ 37. τοῦ ἑνὸς A. ‖ 38. μουθεὰ μαθούς B; quid rectius sit nescio. Cod. C pro his habet : ἃ ἐλάλουν τῇ ἰδίᾳ φωνῇ. ‖ 39. παντοίων θηρίων om. A. ‖ 40. πιλῇ πλάσιν A. ‖ 41. τίνος εἰσὶν αἱ σκεποῦσαι αὐτά B C. ‖ 42. οὐκ ἔξεστι.. ταῖς δοραῖς om. B C. post σελήνης exciderit ἱερέα. ‖ 43. θηρίων A B. ‖ 44. τούτῳ τρεῖς A; om. hæc B. ‖ 45. γίνεται om. A. ‖ 46. καὶ λ. χ. om. A.

enim prædictas bestias etiam quadrupedes beluæ vehementes, potus scilicet consuetudine ac necessitate illo ventientes, quæ quidem erant leones supra magnitudinem taurorum quos ex nostratibus maximos ducimus, rhinocerotes etiam, vel apri, vel pardi, lynces quoque et tigrides scorpiosque una elephantis et bucriis : tunc taurelephantes, et cum his homines senis manibus portentuosi : himantopodes etiam et cynopendices, multaque formarum humanarum genera invisitata. Igitur excitabamur ad providentiam periculi imminentis. Atque ideo arma quidem quam properantissime capimus : mando vero ignes quam maximos et creberrimos fieri, silvisque ipsis conflagrare facillimis immitti incendia. Quæ res etsi plurimum quantum contra multitudinem bestiarum opitulari trepidantibus poterat, invitat tamen nimietate luminis plurimas illo contendere : idque certamen in eo usque novis vitandis periculis fuit, donec lunæ cum occasu umbrata tellure effusisque tenebris ad consueta silvarum refugia omnes illæ bestiæ remearent. Non prius tamen memorata sævities animantium receptui consulit, quam id animal supervenisset, quod regnum quidem tenere in hasce bestias dicitur : nomine autem Odontotyrannum vocant. Hæc bestia facie elephantus quidem est, sed magnitudine etiam hujus animantis longe provecta, nec minor etiam sævitudine egregie sævientibus. Quare cum nostros incesseret, ac ferme viginti et sex de occursantibus viros morti dedisset, tandem tamen reliqua multitudine ignibus circumvallatur et sternitur. Adhuc tamen saucius Odontotyrannus cum indidem fugiens aquæ fluenta irrupisset, ibique exanimavisset, vix trecentorum hominum manu [nisu] extractus de flumine est. Hactenus igitur noctis illius nobis periculi finis fuit. Longe tamen molestius (quo enim caveri difficilius erat) quod post evenit. Tenebris enim post occasum lunæ omnia obumbrantibus, nitalopicas viseres de arenis profundis emergere non minoris longitudinis cubitis X; eæque quo poterant homines involant. Tunc ex iisdem arenis crocodili etiam extantes passim invadunt quadrupedia militaria. Ad hæc alites quibus apud nos vocabulum vespertillo est, sed quæ illic super columbæ magnitudinem, dentibus autem ad humani rictus valentiam sævæ sunt, circumvolare cœpere, et quibusque incautioribus aures aut nares aut digitos præsecare. Tum rhinocoraces (*sic*) insectatæ, sed eæ sane neque ad homines sæviebant, neque ignes temere advolabant. Tandem igitur restitutus diei intelligensque in quanta discrimina proderemur ab hisce Indis qui sese salutares itineri futuros esse nobis polliciti erant, eos ob fraudis meritum iisdem aquis præcipites dari necarique præcepi. Atque exim usi itinere rectiore, tandem restituimur viæ, quæ nos ad Prasiacam tuto deduceret. Igitur cum oppidum quoddam opulens sane et abundans omnibus refectioni humanæ necessariis advenissemus, recipiendis viribus ibidem dies quinque transegimus. Enimvero cum sexta jam reditui consuleremus, talis nobis obicitur admiratio. Primum quidem venti spiritus vehemens et procella adeo supra consuetam magnitudinem rapax orta est, ut non tentoria modo satis firmiter fixa convelleret, verum homines quoque stantes gradientesque prosterneret : nisi quod prope-

τὴν, Θρασυλέοντα, Θεοδέκτην, Διΐφιλον, Νεοκλῆν, ἄνδρας ια'. Ὁ δὲ ἱερεὺς ἔλεγεν· « Βασιλεῦ, σίδηρον οὐ καθήκει εἰς τὸ ἱερὸν εἰσελθεῖν. » Προστάσσω οὖν τοῖς φίλοις τὰ ξίφη ἀποθέσθαι ἔξω. Συνεισῆλθον δέ μοι ἐκ τῆς δυνάμεως ἄνδρες τ'. Ἐκέλευσα οὖν τοὺς σὺν ἐμοὶ πάντας κατοπτεῦσαι κύκλῳ τὸν τόπον. Καὶ προσκαλοῦμαι ἐκ τῶν συνακολουθησάντων μοι Ἰνδῶν, ἵνα ἑρμηνείας τύχω παρ' αὐτῶν. Ὄμνυμι δὲ (47) Ὀλύμπιον, Ἄμμωνα, Ἀθηνᾶν, νικαφόρους θεοὺς ἅπαντας, ὅτι ἐὰν δύνῃ ὁ ἥλιος καὶ φωνή μοι χρησμοῦ μὴ ἀκουσθῇ, ζῶντας ὑμᾶς ἐμπρήσω. Ἅμα δὲ τῷ δῦναι τὸν ἥλιον φωνὴ ἠνέχθη Ἰνδικὴ ἐκ τοῦ δένδρου. [Καὶ ἐκέλευσα αὐτὴν] ἑρμηνευθῆναι ὑπὸ τῶν Ἰνδῶν τῶν ὄντων σὺν ἡμῖν. Οἱ δὲ φοβούμενοι οὐκ ἤθελον μεθερμηνεῦσαι. Σύνους δὲ ἐγενόμην καὶ εἶλκυσα αὐτοὺς κατὰ μόνας. Καὶ εἶπον τοῦτο οἱ Ἰνδοί (48)· Ταχὺ ἀπολέσθαι ἔχεις ὑπὸ τῶν ἰδίων. » (49) Ἐμοῦ δὲ καὶ τῶν παρεστηκότων μοι ἀποτερατωθέντων, ἀπὸ

Dein cod. C pergit : οἱ δὲ ἱερεῖς εἶπον αὐτῷ καὶ τοῦτο· Ἀλέξανδρε βασιλεῦ, σίδηρον οὐ καθήκει εἰσελθεῖν εἰς τὸ ἱερόν· Προστάσσει οὖν τὰ ξίφη ἔξω ἀποθέσθαι τοῦ περιβόλου. Συνῆλθον οὖν τῷ Ἀλεξάνδρῳ ἄνδρες ἱκανοὶ καὶ κελεύει κατοπτεῦσαι τὸν τόπον κύκλῳ. Eodem modo B, nisi quod καὶ κελεύει... κύκλῳ ponit ante προστάσσει τὰ ξίφη. In nominibus propriis cod. A Ἰόλλαν scripsi pro Ἴουλον. Plura nomina exciderunt, quum undecim vel decem (nam infra οἱ ι' φίλοι) esse debeant. Quindecim nominum monstra leguntur in epistola edita in Curtii edit. Basiliensi (1556) p. 443. ‖ 47. ὄμνυσι δὲ αὐτοῖς ὅτι ἐὰν etc. B C. In cod. A verba ὅτι ἐὰν.. ἐμπρήσω excidere. Mox supplevi uncis iuclusa. Codd. B C. post v. δένδρου pergunt : οἱ δὲ συνόντες αὐτῷ Ἰνδοὶ φοβούμενοι etc. ‖ 48. Καὶ πρὸς τὸ οὗς εἶπον αὐτῷ· Ἀλέξανδρε, ἐν τάχει ἔχεις etc. B, quibus praemisit C : καὶ εἶπεν αὐτοῖς· μὴ ἀποκρύψατέ μοι ὃ ὁ χρησμός μοι λελάληκεν. Οἱ δὲ πρὸς τὸ οὗς etc.; ‖ 49. C pergit : ἠβουλήθη δὲ πάλιν

---

ranter sarcinis strictis ad tutiora oppidi concursamus. Enimvero dum ista molimur, coire nubes et in densitate nimiæ crassitudinis solis lumen omne corpere subtexere, indiscretamque nobis noctem diemque confundere. Neque id breve aut transitorium fuit. Enim diebus fere V pari facie fœdatus aer in id tandem aliquando purgavit, ut sexta sub luce cum interruptis nubibus sol faciem mundo pristinam reddidisset, tantam vim nivium incubuisse videremus, ut supra trium cubitorum altitudinem densa multos quidem et nostratium interfecerit, quos forte in apertioribus locis nacta sit, plurima autem obruerit quadrupedia, quorum nihilum non stantaria morte obriguisse visitares. Eaque nivium vis cum diebus ferme triginta vix tabuisset, æquato tandem solo itinere dierum ferme quinque Prasiaca adventabamus, multo quidem labore, qui strictim dictus est, exanclato : enimvero majore præda totius Indiæ earumque gentium quacumque transmisimus convectata, nullo omnium Indo Persarumve dubitante, quin omnia nobis ad subjugandum facilia forent, quocumque animum intendissemus ; at cetera nomina pretiorum aurique opulentiam ulterius non requirendam [*existimavimus*], vixdum gravibus subvectionibus consulentes, cum tanta in his quæ subjugata sint loca vel copia vel affluentia repperiretur. Sic igitur animo laxato cum nihil jam foret quod non fortuna ex hisce appetentiis explevisset, omne demum intenderam desiderium, ut, si quid esset quod inusitatum aliis foret atque auditu mirabile haberetur, id sane resciscerem videremque. Tum quidam viri ex oppidis circumsistentibus esse dignum cognitu et scientia contendebant, si modo mirum homini videri posset virecta noscere et arbusta loquacia ad humanum modum. Id primum ut impossibile alienissimumque natura arbitratus neque credideram referenti. Sed persistentibus adserentibusque, adsensus [*sum*] tandem itineri ejus terræ, quam sol oriens visitaret. Eo ergo cum venissemus, ducor in quendam locum arboribus consitum amœnis. Hunc illi paradisum vocitavere. Enimvero conseptum viseres non materiæ circumjectu, verum arborum frequentia circumsistentium. Eum sacrum soli lunæque esse dicebant : nam et ædes templaque opere naturali hisce diis ibidem intrinsecus viseres, duas vero arbores cælum ferme proceritate intervectas, simili facie qua cupressus, plerumque etiam directiores, ex ea stirpe quod genus arbores myrobalanos habent. Sed ex hisce duabus arboribus, de quibus supra locuti sumus, marem alteram, alteram feminam esse contendunt. Et maris quidem arboris præsidem solem, feminæ vero lunam esse altricem. Harum omnis circa radices convestitas viseres tergis ac pellibus sacris ; sed ex his, quæ ex maribus essent (*ad*) marem arborem ; quæ vero ex pecudibus femineis, ad honorem feminæ sitæ. Quamvis hominibus gentis ejusce usus ferri ærisve et stanni omnifariam ignoraretur, neque esset quicquam quod ad ædificii usum ex luto fingeres. Cum igitur illa terga vel spolia bestiarum ex quis forent animantibus quærerem, comperio leonum esse sive pardorum et hujuscemodi bestiarum, et hisce tergis non ad honorem solum numinum uti consuetos, verum etiam ad operimenta abuti homines incolentes. Id tamen esse in hisce arboribus admirabile : namque oriente sole marem illam arborem itemque cursus sui meditullium possidente vel certe occiduo loquacem fieri, et consultantibus tertio respondere : idem vero nocturnis horis atque lunaribus arborem feminam. Doctus igitur ab his viris qui antistites loci sacerdotesque memorantur, uti mundus et ab omni inreligioso contagio impollutus accederem, comites mihi ejus aditionis adscisco amicos carissimos fidissimosque, Parmeniona scilicet, sed et Craterum, Ysillum (l. *Iollam*) quoque atque Machenten et Thrasileonta (l. *Macheten et Thrasyleonta*) et Machaona una Theodecto Difficilique (*Diiphiloque*), sed etiam Neocle. Monentibus igitur sacerdotibus religione prohiberi ferrum id loci invehi, ita ut prædictum est facio moneoque : addo tamen cautelam ejuscemodi diligentiæ, quod octoginta viros fortitudine pariter exploratissimos adesse circa ea loca ac nemus, quo ingrediebamur, quam sollicitissime jubeo, exploraturos etiam ecquis esset qui forte vocem de proximo subjectaret, quam nos ex illis arboribus ferri arbitraremur.

(50) τῆς σελήνης ἠβουλήθην πρὸς τὴν ἀνατολὴν ὀψίας πάλιν χρηματισθῆναι. Εἰκάσας (51) δὲ τὸ μέλλον εἰσῆλθον καὶ ἠξίωσα, εἰ ἀσπάσομαι τὴν μητέρα μου Ὀλυμπιάδα καὶ τοὺς γνησίους μοι φίλους (52). Πάλιν δέ μοι τῶν φίλων [παρ]εστώτων, ἅμα τῷ τὴν σελήνην ἀνατεῖλαι φωνὴν τὸ δένδρον τὴν αὐτὴν ἐξήνεγκεν Ἑλληνικῇ διαλέκτῳ· « Βασιλεῦ Ἀλέξανδρε, ἐν Βαβυλῶνι δεῖ σε ἀποθανεῖν· ὑπὸ τῶν ἰδίων ἀναιρεθήσῃ καὶ οὐ δυνήσῃ ἀνακομισθῆναι πρὸς τὴν μητέρα σου Ὀλυμπιάδα. » Ἐμοῦ δὲ λίαν καὶ τῶν φίλων θαυμαζόντων, ἐβουλόμην στεφάνους καλλίστους παραθεῖναι τοῖς θεοῖς (53). Τοῦ δὲ ἱερέως λέγοντος· « Οὐκ ἐξὸν τοῦτο γενέσθαι· εἰ δὲ βιάζεις, πράξον ὃ θέλεις· βασιλεῖ γὰρ πᾶς (54) νόμος ἄγραφος », περιλύπου δέ μου διακειμένου καὶ λίαν δυςφοροῦντος, ὅ τε Παρμενίων καὶ ὁ Φίλιππος παρεκάλουν με περὶ τῶν ὕπνων γενέσθαι. Μὴ βουληθέντος δ' ἐμοῦ, ἀναστὰς ὥρθρισα· [καὶ] περὶ τὴν ἀνατολὴν σὺν τοῖς ι' φίλοις καὶ τῷ ἱερεῖ καὶ τοῖς Ἰνδοῖς πάλιν εἰς τὸ ἱερὸν ἀπελθὼν καὶ διαστολὰς δοὺς, προελθὼν δὲ εἰς τὸ ἱερὸν σὺν τῷ ἱερεῖ, καὶ ἐπιθεὶς τὴν χεῖρα πρὸς τὸ δένδρον ἐπηρώτησα λέγων· « Εἰ πεπλήρωται τὰ τῆς ζωῆς ἔτη, τοῦτο βούλομαι παρ' ὑμῶν μαθεῖν, εἰ ἀνακομισθήσομαι εἰς Μακεδονίαν καὶ ἀσπάσομαι τὴν μητέρα μου καὶ τὴν γυναῖκα, καὶ τότε ἀπαναλεύσομαι (55). » Ἅμα δὲ τῷ γενέσθαι τὴν ἀνατολὴν τοῦ ἡλίου καὶ βαλεῖν τὴν αὐγὴν εἰς τὴν κορυφὴν τοῦ δένδρου, φωνὴ ἐξηύδει διαρρήδην λέγουσα· « Πεπλήρωταί σου τὰ τῆς ζωῆς ἔτη, καὶ ἀνακομισθῆναι οὐκ ἔχεις πρὸς Ὀλυμπιάδα τὴν μητέρα σου, ἀλλ' ἐν Βαβυλῶνι ἔχεις ἀπολέσθαι. Μετὰ δὲ ὀλίγον χρόνον καὶ ἡ μήτηρ σου καὶ ἡ γυνή σου κακὴν κακῶς ἀπολοῦνται ὑπὸ τῶν ἰδίων, καὶ αἱ ἀδελφαί σου (56). Καὶ περὶ τούτων μηκέτι ἀξίου· οὐ γὰρ ἀκούσῃ ἔτι πρὸς ἃ ἀξιοῖς. » Ἐκεῖθεν οὖν ἀναζεύξας περὶ ὥραν α' ἀπὸ τῆς Πρασιακῆς (57) παρεγενόμην εἰς Περσίδα. Ἐπειγόμην δὲ ἐπὶ τὰ Σεμιράμεως βασίλεια. [Ταῦτα] ἀναγκαῖον ἡγησάμην δηλῶσαί σοι. Ἔρρωσο.

[ΚΕΦ. ΙΗ'.]

Οὕτως γράψας τὴν ἐπιστολὴν ὁ Ἀλέξανδρος τῷ Ἀριστοτέλει ἐπῆγε τὰ στρατεύματα ἐπὶ τῆς Σεμιράμεως βασίλεια. Ἐπιθυμητικῶς γὰρ αὐτὰ εἶχεν θεάσασθαι. Ἦν γὰρ καθ' ὅλην τὴν χώραν καὶ τὴν Ἑλλάδα περιφήμιστα. Ἐβασίλευε δὲ τῆς πόλεως γυνὴ ἔχουσα κάλλος ὑπερήφανον, μέσης ἡλικίας τυγχάνουσα, Σεμιράμεως τῆς βασιλίδος (1) [ἀπόγονος]. Πρὸς ταύτην ἔπεμψεν ἐπιστολὴν Ἀλέξανδρος περιέχουσαν οὕτως·

ὁ Ἀλέξανδρος χρησμοθ. etc.; quibus præmittit cod. B : πάντων δὲ τῶν ἐνεστώτων ἀποτερατωθέντων ‖ 50. ἀποκρυπτούσης cod. ‖ 51. ἀκούσας A C. ‖ 52. καὶ.. φίλους om. B C. ‖ 53. τοῖς δένδροις B C. ‖ 54. πᾶς om. A. ‖ 55. ἀπαναλῦσαι cod. ‖ 56. κ. α. ἀ. σ. neque Valerius neque codd. B C habent. ‖ 57. παραγινόμενος omisso εἰς Περσίδα A.

Cap. XVIII. Hoc quoque caput ex cod. A petivimus, quum in prima epistola codd. B et C multa omiserint. ‖ 1. Σ. τ. β

Adhibito igitur uno ex Indis, qui interpres dictorum idoneus foret, cujus inlectu illo veneramus, juro quam sancte pœnam illum capitis non evasurum, si promissum ex arbore responsum diffamatumque tacuisset. Unde intentis ad audiendum, mox *cum* primum solis occasus et abitio fuit, vox auditur arbore sed lingua barbarica, ejusque interpretamenta nemo quisquam nobis edissertare audebat. Id cum obstinatius facerent, cupiditateque omni ad significantiam vocis emissæ properarem, interminatus interpreti necem, nisi sedulo mihi prædicta narrasset, perterritus tandem ejusmodi esse responsum arboris fert : *quod enim obitu veloci et occasu jam proximo vitæ meæ spatia urguerentur : eamque mortem non de externis, enimvero de comitibus et proximis fore.* Quæ dicta cum ex natura hominis meum quoque animum attillarent, ac sub ortu lunæ rursus ex arbore femina oraculum mihi sciscitanti reddi deprecarer, quærens et obsecrans numnam matre et proximis salutatis obitus mei clausulam subiturus sim; non barbara jam sed græcæ linguæ significantia lumaris arbor elocuta est, *mortem mihi in Babylonia esse fatalem.* Id satis triste mirumque admodum amicis adsistentibus videbatur. Ego tamen coronis atque alio religioso honore locum donare contendens sum prohibitus a sacerdotibus, quod hujuscemodi munera dii indigetes abnuissent. Agebam mœstus et expectatione futuri admodum territus : Parmenion autem me Philippusque in somnum ac requiem hortabantur. Sed id quoque cum omnifariam negitassem, ac jam ferme dies insequens indilucesceret, ipsum ad sacrum ire contendo adtrectansque arborem quæso percontans, ecquid si vitæ prædicto adeo urguerer, revectari tamen ad Macedoniam corpus meum dii permitterent, viderene matrem atque uxorem ultra potuissem? Sed ad hæc *cum* primum ortu solis lux mundo est reddita, ex vertice arboris acuta quædam vox sed enim discrebilis et intelligenda sic appulit : *Completa sunt, inquit, tibi vitæ spatia quæ debebantur, nec revehi sane ad matrem, ut desideras, poteris, quum illa mors in Babylonia sit futura; sed sedes corporis longe diversa est. Verum ubi hæc tibi finis adfuerit, mox matrem quoque una et conjugem perituras esse tristiore morte non ambigas, Indis una vel Persis etiam infestantibus.* His compertis animoque ad necessaria confirmato, moratus dies ferme XII ad Prasiacam festino : et Atilaniæ (*aliis Indiæ?*) regionibus, quarum peragrandis oppidis præsens intentio erat, debitam diligentiam præsto. Ergo Prasiaca percursata revenio Persidam, omni studio properans Samiramidos quoque nunc regnum visere. Sed quoniam ad hunc mihi interim finem res gestæ sunt, ea te scientia participare amicum fuit. Quare vale. »

XVIII. Post hasce litteras ad Aristotelen datas pergit ire, ut scripserat, ad Samiramidos regiam, quod illo se et opulentiæ fama ducebat et magnificentia pervulgata imperii satis inciti ad laborem. Quippe urbs omnis muro quam

« Βασιλεὺς Ἀλέξανδρος βασιλίσσῃ Κανδαύλῃ τῇ ἐν Μερόῃ (2) καὶ τοῖς ὑπ' αὐτὴν τυράννοις χαίρειν. Παραγενόμενος εἰς τὴν Αἴγυπτον ἤκουσα παρὰ τῶν ἐκεῖ ἱερέων περὶ τῶν τάφων ὑμῶν καὶ τῶν οἰκητηρίων ὀηλοῦντων ὅτι χρόνον τινὰ ἐκυριεύσατε Αἰγύπτου (3), καὶ Ἄμμων μεθ' ὑμῶν ἐστράτευσε· μετὰ δὲ ὀλίγον χρόνον πάλιν χρηματίσαντος Ἄμμωνος, ἀνελύσατε εἰς τὴν ἰδίαν πόλιν. Διὸ ἔπεμψα πρὸς ὑμᾶς τόν τε ναὸν καὶ τὸ ξόανον τοῦ Ἄμμωνος. Ἀγάγετε ἐπὶ τὰ ὅρια, ἵνα θύσωμεν αὐτῷ· εἰ δὲ μὴ βούλεσθε ἔρχεσθαι σὺν αὐτῷ συμμίξαντες, ἐν τάχει ἓν μέρος συμβουλευσάμενοι πέμψατε ἡμῖν ἔνθα ἐμφαίνηται. Ἔρρωσθε. »

Ἀντέγραψεν αὐτῷ Κανδάκη· « Βασίλισσα Κανδάκη Μερόης καὶ οἱ ὑπ' αὐτὴν τύραννοι βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. Τότε μὲν (1) ἔχρησεν Ἄμμων στρατεύειν εἰς Αἴγυπτον, νῦν δὲ μήτε αὐτὸν κινεῖσθαι μήτε ἄλλον τινὰ ἐπιβαίνειν εἰς αὐτὴν, τοὺς δὲ παραγενομένους πρὸς ἡμᾶς ἀμύνασθαι κεχρῆσθαι ὡς πολεμίους. Μὴ καταγνῷς δὲ τοῦ χρώματος ἡμῶν· ἐσμὲν γὰρ λευκότεροι καὶ λαμπρότεροι ταῖς ψυχαῖς τῶν παρ' ὑμῶν λευκοτάτων. Ὑπάρχομεν δὲ εἰς πλῆθος σκυτάλαι ὀγδοήκοντα ἐν ἑτοίμῳ πρὸς τοὺς ἐπιόντας κακοποιεῖν. Ὀρθῶς δὲ ποιήσεις Ἄμμωνα θεὸν προτιμῶν. Κομίζουσι δὲ καὶ οἱ παρ' ἐμοῦ σταλέντες πρεσβεῖς χρυσᾶς πλίνθους ὁλοσφυρήτους ρ', Αἰθίοπας ἀνήβους ρ', ψιττακοὺς σ' (5), σφίγγας σ', καὶ τῷ Ἄμμωνι τῷ ἡμετέρῳ θεῷ τῷ ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου στέφανον διὰ σμαράγδων καὶ μαργαρίτων ἀτρήτων (6), ἐσφραγισμένους ὁρμαθοὺς ι', γλωττοκόμια ἐλεφάντινα π', ἔτι δὲ τὰ πεμφθέντα θηρίων γένη παρ' ἡμῶν ἐλέφαντες τή' (7), παρδάλεις τ' (8), ῥινοκέρωτες ιγ', πάνθηρες ὅ, ἐν γαλέγραις κύνες ἀνθρωποφάγοι τ' (9), ταῦροι μάχιμοι τ', ὀδόντες ἐλεφάντων ϛ', ὁραὶ παρδάλεων τ', ῥάβδοι ἐβέννιναι αρ' (10). Πέμψον οὓς βούλει τοὺς παραληψομένους ταῦτα εὐθέως, καὶ γράψον ἡμῖν τὰ περὶ σω (11), ὅτι πάσης τῆς οἰκουμένης κεκυρίευκας. (12) Ἔρρωσο.

ΚΕΦ. ΙΘ'.

Δεξάμενος δὲ Ἀλέξανδρος τὰ γράμματα Κανδάκης τῆς βασιλίσσης καὶ ἀναγνοὺς ἔπεμψεν Κλεομένην Αἰγύπτου ἐπιμελητὴν ταῦτα παραληψόμενον (1)· αὐτὸς δὲ ὥδευσε πρὸς αὐτήν. Ἡ δὲ Κανδάκη ἀκούσασα περὶ Ἀλεξάνδρου, πῶς (2) χειροῦται τοὺς τηλικούτους βασι-

om. B C. ‖ 2. Βερόη C. Βεροίη B. ‖ 3 post hæc cod. C pergit : Διὸ ἔπεμψα πρὸς ὑμᾶς· βουλευσάμενοι οὖν δηλώσατε ὅ τι ἂν φαίνηται ὑμῖν. Ἔρρωσθε. ‖ 4. Hæc usque ad μὴ καταγνῶς om. B C. ‖ 5. ψιττάκους σ' et τῷ Ἄμμωνι.. Αἰγύπτου om. B C. ‖ 6. ἃ τρίτον cod. A ; ceterum hæc turbata sunt. Cod. B : στέφανον διὰ σμαράγδων λιτρῶν χιλίων χρυσῶν, μαργαριτῶν ἀτρήτων ὄρμους ί, ἐπεσφραγισμένους στατῆρας ί, γλ. ἐλ. π' ; cod. C : στέφανον διὰ σμαράγδων λίθων καὶ μαργάρων, καὶ λίτρας χρυσίου χιλίας, μαργαρίτας ἀμετρήτους ὁρμαθοὺς ι', ἐσφρ. στατῆρας δέκα. ‖ 7. τ' sec. Valer. ; ε' B C. ‖ 8. π. ἡμέρας ι' B C. Rhinocerotes et pantheres om. B C. ‖ 9. τριάκοντα B C ; idem taurorum numerus. ‖ 10. ἐβελλίνας τρισχιλίους C ; ἐβελλ. τ' πρὸς δισχιλίοις ἑπτακοσίοις B. ‖ 11. τὰ π. σου om. A. ‖ 12. ἐβασίλευσας B C.

Cap. XIX. Jam redimus ad cod. B. ‖ 1. χλεομήδην B C ; παραλαβεῖν B C ; αὐτὸς.. αὐτὴν add. ex A. ‖ 2. καὶ πῶς ταῖς πόλεσιν

validissimo est circumsepta, portarum valvis ære vel ferro ad firmitudinem vel decorem impendio fabro possessis. Omne vero oppidum quadratis saxis sed hisce non incuriose lævigatis congestum et cultum visere non absque admiratione visentium fuit. Enimvero regina oppido erat et pulchritudine famosissima et commendabilis ex ætate, forte tunc viro vidua, quamvis mater jam trium liberorum. Sed feminæ nomen Candace dicitur. Proneptis erat hæc Semiramidos supra dictæ. Ad eam igitur Alexander scribit talia :

« Ægyptum adveniens ex eorum indigenis audivi illis terris et domos vestras et sepulcra esse defunctorum : ex quibus palam fuit dominatores esse priscos reges vestri, Indiamque tenuisse. Nam et relatio addidit, Ammona quoque meum militasse una vobiscum, et id famæ adstipulatur etiam oraculi majestas, quod editum jubet uno nos deo sacris obsequi. Quare religiosum est facere dei jussa, et id moneo suadeoque rectius tibi facturæ si veneris ; non vero multum peccare, si omittas. »

Ad hæc Candace scribit : « Verius nobis oraculum est Ammonis dei neque nos in Ægyptum militare, neque Indiam nostram hac ex causa debere commoveri : enim si quis huc audeat, hisce utpote hostibus occursare. Quare dei jussis parere decretum est ac verecundum. Nec nos æstimes ex colore : quippe cui animi liberalis species intuenda est, non satis corporis forma præjudicat. Id ne putes arte timoris adlatum, octoginta nobis populos scito esse vel maximos, eosque omnis agere in armis non ob injuriam inferendam, sed inferentibus occursuros. At vero te probo, quod ad communionem nos sacri et obsequium voces Ammonis dei, quem maximum et præsentissimum scimus. Habebis ergo tibi ex nobis amicitiæ argumentum centum laterculos auri grandissimos, Æthiopas impubes quingentos, psittacos sex, sphingasque sex, præterque hæc Ammoni deo nostro coronam smaragdis ac margaritis, etiam toreumatis pretiosiorem. His et loculos refertissimos cujusque generis margaritarum atque gemmarum ad decem numerum, eburneosque alios loculos octoginta una misi usibus et deliciis tuis : ferarum[que] genera quæ sunt nostratia, elephantos trecentos quinquaginta, pardos sex, rhinocerotas octoginta, pantheras vero quatuor, canes etiam in homines efferatissimos nonaginta, tauros trecentos, virgas ebeni mille atque quingentas : quæ cum primum auferenda jusseris, transmittentur. Et ut vales scribas ad nos velim, qui te jam orbis universi dominum esse gratulemur. »

XXI. Et ad hæc quidem transferenda Alexander miserat. Ipse vero paulo post videndi reginæ studio illo profectus est. Quod ubi Candace comperit, ejusmodi rem ex ingenio

λεῖς, ἕνα τῶν ἑαυτῆς φωνήσασα Ἕλληνα ζωγράφον ὄντα, ἐκέλευσε πορευθῆναι ὡς (3) εἰς ἀπάντησιν αὐτοῦ καὶ ἀγνωστὶ ζωγραφῆσαι τὸν Ἀλέξανδρον (4). Καὶ ἐποίησεν οὕτως. Ἡ δὲ Κανδάκη λαβοῦσα αὐτοῦ τὸ ὁμοίωμα ἔθετο ἐν ἀποκρύφῳ τόπῳ. Ἐγένετο δὲ μεθ' ἡμέρας τινὰς τὸν υἱὸν τῆς Κανδάκης τῷ ὀνόματι Κανδαύλην μετὰ ὀλίγων ἱπποτῶν βίαν (5) ὑπομεῖναι ὑπὸ τῆς Βεβρυκίας τυράννου, ἁρπαγείσης τῆς γυναικὸς αὐτοῦ. Καὶ κατατρέχει εἰς τὰς σκηνὰς Ἀλεξάνδρου φεύγων Κανδαύλης ὁ υἱὸς τῆς Κανδάκης. Οἱ δὲ φύλακες (6) συλλαβόντες αὐτὸν παριστῶσι Πτολεμαίῳ τῷ καλουμένῳ Σωτῆρι, ἔχοντι τὰ δεύτερα τῆς βασιλείας Ἀλεξάνδρου· ἐκοιμᾶτο γὰρ Ἀλέξανδρος ὁ βασιλεύς· ἐξήτασεν οὖν αὐτὸν Πτολεμαῖος, πῶς ἀκούει, τίς τυγχάνει καὶ τίνες οἱ σὺν αὐτῷ ὄντες. Ὁ δὲ εἶπεν· « Υἱός εἰμι Κανδάκης τῆς βασιλίσσης. » Καὶ λέγει αὐτῷ ὁ Πτολεμαῖος· « Τί ὧδε ἐλήλυθας; » Ὁ δὲ εἶπεν αὐτῷ· « Μετὰ τῆς γυναικός μου καὶ ὀλίγης στρατιᾶς ἠρχόμην ἐνιαύσιον μυστήριον τελέσαι παρὰ τὰς Ἀμαζόνας. Ὁ δὲ τύραννος (7) τῶν Βεβρύκων ἰδών μου τὴν γυναῖκα, ἐξελθὼν μετὰ πλείονος δυνάμεως ἥρπασεν αὐτὴν (8), καὶ τοὺς πλείονας στρατιώτας ἀνεῖλεν. Ὑποστρέφω οὖν ὅπως πλείονα δύναμιν παραλαβὼν κατασκάψω τὴν τῶν Βεβρύκων χώραν. » Ἀκούσας δὲ ταῦτα Πτολεμαῖος εἰσῆλθε πρὸς Ἀλέξανδρον καὶ διύπνισεν αὐτόν, καὶ διηγήσατο αὐτῷ ἅπερ ἤκουσε παρὰ τοῦ υἱοῦ τῆς Κανδάκης. Ἀκούσας δὲ Ἀλέξανδρος εὐθέως ἐγείρετο, καὶ ἄρας τὸ ἑαυτοῦ διάδημα ἔστεψε τὸν Πτολεμαῖον, καὶ τὴν χλαμύδα αὐτοῦ περιέβαλεν (9) αὐτῷ, καὶ λέγει αὐτῷ· « Καθέζου ὡς τυγχάνων Ἀλέξανδρος, καὶ εἰπὲ τῷ βεφερενδαρίῳ (10) οὕτως· « Φώνησόν μοι Ἀντίγονον τὸν μέγαν ὑπασπιστήν. » Καὶ ὅταν εἰσέλθω· « Διήγησαί μοι ἅπερ εἶπές μοι, καὶ εἶπέ μοι τί βουλευσόμεθα περὶ τούτου· δός μοι συμβουλίαν. »

Προκαθέζεται οὖν Πτολεμαῖος τῷ βασιλικῷ σχήματι (11) ἠμφιεσμένος, ὃν θεασάμενα τὰ στρατεύματα συνεφοράζοντο (12) τί πάλιν ἐνθυμεῖται Ἀλέξανδρος. Ὁ δὲ υἱὸς τῆς Κανδάκης ἰδὼν αὐτὸν ἐν τῇ βασιλικῇ ἐσθῆτι ἐφοβήθη, μὴ κελεύσῃ αὐτὸν ἀναιρεθῆναι· αὐτὸν γὰρ ὑπώπτευεν εἶναι Ἀλέξανδρον. Εἶτα κελεύει ὁ Πτολεμαῖος λέγων· « Ἀντίγονόν μοι καλέσατε τὸν μέγαν ὑπασπιστήν μου. » Ἐλθόντος δὲ τοῦ Ἀλεξάνδρου, εἶπεν αὐτῷ ὁ Πτολεμαῖος· « Ἀντίγονε, οὗτός ἐστιν ὁ υἱὸς Κανδάκης τῆς βασιλίσσης· ἡρπάσθη δὲ αὐτοῦ ἡ γυνὴ ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων. Τί οὖν μοι συμβουλεύεις ποιῆσαι (13); » Ὁ δὲ εἶπε· « Συμβουλεύω σοι, Ἀλέξανδρε βασιλεῦ, καθοπλίσαντά σου τὴν στρατιὰν πολεμῆσαι τοῖς Βέβρυξιν, ἵνα λυτρωσώμεθα αὐτοῦ τὴν γυναῖκα, καὶ παραδῶμεν αὐτῷ εἰς τιμὴν τῆς μητρὸς αὐτοῦ. » Ὁ δὲ Κανδαύλης ὁ υἱὸς τῆς Κανδάκης ἔχαιρε ταῦτα ἀκούων (14). Εἶπε δὲ ὁ Πτολε-

ἐπιβαίνει καὶ πῶς χειροῦται etc. A. ‖ 3. ὡς om. B C. ‖ 4. sic A. τὸ Ἀλεξάνδρου ὁμοίωμα B C. ‖ 5. βίαν.. τυράννου om. A; ἁρπαγείσης τ. γ. αὐτοῦ om. B. ‖ 6. C οἱ δὲ φύλακες τῆς φάλαγγος Ἀλεξάνδρου συνελάβοντο αὐτὸν φεύγοντα καὶ ἠρώτησαν αὐτὸν πόθεν καὶ τίς καὶ ποῦ ἀπέρχεται. Αὐτὸς δὲ πάντα τὰ συμβησάμενα διηγεῖται αὐτοῖς. Οἱ δὲ παραλαβόντες αὐτὸν παρίστωσι etc. ‖ 7. Εὐαγρίδης δὲ ὁ τῶν Βεβρύκων τύραννος C. ‖ 8. C addit : καὶ τὸν σὺν ἐμοὶ πάντα πλοῦτον. ‖ 9. ἔβαλεν BC ; ‖ 10. τῷ βεφ. vocem non habet A. ‖ 11. ἐνδύματι C. ‖ 12. sic A ; ἐγοράζοντο B ; διελέγοντο καὶ ἔλεγον C. ‖ 13. addit C : οὐ γὰρ μετρίως ἔπαθεν ὑπὲρ αὐτοῦ ἡ ψυχή. ‖ 14. addit C : καὶ, Ὦ, εἶπε, δέσποτα κοσμοκράτορ, πάντα μοι τὰ παρὰ τῆς τύχης συμβησάμενα

---

comminiscitur. Unum e pictoribus peritissimis ire clam obviam adventanti Alexandro jubet, eumque quam conlimatissime efficiat ac despingat, atque ad sese propiter picturam quam inleverit deferat. Id ubi factum est, et pictor revenit, acceptam effigiem abdito quodam et secreto ponit in loco. Sed insecuta est factum hoc ejusmodi fabula. Filius reginæ Candacis, cui nomen Candaules erat, una cum equitibus admodum paucis forte accurrit ad quædam tentoria Alexandri militum. Moti vero custodes exercitus personæ novitate, ducemque illum et si qui cum ipso venerant conprehendunt, offeruntque Ptolemæo, cui cognomentum Soter erat : ejus enim dignitas veluti secunda post regis ambitum videbatur. Quod igitur Alexander id horæ somno per diem teneretur, Ptolemæus quærit ex homine quis esset, quasve haberet causas repentini illius superventus? Ad hæc Candaules opinatus regem Ptolemæum, ait esse se quidem filium reginæ Candacis : sed enim sese una cum conjuge civilius et incuriosius ad sacrificium annuum contendentem, superventu Amazonum a quodam Bebryciorum tyranno uxore privatum, omnes denique militum, qui una secum fuerant, interfectos. Quare commodum nunc numeris congregatis hanc se moliri militiam, ut ultioni consuleret. His conpertis, Ptolemæus ad regem irrumpit, eique conperta communicat : quæ quidem grata Alexandro et ex voto accedere videbantur. Surgit igitur e lectulo, et diadema protinus suum in Ptolemæi caput transfert, chlamydeque augustiore vel regia circumjectum egredi jubet. Tum ubi Ptolemæus ad Candaulem egreditur, facit ad sese Antigonum satellitem vocitare. Pro quo Antigono cum ipse Alexander Ptolemæo se veluti satellitem obtulisset, ibi inquit : « Cuncta hæc mihi comminus dicito, atque a me consilium super re quæritato. »

Ita ut doctus est, Ptolemæus protinus facit. Sed cuncti videntes et Ptolemæum cum insignibus regis et pro satellite Alexandrum adsistere, summa exspectatione pendebant et quid novi consilii regi sedisset. Namque ut egressus est habitu famulantis, protinus Ptolemæus : « Cerne, inquit, Antigone, hunc Candaulem : is Candacis reginæ est filius, sed enim injuriam deflet conjugis raptæ per insolentiam regis Bebrycis. Facies igitur obsequenter, si nos consilio juves, subiciasque ecquid nunc facto opus esse arbitrere. » Ad hæc Alexander : « Dignum te sane erit, rex, ait, si armato exercitu injuriam supplicis ulciscare, eximasque ejus affectus, cujus honor matri proficiat. » His compertis, Can-

μαῖος (15)· « Εἰ τοῦτο βούλει, Ἀντίγονε, τοῦτο καὶ ποίησον, ὡς ὑπασπιστής μου. Κέλευσον οὖν ἑτοιμάζεσθαι τὴν στρατιάν. »

ΚΕΦ. Κ'.

Καὶ τοῦ Πτολεμαίου κελεύσαντος Ἀντιγόνῳ, ὡς ἐκείνου Ἀλεξάνδρου τυγχάνοντος, τοῦτο γέγονεν. Ἔρθασε δὲ ἐπὶ τὸν τόπον Ἀντίγονος τοῦ τυράννου παρὰ μίαν ἡμέραν σὺν τῷ Πτολεμαίῳ καὶ εἶπεν Ἀντίγονος τῷ Πτολεμαίῳ· « Μὴ ὀρθῶμεν τοῖς Βέβρυξιν ἡμέρας, μή ποτε μαθὼν ὁ τύραννος πρὸ τῆς μάχης ἀναιρήσῃ τὴν τούτου γυναῖκα· καὶ ποῖον ἡμῖν ἐστὶ κλέος νίκης Κανδαύλου ἀπολέσαντος τὴν γυναῖκα; ἀλλὰ νυκτὸς εἰσβάλλωμεν εἰς τὴν πόλιν καὶ ἀνάψωμεν τὰς οἰκίας, καὶ αὐτοὶ ἡμῖν οἱ ὄχλοι ἀναστήσαντες παραδώσουσι τὴν γυναῖκα Κανδαύλου· οὐ γάρ ἐστιν ἡμῖν ἡ νίκη περὶ βασιλείας, ἀλλὰ περὶ ἀπαιτήσεως γυναικός. » Καὶ οὕτως εἰπόντος τοῦ Ἀντιγόνου, προσέπεσεν αὐτῷ ὁ Κανδαύλης καὶ εἶπεν· « Ὦ τῶν φρενῶν σου, Ἀντίγονε, εἴθε σὺ ἦς Ἀλέξανδρος, καὶ μὴ ὑπερασπιστὴς Ἀλεξάνδρου. » Καὶ δὴ νυκτὸς εἰσβάλλουσιν εἰς τὴν πόλιν Βεβρύκων, καὶ κοιμωμένων αὐτῶν ἀνάπτουσι τὰ προάστεια. Τῶν δὲ διυπνισθέντων καὶ πυνθανομένων τί τὸ αἴτιον τοῦ ἐμπρησμοῦ, ἐκέλευσεν Ἀλέξανδρος ἐκβοᾶν, ὅτι Κανδαύλης ἐστὶ βασιλεὺς μετὰ πλείστης δυνάμεως· κελεύω ὑμῖν ἀποδοῦναι τὴν γυναῖκα, πρὶν ὅλην τὴν πόλιν ὑμῶν καταφλέξω. Οἱ δὲ προληφθέντες πάντες γενόμενοι εἰς τὰ τοῦ τυράννου οἰκήματα, τῇ δυνάμει τοῦ πλήθους ἤνοιξαν τὰ βασίλεια καὶ σύγκοιτον οὖσαν τὴν γυναῖκα τῆς Κανδαύλου τῷ τυράννῳ ἀπέσπασαν καὶ παρέδωκαν τῷ Κανδαύλῃ, τὸν δὲ τύραννον ἀνεῖλον. Ὁ δὲ Κανδαύλης εὐχαριστήσας τῇ συμβουλίᾳ καὶ τῇ ἐπινοίᾳ Ἀντιγόνου, περιπλακεὶς αὐτῷ εἶπεν· « Ἀντίγονε, πίστευσον σεαυτόν μοι, ὅπως ἄρω σε πρὸς τὴν ἐμὴν μητέρα Κανδάκην, ἵνα σοι δώσω βασιλικὰ δωρήματα ἀντάξιά σου. » Ὁ δὲ Ἀλέξανδρος περιχαρὴς γενόμενος εἶπεν αὐτῷ· « Αἴτησαί με παρὰ τοῦ βασιλέως Ἀλεξάνδρου· κἀγὼ ἐπιθυμῶ τῆς χώρας θεατὴς γενέσθαι· » Μετέδωκεν οὖν Ἀλέξανδρος τῷ Πτολεμαίῳ ἵνα αὐτὸν πέμψῃ σὺν αὐτῷ ὡς ἄγγελον αὐτοῦ. Καὶ εἶπε Πτολεμαῖος τῷ Κανδαύλῃ· « Βούλομαί σου τὴν μητέρα διὰ γραμμάτων ἀσπάσασθαι· παραλαβὼν οὖν τὸν ἄγγελόν μου Ἀντίγονον ἄγαγε μετά σου· πάλιν δὲ σῶον αὐτὸν ἐκπεμψον πρός με ὧδε, ὥσπερ καὶ σεαυτὸν καὶ τὴν γυναῖκά σου πρὸς τὴν μητέρα σου σώους ἀποκαθιστῶ. » Ὁ δὲ Κανδαύλης εἶπε· « Βασιλεῦ, οὕτω παραλαμβάνω τὸν ἄνδρα τοῦτον ὡς αὐτὸν τὸν Ἀλέξανδρον· ἐκπέμψω δέ σοι αὐτὸν μετὰ βασιλικῶν δώρων.

[EADEM E COD. C.]

Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος, ὡς Ἀντίοχος ὤν, παραλαβὼν τὸν Κανδαύλην καὶ χιλιάδας ἑκατὸν ἀπὸ Ἰνδῶν καὶ Περσῶν καὶ Μακεδόνων ἐξῆλθε καὶ ὥρμησε κατὰ τοῦ Εὐαγρίδου. Κατὰ δὲ τὴν ὁδὸν προσκαλεσάμενος τὸν Κανδαύλην διελέγετο· « Ὡς ἂν παρὰ τοῦ Εὐαγρίδου τὴν σεαυτοῦ γυναῖκα ἀναλαβόμενος παράσχω σοι, τί μοι περὶ τῆς χάριτος, ὦ Κανδαύλη, ἔσται ὧρον; » Καὶ ὁ Κανδαύλης ἔφη· « Οὐκ ἔστι μοι ἐν λόγῳ εἰπεῖν τῆς χάριτος τὴν ἀντίδοσιν, εἰ καὶ ὅλως ἀγωνίσῃ τὰ περὶ ἐμοῦ· ὁλοψύχως δ' αἰτήσομαί σε παρὰ τοῦ βασιλέως, καὶ σὺν ἐμοὶ εἰς τὴν μητέρα μου ἀπελεύσῃ· ἐκείνη δέ σοι τὴν ἀνταμοιβὴν τῶν περὶ ἐμὲ πεπονημένων ἀμείψεται. Φθάσαντες δὲ ἐν τοῖς Εὐαγρίδου ὁρίοις, εἰς τρεῖς ἀρχὰς τὸ στρατόπεδον διεμέρισε· καὶ ταῖς μὲν δυσὶν ἐνεδρεύειν ἐκέλευσε, τὴν δὲ μίαν ἀναλαβόμενος ὁ Ἀλέξανδρος ὡς τὸν Ἀντίοχον ὑποκρινόμενος ὥρμησε πρὸς Εὐαγρίδην. Συλλαβόμενος δέ τινας τῶν ἐγχωρίων πρέσβεις ἀπέστειλε πρὸς αὐτὸν εἰπών· « Ἀπελθόντες εἴπατε τῷ Εὐαγρίδῃ, ὡς ὁ κοσμοκράτωρ Ἀλέξανδρος τὸν αὐτοῦ παῖδα Ἀντίοχον πρός σε ἐξαπέστειλε δοῦναι τὴν γυναῖκα Κανδαύλου καὶ ὅσον αὐτῷ ἡχμαλώτευσας πλοῦτον, ἀλλὰ δὴ καὶ τοὺς ἐτησίους φόρους· καὶ σώζου· εἰ δὲ μὴ τοῦτο θελήσειας, τὰ πρὸς πόλεμον εὐτρεπίσθητι. » Ταῦτα ἀκούσας ὁ Εὐαγρίδης κατάσκοπον ἀπέστειλε τῷ Ἀλεξάνδρῳ τῷ ὡς Ἀντιόχῳ γενομένῳ, κατασκοπῆσαι. Ὁ δὲ κατάσκοπος τοῦτο ποιήσας, ἀντιστρέφεται καὶ ὀλιγοστὸν τὸ Ἀντιόχου στράτευμα ἔσεσθαι ἔφησε, καὶ τῇ ἡμετέρᾳ μὴ ἐξαρκοῦν δυνάμει. Ταῦτα εἶπε μὴ θεασάμενος τὸ ἐνέδρον. Εὐαγρίδης οὖν ταῦτα ἀκούσας, τὰ πρὸς πόλεμον εὐτρεπίζεται. Καὶ δὴ καταφθάνει τὴν Ἀλεξάνδρου παράταξιν· καὶ ὀλιγοστὴν αὐτὴν ἰδὼν κατεφρόνησε καὶ ἀκρατῶς κατὰ τῆς φάλαγγος ὥρμησεν. Ὡς δὲ ἐν τοῖς ἐνέδροις εὐθέως ἐσάλπισαν, περικυκλοῦ

ἀντ' οὐδενὸς ἐλογισάμην· ἐντυχὼν γὰρ τῷ κράτει σου πάντα μοῦ τῆς ψυχῆς λέληθε τὰ λυπούμενα || 15. addit C : ὡς Ἀλέξανδρος δῆθεν.

---

dauli gaudium. Sed Ptolemæus ad hæc respondit : » Ergo, inquit, Antigone, exsequere istud quod subjecisti consilium atque exercitum para.

XX. Faciam sane, respondit Alexander : sed enim commodum mihi, rex, ad consilium quod subjecero, bellum istud inferri Bebrycum regi seu regno non die teste : neque enim animus barbari improvisa formidine incitatus ab infectione raptæ mulieris temperabit. Erit vero frustra opem supplici procurare, si emolumentum victoriæ dilabatur. Ergo si placet nox belli tempus, et superventus ejusmodi confirmetur. Ubi enim flammis immissis noctis obscuro turbari civitas cœperit, adquiescent conditionibus nostris facillime jam præventi, raptaque nobis haud difficile repræsentabunt. » Hæc cum dixisset, et Antigonus crederetur a supplice, procidens ejus ad genua Candaules, « Quam vellem, ait, tu ille Alexander fores cum hac tua, Antigone, sapientia! non enim armigeri pares nobis calles industria dedisset ». Ergo, ut consilium fuit, inruunt nocte barbaricam civitatem, et jam somno deditis superveniunt : injectis denique flammis omnia conflagrare

αὐτοὺς ἀνείκαστον πλῆθος ἀφ' ἑκατέρων μερῶν, καὶ πάντες συνελήφθησαν. Ὡς οὖν εἶδεν Εὐαγρίδης, ἑαυτὸν τῷ ξίφει ἀνεῖλε τὴν Ἀλεξάνδρου ῥοπὴν οἰδοικώς. Τῆς δὲ νίκης γενομένης, ὁ Ἀλέξανδρος ὡς Ἀντίοχος ἐν τῇ Εὐαγρίδου παραγενόμενος πόλει παντελῶς ταύτην ἐξηδάφισε, καὶ τῷ Κανδαύλῃ παραδοὺς τὴν ἑαυτοῦ γυναῖκα καὶ τὸν σὺν αὐτῷ πάντα ἅρας πλοῦτον, ἐπὶ τὸ στρατόπεδον ὑπέστρεψαν. Κατὰ δὲ τὴν ὁδὸν περιεπλέκετο Κανδαύλης ὡς Ἀντίοχον τὸν Ἀλέξανδρον· καὶ καταφιλῶν καὶ ἐπαινῶν ἔλεγεν· « Οὐκ ἄρα τοιοῦτός ἐστιν ἄνθρωπος ἐν τῇ ὑπ' οὐρανὸν καὶ ὄντως θαυμαστοῦ βασιλέως θαυμαστὸς στρατηγέτης ὑπάρχεις· καὶ εἴθε σὺ ἦς Ἀλέξανδρος, καὶ μὴ ὑπερασπιστὴς αὐτοῦ. » Ἐπὶ τούτοις Ἀλέξανδρος ὡς Ἀντίοχος τῷ Κανδαύλῃ ἀπεκρίνατο, ὡς ἔσχατος πάντων τῶν δούλων Ἀλεξάνδρου ἐστί. « Πρῶτος γὰρ παρ' ἡμῖν Φίλιππος, μετὰ δὲ τοῦτον Σέλευκος, εἶτα Βίζας, καὶ μετ' ἐκεῖνον Φίλων ὁ φίλος τοῦ Ἀλεξάνδρου, ἔσχατος δὲ πάντων Ἀντίοχος, ὅς εἰμι ἐγώ. » Καί φησιν ὁ Κανδαύλης· « Κἂν ἔσχατος ᾖς, ἀλλ' οὖν ὑπὲρ πάντας ἔχεις τὸ φρόνημα ». Ὁ δέ· « Μὴ γένοιτο, ἔφη, ἀλλὰ πάντων εἰμὶ ἔσχατος καὶ κατὰ τὴν φρένα καὶ τὴν ἀνδρείαν, καὶ ἡ τιμὴ ὑπὸ Ἀλεξάνδρου δέδοται. » Καὶ ὁ Κανδαύλης ἔφη· « Εἴ σε ἔχει ὁ Ἀλέξανδρος, δικαίως τῆς οἰκουμένης ἐβασίλευσε καὶ ἐκράτυνε καὶ κατεχυρίευσε· πίστευσον δὲ σεαυτόν μοι, ὅπως ἄρω σε πρὸς τὴν ἐμὴν μητέρα Κανδάκην, ἵνα σοι δώσω βασιλικὰ ὡρήματα ἀνταξιά σου, καὶ ἵνα φόρους τῷ Ἀλεξάνδρῳ κομίσῃς καὶ τῶν πόνων ἀμοιβὰς λήψῃ, ἃς ἡ ἡμῶν κοινὴ μήτηρ ἀμείψεται. » Ὁ δὲ Ἀλέξανδρος ὡς Ἀντίοχος περιχαρὴς γενόμενός φησι πρὸς τὸν Κανδαύλην· « Αἴτησαί με παρὰ τοῦ βασιλέως Ἀλεξάνδρου, κἀγὼ γὰρ ἐπιθυμῶ τὴν σὴν χώραν θεάσασθαι. » Καὶ δὴ ἐς τὸ στρατόπεδον φθάσαντες ἐδόθη τῷ Κανδαύλῃ τόπος σκηνῆς καταλύσαι σὺν τῇ γυναικὶ αὐτοῦ, καὶ ὑπηρεσία παντοία. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ προσκαλεσάμενος αὐτὸν ὁ Πτολεμαῖος ὡς βασιλεὺς ἔφη· « Ἰδοῦ, Κανδαύλη, ἀπέλαβες (καὶ) τὴν γυναῖκά σου παρ' ἐμοῦ· τί οὖν ἐστὶ τὸ δοκοῦν σοι; » Ὁ δὲ Κανδαύλης ἔφη· « Ἐμοί, δέσποτα, τὸ δοκοῦν οὐκ ἐστι, πάντα δὲ δεκτὰ τῷ σῷ κράτει. » Ὁ δὲ πρὸς αὐτὸν ἔφη· « Ἄπελθε πρὸς τὴν μητέρα σου, καὶ τὰ περὶ ἡμῶν αὐτῇ προσαγόρευσον. » Καὶ προσκαλεσάμενος Κανδαύλης τὸν Φίλωνα ἔφη, δέομαί σου, λάλησον τῷ βασιλεῖ Ἀντίοχον σὺν ἐμοὶ ἀποστεῖλαι, ἵνα καὶ τοὺς ἐτησίους φόρους καὶ τὰς ὑπ' ἐμοῦ ἀποκομίσει ἀμοιβὰς, καὶ ἐσόμεθα αὐτῷ δοῦλοι. » Ἐπὶ τοῦτο κατένευσε καὶ εἶπε τὸν λόγον τῷ βασιλεῖ. Καὶ δὴ ὡρίσθη ὁ Ἀλέξανδρος ὡς Ἀντίοχος εἰσελθεῖν σὺν αὐτῷ· καὶ οὕτως ἀπεφήνατο Πτολεμαῖος ὡς ὄφθεν Ἀλέξανδρος πρὸς τὸν Κανδαύλην· « Παραλαβὼν οὖν τὸν ἄγγελόν μου Ἀντίοχον, ὦ Κανδαύλη, ἄγε μετά σου· πάλιν δὲ σῶον αὐτὸν ἄγαγε πρός με, ὥσπερ καὶ σεαυτὸν καὶ τὴν γυναῖκά σου σώους ἀποκαθιστῶ πρὸς τὴν σὴν μητέρα. » Ὁ δὲ Κανδαύλης ἀπεκρίνατο· « Βασιλεῦ, οὕτω παραλαμβάνω τοῦτον τὸν ἄνδρα ὥς σε τὸν κοσμοκράτορα Ἀλέξανδρον, ἐκπέμψω δέ σοι αὐτὸν μετὰ βασιλικῶν δώρων. »

Καὶ δὴ πορευόμενος Κανδαύλης ἔλαβε μεθ' ἑαυτοῦ ὡς Ἀντίοχον τὸν Ἀλέξανδρον καὶ ἱκανὴν στρατιὰν καὶ δῶρα ἱκανά. Ὁδεύων δὲ Ἀλέξανδρος ὡς Ἀντίοχος μετὰ Κανδαύλους καὶ ἐγγίσας πρὸς αὐτὸν, λόγους αὐτῷ ἠκρίβαζε, πῶς ἂν ἔχει πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ. Ὡς δὲ παντελῶς ἀπερίεργον τοῦτον ὄντως διέγνω, οὐκέτι ἔφερε λόγους τοιούσδε, ἀλλὰ καὶ μόνον ἀγαπᾶν αὐτὸν ἔλεγεν καὶ ἀδελφικῶς χρᾶσθαι ὡς ὑπὲρ αὐτοῦ ἀγωνισάμενον. Κανδαύλης αὐτὸν μεθ' ὅρκων ἐβεβαίου, καὶ ὡς ὑπὲρ ἀδελφοῦ καὶ μητρὸς τὴν αὐτοῦ ἔχειν στοργὴν ἐν ψυχῇ καὶ μέχρι θανάτου. Πλησίον δὲ γενόμενοι τὰ ἔνθεα κατέλαβον σπήλαια, καὶ Κανδαύλης φησίν· « Ὧδε, Ἀντίοχε, θεῶν μοναί εἰσι· καὶ εἴπερ οὐ δειλιᾷς, μικρὸν τῆς ὁδοῦ διελθὼν τὰ συμβησόμενά σοι μαθήσῃ. » Ὡς δὲ πάλιν πορευόμενοι ἐθαύμαζεν ὁ Ἀλέξανδρος, ὡς Ἀντίοχος ὤν, τὰ ποικίλα δένδρα καὶ τὰ ὄρη τῆς κρυσταλλοφόρου κτλ. uti codex B in cap. sequente.

ΚΕΦ. ΚΑ'.

Καὶ δὴ πορευόμενος ἔλαβε μεθ' ἑαυτοῦ, ὡς Ἀντίοχον τὸν Ἀλέξανδρον καὶ ἱκανὴν στρατιὰν καὶ κτήνη καὶ ἁμάξας καὶ δῶρα. Ὁδεύων δὲ Ἀλέξανδρος ἐθαύμαζε τὰ ποικίλα ὄρη τῆς κρυσταλλοφόρου γῆς φθάνοντα μέχρι τῶν τοῦ οὐρανοῦ νεφῶν καὶ τὰ δένδρα τὰ ὑψίκο-

---

cum septis somno nuntiarentur, causamque superventus haud dubie cognovissent; undique increpari classico jubet, Candaulis illum exercitum uxorem esse repetentis. Quare boni consulerent, si regi uxor protinus redderetur : quod ni fecissent, omnis civitas direpta hostiliter conflagraret. Id ubi civibus palam factum est, irruunt ædes tyranni, ædibusque præfractis mulierem protinus reddunt. Hoc gaudio Candaules cum agendis gratiis occuparetur, ejusque facinoris summam penes Antigonum collocaret, complexus eum hisce alloquitur : « Da quæso te mihi, Antigone, ait; ad matrem usque comitato, ut pro consultis tuis a me quoque præmiis munerere. » « Ergo, inquit Alexander, recte feceris, si id ipsum a rege super meo nomine postulaveris. Nam et mihi haud modicum studium est et videndæ civitatis tuæ et reginæ pariter salutandæ. » Monet igitur Ptolemæum, uti petitis adnueret, seseque legatum ac nuntium ad Candacem ire mandaret : et Ptolomæus pro jusso, ac si petenti adveniret, facit; ac sic ait : « Et ipse sane loqui per litteras habeo cum Candace, et gratiam tibi qua uti desideras : eumque nobis quam primum sospitem redhibeto; hunc enim tibi ut me ipsum Alexandrum tecum missum habebis. » « Ita sane, Candaules ait, eumque tibi onustum donis regalibus reddam. »

XXI. Insinuat ergo traditque Candaules Alexandro vel maximam exercitus sui partem impedimentaque omnia, quibus apparatus regius vehebatur. Sed enim Alexander

μα καρπῶν γέμοντα, οὐχ ὡς παρ' Ἕλλησιν, ἀλλ' ὡς ἴδια θαύματα· μηλέαι γὰρ ἦσαν χρυσίζουσαι, τὸν ὄγκον τῆς ὀπώρας ἔχουσαι ὡς τὰ παρ' Ἕλλησι κίτρα, καὶ βοτρύων σταφυλαὶ παμμεγέθεις (1), κάρυα δὲ ἔχοντα περίμετρον πεπόνων, πίθηκοι δὲ τέλειοι ὡς ἄρκτοι, ἄλλα τε ζῶα ποικίλα τῇ χροιᾷ καὶ ξένα τῇ μορφῇ. Ἔνιοι δὲ ἦσαν τόποι ἔνθεοι καὶ τοῖχοι πετρώδεις καταβάσεις ἔχοντες (2)· εἶπε δὲ ὁ Κανδαύλης· « Ἀντίγονε, θεῶν οἰκητήρια τὰ ὧδε καλεῖται, [καὶ πολλάκις ἐν τούτοις τοῖς σπηλαίοις ὁρῶνται ἐπὶ κλιντῆρι θεοὶ τῷ αὐτοὺς καλέσαντι βασιλεῖ, ὥστε ἐὰν θέλῃς, ἄρον σπονδὴν καὶ ποίησον θυσίαν ἐν τοῖς τόποις καὶ φανήσονταί σοι. Καὶ ὁ μὲν Κανδαύλης οὕτως εἶπε.] Τὴν οὖν πορείαν ἐποιοῦντο καὶ ἔφθασαν εἰς τὰ βασίλεια, καὶ ἀπήντησεν αὐτῷ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἔμελλον αὐτῷ περιπλέκεσθαι· ὁ δὲ Κανδαύλης εἶπε· « Μὴ πρότερόν μοι περιπλακήσεσθε, ἀδελφοί, ἢ μὴ ἂν τὸν σωτῆρά μου γενόμενον καὶ τῆς ἐμῆς γυναικὸς εὐεργέτην ἀσπάσασθε Ἀντίγονον, τὸν Ἀλεξάνδρου τοῦ βασιλέως ἄγγελον. » Οἱ δὲ εἶπον αὐτῷ· « Τί σοι παρέσχε σωτήριον; » Ὡς δὲ διηγήσατο αὐτοῖς Κανδαύλης τὴν ἁρπαγὴν τῆς γυναικὸς αὐτοῦ τὴν γενομένην ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων, καὶ τὴν ἐξ Ἀλεξάνδρου γενομένην αὐτῷ βοήθειαν, περιεπλάκησαν αὐτῷ οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ (4)· λαμπρὸν δὲ κατὰ τὰ βασίλεια γίνεται δεῖπνον.

[E cod. C : Εἶπε δὲ ὁ Κανδαύλης· « Ἀντίοχε (sic) καθὼς προεῖπόν σοι θεῶν οἰκητήρια τὰ ὧδε τυγχάνει, καὶ τὰ συμβησόμενα ἀποκαθιστῶσι, τοῦτο δὲ οὐ τοῖς πᾶσιν, ἀλλὰ τούτοις μόνοις, οἷς ἡ τύχη εὐάρμοστος πέφυκε. Πολλοὶ δὲ εἰσελθόντες σεληνιαζόμενοι ἐξῆλθον ἢ παράφρονες, καὶ διὰ τοῦτο παρ' ἡμῶν παραιτεῖται. » Ὁ δὲ Ἀλέξανδρος ὡς Ἀντίοχός φησι πρὸς Κανδαύλην· « Καὶ τοσαύτη σου ἡ πρὸς Ἀντίοχον ἀγάπη, ὥστε συνένευσάς μοι εἰσελθόντι σεληνιάζεσθαι καὶ παραφρονεῖν; » Ἐν δὲ τούτῳ περιπλακεὶς ὁ Κανδαύλης κατεφίλησεν αὐτὸν εἰπών· « Μὴ γένοιτο ἐν ἐμοὶ τὰ σά, ὦ φίλτατε, δυστυχήματα· τεθαρηκὼς γὰρ περὶ τούτου ἐφθεγξάμην· πέπεισμαι δὲ ἐσελθόντα σε μηδὲν ἐναντίον παθεῖν· φοβερὸς γὰρ, ὡς ἐμοὶ δοκεῖ, καὶ παρὰ θεοῖς ὁ Ἀλέξανδρος. » Καὶ δὴ ἐκ τῆς ὁδοῦ μικρὸν μετανάστης γενόμενος [Κανδαύλους] ὁ Ἀλέξανδρος, ὡς Ἀντίοχος ὤν, εἰσῆλθεν ἔνδον μετ' ὀλίγων στρατιωτῶν κατὰ τὸ ἔθος τὸ ἐκεῖσε θυσίαν καὶ σπονδὰς ποιῆσαι· καὶ ὁρᾷ ὁμίχλην ἀστεροφεγγῆ καὶ στίλβουσαν καὶ φαντασίαν εἰδώλων, καὶ ἐδειλίασεν ἀπορίᾳ ληφθείς. Ὅμως ἐπέμεινεν ἰδεῖν τὸ ἀποβησόμενον. Ὁρᾷ δὲ ἑστίαν καί τινας ἄνδρας ἀνακειμένους ἀπαστράπτοντας ἐκ τῶν ὀφθαλμῶν ὡς λυχνοφεγγεῖς, ἕνα δὲ λέγοντα αὐτῷ ἐξ αὐτῶν· « Χαίροις, Ἀλέξανδρε· οἶδάς με τίς εἰμί; » Ὁ δὲ ἔφη· « Οὐχί, κύριε. » Ὁ δὲ εἶπεν· « Ἐγώ εἰμι Ὤχος (sic) βασιλεὺς ὁ κοσμοκράτωρ, ὃς τῇ παρ' ἐμοὶ δυνάμει ἐπαρθεὶς θεὸν ἐμαυτὸν ὠνόμασα· καὶ τῷ οὐρανῷ ἐπιβῆναι σπουδάσας τὴν τούτου ἐζήτουν ἀκρώρειαν· ἐλθὼν δὲ εἰς χώραν ἀγρίων ἀνθρώπων, ἐπανίσταντο ἐπ' ἐμὲ πλήθει πολλά, καὶ κατεδίωξαν μέχρις ὅπου φέγγος οὐκ ἦν ἡμέρας, καὶ πολλὰ πλήθη τοῦ σὺν ἐμοὶ ἀνεῖλον στρατοῦ. Μόλις δὲ τούτους διεκφυγὼν τὴν λίμνην ἣν ἑώρακας κατέλαβον, καὶ τῇ ἀθυμίᾳ συσχεθείς, θανασίμῳ περιέπεσον νόσῳ, καὶ τοῦ ζῆν ἄχων ἐστερήθην. Ἐνταῦθα δὲ παρεπέμφθην δέσμιος, τοῖς ἐρήμοις πλανᾶσθαι τόποις· ὧδε γάρ εἰσι πάντες οἱ θεοὺς ἑαυτοὺς ὀνομάσαντες, τὴν ἡτοιμασμένην ἀπεκδεχόμενοι παρὰ θεοῦ δίκην· ἀλλ' ἐγὼ ὃς καλοῦμαι καὶ Σεσονχὸς (sic), * οὐ τοσοῦτον δὲ εὐτύχησα ὅσον σύ· ἔχεις γὰρ ὄνομα ἀθάνατον. » Ὁ δὲ Ἀλέξανδρος ἔφη· « Πῶς εἶπας κύριε; » Ὁ δὲ ἔφη ὅτι « Ὅλον κόσμον ὑποτάξας καὶ τοσαῦτα ἔθνη δουλωσάμενος ἀνώνυμός εἰμι· σὺ δὲ ἔσῃ ὀνομαστὸς, κτίσας τὴν περιπόθητον ἐν Αἰγύπτῳ Ἀλεξάνδρειαν πόλιν· ἀλλ' εἰσέλθε ἔνδον, ἵνα θεάσῃ τὸν προστάτην ἡμῶν. » Εἰσέρχεται οὖν ἔνδον Ἀλέξανδρος, καὶ ὁρᾷ ὁμίχλην καί τινα καθεζόμενον ἐπὶ θρόνου, ὃν ποτε εἶδε προσκυνούμενον ἐν βροτοῖς Σάραπιν. Εἶπε δὲ· « Τί τοῦτο εἴδομεν ἀφθάρτου φύσεως γένος; ὃν γὰρ εἶδον εἰς τὰ μέρη τῆς Λιβύης προκαθεζόμενον θεὸν, καὶ νῦν πάλιν ὁρῶ σε ἐνταῦθα, μέγιστε θεέ. » Ὁ δὲ εἶπε πρὸς Ἀλέξανδρον· « Πανταχοῦ φαίνομαι, ὥσπερ καὶ ὁ οὐρανὸς πανταχοῦ φαίνεται ἐπὶ ἑνὸς ὑψώ-

Cap. XXI. 1. cod. A : βοτρύων σταφυλαὶ ὡς μὴ δύνασθαι ὥρακον ἐγχῶρησαι (l. βῶγα τὸ στόμα ἐγχ.), κάρυα [δὲ] τὸ βαλάνων ἔχοντα περίμετρον, ὡς πεπόνων μείζονα, πλεῖστοι δὲ ὁράκοντες περὶ τὰ δένδρα ἐνειλοῦντο, καὶ σαῦροι ἰχνευμόνων μείζονες, πίθηκοι δὲ οὐδὲν ἀποδέοντες τῶν παρ' Ἕλλησιν ἄρκων etc. || 2. sic A ; τόποι τύπους πετρ. καταβάσεις ἔ. B ; τόποι τοίχους π. καὶ ξένας κ. ἔ. C. Quæ mox uncis includuntur inserui e cod. A. Quæ post verba καταβάσεις ἔχοντες leguntur in. cod. C, ad finem hujus capitis adscripta habes. Cf. cap. 24.

viabundus cuncta curiosius spectans animo perlustrabat, montes scilicet arduos et congesta saxorum nivali specie candentium, quæ pleraque crystalli metalla dicebantur, frigida sane sub cæli plaga et circum omnia nubibus convestita. Enim frigus hoc fertur non obsistere ubertati. Arbores enim procerissimas virentesque et graves pomis ubique mirabatur. Hæc poma erant vel mala grandia ad auri gratiam colorata, sed ad magnitudinem ferme quæ apud nos est citri excrescentia. Uvæ ponderis et densitatis immensæ prorsus ut singulis acinis vel implearis, si majoris [oris] hiatibus non occursas. Granatis etiam malis suam dat gratiam magnitudo : nam grana illis quo glandes inpetu verum, ignicantia : tam sapora ipsaque mala non minus pepone excrescunt. Enimvero potiundi horum pomorum perilificilis occasio : ita omnia vel pleraque dracones amplexi possident haud errabundi : tum genera lacertorum haud minus ichneumonum magnitudine. Multa præterea animantium genera innoxiaque, sed enim facie peregrina, nostris experimentis aliena : et simias viseres facile magnitudinem ursarum nostratium supervectas formasque varias simiarum, quas distinguere difficile est [ab] hominibus non insignitis. Locorum vero pleraque saxis quidem aspera, sicuti dictum est,

ματος ἐστηριγμένος. » Ὁ δὲ Ἀλέξανδρος ἔφη· « Ἆρα πόσα ἔτη ζήσομαι; » Καὶ εἶπεν αὐτῷ· « Καλὸν μὲν τὸν (l. θνητὸν. cf. I, 33, unde hæc repetuntur) ὄντα μὴ εἰδέναι πότε τελευτᾷ· προσδεχόμενος γὰρ ἐκείνην τὴν ὥραν, ὁπότε ἔμαθεν αὐτὴν, ἐτελεύτησε· τῷ δὲ ἐν ἀγνοίᾳ ὄντι λήθην παρέχει τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ καὶ ὅλως τελευτᾷ. Ἦν μέντοιγε κτίζεις πόλιν περιφανῆ πᾶσιν ἀνθρώποις, τροφὸς αὕτη ὅλης τῆς οἰκουμένης γενήσεται· καὶ πολλοὶ βασιλεῖς ἐπιβήσονται τοῦ ἐδαφίσαι αὐτὴν, ἀλλ' οὐχ' οὕτως ἐπ' αὐτῇ γένηται· οἰκήσεις δὲ αὐτὴν καὶ θανῶν [καὶ μὴ θανών]· τάφον γὰρ αὐτὴν ἕξεις ἣν κτίζεις πόλιν. » Ταῦτα ἀκούσας Ἀλέξανδρος τῶν ἐκεῖσε διῆλθε. Καὶ τῇ ὁδῷ εἰσβὰς ᾤχετο, καὶ καταφθάνει Κανδαύλην ὁδυρόμενον καὶ Ἀντίοχον ἐν τοῖς ὁδυρμοῖς ἐπικαλούμενον· ἐδόκει γὰρ ὡς βραδύναντα ἐκεῖσε κρατηθῆναι καὶ μηκέτι ἐξιέναι. Ὡς δὲ εἶδεν αὐτὸν ἐρχόμενον, καταδραμὼν τῷ τραχήλῳ αὐτοῦ περιεπλέκετο καὶ καταφιλῶν ἔλεγε· « Νῦν ἐπίσταμαι ὅτι θεῶν ὅῆμος δεδοίκασιν Ἀλέξανδρον, ὅτι ἀσινῆ τὸν οἰκέτην αὐτοῦ διετήρησαν. » Μεταξὺ δὲ τούτου τὴν ὁδὸν διανύσαντες τὴν Ἀμαστρίδα καταλαμβάνουσι πόλιν, καὶ ἀκουστὸν ἐγένετο τῇ βασιλίσσῃ Κανδάκῃ, ὅτι ὁ υἱὸς αὐτῆς Κανδαύλης ἥκει· καὶ ὑπήντησαν αὐτῷ ἡ μήτηρ αὐτοῦ καὶ ὁ ἀδελφὸς αὐτοῦ. Καὶ ὡς ἔμελλον αὐτῷ περιπλέκεσθαι, ὁ Κανδαύλης εἶπεν· « Οὐ πρότερον ἐμοὶ περιπλέκεσθε, ἀλλὰ τὸν ἐμὸν σωτῆρα γενόμενον καὶ τῆς ἐμῆς γυναικὸς εὐεργέτην. Ἀσπάσεσθε οὖν Ἀντίοχον τὸν ἄγγελον Ἀλεξάνδρου τοῦ βασιλέως. » Οἱ δὲ εἶπον αὐτῷ· « Τί σοι παρέσχε σωτήριον; » Ὡς δὲ διηγήσατο αὐτοῖς πάντα τὰ συμβησάμενα αὐτῷ ὁ Κανδαύλης, τὴν ἁρπαγὴν τῆς γυναικὸς αὐτοῦ τὴν γενομένην ὑπὸ τοῦ τυράννου τῶν Βερβύχων καὶ τὴν Ἀλεξάνδρου γενομένην εἰς αὐτὸν βοήθειαν καὶ τὴν Ἀντιόχου, ἀτενήσασα ἡ Κανδάκη εἰς τὸν δοκούμενον Ἀντίοχον, καὶ τὸ περιάστραπτον αὐτῷ κάλλος γεμισθεῖσα, ἐπελθοῦσα τοῦτον κατησπάσατο καὶ περιεπλάκη αὐτῷ μετὰ τῶν υἱῶν αὐτῆς· καὶ παραχρῆμα ἐβρόντησεν εἰς αὐτὴν ὅτι αὐτὸν ἐκεῖνον εἶναι τὸν Ἀλέξανδρον, καί φησιν· « Εἴθε μοι, Ἀντίοχε, μηκέτι ἀναχάμψαι πρὸς Ἀλέξανδρον ἐθελήσεας, ἀλλὰ σὺν ἐμοὶ ὢν μετὰ τῶν ἐμῶν συνδίαιτος εἶης τέκνων· ἐπεὶ δὲ τοῦτο ἀδύνατόν ἐστιν, ἐν τοῖς ταμείοις τοῖς ἐμοῖς εἰσελθών, ὅ ἐστί σοι ἀρεστὸν τοῦτό σοι χαρίσομαι, ὑπὲρ οὗ σέσωκάς μοι τὸν υἱόν. » Καὶ τῆς χειρὸς αὐτὸν λαβοῦσα εἰσῄει εἰς τὰ βασίλεια· λαμπρὸν δὲ τηνικαῦτα ἐν τῷ παλατίῳ ποιοῦσι δεῖπνον.]

ΚΕΦ. ΚΒ'.

Τῇ οὖν ἑξῆς ἡμέρᾳ ἡ Κανδάκη προῆλθε βασιλικῷ διαδήματι ἐμφαίνουσα, ὑπερμεγέθη τὴν ἡλικίαν καὶ τὴν μορφὴν ἡμίθεον ἔχουσα, ὡς δοκεῖν Ἀλέξανδρον ὁρᾶν (1) τὴν ἑαυτοῦ μητέρα Ὀλυμπιάδα. Ἔβλεπε δὲ τὰ βασίλεια ἀστράπτοντα χρυσοφόροις στέγαις καὶ πετρώδεσι τοίχοις· στρωμναὶ δὲ ἦσαν σηρικοῖς ὑφάσμασι τετεχνιτευμέναι ποικίλως χρυσίων ἐπὶ κλιντήρων τὰς βάσεις ἐχόντων διὰ βηρύλλων (2), τὰ δὲ ἀνάκλιτα ἱμαντωμένα χρυσῷ· τράπεζαι δὲ ἐξ ἐλεφαντίνης ὕλης ἡπλωμέναι, Μηδικοί τε κίονες τὰς κεφαλίδας ἐλεφαντίνους χροιαῖς ἀπαστράπτοντες· ἀνδριάντες δὲ ἦσαν ἀναρίθμητοι χαλκοῖ· ἅρματα δὲ δρεπανηφόρα τετορνευμένα ἐκ πορφυρίτου λίθου σὺν τοῖς πώλοις, ὥστε δοκεῖν αὐτοὺς τρέχειν· ἐλέφαντες δὲ ἐκ ὁμοίου λίθου γλυφέντες τοῖς ποσὶ συνεπάτουν τοὺς πολεμίους καὶ ταῖς προβοσκίσιν εἰλίσσοντες τοὺς ἀντιδίκους, ὅλοι τε ναοὶ σὺν τοῖς κίοσιν ἐκ μιᾶς ψήφου γεγλυμμένοι (3). Ταῦτα οὖν ὁρῶν

Cap. XXII. 1. εἶναι B C. ‖ 2. ἐχούσας χρυσᾶς C. ἔχουσαι διὰ βηρύλλων C. δι' ὠνίων καὶ βιούλων (δι' ὀνύχων κ. βηρύλλων) A. ‖ 3. addit A (et C) : καὶ βαρβάρων θεῶν ἀγάλματα μετά τινος φόβου (ἐκφοβεῖν C) ἐκφαίνοντα τὴν ὄψιν εἰς τὸ αἱματήριον (ε. τ. αἱμ. om. C), δοκοί τε οὐρανομήκεις τὸ ὕψος ἐστεγασμένοι, ὅσα πλάτανοι καὶ κυπάρισσοι· κατάρρυτος (κατάρρους C) δὲ ποταμὸς χρυσοφαὲς ὕδωρ διαβλύζων (διαυγάζων C), ἄλλο γένος Πακτώλου, καὶ συγκείμενον δενδρὸν στιχηρὸν πίπερος ἀκμάσαν

---

sed quæ facile præsumeres haberi et incoli posse numinibus. Quippe loca hæc domus deorum vocant, et plerumque visuntur in hisce secessibus agere dii res voluptarias. Addebat quippe Candaules et vocatos hominibus respondere, et vultu quoque se regibus confiteri. « Quare tu quoque, si voles, invitato sacrificiis hæc numina : nec erit difficile experimentum, quin te quoque sui conspectu dignentur. » Multa igitur ejuscemodi cum per omne iter vidisset audivissetque Alexander, tandem cum Candaule ad regiam Candacis venit. Quare jam primum fratres ejus, postque et regina mater cum regiæ pompæ comitatu Candauli obviantes, in complexus ejus gratulabundi irruere gestiebant. Sed enim prævenit juvenis, nec prius sibi adfectus hujusce obsequia deposcit, quam Antigono gratias super adjuto sese ac liberata conjuge confessi forent. Hunc enim Antigonum internuntium esse regis Alexandri secumque legatum. Tunc quærentibus gratiæ novitatem, et injuriam raptæ conjugis et ultionem provisi beneficii refert. Ergo agunt gratias juvenes, et regina lætatur ultione pariter temerati Candaulæ et integratæ nurus illibata lætitia. Cœna denique gratulatoria, ubi id tempus, operosa et regalis apponitur. Et est videre apud illos lasciviam babaram, incubare pretiis, illudere pretiis, sed et vesci de pretiis.

XXII. Insequenti autem die, cum Candace ostentatione regia processisset, superba admodum gemmato stemmate et gemmato diademate, statura auctior, ætate veneranda (ut Alexandro recordanti ad Olympiadem matrem ejus æstimatio conveniret), dedit prorsus sciri sese et opulentiam suam. Domus vero egregio opere elaborata hisque metallis insignita erat, ut intuentibus splendor ornatus pariter et celsitudo moliminis undique sudo quodam et ignoto lumine coruscaret, nihil in sese dispar aut alienum possidens. Usquequaque lucebant omnia veste serica, colore purpurea, intexta auro, gemmis admixta quæ veste cœpta fuerant et perornata. Gemmarum vero regalium utrum magnitudines mirarere, an vero coloribus ducerere,

Ἀλέξανδρος ἐθαύμαζεν. Ἦν δὲ συνεσθίων τοῖς ἀδελφοῖς Κανδαύλου. Παρεκάλει δὲ ὁ Κανδαύλης τὴν μητέρα καὶ ἠξίου διδόναι τῷ ἀγγέλῳ Ἀλεξάνδρου ἄξια τῆς αὐτοῦ φρονήσεως ὧρα καὶ ἀπολῦσαι αὐτόν. Τῇ δὲ ἑξῆς ἡμέρᾳ λαβοῦσα τῆς δεξιᾶς χειρὸς τοῦ Ἀντιγόνου ἡ Κανδάκη ἐδείκνυεν αὐτῷ κοιτῶνας διαυγεῖς ἐξ ἀερίτου (4) λίθου, ὥστε τὸν ἥλιον ὑπονοεῖν ἔνδον ἀνατέλλειν διὰ τῶν μαρμαρυγῶν (5). Ἐν αὐτοῖς δὲ τρίκλινος ἐξ ἀμιάντων ξύλων, ἅπερ ἐστὶν ἄσηπτα καὶ ἄκαυστα ὑπὸ πυρὸς, οἰκία δὲ ὠκοδόμητο οὐ παγεῖσα τὸ (6) θεμέλιον ἐπὶ τῆς γῆς, ἀλλὰ μεγίστοις τετραγώνοις ξύλοις παγεῖσα, ἐπὶ τροχῶν συρομένη ὑπὸ εἴκοσιν ἐλεφάντων· καὶ ἔνθα ἐπορεύετο ὁ βασιλεὺς πόλιν πολεμῆσαι, εἰς αὐτὴν κατέμενεν. Εἶπε δὲ Ἀλέξανδρος πρὸς τὴν Κανδάκην· « Ταῦτα πάντα ἄξια ἦν θαυμάζειν, εἰ παρ' Ἕλλησιν ἦσαν καὶ οὐχὶ παρά σοι, ὅτι καὶ ὄρη τοιαῦτα (7) ποικίλα τυγχάνει. » Παροργισθεῖσα δὲ ἡ Κανδάκη εἶπεν· « Ἀληθῶς εἶπας, Ἀλέξανδρε. » Ὁ δὲ Ἀλέξανδρος τῷ ὀνόματι φωνηθεὶς ἀπεστράφη (8)· ἡ δὲ εἶπε· « Τί ἀπεστράφης προσαγορευθεὶς παρ' ἐμοῦ Ἀλέξανδρος; » Ὁ δὲ ἔφη· « Ἐγὼ, κυρία, Ἀντίγονος καλοῦμαι καὶ ἄγγελός εἰμι Ἀλεξάνδρου. » Εἶπε δὲ ἡ Κανδάκη· « Κἂν Ἀντίγονος καλῇ (9), ἀλλὰ παρ' ἐμοῦ βασιλεὺς Ἀλέξανδρος τυγχάνεις (10). Ἄρτι δέ σοι δείξω τὸ συμβολαιόν σου. » Καὶ κατασχοῦσα αὐτὸν τῆς χειρὸς εἰσφέρει εἰς τὸν κοιτῶνα αὐτῆς, ἔνθα ἦν (11) τὸ εἰκόνισμα αὐτοῦ, καὶ εἶπεν αὐτῷ· « Ἐπιγιγνώσκεις τὸν σεαυτοῦ χαρακτῆρα; « Ὁ δὲ Ἀλέξανδρος ἐπιγνοὺς τὸ ἑαυτοῦ ἐκτύπωμα ἐταράχθη καὶ ἔτρεμε. Λέγει δὲ αὐτῷ ἡ Κανδάκη· « Τί τρέμεις, Ἀλέξανδρε, τί τετάραξαι; ὁ Περσολέτης, ὁ Ἰνδολέτης, ὁ καθελὼν τράπαια Μήδων καὶ Πάρθων, καὶ ὅλην τὴν ἀνατολὴν καταβαλὼν, νῦν χωρὶς πολέμου καὶ στρατιᾶς ὑποχείριος γέγονας Κανδάκης· ὥστε νῦν γίγνωσκε, Ἀλέξανδρε, ὅτι ὅστις δοκεῖ τῶν ἀνθρώπων ὑπερφρονεῖν μέγα (12), αὐτὸς τῇ προνοίᾳ καταβάλλεται, παραχωρησάσης αὐτῆς παρ' ἄλλων τοῦτον πειρασθῆναι ὡς ἀκριβῶς· ὡς οὐδεὶς παρ' ἀνθρώποις ἔχει τὸ τέλειον. » Ἀνήπτετο δὲ Ἀλέ-

ὀπώραν. ‖ 4. sic A; ἀργίτου B; ἀρρήτου C. ‖ 5. μαργάρων AB. ‖ 6. αἱμάτων ζ. A; ἀμ. λίθων, οἰκίαν δὲ οὐ παγεῖσαν etc. B. ‖ 7. ὅτι ὄρη ἐνταῦθα C. ‖ 8. ἀντεστράφη λέγων· ἐγὼ etc. B. ‖ 9. sic A; εἰ καὶ A. ἐκλήθης B. ‖ 10. addit C : σὺ δὲ Ἀντίοχον σεαυτὸν κάλει· εἰ δὲ δυσανασχετεῖς τῇ τοῦ ὀνόματος κλήσει, ἄρτι σοι δείξω etc. ‖ 11. καὶ φέρει αὐτῷ τὸ εἰκ. B. ‖ 12. μεγάλως, καὶ ἄλλος μείζονα τούτου φρονήσει. ἐθυμαίνετο δὲ ὁ Ἀλ. καὶ ἔτρ. C; A : μέγα, ἄλλος μείζονα τούτου φρόνησιν σχῇ. Ἐθυμαίνετο etc. ut C. ‖

an fulgoribus vincerere, judicium præ stupore non erat. Inter aurum sane purpureaque texta vel gemmas ebur multum, sed in ebore viseres artis pretia majora. Onyx pro saxis, et columnæ de gemmis, et earum proceritudo ubique supra nostrates arbores, sed quæ sint procerissimæ, fuerat, ebeno tamen plurima interpolante : quod si sit ad cæruli speciem vel colorem lævigatio, tamen plerumque ex ea purpura aliud esse * quam si saxum ebenum mentiebatur. Illic et effigies plurimæ tum e marmore vario, tum e metallo cujuscunque modi rennuebant numeri æstimationem, quæ omnis curiosi diligentiam vinceret. Adeo multa erant! Quamvis in singulis figmentis fuerit superbior admiratio, currus sane falcatos e porphyrite lapide, sed conliniatissime una cum animantibus et aurigis ad veri faciem videre erat plurimos et passim ubique constitisse, quos et cursum agere opinarere et moveri omnia non discrederes. Ita præ corusco fulgore oculorum officio præverso labi erat opiniones intuentium. Ast alii currus quadrigæ elephantos junctos habebant, eosque ebeno, cui concolor bestia veri facilius imaginem retinebat : sed subter erant impressa pedibus elephantorum captivorum corpora succumbentium, aut innexa proboscidibus suspensaque. Quæ inter omnia id sane præcipuum regii operis videbatur, quod una de gemma scalptum templum indidemque columnas cerneret interscalptas, obsessum omne vel frequens horrore sacro de demonum vultibus barbaris, qui plusne formidinis an admirationis darent, haud erat hominis discernere. Inter hæc et celsa illa atque ad cælum suspicanda palatia interfluere Argyritum flumen et alium Pactolum fluvium mirabatur : sed utrumque alveum auro divitem et præ nimietate auri interfluentis aquæ quoque aurigantem colorem : sed eorum litus et margines insertis arboribus convirescunt, quæ celsæ sint et odoræ : cypros denique gentiliter vocant fructu suavi et umbrosis frondibus divites. Hæc igitur cuncta cum Alexander intuitus esset, admiratione quadam debita vincebatur. Agebat in convivio cum Candaulis sororibus (l. *fratribus*). Enimvero quæsit quam blandius post matrem Candaules uti Antigonum suum pro merito gratiæ regalis muneraretur, quo donatus pro fortuna tantæ reginæ ad propria protinus remearet. Conprehensum igitur Alexandrum Candace per aulam suam omniaque regiæ secreta ac penetralia circumducit, secessus quosdam ei ædium monstrans ex eo lapide, cujus quidem fulgor ignitus est (nam lychnitem etiam vocant). Intuentibus visitur opinio quædam indidem solis orientis. Triclinium quoque ibidem videt alio de saxi genere, cui cum sint igneæ quædam maculæ vel inustiones, haud secus hæc quam excandentes lapides sunt, flammea visebantur quasi cælitus septem astra discurrere, stellasque omni studio et sereno sub tempore cælestem chorum agere mirere. Erat et tectum ad instar integræ domus marmoris preciosi opere circumforaneo. Namque ædes illa rotarum lapsibus subter adjuta a viginti elephantis ad reginæ itinera movebatur : eoque his solita regina quoque militatum pergere prædicatur. Sed enim Alexander ne victus rudi quadam admiratione videretur, ampla sane sed pro conditione opulentiæ gentilis atque præsentis visa sibi omnia confitetur. Quippe admirabilia videri potuisse tunc mage si apud Græcos hæc forent, apud quos essent elaborandis rebus peregrina materia. At cum sibi tanta hujuscemodi pretia servirent, segnitiæ condemnandos fuisse, si non haberent quibus uti ex facili licuisset. Et intelligit regina Candace ingenium viri et

ξανδρος τῷ θυμῷ καὶ ἔτριζε τοὺς ὀδόντας. Ἡ δέ· « Τί δύνασαι (13) ποιῆσαι; ὡς ἐκρατήθης ὁ τηλικοῦτος βασιλεὺς γενόμενος γυναικὸς μιᾶς ὑποχείριος. » Ὁ δὲ Ἀλέξανδρος (14) ἠθέλεσε ξίφει ἑαυτὸν ἀνελεῖν καὶ τὴν Κανδάκην· εἶπε δὲ αὐτῷ ἡ Κανδάκη· « Καὶ τοῦτο γενναῖον καὶ βασιλικὸν (15), ἀλλὰ μηδὲν ἀγωνιάσῃς, τέκνον Ἀλέξανδρε· ὥσπερ γὰρ σύ μου τὸν υἱὸν καὶ τὴν τούτου γυναῖκα ἀπὸ τῶν Βεβρύκων ληφθεῖσαν διέσωσας, οὕτω κἀγώ σε διαφυλάξω ἀπὸ τῶν βαρβάρων, Ἀντίγονόν σε καλοῦσα· ἐὰν γὰρ γνώσωσί σε ὄντα Ἀλέξανδρον ἀναιρήσουσί σε εὐθέως, ὅτι σὺ Πῶρον τὸν βασιλέα Ἰνδῶν ἀνεῖλες· ἡ γὰρ γυνὴ τοῦ μικροτέρου μου υἱοῦ θυγάτηρ ἐστὶ Πώρου (16). » Καὶ ταῦτα εἰποῦσα εἶπε τῷ Ἀλεξάνδρῳ· « Ἐγὼ μὲν Ἀντίγονόν σε καλέσω, ἐγώ σου φυλάξω τὸ μυστήριον. »

ΚΕΦ. ΚΓ'.

Ἐξῆλθεν οὖν σὺν αὐτῷ καὶ εἶπε· « Τέκνον Κανδαύλη, καὶ σὺ θύγατερ Ἅρπυσσα (1), εἰ μὴ κατ' εὔκαιρον (2) εὕρετε (3) τὴν στρατιὰν Ἀλεξάνδρου, οὐδὲ ἐγὼ ὑμᾶς ἀπελάμβανον, οὔτε τὴν σεαυτοῦ γυναῖκα εὕρηκας· ὥστε ἄξιοι γενώμεθα τοῦ ἀγγέλου Ἀλεξάνδρου καὶ δῶμεν αὐτῷ δωρεάς. » Εἶπε δὲ αὐτῇ ὁ ἕτερος υἱὸς (4) ὁ μικρότερος· « Ἔσωσε (5) τὸν ἀδελφόν μου καὶ τὴν τούτου γυναῖκα ὁ Ἀλέξανδρος (6), ἄχθεται δὲ ἡ ἐμὴ γυνὴ τοῦ πατρὸς αὐτῆς Πώρου ἀναιρεθέντος ὑπὸ Ἀλεξάνδρου, καὶ τὸν ἐκείνου ἄγγελον εἰς χεῖρας ἑλοῦσα ἀναιρῆσαι θέλει τὸν Ἀντίγονον (7). » Εἶπε δὲ ἡ Κανδάκη· « Καὶ τί τὸ ὄφελος, τέκνον; ἐὰν τοῦτον φονεύσῃς, ἐνίκησας τὸν Ἀλέξανδρον (8); » Εἶπε δὲ ὁ Κανδαύλης πρὸς τὴν ἑαυ-

13. τί θυμαίνῃ; τί τρίζεις τοὺς ὀδόντας; τί δύνασει ποιῆσαι; Ὁ δὲ εἶπεν A; τί τρίζεις τ. ὀδόντας; τί δύνασαι ποιῆσαι; ὡς διενοήθης, ὁ τηλικοῦτος β. γενόμενος ἐπιάσθης καὶ ἐγένου ὑποχείριος μιᾶς γυναικός. C. ‖ 14. Ὁ δὲ εἶπεν· Ἐὰν εἶχον τὸ ξίφος μοῦ, ἀνῆρουν σὲ πρώτην, ἵνα μὴ ὑπῆρχον σῇ ὑποταγῇ (supra script. ἐπιταγῇ)· εἶτα ἐμαυτοῦ προδότης ἐγενόμην A. ‖ 15. pergit C : ἔγνω γὰρ αὐτοῦ τὴν βουλήν· καὶ ὡς αὐτοῦ συνεπεπτώκει τὸ πρόσωπον, περιπλακεῖσα τοῦτον κατεφίλησεν εἰποῦσα· « Μὴ συμπεσέτω σου τὸ πρόσωπον, τέκνον Ἀλ., μηδὲ ἀγωνία μηδὲ λογίσῃ κατὰ σεαυτοῦ κακόν· ὥσπερ γὰρ σὺ etc. C. ‖ 16. pergit C : Λοιπόν, τέκνον, μὴ δοκήσῃς κατὰ σεαυτοῦ τι τῶν ἀνιαρῶν· ἀλλὰ μᾶλλον πλεῖστά σοι δῶρα δοῦσα ἐξαποστελῶ σέ· οὐ γὰρ ἐμοί ἐστι θεμιτὸν τὸν τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα ἔν τε φρονήσει καὶ ἀνδρείᾳ κακῶς διατεθῆναι, ἀλλὰ καὶ μετὰ τῆς προσηκούσης τιμῆς τῷ ἰδίῳ ἐκπέμψω στρατῷ. Εἴθε δέ μοι παῖδά σε ἔχοιμι, Ἀλέξανδρε, καὶ διά σου πάντων τῶν ἐθνῶν ἐκυρίευον· οὐ γὰρ πολεμῶν ἐχειρώσω τοὺς πολεμίους καὶ τὰς πόλεις, ἀλλ' ἀγχινοίᾳ πολλῇ. Πλὴν ὡς γνησία σοι νουθετῶ μήτηρ, μηκέτι ἑαυτοῦ κατάσκοπος γίνῃ· οὕπω γάρ, τέκνον, ἐπίστασαι τὰ τῆς τύχης ἀπόκρυφα. » Καὶ ταῦτα εἰποῦσα ἡ Κανδάκη κρατήσασα αὐτὸν τῆς χειρὸς ἐξῆλθεν etc.

Cap. XXIII. 1. sic C; ἅρπουσα ἡ ἁρπαγεῖσα B., ματέρσα A; *Margie* Valer. ‖ 2. sic A; κατ' εὐθὺν καιρὸν B; κατ' εὐθείαν καιροῦ C. ‖ 3. εὑρες B; εὕρητε C; εὑρήκητε A; mox ἀπολαμβάνω B, et δώσωμεν BC. ‖ 4. ὁ δεύτερος ἑστῶς A. ‖ 5. Μῆτερ βασίλισσα Κανδάκη, ἔσωσε C. ‖ 6. pergit A : δῶμεν ὃ βούλει. » Ὁ δὲ τρίτος εἶπεν· Μῆτερ, ἀπόστα, ἡ ἐμὴ γυνή, ἀναιρεθέντος παρὰ Ἀλεξάνδρου τοῦ πατρὸς [ὁ πατὴρ cod.] αὐτῆς, λυπῆσαι θέλει τὸν Ἀλέξανδρον καὶ τὸν ἐκείνου ἄγγελον etc. ‖ 7. add. C : καὶ λυπῆσαι τὸν Ἀλ. ‖ 8. καὶ τί σοι ὄφελος, τέκνον, ἐὰν τοῦτον ὧδε κολάσῃς; οὐδὲν μέλει Ἀλεξάνδρῳ, ἐὰν τοῦτον

---

probat sane, sed in respondendo sic ait : « Vera mihi dixisti hoc, Alexander mi. » Tum audito nomine obstupescens, « Apage, inquit, o regina, hoc a me nomen, quippe ipse Antigonus vocor : enimvero Alexander nobis rex cluit : cujus ego nunc internuntius huc adveni. » Et regina post hæc : « Esto sane, inquit, Antigonus apud ceteros, mihi tamen nomine Alexander rex eris. Neque nesciens id habeo; haud differam probationem. » Et cum dicto adprehendens in penita perducit, olimque provisam imaginem ostendit. Agnoscisne, ait, Alexandri illius quem mentiri non potes faciem? Sed quidnam intremuisti quidve turbaris ex vultu? Non ille tu Persarum potens es? non Indiæ dominus? non qui jam orientem omnem trophæum tuum feceris, Parthis et Medis imperans? An vero te pudet sine militia vel expeditione in manus feminæ devenisse? Quare conice quæso quid te juvarit tua illa famosa prudentia, cum nunc Candacem tui videris sollertiorem. Quod igitur huc attinet, arrogantiam nimiæ prudentiæ jam deponito. » Hæc illa dicente, nec vultu constare Alexander, quin etiam infrendere dentibus videbatur. Et regina subridens : « Quid te juvat, inquit, hæc tua tacita indignatio sic sævientem vel si mavelis insanientem? » Ad hæc ille, « Una mihi, nam sane profitendum est, ait, vel maxima indignatio est, quod mihi gladius meus huc comes non sit. » « Et cuinam usui, regina respondit, gladium tibi nunc requiris? At ille : « Quod enim in hujuscemodi tempore atque rebus regale admodum munus foret, interfecta te comitem me præmissæ morti præstitisse, ne quid sit fœdius quod præteritas nostras glorias obumbraverit. » « Accipio, inquit Candace, professionem dignam viro et animo sane regali : sed metum hunc abicias velim, et magnitudinem gratiæ tuæ beneficique considerans dignam vicissitudinem spera. Quod enim filio Candauli meo in Bebryciorum ultione præstitisti, id tibi ego in tua salute præstabo, atque apud gentiles barbaros meos fidem veri clam habebo; quippe cum palam sit a cæde tui homines natura sæviores haud facile temperaturos, si quid ad fidem venerit, præsertim cum tu etiam Pori sis interfector, cujus filiam scito junioris mei filii conjugio copulatam. Quare esto Antigonus apud illos, cum mihi soli Alexander habeare. »

XXIII. Et cum hisce dictis egreditur, atque ad Candaulem sic ait : « Fili Candaule, tuque Margie nurus suavissima, gaudeo admodum quod in tempore fuit vestro Alexandri regis auxilium repperisse : ceteroqui vobis vidua jam et lugubris hic sederem. Dignum igitur fortuna nostra erit internuntium Alexandri donatum muneribus hinc remitti. » Sed ad hæc junior Candaces filius Charogos nomine : « Quam vellem, inquit, o mater, nostræ quoque injuriæ meminisse! Neque enim clam te, illum quem opitulatum salutariter dicas fratri meo, mei quoque soceri interfectorem extitisse. Erit igitur memoriter ac juste etiam indignantis, si vel in hoc Alexandri internuntio ejus ulciscamur injn-

τοῦ ἀδελφόν· « Ἐμὸς σωτὴρ ἐγένετο καὶ τῆς ἐμῆς γυναικὸς, κἀγὼ (υ) τοῦτον διασώσας πέμψω πρὸς Ἀλέξανδρον. Οὐκοῦν ἕνεκα τούτου καὶ ἡμεῖς ὧδε συνάψωμεν μάχην πρὸς ἀλλήλους. » Ὁ δὲ ἀδελφὸς αὐτοῦ ἔφη· « Ἐγὼ μὲν, ὦ ἀδελφέ μου, οὐ θέλω· εἰ δὲ σὺ τοῦτο βούλει, ἑτοιμότερός σου εἰμί. (10) » Καὶ ταῦτα εἰπόντες ἐτρέποντο μονομαχῆσαι εἰς ἀλλήλους. Ἡ δὲ Κανδάκη ἀγωνίσασα περὶ τῶν ἑαυτῆς τέκνων, μὴ ἔλθωσιν εἰς μάχην, λαβοῦσα τὸν Ἀλέξανδρον κατὰ μόνας λέγει αὐτῷ· « Ἀλέξανδρε, φρενήρης τυγχάνων (11) καὶ τοσαύτας πόλεις καταλύσας (12), οὐδεμίαν δύνασαι ἀφορμὴν φρενῶν εὑρεῖν, ὅπως μὴ διά σε πολεμήσωσι τὰ τέκνα μου πρὸς ἀλλήλους; » Ὁ δὲ Ἀλέξανδρος ἔφη· « Ἐγὼ ἐλθὼν εἰρηνεύσω αὐτούς (13)· » καὶ ἐλθὼν μεταξὺ ἀμφοτέρων Ἀλέξανδρος λέγει· « Ἄκουε * καὶ σὺ, Καυδαύλη· ἐάν με ὧδε ἀναιρήσητε, οὐδὲν μελήσει Ἀλεξάνδρῳ· ἐγὼ γὰρ Ἀντίγονος καλοῦμαι· οὔτε γὰρ οἱ ἄγγελοι οἱ ἀποστελλόμενοι εἰς μάχην πολύτιμοί εἰσιν· ὥστε οὖν ἐμὲ ἐὰν ὧδε ἀναιρῆτε, ἐχει ἄλλους πλείονας Ἀλέξανδρος. Εἰ δὲ βούλεσθε παρ' ἐμοῦ λαβεῖν αἰχμάλωτον τὸν ἐχθρὸν ὑμῶν Ἀλέξανδρον, ὑπόσχεσθέ μοί τι μέρος ὡρεᾶς δοῦναι ἐνταῦθα, ἵνα πρὸς ὑμᾶς καταμείνω καὶ κατεργήσω τὸν Ἀλέξανδρον ὧδε παραγενέσθαι, ὡς ὑμῶν βουλομένων ἃ ἡτοιμάσατε δῶρα κατ' ὄψιν αὐτοῦ ἀποδοῦναι· καὶ τότε τὸν ἐχθρὸν ὑμῶν ὑποχείριον λαβόντες ἑαυτοὺς ἐκδικήσαντες ἀναπαύθητε. » Ἐπείσθησαν δὲ αὐτῷ οἱ ἀδελφοὶ καὶ ἦλθον εἰς ἀγάπην (14). Ἡ δὲ Κανδάκη θαυμάσασα τὴν τοῦ Ἀλεξάνδρου φρόνησιν εἶπεν αὐτῷ· « Ἀντίγονε εἶθε ἦς μου υἱὸς καὶ σὺ, καὶ διά σου πάντων τῶν ἐθνῶν κατεκράτουν· οὐ γὰρ πολέμῳ ἐχειρώσω τοὺς πολεμίους καὶ τὰς πόλεις, ἀλλὰ ἀγχινοίᾳ πολλῇ. Ἤσθη (15) μὲν οὖν παρ' αὐτοῖς δορυφορούμενος, εὐκρατῶς τῆς Κανδάκης φυλασσούσης Ἀλεξάνδρου τὸ μυστήριον. Μετὰ δὲ ἡμέρας τινὰς δίδωσιν αὐτῷ ἡ Κανδάκη δῶρα βασιλικὰ, στέφανον ἀδαμάντινον πολύτιμον καὶ θώρακα διὰ λίθων καὶ βηρύλλων καὶ χλα-

ἀνελῆς. A. ‖ 9. καὶ δεῖ με τοῦτον σῶον ἐκπέμψαι πρὸς Ἀλέξανδρον A. ‖ 10. ἑτοιμότερόν με εὑρήσεις. Ἡ δὲ Κανδάκη etc. A. ‖ 11. πανταχοῦ φρενῆρης γενόμενος οὐδὲ μίαν δύνασαι etc. A. ‖ 12. κ. τοσαῦτα πράγματα ἑρᾷς C. ‖ 13. pergit codex C : Ἡ δὲ Κανδάκη πάλιν ἐξελθοῦσα πρὸς Δορὴρ τὸν καὶ Θοάντα καὶ Φύρμον καλούμενον, τὸν υἱὸν αὐτῆς, ἔφη· Τέκνον, ὁ Ἀλέξανδρος αἰχμάλωτον ὄντα τὸν σὸν ἀδελφὸν ἐλυτρώσατο μετὰ καὶ τῆς αὐτοῦ γυναικὸς ἐκ τοῦ τυράννου τῶν Βεβρύκων, καὶ φίλος ἡμῶν ὁ κοσμοκράτωρ κατένευσεν ἔσεσθαι, ὥστε τὸν ποιήσαντα ἔλεος μετὰ τοῦ ἀδελφοῦ σου πρέσβυν ἐξαποστεῖλαι. Καὶ ἀντὶ τῶν ἀγαθῶν ὧνπερ παρ' ἡμῶν ὠφείλει, παθεῖν ἀλλὰ καὶ φονευθῆναι τοῦτον ἀπειλεῖς; Μὴ τέκνον· καὶ γὰρ Ἀλέξανδρος φιλικῶς πρὸς ἡμᾶς διάκειται, οὗπερ οὐκ ἐσμεν ἄξιοι. Καὶ μὴ τὸν θυμὸν αὐτοῦ ἐπάξῃς ἐφ' ἡμᾶς· ἀκηκόαμεν γὰρ μηδένα εὑρεθῆναι ἐν τῇ ὑπ' οὐρανὸν τοῦτον παροξύναντα μὴ ἐμπεσεῖν εἰς τὰς χεῖρας αὐτοῦ. Βλέπε οὖν, τέκνον, μὴ καὶ ἐν ἡμῖν τὰ ὅμοια πᾶσι συμβήσηται. » Δορὴρ δὲ ἐπὶ τούτοις οὐκ ἐπείθετο, ἀλλ' ἔλεγεν ἀναμφιβόλως τὸν Ἀλέξανδρον ὡς Ἀντίοχον ἀποκτεῖναι· « ὡς Ἀλεξάνδρῳ λύπην, μῆτερ, ἐπάξω τὸν αὐτοῦ θανατώσας παῖδα Ἀντίοχον· καὶ γὰρ αὐτὸς οὐ μετρίως μὲ λελύπηκε Ἥρων τὸν ἐμὸν πενθερὸν ἀποκτείνας· καὶ μετὰ ταῦτα οὐδεμία μοι ἔσται φροντίς. » Ἐπὶ τούτοις Ἀλέξανδρος ὡς Ἀντίοχος παραγίνεται ἔνθα ἦν κεκρυμμένος παρὰ Κανδάκης, καί φησι πρὸς τὸν Δορήρ· « Εἰ θέλεις θανατῶσαί με, τὸ ξίφος μοι πάρεχε, κἀγὼ ἐμαυτὸν ἀνελῶ, οὐ γὰρ παρ' ἑτέρου ἀποθανοῦμαι· καὶ γὰρ οὐ φοβερὸς καθέστηκε τοῖς Μακεδόσιν ὁ θάνατος καθὼς ὑμεῖς τοῦτον δεδοίκατε. Τί οὖν ἀπολογήσῃ πρὸς Ἀλέξανδρον, ἐπὰν καταλάβῃ τὸ τοῦ οἰκέτου ἐκζητήσων αἷμα· οὐ γὰρ ὀλίγῃς αὐτῷ περὶ ἐμοῦ, καὶ οὐ μελήσει αὐτῷ περὶ ἐμοῦ· ἐγὼ γὰρ Ἀντίοχος καλοῦμαι etc. ut in cod. B A. ‖ 14. Post hæc C pergit : ἐγκρατῶς δὲ τῆς Κανδάκης φυλαττούσης Ἀλεξάνδρου τὸ μυστήριον, μετὰ δὲ ἡμέρας δέκα δίδωσιν αὐτῷ etc. Intermedia jam protulerat in antecedd. ‖ 15. sic A; ἴσθι οὖν Δορ. B.

---

riam. » Sed ad hæc regina Candace : « Neque, inquit, o nate, mihi ad Alexandrum istud injuriæ facit, et perfacile damnum est regibus uno milite caruisse. Tunc legationis jus et fœdus perpetuum internuntiorum in nobis claudicare non sinam. » Ad hæc Candaules etiam excipit : « Neque sane ad ista quæ justa sunt a nobis quoque aberit Antigono defensatio : neque enim ingenuæ conscientiæ est, a quo tibi salutem datam tuisque fatearis, ejus injustum exitium prodidisse. » Sed enim fortior juvenis : « Numquid ergo mavis, Candaule, super hoc Antigoni præmio bello nos decernere? Utrum enim justius sit, vide, ultionem suis an vero vicem gratiæ præstitisse? » Ibat adolescentior fervor et vis cum impetu animi regalis, et ex pari utriusque gliscens indignatio asperabatur : metuebatque mater nequid ætas illa temere consultaret. Seducto igitur Alexandro : « Nunc, inquit, tempus est tuæ celebratæ prudentiæ : repperiendum enim consilii genus, quo filiis causa civilis prœlii dilabatur. » Bono animo esse reginam Alexander jubet. Quare reversus ad juvenes, « Neque me sane, ait, minæ istæ mortis magnopere terrebunt, nec regi meo damnosa satis videbitur ista jactura. Quot enim satellitum milia, et quantus animantium numerus hoc regi obsequium meliusque hoc præstare poterit? Enimvero ego cessi Candacis gratiæ, vesterque jam fuam, si quidem ita nobis ad fidem sederit, uti ex prædicatione vestri præsertim hisce liberalitatis indiciis faciam Alexandrum ductum huc ad vos sponte pervenire, præsertim adeo inmodice habendi cupidum atque opibus inhiantem : qui cum perexiguo comitatu vestræ se fidei commiserit, haud magni faciam quid de ejus exitio consultatis : modo ut vos gratiæ memores remuneraturosque in posterum mihi vos sedulo promittatis. » Sed et sponsionem adolescens, et Candace protinus inventi prudentiam demirabatur. Rursusque secreto : « Utinam, Alexander mi, te quoque velles ad numerum mihi addere filiorum! Quis enim dubitet, tunc demum fore Candacem orbis universi reginam, si talis quoque mater filii putaretur? Ego jam credo non te plus ferro vel prœliis quam actu etiam celebris prudentiæ gentibus præstitisse. Confirmo igitur tibi rursus eandem illam fidem sponsionis meæ, neque te, ut res est, noscendum cuipiam profitebor. » Ergo post paucos admodum dies digredienti dat secretius munera coronam auream adamantibus coruscantem prorsus ac si regiam, thoraca varium ex unionibus beryllisque, chlamydem etiam purpuream intextamque auro, aliaque præterea

μύδα ἀστεροφεγγῆ ὁλοπόρφυρον διὰ χρυσοῦ (16) καὶ πάντα ἅπερ εἶχεν εὐτρεπισθέντα, ἐλέφαντας πέντε περφορτισμένους καὶ ξύλινον κάστρον ἐπάνω αὐτῶν κείμενον καὶ τέσσαρα κώδωνας ἀργυρέους (17) ἐφ' ἕνα ἕκαστον αὐτῶν παμμεγέθεις, δύο ἔμπροσθεν καὶ δύο ὄπισθεν, καὶ ὀκτὼ ἄνδρας ἐφ' ἕκαστον τῶν ἐλεφάντων· καὶ ἐκπέμπει αὐτὸν μετὰ παραδοχῆς πολλῆς καὶ τῶν ἰδίων στρατιωτῶν (18).

ΚΕΦ. ΚΔ'.

Ὁδοιπορήσας δὲ Ἀλέξανδρος ἡμέρας τεταγμένας ἦλθεν ἐπ' ἐκείνους τοὺς τόπους ἔνθα εἶπεν αὐτῷ Κανδαύλης τοὺς θεοὺς ἐκεῖ διαιτᾶσθαι. [Θύσας δὲ (1) τοῖς τόποις καὶ χοὰς σπεισάμενος εἰσῆλθεν] ἔνδον μετὰ ὀλίγων στρατιωτῶν, καὶ εἶδεν [ὁμίχλην ἀστεροφεγγῆ, στίλβοντά τε ὀροφώματα ἀστέρων βολαῖς· ἔξωθεν δὲ] φαντασίαν εἰδώλων (2), καὶ πυρὸς ἀστραπήν. Ὁ δὲ Ἀλέξανδρος ἐδειλίασεν ἀπορίᾳ ληφθείς· ἐπέμεινε δὲ ἰδεῖν τὸ ἀποβησόμενον. Ὁρᾷ δέ τινας ἄνδρας ἀνακειμένους ἀστράπτοντας ἐκ τῶν ὀφθαλμῶν ὡς λύχνου φέγγει, ἕνα δὲ λέγοντα αὐτῷ, « Χαίροις, Ἀλέξανδρε· οἰδάς με τίς εἰμι; » [Ὁ δέ· « Οὐχί, κύριε. » Ὁ δὲ εἶπεν· « Ἐγώ εἰμι Σεσόγχωσις] κοσμοκράτωρ [συνδίαιτος θεῶν γενόμενος], οὐ τοσοῦτον δὲ εὐτύχησα ὅσον σύ· ἔχεις γὰρ ὄνομα ἀθάνατον, κτίσας τὴν περιπόθητον ἐν Αἰγύπτῳ Ἀλεξάνδρειαν. » Εἶπε δὲ Ἀλέξανδρος· « Πόσα ἔτη ζήσομαι; » Ὁ δὲ ἔφη αὐτῷ· « Καλὸν μὲν θνητὸν (3) ὄντα μὴ εἰδέναι πότε τελευτᾷ· προσδεχόμενος γὰρ τὴν ὥραν ἐκείνην, ὁπότε ἔμαθεν, ἐτελεύτησε· τῷ δ' ἐν ἀγνοίᾳ (4) ὄντι τῶν μελλόντων λήθην παρέχει τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ καὶ ὅλως τελευτᾷ· σὺ μέντοιγε κτίσεις πόλιν περίφημον πᾶσιν ἀνθρώποις, καὶ πολλοὶ βασιλεῖς ἐπιβήσονται τῷ ἐδάφει αὐτῆς σε προσκυνοῦντες (5)· οἰκήσεις δὲ αὐτὴν καὶ θανὼν καὶ μὴ θανών· τάφον γὰρ αὐτὴν ἕξεις ἣν κτίζεις πόλιν. » Καὶ οὕτως εἰπόντος αὐτοῦ (6) ἐξέρχεται Ἀλέξανδρος.

‖ 16. διὰ χρυσοῦ om. B. Sequentia usque ad verba ἐφ' ἕκαστον τῶν ἐλεφάντων unus habet B. ‖ 17. κώνδονα ἀργύριοι cod. ‖ 18. addit C : Ἅμα δὲ καὶ Κανδαύλης συνεξῆλθε μετ' αὐτοῦ μέχρι τῶν ἑαυτοῦ ὁρίων, ἐπιδοὺς αὐτῷ καὶ ἐκ τῶν αὐτοῦ παίδων ἄνδρας τριάκοντα, οἵτινες καὶ μέχρι τοῦ στρατοπέδου ἦλθον σὺν Ἀλεξάνδρῳ. Ἐκεῖσε δὲ αὐτὸν γνωρίσαντες οὐ μετρίως κατεπλάγησαν. Ὁ δὲ Ἀλεξάνδρος αὐτοὺς φιλοφρονησάμενος ἀπέστειλε πρὸς Κανδαύλην εἰπών· « Ἅπιτε πρὸς τὴν βασίλισσαν Κανδάκην, καὶ εἴπατε αὐτῇ ὅτι Ἀλέξανδρος τῷ ἰδίῳ στρατοπέδῳ διασέσωσται, καὶ ἐφ' ὑμᾶς τὴν φάλαγγα ἐπεκτεῖναι ἠβούλετο, εἰ μὴ τὸ ἔν σοι αὐτοῦ κατεκράτησε δέος.

Cap. XXIV. Quæ in hoc capite leguntur alio transposuit cod. C. Vide cap. 21. ‖ 1. inclusa supplevi ex A. ‖ 2. addit A corrupta hæc καὶ θρυόην (θορύβην?) σιγὴν (l. σιγῇ) δεδουλωμένην. Cf. Valerius. ‖ 3. τὸν ὄντα εἰδέναι B. Totus hic locus plenius legitur I, 23, ubi Ammon hæc vaticinatur. ‖ 4. τὴν δὲ ἐν ἀγνοίᾳ ὄντα τῶν ὄντων τούτῳ λήθην περιέκειτο καὶ ἐφ' ἕκαστα γνῶναι εἰ καὶ καλῶς τελευτᾷ B. ‖ 5. ἐπιβήσονται τοῦ ἐκδαφῆσαι αὐτὴν B; ἐπιβ. τῷ ἐδάφει σε προσκυνοῦντες A. ‖ 6. εἰπόντος τοῦ ἀγγέλου A.

---

cum testimonio publico, quæ ad satellitem pertinerent, jubetque hominem deduci eo, et per satrapas vicissimque profectum repedare quo venerat.

XXIV. Ubi igitur ad id loci Alexander venit, quas Candaules ei deorum domus esse confessus est, sperat posse illic sibi cum diis immortalibus verba ex præsentium copia opinari; sacrificatus ibidem convivatusque, adhibet etiam ex comitibus quam paucissimos. Interea intervenire quasdam formarum effigies videt tenui quidem, sed corusco sub lumine, ut si conventu nebuloso vera primum occurrentium confundantur: tum etiam circumsistentia tecta undique consplendescere: et cum his una crescit turba formarum, et murmur præsentium usurpatur, et fit prorsus unum diis hominibusque convivium. Hic animo confusus reverentia debita Alexander trepidare: quippe intuenti videri jam clarius erat flammas quasdam ex oculis deorum discumbentium promicantes, prodique effigies quas haud dubie divinas esse vel brutissimus sentiat. Unus ergo tandem ex his: « Ave, inquit, Alexander mi. » Tunc cum rex venerationem debitam reddidisset, quæsissetque, quis esset qui se foret hac salutatione dignatus: « Ego, inquit, Sesonchosis ille sum: sed enim, ut vides, adscitus convivio cœlitum ago una cum diis, quod profecto te quoque procul dubio jam manebit. » Ad hæc Alexander cum ratum spei istius requisisset, Sesonchosis rursus: « Jure, inquit, ista tibi sperare convenit, qui inter cetera laboris et gloriæ, ejus quoque urbis auctor extiteris, quæ rebus humanis magnificentia pariter antistet et gloria. Quare abi introrsus, ut summi quoque potentiam numinis coram salutes. » Tum audacior rex ingressus sacri loci penita, majestatis effigiem videt et fulgore ethereo nitentem; enimvero sedentarium talemque prorsus, qualem apud Rhacotin adoratum a sese summum deum præsidem Serapim meminisset. Ibi ergo cum augustissimum numen Alexander salutasset, agnitionemque confessus esset olim visitati dei, rursus Sesonchosis sic exorsus: « Numnam, inquit, tibi, Alexander, mirum est in tam longinquo dei hujus præsentiam visam esse? sed idem ubique totus ac præsens est, ait. Quod enim cæli ambitus ubique præstiterit homini, id hujus quoque numinis vis, [quæ] numquam frustra veluti per absentiam requiritur. » Tum Alexander occasionem veri audiendi ratus, protinus sciscitatur, quantum sibi ad vitæ spatia polliceretur? Sed Sesonchosis: « Et ante jam dictum fuit, inquit, tibi, nihil homini commodare præscientiam quam requiris. Quippe viventi de vitæ termino ratum dicere nihil aliud est quam longum mœrorem ei et perpetem contulisse; spem vero vivendi perinde fieri longissimam, si præsentibus perfruare. Quod ergo tuum est ac beatudini tuæ proficit, urbs tellusque quam delegisti erit orbis inlustrior, eoque tibi nunc et in posterum una erit omnium veneratio: deus denique præsidebit: his etiam lætetis si hominem demutaveris. » Post hoc responsum

ΚΕΦ. ΚΕ'.

Καὶ παραλαβὼν τοὺς ἰδίους τὴν ὁδοιπορίαν ἐποιήσατο ἐπὶ τὰς Ἀμαζόνας. » [Ὑπήντησαν (1) δὲ αὐτῷ οἱ σατράπαι καὶ ἔστεψαν αὐτὸν τῷ διαδήματι καὶ ἔδωκαν αὐτῷ τὴν βασιλικὴν ἐσθῆτα.] Καὶ γενόμενος παρ' αὐτὰς [καὶ στήσας σκηνὰς] ἀπέστειλεν αὐταῖς γράμματα περιέχοντα οὕτω· « Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. Τὴν μὲν πρὸς Δαρεῖον μάχην οἶμαι ὑμᾶς ἀκηκοέναι· ἐκεῖθεν δὲ εἰς τοὺς Ἰνδοὺς ἐστρατεύσαμεν καὶ ἡττήσαμεν τοὺς ἡγουμένους αὐτῶν· καὶ κατεδουλώσαμεν αὐτοὺς διὰ τῆς ἄνω προνοίας· ἐκεῖθεν δὲ εἰς τοὺς Βραχμᾶνας ὠδεύσαμεν τοὺς καλουμένους γυμνοσοφιστάς· καὶ λαβόντες φόρους παρ' αὐτῶν παρακαλεσάντων ἡμᾶς (2), ἀφήκαμεν ἐπὶ τὸν ἴδιον τόπον καταμένειν, καὶ ἐν εἰρήνῃ τὴν χώραν καταστήσαντες (3) παρεάσαμεν. Ἐκεῖθεν οὖν ἀναζευγνύομεν πρὸς ὑμᾶς· ὑμεῖς οὖν συναντήσαντες ἡμῖν γηθοσύνως ὑποδέξασθε· οὐ γὰρ ἐρχόμεθα κακοποιήσοντες, ἀλλ' ὀφόμενοι τὴν χώραν, ἅμα δὲ καὶ ὑμᾶς εὐεργετῆσαι· Ἔρρωσθε.

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου καὶ ἀναγνοῦσαι ἀντέγραψαν αὐτῷ ταῦτα « Ἀμαζόνων αἱ κράτισται καὶ ἡγούμεναι Ἀλεξάνδρῳ βασιλεῖ χαίρειν. Ἐγράψαμεν δὲ ὅπως ἴδῃς πρὸ τοῦ σὲ ἐπιβῆναι ἐπὶ τοὺς τόπους ἡμῶν, ἵνα μὴ ἀδόξως ἀναλύσῃς. Διὰ τῶν γραμμάτων ἡμῶν ἤδη διασαφοῦμέν σοι τὰ κατὰ τὴν χώραν ἡμῶν καὶ ἡμᾶς αὐτὰς οὔσας σπουδαίας τῇ διαίτῃ. Ἔσωθεν γὰρ τοῦ Ἀμαζονικοῦ ποταμοῦ, πέραν οἰκοῦμεν, ἐν μέσῳ δέ (4). Ἔστι δὲ τὸ περίμετρον τῆς γῆς ἡμῶν ἐνιαυτοῦ ἔχον κύκλωμα· ποταμὸς δὲ ἐστὶ κύκλωθεν (5) οὐκ ἔχων ἀρχήν. Ἔστι δὲ μία πρόσοδος ἡμῖν, δι' ἧς ἐρχόμεθα (6). Ἐσμὲν δὲ κατοικοῦσαι παρθένοι ἔνοπλοι μυριάδες (7) εἴκοσι ἑπτά· ἄῤῥεν δὲ ἐν ἡμῖν οὐδὲν ὑπάρχει, οἱ δὲ ἄνδρες πέραν τοῦ ποταμοῦ κατοικοῦσι, τὴν χώραν νεμόμενοι μετὰ τῶν ποιμνίων καὶ βουκόλων ἡμῶν (8). Ἡμεῖς δὲ κατ' ἐνιαυτὸν ἄγομεν πανήγυριν, ἱπποφονίαν (9), θύουσαι τῷ Διΐ καὶ Ποσειδῶνι καὶ Ἡφαίστῳ καὶ Ἄρει ἐπὶ ἡμέρας τριάκοντα· ὅσαι δὲ βούλονται ἐξ ἡμῶν περάσαι καὶ συμμιγῆναι αὐτοῖς, καταμένουσι πρὸς αὐτούς· καὶ τὰ θηλυκὰ ὅσα ἂν τίκτωσι τρέφονται παρ' αὐτῶν καὶ (10) γενόμενα ἑπταετῆ διαβιβάζουσι πρὸς ἡμᾶς. Ὅταν δὲ πολέμιοι ἐπιστρατεύσωσιν ἐπὶ τὴν ἡμετέραν χώραν, ἐκπορευόμεθα ἔφιπποι μυριάδες δώδεκα· αἱ δὲ λοιπαὶ τὴν νῆσον φυλάττουσι· καὶ ἐρχόμεθα εἰς συνάντησιν ἐπὶ τὰ ὅρια· οἱ δὲ ἄνδρες ὄπισθεν παρατεταγμένοι ἀκολουθοῦσιν ἡμῖν· καὶ εἴ τις ἐν τῷ πολέμῳ τραυματίας γένηται, προσκυνεῖται διὰ τῆς ἡμετέρας ἀγερωχίας, καὶ στερθεῖσα

Cap. XXV. 1. Inclusa addidi ex A. || 2. παρ. ἡμᾶς in cod. B. leg. post καταμένειν. Cod. C verba ἐκεῖθεν δὲ.. παρεάσαμεν omisit. || 3. ἐν εἰρ. κατ. add. ex A. || 4. sic C; παρανοικοῦμεν ἐν μέσῃ δὲ B; πέραν, οἰκοῦμεν δὲ ἐν μέσῳ A. Ludit auctor de insula loquens flumine cincta. || 5. ἐστὶ κ. om. B. || 6. ἐστὶ... ἐρχόμεθα add. ex C, pro quibus B : ἐν τῇ προσόδῳ αὐτῶν. Alia suboscura addit Valerius. || 7. χιλάδες κ' A. || 8. μετὰ ...τῶν.. ἡμῶν add. ex C. || 9. ἱπποφονίαν.. καταμένουσι supplevi ex A

et sacrum, Alexander haud difficile ad exercitum venit, Candacis corona et insignibus comptus.

XXV. Exim ad Amazonas ire festinat, ad quas præmittit litteras in hunc modum scriptas : « Victorias nostras et in Darium bella, eximque in alios quoscumque militavimus glorias, haud dubito vobis famæ ipsius magnificentiam commendasse. Nam et Pori fortunam et iter nostrum in Oxydracontas ac Brachmanas digne taceri non arbitror : in hoc nomine gymnosophistarum etiam per clementiam laudatiora : quippe quos siverim agere in pace, ac suis legibus moribusque donaverim. Quod si vobis haud displicet, accipite nos isto venientes, et, quod est amicitiæ munus, diis sacrificate pro nobis : jam quippe vobis aderimus. At vos velim obviare nobis animo gratante, cum ad amicitiam iter istud, non ad periculum sit futurum. » Ad hæc Amazones respondere : « Vel fiduciæ munus est, vel libertatis, omnia tibi, rex, scribere quæ penes nos sint : non quod fidem scriptis deroget ulla suspicio, sed ut plenius noscas, ecquid operis precii sit his quicunque hostili fervore in nos cupiant militare. Commune quippe humanitatis studium esse arbitramur, in quæque dubia ausuros nihil prius quam emolumentum laboris intueri oportere. Scito igitur primum colere nos interamnanum, Amazonico flumine locum omnem quo consistimus ambiente, eo fluenti circiter spatio ut una sit aditicula, eaque vix accolis nota, qua septem flumina vel inrumpi oporteat vel emergi : ejusque alvei tanta est difficultas, quanta nos a quibusvis periculis tueatur. Hoc igitur tantillo in loco ducenta milia virginum coimus, nullo omnino maris sexu interpolato. Enimvero sicubi nobis ad naturam est consulendum, annuum sacrum est quod hippophonia vocitamus. Ejus sacri causa ad mares nostros, qui ultra amnem extrinsecus perpalantur, omnes ferme transimus, atque illic per dies XXX inter hæc quæ diis aguntur, ubi fuerit ad lubentiam, nubimus. Nuptias vero cum maribus derelinquimus pactis et legibus, ut quæque exim ad sexum hunc editæ fiant, eædem post septennium in exercitum dimittantur. Sed ubi venerint, eruditur equis et peltis, donec armis idoneæ fuerint. Igitur nobis quocumque militandum, [et] XX milibus nostrum domi et in patria prætendentibus, [et] ceteris arma sumuntur; redeuntibusque mos est honorem pro vulneribus numerari. Ea nobis stipendia sunt, hæc provectio : tantumque quis nostrum honore dives est, quantum cicatricibus insignitior. Quippe et corona aurea redimitæ salutamur, atque adoramur a ceteris, et publicis conviviis adhibemur, et cuncta quæ sint nobis ad obsequium deferuntur. Quod si in bello mortem quam voti erit nobilis virgo strenue oppetet, et functæ honores adhibentur, et adfinitati functorum largæ pecuniæ honoresque numerantur. Ceterum nobis aurum non est neque argentum, nisi quod sit in insignibus militaribus. Hæc illa sunt in quibus impenduntur nostra discrimina, et in quæ omnia periclitandum est

ἀείμνηστος ὑπάρχει· εἴ τις δ' ἂν πέσῃ ἐν τῷ πολέμῳ ὑπερμαχοῦσα, αἱ ἔγγιστα αὐτῆς (11) χρήματα λαμβάνουσι οὐκ ὀλίγα ὄντα· ἐὰν δέ τις σῶμα ἀναγάγῃ τῶν ἐναντίων εἰς τὴν νῆσον ἡμῶν, πρόκειται ἐπὶ τοῦτο χρυσίον καὶ ἀργύριον καὶ σιτηρέσια ἐπὶ τὸ τοῦτο διαβιῶσαι (12), ὥστε ἡμᾶς ἀγωνίζεθαι ὑπὲρ τῆς ἰδίας δόξης· ἐὰν δὲ πολεμίων κρατήσωμεν ἢ φύγωσιν (13), αἰσχρὸν αὐτοῖς καταλείπεται εἰς ἅπαντα τὸν χρόνον ὄνειδος· ἐὰν δὲ ἡμᾶς νικήσωσιν, ἔσονται γυναῖκας νενικηκότες. Ὅρα οὖν καὶ σὺ, βασιλεῦ Ἀλέξανδρε, μὴ ταὐτά σοι συμβήσεται. Στεφανοῦμεν δέ σε κατ' ἐνιαυτὸν ὅσον ἂν συντάξῃς (14). Βουλευσάμενος οὖν ἀντίγραψον ἡμῖν καὶ εὑρήσεις ἡμῶν τὴν παρεμβολὴν ἐπὶ τῶν ὁρίων. Ἔρρωσο (15).

ΚΕΦ. Κς'.

Ὁ δὲ Ἀλέξανδρος ἐντυχὼν τοῖς γράμμασιν αὐτῶν καὶ μειδιάσας ἀντέγραψεν αὐταῖς οὕτω· « Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. Τῶν τριῶν μερῶν τῆς οἰκουμένης ἐκυριεύσαμεν, καὶ οὐ διελίπομεν ἱστῶντες τρόπαια κατὰ πάντων. Αἰσχρὸν οὖν ἡμῖν ὑποληφθήσεται ἐὰν μὴ στρατεύσωμεν πρὸς ὑμᾶς. Εἰ μὲν οὖν θέλετε ἀπολέσθαι καὶ ἀοίκητον τὴν ὑμῶν χώραν γενέσθαι, μείνατε ἐπὶ τῶν ὁρίων (1), καὶ εἰ βούλεσθε εἰς τὴν ἰδίαν γῆν οἰκεῖν καὶ μὴ πεῖραν πολέμου λαβεῖν, διαβᾶσαι τὸν ποταμὸν ὑμῶν ὄφθητε ἡμῖν (2). Ὡσαύτως καὶ οἱ ἄνδρες παραταξάτωσαν ἑαυτοὺς ἐν τῷ πεδίῳ. Καὶ ἐὰν ταῦτα πράξητε, ὄμνυμι ἐμὸν ἐγὼ πατέρα καὶ ἐμὴν μητέρα (3) μὴ ἀδικῆσαι ὑμᾶς· καὶ ὃν ἂν φόρον θέλητε λήψομαι παρ' ὑμῶν καὶ οὐκ ἐλευσόμεθα εἰς τὴν ὑμετέραν γῆν· ἃς δὲ ἂν κρίνατε ἐψίππους ἐξαποστείλατε ἐφ' ἡμᾶς· δίδομεν δὲ κατὰ μῆνα ἑκάστῃ τῶν πεμπομένων παρ' ὑμῶν ἀντιμισθίαν χρυσίου στατῆρα καὶ σιτηρέσια· μετὰ δὲ τὸν ἐνιαυτὸν αὗται μὲν ἀπελεύσονται ἐπὶ τὰ ἴδια, ἄλλας δὲ ἀποστείλατε. Βουλευσάμεναι οὖν ἀντιγράψατε ἡμῖν. Ἔρρωσθε. »

Δεξάμεναι δὲ καὶ ἀναγνοῦσαι τὰ γράμματα Ἀλεξάνδρου καὶ ἐκκλησίαν ἑαυταῖς ποιησάμεναι καὶ βουλευσάμεναι ἀντέγραψαν αὐτῷ ταῦτα (4)· « Ἀμαζόνων αἱ κράτισται καὶ ἡγούμεναι βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. Δίδομέν σοι ἐξουσίαν ἐλθεῖν πρὸς ἡμᾶς καὶ θεάσασθαι τὴν ἡμετέραν χώραν· τασσόμεθα δέ σοι κατ' ἐνιαυτὸν διδόναι χρυσίου τάλαντα ἑκατὸν, καὶ τὰς κρατίστας ἡμῶν πενταxοσίας ἀπεστείλαμέν σοι εἰς τὰ ὅρια εἰς ἀπάντησιν, φερούσας σοι τὰ χρήματα καὶ ἵππους γενναίους ἑκατόν. Αὗται μὲν ἔσονταί σοι τὸν ἐνιαυτόν· ἐὰν δέ τις διακορευθῇ ὑπό τινος ἀλλογενοῦς, μενέτω παρ' ὑμῖν· τὰς δὲ λοιπὰς ἐξαπόστειλον· λήψῃ δὲ ἄλλας. Πειθαρχοῦμεν δέ σοι καὶ παρόντι καὶ ἀπόντι· ἀκηκόαμεν γάρ σου τὰς ἀρετὰς καὶ τὰς ἀνδραγαθίας· ἡμεῖς γὰρ οὐ παρὰ

et C. ‖ 10. τρεφ. π. α. om. B; mox ἓξ ἔτη (sic) A. In seqq. pro τὰ ὅρια in cod. est τὰ ὄρη ‖ 11. ἡ ἐγγίζουσα, αὕτη.. καταλαμβάνει BC. ‖ 12. καὶ σίτησις διὰ βίου A. ‖ 13. πάλιν φύγωσιν BC. ‖ 14. στεφανοῦμεν.. συντάξῃς om. B. ‖ 15. ὄρεων C.

Cap. XXVI. 1. ὀρέων C. ‖ 2. πολέμου ὀφθῆναι ὑμῖν διαβάται εἰς τ. π. ὑ. καὶ ὀφθήσεται ὑμῖν B. ‖ (3). ὄμνυμι πατέρα ἡμῶν Δία καὶ Ἥραν καὶ Ἄρην καὶ Ἀθηνᾶν νικαφόρον A; ὄμνυμι τὴν ἄνω πρόνοιαν C. ‖ 4. Eandem hanc epistolam ad finem hujus capitis dabimus secundum codicem C. Subjungemus quæ deinceps in cod. C leguntur, Scilicet historiam de Eurymithra Alexandri strategemate devicto auctor de novo exponit, ita tamen ut alia quædam nova subjungat, quæ codex A et Valerius omnino non habent, cod. B vero in epistola Alexandri ad Olympiadem exponit.

---

quicumque Amazonas bello deposcent : cujus eventum non satis arbitramur utrique de pari. Quippe ubi Amazonibus auctor generis nostri Mars faverit, mares a feminis cæsi victique majore cum dedecore oppetent vel dilabentur. Ubi vero cum maribus steterit belli fortuna, pudenda res est, si quid hic sexus superatis feminis glorietur. Hæc tibi igitur, rex, responsa de nobis sunt, quarum si fiduciam probas, obsequium etiam non aspernabere : siquidem te coronamus corona aurea annua, quæ sit ponderis, quanto tu jusseris. Super his quod mavelis scribito : nos enim, si secus sederit, præter amnem in acie deprehendes. »

XXVI. Hisce rex lectis delectatus admodum, sic respondit : « Qui terræ ambitum diligentius mensi sunt, ejusmodi magnitudinem universi trifariam diviserunt, easque partes Asiam vel Europam vel etiam Libyam nominavere. In hisce igitur partibus universis trophæa quoque nostra consistunt : et est pudendum, si quibus nulla omnium obstiterit difficultas, a cognitione vestri veluti sub metus infamia declinemus. Quare vestræ sit facultatis, si quid de bello consultetis. Ceteroqui obsequium atque amicitiam diligentibus vicissitudo nostri non displicebit. Neque vero resistentibus exitium gentis et patriæ, neque cedentibus amica humanitas differetur. Progressæ igitur ultra qua lege vultis præter amnem, ad nos venite omnemque multitudinem vestram illic in ordines ponite. Quod ubi fuerit ex forma hujusce præcepti, ego vobis Ammona patrem meum, atque Junonem, Minervam etiam victricem juro, nihil amplius a vobis exactum iri quam si quid pro viribus offeratis. Mittite sane ad commilitium mihi strenuas quasque equites, quantas vultis, quibus singulis remuneratio erit minæ auri quinque præter cetera quæ ad hanc magnificentiam congruent. Enimvero istæ quas miseritis, ubi annuum nobis obsequium emensæ sint, in propria remittentur, uti pro hisce vicarias destinetis. Super his igitur, ut vobis commodum est, consultate. »

Igitur Amazones motæ rescribunt : « Et dare se regi quam cupiat veniendi facultatem, inspiciendique terras suas, et coronare se eum annuis talentis sex : quingentas etiam equites destinasse armatas et strenuas ut poposcerit, quæ per annos scilicet permutentur. Quod si qua ex hisce ad sexum suum cesserit, eam se petere ibidem desidere, inque ejus locum supplementum de gente postulari. Quippe Amazonibus certum esse parere viro absenti, cui cessisse omnium hominum genera didicissent.

τὴν οἰκουμένην οἰκοῦμεν, ἣν σὺ ἐπελήλυθας, ὥστε ἀντιποιεῖσθαι πραγμάτων· ἐδόκει δὲ ἡμῖν ἐπὶ τῆς ἰδίας γῆς κατοικεῖν ἡμᾶς καὶ πειθαρχεῖν σοι ὡς δεσπότῃ. Ἔρρωσο.

[Eadem e codice C.]

[Ἐπιστολὴ Ἀμαζόνων σταλεῖσα πρὸς Ἀλέξανδρον.

« Ἀμαζόνων αἱ κράτισται καὶ ἡγούμεναι βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. Τὰ μὲν γράμματά σου, Ἀλέξανδρε βασιλεῦ, ἐδεξάμεθα· ἃ καὶ ἐδηλοποίουν ἡμῖν ὡς τὴν ἡμετέραν καταλαβέσθαι πολίχνην ἠθέλησας [οὖν] καὶ μετὰ γυναικείου μαχήσασθαι στίφους· καὶ τοῦτο ἡμεῖς οὐκ ἐπιστούμεθα ἐν σοι εἶναι καταθύμιον. Ὅμως ὡς τοῦ κόσμου κυρίῳ καὶ ἡμεῖς ὑπείκειν ἠθελήσαμεν· τασσόμεθα δέ σοι δοῦναι κατ' ἐνιαυτὸν χρυσίου τάλαντα ἑκατόν, καὶ τὰς κρατίστας ἐξ ἡμῶν ἀποστέλλομέν σοι πεντακοσίας εἰς συνάντησίν σου, φερούσας καὶ τὰ χρήματα καὶ ἵππους γενναίους ἑκατόν. Αὗται μὲν οὖν ἔσονταί τοι τὸν ἐνιαυτόν, εἴ τις δ' ἂν διακορεσθῇ ὑπό τινος ἀλλογενοῦς, μενέτω παρ' ὑμῖν· τὰς δὲ λοιπὰς ἐξαποστέλλων, ὡς γράφεις ἡμῖν, λήψῃ ἄλλας. Πειθαρχοῦμέν σοι οὖν καὶ παρόντι καὶ ἀπόντι· ἀκηκόαμεν γάρ σου τὰς ἀρετὰς καὶ τὰς ἀνδραγαθίας· ἡμεῖς γὰρ οὐκ ἐσμεν παρὰ τὴν οἰκουμένην οἰκῆσαι· ἐλήλυθας δὲ ἡμῖν ὡς δεσπότης, ὥστε ἀντιποιεῖσθαι περὶ ἡμῶν. Καὶ τὰ μὲν ἡμῶν εὐτελῆ ἀπεστείλαμέν σοι δῶρα σὺν τοῖς ἐτησίοις φόροις. Δέξαι οὖν ταῦτα καὶ τὸν καθ' ἡμῶν θυμόν σου ἀπόστρεψον· καὶ ὁ μετὰ πλήθους ἀνδρῶν μαχησάμενος καὶ νικητὴς κράτιστος τοῖς πᾶσιν ἀναδειχθείς, μὴ θελήσειας καὶ γυναικείῳ χρήσασθαι αἵματι. Ἄδηλα τὰ τῆς τύχης συναντήματα, καὶ μήπω τὸ περιβόητον τῶν ἀνδραγαθημάτων σου ἐν γυναικείᾳ ἀπολέσειας μάχῃ. Ἐπὰν δὲ διελθὼν καὶ τῷ ἡμετέρῳ ὀχυρώματι μὴ ἰσχύσειας πεῖσαι, αἰσχύνῃ σοι ἀπράκτῳ ἐπιστρέφοντι. Ἐπὶ τοῦτο δεόμεθά σου, ὦ δέσποτα, ἡμῶν μὴ ὑπερίδῃς τὴν βουλήν· ὡς γὰρ δοῦλαι πισταὶ τῷ ἡμετέρῳ δεσπότῃ τεθαρήκαμεν τὰ συμβησόμενα δῆλά σοι ποιῆσαι· εἰκόνα δὲ σὴν ἐξαπόστειλον ἡμῖν, ἧπερ τὸ σέβας ἀντί σου ποιησόμεθα. Ἔρρωσο ὁ ἡμέτερος δεσπότης. »

Ὁ δὲ Ἀλέξανδρος ταύτην δεξάμενος τὴν ἐπιστολὴν καὶ ἀναγνούς, ἅμα μὲν τὰ δῶρα θεασάμενος, ἅμα δὲ καὶ φόρους χρόνων τριῶν, τήν τε τῶν γυναικῶν θέαν καὶ τὴν εἰς αὐτὰς σύνεσιν, ἐθαύμασε τοῦ τε κάλλους τὸ μέγεθος καὶ τῆς δυνάμεως αὐτῶν. Τὸ δόρυ οὖν αὐτοῦ ἐξαποστείλας εἶπεν· « Ἔστω ὑμῖν τοῦτο ἀντὶ Ἀλεξάνδρου. »

Καὶ δὴ τῶν ἐκεῖσε διελθὼν Ἀλέξανδρος, τῷ Εὐρυμίθρει τῷ ἄρχοντι τῶν Βελσυρῶν (in antecc. erat Βεβρύκων) ἦκε πολεμίσων, ὡς μὴ ὑποκύψαντι δουλικῶς τῷ Μακεδονικῷ κράτει. Μαθὼν δὲ τοῦτο ὁ Εὐρυμίθρης τοὺς ὑπ' αὐτὸν ἀναλαβόμενος ἄνδρας ὡσεὶ χιλιάδας ὀκτακοσίας πρὸς τοῦ Ἀλεξάνδρου παράταξιν ὥρμησεν. Ἐγγίσας δὲ πρὸς τὰς προφυλακὰς Ἀλεξάνδρου, ἐθεάθη ὑπ' αὐτῶν, καὶ δῆλα τῷ Ἀλεξάνδρῳ τὰ περὶ Εὐρυμίθρην ἐγένετο. Ὁ δὲ Ἀλέξανδρος τὰς προφυλακὰς αὐτοῦ δυναμώσας, καὶ εἰς πλῆθος χιλιάδων οὐκ ὀλίγων αὐτὰς ποιήσας πάντας χρυσέοις τεθωρακισμένους θώραξι, ταῖς πιστευθείσαις φυλακαῖς παραμένειν προσέταξε, Σέλευκον δὲ τοῦ στίφους ἡγεῖσθαι διωρίσατο. Ὁ οὖν Εὐρυμίθρης τῇ προλαβούσῃ νυκτὶ κατασκόπους εἰς τὸ τοῦ Ἀλεξάνδρου ἀπέστειλε φοσάτον· οἵτινες κατασκοπήσαντες ἐπανῆκον, « Μηδεμίαν, εἰπόντες, μνείαν ἡμῶν ἔχουσιν οἱ περὶ Ἀλέξανδρον. » Ὁ δὲ Ἀλέξανδρος ἐστρατοπεδοπλήσατο στρατιὰν ἀνείκαστον· Οἱ δὲ περὶ Εὐρυμίθρην βουλὴν τοιαύτην ἔδωκαν· « Οὐ δυνησόμεθα, ὦ Εὐρυμίθρη, πρὸς Ἀλέξανδρον ἀντιπαρατάξασθαι, εἰ μὴ τὰς προφυλακὰς προκαταλαβόμενοι ἀθρόως αὐτοῖς πόλεμον ἐπιρρίψομεν· τῷ οὖν ἀπροσδοκήτῳ θροηθέντες συντάγματι καὶ συναντήματι, φυγῇ χρήσονται, ἕκαστος περιποιούμενος τὴν ἑαυτοῦ σωτηρίαν. » Ταῦτα δὲ ἐβουλεύσαντο μήπω τὸ τοῦ Ἀλεξάνδρου νοήσαντες ἔνεδρον. Κυκλοῦσιν οὖν τὰς προφυλακὰς Ἀλεξάνδρου νυκτὸς ἐπιβάντες, τὸ δοκεῖν ἀσυντάκτους πάντας θηρεῦσαι. Ὡς δὲ τὰς παρατάξεις ἐθεάσαντο Ἀλεξάνδρου, τὰ πρὸς πόλεμον ἐπιλαθόμενοι, τὰ πρὸς φυγὴν ἤρξαντο δυσανασχετεῖν. Ὡς δὲ καὶ Σέλευκος ἐπὶ τούτοις ἐκτείνει τὴν φάλαγγα, παρευθὺς πάντες ἐτράπησαν εἰς φυγήν, ὡς πληρωθῆναι τὸ Ὁμηρικὸν ῥητὸν ἐν αὐτοῖς· « Ἐπέβη μὲν ὡς λέων, ἀντέβη δὲ ὡς ἔλαφος. » Ἐπιδραμόντες δὲ οἱ περὶ Σέλευκον, καὶ τὸν Εὐρυμίθρην προκαταλαβόντες, οὓς μὲν ἀνεῖλον, οὓς δὲ κατεδίωξαν ὀπίσω αὐτῶν ὁδὸν ἡμερῶν πεντήκοντα, μέχρις ὀρέων δύο τῶν μεγάλων ἐν τῷ ἀφανεῖ κόσμῳ, ἃ προσηγόρευον Μαζοὺς τοῦ Βορρᾶ. Ἐκεῖσε οὖν εἰσελθόντας οὐκ ἔτι αὐτοὺς κατεδίωξαν. Ἰδὼν δὲ Ἀλέξανδρος τὰ δύο ὄρη ἐκεῖνα ἐπιτήδεια εἶναι εἰς ἀποκλεισμὸν τῆς ἐξόδου αὐτῶν, ἐκεῖσε τε παραμείνας, τὸ θεῖον ἐξιλεοῦτο, ὅπως συνελθόντα τὰ ὄρη τὴν τούτων διακωλύσωσιν ἔξοδον. Στὰς δὲ ηὔξατο οὕτως εἰπών· « Θεὲ θεῶν καὶ κύριε πάσης τῆς κτίσεως, ὁ τῷ λόγῳ σου δημιουργήσας τὰ σύμπαντα, καὶ οὐρανὸν καὶ γῆν καὶ τὴν θάλασσαν· ἀδυνατεῖ δὲ οὐδέν σοι, ὡς γὰρ δοῦλα πάντα ὑπείκει τῷ λόγῳ τοῦ προστάγματός σου· εἶπας γὰρ καὶ ἐκτίσθησαν, ἐνετείλω καὶ ἐγεννήθησαν· σὺ εἶ μόνος αἰώνιος, ἄναρχος, ἀόρατος θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν σου· ἐπὶ γὰρ τῷ σῷ ὀνόματι καὶ θελήματι κἀγὼ ἐποίησα ἃ ἠθέλησας, καὶ ἔδωκας ἐν τῇ χειρί μου τὸν σύμπαντα κόσμον· παρακαλῶ οὖν τὸ πολυύμνητόν σου ὄνομα καὶ τήνδε μου τὴν δέησιν πληρῶσαι, καὶ τὰ δύο ὄρη ταῦτα θέλησον συνεισελθεῖν, καθὼς ᾐτησάμην σε, καὶ μὴ παραβλέψῃς με τὸν ἄθλιον τεθαρηκότα ἐπί σε. » Καὶ παραχρῆμα συνῆλθον τὰ ὄρη ἀλλήλοις ὡς ἀπὸ δέκα (ιϐ' cod. B.) πηχῶν, ἱστάμενα τὸ πρότερον ** (antea separati montes 46 cubitorum spatio, sec. cod. B. c. 29). Ἀλέξανδρος δὲ θεασάμενος τὸ γεγονὸς, τὸ θεῖον ἐδόξασε, καὶ ᾠκοδόμησε πύλας χαλκέας, καὶ τὸν στενὸν τόπον τῶν δύο ὀρέων ἠσφαλίσατο, καὶ περιέχρισεν αὐτὰς ἀσικήτῳ (ἀσβέστῳ?). Ἡ δὲ φύσις τοῦ ἀσικήτου οὔτε πυρὶ καίεται

οὔτε σιδήρῳ προσάπτεται. Ἔνδοθεν δὲ τῶν πυλῶν καὶ μέχρι τῆς εὐρυχωρίας βάτον ἐφύτευσε, ἥτις ἀρδευθεῖσα τοῖς ὄρεσιν ὑπερήχμασεν. Ἐκεῖσε οὖν ὁ Ἀλέξανδρος πρότερον πρὶν κλεισθῆναι τὰ ὄρη, εἴκοσι δύο βασιλεῖς ἐναποκλείστους ἐποίησε σὺν τοῖς μετ' αὐτῶν ἔθνεσιν ἐν τοῖς πέρασι τοῦ βορρᾶ, τὰς μὲν πύλας Κασπίας ὀνομάσας, τὰ δὲ ὄρη Μαζούς· τὰ δὲ ὀνόματα τῶν ἐθνῶν ἦσαν ταῦτα· Γὼθ, Μαγὼθ, Ἀνουγοί, Ἐγεῖς, Ἐξενὰχ, Διφὰρ, Φωτιναῖοι, Φαριζαῖοι, Ζαρμαντιανοί, Χαλόνιοι, Ἀγριμάρδοι, Ἀνούφαγοι, Θαρβαῖοι, Ἄλανες, Φισολονικαῖοι, Σαλτάριοι καὶ οἱ ἕτεροι. Ταῦτα ἦσαν τὰ ἔθνη, ἃ καθεστήκασιν ἔνδον τῶν πυλῶν ὧνπερ ἔπηξεν Ἀλέξανδρος ὁ βασιλεὺς διὰ τὴν τούτων ἀκαθαρσίαν· ἤσθιον γὰρ μυσαρὰ καὶ κίβδηλα, κύνας, μῦας, ὄφεις, νεκρῶν σάρκας, ἔμβρυά τε τὰ οὐ τελείως γεννηθέντα, ὁμοίως καὶ τοὺς νεκροὺς αὐτῶν ἤσθιον. Ταῦτα δὲ πάντα θεασάμενος Ἀλέξανδρος ὁ βασιλεὺς, καὶ δεδοικὼς μήποτε ἐξέλθωσιν εἰς τὴν οἰκουμένην, κατακλείστους αὐτοὺς ἐποίησε· καὶ τῶν ἐκεῖσε παρῆλθεν.]

ΚΕΦ. ΚΖ'.

Τούτων δὲ διαπεμπομένων γράφει Ἀλέξανδρος τὰ πεπραγμένα τῇ ἑαυτοῦ μητρὶ Ὀλυμπιάδι οὕτως· « Βασιλεὺς Ἀλέξανδρος τῇ γλυκυτάτῃ μου μητρὶ Ὀλυμπιάδι χαίρειν. Ταῖς Ἀμαζόσι παραταξάμενος (1) τὴν πορείαν ἐποιούμην πρὸς τὸν Πρύτανιν ποταμόν· παραγενόμενος δὲ ἐπὶ τὰ προάστεια, εἶδον ποταμὸν ἐκεῖ θηριώδη τέλειον ὄντα, σφόδρα δὲ εἰς ἀθυμίαν ἦλθον οἱ στρατιῶται· τῆς γὰρ ἡμέρας ἤδη μεσαζούσης ἐγένετο (2) ἐξαίφνης σκοτεινὸς ἀὴρ καὶ ζεζοφωμένος· οὐ γὰρ ἐπαύσατο ὁ ὑετὸς ἐπὶ τῆς γῆς, πολλοὶ δὲ τῶν πεζῶν τοὺς

Cap. XXVII. In sequentibus narrationis adornatio in aliis libris alia est. Apud *Valerium* post epistolam Amazonum legitur narratio de itinere in regionem Prasiacam ad Hypanim fluv.; deinde afferuntur literæ Aristotelis; tum paucis interjectis, incipit litera Alexandri ad Olympiadem. — *Codex A* eorum, quæ apud Valerium epistolam antecedunt, habet nihil, ipsam autem Alexandri epistolam eandem exhibet ejusdemque ambitus atque Valerius. — *Codex B*, sicuti A, post Amazonum epistolam statim ponit epistolam Alexandri, ita tamen ut in priore ejus parte memoret iter ad Hypanim, quod h. l. bene ignorat A, Valerius autem præmiserat epistolæ; deinde omittit B ea quæ A et Valerius de stelis Herculis in epistola memorant; denique in fine literæ adjicit narrationem de populis impiis, quos intra montes Caspios Alexander incluserit. Quæ quomodo codex C exponat jam vidimus. Apud Valerium et in cod. A de his nihil legitur. — *Codex C* eadem fere eodem ordine iisdemque plerumque verbis narrat, quæ leguntur in cod. B, non tamen sub forma epistolæ, sed suis historicus verbis omnia ista exponit, ac deinde addit epistolam qua Alexander res gestas suas inde a Poro certamine singulari devicto usque ad adventum in Babylonem urbem paucis recenset. Huncce ordinem ipsa rerum ratio sibi postulat. In antiquioribus codicibus epistolæ, quum non repetant jam narrata, sed nova plurima præbeant, in ipsius narrationis locum succedunt, ideoque palam faciunt miracula ista primum epistolis separatim conscripta esse, easque epistolas, uti erant, deinceps in historiam nostram receptas esse; denique ab aliis eas in narrationem historici dissolutas esse, novasque additas literas, narrationis capita paucis complectentes. ‖ 1. In cod. A initium epistolæ hoc est : « Περὶ (ὑπὸ cod.) μὲν τῶν ἐν ἀρχῇ κατασταθέντων ἡμῖν [τῶν] κατὰ τὴν Ἀσίαν πραγμάτων πίπεισμαί σε εἰδέναι ἐκ τῶν παρ' ἡμῶν (ἡμῖν cod.) γραφέντων· ἐδόκει δὲ καὶ περὶ τῆς ἄνω πορείας βέλτιον δηλῶσαί σοι. Ποιησάμενος γὰρ πορείαν ἐπὶ Βαβυλῶνα καὶ ἀναλαβὼν τῶν δυνάμεων μάλιστα χιλιάδας οβ', πάλιν ἐποιησάμην ἄλλην πορείαν, καὶ παραγενόμενος ἀνὰ παρασάγγας * ἦλθον ἐπὶ τὰς Ἡρακλέους στήλας ἐν ἡμέραις κε'. Ἔφασαν γὰρ τὸν Ἡρακλέα ὅρους ποιῆσαι ἐν τῇ χώρᾳ, ἐν ᾗ ἐπορεύετο, στήλας β', τὴν μὲν χρυσῆν τὴν δὲ ἀργυρᾶν, τὸ μὲν ὕψος πηχῶν ιγ', τὸ δὲ πλάτος πηχῶν β'. Ἐμοῦ δὲ μὴ πιστεύσαντος εἰ εἰσι σφυρήλατοι, ἔδοξέ μοι θῦσαι τῷ Ἡρακλεῖ καὶ ἐκτρυπῆσαι μίαν τῶν στηλῶν· ἐράνη δέ μοι ὁλόχρυσος. Ἐγένετο δέ μοι πάλιν ἀναπληρῶσαι τὸ τρύπημα, καὶ εὑρέθησαν χρυσοῖ ἀφ' ἀναλωθῆναι. Ἐντεῦθεν δὲ ἀναζευγνύων δι' ἐρήμου καὶ κρημνώδους χώρας ὑπὸ τῆς ὀμίχλης οὐκ ἦν ἰδεῖν τὸν παρεστῶτα ὅστις ποτέ ἐστιν. Περὶ μὲν οὖν τὸν τόπον ταῦτα· ἐβαδίζομεν δὲ ἀνὰ παρασάγγας * δι' ἡμερῶν ε', καὶ ἤκομεν ἐν ἡμέραις ζ ἐπὶ τὸν καλούμενον Θερμόδοντα ποταμὸν, ὃς ἐξερεύεται (διεξέρχεται, v. ἐρεύγεται διελθών?) χώραν πεδινὴν καὶ εὐδαίμονα· ὧδε δὲ ᾤκουν Ἀμαζονίδες γυναῖκες etc., ut in cod. B, nisi quod multis locis mancus est cod. A. ‖ 2. ἐγέ-

XXVII. (*) His acceptis, Alexander iter in Prasiacam inde pervertit, quæ quidem ejus militi peregrinatio labori admodum et plurimi periculi fuit. Nam æstatis ferme jam medio, repentini imbres fluxere adeo vehementes atque continui, ut non solum vis animantium deperiret, et quæcumque usui sunt ad militiam putrefierent, verum ipsis etiam per indigentiam calciamentorum pedum plurima pernicies inferretur: quippe ubi nudo vestigio per loca aspera humidaque perpeti labore traherentur. Neque vero id sub isdem imbribus adeo molestum, quam redeuntibus in naturam temporis solibus fuit: quamvis intemperie illa et tonitruum plurimum et jactus fulminum crebros experti essent. Nam et voces incertas resonantes audierant, et portentuosa plurima ejuscemodi experti erant. Ubi vero jam ad Prasiacam adventabant, Hypanimque (*Trypanim* cod. Med. *Prytanim* græca) flumen, quod dispescit hujusmodi conlimitia, transierant, conperit ibidem super magnitudine ejus gentis ac regis potentia, qui Prasiacæ potiretur. Quippe ista Prasiaca propter oceanum sita, quo de reliqua hominum turba semotior, hoc ad multitudinem quoque largius vivit. Addebat autem fama tot elephantorum etiam milia esse regi, quot apud alios plerumque super hominibus mentiatur. His igitur conpertis, Alexander limitem hujuscemodi loci sensim legens, civitates ejus invadere ac ditioni suæ vendicare non negligit, et sacrificia diis immortalibus facit.

Quæ cum maxime persequeretur, ab Aristotele epistolam sumit scriptam in hunc modum. « Per mihi difficile est eligere vel laudare, Alexander mi, ex hisce omnibus aliquid,

(*) In cod. Reg. 4880 post Amazonum epistolam interponitur locus Josephi (Ant. Jud. XI, 3, 3 — 8, 6 extr.): « Alexander autem ad Syriam veniens Damascum cepit (ut Josephus *sc. ait*). Subjugata Sidone Tyrum obsidebat: literas vero ad principem sacerdotum Judæorum misit invitans eum auxilium sibi mittere et venalia exercitui præparare, etc. etc. » Quibus in fine subjicit: « Et hæc quidem Josephus refert. » Deinde sequitur excerptum ex Orosio: « Orosius presbyter de eo sic ait: Igitur Alexander patri successit in regnum, etc. etc. » Omnia exscripsit quæ libro tertio Orosius de Alexandro tradit.

πόδας ἐξήλγησαν (3), καὶ ἀστραπαὶ καὶ κεραυνοὶ ἔπιπτον (4). Μελλόντων δὲ ἡμῶν διαβαίνειν τὸν ποταμὸν τὸν καλούμενον Πρύτανιν (5) συνέβη πολλοὺς ἀναιρεθῆναι τῶν ἐγχωρίων ὑπὸ τῶν στρατιωτῶν (6). Ἐκεῖθεν ἤλθομεν ἐπὶ τὸν καλούμενον Θερμόδοντα ποταμὸν, ὃς ἐξέρχεται χώραν πεδινὴν καὶ εὐδαίμονα ἐν ᾗ οἰκοῦσιν Ἀμαζόνες (7) γυναῖκες τῷ μεγέθει ὑπερέχουσαι καθ' ὑπερβολὴν ἑτέρων γυναικῶν [καὶ] κάλλει καὶ εὐρωστίαις, σπουδαῖαι εἰς τὸ πολεμεῖν (8), ἐσθῆτας δὲ φοροῦσαι ἀνθινάς· ὅπλοις δὲ ἐρχῶντο ἀργυρέοις ἀξίναις· σίδηρος δὲ καὶ χαλκὸς οὐκ ἦν παρ' αὐταῖς· ἦσαν δὲ συνέσει καὶ ἀγχινοίᾳ κεκοσμημέναι (9). Παραβαλλόντων δὲ ἡμῶν παρὰ τὸν ποταμὸν ἔνθα Ἀμαζόνες οἰκοῦσιν· ἔστι (10) δὲ ὁ ποταμὸς μέγας καὶ ἀδιάβατος, ἔχει δὲ καὶ θηρία πολλά (11)· αὗται οὖν διαβᾶσαι παρετάξαντο ἡμῖν. Ἡμεῖς δὲ δι' ἐπιστολῶν ἐπείσαμεν αὐτὰς ὑποταγῆναι ἡμῖν.

ΚΕΦ. ΚΗ'.

« Καὶ λαβόντες παρ' αὐτῶν φόρους ἐνεχωρήσαμεν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν εἰς τὸν Γένοντα ποταμόν (1)· καὶ ἀπ' ἐκεῖ ἤλθομεν ἐπὶ τὸν Ἄτλαντα (2) ποταμόν. Ἐκεῖ δὲ οὐκ ἦν ὁρᾶν οὔτε τὴν γῆν οὔτε τὸν οὐρανόν· ἦν δὲ ἔθνη πολλὰ καὶ παντοδαπὰ ἐκεῖ κατοικοῦντα· εἴδομεν δὲ καὶ ἀκεφάλους (3) ἀνθρώπους, οἵτινες ὀφθαλμὸν εἶ-

νετο.. ζεζοφώμενος addidi ex C. ‖ 3. διὰ τὸ εἶναι αὐτοὺς ἀνυποδύτους add. C. ‖ 4. ὥστε φωνὰς περιτρέχειν ὑπὸ τῶν στρατιωτῶν add. C. ‖ 5. *Hypanim* recte Valerius. ‖ 6. addit C : Ἐπυνθάνετο δὲ Ἀλέξανδρος τῶν ἐγχωρίων τὸ (ἐν τῷ cod.) περᾶν τὸν Ὠκεανὸν ποταμόν. Ἀπεκρίναντο ἐκεῖνοι λέγοντες αὐτῷ· « Βασιλεῦ, τοῦτον οὐ δύνασαι περᾶσαι διὰ τὸ ἄπειρον εἶναι· μόνον δίδομέν σοι ἐλέφαντας περιφανεῖς πεντακοσίους καὶ ἅρματα [καὶ στρατιωτῶν?] μυριάδας ὅσας βούλει λαβεῖν. » Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος προενεύσατο (?) εἰς τὴν παραποταμίαν, καὶ οἱ κατοικοῦντες ἐν αὐτῇ πεπόμφασιν ἀξιοῦντες αὐτοὺς ὡς φίλους ὑπάρχειν αὐτῷ (ἀξιοῦντας αὐτὸν φίλον ὑπ. αὐτοῖς?). ‖ 7. αἱ ἕτεραι Ἀμαζονίδες C. ‖ 8. εἰς τ. π. om. B. ‖ 9. τεταγμέναι AC. ‖ 10. B. ἔστι δὲ θηρίων πλῆθος καὶ ὁ ποταμὸς μέγας ἀδιάβατος B. ‖ 11. θηρίων πλῆθος καὶ λίθων μεγάλων C.

Cap. XXVIII. 1. Cod. A sic :... εἰς τὴν ἐρ. θάλασσαν ἐπὶ τὸν στενὸν τόπον· Ἦν δὲ ἐκ δεξιῶν τόπος καὶ ὄρος ὑψηλὸν, τὸ δὲ ἀριστερὸν ἡ θάλασσα ἐπέκλυζεν. Θύσαντες δὲ τῷ Ποσειδῶνι ἵππους πολλοὺς, καὶ ἀναπαυσάμενοι ἀνεζεύξαμεν καὶ ἤλθομεν ἐπὶ τὸν Ἄτλαντα ποταμόν. ‖ 2. Ἄτλαν C. Πράτιον B. ‖ 3. sic C ; κυνοκεφάλους B A ; nonnulla excidisse videntur, uti conjicias

---

quæ te in ista militia gessisse cognovi : eamque mihi esse sententiam Jovem testem facio Neptunumque. Quare diis primum immortalibus deabusque ago gratias competentes, quod emenso tibi hasce periculi difficultates gratulationem potius quam solatium scribo. Quippe quem sciam non bellorum modo discrimina evasisse, verum temporum quoque et cæli difficultatibus non cessisse. Ex quibus colligere admodum facile esse ambigendum, utrum te prudentiæ viribus, an tolerantiæ fortitudinisque magis prædicem. Certe illud tibi jam Homericum adest, quod illic sapientissimus gloriatur :

Multigenasque urbes hominum moresque notavi.

Quis enim prædicationis finis istud capit, XXX ferme vix annos emensum te orientis omnis occidentisque dominari? Bactra te vidit, Æthiopia salutavit, Scythæ tremuerunt, quodque uno ille versu percucurrit,

Quique novum cernunt Hyperiona, quique cadentem.

Neque enim quemquam non aut cæsum audivimus, aut supplicantem. » Hæc quidem Aristoteles.]

At vero Alexander collecto exercitu iter ad Babyloniam convertit, in qua susceptus honoratissime, et sacrificia diis immortalibus repræsentat, et certamen gymnasticum concelebrat : atque inde jam pacificum iter cœptans hisce litteris ad Olympiadem matrem suam scribit.

« Super has quidem quas in principiis egerimus ad Asiam usque expeditiones, omnia tibi nota sunt, mater mi. Æquum tamen fuit et de insequentibus te facere certiorem.

« Profectus quippe a Babylone una cum his quos magis strenuos in exercitu habebam, quæ quidem collecta sunt centum milia, in ulteriora regionum animum intendi, perveniique ad Herculis stelas non minus itinere dierum ferme nonaginta quinque, fama de Hercule sic loquente, quod hasce metas peregrinationis suæ fixerit deus ille, qui et duas stelas, id est, titulos sui quosdam ibidem reliquerit, quorum unus ex auro, alter vero argenteus habeatur. Sed enim altitudo eorum est titulorum cubitis ferme quindecim, crassitudo vero in cubitis duobus. Hanc molem metalli quoniam non facile erat credere solido auro esse, periculum ejus rei facere non omisi. Quare moratus ibidem diebus aliquantis reficiendo scilicet militi, sacrificatusque deo Herculi, titulum illum aureum qua potui rimatus sum foramine per omnem crassitudinem elaborato, neque claudicare fidem crassitudinis ejus inveni. Sed cum cavernam illam replere religiosum mihi videretur, ad supplementum ejus quingentis auri talentis opus fuit. »

« Hinc ergo per deserta redeuntes, multa prærupta ejusmodi incidimus loca, quæ obsessa crassioribus nubibus nebulosisve, omnem omnino aspectum hominis sustulerant ac diei. Septem denique dierum itinere per has tenebras exanclato, tandem Thermodonti supervenimus flumini haud cuiquam secundo ex magnitudine, sed enim per plana et opipara loca magno agmine pervaganti. Propter hunc Thermodonta genus Amazonum colit, mulieres magnitudine corporis pariter ac pulchritudine cetera hominum genera supervectæ, amictæ vero ut in picturis est visere unimammas, et omnis hisce ferme amictus est arma vel ferrum. Igitur cum haud procul his ageremus, ipsarum quidem potiri haud facile erat, utrumque nostrum a congressu magnitudine fluminis dispertiente. Sed præter illius agmen, bestiæ quoque nonnullæ asperitatesque impedimento erant. At enim comperto illæ quod ceteræ quoque Amazones de nostra amicitia cœptassent, ipsæ etiam periculi causam donis a nobis et obsequiis redemerunt.

XXVIII. « Itemque indidem ad Rubrum mare venimus, quorum locorum dextra quidem perasperis inviisque montibus recta est, læva vero mari Rubro latius fusa. Illic autem

χον ἐν τῷ στήθει καὶ τὸ στόμα, ἑτέρους δὲ ἄνδρας ἑξάχειρας καὶ ταυροπροσώπους καὶ τρωγλοδύτας καὶ ἱμαντόποδας, ἀγρίους ἀνθρώπους, ἄλλους δὲ δασεῖς ὡς αἶγας, καὶ λεοντοπροσώπους, καὶ θηρία πάνυ ποικίλα καὶ διάφορα εἰς ὄρασιν. Ἀπὸ δὲ τοῦ ποταμοῦ (4) ἐκείνου ἀποπλεύσαντες ἤλθομεν εἰς νῆσόν τινα μεγάλην ἀπέχουσαν ἀπὸ τῆς γῆς σταδίους ἑκατὸν πεντήκοντα (5) καὶ εὕρομεν ἐκεῖ πόλιν τοῦ ἡλίου· πύργοι δὲ ἦσαν δώδεκα (6) χρυσίῳ καὶ σμαράγδῳ ᾠκοδομημένοι (7). Καὶ τὸ τεῖχος τῆς πόλεως ἦν ἐξ λίθων Ἰνδικῶν (8)· ἧς καὶ τὸ περίμετρον ἦν ὡσεὶ σταδίων ἑκατὸν εἴκοσι· ἐν μέσῳ δὲ ταύτης ἦν βωμὸς χρυσίῳ καὶ σμαράγδῳ ᾠκοδομημένος (9), ἔχων ἀναβαθμοὺς ἑπτά (10)· ἐπάνω δὲ ἵστατο ἅρμα ἵππιον καὶ ἱππηλάτης ἐκ χρυσίου καὶ σμαράγδου· ἰδεῖν δὲ αὐτὰ (11) οὐκ ἦν ῥᾴδιον διὰ τὴν ὀμίχλην. Ὁ δὲ ἱερεὺς τοῦ ἡλίου Αἰθίοψ ἦν βυσσὸν καθαρὰν ἐστολισμένος. Ἐλάλησεν ἡμῖν βαρβαρικῇ φωνῇ, ὥστε ἀναχωρεῖν ἡμᾶς τοῦ τόπου ἐκείνου. Καὶ ἀναχωρήσαντες ἐκεῖθεν περιεπατήσαμεν ὁδὸν ἡμερῶν ἑπτά (12). Εἶτα εὕρομεν σκότος, ἀλλ' οὐδὲ πῦρ ἐφαίνετο ἐν τοῖς τόποις ἐκείνοις. Ἀναχωρήσαντες οὖν ἐκεῖθεν ἤλθομεν (13) εἰς Λύσου λιμένα, καὶ εὕρομεν ὄρος ὑψηλόν, ἐν ᾧ ἀνῆλθον καὶ εἶδον οἰκίας καλὰς χρυσοῦ καὶ ἀργύρου γεμούσας· εἶδον δὲ καὶ περίβολον μέγαν ἐκ λίθου σαπφείρου, ἔχοντα ἀναβαθμοὺς ρν' καὶ ἄνωθεν ἱερὸν στρογγύλον ἔχον στύλους ζ' (11) σαπφείρου, καὶ ἀναβαθμοὺς ρ'· ἔσωθεν δὲ καὶ ἔξωθεν ἀνδριάντες ἡμίθεοι ἀναγεγλυμμένοι ἦσαν, Βάκχαι καὶ Σάτυροι καὶ Μύστιδες (15)· ὁ δὲ πρεσβύτης Μάρων ἐπὶ ὑποζυγίου ἦν καθήμενος· μέσον δὲ τοῦ ναοῦ ἔκειτο κλίνη χρυσοσφυρήλατος (16) ἐστρωμένη, ἐν ᾗ ἦν ἀνακείμενος ἀνὴρ περιβεβλημένος σινδόνα (17) βαμβυκίνην· καὶ τὴν μὲν μορφὴν αὐτοῦ οὐκ εἶδον· ἦν γὰρ περικεκαλυμμένος· τὸ δὲ σθένος αὐτοῦ καὶ τὸ μέγεθος (18) ἔβλεπον. Ἦν δὲ ἐν μέσῳ τοῦ ναοῦ ἅλυσις χρυσίου λιτρῶν ἑκατόν, καὶ στέφανος χρυσοῦς κρεμάμενος διαυγής· ἀντὶ δὲ πυρὸς ἦν λίθος τίμιος φῶς ἐμφαίων ἐν ὅλῳ τῷ ναῷ ἐκείνῳ. Ἦν δὲ καὶ ὀρτυγοτροφεῖον χρυσοῦν κρεμάμενον ἐκ τῆς ὀροφῆς, ἐν ᾧ ἦν ὄρνεον ἡλίκον περιστερὰ, καὶ ὥσπερ ἀνθρωπίνῃ φωνῇ Ἑλληνικῇ ἐβόησέ μοι καί φησιν· « Ἀλέξανδρε, παῦσαι λοιπὸν τῷ θεῷ ἀντιτασσόμενος, καὶ ὑπόστρεφε εἰς τὰ ἴδια μέλαθρα καὶ μὴ προπετεύου ἀναβαίνειν εἰς οὐ-

ex margine cod. Valerii (N° 4880), ubi annotatur hocce : *cynocephali scilicet caninis rictibus homines vultuati, alii absque capitibus oris omnem usum pectoribus præsentantes, oculos auresque et quidquid hominem integrat.* || 4. τόπου A. || 5. σταδίους ἑπτὰ, ἃ λέγεται μίλιον ἓν C. || 6. τὸ A. || 7. περικεκοσμημένοι C. || 8. ἦν ἰνδικὸν B; ἰνδικὸν ἦν ἐξ λίθων ἰνδικῶν C. In seqq. verba ἧς καὶ.. ἐν μέσῳ δὲ suppl. ex C. || 9. ἀπὸ χρυσίου καὶ σμαράγδων περικεκοσμημένος C. || 10. ξ' C. || 11. sic A; αὐτὸν B; τὸν ἱππηλάτην C; pro ὁμ. conj. μαρμαρυγήν || 12. διὰ σκότους add. C, pergens : ἐπεὶ δὲ εὕρισκον ϕῶς ἐν τοῖς τόποις ἐκείνοις πάλιν ἀναχωρήσαντες etc. || 13. brevior cod. A : ἤλθομεν εἰς τὸν Τάναϊν ποταμὸν, ὃς παρρεῖ τὴν Ασίαν καὶ τὴν Εὐρώπην. καὶ ἤλθομεν εἰς τὰ Κύρου βασίλεια καὶ Ξέρξου, καὶ κατελάβομεν πολλὰς καὶ σπουδείας οἰκίας χρυσοῦ καὶ ἀργύρου γεμούσας καὶ ἐπίσημα ποτήρια (τε) πολλὰ καὶ ἄλλα σπουδαῖα. ἦν δὲ ὁ οἶκος μέγας προμήκης, οὗ αὐτὸς ὁ βασιλεὺς εἴθιστο χρηματίζειν. ἐν ᾧ ἔφασαν ὄρνια etc. Cod. B et C. eadem bis narrant, || 14. ἔχον στύλους σαπφειρίνους κύκλῳ ρ' C. rectius puto. || 15. καὶ μύστιδες.. καθήμενος add. ex C. || 16. χρυσοφορήτως B. χρυσοφόριστος C. || 17. στόλην C. || 18. καὶ τὴν

---

factis Neptuno sacris immolatisque equis ritu præsenti, die secuta alio, quam veneramus, itinere repedamus; fuitque operæ pretium illas quoque nosse regiones. Multa enim hominum genera et invisitata sunt nobis cognita, quorum vel maxime nobis admirationi fuit videntibus homines absque capitibus corporatos. Namque his hominibus oculi pectoribus inhærentes atque os omne ceteraque oris in parte corporis situm plurimum mirabamur. Illic et Troglodytas offendimus, qui subter terram domiciliis scalptis ac fossis ad serpentium instar successus sibi et habitacula laboravere. Quid ergo exim eminus visere esset? Tellurem quandam sitam velut in medio mari æstimato longius quam unius diei navigatione separatam. Eo navigatione contendimus. Repperimus in illa insula civitatem, quæ solis esse diceretur, ambitus spatio non minus sexaginta stadiis circumscriptam. Sed enim e medio civitatis constructo quodam et congesto in loco currus aureus visebatur una scilicet equis atque insessore aureo laboratus. Is omnis labor de auri materia et smaragdi fuit. Mira autem opificinæ majestas, nec ulli in orbe terrarum operi facile contendenda. Enimvero isti regioni cum adesset sacerdos Æthiops, eo præeunte soli religiosius operatus sum. Ac sic revertentes locorumne an temporis tenebras profundas offendimus. Unde cum ratio ipsa suasisset ibidem mansitare et reficiendis nostris et rursus sacrificiis persolvendis deo soli, quod nullum omnino ignem ex quo luminis foret copia inveniremus, abscedere indidem confirmavimus. Tum vero divinum quoddam auxilium demorantibus prævenientes nobis quasdam effigies numinum cernere fuit cum luminibus lampadarum quas a materia argenti eminus æstimabamus, atque ita victi ductique Tanaim usque fluvium supervenimus. Is Tanais e septemtrionis partibus in Caspium mare profluens Asiam fertur Europamque discernere. Læva igitur ejus itinere permenso ad Xerxis regna pervenimus, quæ post habita Cyri sunt ac nominata, ibique multa opum regiarum ac divitias offendimus. Nam et ædem quandam ad speciem græci operis illic magnificentissimam viseres, inque ea æde etiam responsa dare memoratum regem sciscitantibus celebrant. Et situm ibidem in templo viseres varium opus, tropheum aureum dependens ædificii de culmine, adhærebatque illi tropheo orbis quidam ad modum vertiginis cælitis, superque orbem simulacrum columbæ sessitabat, quod ubi responsa rex diceret humanis vocibus sciscitanti loqui ferretur. Id tropheum cum auferre indidem mihi cupiditas foret uti ad vos et ad nostram Græciam mitteretur, idem qui aderant, contenderunt rem sacram esse, ne-

ρανίους ὁδούς. » Βουλόμενος δὲ καθελεῖν αὐτὸ καὶ τὴν κρεμαμένην κανδήλαν (19), ὅπως ἀποστείλω σοι, εἶδον τὸν ἐπὶ τῆς κλίνης κείμενον ὡς ὀχεῖν αὐτὸν κινεῖσθαι (20). Ἔφασαν δὲ οἱ φίλοι μου· « Παῦσαι, βασιλεῦ· ἱερὸν γάρ ἐστιν. » Ἐξελθὼν δὲ εἰς τὸν περίβολον εἶδον ἐκεῖ κειμένους κρατῆρας χρυσοτορνεύτους δύο χωροῦντας μετρητὰς ἑξήκοντα (21), οὓς καὶ ἐμετρήσαμεν ἐν τῷ δείπνῳ. Ἐκέλευσα δὲ καὶ τὴν παρεμβολὴν ἐκεῖ γενέσθαι πᾶσαν καὶ εὐωχηθῆναι. Ἦν δὲ ἐκεῖ οἶκος μέγας κατεσκευασμένος, ἐν ᾧ ἦσαν ποτήρια ἐπίσημα πολλὰ πάσης εὐπρεπείας ἄξια, ἐκ λίθων τετορνευμένα. Ἐν δὲ τῷ κατακλιθῆναι ἡμᾶς καὶ τὰ στρατεύματα πρὸς εὐωχίαν ἐπὶ δεῖπνον, ἐξαίφνης ὥσπερ βροντὴ βιαία αὐλῶν καὶ κυμβάλων πλήθους καὶ συρίγγων καὶ σαλπίγγων καὶ τυμπάνων καὶ κιθάρας ἐγένετο· καὶ τὸ ὄρος ὅλον ἐκαπνίζετο ὥσπερ κεραυνοῦ πολλοῦ πεσόντος ἐφ' ἡμᾶς. Ἡμεῖς οὖν φοβηθέντες ἀνεχωρήσαμεν τοῦ τόπου ἐκείνου καὶ ἤλθομεν ἐπὶ τὰ Κύρου βασίλεια καὶ κατελαβόμεθα πόλεις πολλὰς ἐρήμους καὶ ἐπίσημον μίαν πόλιν, ἐν ᾗ ἦν οἶκος μέγας (22), ἔνθα αὐτὸς ὁ βασιλεὺς ἐχρημάτιζεν. Ἔφασαν δέ τινες μοι ἐκεῖ εἶναι ὄρνεον ἀνθρωπίνῃ φωνῇ ἑρμηνεῦον. Εἰσελθὼν δὲ εἰς τὸν οἶκον εἶδον πολλὰ θεάματα ἄξια θαύματος· ἦν γὰρ ὁλόχρυσος ὁ οἶκος ἐκεῖνος· ἦν γὰρ ἐν μέσῳ τῆς ὀροφῆς ὀρτυγοτροφεῖον ὅμοιον τῷ πρώτῳ χρυσοῦν κεχραμένον· ἔσωθεν δὲ αὐτοῦ ἦν ὄρνεον ὡς περιστερὰ χρυσόχροος· τοῦτο δὲ ἔφασαν ἑρμηνεύειν τοῖς βασιλεῦσι διὰ τῶν προσπιπτουσῶν φωνῶν, καὶ τοῦτο ἔφασαν ἱερὸν εἶναι. Εἶδον δὲ ἐκεῖ καὶ κρατῆρα χρυσοτόρνευτον· (ταῦτα δὲ ἦσαν ἔσωθεν τοῦ βασιλείου Κύρου·) ἐχώρει δὲ μετρητὰς ξ' (23). Θαυμαστὸν δὲ ἦν τῇ κατασκευῇ πάνυ· εἶχε γὰρ εἰς τὸ κύκλευμα ἀνδριάντας καὶ ναυμαχίαν εἰς τὸ ἄνω διάζωμα (24), εἰς δὲ τὸ μέσον αὐτοῦ τὐλογίαν· τὸ δὲ περὶ (25) αὐτοῦ χρυσοτόρνευτον ἦν. Τοῦτο δὲ ἔφασαν ἐξ Αἰγύπου εἶναι ἐκ πόλεως Μέμφης κἀκεῖθεν ἐνεχθῆναι, ὅτε ἐπεκράτησαν οἱ Πέρσαι τῆς Αἰγύπτου. Ἦν δὲ οἶκος κατεσκευασμένος εἰς τὸν Ἑλληνικὸν ῥυθμὸν (26), ἔνθα αὐτὸς ὁ βασιλεὺς εἵθιστο χρηματίζειν· ἐν τούτῳ δὲ γέγραπται ἡ ναυμαχία ἡ γενομένη Ξέρξου. Ἔκειτο δὲ ἐν τῷ οἴκῳ καὶ θρόνος χρύσεος λιθοκολλήτος, καὶ λύρα ἐναρμόνιος (27) αὐτομάτως κινουμένη· κύκλῳ δὲ ἔκειτο ποτηροθήκη (28) χρυσῆ ἑξ καὶ δέκα πήχεις ἔχουσα, καὶ ἄλλη παρὰ τούτου πηχῶν κζ', ἀναβαθμοὺς δὲ εἶχεν ὀκτώ (29)· ὑπεράνω δὲ ἵστηκεν ἀετὸς ὑπερέχων ταῖς πτέρυξι τὸ ὅλον κυλικεῖον (30). Ἦν δὲ καὶ ἀναδενδρὰς χρυσῆ ἑπτάκλαδος, τὰ πάντα εἰργασμένη χρυσῷ. Περὶ δὲ τῶν λοιπῶν θεαμάτων τί σοι μέλλω λέγειν ταῦτα; τοσαῦτα δέ ἐστιν ὥστε ἀπὸ τοῦ πλήθους μὴ δύνασθαι ἡμᾶς ἐν ἡμέρᾳ μιᾷ ἑρμηνεύειν τὴν ὑπερβάλλουσαν ἀρετήν (31). »

ΚΕΦ. ΚΘ'.

« Ἔτι εὗρον ἐκεῖ ἔθνη πολλὰ ἐσθίοντα σάρκας ἀνθρώπων καὶ πίνοντας αἷμα ζώων (καὶ θηρίων) ὥσπερ ὕδωρ· τοὺς γὰρ νεκροὺς αὐτῶν οὐκ ἔθαπτον ἀλλὰ ἤσθιον. Καὶ θεασάμενος τὰ τοιαῦτα πονηρότατα ἔθνη καὶ δεδοικὼς μή ποτε τῇ τοιαύτῃ σιτείᾳ μιάνωσι τὴν γῆν ἐκ πονηρῶν αὐτῶν μιασμάτων, ἐδεήθην τῆς ἄνω προνοίας καὶ ἐνίσχυσα εἰς αὐτοὺς καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ πλείστους ἐξ αὐτῶν, καὶ κατεδουλωσάμην τὴν χώραν αὐτῶν· καὶ φόβος πάντοθεν ἔλαβεν αὐτοὺς ἀπ' ἄκρων αὐτῶν ἕως ἐσχάτων· ἀκούσαντες δὲ ὅτι Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐνθάδε ἔρχεται, εἶπον (1)· « Ἀποκτενεῖ ἐν ῥομφαίᾳ ἅπαντας, καὶ πορθήσαι βού-

ὁλκὴν τοῦ σώματος αὐτοῦ ἔβλεπον καὶ τὸ μέγεθος C. ‖ 19. κανδύλαν C. ‖ 20. ἀναστῆναι C. ‖ 21. τξ A, ut Valerius. ‖ 22. προμήκης addit A, uti vidimus. ‖ 23. ζ' B; posui ξ, cod. C ρξ'. Idem est poculum de quo supra; secundum Valerium scribendum τξ', atque ita cod. A., qui hoc loco addit verba : ὃν ἐμετρήσαμεν ἐν μεγάλῳ δείπνῳ (μεδίμνῳ cod.), ὅτε τὴν θυσίαν ἐποιησάμεθα. ‖ 24. ναυμαχίαν ἄνω διάζωνον B C., quæ seqq. : εἰς δὲ.. εὐλογίαν add. ex C; A hæc om. ‖ 25. τὸ δὲ ἔξωθεν C. ‖ 26. τὸ ἑλ. ῥεῖθρον BC. ‖ 27. ἦν δὲ καὶ ἐνταῦθα ἡ Γλαύκου τέχνη, ἐναρμόνιος (ἐναρμόνει cod) λύρα αὐτομάτως κρουσμένη A. ‖ 28. κυλίκιον (i. e. κυλικεῖον) A. ‖ 29. ἔχων ἀναβάθμους ιϐ', καὶ ἄλλος παρὰ τοῦτῳ πηχῶν κζ'. A. ‖ 30. τὸν ὁ. κύκλον BC. ‖ 31. Hic desinit epistola in cod. A et apud Valerium. In cod. C jam sequitur Alexandri epistola, in qua hucusque narrata denuo recensentur.

Cap. XXIX. Quæ jam sequuntur, cod. C. narravit in antecedentibus (vid. pag. 138.) et denuo in epistola sua Alexandri

que contemnendo periculo invadari a quopiam posse. Multa igitur alia quoque quæ miraremur offendimus, inter quæ cratera etiam argenteum capacitatis ad amphoras usque CCC et LX. Ejus capacitatis est mensuratio conperta nobis hoc modo : dies sacer cum convivium etiam celebre exhibebat, ad quod convivium tot amphoris repletum esse vas constat. Enimvero vas istud inscalptum erat atque cælatum navalibus prœliis quæ Xerxes apud Peloponnesum militaverat. Erat inter illa cælamina et sella regalis scalpta insertaque operi ex auro, stellata lapidibus et ex pretio insignis. Impendebat autem etiam sellam istam vertigo quædam ad modum mundi figurata, quam ipsam quoque responsa sub præsentiam regii spiritus dare omnes pariter asserebant. Propter vero eam est sita lyræ facies ex arte ejusmodi, ut nihil demutet ab ea lyra quæ sit canora : sic ista etiam ad canendum uti solent; nam et sponte plerumque spiritu tactam canere hanc lyram noverant. Et juxtim viseres veluti thecam poculorum XVI cubitis erectam, supraque eam thecam congestam effigiem altitudinis per cubita LXXX una cum gradibus LXXX. Ibi demum et fons fictus est, et aquila aurea supersistebat adeo effigiata dædale, ut pansis alis omnem illius operis ambitum tegeret. Namque et arbores scalptæ et myrti quædam ramosæ ibidem notabantur, omnes istæ de auro. Multa præterea illic fuere, quæ quoniam neque abundantiæ suæ neque magnitudinis pretiive facile offenderint fidem, censeo prætermittenda. Nunc vale. »

λεται τὰς ἡμετέρας πόλεις καὶ καταδυναστεῦσαι. » Καὶ οὕτως εἰς φυγὴν τραπέντες ἅπαντες κατεδίωκον (2) ἀλλήλους, καὶ οὕτως ἔθνος ἐπὶ ἔθνος αὐτῶν ἐπολέμουν καὶ (3) εἰς φυγὴν ἐσαλεύοντο. Εἰσὶ δὲ οἱ τούτων βασιλεῖς κβ', καὶ κατεδίωξα ὀπίσω αὐτῶν ἐν δυνάμει ἄχρις ἂν ἐνίσχυσαν (4) ἐν τοῖς ὄρεσι τοῖς μεγάλοις, ὧν ἡ προσηγορία οἱ Μαζοὶ τοῦ Βορρᾶ, καὶ οὐκ ἔστιν εἴσοδος οὔτε ἔξοδος ἑτέρα τῶν μεγάλων ἐκείνων ὀρέων· ὑπερβάλλουσι γὰρ εἰς ὕψος τὰς τοῦ οὐρανοῦ (5) νεφέλας, καὶ οὕτως ἐκτεταμένα εἰσὶ τὰ ὄρη ὡς τείχη δύο ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πρὸς βορρᾶν ἕως τῆς μεγάλης θαλάσσης τῆς ὑπὸ ἄνσον (6) καὶ τὸν σκοτεινὸν τόπον. Καὶ παντοίας ἐτεχνησάμην τέχνας μὴ ἔχειν αὐτοὺς ἔξοδον ἐκτὸς οὗ εἰσήχθησαν τόπου τῶν μεγάλων ὀρέων· ἔχει δὲ εἴσοδος μέσον τῶν μεγάλων ὀρέων βασιλικὰς πήχεις μς'. Αὖθις οὖν ἐξελιπάρησα τὴν ἄνω πρόνοιαν ἐξ ὅλης τῆς καρδίας μου, καὶ εἰσήκουσέ μου τῆς δεήσεως. Καὶ προσέταξεν ἡ ἄνω πρόνοια τοῖς δυσὶν ὄρεσι, καὶ ἐσαλεύθησαν καὶ περιεπάτησαν εἰς ἅμιλλαν ἕκαστον αὐτῶν πήχεις ιϐ'. Καὶ ἐκεῖ ἐποίησα πύλας χαλκέας πηχέων κϐ' (l. ιβ') τὸ πλάτος καὶ ὕψος πηχέων ξ' ἀσφαλῶς, καὶ καταχρίσας τὰς αὐτὰς πύλας ἀσοκίτῳ (7) ἔσωθεν (8) καὶ ἔξωθεν, ἵνα μήτε πῦρ μήτε σίδηρος ἢ οἱαδήποτε ἐπίνοια δυνήσωνται ἀναχαλκεῦσαι τὰς πύλας· τὸ γὰρ πῦρ ἀγόμενον εἰς αὐτὰς σβέννυται, καὶ ὁ σίδηρος συντρίβεται. Καὶ ἔξωθεν τούτων τῶν φοβερωτάτων πυλῶν ἐθέμην ἑτέραν οἰκοδομὴν διὰ λίθων πετρίνων, ἕκαστου ἔχοντος πλάτος πηχέων ια' καὶ ὕψος πηχέων κ' καὶ εὖρος πηχέων ξ'. Καὶ οὕτω ποιήσας κατέκλεισα τὴν τοιαύτην οἰκοδομὴν, ποτίσας τοὺς λίθους κασσίτερον σὺν μολύβδῳ σμήξας καὶ καταχρίσας τὴν τοιαύτην οἰκοδομὴν τῷ ἀσικυτίνῳ, ὅπως μή τι ἰσχύσῃ κατακυριεῦσαι τῶν τοιούτων πυλῶν, ἐπονομάσας καὶ τὰς πύλας Κασπίας (9). Εἴκοσι δύο βασιλεῖς ἔκλεισα ἐκεῖ [εἰς ὀκτακόσια τρία καθ' ἕν (10).] Καὶ ἐστὶ τὰ ὀνόματα τῶν ἐθνῶν Μάγωγ (11), Κυνεκέφαλοι, Νοῦνοι, Φονοκεράτοι, Συριασοροὶ, Ἴωνες, Καταμόργοροι, Ἰμαντόποδες, Καμπάνες, Σαμάνδρεις, Ἱππύεις, Ἐπάμβόροι. Καὶ ἐκαθάρισα τὰ μέρη τοῦ βορρᾶ ἐκ τούτων τῶν δυσσεβῶν, κλείσας καὶ ἄλλα τείχη δύο παμμεγέθη εἰς τὴν ἀνατολὴν πηχέων ρκ' καὶ εἰς τὴν δύσιν πηχέων π', καὶ εὖρος πηχέων κδ'. Διεχώρησα δὲ (12) ἀνὰ μέσον Τούρκων καὶ Ἀρμενίων, κἀκεῖθεν ὥρμησα εἰς αὐτοὺς ὡς λέων εἰς θῆρας, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ ἅπαντας αὐτῶν καὶ τὸν αὐτῶν βασιλέα καὶ ἐσκύλευσα τὰ μέλαθρα αὐτοῦ, τοῦ καλουμένου Κάνου (13), καὶ ἐπέβη εἰς τὰ αὐτοῦ βασίλεια. Εὗρον δὲ ἐκεῖ καὶ Κανδαύλην τὸν υἱὸν Κανδάκης τῆς βασιλίσσης Ἰνδικῆς χώρας σὺν τῇ αὐτοῦ γυναικὶ ἐν οἴκῳ ἠσφαλισμένους. Καὶ ἐξελὼν αὐτοὺς ἐπυνθανόμην παρ' αὐτοῦ πῶς ἐχειρώθη ὑπ' αὐτῶν, καὶ ἀπεκρίθη λέγων, ὅτι « Πρὸς θήραν ἐξῆλθον εὐφρανθῆναι βουλόμενος σὺν τῇ ἐμῇ γυναικὶ ἐπὶ χώρας ὁδεύοντες, ἔχων μετ' ἑαυτοῦ πεντακοσίους παῖδας μετὰ λεοντοπάρδων καὶ κυνῶν καὶ ἱεράκων· καὶ ἄφνω ἐπέβησαν εἰς ἡμᾶς καὶ ἀπέκτειναν τοὺς σὺν ἐμοὶ ἅπαντας, ἐμὲ δὲ χειρωσάμενοι καὶ τὴν ἐμὴν σύζυγον ἤγαγον πρὸς τὸν ἑαυτῶν βασιλέα, καὶ ἐφρούρησεν ἡμᾶς βουλόμενος θυσιάσαι τῷ ἑαυτοῦ θεῷ. Καὶ νῦν καλοκαγαθία παρήγαγέ σε ἐνταῦθα, καὶ ἰδοὺ ἐσμὲν ἐνώπιόν σου, δέσποτα παγκράτιστε. » Καὶ ἐκέλευσα φυλαχθῆναι αὐτοὺς καὶ παντοίας τιμὰς ποιῆσαι αὐτοῖς, καὶ μεθ' ἡμέρας δύο ἀπέστειλα αὐτοὺς πρὸς Κανδάκην τὴν βασίλισσαν. Ἐρρωσθε.

ΚΕΦ. Λ'.

Γράφει καὶ ἕτερα γράμματα Ἀλέξανδρος τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι γενόμενος ἐν Βαβυλῶνι, μέλλοντος αὐτοῦ ἐκλιπεῖν τὸν τῶν ἀνθρώπων βίον καὶ τελευτῆσαι, περιέχοντα οὕτως (1)· Μεγάλην τινά φασιν τῶν δαιμόνων τὴν προβλεψίαν. Γυνή τις ἔτεκε βρέφος, τὰ μὲν ἄνω τοῦ σώματος ἕως τῶν λαγόνων (2) ἀνθρώπου πάντα κατὰ φύσιν, τὰ δὲ ἀπὸ τῶν μηρῶν ἕως κάτω, θηρίων ἦσαν προτομαὶ (3), ὥστε εἶναι παρόμοιον τὸ παιδίον τῇ

iisdem fere verbis ut apud nostrum, at contractius. ‖ 1. καὶ ἀποκτενείσει B. ‖ 2. καὶ κατεδ. cod. ‖ 3. βασιλευόμενον καὶ τῶν ἐσχάτων ἔμπροσθεν εἰς φ. ἐσ. cod ‖ 4. ἕως εἰσῆλθον C. ‖ 5. τῶν ἄνω B. ‖ 6. sic cod. B; om. hæc C. ‖ 7. ἀσόκιτον cod. B, mox ἀσικυτίνῳ; cod. C. ἀσυκήτῳ et ἀσυχύτῳ. Quid lateat nescio. Cf. p. 138 extr. ‖ 8. ἄνωθεν cod. ‖ 9. καδμίδας cod. ‖ 10. excidisse aliqua videntur. ‖ 11. μάγων cod. reliqua nomina omnia accusativo casu exhibet cod. Cf. nominum horum recensum nostro vix similem p. 138. Corrupta acutiores sanare tentent. ‖ 12. Seqq. unus B. exhibet ‖ 13. αὐτοῦ καλούμενον κάνον cod.

Cap. XXX. Sequentem quoque narrationem ex epistola petitam esse unus cod. B indicat. Cod. A pergit ita: Ταύτης τῆς ἐπιστολῆς πεμφθείσης Ὀλυμπιάδι τῇ μητρὶ, μετ' ὀλίγων ἡμερῶν ὄντος αὐτοῦ ἐν Βαβυλῶνι καὶ μέλλοντος μεταλλάττειν τὸν βίον, μεγάλην τινὰ ἔμφασιν ποιεῖται τὸ δαιμόνιον. ‖ 2. τοῦ ὀμφαλοῦ A. ‖ 3. πρόνομαι B. θηρίων ἦσαν προνομὰς ἐχόντων C. θη-

XXX. His scriptis cum Babyloniam iret Alexander, mirum portentum atque evidens ad exitium fuit. Nunciata quippe est mulier fœtum ejusmodi peperisse, cujus prioris corporis pars pube tenus ad hominem congruebat: enimvero quæ insecuta corporis, erant omnia beluina, prorsusque qualem Scyllam homines fabulantur: nisi hoc uno deverterat, non enim caninis capitibus lupinisve, enim leoninis atque pardorum, suum etiam et ursorum omnem inguinum ambitum texerat, spirantibus bestiis: etiamsi pars superna humanaque emortua jam et colore atro cum desitu spiritus visebatur. Id monstri ubi mulier quæ fœta fuerat enixa est, statim ipsa invectum ad regem detulit, Alexandroque habere mirum quod ostenderet, præjudicavit. Igitur ingressus qui regi miraculum monstraret, offendit eum in cubiculo meridiano somno tunc deditum. Sed ad strepitum irrumpentis cum expergitus foret, audisseque causam, mulierem induci jubet. Ingressa igitur statim facessere universos e præsenti mulier edicit, ipsa vero revelat nudatque quod vexerat, profiteturque se peperisse. Ergo ad miraculum visionis ejusmodi jubet statim Alexander pro-

καλουμένη Σκύλλη· ἦσαν γὰρ αἱ προτομαὶ (4) λεόντων καὶ ἀγρίων κυνῶν· καὶ (5) τούτων ἦσαν αἱ μορφαὶ πᾶσιν εὔδηλοι, ὥστε γινώσκειν τὸν ἑκάστου τύπον. Ἡ δὲ τοῦ παιδίου προτομὴ (6) ἦν τεθνηκυῖα, τὸ ἓν (7) μέρος τὸ καὶ ἀνθρώπου μορφὴν εἰκόνιζον· τὰ δὲ ἄλλα μέρη κινούμενα καὶ ζῶντα. Ἅμα δὲ τῷ τεκεῖν τὴν γυναῖκα τὸ βρέφος ἐμβαλοῦσα αὐτὸ εἰς τὸ βακίον (8) καὶ κατακαλύψασα παραγίνεται ἐπὶ τὰ βασίλεια Ἀλεξάνδρου καὶ εἶπε τῷ ἀγγέλῳ αὐτοῦ· « Μήνυσόν με τῷ βασιλεῖ Ἀλεξάνδρῳ περί τινος πράγματος θαυμαστοῦ, ἐπειδὴ βούλομαι αὐτῷ δεῖξαί τι (9) ». Ὁ δὲ Ἀλέξανδρος ἐτύγχανεν ἀναπαυόμενος μέσον ἡμέρας ἐν τῷ κοιτῶνι αὐτοῦ· Ὡς δὲ ἠγέρθη, ἤκουσε περὶ τῆς γυναικὸς καὶ ἐκέλευσεν εἰσάγεσθαι αὐτήν. Τῆς δὲ ἐλθούσης, ἐκέλευσεν ὁ βασιλεὺς ἀποστῆναι πάντας τοὺς παρόντας. Καὶ ἐξελθόντων πάντων ἔδειξεν αὐτῷ ἡ γυνὴ τὸ γεγεννημένον τέρας, φάσκουσα αὐτὴν αὐτὸ τετοκέναι. Τοῦτο δὲ ἰδὼν ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ εὐθέως ἐκέλευσεν ἐνεχθῆναι σημειολύτας καὶ μάγους σοφούς τε. Καὶ τούτων ἐλθόντων μετὰ καὶ Χαλδαίων ἐκέλευσε τὴν σύγκρισιν ποιήσασθαι περὶ τοῦ παιδίου τούτου τοῦ γεννηθέντος αὐτοῖς, ἐπαγγειλάμενος (10) αὐτοῖς θάνατον ἐὰν μὴ εἴπωσιν αὐτῷ τὴν ἀλήθειαν. Ἦσαν δὲ οἱ ἐπιδοξότατοι καὶ συνετώτατοι τῶν Χαλδαίων πέντε, καὶ ὁ μὲν εἷς αὐτῶν κατὰ τέχνην πολὺ διέφερε πάντων, ὃς (11) οὐκ ἐτύγχανε κατὰ τύχην παρεπιδημῶν· οἱ δὲ παρόντες ἔλεγον (12) ἔσεσθαι τοῖς πολέμοις τὸν Ἀλέξανδρον ἰσχυρότερον πάντων καὶ κατακυριεύσειν πάντων τῶν ἐθνῶν· τὰ γὰρ ζῶα τὰ ἀλκιμώτατα ἔφασαν εἶναι τὰ ἔθνη ὑποτεταγμένα τῷ ἀνθρωπίνῳ σώματι. Καὶ οἱ μὲν τοῦτο ἐσήμαινον. Μετ' αὐτοὺς δὲ παρεγένετο ὁ ἕτερος (13) Χαλδαῖος πρὸς Ἀλέξανδρον, καὶ ἰδὼν τὴν διάθεσιν τοῦ παιδίου (14) ἀνεβόησεν μεγάλως δακρύων καὶ τὰ ἱμάτια αὐτοῦ διέρρηξεν δεινοπαθῶν. Ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτὸν περιπαθῆ γενόμενον ἠγωνίασεν οὐ μετρίως, καὶ κελεύει αὐτὸν θαρροῦντα λέγειν τὰ ἐκ τοῦ σημείου θεωρούμενα· Ὁ δὲ λέγει ταῦτα· « Βασιλεῦ, οὐκέτι συγκρίνῃ (15) τοῖς ζῶσι. » Τοῦ δὲ Ἀλεξάνδρου ἀπαιτοῦντος αὐτὸν τὰ τῆς συγκρίσεως τοῦ σημείου ἀπεκρίθη αὐτῷ ταῦτα· » Κράτιστε βασιλεῦ πάντων ἀνθρώπων, ὁ μὲν τύπος ὁ ἀνθρώπινος σὺ εἶ· τῶν δὲ θηρίων αἱ μορφαὶ οἱ περί σε ὄντες εἰσίν. Καὶ εἰ μὲν οὖν τὰ ἄνω μέρη ζῇ καὶ ἐν κινήσει ἦν, καθάπερ καὶ τὰ ζῶα τὰ ὑπὸ τούτων ὄντα, εὐάρμοστον (16) ἦν καὶ ἀγαθὸν τὸ σημεῖον· ὥσπερ [δὲ] τοῦτο μετέστη ἐκ τοῦ ζῆν, οὕτω καὶ σὺ, βασιλεῦ (17)· καὶ ὃν τρόπον τὰ θηρία τὰ ὑπὸ τούτων ὄντα (18) φρόνησιν οὐκ ἔχουσιν, ἀλλὰ καὶ ἄγρια τυγχάνουσι πρὸς τοὺς ἀνθρώπους, οὕτω καὶ οἱ περί σε ὄντες διακεῖνται ἀγρίως πρός σε (19). » Καὶ ταῦτα εἰπὼν ὁ Χαλδαῖος ἐξῆλθε. Τὸ δὲ βρέφος καῆναι εἶπεν. Καὶ ταῦτα ἀκούσας Ἀλέξανδρος τὰ καθ' ἑαυτοῦ διετύπου πράγματα καθ' ἡμέρας (20).

ΚΕΦ. ΛΑ'.

Τοῦ δὲ Ἀντιπάτρου ἐπαναστάντος Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου, ἐποίησεν εἰς αὐτὴν ὅπερ ἐβούλετο. Καὶ τῆς μητρὸς Ἀλεξάνδρου πλεονάκις γραφούσης (1) αὐτῷ

ρίων ἀγρίων πρότερον A. ‖ 4. προνομαὶ BC. ‖ 5. καὶ τούτων.. γινώσκειν τὸν om B. ‖ 6. προνομὴ C. ‖ 7. τὸ ἓν... καὶ ζῶντα om. B. ‖ 8. προκόλπιον A. ‖ 9. ἔχω τι περιχρήσιμον αὐτῷ ἐμφανίσαι A. ‖ 10. ἀπειλήσας A. ‖ 11. hæc om. C, eorum loco ponens : καὶ εὐστόχως ἔλεγε τὰ συμβησόμενα. οἱ δὲ ἕτεροι ἔλεγον. ‖ 12. C. ἀπεφήναντο ἰσχυρότατον καὶ φοβερώτατον ἔσεσθαι τὸν Ἀλέξανδρον τοῖς πολεμίοις καὶ κυριεύσειν πάντων τῶν ἀνθρώπων, καὶ οὐδένα ἄλλον αὐτοῦ εἶναι καρτερώτερον. Καὶ οἱ μὲν ταῦτα εἰπόντες ἀπηλλάγησαν. ‖ 13. π. ἕτερος B. ὁ ἄλλος X. ἐκ τῆς ἀποδημίας A. καὶ ὁ κατὰ πολὺ διαφέρων περὶ τῆς τέχνης Χαλδαῖος C. ‖ 14. παιδίου C. ‖ 15. οὐκ ἔστι συγκρῖναι B C. οὐκέτι συνετοὶ (l. σὺ τοῖς) ζῶσι καταρίθμητοι (καταρίθμητος εἶ)· ἀλλὰ τὸ σῶμά σου λέλυται τῇ ἀνθρωπίνῃ φύσει A. ‖ 16. εὐάρμοστον.. τὸ σημ. exc. in B. ‖ 17. add. A : κεχώρισαι εἰς τοὺς μηκέτι ὄντας. ‖ 18. ὄντα, οὕτω καὶ οἱ περί σε· οὔτε γὰρ φρόνησιν ἔχουσιν etc. B. ‖ 19. subjicit A manca hæc : ὅτε δὲ πολλαῖς (πολὺς αὐτοῖς?) συγκλεισμός, σοι (σου?) κατὰ τὴν οἰκουμένην [ὄντος], σοῦ [δὲ] τελευτήσαντος, τῶν περὶ σὲ διενεγκάντων (οἱ π. σ. δ.?) τὰ περὶ αὐτοὺς φώνουν (φονεύσουσι?). V. Valerius. ‖ 20. cod. A : ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα εἶπεν· Ὦ Ζεῦ, τὴν μὲν ἐπιβουλὴν δι' ἧς ἡμᾶς ἐπὶ τέλος ἄγειν ** · διὸ οὕτως σοι ἔδοξεν, δέχου κἀμὲ τοιοῦτον ὄντα θνητόν. » Τοῦτο δὲ ἠβούλετο λέγειν, ὅτι καὶ Διόνυσος διὰ τὴν ἐπιφάνειαν τῶν ἀφ' ἑαυτοῦ κατεργασθέντων (suppl. θεοῖς συνέστιος) ἐστὶν, ὡσαύτως δὲ καὶ ὁ Ἡρακλῆς, τρόπον δὲ [τινα] καὶ ἑαυτὸν ἔκρινε [διὰ] τῶν ἔργων [τῶν] ἀποδεδειγμένων εἰς ἅπασαν τὴν οἰκουμένην ἄξιον (τε) θεοῖς συνέστιον γενέσθαι.

Cap. XXXI. 1. A ita : Τῆς δὲ μητρὸς αὐτοῦ Ὀλυμπιάδος πλεονάκις γραφούσης περὶ τοῦ Ἀντιπάτρου καὶ δεινοπαθούσης σκυ-

---

digiorum interpretes convenire ac profiteri ecquid ejusmodi novitas minaretur, interminaturque quam sancte nisi ex fide dixerint. Unus igitur e præsentibus magno cum gemitu regi separato, « Eheu, inquit, malorum omnium, eheu, mi rex! non enim jam bonus neque inter vivos homines ultra nominabere. » Sed cur ista sentiret interpres cum rex diligentius quæreret, hæc addit : « O quid enim, inquit, o vir summe, quicquid ex homine fœtus hic habet, ad te pertinet : quod vero est subter atque beluile, quicumque tibi subditi sunt et subjecti. Si igitur ea pars quæ superna est viveret et moveretur, sicuti hæc, quæ infra sunt, faciunt, tu sane obtineres ac dominarere cunctorum. Sed quoniam secus est, in contrarium intelligendum : nisi quod ii quoque ipsi dissidebunt, neque congruent : vides enim dispares formas, neque inter se amicas, ac prorsus beluile sævientes : atque hi quidem inter se omnes te oppetente dissentient dimicabuntque. » His dictis, interpres erat aversurus scilicet si qua posset et exsturus religiosius portenti illius minas. Alexander vero animo consternatus cum gemitu sic ait : « Pro bone Juppiter, quam bona res est ignoratio metuendorum! » Sed hactenus illa animi commotio fuit. Ceteroqui viriliter et decore omnem exspectatæ mortis impetum opperiebatur. Quippe qui præter cetera eo quoque se solaretur, quod divinis honoribus haud procul foret.

XXXI. Ergo occasio moriendi talis fuit. Mater ejus ad eum scripserat super Antipatri et Divinopatri (*Cleopatræ?*)

περὶ τοῦ Ἀντιπάτρου (ἤχθετο γὰρ ὡς μήτηρ περὶ Ἀλεξάνδρου) καὶ βουλομένης αὐτῆς διελθεῖν εἰς τὴν Ἤπειρον, διεκώλυσεν αὐτὴν ὁ Ἀντίπατρος. Τοῦ δὲ Ἀλεξάνδρου δεξαμένου τὰ γράμματα Ὀλυμπιάδος τῆς μητρὸς αὐτοῦ, καὶ γνοὺς δι' αὐτῶν τὴν ἐνεστηκυίαν τῇ μητρὶ αὐτοῦ λύπην, ἀπέστειλε πρὸς τὸν Ἀντίπατρον Κρατερὸν (2) τοὔνομα εἰς Μακεδονίαν ἐπιμελητὴν αὐτῆς γενόμενον. Αἰσθόμενος δὲ Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλεξάνδρου καὶ τὴν ἄφιξιν Κρατεροῦ καὶ εἰδὼς τοὺς στρατιώτας ἀνακομιζομένους ἀπὸ Ἀλεξάνδρου εἰς Μακεδονίαν καὶ Θεσσαλίαν, ἕνεκεν τούτου ἐφοβήθη λίαν, καὶ ἦλθεν εἰς δολοφονίαν Ἀλεξάνδρου, φοβούμενος περὶ ὧν ἐπέγραψεν εἰς Ὀλυμπιάδα, μή ποτε εἰς παραφυλακισμὸν ἔλθῃ καὶ κακῶς τιμωρηθήσεται (3)· ἤκουσε γὰρ τὸν Ἀλέξανδρον ἐπιβεβηκέναι πολὺ πρὸς ὑπερηφανίαν διὰ τὰς ἐπιτελουμένας αὐτῷ πράξεις. Καὶ τοῦτο διαλογιζόμενος ἐσκεύασε φάρμακον δηλητήριον, ὃ οὐκ ἔφερεν ἀγγεῖον οὔτε χαλκοῦν οὔτε ὑάλινον, οὔτε κεράμιον, ἀλλ' εὐθέως ἐρρήγνυτο· ἐν μολιβδίνῃ οὖν πυξίδι βαλὼν τὸ φάρμακον ὁ Ἀντίπατρος καὶ περικαθάψας ἄλλῃ πυξίδι σιδηρᾷ ἔδω τῷ ἰδίῳ υἱῷ, καὶ ἀπέστειλεν εἰς Βαβυλῶνα Ἰόλλᾳ (4) τῷ πιγκέρνῃ Ἀλεξάνδρου τοῦ βασιλέως, συλλαλήσας αὐτῷ ὑπὲρ τῆς τοῦ φαρμάκου δεινότητος καὶ θανατηφόρου δυνάμεως (5), ὅπως ἐάν τι ἑαυτῷ ἐν τοῖς πολέμοις ὑπὸ τῶν πολεμίων συμβῇ, δεξάμενος καλὸν (6) τέλος λάβοι (7). Ἀφικόμενος δὲ ὁ υἱὸς Ἀντιπάτρου εἰς Βαβυλῶνα συνελάλησεν Ἰόλλᾳ τῷ πιγκέρνῃ Ἀλεξάνδρου λάθρα περὶ τῆς τοῦ φαρμάκου δόσεως (8). Ἔτυχε δὲ Ἰόλλας τότε ἐν λύπῃ φερόμενος πρὸς Ἀλέξανδρον· πρὸ ὀλίγων γὰρ ἡμερῶν πταίσαντος Ἰόλλου, ὁ Ἀλέξανδρος ῥάβδῳ κατὰ τῆς κεφαλῆς δεδωκὼς ἐτραυμάτισεν αὐτὸν δεινῶς· ὅθεν ὁ Ἰόλλας ὀργιζόμενος Ἀλεξάνδρῳ ὑπούργησε τῷ Ἀντιπάτρου υἱῷ πρὸς τὸ παρανόμημα. Παρέλαβε δὲ σὺν αὐτῷ ὁ Ἰόλλας Μήδιόν τινα συνηδικημένον αὐτῷ. Διετάξαντο οὖν εἰς ἑαυτοὺς πῶς δώσουσι τῷ Ἀλεξάνδρῳ τὸ φάρμακον πιεῖν. Τοῦ δὲ Ἀλεξάνδρου ἀναπαυσαμένου ἐν μιᾷ τῶν ἡμερῶν, καὶ ἀπὸ δείπνου μεγάλου γενομένου, προσῆλθεν αὐτῷ τῇ ἐπαύριον Μήδιος ἀξιῶν αὐτὸν εἰσελθεῖν εἰς τὴν οἰκίαν αὐτοῦ (9). Καὶ πεισθεὶς Ἀλέξανδρος τῇ τοῦ Μηδίου δεήσει, ἦκεν ἐπὶ τὸ δεῖπνον αὐτοῦ. Συνανεκλίθησαν δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ τινές (10). Τὸ δὲ μέλλον γίγνεσθαι διὰ τοῦ φαρμάκου φόνιον ἐπιβούλευμα Περδίκκας τε καὶ Πτολεμαῖος καὶ Ὄλκιος (11) καὶ Ἀντίγονος καὶ Φίλιππος

βαλίζεται μήτηρ οὖσα ἀνθρώπου. Καὶ λέγει μὲν Ἀντίπατρος ἃ βούλεται. Καταγράφει γὰρ αὐτῆς τὴν ἀτοπίαν καὶ διὰ ταῦτα πάλιν (φαμένη) εἰς Ἤπειρον διαβραμεῖν ἐβούλετο. Ἀλεξάνδρος [δὲ], διαγνοὺς τὴν ἐνεστῶσαν πρὸς τὴν μητέρα Ἀντιπάτρου λῦσαι ἔχθραν καὶ μεταπέμψασθαι τὸν Ἀντίπατρον, πρὸς αὐτὴν εἰς Μακεδονίαν ἀπέστειλε Κρατερόν. αἰσθόμενος οὖν Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλεξάνδρου τῆς στρατιωτικῆς λειτουργίας, ἐπεβούλευεν αὐτῷ φόνον, εὐλαβούμενος μή ποτε εἰς προπηλακισμὸν ἔλθῃ etc. Quæ sequitur in cod. A pagina adeo exesas et evanidas literas habet, ut vix una alteraque vox legi queat. || 2. B et C ubique κάρτερος. || 3. κ. κ. ἐτιμ. add. ex C. || 4. Ἰούλλᾳ... Ἰούλῳ codd. ubique. Mox pro πιγκέρνῃ codices B C ἐπικέρνῃ, sicuti etiam in sqq. In cod. A est ἀρχιοινοχόῳ. || 5. καὶ δεινῆς κατασκευῆς αὐτοῦ add. C. || 6. καλὸν om. B. || 7. C addit : καὶ ἐὰν αὐτὸν τὸν Ἀλέξανδρον θανάτῳ ἀπολέσῃ διὰ φαρμάκου, ἔσται μοι γαμβρὸς καὶ τὴν ἐμὴν θυγατέρα [γυναῖκα ἕξει]. || 8. καὶ δεινότητος add. C. Dein B : τοῦ Ἰούλλου οὖν ἐν λ. φερομένου π. Ἀλ. || 9. add. C : εἰς τὸ ἀνακλιθῆναι ἐν δείπνῳ. || 10. Antecedit in A : ἦσαν δὲ οἱ παρόντες κ'. Περδίκκας, Δι... ανος, Πύθων, Λεοννάτος, Κα...., Πύθεστος [Πευκέστης], Πτολεμαῖος, Αυσίμαχος, Φίλιππος ὁ ἰατρὸς, Νέαρχος, Κριτίας, ..άνωρ, Ἡρακλείδης, Εὐρ.. πιος, Ἀρίστων Φαρσάλιος, Φιλ... μηχανικός, Φιλώτας, (alia 3 nomina, quæ legi jam nequeunt). || 11. sic AB; Ὀλβιος C. Ὀλκίας alibi. Seqq. καὶ Ἀντίγ. (Ἀντίοχος cod.)... Αυσίμα-

---

simultatibus, petebatque ut ob id ipsum ad Epirum ire contenderet. Sed enim Alexander cum id virorum jurgium deduci vellet, statuit Antipatrum ad sese venire ex Macedonia, alio in locum ejus substituto. Quod ubi factum est, venenum Antipater laborat curiosum admodum efficaxque, idque per ministrum regi dari in convivio exegit poto. Igitur rex mox lectulo datur, ac diebus conplusculis cum illa pernicie conluctatus, tandem causam ejusdem periculi esse ab Antipatro cognovit.

Id insecuta est quædam veluti indignationis cælitis ostentatio. Nebula quippe admodum crassa fœdaque interfusa omni aeri sudo die cuncta in tenebras verterat. Tum repente e nubibus draconis effigies ignitissima cælitus labitur mare usque, unaque cum illo præstantis aquilæ species volabat. Quod ubi factum est, Jovis quoque Babylonii simulacrum nutare cœpit. Et hisce factis, rursus draco una cum aquila sua ad cæli convexa remeavit, aquila sane vehens stellæ cujusdam fulgidum globum. Quod ubi homines visitavere, veluti prænuntiante divinitate quod gerebatur, Alexander quoque spiritu protinus vacuatur ac moritur.

Persis autem multa contentio erat cupientibus regem in regno Persico sepelire, proque deo Mithra religionibus consecrare. Enimvero Macedones ad Macedoniam corpus indidem ferri, et solo patrio sepulcrisque majorum inferendum putant. Tum Ptolemæus, quod enim sciret apud Babylona Jovis oraculum esse veridicum, ejus dei sententiam differt, perinde uti jus erat (*jusserit* Reg.), consulturus. Deusque interrogatus sic ait :

Accipe quæ regis sedes cultusque dicetur.
Urbs colitur Nili propter umbrosa fluenta,
Æquoris in gremio, cereali dives anona,
Nomine Amazonidos quæ dicitur inclita Memphis.
Hic sibi templa dari sacrata sede recepto
Jussit cornigero genitus sub honore Lyæi.

XCI. Dato igitur hoc responso, nullus omnium refragatus est, quin ita fieret, ut deus jusserat. Igitur in Ægyptum corpus Alexandri ferebatur feretro quidem regaliter exornato, tumultuario vero conditorio e plumbi materia, quodque esset unguinibus atque pigmentis, quæ servandis corporibus sunt, tutius permanere. Ut igitur pompa vehiculoque regali ad Pelusium advehi nunciatus est, omnes ejus regionis proceres ac sacerdotes una cum diis ac religionibus

καὶ Σέλευκος καὶ Λυσίμαχος καὶ Εὐμένης καὶ Κάσσανδρος οὐκ ἤδεισαν· οἱ δὲ ἄλλοι πάντες οἱ συναναχείμενοι Ἀλεξάνδρῳ μετειλήφεισαν τῆς παρανόμου πράξεως τοῦ φαρμάκου, καὶ συμπεφωνηκότες ἦσαν Ἰόλλᾳ τῷ οἰνοχόῳ τοῦ βασιλέως Ἀλεξάνδρου, δεδωκότες ὅρκους ἀλλήλοις, ἵνα (12) διὰ τῆς κακοτέχνου ἐνέδρας ἀπαλλάξωσι τοῦ ζῆν τὸν βασιλέα Ἀλέξανδρον· ἐπεθύμουν γὰρ οἱ παράνομοι τὸν θάνατον Ἀλεξάνδρου ἰδεῖν, ὥστε κατασχεῖν τῶν πραγμάτων αὐτοῦ. Συναναχλιθέντος δὲ αὐτοῖς, προσήνεγκεν αὐτῷ Ἰόλλας ποτήριον ἄδολον· λόγου δὲ προσπεσόντος διατριβῆς ἕνεκεν (13) καὶ διεληλυθότος ἱκανοῦ χρόνου καὶ ἤδη τοῦ πότου παρεκτείναντος, ἐπέδωκεν ὁ Ἰόλλας ἕτερον ποτήριον ἔχον τὸ φάρμακον. Δεξάμενος δὲ Ἀλέξανδρος σὺν τῇ συντυχίᾳ (14) καὶ πιὼν ἐξαίφνης ἀνεβόησεν ὡς τόξῳ πεπληγὼς διὰ τοῦ ἥπατος. Μικρὸν δὲ ἐπισχὼν χρόνον καὶ τὴν ὀδύνην ἐγχαρτερήσας ἀπῄει πρὸς ἑαυτόν, ἐντειλάμενος τοῖς παροῦσιν ἐπὶ τῷ δείπνῳ μένειν.

ΚΕΦ. ΑΒ'.

Οἱ δὲ ἀγωνιάσαντες διέλυσαν παραχρῆμα τὸ δεῖπνον· ἔξωθεν δὲ ἱστάμενοι ἀπεχαραδόκουν τὸ συμβησόμενον (1). Ὁ δὲ Ἀλέξανδρος ἑαυτὸν προιέμενος, « Ὦ Ῥωξάνη, φησὶ, μικρὸν ἐμοὶ χάρισαι σεαυτήν. » Καὶ ὑπ' αὐτῆς κατεχόμενος ἀπῆλθε εἰς τὸ παλάτιον αὐτοῦ καὶ κατεκλίθη. Ἡμέρας δὲ γενομένης ἐκέλευσε τὸν Περδίκκαν καὶ Πτολεμαῖον εἰσελθεῖν πρὸς αὐτόν· εἶπε δὲ ὅπως ἄλλος τις μὴ εἰσέλθῃ σὺν αὐτοῖς, ἄχρις ἂν διαθήσεται. Ἐξαίφνης δὲ ἐκ τῶν Μακεδόνων ἐγένετο βοὴ καὶ συνδρομὴ πρὸς τὴν αὐλὴν τοῦ παλατίου τοῦ βασιλέως ἐπὶ τὸ ἀνελεῖν τοὺς σωματοφύλακας αὐτοῦ, ἐὰν μὴ δείξωσιν αὐτοῖς τὸν βασιλέα. Τοῦ δὲ Ἀλεξάνδρου πυνθανομένου περὶ τοῦ θορύβου, προσῆλθεν αὐτῷ Περδίκκας (2) καὶ ἐδίδαξεν αὐτὸν τὸ λεγόμενον ὑπὸ τῶν Μακεδόνων. Προσέταξε δὲ Ἀλέξανδρος τὴν κλίνην αὐτοῦ ἐπαρθῆναι καὶ τεθῆναι εἰς ἕνα τόπον ὑψηλὸν

χος add. ex C. ‖ 12. ἀλλήλοις· ἐπεθύμουν γὰρ ἰδεῖν πραγμάτων Ἀλεξάνδρου. B. ‖ 13. addit B : τοῦτο πιὼν ἤδει, quae delevi, addens mox e C verba καὶ ἤδη τ. π. παρεκτ. ‖ 14. Ἀλ., ὡς ἦν συνάρων λόγους τινὰς μετὰ τῶν ἀνακειμένων καὶ πιών. C. ‖

Cap. XXXII. 1. Cod. C pergit ita : Καὶ εὐθὺς ὁ ἀὴρ ἐμελανοῦτο, καὶ οἱ ἀστέρες τὸ πραχθὲν μὴ φέροντες βλέπειν τὴν ἑαυτῶν ἤμβλυναν λαμπρότητα. Ἐγνωκὼς δὲ Ἀλέξανδρος τὸ εἰς αὐτὸν πραχθὲν, οἰμώξας σὺν δάκρυσιν ἔφη τοῖς συναναχειμένοις· « Ἀναστητε, λέγων, ὦ φίλοι μου, λοιπὸν τοῦ καθεύδειν· οὐκέτι Ἀλέξανδρος μεθ' ὑμῶν, οὐκέτι τῆς φωνῆς μου ἀκούσετε, οὐκέτι λοιπὸν σὺν ἐμοὶ ἔσεσθε. Οἴμοι, πρὸς ᾅδην κατεπείγομαι φθάσαι. Καὶ, ὦ Ῥωξάνη, ἔφη, μικρὸν ἐμοὶ χάρισαι σεαυτήν. » Καὶ ὑπ' αὐτῆς κατεχόμενος κατεκλίθη εἰς τὸ παλάτιον αὐτοῦ. Ταῦτα Μακεδόνες ὡς ἤκουσαν, τοῦ δείπνου εὐθὺς ἐξανίσταντο, καὶ τὸν θρῆνον ἐκ πολλοῦ πόνου ἐλεεινῶς ἐποίουν, καὶ « Ὦ οἷόν τι γέγονεν, ἔλεγον, καὶ τίς ἡμῶν ἐσθέσει τῆς ἡμέρας τὸν λύχνον; Τίς τὴν τῶν Μακεδόνων καταλαβεῖν ἠθέλησε δύναμιν; Τίς δὲ καὶ τὴν ἡμῶν χαρὰν εἰς πένθος μετέστρεψε; Διά τί δὲ καὶ ἡ ἑσπέρα ταύτη γέγονεν ἡ παγκακίστη, ἡ φονεύτρια; Διά τί δὲ ὁ ταῦτα κατατολμήσας παραχρῆμα ἀνάρπαστος οὐκ ἐγεγόνει, ἀλλὰ τελευτήσαντος Ἀλεξάνδρου, αὐτὸς τοῖς ζῶσι συνεῖ; Λοιπὸν Μακεδόνας ἔλαβον θρῆνος καὶ μέλος καὶ οὐαί, καὶ ἐν τουτοις πᾶσιν ἡ νὺξ ἐτελέσθη. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Ἀλέξανδρος ἐπὶ τὸ χεῖρον προέκοπτεν, ἐκέλευσε δὲ Περδίκκαν καὶ Πτολεμαῖον καὶ Λυσίμαχον εἰσελθεῖν πρὸς αὐτὸν etc ut in B. Narrationem codicis A integram dare non possumus, quum initium ejus in paginam incidat ubi verba fere omnia prorsus sint obliterata. Quae in sequenti pagina supersunt, ita se habent :... τὸν καλούμενον Εὐφράτην, ὃς διὰ μέσης τῆς Βαβυλῶνος διαρρεῖ. Ταύτην ἐκέλευσε ἀνοῖξαι καὶ μηδένα προσεδρεύειν * πάντα ὃν τρόπον εἰώθησαν φυλάττειν. Ἀναχωρησάντων δὲ πάντων καὶ τῆς ὥρας μεσονυκτίου γενομένης, ἐξανάστας ὁ Ἀλέξανδρος ἐκ τῆς κλίνης, ἀπέσθεσε τὸν λύχνον καὶ τὰς θύρας ἐξελθὼν τετραποδιστὶ ἐπορεύετο πρὸς τὸν ποταμὸν γενόμενος. Προσελθὼν δὲ πλησίον περιεβλέψατο, καὶ ἰδὼν τὴν ἑαυτοῦ γυναῖκα Ῥωξάνην προστρέχουσαν αὐτῷ, ὑπονοήσας ἐν τῇ μεταστάσει τὴν αὐτὴν πάντα διενοεῖτο εἰρειν τὶ ἄξιον τῆς ἑαυτοῦ τόλμης. ** ἐπηκολούθει τὴν κορυφασίαν (κρυφαῖαν?) ἔξοδον αὐτοῦ ἐν τῷ σκ [ότῳ] καὶ τὸν στεναγμὸν τοῦ Ἀλεξάνδρου σπανίως μὲν ἀναφωνοῦντος, ἐξαιτουῦντος δὲ τὴν Ῥωξάνην τήνδε ἐπακολουθήσασαν. Ὡς δὲ ἡσύχασεν, ἤδε αὐτὸν παραλαβοῦσα ** εἶπεν· « Ὦ Ῥωξάνη κρ.... σεαυτὴν χάρις τὴν ἐμὴν δόξαν ἀφαιρεῖσθαι [Arrian. VII, 26 : εἰργόμενον γὰρ ὑπ' αὐτῆς (sc. Ῥωξάνης) ἐποιμώξαντα εἰπεῖν (sc. Ἀλέξανδρόν τις εἶπεν) ὅτι ἐβούλησεν ἀρα δόξης αὐτῷ τῆς ἐς ἅπαν ὡς θεῷ γεγενημένῳ.]· πλὴν ὅμως ταῦτα μηδεὶς ἀκούσῃ. » Πάλιν δὲ ὑ[π' αὐτῆς] κατεχόμενος λάθρα ἀπῆλθεν εἰς τὸν οἶκον. — Ἡμέρας δὲ γενομένης ἐκέλευσε Περδίκκαν καὶ Πτολεμαῖον καὶ Λυσίμαχον εἰσελθεῖν, καὶ εἶπε πρὸς αὐτοὺς, ὅπως ἄλλος μὴ εἰσπορευθῇ πρὸς αὐτὸν μέχρις ἂν..... περὶ τῶν πραγμάτων. Ὁ δὲ [ἐτράπετο] πρὸς τὸ γράφειν τὴν διαθήκην, παρακαθισάμενος ἑαυτῷ Κομβάφην καὶ Ἑρμογένην ἄνηβα παιδάρια. Ὁ δὲ Περδίκκας ὑπονοήσας τὸν Ἀλέξανδρον καταλείποιπέναι τὰ πράγματα τῷ Πτολεμαίῳ διὰ τὸ πολλάκις πρὸς αὐτὸν εἰρηκέναι ὑπὲρ τῆς Πτολεμαίου γενέσεως, ἔτι δὲ Ὀλυμπιάδα [εἰ] ρηκέναι φοβερὰν, ὡς ἦν ἐκ Φιλίππου, λαβὼν τὸν Πτολεμαῖον κατὰ μόνας ἐξορκίζει, εἰ γίνοιτο Ἀλεξάνδρου πραγμάτων διάδοχος, μερίζειν τὰ πράγματα αὐτῷ τὰ κοινῇ συγκριθέντα. Τὸν ὅρκον ὑπομείνας Πτολεμαῖος καὶ οὐδεμίαν ἔννοιαν ἔχων ὑπὲρ ὧνό Περδίκκας ὑπεκύει, καὶ αὐτὸς [νομ] ίζ [ων] τὸν Περδίκκαν διάδοχον εἶναι τῶν πραγμάτων, διὰ τὸ πολὺ πρότερον παρ' Ἀλεξάνδρῳ [πρὸ] πάντων κατ' ἀνδρείαν καὶ ὄνησιν ἠγεῖσθαι, ὁρκίζει αὐτὸν τὸν αὐτὸν ὅρκον ἐν μέρει. Ὁ δὲ Ἀλέξανδρος ἐκείνην τὴν ἡμέραν καὶ τὴν ἐπιγενομένην νύκτα γενόμενος πρὸς τὸ γραφῆναι, ἐκέλευσε πρὸς αὐτὸν καλεῖν τὸν Περδίκκαν καὶ Ὠλκίαν καὶ Πτολεμαῖον καὶ Λυσίμαχον. Αὐτοὶ μὲν εἰσῆλθον, καὶ ἐξαίφνης ἐκ τῶν Μακεδόνων πάντων ἐγένετο βοὴ καὶ συνδρομὴ πρὸς τὴν αὐλὴν Ἀλεξάνδρου etc. ut in codd. B C. ‖ 2. Ἀντίοχος (i. e. Ἀντίγονος) C. ‖ 3. sic dedi ex A pro εἰς ἁγιασμόν, quod est in B C; δι' ἔ. θ. ἐξάγειν om. C. ‖ 4. ἐπὶ

---

suis obviam processere, juniorem Sesonchosim venerati. Vulcani quoque appellatione salutabant, quod hunc præ ceteris deum illa pars arbitraretur orientis.

XCII. Enimvero exim ex sententia numinum prophetes docet, non apud Menphim sacrum corpus, verum Alexandriam pervehi oportere, quod illi loco et auctor conditus fuerit, et tutela vel maxima perpetuo futura nosceretur. Perinde enim inexpugnabilem locum illum præsagiis nosci, ut ipse quoque indefessæ virtutis est habitus. Erigitur ergo ædes quam maximo opere ad instar templi, quod etiam nunc Alexandri nominatur.

ὥστε πᾶσαν τὴν δύναμιν τῶν στρατευμάτων παραπορευομένην ὁρᾶν αὐτὸν, εἰσάγειν (3) δὲ μόνους Μακεδόνας καὶ δι' ἑτέρας θύρας ἐξάγειν. Ποιήσαντος δὲ τοῦ Περδίκκου τὰ προσταχθέντα ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως, εἰσεπορεύοντο οἱ Μακεδόνες μόνοι καὶ ἐθεώρουν αὐτὸν, καὶ οὐκ ἦν ὃς οὐκ ἐδάκρυε τὸν τηλικοῦτον βασιλέα (4) Ἀλέξανδρον κατακείμενον ἐν κλίνῃ ἡμιθανῆ. Ἀνὴρ (5) δέ τις ἐξ αὐτῶν τῷ μὲν εἶδει οὐκ εὐπρεπὴς (6), ἰδιώτης δὲ (7), ἐξελθὼν πλησίον τῆς κλίνης Ἀλεξάνδρου εἶπεν (8)· « Ἐπ' ἀγαθῷ μὲν, Ἀλέξανδρε βασιλεῦ, Φίλιππος ὁ πατήρ σου ἦρξεν, ἐπ' ἀγαθῷ δὲ καὶ σὺ, βασιλεῦ· σὺ μὲν προσλαμβάνεις ἡμᾶς (9)· καλὸν οὖν ἡμᾶς σὺν σοὶ ἀποθανεῖν τῷ ποιήσαντι πόλιν Μακεδονίας ἐλευθέραν (10). » Ὁ δὲ Ἀλέξανδρος δακρύσας ἐξέτεινε (11) τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐμφάσιν ποιούμενος παρακλήσεως.

ΚΕΦ. ΛΓ'.

Καὶ κελεύσας εἰσελθεῖν ὑπομνηματογράφον εἶπε περὶ Ῥωξάνης τῆς γυναικὸς αὐτοῦ· « Ἐὰν γένηταί μοι ἐκ Ῥωξάνης τῆς ἐμῆς γυναικὸς παιδίον ἀρσενικὸν, ἐκεῖνος βασιλεύετω Μακεδόσι· ἐὰν δὲ θῆλυ γένηται, ἐλέσθωσαν ὃν ἂν βούλωνται βασιλέα (1). » Ταῦτα καὶ ἄλλα πολλὰ εἰπόντος τοῦ Ἀλεξάνδρου, ἐγένετο περὶ τὸν ἀέρα ὁμίχλη καὶ ἐφάνη μέγας ἀστὴρ κατερχόμενος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν θάλασσαν, καὶ σὺν αὐτῷ ἀετὸς, καὶ τὸ ἄγαλμα Βαβυλῶνος, ὃ ἐκάλουν Δία, ἐκινήθη. Ὁ δὲ ἀστὴρ πάλιν ἀνῆλθεν εἰς τὸν οὐρανόν· ἠκολούθησε δὲ αὐτῷ καὶ ὁ ἀετός. Κρυβέντος δὲ τοῦ ἀστέρος εἰς τὸν οὐρανὸν, ἐκοιμήθη ὁ Ἀλέξανδρος τὸν αἰώνιον ὕπνον.

[Eadem E codice A.]

Ἐπειδὴ [δὲ] παρῆλθον οἱ Μακεδόνες, μετεστήσαντο (l. μετεκαλέσατο) πάλιν τοὺς περὶ Περδίκκαν καὶ Ὀλκίαν, καὶ κατασχὼν ἐκέλευσεν ἀναγινώσκειν τὴν διαθήκην. Ἔστι δὲ τοῦ μερισμοῦ τῆς διαθήκης ἀντιγράφων (l. ἀντίγραφον) τὸ ὑποτεταγμένον, ὃ ἔλαβε παρ' Ἀλεξάνδρου Ὀλκίας.

Διαθήκη Ἀλεξάνδρου.

Βασιλεὺς Ἀλέξανδρος υἱὸς Ἄμμωνος καὶ Ὀλυμπιάδος Ῥοδίων τάγμασι καὶ ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. Ἡμεῖς τὰς πρὸς Ἡρακλέους γόνον (l. προγόνου) ἡμῶν στήλας ωρισθ.... (ὁρισθείσας ὑπερβαλόντες, τοῦ?) πεπρωνόμου (l. πεπρωμένου) μετὰ τῆς τῶν θεῶν ἐννοίας τυγχάνειν μέ[λλ]οντες [ἐκρ]ίναμεν ἐπιστῆναι ἡμῖν (l. ὑμῖν) ἅπερ ἐγνώκαμεν, ἡγούμενοι μάλιστα ἡμᾶς (ὑμᾶς) τῶν Ἑλλήνων ἐπιτηδείους [φύ]λ[ακ]ας τῶν ὑπ' ἐμοῦ κατεργασθέντων πόνων, ἅμα δὲ καὶ ἀγαπῶντες τὴν ἡμετέραν (ὑμ.) πόλιν. Διὸ καὶ ἐγράψαμεν [τὴν] φρουρὰν ἐξαγαγεῖν τῆς πόλεως, ὅπως μετέχουσα τῆς παρρησίας εἰς τὸν αἰῶνα διαφυλάττειν (... ἄττῃ τὴν?) ἐλευθερίαν, ἅμα δὲ καὶ.... μενο.. διαφυλαχθῆναι παρ' ἡμῖν (ὑμῖν) τὸ ἡμέτερον τέμιον (sic)· οἰόμεν γὰρ τὴν πόλιν ἡμῶν (ὑμ.) εὐχάριστον οὖσαν καὶ μνήμης ἀξίαν· διὸ καὶ φανησόμεθα πεφροντικότες αὐτῆς (ὥστε) οὐκ ἴσον τῆς ἰδίας πατρίδος, καὶ ἡμῖν ἄξιος (ἀξίως). [Ἐποιησά]μεθα γὰρ τὴν αἵρεσιν τῶν πραγμάτων τοιαύτην, δίδοντες μετὰ παρρησίας τὴν χώραν

τῷ γεγονότι συμπτώματι add. A. ‖ 5. Πευκῶος δέ τις ἐξ αὐτῶν ἀνὴρ A. ‖ 6. ἀπρεπὴς B C. ‖ 7. καὶ οὐδεμίας ἀξιώσεως ὑφηγούμενος add. A. ‖ 8. ὡς φρονήσει κεκοσμένος εἶπεν C. ‖ 9. ἐπ' ἀγαθῷ δὲ καὶ συ προσλ. ἡ. C; ἐπ' ἀγαθῷ δὲ καὶ σὺ μεταλαβὼν τὴν φω (sic), Μακεδονισὶ εἶπεν δακρύων, σὺ ἡμᾶς εἰ ἀπολείψῃς, ἀπολοῦμεν Μακεδονίαν· σοῦ δὲ τελευτῶντος καλὸν καὶ τοὺς Μακεδόνας συναποθανεῖν σοι τῷ ποιήσαντι Μακεδονίαν ἀξίαν τῆς Διός. ‖ 10. τῷ ποιήσαντι πᾶσαν Μακεδονίαν καὶ πόλιν αὐτῆς ἐλευθέραν C. ‖ 11. ἐξετείνας καὶ λαβὼν τὸν Μακεδόνα τῆς χειρὸς ἔμφασιν ἐποιεῖτο π. Α.

Cap. XXXIII. Post hæc multa interponit cod. C, quæ ignorant codd. A B. Ac primum quidem introducit Bucephalum verbis hisce : Καὶ ταῦτα εἰπόντος τοῦ Ἀλεξάνδρου, ὁ Βουκέφαλος ἵππος μέσον πάντων δρομαῖος εἰσῆλθε καὶ πλησίον Ἀλεξάνδρου ἑπιστὰς ἤρξατο τοῖς δάκρυσι καταλούειν τὴν κλίνην. Κοπετὸς δὲ μέγας ἐγένετο Περσῶν ὁμοῦ καὶ Μακεδόνων ἐπὶ τῇ τοῦ ἵππου δακρυρροίᾳ. Deinde sequitur epistola Alexandri ad Olympiadem, cui alia quædam subjunguntur. Sed antequam hæc exscribamus, videamus de testamento Alexandri. Mentionem ejus codd. B et C absolvunt paucissimis; plura ex eo affert Valerius, ea scilicet quæ pertinent ad distributionem provinciarum; sed ne hæc quidem integra dedit, uti colligas ex codice A quamquam alia multa quæ de iis apud Valerium leguntur omittente. Aliam vero partem testamenti apud Rhodios depositi (ut jam Diodorus tradit) unus exhibet codex A misere tamen laceram tum auctoris omnia truncantis negligentia, tum conditione codicis, cujus ultimum folium vermium morsu multis locis perforatum est, cujusque folii in altera pagina initium singularum linearum delevit is, qui folia codicis conglutinavit. Ego satis habeo verba uti leguntur transcripsisse. Igitur post verba ἔμφασιν ἐποιεῖτο παρακλήσεως cod. A pergit : Ἐπειδὴ [δὲ] παρῆλθον οἱ Μακεδόνες etc., quæ vide supra.

CXXIV. Quo ubi consecratas reliquias intulere, visum Ptolemæo est testamentum quoque quod scripserat moriens publice recitari : idque lectum est ferme ad hanc sententiam scriptum :

« Alexander rex Macedonum dicit. Primum mando jubeoque, Arrhidæum Philippi filium interim regni mei fieri successorem. Sed enim si fuerit mihi filius e Roxane, huic nomen et regnum nostrum pariter concedendum. Quod si e Roxane puella edetur, sit Macedonum optio, quemnam sibi regem ipsi substituant. Optatus porro constitutusque rex Argiadum regiam veteremque principatum servare debebit. Hisce Macedones consueta dependent, Olympiadi autem matri meæ, si ita volet, licebit Rhodi degere, vel in eo quem malebit loco, accipienti cuncta hæc quæ me superstite consequebatur. Præfectum autem Macedoniæ Craterum fieri mando, eique Philippi filiam conjugari. ** Philotam etiam jubeo satrapiæ præesse Hellesponticæ universæ, uxoremque ei fieri Olci sororem. Cappadociam quo-

ἑκάστῳ ..., ἐνη (ἐν ᾗ?) * * πρῶτον ἀφῷ (ἀφ' οὗ) γεννηθέντες εἰς τοῦτο προήλθομεν δόξης. Συντετάχαμεν δὲ τοῖς ἐπιμεληταῖς [τῶν χ] ωρίων ἀποστείλαντες στρατιὰς σὺν [χρυσοῦ] νε νομισμένου τάλαντα (ταλάντοις *) τοῖς κατ' Αἴγυπτον· καὶ τὸ σῶμα ἡμῶν συνετετάχα[μεν] .... χνα ἀποκομισθῆναι· τὴν δὲ διάταξιν τῆς διασαφήσεως οἱ κατ' Αἴγυπτον κρίνωσιν ..... ἡμεῖς συγχωροῦμεν. Ἐντελλάμεθα δὲ καὶ Θήβας [ἃς] ἐπανορθοῦν ἐκ τῶν βασιλικῶν χρημάτων καλῶς, κρίναντες ἠτυχηκέναι καὶ σεσωφρονισμένους ἐκ τῶν ἡμαρτημένων εἰς ἡμᾶς· διδόσθαι καὶ σῖ[τον ἐκ] Μακεδονίας Θηβαίοις τοῖς κατερχομένοις εἰς Θήβας ἄχρις ἂν εὐανδρίσαι ἡ χώρα. συντετά[χαμεν] δὲ καὶ ἡμᾶς δοῦναι εἰς τὴν ἐπισκευὴν τῆς πόλεως χρυσοῦ τάλαντα τε' καὶ τριηρεῖς..., ὅ[πως] ἀσφαλῶς ἐλεύθεροι ἦτε· καὶ σίτου ἐλευθερίας ἐξ Αἰγύπτου δωρεὰν [κατ' Αἴγυπτον] πυροῦ μεδίμνους ,β, καὶ ἐκ τῆς Ἀσίας διὰ τῶν οἰκονόμων καὶ ἐκ τῶν σύνεγγυς ἡμῖν τόπων πυροῦ μεδίμνους ,β, καὶ χῶρα ὑμῖν καταμετρῆσαι, ὅπως ἔχητε ἐν τῷ χρόνῳ αὐτάρκη σῖτον καὶ μηδενὸς [ἐνδέ]εσθαι, ἔχειν (ἐνδέησθε, ἔχητε) δὲ τῆς πόλεως ὑμῶν ἀξίως. Τότε (Τόδε τῷ) ἐπὶ Μακεδονίας ἐπιμελητῇ Κρατερῷ ἐσταλμεθα (ἐνετειλάμεθα) καὶ τῷ Αἰγύπτου σατράπῃ Πτολεμαίῳ καὶ τοῖς κατὰ τὴν Ἀσίαν Περδίκκα καὶ Ἀντι[γόνῳ]· ὑμῖν δὲ πάλιν ἐντελλόμεθα, λαβόντες τὴν ἐπιστολὴν παρὰ Ὀρκία (l. Ὀλκία) τοῦ ἀποδιδόντος ὑμῖν [αὐτὴν τὸ] συμφέρον τὸ ἴδιον σταθμωμένους μὴ ἀγνοῆτε, ὅτι δὲ ἡμῖν συνεῖται τούτους βραβεύειν ..... [εἰ]ς τὴν ὑμετέραν πόλιν συνάξειν· μάλιστα δὲ πέπεισμαι πειθαρχεῖν ὑμᾶς τοῖς ἐμοῖς λόγοις· Πτο[λεμαῖος δὲ] τοῦ ἐμοῦ σώματος γιγνόμενος φύλαξ καὶ ὑμῶν φροντίσει· ὅτι δὲ συνήσει (συνοίσει?) αὐτῶν δὲ ..... κατ' ἰδίαν· μὴ οὖν νομίζετε παρατεθεῖσθαι τὴν διαθήκην ὑμῖν εἰκῇ, τοὺς δὲ ἐπιμελητὰς τῆς [βασιλεί]ας βραβεύειν, εἴ τις δὲ ἔκ τινος (sic) θεωρίας τῶν ἐπιμελητῶν ἢ διαιρέσεις (ᾗ διαίρεσις?). Ἀποδεικνύουσα (Ἀποδείκνυσι) βασιλεὺς Ἀλέξανδρος Ἄμμωνος καὶ Ὀλυμπιάδος βασιλείας (βασιλέα) Μακεδονίας ἐπὶ μὲν τοῦ παρόντος Ἀραδαῖον (sic) τὸν υἱὸν Φιλίππου· ἐὰν δὲ γένηται ἐκ Ῥωξάνης υἱὸς Ἀλεξάνδρου, ἐκεῖνον εἶναι βασιλέα καὶ ὄνομα ἐπιθεῖναι αὐτῷ ὃ [ἂν] δόξῃ Μακεδόσιν· ἐὰν δὲ θῆλυ γεννηθῇ ἐκ Ῥωξάνης, ἑλέσθωσαν Μακεδόνες οἷον βούλωνται βασιλέα, ἐὰν μὴ βούλωνται Ἀραδαῖον τὸν Φιλίππου υἱόν. Ὁ δὲ αἱρεθεὶς διαφυλαττέτω τὴν .... αὸων ἀρχὴν, καὶ συντελείτωσαν Μακεδόνες ἀργ.... μετὰ τοῦ βασιλέως τὰ νομιζόμενα. ἐ... ἔστω Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου κατοικεῖν ἐν Ῥόδῳ, ἐὰν Ῥόδιοι συνδοκήσωσιν· [οὐ γάρ ἐστ]ιν ἐξουσία πράττειν τι ἄνευ Ῥοδίων· ἐὰν δὲ μὴ βούληται κατοικεῖν ἐν Ῥόδῳ, γιγνέσθω [ὅπου] βούληται λαμβάνουσα τὰς αὐτὰς προσόδους ἃς καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ υἱοῦ αὐτῆς ἐ[λάμβανεν]· Ἄχρι τοῦ δόξαι Μακεδόσιν βασιλέα ἀποδεῖξαι, βασιλεὺς Ἀλέξανδρος Ἄμμωνος [καὶ Ὀλυμπι]άδος υἱὸς ἀποδείκνυσι ἐπιμελητὰς τῆς ἑαυτοῦ βασιλείας, πάσης Μακεδονίας μὲν [Κρα]τερὸν καὶ γυναῖκα τούτῳ κοινὴν τὴν Φιλίππου θυγατέρα τοῦ γενομένου βασιλέως Μα[κεδόν]ιας, Λυσίμαχον δὲ ἐπὶ Θρᾴκης καὶ γυναῖκα τούτῳ Θεσσαλονίκην τὴν Φιλίππου τοῦ βασιλέως γενομένου Μακεδονίας θυγατέρα· δίδωσι δὲ τὴν ἐφ' Ἕλλησπον τῷ σατράπῃ (l. Ἑλλησπόντῳ ἁπάσην) Ἀλεῶνα (Λεοννάτῳ) καὶ γυναῖκα τούτῳ Κλε[ον]ίκην τὴν ἀδελφὴν Ὀλκίου· Παφλαγονίαν δὲ καὶ Καππαδοκίαν Εὐμένει τῷ ὑπομνηματογράφῳ· τοὺς δὲ νησιώτας ἀφίησιν ἐλευθέρους καὶ ἐπιτρόπους αὐτῶν Ῥοδίους [εἶ]ναι· Παμφυλίαν δὲ καὶ Κιλικίαν [καὶ Καρίαν Ἀντι]γόνῳ. Τούτων δὲ πάντων μέχρι τῶν ἐντὸς Ἅλυος ποταμοῦ χώρα παρεχέτω (τούτοις πᾶσα ἡ ἐντὸς Ἅ. π. χ. παρεχέσθω). Τῆς δὲ Βαβυλῶ[νος καὶ] τῆς προσηκούσης αὐτῇ [σατράπην εἶναι κελεύω vel tale quid] Σέλευκον ὁπλοφόρον· Φοινίκης δὲ καὶ Συρίας τῆς κοίλης καλουμ[ένης] Μελέαγρον· Αἰγύπτου Περδίκκαν, καὶ Λιβύης καὶ * Πτολεμαῖον καὶ γυναῖκα τούτου Κλεοπάτραν τὴν ἀδελφὴν Ἀλεξάνδρου· τῆς δὲ ἐπάνω τῆς Βαβυλωνίας χώρας στρατάρχην καὶ ἐπιμελητὴν Φανοκράτην καὶ γυναῖκα τούτου Ῥωξάνην τὴν Βακτριανήν. Προστάσσει δὲ τοῖς ἐπιμεληταῖς τῆς βασιλείας κατασκευάσαι πύελον χρυσοῦν ἀπὸ ταλάντων σ', εἰς ἣν τεθήσεται τὸ Ἀλεξάνδρου σῶμα τοῦ Μακεδονίας βασιλέως, ἀποστεῖλαι δὲ καὶ Μακεδόνας τοὺς πρεσβυτέρους καὶ ἠσθενηκότας εἰς Μακεδονίαν, καὶ εἰς Θεσσαλίαν τοὺς ὁμοίως διακειμένους· δοθήτω δὲ χρυσίου τάλαντα γ'· ἀποστεῖλαι δὲ εἰς Αἰγὰς τὴν Ἀλεξάνδρου τοῦ βασιλέως πανοπλίαν καὶ χρυσοῦ νενομισμένου τάλαντα (suppl. ν' ex Valer.) τῷ Ἡρακλεῖ ἀκροθίνια (τῆς) τοῦ πολέμου στρατιᾶς· ἀποστεῖλαι δὲ καὶ εἰς Δελφοὺς τῶν ἐλεφάντων τοὺς ὀδόντας καὶ τῶν

---

que et Paphlagoniam Eumeni gerendam permitti placet. Eos vero qui in insulis sunt liberos suique juris esse præcipio. Antigonus Cariæ præsit, Casanderque Bœotiæ, eisque omnibus præesse Antipatrum oportebit. Uton Syriæ rector esto : Babyloniæ vero et adjacentium regionum perficio Seleucum. Phœnicem ac Syriam Cœlen Meleagro regendam permitti decrevi, Ægyptum Perdiccæ, Libyam Ptolemæo, cui etiam Cleopatram conjugari oportebit sororem meam. Regionum porro quæ supra Babyloniam sunt curam Phanocrati permitti præcepi, eique uxorem Roxanem Bactrianam dari.. His igitur omnibus mando repositorium corpori meo fieri auri magnorum talentorum sex. Quicunque autem Macedonum Thessalorumve provectior sit ætate atque ad solum genitale voluerit ire, his fieri facultatem, quibus singulis tria milia drachmarum adnumerari conveniet. Argos autem mitti arma quibus ipse usus sum, et auri signati drachmas L, eaque Herculi consecrari volo. Delphos quoque mitti præcepi eboris quod in aula mea fuit, draconumque terga et pateras aureas XIII, primitias scilicet operum nostrorum. Milesiis etiam ad reformationem oppidi sui dari præcipio auri signati drachmas C et L tantumdemque auri materiæ. Volo autem Perdiccam, quem Ægypto impera-

δρακόντων τὰς δορὰς καὶ φιάλας χρυσᾶς ιγ', ἀκροθίνια τῆς στρατιᾶς. Δοθήτω δὲ καὶ Μιλησίοις εἰς ἐπισκευὴν τῆς πόλεως χρυσίου νενομισμένου τάλαντα ρη'· καὶ Κινδίοις (l. Κνιδίοις) γέατ. Βούλομαι δὲ καὶ Περδίκκαν καταλιπὼν βασιλέα σὺν (ἐν?) τῇ κτιζομένῃ Ἀλεξανδρείᾳ * * ὥστε μένειν μακαρίως μελλομένην τῶν πάντων δεσπόζοντι μεγάλῳ Σεράπιδι καὶ ἀνθρώπων (ἐνιαύσιον?) καταστῆναι ἐπιμελιστὴν τῆς πόλεως· κληθήσεται δὲ ἱερεὺς Ἀλεξάνδρου· καὶ προσελεύσεται μεγίστῃ πόλει (μεγίσταις πόλεως?) δόξαις, κεκοσμημένος χρυσέῳ στεφάνῳ καὶ πορφυρίδι, λαμβάνων ἐνιαύσιον τάλαντον· καὶ οὗτος ἔσται ἀνύβριστος καὶ πάσης λειτουργίας ἀπολυθήσεται. Λήψεται δὲ ὁ τοιοῦτος τὴν τάξιν ταύτην ὁ διαφέρων ἐν γένει τῶν ἄλλων πάντων, καὶ μένει αὕτη ἡ δωρεὰ αὐτοῖς δὲ καὶ ἐγγόνοις. Ἀποδείκνυσι βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς βασιλέα τῆς μὲν παρατεινούσης παρὰ τῷ Ὑδάσπῃ ποταμῷ Ταξιάδην (Ταξίλην), [τῆς δὲ] περιεχομένης (ἐπεχ.) ἀπὸ τοῦ Ὑδάσπου ποταμοῦ Πῶρον, [τῆς δὲ] ἐπὶ ἁλιδῶν (Παροπαμίσῳ) Ὀξυδράκην (Ὀξυάρτην) τὸν Βακτριανὸν τὸν Ῥωξάνης πατέρα τῆς Ἀλέξανδρου γυναικὸς, τὴν δὲ Δρακουσῖαν (Ἀραχωσίαν) καὶ δραπυάλην (Δραγγήνην) τῇ Βακτριάνῃ (καὶ τὴν Βακτριανὴν) καὶ Σουσιανὴν (Σογδ.) [ἀφίησι] Φιλίππῳ· τὴν δὲ παρουδίαν (Παρθυαίαν) καὶ τὰ ἐχόμενα αὐτῆς Συρταμίαν (τὴν ἐχομένην α. Ὑρκανίαν) Ἀρταφερνήν (Φραταφέρνῃ)· καρδανίαν (Καρμανίαν) δὲ Ἱληπολέμῳ· τὴν δὲ Περσίδα Πευκέστῃ σατράπῃ· Ὀξύντην (Ὀξυδάτην?) μεταστῆσαι (μεταστῆναι κελεύει) ἐπὶ τῆς Μηδίας. Ἀποδεικνύει βασιλεὺς Ἀλέξανδρος βασιλέα τῆς Ἰλλυρίδος Ὀλκίαν· δίδωσι δὲ ἵππους ἄγεσθαι ἐκ τῆς Ἀσίας φ', τάλαντα γ' ἀπὸ δὲ τούτων κατασκευαζέτω ἱερὸν καὶ ἀναθέτω ἀνδριάντας Ἄμμωνος, Ἡρακλέους, Ἀθηνᾶς, Ὀλυμπιάδος, Φιλίππου· ἀνατέθωσαν δὲ καὶ οἱ τῆς βασιλείας ἐπιμεληταὶ εἰκόνας Ὀλκίου περίμετρον ἐν ἀγγυίρας (sic) καὶ ἀνδριάντας χρυσέας ἐν Δελφοῖς· ἀναθέτω δὲ καὶ Περδίκκας εἰκόνας χαλκᾶς Ἀλεξάνδρου, Ἄμμωνος, Ἡρακλέους, Ὀλυμπιάδος, Φιλίππου. Τούτων δὲ πάντων (οὗτοι δὲ πάντες?) ἔστωσαν θεοὶ, ἐποίει αἱ ὀλυμπίαι ἡρακλῆς (ὁποῖος ὁ Ὀλύμποις Η.?) πρῶτος γεν ἄρης (γενάρχης?) Ἀλεξάνδρου τοῦ βασιλέως. Hactenus testamentum. Addit auctor:

Οὐ τοσούτους δὲ βασιλεῖς Ἀλέξανδρος πολεμῶν ἐνίκησεν ὅσους τελευτῶν κατέλειψεν. Ἐβίωσε μὲν οὖν Ἀλέξανδρος ἔτη λ' etc. quæ item leguntur in B C. cap. 35.

[E CODICE C.]

Γνοὺς δὲ ὁ Ἀλέξανδρος ἑαυτὸν ἤδη τελευτᾶν, ἔδοξεν ἐπιστολὴν γράψαι τῇ μητρὶ αὐτοῦ, ἐπανάληψιν τῶν ἄλλων αὐτοῦ ἐπιστολῶν οὕτως· « Ἀλέξανδρος ὅ ποτε ὢν βασιλεὺς, ὃς πᾶσαν περιενόστησε γαῖαν, καὶ πλείστας χώρας καὶ πόλεις τῷ ὄρατι ἐνήλατο· ἀπὸ γὰρ δυσμῶν ἐπὶ ἀνατολῶν ἀγόμενος, οὐκ ἦν τῇ τύχῃ αὐτοῦ ὁ ἀντισταθῆναι βουλόμενος ἐν τῇ ὑφ' ἡλίῳ οἰκουμένῃ· Ἔπειτα τὴν ἀοίκητον ἐπιβὰς πολλοὺς ὑπέστη κινδύνους, χώρας ἀγρίων ἀνθρώπων διερχόμενος. Διῆλθον δὲ Μακάρων χώρας ὡς δι' ἄλλης μου ἐπιστολῆς ἐδήλωσα, καὶ τὴν σκοτεινοτάτην γαῖαν διεπορεύθην, ὡσεὶ πορείας ἡμερῶν τινῶν· καὶ μέχρι θείας τινὸς ὀπτασίας οὐ παρεκελεύσθην ὑποστραφῆναι, ἀλλ' δδεύειν ἔμπροσθεν, καὶ θεωρεῖν ἐξαίσια πράγματα. Ἀνθυποστρέψας δὲ ἐκ τούτων καὶ τὴν οἰκουμένην καταλαβών, τὰ περὶ Πώρου ἠρξάμην δουλώσασθαι, ὡς προεδήλωσα, ὦ μῆτέρ μου, ἐν τῇ πρώην ἐπιστολῇ. Πλὴν ἀλλὰ καὶ τοῦτον, κἂν ὁπόση δύναμις, ἀπέκτεινα τὸν τῶν Ἰνδῶν βασιλέα. Ἐκεῖσε οὖν διελθὼν μέχρι τῆς ἐσχάτης διώδευσα θαλάσσης, ἔνθα ἡλίου ἐπονομάζεται χώρα. Ἐκεῖθεν δὲ πάλιν ἀνθυποστρέψας, ὡς γέγραφά σοι ἐν τῇ δευτέρᾳ μου ἐπιστολῇ, τὴν παράλιον διώδευσα ὁδόν. Ἐν τούτῳ κατασκοπεῦσαι τὸν τόπον Ἀμαστρίδος τῆς πόλεως ἠθέλησα. Καὶ ἀπεγνώσθην παρὰ τῆς βασιλίσσης Κανδάκης, ἥτις ἴλεός μοι ἐγένετο, καὶ ὡς μήτηρ μου ἀνεδείχθη. Καὶ οὐκ ἀπέδωκέ μοι κακὸν ἡ ὄντως καλὴ ἕνεκεν ἑνὸς μικροῦ ἀγαθοῦ, ὃ ἐποίησα εἰς Κανδαύλην τὸν υἱὸν αὐτῆς, ὅτι ἐρρυσάμην αὐτὸν σὺν γυναικὶ καὶ πλούτῳ καὶ στρατῷ ἐκ χειρὸς Εὐαγρίδου τοῦ τυράννου τῶν Βεβρύκων, καὶ ἡ πολέμιος γυνὴ τὸ ἐν ἐμοὶ ᾤκτειρε νέον. Οἱ δὲ σὺν ἐμοὶ τῶν ἐμῶν ἀπολαβόντες ἀγαθῶν, πικρῷ καὶ ἐνελεεῖ με παραπέμπουσι

---

torem atque Alexandriæ esse jussi, sic uti imperio mandato, ne nomen meum ex oppido transferatur: quæ quidem etiam maximi deorum Serapis est sententia. Fieri porro annuum oppidi sacerdotem, qui sacerdos Alexandri nominetur, eique insignia dari placet coronam auream et purpureum amictum. Is ubi functus fuerit sacerdotio, omni reliquo munere vel inquietudine sit solutus. Sed quisque ita sacerdotium nanciscitur, sit et genere nobilis et existimatione, uti sibi dignitas una cum posteris et ista proficiat. Indicæ regionis ejusque tractus qui ad Hydaspim fluvium pergit Taxiaden mando esse præfectum. Adjacentium vero regionum Apoctronum Roxanes patruum uxoris meæ rectorem constitui placet. Racusiam vero regionem et Bactrianam et Suisiam Philippo remitto, Hyrcaniam Artaphernæ, Persida Peucestæ. Illyriæ vero præficio Orciam, cui quidem ex Asia dari oportebit quingentos equos et auri drachmarum tria milia, e quibus templum constituat, eique templo simulacrum Herculis et Ammonis consecretur, Minervæ etiam et Olympiadis matris meæ, nec non etiam Philippi. Omnes etiam curatores imperii imagines consecrent et signa constituant, aurea quidem apud Delphos, ceteris vero in locis materiæ diversæ. Constitui autem effigies oportebit Perdiccæ Alexandri, Ammonis, Minervæ, Olympiadis, Herculis, Philippi: quæ omnes divinis honoribus consecrabuntur. » Hæc quidem summa voluntatis Alexandri est accepta

θανάτῳ, μὴ οἰκτειρίσαντές με τὸ σύνολον, μῆτερ ἐμὴ, καὶ ἐπὰν τῷ πνεύματι τῆς ἄνω προνοίας τὸν σύμπαντα κατεχυρίευσα κόσμον, ταῦν οὐ συγκεχώρημαι παρὰ τῶν ἐμῶν τὴν ἐμὴν καταλαβέσθαι πατρίδα, καὶ (l. ὅπως) σὲ, ὦ μῆτέρ μου, θεασάμενος τὸ λοιπὸν τῆς ζωῆς μου διατελέσωμεν ἄμφω. Λοιπὸν, μῆτερ ἐμὴ, γνῶθι τοῦ λοιποῦ ἄτεκνον εἶναί σε. Οὐκέτι γάρ με θεωρήσεις οὔτε τῆς φωνῆς μου ἀκούσεις, ἀλλ' οὐδ' ἐπιστολὴν παρὰ Ἀλεξάνδρου δέξῃ· τὸ γὰρ ἀποδημεῖν με ἐριτὸν ἦν, ἐν δὲ τῇ νῦν ἀποδημίᾳ δυσχεραίνω, ὦ φίλη μοι μῆτερ· πρὸς γὰρ χρονιωτάτην καὶ ἀνήλιον καὶ ἀνυπόστροφον στρατείαν ἀπέρχομαι, καθὼς πᾶσιν ἀσυγχώρητον· λοιπὸν δὲ ἔχε, ὦ μῆτέρ μου, τήνδε τὴν ἐπιστολὴν ἀντὶ ἐμοῦ, καὶ ἀνάγνωθι εἰς τὸ ἐπίλοιπον τῆς ζωῆς σου, καὶ θρήνοις μνημόνευε στρέρησιν τέκνου. »

Εἶθ' οὕτω διανέμει τὴν ἀρχὴν ὁ Ἀλέξανδρος τοῖς ἑαυτοῦ ἄρχουσιν ἤγουν Σελεύκῳ, Πτολεμαίῳ τῷ Φιλίππῳ, Ἀντιόχῳ, Φίλωνι τῷ Βύζᾳ· Σέλευκον μὲν Πέρσαις καὶ Ἰνδοῖς βασιλεύειν, Φίλιππον δὲ τὸν καὶ Πτολεμαῖον Αἰγύπτου ἄρχειν, Ἀντίοχον δὲ τὴν μέσην γαῖαν τῶν Ἀσσυρίων, Φίλωνα δὲ τὸν καὶ Βύζαντα τὴν Μακεδονικὴν διέπειν ἀρχὴν, τὰ περὶ Ὀλυμπιάδος πλεῖστα παραινέσας αὐτῷ· κατασφαλισάμενος αὐτὸν ὅρκοις, εἰς ἅπαν αὐτῆς συμφέρον καὶ θέλησιν ἐπιμελῶς αὐτὸν διακεῖσθαι ὡς υἱὸν αὐτῆς. Δέδωκε δὲ καὶ Ῥωξάνην τὴν ἑαυτοῦ γυναῖκα, εἰπὼν αὐτῷ πρὸς Ὀλυμπιάδα τὴν ἑαυτοῦ μητέρα ταύτην ἀποκομίσαι σὺν τῇ μητρὶ αὐτῆς καὶ παντὶ τῷ πλούτῳ αὐτῶν. Ἐπορκισάμενος οὖν αὐτὸν ἕνεκεν τῆς πρὸς αὐτὸν ἀγάπης μὴ ἀθετῆσαι τὰ διατεταγμένα, ὡς δὲ ἐτέλεσε τοῦ λέγειν, προσκαλεσάμενος ἅμα τὸ Μακεδονικὸν στράτευμα, ἑνὶ ἑκάστῳ μετὰ δακρύων περιπλεκόμενος κατησπάζετο. Ὡς δὲ πάντας ἐτέλεσεν ἀσπαζόμενος, ὁ Πολυκράτους εἰσέρχεται παῖς, ὃς ἦν εὐδοκιμώτατος, καὶ λίαν ἀλκιμώτατος καὶ πολλὰ εὐδοκιμήσας ἐν τοῖς πολέμοις καὶ τῷ Ἀλεξάνδρῳ ποθητὸς τυγχάνων· καὶ περιπλακεὶς τῷ Ἀλεξάνδρῳ, οὐκ ἠβούλετο ἀπ' αὐτοῦ διελθεῖν, δεινῶς ὀλοφυρόμενος, καὶ ᾄσματων θρῆνον ποιούμενος· καὶ ὄντως μέλος πένθους γλυκύτατον ἦρξατο, καὶ τὰς καρδίας πάντων δακρύων ἐπλήρωσεν, ὡς ἐδόκει σὺν αὐτῷ καὶ ἡ γῆ πενθεῖν. Μάλιστα δὲ τοῦ παιδὸς πρὸς τὸν Βουκέφαλον ἵππον ἀντιστραφέντος καὶ γοερῶς ἐπιφθεγξαμένου· « Καὶ σὺ δυστυχὴς ὢν, ὡς Πήγασος, Βελλεροφόντην ἀπώλεσας ἄλλον· ἀλλὰ κρείσσων Ἀλέξανδρος Βελλεροφόντου. Οἴμοι, ποίοις ὀφθαλμοῖς τὶς ἐμβλέψαι δυνηθείη Βουκέφαλον ἄλλον ἵππέα ἔχοντα καὶ ἀναβάτην. » Ταῦτα δὲ Χαρμήδης μετ' ὀδυρμῶν ἔλεγε· καὶ ὁ ὄχλος ἐκόπτετο σφόδρα· καὶ ὁ Ἀλέξανδρος τὸν παῖδα ἀπολῦσαι οὐκ ἤθελεν, ἀλλ' ἦν αὐτοῦ ἐπικείμενος τῷ τραχήλῳ. Καὶ μέλλων ἐκπνέειν ὁ Ἀλέξανδρος τόνδε τὸν λόγον ἔφη·

Στίχοι οὓς εἶπεν Ἀλέξανδρος ὅτε ἐξέπνει

Ὃς τὴν ἅπασαν οἰκουμένην διῆλθον
ἀοίκητόν τε καὶ σκοτεινώδη γαῖαν.
φυγεῖν οὐκ ἐίσχυσα τὴν εἱμαρμένην·
κόλιξ δὲ μικρὰ τῷ θανάτῳ προσέδοι,
νέκυσι προπέμπουσα φαρμάκου μίξει.
Βλέπων δὲ στρατὸς θανεῖν βιαζόμενον
βοηθῆσαι θέλοντες ἀδυνατοῦσι.
Λοιπὸν ἐν Ἅιδῃ κείσομαι τεθαμμένος.

Καὶ ταῦτα εἰπὼν παρεκάλεσε πάντας ἐν τῇ κατ' Αἴγυπτον ταφῆναι Ἀλεξανδρείᾳ καὶ ὑπὸ πάντων τῷ τάφῳ παραπεμφθῆναι, εἶτα μετὰ τὸ ταφῆναι αὐτὸν ἕκαστον ἐν τῇ ἀφορισθείσῃ αὐτῷ ἀπελθεῖν βασιλείᾳ. Παρακαλέσας οὖν ἅπαντας καὶ ἐπορκισάμενος μηδένα τῶν διατεταγμένων ἀθετῆσαι, ὡς τοῖς Μακεδόσιν ἦν περισκοπῶν καὶ πονῶν τὴν ψυχὴν περὶ αὐτῶν· ἐπὶ Χαρμήδους οὖν ἐπικείμενος ἦν τῷ τραχήλῳ, κλαίων καὶ ὀδυρόμενος. Τοῦ δὲ Βουκεφάλου ἵππου πρὸς τοῖς ποσὶν αὐτοῦ ἱσταμένου, ἐφαπλοῖ τὴν χεῖρα Ἀλέξανδρος καὶ φησὶν, « ὡς καὶ σὺ τῇ ἐμῇ τύχῃ ἦσθα γεγενημένος, ἵνα δι' ἐμοῦ καὶ σὺ δυστυχήσῃς· ἐν γὰρ τοῖς πολέμοις εἶχόν σε συναγωνιζόμενον· ταῦν δὲ ἐν τῷδέ μοι τῷ θανατηφόρῳ οὐ συναγωνίζῃ πολέμῳ. Δοκεῖ δέ μοι ὡς θέλων βοηθῆσαι οὐ δύνασαι. » Ταῦτα τοῦ Ἀλεξάνδρου πρὸς τὸν Βουκέφαλον σὺν δάκρυσι λέγοντος, ὁ σύμπας ἀνώμωξε στρατὸς, ὥστε μεγίστη γέγονε βοή. Ὁ δὲ τὸ φάρμακον σκευάσας ὁλίος δοῦλος καὶ τὴν τῶν πάντων ἐπιβουλευσάμενος ζωὴν, ἔδοξεν ἐν τῇ βοῇ Ἀλέξανδρον τελευτῆσαι, καὶ δρομαῖος ἐπέρχεται θεάσασθαι. Θεασάμενος δὲ τοῦτον ὁ Βουκέφαλος, τὸ κατηρὲς καὶ στυγνὸν εὐθὺς ἀπορριψάμενος, ὥσπερ τις τῶν λογικῶν τε καὶ γνωστικωτάτων ἀνθρώπων, οἶμαι δὲ καὶ παρὰ τῆς ἄνω προνοίας, τὴν τοῦ δεσπότου ἐκδίκησιν ἐποιήσατο. Καὶ μέσον πάντων ἐπιδραμὼν καὶ τὸν δοῦλον ἐκεῖνον δραξάμενος τοῖς ὀδοῦσι καὶ ἀντικρὺς Ἀλεξάνδρου τοῦτον ἀγαγὼν καὶ ἐκτινάσσων ἐπὶ τούτῳ φοβερῶς ὠρύετο, ὡς ἐκδικῶν τὸν κύριον αὐτοῦ. Καὶ οὕτως ποιῶν, μεταρσίῳ δὲ πηδήματι εἰς ὕψος ἀρθεὶς, παραχρῆμα δὲ σὺν τῷ δολίῳ δούλῳ καὶ δυσπίστῳ προσρίψας ἑαυτὸν τῇ γῇ, παρευθὺς ὁ μὲν δόλιος δοῦλος διεσκορπίσθη, ὡς ἄν τις εἴπῃ χιὼν νότιος ἀφ' ὑψηλοῦ καταπεσοῦσα στέγους· οὕτως ἐγένετο ἐνώπιον πάντων. Ὁ δὲ ἵππος ἐγερθεὶς καὶ χρεμετίσας μικρὸν ἔμπροσθεν Ἀλέξανδρου καὶ πεσὼν εὐθέως ἐξεψύξησε τὴν πνοὴν ἐπαφήσας, ὥστε τὸν Ἀλέξανδρον ἐπὶ τούτῳ μειδιάσαι. Καὶ σὺν τῷ μειδιάσματι ἐγένετο περὶ τὸν ἀέρα ὁμίχλη etc., ut in cod. B.

ΚΕΦ. ΛΔ'.

Οἱ δὲ Πέρσαι (1) μάχονται μετὰ τῶν Μακεδόνων βουλόμενοι τὸν Ἀλέξανδρον ἀνακομίσασθαι καὶ Μίθραν (2) ἀναγορεῦσαι· οἱ δὲ Μακεδόνες ἀντεποιοῦντο

Cap. XXXIV. 1. Cod. C : Ἔκλαυσαν οὖν αὐτὸν ὡς ἔθος ἦν ἥ τε Ῥωξάνη ἡ γυνὴ αὐτοῦ σὺν τῇ μητρὶ αὐτῆς καὶ οἱ φίλοι αὐτοῦ, ὅ τε Πτολεμαῖος καὶ Σέλευκος, Ἀντίοχός τε καὶ Φίλων καὶ Χαρμήδης ὁ ἠγαπημένος αὐτῷ σὺν παντὶ τῷ Μακεδονικῷ καὶ Περσικῷ στρατῷ. Μετὰ δὲ τὸν κλαυθμὸν οἱ Πέρσαι ἐμάχοντο μετὰ τῶν Μακεδόνων etc. Post vel ante κομίσασθαι regionis vel urbis

βουλόμενοι ἀναλαβεῖν αὐτὸν εἰς Μακεδονίαν. Λέγει οὖν αὐτοῖς Φίλιππος ὁ Πτολεμαῖος· « Ἔστι μαντεῖον τοῦ Βαβυλωνίου Διός· παρ' αὐτοῦ οὖν ληψόμεθα χρησμὸν [περὶ] τοῦ σώματος Ἀλεξάνδρου, ποῦ ἂν καταστήσωμεν αὐτόν. » Ἐχρημάτισε δὲ αὐτοῖς ὁ τοῦ Διὸς χρησμὸς οὕτως·

Ἐγὼ ὑμῖν φράσω τὰ συμφέροντα πᾶσιν·
ἔστι πόλις ἐν Αἰγύπτῳ τοὔνομα Μέμφης
κἀκεῖ δεῖ ἐνθρονίσαι τοῦτον (3) * *

Τοῦ δὲ χρησμοῦ δοθέντος οὐδεὶς οὐκέτι ἐλάλησε, ἀλλὰ συνεχώρουν τῷ Πτολεμαίῳ βαδίζειν καὶ κομίζειν αὐτὸν ἐν μολυβδίνῃ λάρνακι εἰς Μέμφιν τὴν πόλιν ἐσμυρνισμένον. Θέμενος δὲ αὐτὸν ὁ Πτολεμαῖος ἐπὶ ἅμαξαν τὴν πορείαν ἐποιεῖτο ἀπὸ Βαβυλῶνος εἰς Αἴγυπτον. Ἀκούσαντες δὲ οἱ Μεμφῖται ὑπήντησαν τῷ σώματι Ἀλεξάνδρου καὶ εἰσάγουσιν αὐτὸ εἰς Μέμφιν. Εἶπε δὲ ὁ ἀρχιπροφήτης τῆς Μεμφίτου ἱεροῦ· « Ὧδε αὐτὸν μὴ καθυδρίσητε, ἀλλὰ εἰς ἣν ἔκτισεν πόλιν ἐν τῇ Ῥακωτίδι· ὅπου γὰρ ἂν ᾖ τὸ σῶμα τοῦτο, ἀκατάστατος ἡ πόλις ἐκείνη ἔσται, πολέμοις καὶ μάχαις ταραττομένη. Εὐθέως οὖν ὁ Πτολεμαῖος ἄγει αὐτὸν εἰς Ἀλεξάνδρειαν καὶ ποιεῖ τάφον ἐν τῷ ἱερῷ (4) τῷ καλουμένῳ Σῶμα Ἀλεξάνδρου, κἀκεῖ τὸ σῶμα ἤτοι τὸ λείψανον Ἀλεξάνδρου καθίδρυσεν (5).

ΚΕΦ. ΛΕ'.

Ἔζησεν ὁ Ἀλέξανδρος ἔτη τριάκοντα δύο· ἐβίωσε δὲ οὕτως· ἀπὸ εἴκοσιν ἐτῶν ἐβασίλευσεν ἔτη ιβ' (1). Πολεμῶν δὲ ἐνίκησεν. Ὑπέταξε δὲ βάρβαρα ἔθνη κβ'· Ἑλλήνων δὲ φυλὰς ιδ'. Ἐγεννήθη μὲν ὁ Ἀλέξανδρος μηνὸς Ἰαννουαρίου νεομηνίᾳ (2), ἀνατολῆς οὔσης τοῦ ἡλίου· ἐτελεύτησε δὲ μηνὸς Ἀπριλλίου νεομηνίᾳ, δύσεως οὔσης τοῦ ἡλίου, καὶ ἐκάλησαν τὴν ἡμέραν τῆς τελευτῆς αὐτοῦ νεομηνίαν (3) διὰ τὸν Ἀλέξανδρον νέον τετελευτηκέναι (4). Ἐτελεύτησεν ὁ Ἀλέξανδρος ἐν τῷ (lacuna in cod.) ἔτει, ἐν τῷ τέλει τῆς ριγ' Ὀλυμπιάδος. (Ἡ δὲ Ὀλυμπιὰς ἔτη εἰσὶ δ'· τῷ δὲ τετάρτῳ ἔτει τοῦ βασιλέως Ἀχὰρ πρώτη ἡ Ὀλυμπιὰς ἤρξατο.) Ἀπὸ δὲ τῆς τελευτῆς Ἀλεξάνδρου ἕως τῆς τοῦ θεοῦ λόγου ἐκ παρθένου σαρκώσεως ἔτη τκδ'.

ΤΕΛΟΣ.

[E CODICE C.]

[Ἀπ' ἀρχῆς δὲ αὐτῆς τῆς κοσμοποιίας ἕως τῆς τελευτῆς αὐτοῦ ὑπῆρχον ἔτη πεντακισχίλια διακόσια δέκα ἑπτά· ἀπὸ δὲ τῆς τελευτῆς αὐτοῦ ἕως τῆς τοῦ θεοῦ λόγου σαρκώσεως, ἔτη διακόσια ἐνενήκοντα ἐννέα, δμοῦ ἔτη ἕως τοῦ Χριστοῦ ἀπ' ἀρχῆς ,εφη'.

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ ΕΙΣ ΑΛΕΞΑΝΔΡΟΝ.

Οὐδὲν τὰ φαιδρὰ τοῦδε τοῦ κόσμου, φίλε.
Πρὶν γὰρ φανοῦσιν, ἀφανίζονται τάχει,
Ὡς ἄνθος, ὡς ἄγρωστις, ὡς σκιᾶς ὄναρ.
Τὰ χείρονα στέργουσι χρειττόνων πλέον.
Θᾶττον πρὸ ὥρας τὰ καλὰ παρατρέχει.
Οὐδὲν τὸ καινὸν τῆς τροπῆς ταύτης, ξένε·
Ἀνθεῖ μόλις, φθῆσι δὲ, φθάνει ταχέως

nomen exciderit. || 2. ἡμίθεον C. || 3. Versus distinxi etsi mutilos; antiquiorem versuum formam servavit Valerius. || 4. παρὰ τὸ ἱερὸν C. || 5. addit C : Ἐκεῖ οὖν αὐτοῦ καὶ στήλην ἐκ λίθων ψεγγίτων ὁ Πτολεμαῖος κελεύσας ἀναστῆσαι, ἀφωμοίωσαν αὐτῷ τὸν ἐν τῷ καιρῷ τοῦ θανάτου αὐτοῦ γέλωτα καὶ Χαρμήδους τῇ χειρὶ ἐπικείμενον, ὥστε τοσοῦτον ἦν αὐτῷ τὸ ὁμοίωμα, ὡς [δοκεῖν] ἐκεῖνον αὐτὸν εἶναι τὸν Ἀλέξανδρον θρήνου καὶ δέους ἐπίδειξιν ἔχοντα. Οὕτως δὴ Ἀλέξανδρος πολεμῶν καὶ μαχώμενος καὶ ἐπαρθεὶς τῇ δόξῃ καὶ τῇ φρονήσει καὶ τῇ ἀνδρείᾳ ὑπὲρ πᾶσαν γενεὰν βασιλέων, οὐκ ἐφθασε διαπεράσας τὸν βίον καὶ τὸ ἀπροσδόκητον τοῦ θανάτου, ἀλλὰ τῆς τοιαύτης βασιλείας ὁ παμμέγιστος βασιλεὺς τὸ τῆς δόξης ἐάσας γέρας ἐξῆλθε τὸν βίον.

Cap. XXXV. 1. Sic etiam C. addens ἐν τῇ περιγείᾳ, omittens ista πολεμῶν δὲ ἐνίκησεν et seqq. usque ad φυλὰς ιδ', pro his ponens : ἔκτισε δὲ πόλεις δώδεκα ταύτας. α' Ἀλεξάνδρειαν τὴν κατ' Αἴγυπτον. β' Ἀλεξάνδρειαν τὴν ἐν Ὄρκῃ οὖσαν. γ' Ἀλ. τὴν εἰς Κράτιστον. δ' Ἀλ. τὴν ἐν Σκυθίᾳ τῇ γῇ. ε' Ἀλ. τὴν ἐπὶ Κρηπίδος ποταμοῦ. ς' Ἀλ. τὴν ἐπὶ Τρωάδος. ζ' Ἀλ. τὴν ἐν Βαβυλῶνι. η' Ἀλ. τὴν εἰς Περσίαν. θ' Ἀλ. τὴν ἐπὶ Βουκεφάλῳ ἵππῳ. ι' Ἀλ. τὴν ἐπὶ τῷ Πώρῳ. ια' Ἀλ. τὴν ἐπὶ Τίγριδος ποταμοῦ. ιβ' Ἀλ. τὴν ἐπὶ Μεσεγγίστα (sic). Codex A ita habet : Ἐβίωσε μὲν οὖν Ἀλέξανδρος ἔτη λ [β'] (*triginta et tres* Val.), ἀπὸ ιε (XVIII Val.) ἐτῶν ἀρξάμενος πολεμεῖν ἐπολέμησεν ἔτη ιζ'. Μέχρις κ' γεγένηται * *, τὰ δὲ ἄλλα [ιβ'] ἐν εἰρήνῃ καὶ ἀμεριμνίᾳ καὶ εὐφροσύνῃ ἔζησεν. Ὑπέταξεν ἔθνη βαρβάρων κβ', Ἑλλήνων ι'. Ἔκτισε πόλεις ιγ', αἵτινες μέχρι τοῦ νῦν κατοικοῦνται καὶ εἰρηνεύονται, Ἀλεξάνδρειαν τὴν ἐπὶ Βουκεφάλῳ ἵππῳ, Ἀλ. τὴν πρὸς Πέρσας, Ἀλ. τὴν ἐπὶ Πώρῳ, Ἀλ. τὴν ἐν Σκυθίᾳ, Ἀλ. τὴν ἐπὶ τοῦ Τίγριδος ποταμοῦ, Ἀλ. τὴν ἐπὶ Βαβυλῶνος, Ἀλ. τὴν πρὸς Τρωΐδα, Ἀλ. τὴν ἐπὶ Σούσοις, Ἀλ. τὴν πρὸς Αἴγυπτον. Igitur quinque nomina urbium exciderunt. Cf. Malala p. 175 ed. Bonn. : Ἔζησε.. ἔτη λσ', ἐβασίλευσε τὰ πάντα ἔτη ιζ', ὁ δὲ πόλεμος αὐτοῦ ἐκράτησεν ἔτη θ', ὑπέταξε δὲ βαρβάρων ἔθνη κδ', Ἑλλήνων φυλὰς ιγ', καὶ ἔκτισε πόλεις αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πολλάς. || 2. Cod. A : ἐγεννήθη μὲν οὖν Τυβίου τῇ νεομηνίᾳ, ἀνατολῆς οὔσης· ἐτελεύτησε δὲ Φαρμοῦθι τετράδι, δύσεως * * Postrema desiderantur. Finis codicis. || 3. νεομαχίαν C B.

XXXV. Vixit autem annos triginta et tres. Sed imperium iniit annum agens octavum decimum. Omnes autem difficultates ejus usque ad annos viginti et quinque fuere : reliqua in pace transegit. Gentes barbaras ditioni suæ subjecit numero XX et II, Græcas vero sedecim. Sed civitates condidit XII, omnes nomine suo scilicet nuncupatas, quæ sunt hæ : Alexandria quæ condita est nomine Bucephali equi, Alexandria montuosa, Alexandria apud Porum, Alexandria in Scythia, Alexandria Babylonis, Alexandria apud Massagetas, Alexandria apud Ægyptum, Alexandria apud Origala, Alexandria apud Granicum, Alexandria apud Tigridem fluvium, Alexandria apud Troadam, Alexandria apud Sanctum, (scm. *cod. R.*) * *, cui quinque primorum, ut dictum est, elementorum idcirco sunt data nomina, ut in hisce elementorum nominibus legeretur : ALEXANDER IMPERATOR GENUS IOVIS CONDIDIT. Obitus autem ejus diem etiam nunc Alexandriæ sacratissimum habent.

Ἀκανθα· δυσώδης γὰρ ἡ κεντροφόρος,
Ἐβλάστησε, τέθηλεν αὐτῆς τὸ κλέος.
Ἓν ἦμαρ ἠράνισε ταῦτα πολλάκις,
Κενούς τε κατέλειψεν αὐτῶν δεσπότας.
Ἐν τυγχάνει μόνιμον, ἄφθιτον κλέος
Ἡ ἀρετή, ἧς καὶ χρόνος πανδαμάτωρ
Γνώμην ἀγαθὴν δαμάσαι οὐκ ἰσχύει.
Θέλεις τοιγαροῦν παρ' ἐμοῦ μαθεῖν, ξένε,
Πρὸς τί ταῦτα ἔλεξα πρός σε; νῦν μάθε.
Βασιλεὺς Ἀλέξανδρος ὁ κοσμοκράτωρ,
Ὀλυμπίας ὁ βλαστὸς, εὐανθὲς ῥόδον,
Ἐκ βασιλικῶν αἱμάτων βεβαμμένον,
Ἥρως βριαρὸς, γεννάδας, θυμολέων,
Οὗ μὴν σπάθην ἔφριξαν Ἰταμῶν φῦλα,
Οὗ τὸ δόρ' ἐτρόμαξε περσῶν ἡ φάλαγξ,
Ὃς βαρβάροις ἅπασι πρηστὴρ ἐπῆλθεν,
Τετραμερῆ κλίματα, τὴν γῆν, οἰκοῦσιν·
Οὗτος φαεινὸς ὀφθεὶς τοῖς Μακεδόσι,
Βαβαί! πρὸ ὥρας ἐξέλιπεν, ἐκρύβη,
Ὡς ὑπὸ τὸν μόδιον ἔκλαμπρος λύχνος.

ΤΕΛΟΣ.

Ἀνεκαινίσθη τὸ παρὸν βιβλίον, Ἀλέξανδρος, ἐν ἔτει, ζοε' (an. 7075 aer. Constant., ii. e. 1567 a. C.) ἰνδικτιῶνος ι' διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Εὐσταθίου ἱεροδιακόνου.

Θεοῦ τὸ δῶρον καὶ διακόνου πόνος
Γαβριὴλ, τοῦ γράψαντος ἐν πολλῷ πόθῳ.
Καὶ οἱ ἀναγινώσκοντες εὔχεσθέ μοι.
Ἀμήν.]

ITINERARIUM
ALEXANDRI.

ITINERARIUM ALEXANDRI.

ARGUMENTUM.

I. Propositio operis. II. Auctor quos historiæ duces sequatur. III. De Itinerarii appellatione. IV. Constantinorum exempla. V. Hortatio in Persas. VI. Auctoris comparatio cum Varrone. VII. Auctoris modestia. VIII. Constantii comparatio cum Alexandro. XII. Prosapia Alexandri. Alexandri genus et ad principatum evectio. XIII. Apparatus bellicus. Figura et virtus bellica Alexandri. XVI. Expeditio in barbaros Europæos. XVII. Orphicæ statuæ sudor. Copiæ Alexandri. XVIII. Expeditio in Asiam. XIX. Concurritur cum Persis ad Granicum. XXI. Granicum superant Macedones. XXII. Periculum Alexandri. XXIII. Victoria Macedonum. XXIV. Asiæ minoris civitates et provinciæ domitæ. XXV. Insidias vitat Alexander. XXVI. Idem Asiam minorem victor percurrit. XXVII. Arsamis satrapæ fuga. XXVIII. Alexander natat in Cydno. XXIX. Idem Tarsi ægrotat. XXX. Amicitiæ fidentissimæ specimen. XXXI. Alexander Dario occurrit. XXXII. Concurritur ad Issum. Hortamenta militaria. XXXIII. Copiæ Darii et Alexandri. XXXIV. Alexander ante pugnam somno gravatur. XXXV. Victoria Macedonum. XXXVI. Alexandri humanitas erga milites. XXXVII. Darii familiam captivam invisit Alexander. XXXVIII. Darius ad Euphratem, Alexander in Syriam venit. XXXIX. Darii litteræ ad Alexandrum. XL. Alexandri responsum. XLI. Alexander Damascum et legatos Græcorum capit. XLII. Idem Tyrum obsidet captamque vastat. XLIII. Darii legatio altera ad Alexandrum. XLIV. Alexandri responsum. XLV. Gaza obsidetur. XLVI. Prodigium. XLVII. Gaza capitur. XLVIII. Alexander venit in Ægyptum. XLIX. Alexandria conditur in Ægypto. L. Peregrinatio ad Hammonem. LI. Fani Hammoniaci situs amœnissimus. LII. Fontes apud Hammonem. Sal fossilis. LIII. Oraculum redditum Alexandro. LIV. Alexander it rursus contra Darium. LV. Alexander Tigrim transmittit. LVI. Velitatio cum Persis. Copiæ Persarum quantæ. LVII. Darius copias instruit ad pugnam prope Arbelum. LVIII. Deliberationes Alexandri. Copiæ Macedonum quæ. LIX. Pugna ad Arbelum. LXI. Currus falcati. LXII. Fuga Darii. LXIII. Alexander suis laborantibus suppetiatur. LXIV. Infinita victoria Macedonum. LXV. Alexander Babylonem occupat. LXVI. Susas item et Uxiorum regionem. LXVII. Persepolim diripit. LXVIII. Persequitur Darium. LXIX. Darius a Beso captivatur et interficitur. LXX. Alexander Besum insequitur. LXXI. Mardos subigit. LXXII. Hyrcanos item, Parthos et Arianos. LXXIII. Satibarzanis defectio. LXXIV. Plurimæ gentes domitæ ab Alexandro. LXXV. Alexander Caucasum superat. LXXVI. Vana fuga Besi. LXXVII. Alexander Oxum transmittit. LXXVIII. Besus capitur. LXXIX. Sogdiana provincia occupatur. LXXX. Macedonum antecursores cæduntur. LXXXI. Abiorum Scytharum legatio. LXXXII. Septem urbes rebellant. LXXXIII. Cyropolis expugnatur. LXXXIV. Alexandriæ ad Tanaim ædificatio absolvitur. LXXXV. Expeditio in Scythas trans Tanaim. LXXXVI. Clades Macedonum. LXXXVI. Vindicta Alexandri. Flumina evanescentia. XXXVIII. Besi supplicium. LXXXIX. Alexandri luxus et arrogantia. XC. Convivium. XCI. Cliti mors. XCII. Callisthenis monita. XCIII. Hermolaus puer verberatur ab Alexandro XCIV. Hermolai conjuratio. XCV. Abiorum mores. XCVI. Pharasmenes et Amazones. XCVII. Fontes olei et vini. XCVIII. Spitamenes opprimitur. XCIX. Petra munitissima C. Capitur. CI. Alexandri nuptiæ cum Roxane. CII Chorieni castellum deditum. CIII. Alexander denique totum Persarum imperium sibi acquirit. CIV. Taxilis regis Indi deditio. CV. Plures Alexandri victoriæ in India. CVI. Accæ domiti. CVII. Bazipharn et Hora urbes captæ. CVIII. Arx munitissima capitur. CIX. Alexandervenit ad flumen Indum. CX. Indiæ descriptio brevis. CXI. Porus vincitur. CXII. Petra Aornis CXIII. Macedonici exercitus querelæ. CXIV. Alexander oceanum explorat. CXV. Alexandri immensa audacia. CXVI. Alexander summum patitur vitæ discrimen. CXVII. Alexander redit Babylonem. CXVIII. Caussam morti suæ præbet. CXIX. Alexandri iter ad Herculis columnas.

I. Dextrum admodum sciens et omini (1) tibi et magisterio futurorum, domine constanti, bonis melior imperator, si orso feliciter jam accinctoque Persicam expeditionem itinerarium principum eodem opere gloriosorum, Alexandri scilicet Magni Trajanique, componerem : libens sane et laboris cum amore succubui : quodque meum velle enimvero id exigit suspensioque (2), quodque regentium prospera in partem subditos vocant.

II. Ac si quid ex eo juverim vel præiverim, vicem sciam in me etiam redundaturam : quoniam quisque mortalium jure naturæ in eo se plus diligit, a quo ipse defenditur. Sed enim quamvis factorum egregiorum inops lingua testis ignobilis, ego tamen audacter id humeris (1) subeo, non meis fretus, verum externi ingenii viribus. Nec de loquacium numero vilibus usus auctoribus, sed quos fidei amicissimos vetus censura pronunciat, quosque istic qua potui tibi circumcisa satis curiositate collegi, adhibito sane verborum cultu restrictius, quoniam voti communis utilitas, non privatæ jactantiæ gloria petebatur.

III. Itinerarium denique pro Breviario superscripsi, castigans operis ejus etiam nomine facultatem, scilicet uti centrum (1) virtutibus tuis. Animo (2) quippe sitienti laudis irritamento est, in causa olim pari scire obsecutam rationi fortunam. Præsertim quum illinc tu res martias auspicere, ubi quemque fidentiorem merita imperia sublimarint : triumphorumque tu exim stipendiis imbuere, ubi quisque felicior pro gestis apicem posivere. Scilicet ut dum juventæ conatus paternis maturitatibus admoliris, inclytorum quam maxime principum merita supervadas : quorum protinus tete in omni hac parilitate nec consilii pæniteat, nec pudeat vero fortunæ.

I, 1. *omine* codex. || 2. *quoque id mm vel enim id exigit suspensique* Cod.

II, 1. *innumeris* C.

III, 1. *cent.* addita linea supra lit. *t.* C. || 2. *cum animo* C.

IV. Quamquam scio (1) majora longe felicioraque quæ profecto sint vobis exempla de maximis Constantinis patre et fratre; certe (quæ priora sunt tempora etiamsi meritis secunda tu feceris) ipsos illis, si quis functis (2) est sensus, voto accessuros existimo.

V. Tibi in Persas hereditarium munus est, ut qui Romana tamdiu arma tremuerint, per te tandem ad nostratium nomen recepti, interque provincias vestras civitate romana donati, discant esse beneficio vincentium (1) liberi, qui omnes illic fastibus regiis milites bello, servi pace censentur.

VI. Igitur si Terentius Varro Gneo Pompeio olim per Hispanias militaturo librum illum Ephemeridos sub nomine laboravit, ut in habiles res eidem gressuro scire esset ex facili inclinationem oceani, atque omnes reliquos motus aerios præscientiæ fide peteret, ut declinaret; cur ego (1) tibi rem nostræ salutis adgresso non ut ex bona flamma virtutum hanc facem præferam? quoniam quantum ingenio minor, tantum hoc voto Varrone sum potior : uti vel inde, quamquam corporis liber, animi tamen vobis militem viribus.

VII. Modo indicio sim, quam illi viam fortitudini straverint, quæ tibi nunc pro omnium salute carpenda est. Neque enim ego hic elegantiam sermonis affecto, cui de commodo usus ipsius laboratur : cum sit felicitas major tali in opere versanti, præisse quod prosit, quam conposuisse quod placeat : ut quo segnitior fuerit dicti simplicitas, hoc et fidei plus et luminis habeat enarratio; quippe quoniam in talibus veritas palmam rapuerit eloquentiæ : quæ ubi arte protegitur, scriptor pro actore laudatur.

VIII. Sed mihi hic et materiæ parilitas blanda est et germanitas spei de te scripturo potiora tum Alexandri gloriis, tum Trajani, quibuscum tibi sane commune est fatalem hanc belli lineam tangere : quoniam ætas quoque alterius nunc penes te est, alterius vero consilium, quo vincis ætatem.

IX. Quippe Alexandro illi interim sic æquabere : magnus ille cognomine, tu vero maximi filius : eadem fere natus terræ sub parte, eodem atque ille (1) ducis exercitum numero militum par, sed melior examine : eandem ulturus injuriam es, sed disparis contumeliæ.

